



PHILONIS JUDAEI

OPERA OMNIA.

TEXTUS EDITUS

AD FIDEM OPTIMARUM EDITIONUM.

VOL. I.

CONTINENS LIBB. DE OPIFICIIS MUNDI, DE ALLEGORIIS LEGUM LIBB. I—III, DE CHERUBIM, DE SACRIFICIIS ABELIS ET CAINI. DE EO QUOD DETERIUS POTIORI INSIDIATUR.

LIPSIAE
SUMTIBUS E. B. SCHWICKERTI.
1828.

BIBLIOTHECA SACRA

PATRUM ECCLESIAE GRAECORUM.

PARS II.

PHILONIS JUDAEI OPERUM OMNIUM.

TOM. I.

LIPSIAE
SUMTIBUS E. B. SCHWICKERTI.
1828.

LECTURIS

S.

In adornanda hac operum Philonis Judaei editione textum, quem *Mangeyus* Anglus Londini a. 1742 duobus voluminibus, forma maxima, typis splendidissimis, chartaque optima imprimendum curavit, sequuti sumus; quocum libros Philonis a *Pfeiffero* Erlangae editos, editionemque a. 1640, quae vulgo Parisiensis dicitur, contulimus. Scriptis Philonianis, quae in anglica editione collecta sunt, addidimus binos libros, *de festo cophini* et *de parentibus colendis* inscriptos, quos *Angelus Maius* in codice Mediceo bibliothecae Florentinae nuper primus invenit, et Mediolani a. 1818 cum versione latina notisque textum illustrantibus typis exprimi iussit; quo factum est, ut nostra editio omnium prima sit, quae cunctos Philonis libros, quotquot hucusque reperiri potuerunt, continet.

PHILONIS IUDAEI

DE

OPIFICIO MUNDI SECUNDUM MOYSEN LIBER.

Argumentum.

(Cf. Gen. I, 1 sqq.)

(1) Laudantur a Philone, quae Moyses hominibus credenda et observanda tradidit. Docuit enim (2) mundum a deo, mente suprema, (3) certo ordine creatum esse, qui inde conspicuus, quod ille sex diebus perfectus est; senarius enim numerus perfectissimus. (4) Mundus realis ad exemplar idealis efformatus est; quod quum (5) in λόγῳ dei originem habuerit, recte hic λόγος mundum creasse dicitur. Factus est mundus ab hoc, quod solus summa pulcri voluptate frui noluit. (6) Mundo insita sunt tot bona, quot capere potuit. (7) Mundus non in tempore creatus est, sed hoc aut cum mundo, aut post mundum esse coepit. Coelum primo loco creatum est, quia sanctissimum astrorum domicilium esse debebat; (8) spiritui et luci summus tributus locus, quia ille vitae fons uberrimus, haec pulcherrima rerum. (9) Lux et tenebrae separatae sunt, ad vitandum earum bellum perpetuum. (10) Coelum visibile firmamentum dictum, quia intelligibili oppositum est. (11) Aquam deus discrevit a terra, (12) terraeque generandi, (13) genitisque propagandi species suas vim indidit. (14) Deinceps coelum exornavit (15) quarto die, quia (16) quaternio radix decadis. (17) Lucem esse iussit, philosophandi fontem purissimum, (18) stellasque, lucis intelligibilis simulacra, (19) ex quarum motibus aestimantur rerum eventus, tempora constituuntur, numerique nati sunt. Quinto (20 et 21) die creata animalia, quinque sensibus praedita, ordine (22) hoc servato, ut deus, dum ea faciebat, a viliori ad prae-

stantius procederet. Postremo loco (23 - 25) homo, sexto quidem die, creatus est. Enumerantur (26 et 27) causae, cur ultimo loco factus est. Hic (28 et 29) omnium rerum, praeter coelestes, dominus. (30) Post mundum sex diebus exornatum diem septimum sanctissimum esse voluit, ob eximias (31 - 37) septenarii numeri virtutes, quae in septem planetis (38 - 39), hominis natura (40 - 41), et artibus musica et grammatica (42) maxime sunt conspicuae; quamobrem eum (43) Graeci et Barbari plurimi fecerunt. Res creatas postquam auctor iterum (44) imagines idearum divinarum esse monuit, docet (45) aquam dulcem eundem in terra habere usum, ac menstruorum fluxum et lac in feminis; hinc terram etiam *Δήμητραν* dici. Hominem protoplastum (46 - 49) deus genere, quod ex eo prodiit, creavit praestantiorem. Consortio (50) usus est rationalium naturarum divinarum, quae ante eum aderant. Genus humanum (51) numini supremo etiamnum cognatum, minus tamen quam protoplastus. Hic (52) cunctis animalibus, deo iubente, nomina indidit, sapientissimusque exstitit; postquam vero (53) deus feminam creavit, vir primus et haec mutua corporum voluptate fruiti immortalem vitam perdiderunt, id quod symbolis (54) arboris vitae et mortis, et serpentis (55 - 56) indicatur. Inde (57 et 58) voluptas nata, quae (59) per sensus mentem capit, hominemque servum et mortalem reddit; illa enim (60) dolorum, malorumque omnium fons. (61) Moyses omnino quinque potissimum religionis praecepta tradidit, quae qui animo amplectitur, beatus vivit.

---

1 §. 1. *Τῶν ἄλλων νομοθετῶν οἱ μὲν ἀκαλλώπιστα*
ed.*καὶ γυμνὰ τὰ νομισθέντα παρ' αὐτοῖς εἶναι δίκαια*
M.*διετάξαντο, οἱ δὲ, πολὺν ὄγκον τοῖς νοήμασι προςπεριλαβόντες, ἐξετύφωσαν τὰ πλήθη, μυθικοῖς πλάσμασι τὴν ἀλήθειαν ἐπικρύψαντες. Μωϋσῆς δὲ ἑκάτερον ὑπερβὰς, τὸ μὲν, ὡς ἄσκεπτον καὶ ἀταλαίπωρον καὶ ἀφιλόσοφον, τὸ δὲ, ὡς κατεψευσμένον καὶ μεστὸν γοητείας, παγκάλην καὶ σεμνοτάτην ἀρχὴν τῶν νόμων ἐποιήσατο, μήτ' εὐθὺς ἃ χρὴ πράττειν ἢ τὸ ἐναντίον ὑπειπὼν, μήτε, ἐπειδὴ προτυπῶσαι τὰς διανοίας τῶν χρησομένων τοῖς νόμοις ἀναγκαῖον*

ἣν, μύθους πλασάμενος, ἢ συναινέσας τοῖς ὑφ᾽ ἑτέ-
ρων συντεθεῖσιν· ἡ δὲ ἀρχὴ, καθάπερ ἔφην, ἐστὶ
θαυμασιωτάτη, κοσμοποιΐαν περιέχουσα, ὡς καὶ
τοῦ κόσμου τῷ νόμῳ, καὶ τοῦ νόμου τῷ κόσμῳ συν-
ᾄδοντος, καὶ τοῦ νομίμου ἀνδρὸς, εὐθὺς ὄντος κοσ-
μοπολίτου, πρὸς τὸ βούλημα τῆς φύσεως τὰς πρά-
ξεις ἀπευθύνοντος, καθ᾽ ἣν καὶ ὁ σύμπας κόσμος
διοικεῖται. Τὸ μὲν οὖν κάλλος τῶν νοημάτων τῆς
κοσμοποιΐας οὐδεὶς οὔτε ποιητὴς, οὔτε λογογράφος,
2 ἀξίως ἀνυμνῆσαι δύναιτο. Καὶ γὰρ λόγον καὶ ἀκοὴν
M. ὑπερβάλλει, μείζω καὶ σεμνότερα ὄντα, ἢ ὡς γενη-
τοῦ τινὸς ὀργάνοις ἐναρμοσθῆναι· οὐ μὴν διὰ τοῦτο
ἡσυχαστέον, ἀλλὰ ἕνεκα τοῦ θεοφιλοῦς καὶ ὑπὲρ 2
δύναμιν ἐπιτολμητέον λέγειν· Οἴκοθεν μὲν οὐδὲν P.
οὐδὲ πολλὰ, ὀλίγα δὲ ἀντὶ πολλῶν, ἐφ᾽ ἃ τὴν ἀν-
θρωπίνην διάνοιαν φθάνειν εἰκὸς, ἔρωτι καὶ πόθῳ
σοφίας κατεσχημένην. Ὡς γὰρ τῶν κολοσσιαίων
μεγεθῶν τὰς ἐμφάσεις καὶ ἡ βραχυτάτη σφραγὶς
τυπωθείσας δέχεται, οὕτω τάχα που καὶ τὰ τῆς
ἀναγραφείσης ἐν τοῖς νόμοις κοσμοποιΐας ὑπερβάλ-
λοντα κάλλη, καὶ ταῖς μαρμαρυγαῖς τὰς τῶν ἐντυγ-
χανόντων ψυχὰς ἐπισκιάζοντα, βραχυτέροις παραδο-
θήσεται χαρακτῆρσιν, ἐπειδὰν ἐκεῖνο μηνυθῇ πρό-
τερον, ὅπερ οὐκ ἄξιον ἀποσιωπῆσαι.

§. 2. Τινὲς γὰρ τὸν κόσμον μᾶλλον ἢ τὸν κοσμο-
ποιὸν θαυμάσαντες, τὸν μὲν ἀγένητόν τε καὶ ἀΐδιον
ἀπεφήναντο· τοῦ δὲ θεοῦ πολλὴν ἀπραξίαν οὐκ εὐα-
γῶς κατεψεύσαντο, δέον ἔμπαλιν τοῦ μὲν τὰς δυνάμεις
ὡς ποιητοῦ καὶ πατρὸς καταπλαγῆναι, τὸν δὲ μὴ πλέον
τοῦ μετρίου ἀποσεμνῦναι. Μωϋσῆς δὲ, καὶ φιλο-
σοφίας ἐπ᾽ αὐτὴν φθάσας ἀκρότητα, καὶ χρησμοῖς
τὰ πολλὰ καὶ συνεκτικώτατα τῶν τῆς φύσεως ἀνα-
διδαχθεὶς, ἔγνω δὴ, ὅτι ἀναγκαιότατόν ἐστιν, ἐν
τοῖς οὖσιν τὸ μὲν εἶναι δραστήριον αἴτιον, τὸ δὲ
παθητικόν. Καὶ ὅτι τὸ μὲν δραστήριον ὁ τῶν ὅλων
νοῦς ἐστιν εἰλικρινέστατος καὶ ἀκραιφνέστατος, κρείτ-

των τε ἢ ἀρετὴ, καὶ κρείττων ἢ ἐπιστήμη, κ κρείττων ἢ αὐτὸ τὸ ἀγαθὸν καὶ αὐτὸ τὸ καλόν· : δὲ παθητικὸν, ἄψυχον καὶ ἀκίνητον ἐξ ἑαυτοῦ, κ νηθὲν δὲ καὶ σχηματισθὲν καὶ ψυχωθὲν ὑπὸ τι νοῦ, μετέβαλεν εἰς τὸ τελειότατον ἔργον, τόνδε τι κόσμον. Ὃν οἱ φάσκοντες ὡς ἐστὶν ἀγένητος, λελ θασι τὸ ὠφελιμώτατον καὶ ἀναγκαιότατον τῶν ε εὐσέβειαν ἡκόντων ὑποτεμνόμενοι, τὴν πρόνοια. Τοῦ μὲν γὰρ γεγονότος ἐπιμελεῖσθαι τὸν πατέρα κι ποιητὴν αἱρεῖ λόγος. Καὶ γὰρ πατὴρ ἐκγόνων, κι δημιουργὸς τῶν δημιουργηθέντων στοχάζεται τῆ διαμονῆς. Καὶ ὅσα μὲν ἐπιζήμια καὶ βλαβερὰ, μη χανῇ πάσῃ διωθεῖται, ὅσα δὲ ὠφέλιμα καὶ λυσι τελῆ, πάντα τρόπον ἐκπορίζειν ἐπιποθεῖ· Πρὸς δ τὸ μὴ γεγονὸς, οἰκείωσις οὐδεμία τῷ μὴ πεποιηκότι Ἀπεριμάχητον δὲ δόγμα καὶ ἀνωφελὲς, ἀναρχίαν ὥ ἐν πόλει κατασκευάζειν τῷδε τῷ κόσμῳ, τὸν ἔφορον ἢ βραβευτὴν, ἢ δικαστὴν οὐκ ἔχοντι, ὑφ᾽ οὗ τι πάντα οἰκονομεῖσθαι καὶ πρυτανεύεσθαι θέμις. Ἀλλ
3 ὅγε μέγας Μωϋσῆς ἀλλοτριώτατον τοῦ ὁρατοῦ νο
M. μίσας εἶναι τὸ ἀγένητον, — πᾶν γὰρ τὸ αἰσθητὸν ἐ γενέσει καὶ μεταβολαῖς, οὐδέποτε κατὰ τὰ αὐτὰ, ὂν — τῷ μὲν ἀοράτῳ καὶ νοητῷ προσένειμεν ὡς ἀδελφὸν καὶ συγγενὲς, ἀϊδιότητα· τῷ δὲ αἰσθητῷ γένεσιν τὸ οἰκεῖον ὄνομα ἐπεφήμισεν. Ἐπεὶ οὖν ὁρατός τε κα αἰσθητὸς ὅδε ὁ κόσμος, ἀναγκαίως ἂν εἴη καὶ γενητός. Ὅθεν οὐκ ἀπὸ σκοποῦ καὶ τὴν γένεσιν ἀνέγραψεν αὐτοῦ, μάλα σεμνῶς θεολογήσας.

§. 3. Ἓξ δὲ ἡμέραις δημιουργηθῆναί φησι τὸν κόσμον, οὐκ ἐπειδὴ προσεδεῖτο τοῦ χρόνων μήκους ὁ ποιῶν, — ἅμα γὰρ πάντα δρᾶν εἰκὸς θεὸν, οὐ προστάττοντα μόνον, ἀλλὰ καὶ διανοούμενον, — ἀλλ᾽ ἐπειδὴ τοῖς γινομένοις ἔδει τάξεως. Τάξει δὲ ἀριθμὸς οἰκεῖον, ἀριθμῶν δὲ φύσεως νόμοις γεννητικώτατος ὁ ἕξ. Τῶν τε γὰρ ἀπὸ μονάδος πρῶτος τέλειός

ἐστιν, ἰσούμενος τοῖς ἑαυτοῦ μέρεσι, καὶ συμπληρούμενος ἐξ αὐτῶν· ἡμίσους μὲν τριάδος, τρίτου δὲ δυάδος, ἕκτου δὲ μονάδος, καὶ, ὡς ἔπος εἰπεῖν, ἄῤῥην τε καὶ θῆλυς εἶναι πέφυκε, καὶ ἐκ τῆς ἑκατέρου δυνάμεως ἥρμοσται. Ἄῤῥεν μὲν γὰρ ἐν τοῖς οὖσι τὸ περιττὸν, τὸ δὲ ἄρτιον θῆλυ· περιττῶν μὲν οὖν ἀριθμῶν ἀρχὴ τριὰς, δυὰς δὲ ἀρτίων, ἡ δὲ ἐπ᾽ ἀμφοῖν δύναμις, ἕξας. Ἔδει γὰρ τὸν κόσμον τελειότατον μὲν ὄντα τῶν γεγονότων κατ᾽ ἀριθμὸν τέλειον παγῆναι, τὸν ἕξ· ἐν ἑαυτῷ δὲ ἔχειν μέλλοντα τὰς ἐκ συνδυασμοῦ γενέσεις, πρὸς μικτὸν ἀριθμὸν τὸν πρῶτον ἀρτιοπέριττον τυπωθῆναι, περιέξοντα καὶ τὴν τοῦ σπείροντος ἄῤῥενος, καὶ τὴν τοῦ ὑποδεχομένου τὰς γονὰς θήλεος ἰδέαν. Ἑκάστην δὲ τῶν ἡμερῶν ἀπένειμεν ἐνὶ τῶν τοῦ παντὸς τμημάτων, τὴν πρώτην ὑπεξελόμενος. Ἣν αὐτὸς οὐδὲ πρώτην, ἵνα μὴ ταῖς ἄλλαις συγκαταριθμῆται, καλεῖ, μίαν δὲ ὀνομάσας εὐθυβόλως προςαγορεύει, τὴν μονάδος φύσιν τε καὶ πρόςρησιν ἐνιδών τε καὶ ἐπιφημίσας αὐτῇ.

§. 4. Λεκτέον δὲ ὅσα οἷόν τέ ἐστι τῶν ἐμπεριεχομένων, ἐπειδὴ πάντα ἀμήχανον· περιέχει γὰρ τὸν
4 νοητὸν κόσμον ἐξαίρετον, ὡς ὁ περὶ αὐτῆς λόγος
M. μηνύσει. Προλαβὼν γὰρ ὁ θεὸς ἅτε θεὸς, ὅτι μίμημα καλὸν οὐκ ἄν ποτε γένοιτο καλοῦ δίχα παραδείγματος, οὐδέ τι τῶν αἰσθητῶν ἀνυπαίτιον, ὃ μὴ πρὸς ἀρχέτυπον καὶ νοητὴν ἰδέαν ἀπεικονίσθη, βουληθεὶς τὸν ὁρατὸν τουτονὶ κόσμον δημιουργῆσαι, προεξετύπου τὸν νοητὸν, ἵνα χρώμενος ἀσωμάτῳ καὶ θεοειδεστάτῳ παραδείγματι, τὸν σωματικὸν τοῦτον ἀπεργάσηται, πρεσβυτέρου νεώτερον ἀπεικόνισμα, τοσαῦτα περιέξοντα αἰσθητὰ γένη, ὅσαπερ ἐν ἐκείνῳ 4
νοητά. Τὸν δὲ ἐκ τῶν ἰδεῶν συνεστῶτα κόσμον ἐν P.
τόπῳ τινὶ λέγειν ἢ ὑπονοεῖν οὐ θεμιτόν· ᾗ δὲ ὑφέστηκεν, εἰσόμεθα παρακολουθήσαντες εἰκόνι τινὶ τῶν παρ᾽ ἡμῖν. Ἐπειδὰν πόλις τις κτίζηται κατὰ πολ-

λὴν φιλοτιμίαν βασιλέως ἤ τινος ἡγεμόνος, αὐτ κρατοῦς ἐξουσίας μεταποιουμένου, καὶ ἅμα τὸ φρ νημα λαμπροῦ, τὴν εὐτυχίαν συνεπικοσμοῦντος, πι ρελθὼν ἐστὶν ὅτε τις τῶν ἀπὸ παιδείας ἀνὴρ ἀρχ τεκτονικὸς, καὶ τὴν εὐκρασίαν καὶ εὐκαιρίαν τοῦ τι που θεασάμενος, διαγράφει πρῶτον ἐν ἑαυτῷ τ τῆς μελλούσης ἀποτελεῖσθαι πόλεως μέρη σχεδ ἅπαντα, ἱερὰ, γυμνάσια, πρυτανεῖα, ἀγορὰς, λ μένας, νεωσοίκους, στενωποὺς, τειχῶν κατασκευὰ ἱδρύσεις οἰκιῶν καὶ δημοσίων καὶ ἄλλων οἰκοδομη μάτων. Εἶτα ὥςπερ ἐν κηρῷ τινι τῇ ἑαυτοῦ ψυχ τοὺς ἑκάστου δεξάμενος τύπους, ἀγαλματοφορεῖ νοη τὴν πόλιν, ἧς ἀνακινήσας τὰ εἴδωλα μνήμῃ τῇ συμ φύτῳ, καὶ τοὺς χαρακτῆρας ἔτι μᾶλλον ἐνσφραγι σάμενος, οἷα δημιουργὸς ἀγαθὸς, ἀποβλέπων εἰ τὸ παράδειγμα τὴν ἐκ λίθων καὶ ξύλων ἄρχεται κα τασκευάζειν, ἑκάστῃ τῶν ἀσωμάτων ἰδεῶν τὰς σω ματικὰς ἐξομοιῶν οὐσίας. Τὰ παραπλήσια δὴ κα περὶ θεοῦ δοξαστέον, ὃς ἄρα τὴν μεγαλόπολιν κτί ζειν διανοηθεὶς, ἐνενόησε πρότερον τοὺς τύπους αὐ τῆς, ἐξ ὧν κόσμον νοητὸν συστησάμενος ἀπετέλι τὸν αἰσθητὸν, παραδείγματι χρώμενος ἐκείνῳ.

§. 5. Καθάπερ οὖν ἡ ἐν τῷ ἀρχιτεκτονικῷ προ διατυπωθεῖσα πόλις τὴν χώραν ἐκτὸς οὐκ εἶχεν, ἀλλ ἐνεσφράγιστο τῇ τοῦ τεχνίτου ψυχῇ, τὸν αὐτὸν τρό πον οὐδὲ ὁ ἐκ τῶν ἰδεῶν κόσμος ἄλλον ἂν ἔχοι τό πον, ἢ τὸν θεῖον λόγον τὸν ταῦτα διακοσμήσαντα. Ἐπε τίς ἂν εἴη τῶν δυνάμεων αὐτοῦ τόπος ἕτερος, ὃ γένοιτ' ἂν ἱκανὸς, οὐ λέγω πάσας, ἀλλὰ μίαν ἄκρα τον ἡντινοῦν δέξασθαί τε καὶ χωρῆσαι; Δύναμις δὲ κα
5 ἡ κοσμοποιητικὴ, πηγὴν ἔχουσα τυγχάνει τὸ πρὸς ἀλη
M. θειαν ἀγαθόν. Εἰ γάρ τις ἐθελήσειε τὴν αἰτίαν, ἧ ἕνεκα τόδε τὸ πᾶν ἐδημιουργεῖτο, διερευνᾶσθαι, δοκε μοι μὴ διαμαρτεῖν τοῦ σκοποῦ φάμενος, ὅπερ καὶ τῶ ἀρχαίων εἶπέ τις, "ἀγαθὸν εἶναι τὸν πατέρα κα ποιητὴν, οὗ χάριν τῆς ἀρίστης αὐτοῦ φύσεως οὐ

ἐφθόνησεν οὐσίᾳ, μηδὲν ἐξ ἑαυτῆς ἐχούσῃ καλὸν, δυναμένῃ δὲ γενέσθαι πάντα." Ἦν μὲν γὰρ ἐξ ἑαυτῆς ἄτακτος, ἄποιος, ἄψυχος, ἑτεροιότητος, ἀναρμοστίας, ἀσυμφωνίας μεστή. Τροπὴν δὲ καὶ μεταβολὴν ἐδέχετο. τὴν εἰς τὰ ἐναντία καὶ τὰ βέλτιστα, τάξιν, ποιότητα, ἐμψυχίαν, ὁμοιότητα, ταυτότητα, τὸ εὐάρμοστον, τὸ σύμφωνον, πᾶν ὅσον τῆς κρείττονος ἰδέας.

§. 6. Οὐδενὶ δὲ παρακλήτῳ — τίς γὰρ ἦν ἕτερος; — 5
μόνῳ δὲ ἑαυτῷ χρησάμενος ὁ θεὸς, ἔγνω δεῖν εὐερ- P.
γετεῖν ἀταμιεύτοις καὶ πλουσίαις χάρισι τὴν ἄνευ δωρεᾶς θείας φύσιν ἐπιλαχεῖν ἐξ ἑαυτῆς οὐδενὸς ἀγαθοῦ δυναμένην. Ἀλλ᾽ οὐ πρὸς τὸ μέγεθος εὐεργετεῖ τῶν αὐτοῦ χαρίτων — ἀπερίγραφοι γὰρ αὗταί γε καὶ ἀτελεύτητοι, — πρὸς δὲ τὰς τῶν εὐεργετουμένων δυνάμεις. Οὐ γὰρ ὡς πέφυκεν ὁ θεὸς εὖ ποιεῖν, οὕτω καὶ τὸ γενόμενον εὖ πάσχειν· ἐπεὶ τοῦ μὲν αἱ δυνάμεις ὑπερβάλλουσι. Τὸ δὲ ἀσθενέστερον ὂν, ἢ ὥςτε δέξασθαι τὸ μέγεθος αὐτῶν, ἀπεῖπεν ἂν, εἰ μὴ διεμετρήσατο σταθμησάμενος εὐαρμόστως τὸ ἑκάστῳ ἐπιβάλλον. Εἰ δέ τις ἐθελήσειε γυμνοτέροις χρήσασθαι τοῖς ὀνόμασιν, οὐδὲν ἂν ἕτερον εἴποι τὸν νοητὸν εἶναι κόσμον, ἢ θεοῦ λόγον ἤδη κοσμοποιοῦντος. οὐδὲ γὰρ ἡ νοητὴ πόλις ἕτερόν τι ἐστὶν, ἢ ὁ τοῦ ἀρχιτέκτονος λογισμὸς, ἤδη τὴν αἰσθητὴν πόλιν τῇ νοητῇ κτίζειν διανοουμένου. Μωϋσέως ἐστὶ τόδε δόγμα τοῦτο, οὐκ ἐμόν. Τὴν γοῦν ἀνθρώπου γένεσιν ἀναγράφων, ἐν τοῖς ἔπειτα ὁμολογεῖ διαῤῥήδην; ὡς ἄρα κατ᾽ εἰκόνα θεοῦ διετυπώθη. Εἰ δὲ τὸ μέρος εἰκὼν εἰκόνος, δηλονότι καὶ τὸ ὅλον εἶδος, ὁ σύμπας αἰσθητὸς οὑτοσὶ κόσμος, ὃ μεῖζόν ἐστι τῆς ἀνθρωπίνης μίμημα θείας εἰκόνος. Δῆλον δὲ, ὅτι καὶ ἡ ἀρχέτυπος σφραγὶς, ὅν φαμεν εἶναι κόσμον νοητὸν, αὐτὸς ἂν εἴη τὸ ἀρχέτυπον παράδειγμα, ἰδέα τῶν ἰδεῶν, ὁ θεοῦ λόγος. —

§. 7. Φησὶ δὲ ὡς „ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς
τὸν οὐρανὸν καὶ τὴν γῆν," τὴν ἀρχὴν παραλαμβά-
6 νων οὐχ, ὡς οἴονταί τινες, τὴν κατὰ χρόνον· χρό-
M. νος γὰρ οὐκ ἦν πρὸ κόσμου, ἀλλ' ἢ σὺν αὐτῷ γέ-
γονεν, ἢ μετ' αὐτόν. Ἐπειδὴ γὰρ διάστημα τῆς
τοῦ οὐρανοῦ κινήσεώς ἐστιν ὁ χρόνος, προτέρα τοῦ
κινουμένου κίνησις οὐκ ἂν γένοιτο, ἀλλ' ἀναγκαῖον
αὐτὴν ἢ ὕστερον, ἢ ἅμα συνίστασθαι. Ἀναγκαῖον
ἄρα καὶ τὸν χρόνον ἰσήλικα τοῦ κόσμου γεγονέναι,
ἢ νεώτερον ἐκείνου. Πρεσβύτερον δὲ ἀποφαίνεσθαι
τολμᾶν ἀφιλόσοφον τῷ ὄντι. Εἰ δὲ ἀρχὴ μὴ παρα-
λαμβάνεται τανῦν ἡ κατὰ χρόνον, εἰκὸς ἂν εἴη μη-
νύεσθαι τὴν κατ' ἀριθμὸν, ὡς τὸ „ἐν ἀρχῇ ἐποίη-
σεν" ἴσον εἶναι τῷ „πρῶτον ἐποίησε τὸν οὐρανόν."
Καὶ γὰρ εὔλογον τῷ ὄντι πρῶτον αὐτὸν εἰς γένεσιν
ἐλθεῖν, ἄριστόν τε ὄντα τῶν γεγονότων, καὶ ἐκ τοῦ κα-
θαρωτάτου τῆς οὐσίας παγέντα, διότι θεῶν ἐμφανῶν
τε καὶ αἰσθητῶν ἔμελλεν οἶκος ἔσεσθαι ἱερώτατος.
Καὶ γὰρ εἰ πάντα ἅμα ὁ ποιῶν ἐποίει, τάξιν οὐδὲν 6
ἧττον εἶχε τὰ καλῶς γινόμενα. καλὸν γὰρ οὐδὲν P.
ἐν ἀταξίᾳ. Τάξις δὲ ἀκολουθία καὶ εἱρμός ἐστι
προηγουμένων τινῶν καὶ ἑπομένων, εἰ καὶ μὴ τοῖς
ἀποτελέσμασιν, ἀλλά γε ταῖς τῶν τεκταινομένων ἐπι-
νοίαις· οὕτω γὰρ ἔμελλον ἠκριβῶσθαί τε καὶ ἀπλα-
νεῖς εἶναι καὶ ἀσύγχυτοι. Πρῶτον οὖν παρὰ τοῦ
νοητοῦ κόσμου ὁ ποιῶν ἐποίει οὐρανὸν ἀσώματον,
καὶ γῆν ἀόρατον, καὶ ἀέρος ἰδέαν καὶ κενοῦ. ὧν
τὸν μὲν ἐπεφήμισε σκότος, ἐπειδὴ μέλας ὁ ἀὴρ τῇ
φύσει· τὸ δὲ ἄβυσσον, πολύβυθον γὰρ τό γε κενὸν
καὶ ἀχανές. Εἶθ' ὕδατος ἀσώματον οὐσίαν καὶ
πνεύματος, καὶ ἐπὶ πᾶσιν ἑβδόμου φωτὸς, ὃ πάλιν
ἀσώματον ἦν, καὶ νοητὸν ἡλίου παράδειγμα, καὶ
πάντων ὅσα φωσφόρα ἄστρα κατὰ τὸν οὐρανὸν
ἔμελλε συνίστασθαι.

§. 8. Προνομίας δὲ τὸ πνεῦμα καὶ τὸ φῶς
ἠξίου. Τὸ μὲν γὰρ ὠνόμασε θεοῦ, διότι ζωτικώτα-

τον τὸ πνεῦμα, ζωῆς δὲ θεὸς αἴτιος· τὸ δὲ, φῶς, ὅτι ὑπερβαλλόντως καλόν. Τοσούτῳ γὰρ τὸ νοητὸν τοῦ ὁρατοῦ λαμπρότερόν τε καὶ αὐγοειδέστερον, ὅσωπερ ἥλιος, οἶμαι, σκότους, καὶ ἡμέρα νυκτὸς, καὶ τῶν αἰσθητικῶν κριτηρίων ὁ νοῦς, ὁ τῆς ὅλης ψυχῆς ἡγεμὼν, καὶ ὀφθαλμοὶ σώματος. Τὸν δὲ ἀόρατον καὶ νοητὸν θεῖον λόγον, εἰκόνα λέγει θεοῦ. Καὶ ταύτης εἰκόνα τὸ νοητὸν φῶς ἐκεῖνο, ὃ θείου
7 λόγου γέγονεν εἰκὼν τοῦ διερμηνεύσαντος τὴν γένε-
M. σιν αὐτοῦ. Καὶ ἔστιν ὑπερουράνιος ἀστὴρ, πηγὴ τῶν αἰσθητῶν ἀστέρων, ἣν οὐκ ἀπὸ σκοποῦ καλέσειεν ἄν τις παναύγειαν, ἀφ᾽ ἧς ὁ ἥλιος καὶ ἡ σελήνη καὶ οἱ ἄλλοι πλανῆτές τε καὶ ἀπλανεῖς ἀρύονται, καθ᾽ ὅσον ἑκάστῳ δύναμις, τὰ πρέποντα φέγγη, τῆς ἀμιγοῦς καὶ καθαρᾶς ἐκείνης αὐγῆς ἀμαυρουμένης, ὅταν ἄρξηται τρέπεσθαι κατὰ τὴν ἐκ νοητοῦ πρὸς αἰσθητὸν μεταβολήν· εἰλικρινὲς γὰρ οὐδὲν τῶν ἐν αἰσθήσει.

§. 9. Εὖ μέντοι καὶ τὸ φάναι, ὅτι "τὸ σκότος ἦν ἐπάνω τῆς ἀβύσσου *)." Τρόπον γάρ τινα ὁ ἀὴρ ὑπὲρ τὸ κενόν ἐστιν, ἐπειδὴ πᾶσαν τὴν ἀχανῆ καὶ ἐρήμην καὶ κενὴν χώραν ἐπιβὰς ἐκπεπλήρωκεν, ὅση πρὸς ἡμᾶς ἀπὸ τῶν κατὰ σελήνην καθήκει. Μετὰ δὲ τὴν τοῦ νοητοῦ φωτὸς ἀνάλαμψιν, ὃ πρὸ ἡλίου γέγονεν, ὑπεχώρει τὸ ἀντίπαλον σκότος, διατειχίζοντος ἀπ᾽ ἀλλήλων αὐτὰ καὶ διϊστάντος τοῦ θεοῦ, τοῦ τὰς ἐναντιότητας εὖ εἰδότος, καὶ τὴν ἐκ φύσεως αὐτῶν διαμάχην. Ἵνα οὖν μὴ ἀεὶ συμφερόμενα στασιάζωσι, καὶ πόλεμος ἀντὶ εἰρήνης ἐπικρατήσῃ, τὴν ἀκοσμίαν ἐν κόσμῳ τιθεὶς, οὐ μόνον
"ἐχώρισε φῶς καὶ σκότος," ἀλλὰ καὶ ὅρους ἐν μέ- 7
σοις ἔθετο διαστήμασιν, οἷς ἀνεῖρξε τῶν ἄκρων ἑκά- P.
τερον. Ἔμελλε γὰρ γειτνιῶντα σύγχυσιν ἀπεργάζεσθαι, τῷ περὶ δυναστείας ἀγῶνι κατὰ πολλὴν καὶ

*) Gen. 1, 2.

ἄπαυστον φιλονεικίαν ἐπαποδυόμενα, εἰ μὴ μέσοι παγέντες ὅροι διέζευξαν καὶ διέλυσαν τὴν ἀντεπίθεσιν. Οὗτοι δέ εἰσιν „ἑσπέρα τε καὶ πρωΐα," ὧν ἡ μὲν προευαγγελίζεται μέλλοντα ἥλιον ἀνίσχειν, ἠρέμα τὸ σκότος ἀνείργουσα· ἡ δὲ ἑσπέρα καταδύντι ἐπιγίνεται τῷ ἡλίῳ, τὴν ἀθρόαν τοῦ σκότους φορὰν πραέως ἐκδεχομένη. Καὶ ταῦτα μέντοι, πρωΐαν λέγω καὶ ἑσπέραν, ἐν τῇ τάξει τῶν ἀσωμάτων καὶ νοητῶν θετέον· ὅλως γὰρ οὐδὲν αἰσθητὸν ἐν τούτοις, ἀλλὰ πάντα ἰδέαι καὶ μέτρα καὶ τύποι καὶ σφραγῖδες, εἰς γένεσιν ἄλλων ἀσώματα σωμάτων. Ἐπειδὴ δὲ φῶς μὲν ἐγένετο, σκότος δὲ ὑπεξέστη καὶ ὑπεχώρησεν, ὅροι δὲ ἐν τοῖς μεταξὺ διαστήμασιν ἐπάγησαν, ἑσπέρα τε καὶ πρωΐα, κατὰ τὸ ἀναγκαῖον τοῦ χρόνου μέτρον ἀπετελεῖτο εὐθὺς, ὃ καὶ „ἡμέραν" ὁ ποιῶν ἐκάλεσε. Καὶ ἡμέραν οὐχὶ πρώτην, ἀλλὰ „μίαν," ἣ λέλεκται οὕτως διὰ τὴν τοῦ νοητοῦ κόσμου μόνωσιν, μοναδικὴν ἔχοντος φύσιν.

§. 10. *Ὁ μὲν οὖν ἀσώματος κόσμος ἤδη πέρας*
8 *εἶχεν, ἱδρυθεὶς ἐν τῷ θείῳ λόγῳ, ὁ δὲ αἰσθητὸς*
M. *πρὸς παράδειγμα τούτου ἐτελειουργεῖτο. Καὶ πρῶτον αὐτοῦ τῶν μερῶν, ὃ δὴ καὶ πάντων ἄριστον, ἐποίει τὸν οὐρανὸν ὁ δημιουργὸς, ὃν ἐτύμως „στερέωμα" προςηγόρευκεν, ἅτε σωματικὸν ὄντα· τὸ γὰρ σῶμα φύσει στερεὸν, ὅτιπερ καὶ τριχῇ διάστατον. Στερεοῦ δὲ καὶ σώματος ἔννοιά τις ἑτέρα, πλὴν τὸ πάντῃ διεστηκός; Εἰκότως οὖν ἀντιτιθεὶς τῷ νοητῷ καὶ ἀσωμάτῳ τὸν αἰσθητὸν καὶ σωματοειδῆ, τοῦτον στερέωμα ἐκάλεσεν. Εἶτ' αὐτὸν εὐθέως οὐρανὸν εὐθυβόλως καὶ πάνυ κυρίως προςεῖπεν, ἤτοι διότι πάντων ὅρος ἦν ἤδη, ἢ ὅτι πρῶτος τῶν ὁρατῶν ἐγένετο. Ὀνομάζει δὲ καὶ ἡμέραν μετὰ τὴν γένεσιν αὐτοῦ δευτέραν, ὅλον ἡμέρας διάστημα καὶ μέτρον ἀνατιθεὶς οὐρανῷ, διὰ τὴν ἐν αἰσθητοῖς ἀξίωσίν τε καὶ τιμήν.*

§. 11. *Μετὰ δὲ ταῦτα, ἐπειδὴ τὸ σύμπαν ὕδωρ εἰς ἅπασαν τὴν γῆν ἀνεκέχυτο, καὶ διὰ πάντων αὐτῆς ἐπεφοιτήκει τῶν μερῶν, οἷα σπογγιᾶς ἀναπεπωκυίας ἰκμάδα, ὡς εἶναι τέλμα τε ἅμα καὶ βαθὺν πηλὸν, ἀμφοτέρων τῶν στοιχείων ἀναδεδευμένων καὶ συμπεφυρμένων τρόπον φυράματος εἰς μίαν ἀδιάκριτον καὶ ἄμορφον φύσιν, προςτάττει ὁ θεὸς, τὸ μὲν ὕδωρ ὅσον ἁλμυρὸν καὶ ἀγονίας αἴτιον ἔμελλεν ἔσεσθαι σπαρτοῖς καὶ δένδρεσιν, ἐπισυναχθῆναι, συῤῥυὲν ἐκ τῶν τῆς ἁπάσης γῆς ἀραιωμάτων·* 8
τὴν δὲ "ξηρὰν ἀναφανῆναι," τῆς τοῦ γλυκέος νο- P.
τίδος ἐναπολειφθείσης εἰς διαμονήν. Κόλλα γάρ τις ἐστὶν ἡ μεμετρημένη γλυκεῖα νοτὶς τῶν διεστηκότων, καὶ ὑπὲρ τοῦ μὴ παντάπασιν ἀπαυανθεῖσαν αὐτὴν ἄγονον καὶ στεῖραν γενέσθαι, καὶ ὅπως οἷα μήτηρ, μὴ μόνον θάτερον εἶδος τροφῆς, βρῶσιν, ἀλλ' ἑκάτερον ὡς ἂν ἐγγόνοις βρῶσίν τε καὶ πόσιν παρέχῃ. Διὸ φλέβας μαστοῖς ἐοικυίας ἐπλήμμυρε, αἳ στομωθεῖσαι ποταμοὺς καὶ πηγὰς ἔμελλον ἀναχεῖν. Οὐδὲν δὲ ἧττον καὶ τὰς ἀφανεῖς ἐνίκμους διαφύσεις εἰς ἅπασαν τὴν ἀρόσιμον καὶ βαθύγειον ἀπέτεινε, πρὸς εὐφορίαν ἀφθονωτάτην καρπῶν. Ταῦτα διαταξάμενος, ὀνόματα αὐτοῖς ἐτίθει, τὴν μὲν ξηρὰν καλῶν "γῆν," τὸ δὲ ἀποκριθὲν ὕδωρ "θάλασσαν)."*

§. 12. *Εἶτα διακοσμεῖν ἄρχεται τὴν γῆν. Κελεύει γὰρ αὐτὴν χλοηφορεῖν, καὶ σταχυοφορεῖν, παντοίας βοτανίας ἀνιεῖσαν, καὶ πεδία εὔχορτα, καὶ πάνθ' ὅσα χιλὸς μὲν κτήνεσιν, ἀνθρώποις δὲ ἔμελλεν ἔσεσθαι τροφή. Προςέτι μέντοι καὶ τὰς δένδρων ἁπάσας ἰδέας ἀνέφυεν, οὐδὲν οὔτε τῶν τῆς ἀγρίας, οὔτε τῶν τῆς ἡμέρου λεγομένης ὕλης πα-*
9 *ρεὶς. Ἐπεβρίθει δὲ πάντα καρποῖς εὐθὺς ἅμα τῇ*
M. *πρώτῃ γενέσει, κατὰ τὸν ἐναντίον τρόπον ἢ τὸν*

*) Gen. 1, 10 sqq.

νυνὶ καθεστῶτα. Νυνὶ μὲν γὰρ ἐν μέρει γίνεται τ γινόμενα χρόνοις διαφέρουσιν, ἀλλ᾽ οὐκ ἀθρόα και ρῷ ἐνί. Τίς γὰρ οὐκ οἶδεν, ὅτι πρῶτον μέν ἐστι σπορὰ καὶ φυτεία, δεύτερον δὲ τῶν σπαρέντων κα φυτευθέντων αὔξησις, ἡ μὲν εἰς τὸ κάτω ῥίζα ἀποτείνουσα οἱονεὶ θεμελίους, ἡ δὲ εἰς τὸ ἄνω πρὸ ὕψος αἰρομένων καὶ στελεχουμένων; Ἔπειτα βλα στοὶ καὶ πετάλων ἐκφύσεις, εἶτ᾽ ἐπὶ πᾶσι καρποὶ φορά. Καὶ πάλιν καρπὸς οὐ τέλειος, ἀλλ᾽ ἔχων ἐ ἑαυτῷ παντοίας μεταβολὰς, κατά τε τὴν ἐν μεγέθει ποσότητα, καὶ τὰς ἐν πολυμόρφοις ἰδέαις ποιότητας. Ἀποτίκτεται μὲν γὰρ ὁ καρπὸς, ἐοικὼς ἀμερέσι ψήγμασιν, ὑπὸ βραχύτητος μόλις ὁρατοῖς, ἅπε οὐκ ἀπὸ σκοποῦ φαίη ἄν τις εἶναι πρῶτα αἰσθητά. Μετὰ δὲ ταῦτα ἔκ τοῦ κατ᾽ ὀλίγον, ἔκ τε τῆς ἐποχετευομένης τροφῆς, ἣ ἄρδει τὸ δένδρον, καὶ ἐκ τῆς εὐκρασίας τῶν πνευμάτων, ἃ ψυχραῖς ἅμα καὶ μαλακωτέραις αὔραις πνεῖ, κατὰ μικρὸν ζωπυρεῖται καὶ τιθηνεῖται καὶ συναύξεται, πρὸς ὄγκον ἐπιδιδοὺς τελειότατον· σὺν δὲ τῷ μεγέθει καὶ τὰς ποιότητας ἀλλάττει, καθάπερ ὑπὸ γραφικῆς ἐπιστήμης χρώμασι διαφόροις ποικιλλόμενος.

§. 13. Ἐν δὲ τῇ πρώτῃ γενέσει τῶν ὅλων, καθάπερ ἔφην, ὁ θεὸς ἅπασαν τὴν τῶν φυτῶν ὕλην ἐκ γῆς ἀνεδίδου τελείαν, καρποὺς ἔχουσαν οὐκ ἀτελεῖς ἀλλ᾽ ἀκμάζοντας, εἰς ἑτοιμοτάτην καὶ ἀνυπέρθετον χρῆσιν καὶ ἀπόλαυσιν ζώων τῶν αὐτίκα γενησομένων. Ὁ μὲν δὴ προςτάττει τῇ γῇ ταῦτα γεννῆσαι. Ἡ δὲ ὥςπερ ἐκ πολλοῦ κυοφοροῦσα καὶ ὠδίνουσα, τίκτει πάσας μὲν τὰς σπαρτῶν, πάσας δὲ τὰς δένδρων, ἔτι δὲ καρπῶν, ἀμυθήτους ἰδέας. Ἀλλ᾽ οὐ μόνον ἦσαν οἱ καρποὶ τροφαὶ ζώοις, ἀλλὰ καὶ παρασκευαὶ πρὸς τὴν τῶν ὁμοίων ἀεὶ γένεσιν, τὰς σπερματικὰς οὐσίας περιέχουσαι, ἐν αἷς ἄδηλοι μὲν καὶ ἀφανεῖς οἱ λόγοι τῶν ὅλων εἰσὶ, δῆλοι δὲ καὶ

φανεροὶ γινόμενοι καιρῶν περιόδοις. Ἐβουλήθη γὰρ ὁ θεὸς δολιχεύειν τὴν φύσιν, ἀθανατίζων τὰ γένη, καὶ μεταδιδοὺς αὐτοῖς ἀϊδιότητος. Οὗ χάριν καὶ ἀρχὴν πρὸς τὸ τέλος ἦγε καὶ ἐπέσπευδε, καὶ τέλος ἐπ' ἀρχὴν ἀνακάμπτειν ἐποίει. Ἔκ τε γὰρ φυτῶν ὁ καρπὸς, ὡς ἂν ἐξ ἀρχῆς τὸ τέλος, καὶ ἐκ καρποῦ τὸ σπέρμα, περιέχον ἐν ἑαυτῷ πάλιν τὸ φυτὸν, ὡς ἂν ἐκ τέλους ἀρχή.

§. 14. Τῇ δὲ τετάρτῃ ἡμέρᾳ*) μετὰ τὴν γῆν τὸν οὐρανὸν ἐποίκιλλε διακοσμῶν, οὐκ ἐπειδὴ τοῦτον ἐν ὑστέρῳ τῆς γῆς ἔταττε, τῇ μὲν ἐλάττονι φύσει προνομίαν διδοὺς, τὴν δὲ κρείττονα καὶ θειοτέραν δευτερείων ἀξιῶν, ἀλλ' εἰς ἔνδειξιν ἐναργεστάτην κράτους ἀρχῆς. Προλαβὼν γὰρ περὶ τῶν οὔπω
10 γεγονότων ἀνθρώπων οἷοι τὰς γνώμας ἔσονται, στο-
M. χασταὶ τῶν εἰκότων καὶ πιθανῶν, ἐν οἷς τὸ πολὺ τὸ εὔλογον, ἀλλ' οὐχὶ τῆς ἀκραιφνοῦς ἀληθείας, καὶ ὅτι πιστεύσουσι τοῖς φαινομένοις μᾶλλον ἢ θεῷ, σοφιστείαν πρὸ σοφίας θαυμάσαντες. Κατιδόντες τε αὖθις τὰς ἡλίου καὶ σελήνης περιόδους, δι' ὧν θέρη, χειμῶνες, ἔαρος καὶ μετοπώρου τροπαὶ, τῶν ἐκ γῆς ἀνὰ πᾶν ἔτος φυομένων καὶ γιγνομένων ἁπάντων αἰτίας ὑπολήψονται τὰς τῶν κατ' οὐρανὸν ἀστέρων περιπολήσεις. Ἵνα μηδενὶ γενητῷ τὰς πρώτας ἀνατιθέναι τινὲς τολμῶσιν αἰτίας, ἢ διὰ θράσος ἀναίσχυντον ἢ δι' ἀμαθίαν ὑπερβάλλουσαν· ἀναδραμέτωσαν, φησὶ, ταῖς διανοίαις ἐπὶ τὴν πρώτην τῶν ὅλων γένεσιν, ὅτε, πρὸ ἡλίου καὶ σελήνης, παντοῖα μὲν φυτὰ, παντοίους δὲ καρποὺς ἤνεγκεν ἡ γῆ. Καὶ θεασάμενοι ταῖς διανοίαις, ἐλπιζέτωσαν, ὅτι καὶ αὖθις οἴσει κατὰ πρόσταξιν τοῦ πατρὸς, ὅταν αὐτῷ δοκῇ, μηδὲν προσδεηθέντι τῶν κατ' οὐρανὸν ἐκγόνων, οἷς δυνάμεις μὲν ἔδωκεν, οὐ μὴν αὐτοκρατεῖς. Οἷα γὰρ ἡνίοχος ἡνιῶν ἢ κυβερνήτης οἰάκων ἐπει-

---

*) Gen. 1, 14.

λημμένος, ἄγει ᾗ ἂν ἐθέλῃ κατὰ νόμον καὶ δίκῃ ἕκαστα, μηδενὸς προςδεόμενος ἄλλου· πάντα γὰ θεῷ δυνατά.

§. 15. Ἠδ' ἐστὶν αἰτία, διὰ ἣν προτέρα μὲ ἐβλάστησε καὶ ἐχλοηφόρησεν ἡ γῆ. Ὁ δὲ οὐρανὸ διεκοσμεῖτο αὖθις ἐν ἀριθμῷ τελείῳ, τετράδι, ἣ δεκάδος τῆς παντελείας οὐκ ἂν διαμάρτοι τις εἶνα λέγων ἀφορμήν τε καὶ πηγήν. Ὃ γὰρ ἐντελεχεί δεκὰς, τοῦτο τετρὰς, ὡς ἔοικε, δυνάμει. Εἰ γοῦν ο ἀπὸ μονάδος ἄχρι τετράδος ἑξῆς συντεθεῖεν ἀριθμοὶ, δεκάδα γεννήσουσιν, ἥτις ὅρος τῆς ἀπειρία τῶν ἀριθμῶν ἐστι, περὶ ὃν ὡς καμπτῆρα εἱλοῦντα καὶ ἀνακάμπτουσι. Περιέχει δὲ ἡ τετρὰς καὶ τοὺ λόγους τῶν κατὰ μουσικὴν συμφωνιῶν, τῆς τε δι τεττάρων καὶ διὰ πέντε καὶ διὰ πασῶν, καὶ προςέτι δὶ διὰ πασῶν, ἐξ ὧν σύστημα τὸ τελειότατον ἀπογεννᾶται Τῆς μὲν γὰρ διὰ τεττάρων ὁ λόγος ἐπίτριτος. Τῆς δ διὰ πέντε, ἡμιόλιος. Διπλάσιος δὲ τῆς διὰ πασῶν. Τετραπλάσιος δὲ τῆς δὶς διὰ πασῶν. Οὓς ἅπαντα ἡ τετρὰς ἔχει περιλαβοῦσα. Τὸν μὲν γοῦν ἐπίτριτον ἐν τῷ τέσσαρα πρὸς τρία. Τὸν δὲ ἡμιόλιον ἐ
11 τῷ τρία πρὸς δύο. Τὸν δὲ διπλάσιον ἐν τῷ δύ
M. πρὸς ἓν, ἢ τέσσαρα πρὸς δύο. Τὸν δὲ τετραπλάσιον ἐν τῷ τέσσαρα πρὸς ἕν.

§. 16. Ἐστὶ δὲ καὶ δύναμις ἄλλη τετράδος λεχθῆναί τε καὶ νοηθῆναι θαυμασιωτάτη. Πρώτ γὰρ αὕτη τὴν τοῦ στερεοῦ φύσιν ἔδειξε, τῶν πρ αὐτῆς ἀριθμῶν τοῖς ἀσωμάτοις ἀνακειμένων. Κατ μὲν γὰρ τὸ ἓν τάττεται τὸ λεγόμενον ἐν γεωμετρί εἶναι σημεῖον. Κατὰ δὲ τὰ δύο, γραμμὴ, διότι φύσει, ἐκ σημείου συνίσταται. Ἡ γραμμὴ δέ ἐστι μῆκος ἀπλατές. Πλάτους δὲ προςγενομένου, γίνετα ἐπιφάνεια, ἣ τέτακται κατὰ τριάδα. Ἐπιφάνεια δ πρὸς τὴν τοῦ στερεοῦ φύσιν, ἑνὸς δεῖται τοῦ βάθους, ὃ προςτεθὲν τῇ τριάδι, γίνεται τετράς. Ὅθε καὶ μέγα χρῆμα συμβέβηκεν εἶναι τὸν ἀριθμὸν τοῦ-

τον, ὃς ἐκ τῆς ἀσωμάτου καὶ νοητῆς οὐσίας ἤγαγεν ἡμᾶς εἰς ἔννοιαν τριχῇ διαστάτου σώματος, τῇ φύσει πρῶτον αἰσθητοῦ. Ὁ δὲ μὴ συνιεὶς τὸ λεγόμενον, ἔκ τινος παιδιᾶς εἴσεται πάνυ συνήθους. Οἱ καρυατίζοντες εἰώθασι τρία ἐν ἐπιπέδῳ προτιθέντες κάρυα, ἐπιφέρειν ἕν, σχῆμα πυραμοειδὲς ἀπογεννῶντες. Τὸ μὲν οὖν ἐν ἐπιπέδῳ τρίγωνον ἵσταται μέχρι τριάδος, τὸ δὲ ἐπιτεθὲν τετράδα μὲν ἐν ἀριθμοῖς, ἐν δὲ σχήμασι πυραμίδα γεννᾷ, στέρεον ἤδη σῶμα. Πρὸς δὲ τούτοις οὐδ' ἐκεῖνο ἀγνοητέον, ὅτι πρῶτος ἀριθμῶν ὁ τέτταρα τετράγωνός ἐστιν ἰσάκις ἴσος, μέτρον δικαιοσύνης καὶ ἰσότητος. Καὶ ὅτι μόνος ἐκ τῶν αὐτῶν καὶ συνθέσει καὶ δυνάμει πέφυκε γεννᾶσθαι. Συνθέσει μὲν, ἐκ δυοῖν καὶ δυοῖν· δυνάμει δὲ πάλιν, ἐκ τοῦ δὶς δύο, πάγκαλόν τι συμφωνίας εἶδος ἐπιδεικνύμενος, ὃ μηδενὶ τῶν ἄλλων ἀριθμῶν συμβέβηκεν. Αὐτίκα γοῦν ὁ ἕξ, συντεθειμένος ἐκ δυοῖν τριάδων, οὐκ ἔτι γεννᾶται πολυπλασιασθεισῶν, ἀλλ' ὁ ἕτερος, ὁ ἐννέα. Πολλαῖς δὲ καὶ ἄλλαις κέχρηται δυνάμεσιν ἡ τετρὰς, ἃς ἀκριβέστερον καὶ ἐν τῷ περὶ αὐτῆς ἰδίῳ λόγῳ προςυποδεικτέον. Ἀπόχρη δὲ καὶ ἐκεῖνο προςθεῖναι, ὅτι τῇ τοῦ παντὸς οὐρανοῦ 11
τε καὶ κόσμου γενέσει γέγονεν ἀρχή. Τὰ γὰρ τέσ- P.
σαρα στοιχεῖα, ἐξ ὧν τόδε τὸ πᾶν ἐδημιουργήθη, καθάπερ ἀπὸ πηγῆς ἐῤῥύη, τῆς ἐν ἀριθμοῖς τετράδος. καὶ πρὸς τούτοις αἱ ἐτήσιοι ὧραι τέσσαρες, αἱ ζώων καὶ φυτῶν αἴτιαι γενέσεως, τετραχῇ τοῦ ἐνιαυτοῦ διανεμηθέντος εἰς χειμῶνα καὶ ἔαρ καὶ θέρος καὶ μετόπωρον.

§. 17. Τοσαύτης οὖν ἀξιωθέντος ἐν τῇ φύσει προνομίας τοῦ λεχθέντος ἀριθμοῦ, κατ' ἀναγκαῖον ὁ ποιητὴς διεκόσμει τὸν οὐρανὸν ἐν τετράδι, παγκάλῳ καὶ θεοειδεστάτῳ κόσμῳ, τοῖς φωςφόροις ἄστροις.
12 Εἰδώς τε ὅτι τῶν ὄντων ἄριστον τὸ φῶς ἐστιν, ὄρ-
M. γανον αὐτὸ τῆς ἀρίστης τῶν αἰσθήσεων ὁράσεως ἀπέφηνεν. Ὅπερ γὰρ νοῦς ἐν ψυχῇ, τοῦτο ὀφθαλ-

μὸς ἐν σώματι. Βλέπει γὰρ ἑκάτερος, ὁ μὲν τὰ ὄντα νοητὰ, ὁ δὲ αὖ τὰ αἰσθητά. Χρεῖος δὲ [ὁ] μὲν νοῦς ἐπιστήμης εἰς τὸ γνωρίσαι τὰ ἀσώματ[α], ὀφθαλμοὶ δὲ φωτὸς εἰς τὴν τῶν σωμάτων ἀντίληψιν, ὃ πολλῶν μὲν καὶ ἄλλων ἀγαθῶν αἴτιον γέγονεν ἀνθρώποις, διαφερόντως δὲ τοῦ μεγίστου, φιλοσοφίας. Ὑπὸ γὰρ φωτὸς ἄνω παραπεμφθεῖσα [ἡ] ὅρασις, καὶ κατιδοῦσα φύσιν ἀστέρων, καὶ κίνησι[ν] αὐτῶν ἐναρμόνιον, ἀπλανῶν τε καὶ πλανήτων ε[ἰς] διατεταγμένας περιφορὰς, τῶν μὲν κατὰ ταῦτα κα[ὶ] ὡσαύτως περιπολούντων, τῶν δὲ ἀνομοίως τε κα[ὶ] ὑπεναντίως διτταῖς περιόδοις χρωμένων, χορείας τ[ε] πάντων ἐμμελεῖς, νόμοις τῆς μουσικῆς τελείας διακεκοσμημένας, ἄλεκτον ἐμπαρέχει τῇ ψυχῇ τέρψιν τε καὶ ἡδονήν. Ἡ δὲ ἑστιωμένη θεαμάτων ἐπαλλήλων, ἐξ ἑτέρων γὰρ ἦν ἕτερα, πολλὴν ἀπληστίαν εἶχε τοῦ θεωρεῖν. Εἶτα, οἷα φιλεῖ, προςπεριειργάζετο, τίς ἡ τῶν ὁρατῶν δὴ τούτων οὐσία, καὶ εἰ ἀγένητοι πεφύκασιν, ἢ γενέσεως ἔλαβον ἀρχὴν, καὶ τίς ὁ τρόπος τῆς κινήσεως, καὶ τίνες αἱ αἰτίαι διὰ ὧν ἕκαστα οἰκονομεῖται. Ἐκ δὲ τῆς τούτων ζητήσεως τὸ φιλοσοφίας συνέστη γένος, οὗ τελειότερον ἀγαθὸν οὐκ ἦλθεν εἰς τὸν ἀνθρώπινον βίον.

§. 18. Πρὸς δὲ τὴν τοῦ νοητοῦ φωτὸς ἰδέαν ἐκείνην ἀπιδὼν, ἣ λέλεκται κατὰ τὸν ἀσώματον κόσμον, ἐδημιούργει τοὺς αἰσθητοὺς ἀστέρας, ἀγάλματα θεῖα καὶ περικαλλέστατα, οὓς ὥςπερ ἐν ἱερῷ τῷ καθαρωτάτῳ τῆς σωματικῆς οὐσίας ἵδρυε, τῷ οὐρανῷ, πολλῶν χάριν. Ἑνὸς μὲν, τοῦ φωςφορεῖν· ἑτέρου δὲ, σημείων· εἶτα, καιρῶν τῶν περὶ τὰς ἐτησίους ὥρας· καὶ ἐπὶ πᾶσιν, ἡμερῶν, νυκτῶν, μηνῶν, ἐνιαυτῶν, ἃ δὴ καὶ μέτρα γέγονε χρόνου, καὶ τὴν ἀριθμοῦ φύσιν ἐγέννησεν. Οἵαν δὲ ἕκαστον τῶν εἰρημένων χρείαν τε καὶ ὠφέλειαν παρέχεται, δῆλον μὲν ἐκ τῆς ἐνεργείας. Πρὸς δὲ ἀκριβε- 12
στέραν κατάληψιν, οὐκ ἄτοπον ἴσως καὶ λόγῳ τὸ P.

ἀληθὲς ἰχνηλατῆσαι. Τοῦ δὴ σύμπαντος χρόνου διανεμηθέντος εἰς δύο τμήματα, ἡμέραν τε καὶ νύκτα, τῆς μὲν ἡμέρας τὸ κράτος ὁ πατὴρ ἀνεδίδου τῷ ἡλίῳ, οἷα μεγάλῳ βασιλεῖ· τῆς δὲ νυκτὸς τῇ σελήνῃ καὶ τῷ πλήθει τῶν ἄλλων ἀστέρων. Τὸ δὲ μέγεθος τῆς περὶ τὸν ἥλιον δυνάμεώς τε καὶ ἀρχῆς, ἐμφανεστάτην πίστιν ἔχει τὴν λεχθεῖσαν ἤδη. Εἷς γὰρ ὢν καὶ μόνος, ἰδίᾳ καὶ καθ᾽ αὑτὸν ἥμισυ τμῆ-
13 *μα τοῦ σύμπαντος χρόνου κεκλήρωται, τὴν ἡμέραν,*
M. *οἱ δὲ ἄλλοι πάντες μετὰ σελήνης θάτερον, ὃ κέκληται νύξ. Καὶ τοῦ μὲν ἀνατείλαντος, αἱ φαντασίαι τῶν τοσούτων ἀστέρων οὐκ ἀμαυροῦνται μόνον, ἀλλὰ καὶ ἀφανίζονται τῇ τοῦ φέγγους ἀναχύσει· καταδύντος δὲ, τὰς ἰδίας ἐπιφανείας ἄρχονται διαφαίνειν ἀθρόοι καὶ τὰς ποιότητας.*

§. 19. *Γεγόνασι δὲ, ὅπερ αὐτὸς εἶπεν, οὐ μόνον ἵνα φῶς ἐκπέμπωσιν ἐπὶ τὴν γῆν, ἀλλὰ καὶ ὅπως σημεῖα μελλόντων προφαίνωσιν. Ἢ γὰρ ἀνατολαῖς αὐτῶν, ἢ δύσεσιν, ἢ ἐκλείψεσιν, ἢ πάλιν ἐπιτολαῖς καὶ ἐπικρύψεσιν, ἢ ταῖς ἄλλαις περὶ τὰς κινήσεις διαφοραῖς ἄνθρωποι τὰ ἀποβησόμενα στοχάζονται, καρπῶν φορὰς καὶ ἀφορίας, ζώων γενέσεις καὶ φθορὰς, αἰθρίας καὶ νεφώσεις, νηνεμίας καὶ βίας πνευμάτων, ποταμῶν πλημμύρας καὶ κενώσεις, θαλάττης ἠρεμίαν καὶ κλύδωνα, ὡρῶν τῶν ἐτησίων ὑπαλλαγὰς, ἢ θέρους χειμάζοντος, ἢ χειμῶνος φλέγοντος, ἢ ἔαρος μετοπωρίζοντος, ἢ μετοπώρου ἐαρίζοντος. Ἤδη δὲ καὶ κλόνον καὶ σεισμὸν γῆς ἐκ τῶν κατ᾽ οὐρανὸν κινήσεων στοχασμῷ προεσήμηνάν τινες, καὶ μυρία ἄλλα τῶν ἀληθεστέρων· ὡς ἀψευδέστατα λελέχθαι, ὅτι "εἰς σημεῖα γεγόνασιν οἱ ἀστέρες, προσέτι μέντοι καὶ εἰς καιρούς." Καιροὺς δὲ τὰς ἐτησίους ὥρας ὑπείληφεν εἶναι. Καὶ μήποτε εἰκότως; Ἔννοια γὰρ καιροῦ τίς ἂν εἴη, πλὴν χρόνος κατορθώσεως; Αἱ δὲ ὧραι πάντα τελεσφοροῦσι καὶ κατορθοῦσι, σποράς, καὶ φυτείας καρπῶν, καὶ ζώων γενέσεις τε καὶ αὐ-*

ξήσεις. Γεγόνασι δὲ καὶ πρὸς μέτρα χρόνων· ἡλίου γὰρ καὶ σελήνης καὶ τῶν ἄλλων τεταγμέναις περιόδοις, ἡμέραι, καὶ μῆνες, καὶ ἐνιαυτοὶ συνέστησαν. Εὐθύς τε, τὸ χρησιμώτατον, ἡ ἀριθμοῦ φύσις ἐδείχθη, χρόνου παραφήναντος αὐτήν. Ἐκ γὰρ μιᾶς ἡμέρας, τὸ ἕν, καὶ ἐκ δυοῖν, τὰ δύο, καὶ ἐκ τριῶν, τὰ τρία, καὶ ἐκ μηνὸς, τὰ τριάκοντα, καὶ ἐξ ἐνιαυτοῦ, τὸ ἰσάριθμον ταῖς ἐκ δώδεκα μηνῶν ἡμέραις πλῆθος, καὶ ἐξ ἀπείρου χρόνου, ὁ ἄπειρος ἀριθμός. Εἰς το- 13
σαύτας καὶ οὕτως ἀναγκαίας διατείνουσιν ὠφελείας P
αἱ τῶν κατ᾽ οὐρανὸν φύσεις τε καὶ κινήσεις ἀστέρων. Εἰς πόσα δὲ ἄλλα φαίην ἂν ἔγωγε τῶν ἡμῖν μὲν ἀδηλουμένων! Οὐ γὰρ πάντα τῷ θνητῷ γένει γνώριμα, πρὸς δὲ τὴν τοῦ ὅλου συνεργούντων διαμονὴν, ἃ θεσμοῖς καὶ νόμοις, οὓς ὥρισεν ὁ θεὸς ἀκινήτους ἐν τῷ παντὶ, συμβαίνει πάντη τε καὶ πάντως ἐπιτελεῖσθαι.

§. 20. Γῆς δὲ καὶ οὐρανοῦ διακοσμηθέντων τοῖς προσήκουσι κόσμοις, τῆς μὲν τριάδι, τοῦ δὲ, ὡς ἐλέχθη, τετράδι, τὰ θνητὰ γένη ζωοπλαστεῖν ἐνεχείρει, τὴν ἀρχὴν ἀπὸ τῶν ἐνύδρων ποιούμε-
14 νος ἡμέρᾳ πέμπτῃ, νομίσας οὐδὲν οὕτως ἕτερον
M. ἑτέρῳ συγγενὲς, ὡς ζώοις πεντάδα. Διαφέρει γὰρ ἔμψυχα ἀψύχων οὐδενὶ μᾶλλον ἢ αἰσθήσει· πενταχῆ δὲ τμητὸν αἴσθησις, εἰς ὅρασιν, ἀκοὴν, γεῦσιν, ὄσφρησιν, καὶ ἁφήν. Ἑκάστῃ μέντοι προσένειμεν ὁ ποιῶν καὶ ἐξαιρέτους ὕλας, καὶ κριτήριον ἴδιον, ᾧ δικάσει τὰ ὑποπίπτοντα. Χρώματα μὲν ἡ ὅρασις, φωνὰς δὲ ἀκοὴ, χυλοὺς δὲ γεῦσις, ἀτμοὺς δὲ ὄσφρησις, μαλακότητας δὲ καὶ σκληρότητας, καὶ ὅσα θερμὰ ἢ ψυχρὰ, λειότητάς τε καὶ τραχύτητας ἁφή. Παντοῖα οὖν ἰχθύων γένη καὶ κητῶν κελεύει συνίστασθαι κατὰ τόπους, διαφέροντα καὶ τοῖς μεγέθεσι, καὶ ταῖς ποιότησιν. Ἄλλα γὰρ ἐν ἄλλοις πελάγεσιν, ἔστι δὲ ὅτε καὶ ταὐτά. Πλὴν οὐ πανταχοῦ πάντα διεπλάττετο, καὶ μήποτε εἰκότως; Χαίρει γὰρ τὰ

μὲν τεναγώδει καὶ οὐ πάνυ βαθείᾳ θαλάττῃ, τὰ δὲ ὑποδρόμοις καὶ λιμέσι, μήτ᾽ ἐπὶ γῆν ἀνέρπειν, μήτε πόῤῥω γῆς ἐπινήχεσθαι δυνάμενα, τὰ δὲ κατὰ μέσον καὶ βαθὺ πέλαγος διαιτώμενα, τὰς προκεχυμένας ἄκρας ἢ νήσους ἢ πέτρας ἐκτρέπεται. Καὶ τὰ μὲν εὐδίᾳ καὶ γαλήνῃ σφριγᾷ, τὰ δὲ κλύδωνι καὶ κυματώσει. Ταῖς γὰρ συνεχέσι πληγαῖς γυμναζόμενα, καὶ βίᾳ τὴν φορὰν ἀντωθοῦντα κρατερώτερά τέ ἐστι, καὶ πιαίνεται μᾶλλον. Εὐθὺς δὲ καὶ τὰ γένη τῶν πτηνῶν ἐδημιούργει, ὡς ἀδελφὰ τῶν καθ᾽ ὕδατος, — ἑκάτερα γὰρ νηκτά, — μηδεμίαν ἰδέαν τῶν ἀεροπόρων ὡς ἀτελῆ καταλιπών.

§. 21. Ἤδη δὲ ὕδατος καὶ ἀέρος τὰ προσήκοντα τῶν ζώων γένη καθάπερ τινὰ κλῆρον οἰκεῖον ἀπειληφότων, πάλιν ἐκάλει τὴν γῆν εἰς τὴν τοῦ ὑπολειφθέντος μέρους γένεσιν. Ὑπελέλειπτο δὲ μετὰ τὰ φυτὰ ζώων τὰ χερσαῖα. Καὶ φησὶν "Ἐξαγαγέτω ἡ γῆ κτήνη καὶ θηρία καὶ ἑρπετὰ καθ᾽ ἕκαστον γένος." Ἡ δὲ τὰ προσταχθέντα ποιεῖ, καὶ εὐθὺς ἀνίησι τῇ τε κατασκευῇ διαφέροντα, καὶ ταῖς ῥώμαις, καὶ ταῖς ἐνυπαρχούσαις βλαπτικαῖς ἢ ὠφελητικαῖς δυνάμεσιν. Ἐπὶ δὲ πᾶσιν ἐποίει τὸν ἄνθρωπον. Ὃν δὲ τρόπον, μικρὸν ὕστερον ἐρῶ, πρότερον ἐκεῖνο δηλώσας, ὅτι παγκάλῳ τῷ τῆς ἀκολου- 14
θίας εἱρμῷ κέχρηται, καθ᾽ ἣν ὑφηγήσατο ζωογονίαν. P.
Ψυχὴ γὰρ ἡ μὲν ἀργοτάτη καὶ ἥκιστα τετυπωμένη τῷ γένει τῶν ἰχθύων προσκεκλήρωται, ἡ δὲ ἀκριβεστάτη καὶ κατὰ πάντα ἀρίστη τῷ τῶν ἀνθρώπων, ἡ δὲ ἀμφοῖν μεθόριος τῷ τῶν χερσαίων καὶ ἀεροπόρων. Αὕτη γὰρ αἰσθητικωτέρα μέν ἐστι τῆς ἐν
15 ἰχθύσιν, ἀμυδροτέρα δὲ τῆς ἐν ἀνθρώποις. Διὸ τῶν
M. ἐμψύχων πρῶτον ἐγέννησεν ἰχθῦς, πλέον μετέχοντας σωματικῆς ἢ ψυχικῆς οὐσίας, τρόπον τινὰ ζῶα, καὶ οὐ ζῶα, κινητὰ ἄψυχα, πρὸς αὐτὸ μόνον τὴν τῶν σωμάτων διαμονὴν παρασπαρέντος αὐτοῖς τοῦ ψυχοειδοῦς, καθάπερ φασὶ τοὺς ἅλας τοῖς κρέασιν, ἵνα

μὴ ῥαδίως διαφθείροιντο. Μετὰ δὲ τοὺς ἰχθῦς τὰ πτηνὰ καὶ χερσαῖα. Ἤδη γὰρ ταῦτά γε αἰσθητικώτερα, καὶ διὰ τῆς κατασκευῆς ἐμφαίνοντα τρανοτέρας τὰς τῆς ψυχώσεως ἰδιότητας. Ἐπὶ δὲ πᾶσιν, ὡς ἐλέχθη, τὸν ἄνθρωπον, ᾧ νοῦν ἐξαίρετον ἐδωρεῖτο, ψυχῆς τινα ψυχὴν, καθάπερ κόρην ἐν ὀφθαλμῷ. Καὶ γὰρ ταύτην οἱ τὰς φύσεις τῶν πραγμάτων ἀκριβέστερον ἐρευνῶντες ὀφθαλμοῦ λέγουσιν ὀφθαλμὸν εἶναι.

§. 22. Τότε μὲν οὖν ἅμα πάντα συνίστατο. Συνισταμένων δὲ ὁμοῦ πάντων, ἡ τάξις ἀναγκαίῳ λόγῳ ὑπεγράφετο, διὰ τὴν ἐσομένην αὖθις ἐξ ἀλλήλων γένεσιν. Ἐν δὲ τοῖς κατὰ μέρος γινομένοις τάξις ἥδε γε ἐστὶν, ἄρχεσθαι μὲν ἀπὸ τοῦ φαυλοτάτου τὴν φύσιν, λήγειν δὲ εἰς τὸ πάντων ἄριστον. Τί δὲ τοῦτ᾽ ἐστὶ, δηλωτέον. Τὸ σπέρμα τῶν ζώων γενέσεως ἀρχὴν εἶναι συμβέβηκε. Τοῦτο ὡς ἔστι φαυλότατον, ἐοικὸς ἀφρῷ, θεωρεῖται· ἀλλ᾽ ὅταν εἰς τὴν μήτραν καταβληθὲν ἐνστηρίσῃ, κίνησιν εὐθὺς λαβὸν εἰς φύσιν τρέπεται. Φύσις δὲ βελτίων σπέρματος, ἐπεὶ καὶ κίνησις ἠρεμίας ἐν γενητοῖς. Ἡ δὲ οἷα τεχνίτης, ἢ κυριώτερον εἰπεῖν, ἀνεπίληπτος τέχνη, ζωοπλαστεῖ τὴν μὲν ὑγρὰν οὐσίαν εἰς τὰ τοῦ σώματος μέλη καὶ μέρη διανέμουσα, τὴν δὲ πνευματικὴν εἰς τὰς τῆς ψυχῆς δυνάμεις, τήν τε θρεπτικὴν καὶ τὴν αἰσθητικήν. Τὴν γὰρ τοῦ λογισμοῦ τανῦν ὑπερθετέον, διὰ τοὺς φάσκοντας θύραθεν αὐτὸν ἐπεισιέναι, θεῖον καὶ ἀΐδιον ὄντα. Οὐκοῦν ἤρξατο μὲν ἀπὸ σπέρματος εὐτελοῦ ἡ φύσις, ἔληξε δὲ εἰς τὸ τιμιώτατον, τὴν τοῦ ζώου καὶ ἀνθρώπου κατασκευήν. Ταὐτὸ δὲ τοῦτο κα ἐπὶ τῆς τοῦ παντὸς γενέσεως συμβέβηκεν. Ἡνίκα γὰρ ζῶα διαπλάττειν ἔδοξε τῷ δημιουργῷ, τὰ μὲ πρῶτα τῇ τάξει φαυλότερά πως ἦν, ἰχθύες, τὰ ὕστατα ἄριστα, ἄνθρωποι. Τὰ δὲ ἄλλα μέσα τά

ἄκρων, ἀμείνω μὲν τῶν προτέρων, χείρω δὲ τῶν ὑστέρων, χερσαῖα καὶ πτηνά.

§. 23. Μετὰ δὴ τὰ ἄλλα πάντα, καθάπερ ἐλέχθη, τὸν ἄνθρωπόν φησι "κατ' εἰκόνα γενέσθαι θεοῦ καὶ καθ' ὁμοίωσιν." Πάνυ καλῶς, ἐμφερέστερον γὰρ οὐδὲν γηγενὲς ἀνθρώπου θεῷ. Τὴν δὲ ἐμ- P.
φέρειαν μηδεὶς εἰκαζέτω σώματος χαρακτῆρσιν. Οὔτε γὰρ ἀνθρωπόμορφος ὁ θεὸς, οὔτε θεοειδὲς τὸ ἀν-
16 θρώπινον σῶμα· ἡ δὲ εἰκὼν λέλεκται κατὰ τὸν τῆς
M. ψυχῆς ἡγεμόνα νοῦν. Πρὸς γὰρ ἕνα τὸν τῶν ὅλων ἐκεῖνον, ὡς ἂν ἀρχέτυπον, ὁ ἐν ἑκάστῳ τῶν κατὰ μέρος ἀπεικονίσθη, τρόπον τινὰ θεὸς ὢν τοῦ φέροντος καὶ ἀγαλματοφοροῦντος αὐτόν. Ὃν γὰρ ἔχει λόγον ὁ μέγας ἡγεμὼν ἐν ἅπαντι τῷ κόσμῳ, τοῦτον, ὡς ἔοικε, καὶ ὁ ἀνθρώπινος νοῦς ἐν ἀνθρώπῳ· ἀόρατός τε γάρ ἐστιν, αὐτὸς πάντα ὁρῶν, καὶ ἄδηλον ἔχει τὴν οὐσίαν, τὰς τῶν ἄλλων καταλαμβάνων. Καὶ τέχναις καὶ ἐπιστήμαις πολυσχιδεῖς τε ἀνατέμνων ὁδοὺς, καὶ λεωφόρους ἁπάσας, διὰ γῆς ἔρχεται καὶ θαλάττης, τὰ ἐν ἑκατέρᾳ φύσει διερευνώμενος. Καὶ πάλιν πτηνὸς ἀρθεὶς, καὶ τὸν ἀέρα καὶ τὰ τούτου παθήματα κατασκεψάμενος, ἀνωτέρω φέρεται πρὸς αἰθέρα καὶ τὰς οὐρανίους περιόδους. Πλανήτων τε καὶ ἀπλανῶν χορείαις συμπεριποληθεὶς κατὰ τοὺς τῆς μουσικῆς τελείους νόμους, ἑπόμενος ἔρωτι σοφίας ποδηγετοῦντι, πᾶσαν τὴν αἰσθητὴν οὐσίαν ὑπερκύψας, ἐνταῦθα ἐφίεται τῆς νοητῆς. καὶ ὧν εἶδεν ἐνταῦθα αἰσθητῶν, ἐν ἐκείνῃ τὰ παραδείγματα καὶ τὰς ἰδέας θεασάμενος, ὑπερβάλλοντα κάλλη, μέθῃ νηφαλίῳ κατασχεθεὶς, ὥσπερ οἱ κορυβαντιῶντες, ἐνθουσιᾷ, ἑτέρου γεμισθεὶς ἱμέρου καὶ πόθου βελτίονος, ὑφ' οὗ πρὸς τὴν ἄκραν ἁψῖδα παραπεμφθεὶς τῶν νοητῶν ἐπ' αὐτὸν ἰέναι δοκεῖ τὸν μέγαν βασιλέα. Γλιχομένου δὲ ἰδεῖν, θείου φωτὸς ἄκρατοι καὶ ἀμιγεῖς αὐγαὶ χειμάρρου τρόπον ἐκχέονται, ὡς ταῖς μαρμαρυγαῖς τὸ τῆς διανοίας ὄμμα

σκοτοδινιῶν. Ἐπεὶ δὲ οὐ σύμπασα εἰκὼν ἀρχετύπ
παραδείγματι ἐμφερής, πολλαὶ δὲ εἰσὶν ἀνόμοιο
προςεπεσημήνατο εἰπὼν τῷ "κατ' εἰκόνα," τὸ "καθ
ὁμοίωσιν," εἰς ἔμφασιν ἀκριβοῦς ἐκμαγείου τρανὸ
τύπον ἔχοντος.

§. 24. Ἀπορήσειε δὲ ἄν τις οὐκ ἀπὸ σκοποῦ, τ
δήποτε τὴν ἀνθρώπου μόνου γένεσιν οὐχ ἑνὶ δημιουργ
καθάπερ τὰ ἄλλα ἀνέθηκεν, ἀλλὰ ὡςανεὶ πλείοσιν. Εἰς
άγει γὰρ τὸν πατέρα τῶν ὅλων ταυτὶ λέγοντα, "Ποιή
σωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίω
σιν." Μὴ γὰρ χρεῖός ἐστιν, εἴποιμ' ἄν, οὑτινοςοῦν, ῳ
πάντα ὑπήκοα; Ἢ τὸν μὲν οὐρανὸν ἡνίκα ἐποίει κα
τὴν γῆν καὶ τὴν θάλασσαν οὐδενὸς ἐδεήθη τοῦ συν-
εργήσοντος, ἄνθρωπον δὲ βραχὺ ζῶον οὕτω καὶ ἐπί-
κηρον οὐχ οἷός τε ἦν δίχα συμπράξεως ἑτέρων αὐτὸ
ἀφ' ἑαυτοῦ κατασκευάσασθαι; Τὴν μὲν οὖν ἀληθεστά-
την αἰτίαν θεὸν ἀνάγκη μόνον εἰδέναι, τὴν δὲ εἰ-
κότι στοχασμῷ πιθανὴν καὶ εὔλογον εἶναι δοκοῦσαν,
17 οὐκ ἀποκρυπτέον. Ἔστι δὲ ἥδε. Τῶν ὄντων τὸ
M. μὲν οὔτε ἀρετῆς οὔτε κακίας μετέχει, ὥςπερ φυτὰ
καὶ ζῶα ἄλογα, τὰ μὲν ὅτι ἄψυχά τέ ἐστι κα
ἀφαντάστῳ φύσει διοικεῖται, τὰ δὲ ὅτι καὶ νοῦ
καὶ λόγον ἐκτέτμηται. Κακίας δὲ καὶ ἀρετῆς ὡς ἂ
οἶκος νοῦς καὶ λόγος, οἷς αὗται πεφύκασιν ἐνδιαι-
τᾶσθαι. Τὰ δὲ αὖ μόνης κεκοινώνηκεν ἀρετῆς
ἀμέτοχα πάσης ὄντα κακίας, ὥςπερ οἱ ἀστέρες
Οὗτοι γὰρ ζῶά τε εἶναι λέγονται, καὶ ζῶα νοερά
μᾶλλον δὲ νοῦς αὐτῶν ὁ ἕκαστος, ὅλος δι' ὅλων σπου-
δαῖος, καὶ παντὸς ἀνεπίδεκτος κακοῦ. Τὰ δὲ τῆ
μικτῆς ἐστι φύσεως, ὥςπερ ἄνθρωπος, ὃς ἐπιδέχε-
ται τὰ ἐναντία, φρόνησιν καὶ ἀφροσύνην, σωφρο-
σύνην καὶ ἀκολασίαν, ἀνδρείαν καὶ δειλίαν, δικαιο-
σύνην καὶ ἀδικίαν, καὶ συνελόντι φάναι, ἀγαθὰ κα
κακὰ, καλὰ καὶ αἰσχρὰ, ἀρετὴν καὶ κακίαν. Τῷ
δὴ πάντων πατρὶ θεῷ τὰ μὲν σπουδαῖα δι' αὐτοῦ
μόνου ποιεῖν οἰκειότατον ἦν ...κα τῆς πρὸς αὐτὸ

συγγενείας. Τὰ δὲ ἀδιάφορα οὐκ ἀλλότριον, ἐπειδὴ καὶ ταῦτα τῆς ἐχθρᾶς αὐτῷ κακίας ἀμοιρεῖ. Τὰ δὲ μικτὰ πῆ μὲν οἰκεῖον πῆ δὲ ἀνοίκειον. οἰκεῖον μὲν, ἕνεκα τῆς ἀνακεκραμένης βελτίονος ἰδέας, ἀνοίκειον δὲ, ἕνεκα τῆς ἐναντίας καὶ χείρονος. Διὰ τοῦτο ἐπὶ μόνης τῆς ἀνθρώπου γενέσεώς φησιν, ὅτι εἶπεν ὁ θεὸς "Ποιήσωμεν ἄνθρωπον," ὅπερ ἐμφάνει συμπαράληψιν ἑτέρων ὡς ἂν συνεργῶν, ἵνα ταῖς μὲν ἀνεπιλήπτοις βουλαῖς τε καὶ πράξεσιν ἀνθρώπου κατορθοῦντος ἐπιγράφηται ὁ θεὸς ὁ πάντων ἡγεμὼν, ταῖς δὲ ἐναντίαις ἕτεροι τῶν ὑπηκόων. Ἔδει γὰρ ἀναίτιον εἶναι κακοῦ τὸν πατέρα τοῖς ἐκγόνοις. Κακὸν δὲ ἡ κακία καὶ ἡ κατὰ κακίαν ἐνέργεια. Πάνυ δὲ καλῶς τὸ γένος ἄνθρωπον εἰπὼν διέκρινε τὰ εἴδη, φήσας "ἄῤῥεν τε καὶ θῆλυ δεδημιουργῆσθαι," μήπω τῶν ἐν μέρει μορφὴν λαβόντων, ἐπειδὴ τὰ ἔσχατα τῶν εἰδῶν ἐνυπάρχει τῷ γένει, καὶ ὥςπερ ἐν κατόπτρῳ διαφαίνεται τοῖς ὀξὺ καθορᾶν δυναμένοις.

18 §. 25. Ἐπιζητήσειε δὲ ἄν τις τὴν αἰτίαν, δι'
M. ἣν ὕστατον ἔργον ἐστὶν ἄνθρωπος τῆς τοῦ κόσμου
γενέσεως. Ἐφ' ἅπασι γὰρ τοῖς ἄλλοις αὐτὸν ὁ ποιητὴς καὶ πατὴρ, ὡς ἱεραὶ γραφαὶ μηνύουσιν, εἰργάσατο. Λέγουσιν οὖν οἱ τοῖς νόμοις ἐμβαθύνοντες ἐπιπλέον, καὶ τὰ κατ' αὐτοὺς, ὡς ἔνι μάλιστα, μετὰ πάσης ἐξετάσεως ἀκριβοῦντες, ὅτι τῆς αὐτοῦ συγγενείας μεταδοὺς ὁ θεὸς ἀνθρώπῳ τῆς λογικῆς, ἥτις
ἀρίστη δωρεῶν ἦν, οὐδὲ τῶν ἄλλων ἐφθόνησεν· ἀλλ' 17
ὡς οἰκειοτάτῳ καὶ φιλτάτῳ ζώῳ τὰ ἐν κόσμῳ πάντα P.
προητοιμάσατο, βουληθεὶς γενόμενον αὐτὸν μηδενὸς ἀπορῆσαι τῶν πρός τε τὸ ζῆν, καὶ τὸ εὖ ζῆν. Ὧν τὸ μὲν παρασκευάζουσιν αἱ χορηγίαι καὶ ἀφθονίαι τῶν πρὸς ἀπόλαυσιν, τὸ δὲ ἡ θεωρία τῶν κατ' οὐρανόν. ἀφ' ἧς πληχθεὶς ὁ νοῦς ἔρωτα καὶ πόθον ἔσχε τῆς τούτων ἐπιστήμης, ὅθεν τὸ φιλοσοφίας ἀνεβλάστησε γένος, ὑφ' οὗ καίτοι θνητὸς ὢν ὁ ἄν-

θρωπος ἀπαθανατίζεται. Καθάπερ οὖν οἱ ἑστιάτορες οὐ πρότερον ἐπὶ δεῖπνον καλοῦσιν, ἢ τὰ πρὸς εὐωχίαν πάντα εὐτρεπίσαι, καὶ οἱ τοὺς γυμνικοὺς καὶ σκηνικοὺς ἀγῶνας τιθέντες, πρὶν συναγαγεῖν τοὺς θεατὰς, εἴς τε τὰ θέατρα καὶ τὰ στάδια εὐτρεπίζουσιν ἀγωνιστῶν καὶ θεαμάτων καὶ ἀκουσμάτων πλῆθος· τὸν αὐτὸν τρόπον καὶ ὁ τῶν ὅλων ἡγεμὼν, οἷά τις ἀθλοθέτης καὶ ἑστιάτωρ, ἄνθρωπον καλεῖν μέλλων ἐπί τε εὐωχίαν καὶ θεωρίαν, τὰ εἰς ἑκάτερον εἶδος προευτρεπίσατο, ἵν᾽ εἰς τὸν κόσμον εἰςελθὼν εὐθὺς εὕρῃ καὶ συμπόσιον καὶ θέατρον ἱερώτατον. Τὸ μὲν ἁπάντων πλῆρες, ὅσα γῆ καὶ ποταμοὶ καὶ θάλαττα καὶ ἀὴρ φέρουσιν εἰς χρῆσίν τε καὶ ἀπόλαυσιν, τὸ δὲ παντοίων θεαμάτων, ἃ καταπληκτικωτάτας μὲν ἔχει τὰς οὐσίας, καταπληκτικωτάτας δὲ τὰς ποιότητας, θαυμασιωτάτας δὲ τὰς κινήσεις καὶ χορείας, ἐν τάξεσιν ἡρμοσμένας, καὶ ἀριθμῶν ἀναλογίαις, καὶ περιόδων συμφωνίαις. Ἐν οἷς ἅπασι τὴν ἀρχέτυπον καὶ ἀληθῆ καὶ παραδειγματικὴν μουσικὴν οὐκ ἂν ἁμάρτοι τις εἶναι λέγων, ἀφ᾽ ἧς οἱ μετὰ ταῦτα ἄνθρωποι ἐγγραψάμενοι ταῖς ἑαυτῶν ψυχαῖς τὰς εἰκόνας ἀναγκαιοτάτην καὶ ὠφελιμωτάτην τέχνην τῷ βίῳ παρέδοσαν.

§. 26. Ἥδε μὲν αἰτία πρώτη, δι᾽ ἣν ἄνθρωπος ἐφ᾽ ἅπασιν γεγενῆσθαι δοκεῖ. Δευτέρα δὲ οὐκ ἀπὸ σκοποῦ λεκτέα. Ἅμα τῇ πρώτῃ γενέσει τὰς εἰς τὸ ζῆν παρασκευὰς ἁπάσας εὗρεν ἄνθρωπος, εἰς διδασκαλίαν τῶν ἔπειτα. Μόνον οὐκ ἄντικρυ βοώσης τῆς φύσεως, ὅτι μιμούμενοι τὸν ἀρχηγέτην τοῦ γένους ἀπόνως καὶ ἀταλαιπώρως ἐν ἀφθονωτάτῃ διαίτῃ καὶ εὐπορίᾳ τῶν ἀναγκαίων διάξουσι. Τουτὶ δὲ
19 συμβήσεται, ἐὰν μήτε αἱ ἄλογοι ἡδοναὶ ψυχῆς δυ-
M ναστεύσωσι, γαστριμαργίαν καὶ λαγνείαν ἐπιτειχίσασαι, μήτε αἱ δόξης ἢ ἀρχῆς ἢ χρημάτων ἐπιθυμίαι τὸ τοῦ βίου κράτος ἀνάψωνται, μήτε στείλωσι καὶ κάμψωσι διάνοιαν αἱ λῦπαι, μήθ᾽ ὁ κακὸς σύμβου-

λος, φόβος, τὰς ἐπὶ τὰ σπουδαῖα τῶν ἔργων ὁρμὰς ἀναχαιτίσῃ, μήτ᾽ ἀφροσύνη καὶ δειλία καὶ ἀδικία καὶ τὸ τῶν ἄλλων κακῶν ἀμήχανον πλῆθος ἐπίθηται. Νυνὶ δὲ πάντων ὅσα λέλεκται παρευημερησάν- 18
των, καὶ τῶν ἀνθρώπων ἀνέδην ἐκκεχυμένων εἴς τε P.
τὰ πάθη καὶ τὰς ἀκράτορας καὶ ὑπαιτίους, ἃς οὐδὲ εἰπεῖν θέμις, ὀρέξεις, ἁπαντᾷ δίκη προςήκουσα τιμωρὸς ἀσεβῶν ἐπιτηδευμάτων. Ἔστι δὲ ἠδικηκότων εἰς κόλασιν τὰ τῶν ἀναγκαίων δυςπόριστα. μόλις γὰρ ἀνατέμνοντες τὰ πεδία, καὶ πηγῶν ῥεῖθρα καὶ ποταμῶν ἐποχετεύοντες, σπείροντές τε καὶ φυτεύοντες καὶ τὸν γεωπόνον κάματον μεθ᾽ ἡμέραν καὶ νύκτωρ ἀτρύτως ἐκδεχόμενοι, δι᾽ ἔτους συγκομίζουσι τὰ ἐπιτήδεια, καὶ ταῦτ᾽ ἐστὶν ὅτε λυπρὰ καὶ οὐ πάνυ διαρκῆ, διὰ πολλὰς βλαβέντα αἰτίας. Ἢ γὰρ ὄμβρων ἐπαλλήλων φορὰ κατέσυρεν, ἢ χαλάζης βάρος κατενεχθείσης ἀθρόως κατέκλασεν, ἢ χιὼν περιέψυξεν, ἢ βία πνευμάτων ῥίζαις αὐταῖς κατέστρεψε. Πολλὰ γὰρ ὕδωρ καὶ ἀὴρ εἰς ἀγονίαν καρπῶν νεωτερίζουσιν. Εἰ δὲ σωφροσύνῃ μὲν ἐξευμαρισθεῖεν αἱ ἄμετροι τῶν παθῶν ὁρμαὶ, δικαιοσύνῃ δὲ αἱ περὶ τὸ ἀδικεῖν σπουδαί τε καὶ φιλοτιμίαι, καὶ συνελόντι φάναι ταῖς ἀρεταῖς καὶ ταῖς κατ᾽ ἀρετὰς ἐνεργείαις αἱ κακίαι καὶ αἱ κατ᾽ αὐτὰς ἀνήνυτοι πράξεις, ἀνῃρημένου μὲν πολέμου τοῦ κατὰ ψυχὴν, ὃς ἀψευδῶς ἐστι πολέμων ἀργαλεώτατος καὶ βαρύτατος, εἰρήνης δὲ ἐπισχούσης, καὶ ταῖς ἐν ἡμῖν δυνάμεσιν εὐνομίαν παρασκευαζούσης ἡσυχῇ τε καὶ πρᾴως· ἐλπὶς ἂν τὸν θεὸν, ἅτε φιλάρετον καὶ φιλόκαλον καὶ προςέτι φιλάνθρωπον, τὰ ἀγαθὰ αὐτόματα παρασχεῖν ἐξ ἑτοίμου τῷ γένει. Δῆλον γὰρ ὡς εὐμαρέστερον τοῦ τὰ μὴ ὄντα εἰς τὸ εἶναι παραγαγεῖν, τὸ τὴν ἐκ τῶν ὄντων φορὰν ἄνευ τέχνης γεωργικῆς ἐπιδαψιλεύσασθαι.

§. 27. Δευτέρα μὲν αἰτία ἥδε λέλεκται, τρίτη δὲ ἐστὶ τοιάδε. Ἀρχὴν καὶ τέλος τῶν γεγονότων ὁ θεὸς ἁρμόσασθαι διανοηθεὶς, ὡς ἀναγκαῖα καὶ φίλ-

τατα, ἀρχὴν μὲν οὐρανὸν ἐποίει, τέλος δὲ ἄνθρωπον. Τὸν μὲν τῶν ἐν αἰσθητοῖς ἀφθάρτων τελειότατον, τὸν δὲ τῶν γηγενῶν καὶ φθαρτῶν ἄριστον, βραχὺν, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, οὐρανὸν, πολλὰς
M ἐν αὐτῷ φύσεις ἀστεροειδεῖς ἀγαλματοφοροῦντα, τέχναις καί τισιν ἐπιστήμαις, καὶ τοῖς καθ᾽ ἑκάστην ἀρετὴν ἀοιδίμοις θεωρήμασιν. Ἐπειδὴ γὰρ ἐναντία φύσει τό τε φθαρτὸν καὶ τὸ ἄφθαρτον, εἴδους ἑκατέρου τὸ κάλλιστον ἀρχῇ καὶ τέλει προσένειμεν, ἀρχῇ μὲν οὐρανὸν, ὡς ἐλέχθη, τέλει δὲ ἄνθρωπον.

§. 28. Ἐπὶ πᾶσι μέντοι καὶ ἐκεῖνο λέγεται πρὸς ἀπόδοσιν αἰτίας ἀναγκαίας. Ἔδει πάντων γεγονότων 1
ὕστατον φῦναι τὸν ἄνθρωπον, ἵνα τελευταῖος ἐξαπιναίως τοῖς ἄλλοις ζώοις ἐπιφανεὶς ἐμποιήσῃ κατάπληξιν. Ἔμελλε γὰρ ἰδόντα πρῶτον τεθηπέναι καὶ προσκυνεῖν, ὡς ἂν ἡγεμόνα φύσει καὶ δεσπότην. Διὸ καὶ θεασάμενα πάντα διὰ πάντων ἡμερώθη, καὶ ὅσα τὴν φύσιν ἀγριώτατα, κατὰ τὴν πρώτην εὐθὺς πρόσοψιν ἐγίνετο χειροηθέστατα, τὰς μὲν ἀτιθάσσους λύττας ἐπιδεικνύμενα κατ᾽ ἀλλήλων, εἰς δὲ μόνον τὸν ἄνθρωπον τιθασσευόμενα. Παρ᾽ ἣν αἰτίαν καὶ γεννήσας αὐτὸν ὁ πατὴρ ἡγεμονικὸν φύσει ζῶον, οὐκ ἔργῳ μόνον, ἀλλὰ καὶ τῇ διὰ λόγου χειροτονίᾳ καθίστησι τῶν ὑπὸ σελήνην ἁπάντων βασιλέα, χερσαίων τε καὶ ἐνύδρων καὶ ἀεροπόρων. Ὅσα γὰρ θνητὰ ἐν τοῖς τρισὶ στοιχείοις, γῇ, ὕδατι, ἀέρι, πάντα ὑπέταττεν αὐτῷ, τὰ κατ᾽ οὐρανὸν ὑπεξελόμενος, ἅτε θειοτέρας μοίρας ἐπιλαχόντα. Πίστις δὲ τῆς ἀρχῆς ἐναργεστάτη τὰ φαινόμενα. Θρεμμάτων ἐστὶν ὅτε πλήθη μυρία πρὸς ἑνὸς ἀνδρὸς ἄγεται τοῦ τυχόντος, οὔθ᾽ ὁπλοφοροῦντος, οὔτε σίδηρον, οὔτε τι τῶν ἀμυντηρίων ἐπιφερομένου, διφθέραν δὲ αὐτὸ μόνον ἔχοντος σκεπαστήριον, καὶ βακτηρίαν, ἕνεκα τοῦ διασημῆναί τε, καὶ ἐν ταῖς ὁδοιπορίαις εἰ κάμῃ στηρίσασθαι. Τὰς γοῦν πολυζώους ἀγέλας τῶν προβάτων, αἰγῶν, βοῶν, ἄγει ποιμὴν, αἰπόλος, βου-

κόλος, ἄνθρωποι μηδὲ τοῖς σώμασιν ἐῤῥωμένοι καὶ σφριγῶντες, ὡς ἕνεκα γοῦν εὐεξίας ἐμποιῆσαι τοῖς ἰδοῦσι κατάπληξιν· καὶ αἱ τοσαῦται τῶν τοσούτων ἀλκαί τε καὶ δυνάμεις εὐοπλούντων — ἔχουσι γὰρ τὰς ἐκ φύσεως παρασκευὰς αἷς ἀμύνονται — καθάπερ δοῦλοι δεσπότας κατεπτήχασι, καὶ τὰ προςταττόμενα δρῶσι. Βόες μὲν καταζεύγνυνται πρὸς ἄροτρον γῆς, καὶ βαθείας αὔλακας ἀνατέμνοντες δι' ἡμέρας, ἔστι δὲ ὅτε μακρὸν δόλιχον ἀποτείνουσι, γεωπόνου τινὸς ἐφεστῶτος. Κριοὶ δὲ βρίθοντες βαθέσι μαλλοῖς ὑπόποκοι, κατὰ τὴν ἔαρος ὥραν ὑπὸ ποιμένος κελευσθέντες ἵστανται μετ' ἠρεμίας, καὶ ἡσυχῇ κατακλίνοντες ἐμπαρέχουσιν ἀποκείρεσθαι τὸ ἔριον, ἐθιζόμενοι καθάπερ αἱ πόλεις τὸν ἐτήσιον
21ἀποδιδόναι δασμὸν τῷ βασιλεῖ φύσει. Καὶ μὴν,
Mτό γε θυμικώτατον ζῶον, ἵππος ῥαδίως ἄγεται χαλινωθεὶς, ἵνα μὴ σκιρτῶν ἀφηνιάζῃ, καὶ τὰ νῶτα κοιλάνας εὖ μάλα πρὸς τὸ εὔεδρον δέχεται τὸν ἔποχον, καὶ μετέωρον ἀναβαστάσας ὀξύτατα θεῖ, σπουδάζων, εἰς οὓς ἂν ἐπείγηται γίνεσθαι τόπους ἐκεῖνος, ἀφικνεῖσθαι καὶ διακομίζειν. Ὁ δὲ ἐφιδρυμένος ἄνευ καμάτων, κατὰ πολλὴν ἡσυχίαν, ἑτέρου σώματι καὶ ποσὶν ὀξύνει τὸν δρόμον.

§. 29. Πολλὰ δὲ ἂν ἔχοι τις λέγειν ἕτερα βου- 20
λόμενος ἀπομηκύνειν, εἰς ἔνδειξιν τοῦ μηδὲν ἀπελευ- P.
θεριάζειν ὑπεξῃρημένον τῆς ἀνθρώπου ἡγεμονίας· δείγματος δὲ ἕνεκα καὶ τὰ ῥηθέντα ἀρκεῖ. Χρὴ μέντοι μηδ' ἐκεῖνο ἀγνοεῖν, ὅτι οὐ παρ' ὅσον ὕστατον γέγονεν ἄνθρωπος διὰ τὴν τάξιν ἠλάττωται. Μάρτυρες δὲ ἡνίοχοι καὶ κυβερνῆται. Οἱ μὲν γὰρ ὑστερίζοντες τῶν ὑποζυγίων, καὶ κατόπιν αὐτῶν ἐξεταζόμενοι, ᾗ ἂν ἐθέλωσιν αὐτὰ ἄγουσι τῶν ἡνιῶν ἐνειλημμένοι, καὶ τότε μὲν ἀφιέντες πρὸς ὀξὺν δρόμον, τότε δὲ ἀναχαιτίζοντες, εἰ φορᾷ τοῦ δέοντος πλείονι θέοι. Οἱ δὲ αὖ κυβερνῆται πρὸς τὸ τῆς νεὼς ἔσχατον χωρίον, πρύμναν, παρελθόντες, πάν-

των ὡς ἔπος εἰπεῖν εἰσὶν ἄριστοι τῶν ἐμπλεόντι
ἅτε τῆς νεὼς καὶ τῶν ἐν αὐτῇ τὴν σωτηρίαν
ταῖς χερσὶ ταῖς αὐτῶν ἔχοντες. Ἡνίοχον δέ τι
καὶ κυβερνήτην ἐφ᾽ ἅπασιν ὁ ποιητὴς ἐδημιούρ
τὸν ἄνθρωπον, ἵνα ἡνιοχῇ καὶ κυβερνᾷ τὰ περίγει
ζώων καὶ φυτῶν λαβὼν τὴν ἐπιμέλειαν, οἷά τ
ὕπαρχος τοῦ πρώτου καὶ μεγάλου βασιλέως.

§. 30. Ἐπεὶ δὲ ὁ σύμπας κόσμος ἐτελειώ
κατὰ τὴν ἑξάδος ἀριθμοῦ τελείαν φύσιν, τὴν ἐπ
οὖσαν ἡμέραν ἑβδόμην ἐσέμνυνεν ὁ πατὴρ, ἐπαιν
σας καὶ ἁγίαν προσειπών. Ἑορτὴ γὰρ οὐ μιᾶς πό
λεως ἢ χώρας ἐστὶν, ἀλλὰ τοῦ παντὸς, ἣν κυρίω
ἄξιον καὶ μόνην πάνδημον ὀνομάζειν, καὶ τοῦ κό
σμου γενέθλιον. Τὴν δὲ ἑβδομάδος φύσιν οὐκ οἶδ
εἴ τις ἱκανῶς ἀνυμνῆσαι δύναιτο, παντὸς οὖσαν λό
γου κρείττονα. Οὐ μὴν ὅτι θαυμασιωτέρα τῶν περ
αὐτῆς λεγομένων ἐστὶ, διὰ τοῦθ᾽ ἡσυχαστέον, ἀλλ
ἐπιτολμητέον, εἰ καὶ μὴ πάντα, μηδὲ τὰ κυριώ-
τατα οἷόν τε, τὰ γοῦν ταῖς ἡμετέραις διανοίαις
ἐφικτὰ δηλῶσαι. Διχῶς ἑβδομὰς λέγεται, ἡ μὲν
ἐντὸς δεκάδος, ἥτις ἑπτάκις μονάδι μόνῃ μετρεῖται,
συνεστῶσα ἐκ μονάδων ἑπτά· ἡ δὲ τῆς δεκάδος
ἐκτὸς ἀριθμὸς, οὗ πάντως ἀρχὴ μονὰς κατὰ τοὺς
διπλασίους, ἢ τριπλασίους, ἢ συνόλως ἀναλογοῦντας
22 ἀριθμοὺς, ὡς ἔχει ὁ ἑξηκοντατέσσαρα καὶ ὁ ἑπτα-
M κόσια εἰκοσιεννέα. ὁ μὲν κατὰ τὸν ἀπὸ μονάδος δι-
πλάσιον προαυξηθεὶς, ὁ δὲ αὖ κατὰ τὸν τριπλάσιον.
Ἑκάτερον δὲ εἶδος οὐ παρέργως ἐπισκεπτέον. Τὸ
μὲν δὴ δεύτερον ἐμφανεστάτην ἔχει προνομίαν. Αἰεὶ
γὰρ ὁ ἀπὸ μονάδος συντιθέμενος ἐν διπλασίοις ἢ
τριπλασίοις, ἢ συνόλως ἀναλογοῦσιν ἕβδομος ἀρι-
θμὸς, κύβος τε καὶ τετράγωνός ἐστιν, ἀμφότερα
τὰ εἴδη περιέχων, τῆς τε ἀσωμάτου καὶ σωματικῆς
οὐσίας. Τῆς μὲν ἀσωμάτου, κατὰ τὴν ἐπίπεδον ἣν 2
ἀποτελοῦσι τετράγωνοι, τῆς δὲ σωματικῆς, κατὰ τὴν P
ἑτέραν ἣν ἀποτελοῦσι κύβοι. Σαφεστάτη δὲ οἱ λε-

χθέντες ἀριθμοὶ πίστις. αὐτίκα ὁ ἀπὸ μονάδος ἐν διπλασίονι λόγῳ παραυξηθεὶς ἕβδομος, ὁ τέσσαρα καὶ ἑξήκοντα, τετράγωνος μέν ἐστιν, ὀκτάκις ὀκτὼ πολυπλασιασθέντων· κύβος δὲ, τεσσάρων ἐπὶ τέσσαρα τετράκις. Καὶ πάλιν ὁ ἐν τριπλασίονι λόγῳ παραυξηθεὶς ἀπὸ μονάδος ἕβδομος, ὁ ἑπτακόσια εἰκοσιεννέα, τετράγωνος μὲν, πολυπλασιασθέντος ἐπ᾽ αὐτὸν τοῦ ἑπτὰ καὶ εἴκοσι· κύβος δὲ, τοῦ ἐννέα ἐπ᾽ αὐτὸν ἐννάκις. Καὶ ἀεὶ τὸν ἕβδομον ποιούμενός τις ἀντὶ μονάδος ἀρχὴν, καὶ παραύξων κατὰ τὴν αὐτὴν ἀναλογίαν ἄχρις ἑβδομάδος, εὑρήσει πάντως τὸν παραυξηθέντα κύβον τε καὶ τετράγωνον. Ἀπὸ γοῦν τοῦ ἑξηκοντατέσσαρα ὁ συντεθεὶς ἐν διπλασίονι λόγῳ γεννήσει ἕβδομον τὸν τετρακισχίλια καὶ ἐνενήκοντα ἓξ, τετράγωνον ὁμοῦ καὶ κύβον· τετράγωνον μὲν αὐτὸν πλευρὰν ἔχοντα τὸν ἑξηκοντατέσσαρα, κύβον δὲ τὸν ἑκκαίδεκα.

§. 31. Μεταβατέον δὲ καὶ ἐπὶ θάτερον ἑβδομάδος εἶδος τὸ περιεχόμενον ἐν δεκάδι, θαυμαστὴν ἐπιδεικνύμενον καὶ οὐκ ἐλάττονα τοῦ προτέρου φύσιν. Αὐτίκα συνέστηκε τὰ ἑπτὰ ἐξ ἑνὸς καὶ δυοῖν καὶ τεττάρων, ἐχόντων δύο λόγους ἁρμονικωτάτους, τόν τε διπλάσιον καὶ τετραπλάσιον. Τὸν μὲν τὴν διὰ πασῶν συμφωνίαν, τὸν δὲ τετραπλάσιον, τὴν δὶς διὰ πασῶν ἀποτελοῦντα. Περιέχει δὲ καὶ διαιρέσεις ἄλλας, ζυγώδη τρόπον τινὰ συνεστῶσα ἑβδομάς. Διαιρεῖται γὰρ πρῶτον μὲν εἰς μονάδα καὶ ἑξάδα, ἔπειτα εἰς δυάδα καὶ πεντάδα, καὶ τελευταῖον εἰς τριάδα καὶ τετράδα. Μουσικωτάτη δὲ καὶ ἡ τούτων ἀναλογία τῶν ἀριθμῶν. Τὰ μὲν γὰρ ἓξ πρὸς ἓν ἔχει λόγον ἑξαπλάσιον· ὁ δὲ ἑξαπλάσιος λόγος τὸ μέγιστον ἐν τοῖς οὖσι διάστημα ποιεῖ, ᾧ διέστηκε τὸ ὀξύτατον ἀπὸ τοῦ βαρυτάτου, καθάπερ ἀποδείξομεν, ὅταν ἀπὸ τῶν ἀριθμῶν μετέλθωμεν εἰς τὸν ἐν ἁρμονίαις λόγον. Τὰ δὲ πέντε πρὸς δύο πλείστην ἐν ἁρμονίᾳ δύναμιν ἐπιδείκνυται, σχεδὸν

ἐνάμιλλον τῇ διὰ πασῶν, ὅπερ ἐν τῇ κανονικῇ θεω-
ρίᾳ σαφέστατα παρίσταται. Τὰ δὲ τέσσαρα πρὸς
23 τρία τὴν πρώτην ἁρμονίαν ἀποτελεῖ τὴν ἐπίτριτον,
M ἥτις ἐστὶ διὰ τεσσάρων.

§. 32. Ἐπιδείκνυται δὲ καὶ ἕτερον κάλλος αὐ-
τῆς ἑβδομὰς, ἱερώτατον νοηθῆναι. Συνεστῶσα γὰρ
ἐκ τριάδος καὶ τετράδος, τὸ ἐν τοῖς οὖσιν ἀκλινὲς
καὶ ὀρθὸν φύσει παρέχεται· ὃν δὲ τρόπον, δηλω- 2
τέον. Τὸ ὀρθογώνιον τρίγωνον, ὅπερ ἐστὶν ἀρχὴ P
ποιοτήτων, ἐξ ἀριθμῶν συνέστηκε τοῦ τρία καὶ τέσ-
σαρα καὶ πέντε. Τὰ δὲ τρία καὶ τέσσαρα, ἅπερ
ἐστὶν ἑβδομάδος οὐσία, τὴν ὀρθὴν γωνίαν ἀποτελεῖ.
Ἡ μὲν γὰρ ἀμβλεῖα καὶ ὀξεῖα τὸ ἀνώμαλον καὶ ἄτα-
κτον καὶ ἄνισον ἐμφαίνουσιν· ἀμβλυτέρα γὰρ ἢ ὀξυ-
τέρα γέγονεν ἑτέρας. Ὀρθὴ δὲ οὐκ ἐπιδέχεται σύγ-
κρισιν, οὐδ᾽ ὀρθοτέρα γίνεται ἑτέρα παρ᾽ ἑτέραν,
ἀλλ᾽ ὀρθογώνιον ἐν ὁμοίῳ μένει, τὴν ἰδίαν φύσιν
οὔποτε ἀλλάττουσα. Εἰ δὲ τὸ ὀρθογώνιον τρίγωνον
σχημάτων καὶ ποιοτήτων ἐστὶν ἀρχὴ, τούτου δὲ τὸ
ἀναγκαιότατον, τὴν ὀρθὴν γωνίαν, ἡ οὐσία τῆς
ἑβδομάδος παρέχεται, τριὰς ὁμοῦ καὶ τετρὰς, νομί-
ζοιτ᾽ ἂν εἰκότως ἥδε πηγὴ παντὸς σχήματος καὶ πά-
σης ποιότητος. Πρὸς δὲ τοῖς εἰρημένοις καὶ ἐκεῖνο
λέγοιτ᾽ ἂν δεόντως, ὅτι τὰ μὲν τρία ἐπιπέδου σχή-
ματός ἐστιν ἀριθμὸς, ἐπειδὴ σημεῖον μέν ἐστι κατὰ
μονάδα, γραμμὴ δὲ κατὰ δυάδα, ἐπίπεδον δὲ κατὰ
τριάδα τέτακται· τὰ δὲ τέσσαρα στερεοῦ, κατὰ τὴν
τοῦ ἑνὸς πρόςθεσιν, βάθους ἐπιπέδῳ προςτεθέντος.
Ἐξ οὗ δῆλόν ἐστιν, ὅτι ἡ τῆς ἑβδομάδος οὐσία γεω-
μετρίας καὶ στερεομετρίας ἀρχὴ, καὶ συνελόντι φρά-
σαι ἀσωμάτων ὁμοῦ καὶ σωμάτων.

§. 33. Τοσοῦτο δὲ ἐν ἑβδομάδι πέφυκεν εἶναι
τὸ ἱεροπρεπὲς, ὥςτε ἐξαίρετον ἔχειν λόγον παρὰ τοὺς
ἐν δεκάδι πάντας ἀριθμούς. Ἐκείνων γὰρ οἱ μὲν
γεννῶσιν οὐ γεννώμενοι, οἱ δὲ γεννῶνται μὲν, οὐ
γεννῶσι δὲ, οἱ δὲ ἀμφότερα, καὶ γεννῶσι καὶ γεν-

νῶνται. Μόνη δὲ ἑβδομὰς ἐν οὐδενὶ μέρει θεωρεῖται. Τὴν δὲ ὑπόσχεσιν ἀποδείξει βεβαιωτέον. Τὸ μὲν οὖν ἓν γεννᾷ τοὺς ἑξῆς ἅπαντας ἀριθμοὺς, ὑπ᾽ οὐδενὸς γεννώμενον τὸ παράπαν. Τὰ δὲ ὀκτὼ γεννᾶται μὲν ἀπὸ τοῦ δὶς τέσσαρα, γεννᾷ δὲ οὐδένα τῶν ἐν δεκάδι. Ὁ δὲ αὖ τέσσαρα τοῖν ἀμφοῖν καὶ γονέων καὶ ἐκγόνων ἔχει τάξιν. Γεννᾷ μὲν γὰρ ὀκτὼ, δὶς γεννώμενος· γεννᾶται δὲ ὑπὸ τοῦ δὶς δύο. Μόνος δὲ, ὡς ἔφην, ὁ ἑπτὰ, οὔτε γεννᾶν πέφυκεν, οὔτε
24 γεννᾶσθαι. Δι᾽ ἣν αἰτίαν οἱ μὲν ἄλλοι φιλόσοφοι
M. τὸν ἀριθμὸν τοῦτον ἐξομοιοῦσι τῇ ἀμήτορι Νίκῃ καὶ Παρθένῳ, ἣν ἐκ τῆς τοῦ Διὸς κεφαλῆς ἀναφανῆναι λόγος ἔχει, οἱ δὲ Πυθαγόρειοι τῷ ἡγεμόνι τῶν συμπάντων. Τὸ γὰρ μήτε γεννῶν, μήτε γεννώμενον, ἀκίνητον μένει. Ἐν κινήσει γὰρ ἡ γένεσις, ἐπεὶ καὶ τὸ γεννώμενον οὐκ ἄνευ κινήσεως, τὸ μὲν ἵνα γεννήσῃ, τὸ δὲ ἵνα γέννηται. Μόνον δὲ οὔτε κινοῦν, οὔτε κινούμενον ὁ πρεσβύτερος ἄρχων καὶ ἡγεμὼν, οὗ λέγοιτ᾽ ἂν προσηκόντως εἰκὼν ἑβδομάς. Μαρτυρεῖ δέ μου 23
τῷ λόγῳ καὶ Φιλόλαος ἐν τούτοις, "Ἔστι γὰρ," P.
φησὶν, "ὁ ἡγεμὼν καὶ ἄρχων ἁπάντων θεὸς, εἷς, ἀεὶ ὢν, μόνιμος, ἀκίνητος, αὐτὸς αὑτῷ ὅμοιος, ἕτερος τῶν ἄλλων."

§. 34. Ἐν μὲν οὖν τοῖς νοητοῖς τὸ ἀκίνητον καὶ ἀπαθὲς ἐπιδείκνυται ἑβδομὰς, ἐν δὲ τοῖς αἰσθητοῖς μεγάλην καὶ συνεκτικωτάτην δύναμιν, οἷς τὰ ἐπίγεια πάντα πέφυκε βελτιοῦσθαι, σελήνης τε περιόδοις. Ὃν δὲ τρόπον, ἐπισκεπτέον. Ἀπὸ μονάδος συντεθεὶς ἑξῆς ὁ ἑπτὰ ἀριθμὸς, γεννᾷ τὸν ὀκτὼ καὶ εἴκοσι, τέλειον καὶ τοῖς αὑτοῦ μέρεσιν ἰσούμενον. Ὁ δὲ γεννηθεὶς ἀριθμὸς ἀποκαταστατικός ἐστι σελήνης, ἀφ᾽ οὗ ἤρξατο σχήματος λαμβάνειν αὔξησιν αἰσθητῶς, εἰς ἐκεῖνο κατὰ μείωσιν ἀνακαμπτούσης· αὔξεται μὲν γὰρ ἀπὸ τῆς πρώτης μηνοειδοῦς ἐπιλάμψεως ἄχρι διχοτόμου ἡμέραις ἑπτὰ, εἶθ᾽ ἑτέραις τοσαύταις πλησιφαὴς γίνεται, καὶ πάλιν ὑποστρέφει διαυλοδρο-

μοῦσα τὴν αὐτὴν ὁδὸν, ἀπὸ μὲν τῆς πλησιφαοῦς ἐπὶ τὴν διχότομον ἑπτὰ πάλιν ἡμέραις, εἶτ᾽ ἀπ᾽ ταύτης ἐπὶ τὴν μηνοειδῆ, ταῖς ἴσαις. Ἑξῆς ὁ λεχθεὶς ἀριθμὸς συμπεπλήρωται. Καλεῖται δὲ ἡ ἑβδομὰς ὑπὸ τῶν κυρίως ὀνόμασιν εἰωθότων χρῆσθαι καὶ τελεσφόρος, ἐπειδὴ ταύτῃ τελεσφορεῖται τὰ σύμπαντα. Τεκμηριώσαιτο δὲ ἄν τις ἐκ τοῦ πᾶν σῶμα ὀργανικὸν τρισὶ μὲν κεχρῆσθαι διαστάσεσι, μήκει, βάθει, καὶ πλάτει· τέσσαρσι δὲ πέρασι, σημείῳ καὶ γραμμῇ καὶ ἐπιφανείᾳ καὶ στερεῷ, δι᾽ ὧν συντεθέντων ἀποτελεῖται ἑβδομάς. Ἀμήχανον δὲ ἂν ἦν τὰ σώματα ἑβδομάδι μετρεῖσθαι, κατὰ τὴν ἐκ διαστάσεων τριῶν καὶ περάτων τεσσάρων σύνθεσιν, εἰ μὴ συνέβαινε τὰς τῶν πρώτων ἀριθμῶν ἰδέας ἑνὸς καὶ δυοῖν καὶ τριῶν καὶ τεττάρων, οἷς θεμελιοῦται δεκάς, ἑβδομάδος φύσιν περιέχειν. Οἱ γὰρ λεχθέντες ἀριθμοὶ τέσσαρας μὲν ἔχουσιν ὅρους, τὸν πρῶτον, τὸν δεύτερον, τὸν τρί-
25 τον, τὸν τέταρτον· διαστάσεις δὲ τρεῖς. Πρώτη μὲν
M διάστασις ἀπὸ τοῦ ἑνὸς ἐπὶ τὰ δύο, δευτέρα, ἡ ἀπὸ τῶν δυοῖν ἐπὶ τὰ τρία, τρίτη, ἡ ἀπὸ τῶν τριῶν ἐπὶ τὰ τέσσαρα.

§. 35. Δίχα δὲ τῶν εἰρημένων ἐναργέστατα παριστᾶσι τὴν τελεσφόρον δύναμιν ἑβδομάδος καὶ αἱ ἐκ βρέφους ἄχρι γήρως ἀνθρώπων ἡλικίαι, μετρούμεναι ταύτῃ. Κατὰ μὲν οὖν τὴν πρώτην ἑπταετίαν ἔκφυσις ὀδόντων ἐστί. Κατὰ δὲ τὴν δευτέραν καιρὸς τοῦ δύνασθαι προΐεσθαι σπέρμα γόνιμον. Τρίτη δὲ γενείων αὔξησις. Καὶ τετάρτη πρὸς ἰσχὺν ἐπίδοσις. Πέμπτη τε αὖ γάμων ὥρα. Ἕκτη δὲ συνέσεως ἀκμή. Τῇ δὲ ἑβδόμῃ βελτίωσις ἀμφοῖν καὶ συναύξησις, νοῦ καὶ λόγου. Ὀγδόῃ δὲ ἡ ἐν ἑκατέ-
ρῳ τελείωσις. Κατὰ δὲ τὴν ἐνάτην ἐπιείκεια καὶ 24
πρᾳότης τῶν παθῶν ἐπὶ πλέον ἡμερωθέντων. Κατὰ P.
δὲ τὴν δεκάτην, τοῦ βίου τὸ εὐκταῖον τέλος, ἔτι τῶν ὀργανικῶν μελῶν συνεστηκότων· φιλεῖ γὰρ τὸ μακρὸν γῆρας ἕκαστον ὑποσκελίζειν καὶ παραιρεῖ-

σθαι. Τὰς ἡλικίας ταύτας ἀνέγραψε καὶ Σόλων ὁ τῶν Ἀθηναίων νομοθέτης, ἐλεγεῖα ποιήσας τάδε·

Παῖς μὲν ἄνηβος ἐὼν ἔτι νήπιος, ἕρκος ὀδόντων
Φύσας ἐκβάλλει πρῶτον ἐν ἕπτ' ἔτεσι.
Τοὺς δ' ἑτέρους ὅτε δὴ τελέσει θεὸς ἕπτ' ἐνιαυτοὺς,
Ἥβης ἐκφαίνει σήματα γεινομένης.
Τῇ τριτάτῃ δὲ γένειον ἀεξομένων ἐπὶ γυίων
Λαχνοῦται, χροιῆς ἄνθος ἀμειβομένης.
Τῇ δὲ τετάρτῃ πᾶς τις ἐν ἑβδομάδ' ἐστὶν ἄριστος
Ἰσχὺν, οἵ τ' ἄνδρες σήματ' ἔχουσ' ἀρετῆς.
Πέμπτῃ δ' ὥριον ἄνδρα γάμου μεμνημένον εἶναι,
Καὶ παίδων ζητεῖν εἰςοπίσω γενεήν.
Τῇ δ' ἕκτῃ περὶ πάντα καταρτύεται νόος ἀνδρὸς,
Οὐδ' ἔρδειν ἔθ' ὁμῶς ἔργ' ἀπάλαμνα θέλει.
Ἑπτὰ δὲ νοῦν καὶ γλῶσσαν ἐν ἑβδομάσι μέγ' ἄριστος,
Ὀκτώ τ', ἀμφοτέρων τέσσαρα καὶ δέκ' ἔτη.
Τῇ δ' ἐνάτῃ δύναται μὲν ἔτι, μαλακώτερα δ' αὐτοῦ,
Πρὸς μεγάλην ἀρετὴν σώματι καὶ σοφίῃ.
Τῇ δεκάτῃ δ', ὅτε δὴ τελέσει θεὸς ἕπτ' ἐνιαυτοὺς,
Οὐκ ἂν ἄωρος ἐὼν μοῖραν ἔχοι θανάτου.

§. 36. Ὁ μὲν οὖν Σόλων ἑβδομάσι δέκα ταῖς εἰρημέναις καταριθμεῖ τὸν ἀνθρώπινον βίον. Ὁ δὲ ἰατρὸς Ἱπποκράτης ἡλικίας ἑπτὰ εἶναί φησι, παιδίου,
26 παιδὸς, μειρακίου, νεανίσκου, ἀνδρὸς, πρεσβύτου, γέροντος. Ταύτας δὲ μετρεῖσθαι μὲν ἑβδομάσιν, οὐ μὴν ταῖς κατὰ τὸ ἑξῆς. Λέγει δὲ οὕτως, "Ἐν ἀνθρώπου φύσει ἑπτά εἰσιν ὧραι, ἃς ἡλικίας καλέουσι, παιδίον, παῖς, μειράκιον, καὶ αἱ λοιπαί. Καὶ παιδίον μέν ἐστιν ἄχρις ἑπτὰ ἐτῶν, ὀδόντων ἐκβολῆς. Παῖς δὲ ἄχρι γονῆς ἐκφύσεως, εἰς τὰ δὶς ἑπτά. Μειράκιον δὲ ἄχρι γενείου λαχνώσεως, ἐς τὰ τρὶς ἑπτά. Νεανίσκος δὲ ἄχρις αὐξήσιος ὅλου τοῦ σώματος, ἐς τὰ τετράκις ἑπτά. Ἀνὴρ δὲ ἄχρις ἑνὸς δέοντος πεντήκοντα, εἰς τὰ ἑπτάκις ἑπτά. Πρεσβύτης δὲ ἄχρι πεντήκοντα ἓξ, ἐς τὰ ἑπτάκις ὀκτώ. Τὸ δὲ ἐντεῦθεν, γέρων." Λέγεται δὲ καὶ ἐκεῖνο πρὸς

διασύστασιν ἑβδομάδος, ὡς θαυμαστὴν ἐχούσης ἐν
τῇ φύσει τάξιν, ἐπεὶ συνέστηκεν ἐκ τριῶν καὶ τεττά-
ρων. Τὸν μὲν τρίτον ἀπὸ μονάδος εἰ διπλασιάζοι
τις, εὑρήσει τετράγωνον, τὸν δὲ τέταρτον, κύβον.
Τὸν δὲ ἕξ ἀμφοῖν ἕβδομον, κύβον ὁμοῦ καὶ τετρά-
γωνον. Ὁ μὲν οὖν ἀπὸ μονάδος τρίτος, ἐν διπλα-
σίονι λόγῳ τετράγωνός ἐστιν. Ὁ δὲ τέταρτος, ὀκτὼ,
κύβος. Ὁ δὲ ἕβδομος τέσσαρα πρὸς τοῖς ἑξήκοντα,
κύβος ὁμοῦ καὶ τετράγωνος, ὡς εἶναι τελεςφόρον
ὄντως τὸν ἕβδομον ἀριθμὸν, ἀμφοτέρας τὰς ἰσότη-
τας καταγγέλλοντα, τήν τε ἐπίπεδον διὰ τετραγώνου,
κατὰ τὴν τριάδος συγγένειαν, καὶ τὴν στερεὰν διὰ
κύβου, κατὰ τὴν πρὸς τετράδα οἰκειότητα. Ἐκ τριά-
δος δὲ καὶ τετράδος, ἑβδομάς.

§. 37. Ἔστι δὲ οὐ τελεςφόρος μόνον, ἀλλὰ καὶ,
ὡς ἔπος εἰπεῖν, ἁρμονικωτάτη, καὶ τρόπον τινὰ πηγὴ
τοῦ καλλίστου διαγράμματος, ὃ πάσας μὲν τὰς ἁρμο-
νίας, τὴν διὰ τεττάρων, τὴν διὰ πέντε, τὴν διὰ πασῶν.
Πάσας δὲ τὰς ἀναλογίας, τὴν ἀριθμητικὴν, τὴν γεω-
μετρικὴν, ἔτι δὲ τὴν ἁρμονικὴν περιέχει. Τὸ δὲ
πλινθίον συνέστηκεν ἐκ τῶνδε τῶν ἀριθμῶν, ἕξ,
ὀκτὼ, ἐννέα, δώδεκα. Ὁ μὲν ὀκτὼ πρὸς ἕξ ἐν ἐπι-
τρίτῳ λόγῳ, καθ᾽ ἣν ἡ διὰ τεττάρων ἁρμονία ἐστίν.
Ὁ δὲ ἐννέα πρὸς ἕξ ἐν ἡμιολίῳ, καθ᾽ ἣν ἡ διὰ πέντε.
Ὁ δὲ δώδεκα πρὸς ἕξ ἐν διπλασίονι, καθ᾽ ἣν ἡ διὰ
πασῶν. Ἔχει δὲ, ὡς ἔλεγον, καὶ τὰς ἀναλογίας
ἁπάσας. Ἀριθμητικὴν μὲν, ἐκ τῶν ἕξ καὶ ἐννέα
καὶ δώδεκα· ὡς γὰρ ὑπερέχει ὁ μέσος τοῦ πρώτου
τρισὶν, ὑπερέχεται ὑπὸ τοῦ τελευταίου. Γεωμετρι-
κὴν δὲ, ἡ τῶν διὰ τεσσάρων· ὃν γὰρ λόγον ἔχει τὰ
27 ὀκτὼ πρὸς τὰ ἕξ, τοῦτον τὰ δώδεκα πρὸς τὸν ἐννέα·
M ὁ δὲ λόγος ἐπίτριτος. Ἁρμονικὴν δὲ ἐκ τριῶν, τοῦ
ἕξ καὶ ὀκτὼ καὶ δώδεκα. Ἁρμονικῆς δὲ ἀναλογίας
διττὴ κρίσις. Μία μὲν, ὅταν, ὃν λόγον ἔχει ὁ
ἔσχατος τοῦ μέσου πρὸς τὸν πρῶτον, τοῦτον ἔχῃ
ἡ ὑπεροχὴ ᾗ ὑπερέχει ὁ ἔσχατος τοῦ μέσου πρὸς

τὴν ὑπεροχὴν, ἣν ὑπερέχεται ὑπὸ τοῦ μέσου ὁ πρῶ-
τος. Ἐναργεστάτην δὲ πίστιν λάβοι τις ἂν ἐκ τῶν
προκειμένων ἀριθμῶν, τοῦ ἓξ καὶ ὀκτὼ καὶ δώδεκα.
Ὁ μὲν γὰρ τελευταῖος τοῦ πρώτου διπλάσιος, ἡ δὲ
ὑπεροχὴ πάλιν διπλασία. Τὰ μὲν γὰρ δώδεκα τῶν
ὀκτὼ τέταρσιν ὑπερέχει, τὰ δὲ ὀκτὼ τῶν ἓξ δυσί.
Τὰ δὲ τέσσαρα τοῖν δυοῖν διπλάσια. Ἑτέρα δὲ βά-
σανος τῆς ἁρμονικῆς ἀναλογίας, ὅταν ὁ μέσος τῶν
ἄκρων ἴσῳ μορίῳ ὑπερέχῃ καὶ ὑπερέχηται. Ὁ γὰρ
ὄγδοος μέσος ὢν, ὑπερέχει μὲν τοῦ πρώτου τρίτῳ
μορίῳ· ὑφαιρεθέντων γὰρ τῶν ἓξ, τὰ λοιπὰ δύο
τρίτα ἐστὶ τοῦ πρώτου. Ὑπερέχεται δὲ ὑπὸ τοῦ τε-
λευταίου τῷ ἴσῳ· εἰ γὰρ ὑφαιρεθείη τῶν δώδεκα τὰ
ὀκτὼ, τὰ λοιπὰ τέσσαρα γίνεται τοῦ τελευταίου τρίτα.

§. 38. Ταῦτα μὲν ἀναγκαίως περὶ σεμνότητος, 26
ἣν ἔχει τὸ διάγραμμα, ἢ πλινθίον, ἢ ὅ τι χρὴ κα- P.
λεῖν, προειρήσθω. Τοσαύτας ἰδέας καὶ ἔτι πλείους
ἡ ἑβδομὰς ἐν ἀσωμάτοις καὶ νοητοῖς ἐπιδείκνυται.
Διατείνει δὲ αὐτῆς ἡ φύσις καὶ ἐπὶ τὴν ὁρατὴν ἅπα-
σαν οὐσίαν, οὐρανὸν καὶ γῆν, τὰ πέρατα τοῦ παν-
τὸς, φθάσασα. Τί γὰρ οὐ φιλέβδομον τῶν ἐν τῷ
κόσμῳ μέρος, ἔρωτι καὶ πόθῳ δαμασθὲν ἑβδομά-
δος; Αὐτίκα τὸν οὐρανόν φασιν ἑπτὰ διεζῶσθαι
κύκλοις, ὧν ὀνόματα εἶναι τάδε, ἀρκτικὸν, ἀνταρ-
κτικὸν, θερινὸν τροπικὸν, χειμερινὸν τροπικὸν, ἰση-
μερινὸν, ζωδιακὸν, καὶ προσέτι γαλαξίαν. Ὁ γὰρ
ὁρίζων πάθος ἐστὶν ἡμέτερον, ὡς ἂν ὀξυωπίας ἔχῃ
τις ἢ τὸ ἐναντίον, ἀποτεμνομένης τῆς αἰσθήσεως,
τότε μὲν ἐλάττω, τότε δὲ μείζω περιγραφήν. Οἵγε
μὴν πλάνητες, ἥ τε ἀντίῤῥοπος στρατιὰ τῆς τῶν
ἀπλανῶν, ἑπτὰ διακοσμοῦνται τάξεσι, πλείστην ἐπι-
δεικνύμενοι συμπάθειαν πρὸς ἀέρα καὶ γῆν. Τὸν
μὲν γὰρ εἰς τὰς ἐτησίους ἐπικαλουμένας ὥρας τρέ-
πουσι, καθ᾽ ἑκάστην μυρίας ὅσας ἐμποιοῦντες με-
ταβολὰς, νηνεμίαις, αἰθρίαις, νεφώσεσι, βίαις ἐξαι-
σίαις πνευμάτων. Πάλιν τε ποταμοὺς πλημμυροῦσι

καὶ μειοῦσι, καὶ πεδία λιμνάζουσι, καὶ τὸ ἔναντι
ἀφαναίνουσι. Καὶ πελαγῶν ἐργάζονται τροπὰς ;
ἀναχωρούντων ἢ παλιῤῥοίαις χρωμένων. Εὑρεῖ
γάρ ἐστιν ὅτε κόλπον θαλάττης ὑποσυράσαις ἀμπι
τεσι, βαθὺς ἐξαίφνης αἰγιαλὸς εἴςεισι. Καὶ μικρ
ὕστερον ἀναχθείσης, πελάγη βαθύτατα οὐ βραχείαι
28ὁλκάσιν, ἀλλὰ μυριοφόροις ναυσὶν ἐμπλεόμενα. Κ
M μὲν δὴ τὰ ἐπίγεια πάντα ζῶά τε αὖ καὶ φυτὰ, κα
ποὺς γεννῶντα, αὔξουσι καὶ τελεςφοροῦσι, τὴν ἐ
ἑκάστοις φύσιν δολιχεύειν παρασκευάζοντες, ὡς νέ
παλαιοῖς ἐπανθεῖν, καὶ ἐπακμάζειν, πρὸς χορηγία
ἀφθόνους τῶν δεομένων.

§. 39. Ἄρκτος τε μὴν, ἥν φασι πλωτήρων εἶνα
προπομπὸν, ἐξ ἑπτὰ ἀστέρων συνέστηκεν· εἰς ἣ
ἀφορῶντες κυβερνῆται τὰς ἐν θαλάττῃ μυρίας ὁδοὺς
ἀνέτεμον, πράγματι ἀπίστῳ καὶ μείζονι ἢ κατὰ
γνώμην ἀνθρωπίνην ἐπιθέμενοι. Στοχασμῷ γὰρ
τῶν εἰρημένων ἀστέρων τὰς πρὶν ἀδηλουμένας χώ-
ρας ἀνεῦρον, νήσους μὲν οἱ τὴν ἤπειρον οἰκοῦντες,
νησιῶται δὲ ἠπείρους. Ἔδει γὰρ ὑπὸ τοῦ καθαρω-
τάτου τῆς οὐσίας, οὐρανοῦ, ζώῳ τῷ θεοφιλεῖ γῆς
ὁμοῦ καὶ θαλάττης ἀναδειχθῆναι τοὺς μυχοὺς, ἀν-
θρώπων γένει. Πρὸς δὲ τοῖς εἰρημένοις καὶ ὁ τῶν
πλειάδων χορὸς ἀστέρων ἑβδομάδι συμπεπλήρωται,
ὧν αἱ ἐπιτολαὶ καὶ αἱ ἀποκρύψεις μεγάλων ἀγαθῶν
αἴτιαι πᾶσι γίνονται. Δυομένων μὲν γὰρ, αὔλακες 2
ἀνατέμνονται πρὸς σπόρον· ἡνίκα δ᾽ ἂν μέλλωσιν P
ἐπιτέλλειν, ἀμητὸν εὐαγγελίζονται, καὶ ἐπιτείλασαι
χαίροντας γεωπόνους πρὸς συγκομιδὴν τῶν ἀναγκαίων
ἐγείρουσιν. Οἱ δ᾽ ἄσμενοι τὰς τροφὰς ἀποτίθενται πρὸς
τὴν καθ᾽ ἑκάστην ἡμέραν χρῆσιν. Ὅ τε ἡγεμὼν ἡμέρας
ἥλιος, διττὰς καθ᾽ ἕκαστον ἐνιαυτὸν ἀποτελῶν ἰσημε-
ρίας, ἔαρι καὶ μετοπώρῳ, τὴν μὲν ἐαρινὴν ἐν κριῷ, τὴν
δὲ μετοπωρινὴν ἐν ζυγῷ, ἐναργεστάτην παρέχεται πί-
στιν τοῦ περὶ τὴν ἑβδόμην θεοπρεποῦς. Ἑκατέρα
γὰρ τῶν ἰσημεριῶν ἑβδόμῳ γίνεται μηνὶ, καθ᾽ ὃς

καὶ ἑορτάζειν διείρηται νόμῳ τὰς μεγίστας καὶ δη-
μοτελεστάτας ἑορτάς· ἐπειδήπερ ἀμφοτέραις τὰ ὅσα
ἐκ γῆς τελειογονεῖται, ἔαρι μὲν, ὁ τοῦ σίτου καρπὸς,
καὶ τῶν ἄλλων ὅσα σπαρτὰ, μετοπώρῳ δὲ ὁ τῆς
ἀμπέλου καὶ τῶν ἄλλων πλείστων ἀκροδρύων.

§. 40. Ἐπεὶ δὲ ἐκ τῶν οὐρανίων τὰ ἐπίγεια ἤρτη-
ται κατά τινα φυσικὴν συμπάθειαν, ὁ τῆς ἑβδομάδος
λόγος ἄνωθεν ἀρξάμενος κατέβη καὶ πρὸς ἡμᾶς, τοῖς
θνητοῖς γένεσιν ἐπιφοιτήσας. Αὐτίκα τῆς ἡμετέρας
ψυχῆς τὸ δίχα τοῦ ἡγεμονικοῦ μέρος ἑπταχῆ σχίζεται,
πρὸς πέντε αἰσθήσεις καὶ τὸ φωνητήριον ὄργανον, καὶ
ἐπὶ πᾶσι τὸ γόνιμον. Ἃ δὴ πάντα, καθάπερ ἐν
τοῖς θαύμασιν ὑπὸ τοῦ ἡγεμονικοῦ νευροσπαστούμενα,
τότε μὲν ἠρεμεῖ, τότε δὲ κινεῖται, τὰς ἁρμοττούσας
σχέσεις καὶ κινήσεις ἕκαστον. Ὁμοίως δὲ καὶ τοῦ
σώματος εἴ τις ἐξετάζειν ἐπιχειρήσειε, τά τε ἐντὸς
καὶ ἐκτὸς μέρη, καθ᾽ ἑκάτερον ἑπτὰ εὑρήσει. Τὰ
μὲν οὖν ἐν φανερῷ ταῦτ᾽ ἐστὶ, κεφαλὴ, στέρνα, γα-
29στὴρ, διτταὶ χεῖρες, διτταὶ βάσεις· τὰ δ᾽ ἐντὸς λε-
Mγόμενα σπλάγχνα, στόμαχος, καρδία, πνεύμων,
σπλὴν, ἧπαρ, νεφροὶ δύο. Πάλιν τε αὖ τὸ ἡγεμο-
νικώτατον ἐν ζώῳ, κεφαλὴ, τοῖς ἀναγκαιοτάτοις
ἑπτὰ χρῆται, δυσὶν ὀφθαλμοῖς, ἀκοαῖς ἴσαις, αὐλοῖς
μυκτῆρος δυσὶν, ἑβδόμῳ στόματι, δι᾽ οὗ γίνεται "θνη-
τῶν μὲν," ὥς ἔφη Πλάτων, "εἴσοδος, ἔξοδος δὲ
ἀφθάρτων." Ἐπεισέρχεται μὲν γὰρ αὐτῷ σιτία καὶ
ποτὰ, φθαρτοῦ σώματος φθαρταὶ τροφαί. Λόγοι
δὲ ἐξίασιν, ἀθανάτου ψυχῆς ἀθάνατοι νόμοι, δι᾽
ὧν ὁ λογικὸς βίος κυβερνᾶται.

§. 41. Τὰ δὲ διὰ τῆς ἀρίστης τῶν αἰσθήσεων
ὄψεως κρινόμενα μετέχει τοῦ ἀριθμοῦ κατὰ γένος.
Ἑπτὰ γάρ ἐστι τὰ ὁρώμενα, σῶμα, διάστασις, σχῆμα,
μέγεθος, χρῶμα, κίνησις, στάσις. Καὶ παρὰ ταῦτα
οὐδὲν ἕτερον. Συμβέβηκε μέντοι καὶ τὰς τῆς φωνῆς με-
ταβολὰς ἁπάσας ἑπτὰ εἶναι, τὴν ὀξεῖαν, τὴν βαρεῖαν,
τὴν περισπωμένην, καὶ τέταρτον δασὺν φθόγγον,

καὶ ψιλὸν πέμπτον, καὶ μακρὸν ἕκτον, καὶ βραχὺν ἕβδομον. Ἀλλὰ γὰρ καὶ κινήσεις ἑπτὰ εἶναι συμβέβηκε, τὴν ἄνω, τὴν κάτω, τὴν ἐπὶ δεξιά, τὴν ἐπ' εὐώ- 2
νυμα, τὴν πρόσω, τὴν κατόπιν, τὴν ἐν κύκλῳ, ἃς ἐν 1
τοῖς μάλιστα τρανοῦσιν οἱ τὴν ὄρχησιν ἐπιδεικνύμενοι. Φασὶ δὲ καὶ τὰς διὰ τοῦ σώματος ἐκκρίσεις ὑπεστάλθαι τῷ λεχθέντι ἀριθμῷ. Διὰ μὲν γὰρ ὀφθαλμῶν δάκρυα προχεῖται, διὰ δὲ μυκτήρων αἱ ἐκ κεφαλῆς καθάρσεις, διὰ δὲ στόματος οἱ ἀποπτυόμενοι σίελοι. Εἰσὶ δὲ καὶ διτταὶ δεξάμεναι πρὸς τὰς τῶν περιττωμάτων ἀποχετεύσεις, ἡ μὲν ἔμπροσθεν, ἡ δὲ κατόπιν. Ἕκτη δὲ ἐστὶν, ἡ δι' ὅλου τοῦ σώματος ἐν ἱδρῶτι πρόχυσις, καὶ ἡ φυσικωτάτη σπέρματος πρόεσις διὰ τῶν γεννητικῶν. Πάλιν τε αὖ γυναιξὶν ἡ καταφορὰ τῶν καταμηνίων εἰς ἑπτὰ τὰς πλείστας ἡμέρας χορηγεῖται. Καὶ τὰ κατὰ γαστρὸς βρέφη μησὶν ἑπτὰ ζωογονεῖσθαι πέφυκεν, ὡς παραδοξότατόν τι συμβαίνειν· γίνεται γὰρ τὰ ἑπτάμηνα γόνιμα, τῶν ὀκτωμηνιαίων ὡς ἐπίπαν ζωογονεῖσθαι μὴ δυναμένων. Αἵ τε βαρεῖαι νόσοι σωμάτων, καὶ μάλιστα ὅταν ἐκ δυσκρασίας τῶν ἐν ἡμῖν δυνάμεων πυρετοὶ συνεχεῖς ἐπισκήψωσιν, ἑβδόμῃ μάλιστά πως ἡμέρᾳ διακρίνονται: δικάζει γὰρ ἀγῶνα τὸν περὶ ψυχῆς, τοῖς μὲν σωτηρίαν ψηφιζομένη, τοῖς δὲ θάνατον.

§. 42. Ἡ δὲ δύναμις αὐτῆς οὐ μόνον τοῖς εἰρημένοις, ἀλλὰ καὶ ταῖς ἀρίσταις τῶν ἐπιστημῶν ἐπιπεφοίτηκε, γραμματικῇ καὶ μουσικῇ. Λύρα μὲν γὰρ ἡ ἑπτάχορδος, ἀναλογοῦσα τῇ τῶν ἑπτὰ πλανήτων χορείᾳ, τὰς ἐλλογίμους ἁρμονίας ἀποτελεῖ, σχεδόν τι τῆς
30 κατὰ μουσικὴν ὀργανοποιΐας ἁπάσης ἡγεμονὶς οὖσα·
M. στοιχείων τε τῶν ἐν γραμματικῇ τὰ λεγόμενα φωνήεντα ἐτύμως, ἑπτά ἐστιν, ἐπειδὴ καὶ ἐξ ἑαυτῶν ἔοικε φωνεῖσθαι, καὶ τοῖς ἄλλοις συντασσόμενα, φωνὰς ἐνάρθρους ἀποτελεῖ. Τῶν μὲν γὰρ ἡμιφώνων ἀναπληροῖ τὸ ἐνδέον, ὁλοκλήρους κατασκευάζοντα τοὺς

φθόγγους· τῶν δ' ἀφώνων τρέπει καὶ μεταβάλλει τὰς φύσεις, ἐμπνέοντα τῆς ἰδίας δυνάμεως, ἵνα γένηται τὰ ἄῤῥητα ῥητά. Διό μοι δοκοῦσιν οἱ τὰ ὀνόματα τοῖς γράμμασιν ἐξ ἀρχῆς ἐπιφημίσαντες, ἅτε σοφοὶ, καλέσαι τὸν ἀριθμὸν ἑπτὰ ἀπὸ τοῦ περὶ αὐτὸν σεβασμοῦ, καὶ τῆς προσούσης σεμνότητος. Ῥωμαῖοι δὲ καὶ προστιθέντες τὸ ἐλλειφθὲν ὑφ' Ἑλλήνων στοιχεῖον τὸ Σ, τρανοῦσιν ἔτι μᾶλλον τὴν ἔμφασιν ἐτυμωτέραν, σέπτεμ προσαγορεύοντες, ἀπὸ τοῦ σεμνοῦ, καθάπερ ἐλέχθη, καὶ σεβασμοῦ.

§. 43. Ταῦτα καὶ πλείω λέγεται καὶ φιλοσοφεῖται περὶ ἑβδομάδος, ὧν ἕνεκα τιμῆς μὲν ἔλαχεν ἐν τῇ φύσει τῇ ἀνωτάτω. Τιμᾶται δὲ καὶ παρὰ τοῖς 29
δοκιμωτάτοις τῶν Ἑλλήνων καὶ βαρβάρων, οἳ τὴν P.
μαθηματικὴν ἐπιστήμην διαπονοῦσιν. Ἐκτετίμηται δὲ ὑπὸ τοῦ φιλαρέτου Μωϋσέως, ὃς τὸ κάλλος αὐτῆς ἀνέγραψεν ἐν ταῖς ἱερωτάταις τοῦ νόμου στήλαις, ταῖς δὲ διανοίαις τῶν ὑφ' αὐτὸν ἁπάντων ἐνεχάραξε, δι' ἓξ ἡμερῶν κελεύσας ἄγειν ἱερὰν ἑβδόμην, ἀπὸ τῶν ἄλλων ἀνέχοντας ἔργων ὅσα κατὰ ζήτησιν βίου καὶ πορισμὸν, ἑνὶ μόνῳ σχολάζοντας τῷ φιλοσοφεῖν εἰς βελτίωσιν ἠθῶν, καὶ τὸν τοῦ συνειδότος ἔλεγχον. Ὃς ἐνιδρυμένος τῇ ψυχῇ, καθάπερ δικαστὴς, ἐπιπλήττων οὐ δυσωπεῖται, τὰ μὲν σφοδροτέραις ἀπειλαῖς, τὰ δὲ μετριωτέραις νουθεσίαις χρώμενος, περὶ μὲν ὧν ἔδοξεν ἀπειθεῖν ἐκ προνοίας, ἀπειλαῖς, περὶ δὲ ὧν ἀκούσια, διὰ τὸ ἀπροοράτως ἔχειν νουθεσίαις, ὑπὲρ τοῦ μηκέθ' ὁμοίως ὀλισθεῖν.

§. 44. Ἐπιλογιζόμενος δὲ τὴν κοσμοποιΐαν, κεφαλαιώδει τύπῳ φησὶν, "Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς, ὅτε ἐγένετο, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πᾶν χλωρὸν ἀγροῦ πρὸ τοῦ γενέσθαι ἐπὶ τῆς γῆς, καὶ πάντα

χόρτον ἀγροῦ πρὸ τοῦ ἀνατεῖλαι." *) Ἆρα οὐκ ἐμ
φανῶς τὰς ἀσωμάτους καὶ νοητὰς ἰδέας παρίστησι
ἃς τῶν αἰσθητῶν ἀποτελεσμάτων σφραγῖδας εἶν
συμβέβηκε; Πρὶν γὰρ χλοῆσαι τὴν γῆν, αὐτὸ τοῦ
ἐν τῇ φύσει τῶν πραγμάτων χλόη, φησὶν, ἦν, κ
πρὶν ἀνατεῖλαι χόρτον ἐν ἀγρῷ, χόρτος ἦν οὐχ ὁρα
τός. Ὑπονοητέον δὲ ὅτι καὶ ἑκάστου τῶν ἄλλων
31 δικάζουσιν αἰσθήσεις τὰ πρεσβύτερα εἴδη καὶ μέτρα
M. οἷς εἰδοποιεῖται καὶ μετρεῖται τὰ γινόμενα, προ
ϋπῆρχε. Καὶ γὰρ εἰ μὴ κατὰ μέρος, ἀθρόα πάντ
διεξελήλυθε, φροντίζων εἰ καί τις ἄλλος βραχυλο
γίας, οὐδὲν ἧττον τὰ ῥηθέντα ὀλίγα δείγματα τῆ
τῶν πάντων ἐστὶ φύσεως, ἥτις ἄνευ ἀσωμάτου πα-
ραδείγματος οὐδὲν τελεσιουργεῖ τῶν ἐν αἰσθήσει.

§. 45. Τῆς δὲ ἀκολουθίας ἐχόμενος, καὶ τὸ εἱρμὸν τῶν ἑπομένων πρὸς τὰ ἡγούμενα διατηρῶν, λέγει ἑξῆς, "Πηγὴ δὲ ἀνέβαινεν ἀπὸ τῆς γῆς, καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον αὐτῆς." **) Οἱ μὲν γὰρ ἄλλοι φιλόσοφοι τὸ σύμπαν ὕδωρ ἓν στοιχεῖον εἶναι φασι τῶν τεττάρων, ἐξ ὧν ὁ κόσμος ἐδημιουργήθη. Μωϋσῆς δὲ ὀξυωπεστέροις ὄμμασι καὶ τὰ μακρὰν εἰωθὼς εὖ μάλα θεωρεῖν καὶ καταλαμβάνειν, στοιχεῖον μὲν οἴεται εἶναι τὴν μεγάλην θάλατταν, μοῖραν τετάρτην τῶν συμπάντων, ἣν οἱ μετ' αὐτὸν ὠκεανὸν προςαγορεύοντες, τὰ παρ' ἡμῖν πλωτὰ πελάγη λιμένων ἔχειν λόγον νομίζουσι. Τὸ δὲ γλυκὺ καὶ πότιμον ὕδωρ διέκρινεν ἀπὸ τοῦ θαλαττίου, προςκατατάξας αὐτὸ γῇ, καὶ μέρος ταύτης ὑπολαβὼν οὐκ ἐκείνου, διά γε τὴν λεχθεῖσαν αἰτίαν πρότερον, ἵν' ὡς ἂν ὑπὸ δεσμοῦ συνέχηται γλυκεία ποιότητι, κόλλης τρόπον ἑνούσῃ. Ξηρὰ γὰρ ἀπολειφθεῖσα, μὴ παραδυομένης ὑγρότητος διὰ τῶν ἀραιω-

*) Gen. 2, 4.

**) Gen. 2, 6.

μάτων καὶ πολυσχιδῶς ἐπιφοιτώσης, κἂν διεῖλεν αὐτό. Συνέχεται δὲ καὶ διαμένει, τὰ μὲν πνεύματος ἑνωτικοῦ δυνάμει, τὸ δὲ νοτίδος οὐκ ἐώσης ἀφαυαινομένην καὶ κατὰ τρύφη μικρὰ καὶ μεγάλα θρύπτεσθαι. Μία μὲν αἰτία ἥδε. Λεκτέον δὲ καὶ ἑτέραν στοχαζομένην ὥσπερ τοῦ σκοποῦ τῆς ἀληθείας. Οὐδὲν τῶν γηγενῶν ἄνευ ὑγρᾶς οὐσίας συνίστασθαι πέφυκε. Μηνύουσι δὲ τοῦτο αἱ καταβολαὶ τῶν σπερμάτων, ἅπερ ἢ ὑγρά ἐστιν, ὡς τὰ τῶν ζώων, ἢ οὐκ ἄνευ ὑγρότητος βλαστάνει, τοιαῦτα δὲ τὰ τῶν φυτῶν ἐστιν. Ἐξ οὗ δῆλον, ὅτι ἀνάγκη τὴν λεχθεῖσαν ὑγρὰν οὐσίαν μέρος εἶναι γῆς τῆς πάντα τικτούσης, καθάπερ ταῖς γυναιξὶ τὴν φορὰν τῶν καταμηνίων. λέγεται γὰρ οὖν καὶ ταῦτα πρὸς ἀνδρῶν φυσικῶν οὐσία σωματικὴ βρεφῶν εἶναι. Τῶν δὲ εἰρημένων οὐκ ἀποδεῖ καὶ τὸ μέλλον λέγεσθαι. πάσῃ μητρὶ καθάπερ ἀναγκαιότατον μέρος ἡ φύσις πηγάζοντας ἀνέδωκε μαστούς, προευτρεπισαμένη τροφὰς τῷ γεννησομένῳ. Μήτηρ δέ, ὡς ἔοικε, καὶ ἡ γῆ, παρ' ὃ καὶ τοῖς πρώτοις ἔδοξεν αὐτὴν Δήμητραν καλέσαι,
32 *τὸ μητρὸς καὶ γῆς ὄνομα συνθεῖσιν. Οὐ γὰρ γῆ*
M. *γυναῖκα, ὡς εἶπε Πλάτων, ἀλλὰ γυνὴ γῆν μεμίμηται, ἣν ἐτύμως τὸ ποιητῶν γένος παμμήτορα, καὶ καρποφόρον, καὶ πανδώραν εἴωθεν ὀνομάζειν, ἐπειδὴ πάντων αἰτία γενέσεως καὶ διαμονῆς ζώων ὁμοῦ καὶ φυτῶν ἐστιν. Εἰκότως οὖν καὶ γῇ τῇ πρεσβυτάτῃ καὶ γονιμωτάτῃ μητέρων ἀνέδωκεν ἡ φύσις, οἷα μαστούς, ποταμῶν ῥεῖθρα καὶ πηγῶν, ἵνα τὰ φυτὰ ἄρδοιτο, καὶ ποτὸν ἄφθονον ἔχοι πάντα τὰ ζῶα.*

§. 46. *Μετὰ δὲ ταῦτά φησιν, ὅτι "Ἔπλασεν ὁ θεὸς ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς."* *) *Ἐναργέστατα καὶ διὰ τούτου παρίστησιν, ὅτι δια-*

---

*) Gen. 2, 7.

φορὰ παμμεγέθης ἐστὶ τοῦ τε νῦν πλασθέντος ἀνθρώπου, καὶ τοῦ κατὰ τὴν εἰκόνα θεοῦ γεγονότος πρότερον. Ὁ μὲν γὰρ διαπλασθεὶς ἤδη, αἰσθητὸς, μετέχων ποιότητος, ἐκ σώματος καὶ ψυχῆς συνεστὼς, ἀνὴρ ἢ γυνὴ, φύσει θνητὸς ὤν· ὁ δὲ κατὰ τὴν εἰκόνα, ἰδέα τις, ἢ γένος, ἢ σφραγὶς, νοητὸς, ἀσώματος, οὔτ' ἄῤῥην οὔτε θῆλυς, ἄφθαρτος φύσει. Τοῦ δὲ αἰσθητοῦ καὶ ἐπὶ μέρους ἀνθρώπου τὴν κατασκευὴν σύνθετόν εἶναί φησιν ἐκ γεώδους οὐσίας καὶ πνεύματος θείου, γεγενῆσθαι γὰρ τὸ μὲν σῶμα, χοῦν τοῦ τεχνίτου λαβόντος, καὶ μορφὴν ἀνθρωπίνην ἐξ αὐτοῦ διαπλάσαντος, τὴν δὲ ψυχὴν ἀπ' οὐδενὸς γενητοῦ τὸ παράπαν, ἀλλ' ἐκ τοῦ πατρὸς καὶ ἡγεμόνος τῶν ἁπάντων. Τὸ γὰρ "ἐνεφύσησεν" οὐδὲν ἦν ἕτερον, ἢ πνεῦμα θεῖον ἀπὸ τῆς μακαρίας καὶ εὐδαίμονος ἐκείνης φύσεως, ἀποικίαν τὴν ἐνθάδε στειλάμενον, ἐπ' ὠφελείᾳ τοῦ γένους ἡμῶν, ἵνα, εἰ καὶ θνητός ὁ ἄνθρωπός ἐστι κατὰ τὴν ὁρατὴν μερίδα, κατὰ γοῦν τὴν ἀόρατον ἀθανατίζηται. Διὸ καὶ κυρίως ἄν τις εἴποι τὸν ἄνθρωπον θνητῆς καὶ ἀθανάτου φύσεως εἶναι μεθόριον ἑκατέρας ὅσον ἀναγκαῖόν ἐστι μετέχοντα, καὶ γεγενῆσθαι θνητὸν ὁμοῦ καὶ ἀθάνατον· θνητὸν μὲν κατὰ τὸ σῶμα, κατὰ δὲ τὴν διάνοιαν ἀθάνατον.

§. 47. Ἐκεῖνος δὲ ὁ πρῶτος ἄνθρωπος, ὁ γηγενὴς, ὁ παντὸς τοῦ γένους ἡμῶν ἀρχηγέτης, ἑκάτερα ἄριστος ψυχήν τε καὶ σῶμα γεγενῆσθαί μοι δοκεῖ, καὶ μακρῷ τινι τοὺς ἔπειτα διενεγκεῖν κατὰ τὰς ἐν ἀμφοτέροις ὑπερβάσεις. ὁ γὰρ ἀληθείᾳ καλὸς καὶ ἀγαθὸς ὄντως οὗτος ἦν. Τεκμηριώσαιτο δ' ἄν τις τὴν μὲν τοῦ σώματος εὐμορφίαν ἐκ τριῶν, ὧν ἐστι πρῶτον τόδε. Ἄρτι τῆς
33 γῆς νεοκτίστου φανείσης κατὰ τὴν τοῦ πολλοῦ ὕδατος
M διάκρισιν, ὃ προσεῤῥήθη θάλασσα, τὴν ὕλην συνέβαινε τῶν γιγνομένων ἀμιγῆ καὶ ἄδολον καὶ καθαρὰν εἶναι, ἐξ ἧς τὰ ἐπιτελούμενα εἰκότως ἦν ἀνυπαίτια. Δεύτερον δὲ, οὐδὲ ἐκ τοῦ τυχόντος μέρους τῆς γῆς ἔοικεν

ὁ θεὸς χοῦν λαβὼν τὸν μὲν ἀνθρωποειδῆ τοῦτον ἀν-
δριάντα πλάττειν ἐθελῆσαι μετὰ τῆς ἀνωτάτω σπου-
δῆς, ἀλλὰ διακρίνας ἐξ ἁπάσης τὸ βέλτιστον, ἐκ
καθαρᾶς ὕλης τὸ καθαρώτατον καὶ διηθημένον
ἄκρως, ὃ πρὸς τὴν κατασκευὴν μάλιστα ἥρμοζεν.
Οἶκος γάρ τις ἢ νεὼς ἱερὸς ἐτεκταίνετο ψυχῆς λο-
γικῆς, ἣν ἔμελλεν ἀγαλματοφορήσειν, ἀγαλμάτων
τὸ θεοειδέστατον. Τρίτον, ὁ μηδὲ σύγκρισιν ἔχει
πρὸς τὰ λεχθέντα, ὁ δημιουργὸς ἀγαθὸς ἦν, τά τε
ἄλλα καὶ τὴν ἐπιστήμην, ὡς ἕκαστον τῶν τοῦ σώ-
ματος μερῶν καὶ ἰδίᾳ καθ' αὑτὸ τοὺς ἐπιβάλλοντας
ἔχειν ἀριθμούς, καὶ πρὸς τὴν τοῦ ὅλου κοινωνίαν
εὐαρμόστως ἀπηκριβῶσθαι. Μετὰ δὲ τῆς συμμε-
τρίας καὶ εὐσαρκίαν προςέπλαττε, καὶ εὐχροιαν ἠν-
θογράφει, βουλόμενος, ὡς ἔνι μάλιστα, κάλλιστον
ὀφθῆναι τὸν ἄνθρωπον.

§. 48. Ὅτι δὲ καὶ τὴν ψυχὴν ἄριστος ἦν, φα-
νερόν. Οὐδενὶ γὰρ ἑτέρῳ παραδείγματι τῶν ἐν γε-
νέσει πρὸς τὴν κατασκευὴν αὐτῆς ἔοικε χρήσασθαι,
μόνῳ δέ, ὥςπερ εἶπον, τῷ ἑαυτοῦ λόγῳ. Διό φη-
σιν ἀπεικόνισμα καὶ μίμημα γεγενῆσθαι τοῦτον τὸν 32
ἄνθρωπον ἐμπνευσθέντα εἰς τὸ πρόσωπον, ἔνθα τῶν P.
αἰσθήσεων ὁ τόπος, αἷς τὸ μὲν σῶμα ἐψύχωσεν ὁ
δημιουργός. Τὸν βασιλέα δὲ λογισμὸν ἐνιδρυσάμενος
τῷ ἡγεμονικῷ, παρέδωκε δορυφορεῖσθαι πρὸς τὰς τῶν
χρωμάτων καὶ φωνῶν χυλῶν τε αὖ καὶ ἀτμῶν καὶ τῶν
παραπλησίων ἀντιλήψεις, ἃς ἄνευ αἰσθήσεως δι' αὐ-
τοῦ μόνου καταλαβεῖν οὐχ οἷός τε ἦν. Ἀνάγκη δὲ παγ-
κάλου παραδείγματος πάγκαλον εἶναι μίμημα· θεοῦ δὲ
λόγος καὶ αὐτοῦ κάλλους, ὅπερ ἐστὶν ἐν τῇ φύσει αἰσθη-
τῷ κάλλος, ἀμείνων, οὐ κοσμούμενος κάλλει, κόσμος δὲ
αὐτὸς ὤν, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, εὐπρεπέστατος ἐκείνου.

§. 49. Τοιοῦτος μὲν οὖν ὁ πρῶτος ἄνθρωπος
κατά τε σῶμα καὶ ψυχὴν γεγενῆσθαί μοι δοκεῖ,
τούς τε νῦν ὄντας καὶ τοὺς πρὸ ἡμῶν διενεγκὼν
ἅπαντας. Ἡ μὲν γὰρ ἡμετέρα γέννησις ἐξ ἀνθρώ-

πων, τὸν δὲ θεὸς ἐδημιούργησεν. Ἐφ᾽ ὅσον ὁ κρείττων ὁ ποιῶν, ἐπὶ τοσοῦτο καὶ τὸ γενόμενο ἄμεινον. Ὥςπερ γὰρ τὸ ἀκμάζον ἀεὶ τοῦ παρηβηκότο βέλτιόν ἐστιν, εἴτε ζῶον, εἴτε φυτὸν, εἴτε καρπὸς, εἴτ ἄλλο τι τῶν ἐν τῇ φύσει τυγχάνοι· οὕτως ἔοικεν μὲν πρῶτος διαπλασθεὶς ἄνθρωπος ἀκμὴ τοῦ ἡμε τέρου παντὸς ὑπάρξαι γένους, οἱ δ᾽ ἔπειτα μηκέθ ὁμοίως ἐπακμάσαι, τῶν κατὰ γενεὰν ἀμαυροτέρα
34 ἀεὶ τάς τε μορφὰς καὶ τὰς δυνάμεις λαμβανόντω
M. Ὅπερ ἐπί τε τῆς πλαστικῆς καὶ ζωγραφίας γινόμε νον εἶδον· ἀποδεῖ γὰρ τὰ μιμήματα τῶν ἀρχετύ πων. Τὰ δὲ ἀπὸ τῶν μιμημάτων γραφόμενα κα πλαττόμενα, πολὺ μᾶλλον, ἅτε μακρὰν ἀφεστῶτ τῆς ἀρχῆς. Παραπλήσιον δὲ πάθος καὶ ἡ μαγνῆτι ἐπιδείκνυται λίθος. Τῶν γὰρ σιδηρῶν δακτυλίω ὁ μὲν αὐτῆς ψαύσας, βεβαιότατα κρατεῖται, ὁ ὁ τοῦ ψαύσαντος ἧττον. Ἐκκρέμαται δὲ καὶ τρίτο δευτέρου, καὶ τέταρτος τρίτου, καὶ πέμπτος τετάρ του, καὶ ἑτέρων ἕτεροι κατὰ μακρὸν στοῖχον ὑπ μιᾶς ὁλκοῦ δυνάμεως συνεχόμενοι, πλὴν δὲ οὐ τὸ αὐτὸν τρόπον. Ἀεὶ γὰρ οἱ πόῤῥω τῆς ἀρχῆς ἀπηρτημέ νοι χαλῶνται, διὰ τὸ τὴν ὁλκὴν ἀνεῖσθαι, μηκέθ᾽ ὁμοία σφίγγειν δυναμένην. Ὅμοιον δή τι πεπονθέναι καὶ τ γένος τῶν ἀνθρώπων φαίνεται, καθ᾽ ἑκάστην γενεὰ ἀμυδροτέρας λαμβανόντων τάς τε τοῦ σώματος καὶ τὰ τῆς ψυχῆς δυνάμεις καὶ ποιότητας· τὸν δὲ ἀρχηγέ την ἐκεῖνον, οὐ μόνον πρῶτον ἄνθρωπον, ἀλλὰ κα μόνον κοσμοπολίτην λέγοντες, ἀψευδέστατα ἐροῦμε Ἦν γὰρ οἶκος ὁ κόσμος αὐτῷ καὶ πόλις, μηδεμιᾶ χειροποιήτου κατασκευῆς δεδημιουργημένης ἐκ λίθω καὶ ξύλων ὕλης. Ὧι καθάπερ ἐν πατρίδι μετὰ πα σης ἀσφαλείας ἐνδιητᾶτο, φέβου μὲν ἐκτὸς ὢν, ἅ τῆς τῶν περιγείων ἡγεμονίας ἀξιωθεὶς, καὶ πάντα ὅσα θνητὰ κατεπτηχότων, καὶ ὡς δεσπότῃ ὑπακο ειν δεδιδαγμένων, ἢ βιασθέντων, ἐν εὐπαθείαις ταῖς ἐν εἰρήνῃ ἀπολέμως ζῶν ἀνεπίληπτος.

§. 50. Ἐπεὶ δὲ πᾶσα πόλις ἔννομος ἔχει πολιτείαν, ἀναγκαίως ξυνέβαινε τῷ κοσμοπολίτῃ χρῆσθαι πολιτείᾳ ᾗ καὶ σύμπας ὁ κόσμος. Αὕτη δέ ἐστιν ὁ τῆς φύσεως ὀρθὸς λόγος, ὃς κυριωτέρᾳ κλήσει προςονομάζεται θεσμὸς, νόμος θεῖος ὤν, καθ᾽ ὃν τὰ προςήκοντα καὶ ἐπιβάλλοντα ἑκάστοις ἀπενεμήθη. Τῆς δὲ τῆς πόλεως καὶ πολιτείας ἔδει τινὰς εἶναι πρὸ ἀνθρώπου πολίτας, οἳ λέγοιντ᾽ ἂν ἐνδίκως μεγαλοπολῖται, τὸν μέγιστον περίβολον οἰκεῖν λαχόντες, καὶ τῷ μεγίστῳ καὶ τελειοτάτῳ πολιτεύματι ἐγγραφέντες. Οὗτοι δὲ τίνες ἂν εἶεν, ὅτι μὴ λογικαὶ θεῖαι φύσεις, αἳ μὲν ἀσώματοι καὶ νοηταὶ, αἳ δὲ οὐκ ἄνευ σωμάτων, ὁποίους συμβέβηκεν εἶναι τοὺς ἀστέρας; Οἷς προςομιλῶν καὶ συνδιαιτώμενος εἰκότως ἐν ἀκράτῳ διέτριβεν εὐδαιμονίᾳ. Συγγενής τε καὶ ἀγχίσπορος ὢν τοῦ ἡγεμόνος, ἅτε δὴ πολλοῦ ῥυέντος εἰς αὐτὸν τοῦ θείου πνεύματος; πάντα καὶ λέγειν καὶ πράττειν ἐσπούδαζεν εἰς ἀρέσκειαν τοῦ πατρὸς καὶ βασιλέως, ἑπόμενος αὐτῷ κατ᾽ ἴχνος ταῖς ὁδοῖς, ἃς ὡς λεω-
35 φόρους ἀνατέμνουσιν ἀρεταὶ, δι᾽ ὧν μόναις ψυχαῖς
M. θέμις προςέρχεσθαι, τέλος ἡγουμέναις τὴν πρὸς τὸν γεννήσαντα θεὸν ἐξομοίωσιν.

§. 51. Τοῦ μὲν οὖν πρώτου φύντος ἀνθρώπου τὸ καθ᾽ ἑκάτερον καὶ ψυχὴν καὶ σῶμα κάλλος, εἰ καὶ πολλῷ τῆς ἀληθείας ἔλαττον, ἀλλ᾽ οὖν κατὰ τὴν ἡμετέραν δύναμιν, ὡς οἷόν τε ἦν, εἴρηται. Τοὺς δὲ ἀπογόνους τῆς ἐκείνου μετασχόντας ἰδέας, ἀναγκαῖον εἰ καὶ ἀμυδροὺς, ἀλλ᾽ οὖν ἔτι σώζειν τοὺς τύπους τῆς πρὸς τὸν πατέρα συγγενείας. Ἡ δὲ συγγένεια τίς; Πᾶς ἄνθρωπος κατὰ μὲν τὴν διάνοιαν ᾠκείωται θείῳ λόγῳ, τῆς μακαρίας φύσεως ἐκμαγεῖον ἢ ἀπόσπασμα ἢ ἀπαύγασμα γεγονὼς, κατὰ δὲ τὴν τοῦ σώματος κατασκευὴν ἅπαντι τῷ κόσμῳ. Συγκέκριται γὰρ ἐκ τῶν αὐτῶν, γῆς, καὶ ὕδατος, καὶ ἀέρος, καὶ πυρός· ἑκάστου τῶν στοιχείων εἰςενεγκόντος τὸ ἐπιβάλλον μέρος, πρὸς ἐκ-

πλήρωσιν αὐταρκεστάτης ὕλης, ἣν ἔδει λαβεῖν δημιουργὸν, ἵνα τεχνιτεύσηται τὴν ὁρατὴν ται εἰκόνα. Καὶ προςέτι πᾶσι τοῖς λεχθεῖσιν, ὡς οἰκ τάτοις καὶ συγγενεστάτοις χωρίοις ἐνδιαιτᾶται, πους ἀμείβων καὶ ἄλλοτε ἄλλοις ἐπιφοιτῶν. Ὡς ριώτατα φάναι τὸν ἄνθρωπον πάντα εἶναι, χερσα ἔνυδρον, πτηνὸν, οὐράνιον. Ἡι μὲν γὰρ οἰκεῖ βέβηκεν ἐπὶ γῆς, χερσαῖον ζῶόν ἐστιν, ᾗ δὲ δύ καὶ νήχεται καὶ πλεῖ πολλάκις, ἔνυδρον. Ἐμπ καὶ ναύκληροι καὶ πορφυρεῖς, καὶ ὅσοι τὴν ὀστρέοις καὶ ἰχθύσιν ἄγραν μετίασι, τοῦ λεχθέ εἰσὶ σαφεστάτη πίστις. Ἡι δὲ μετέωρον ἀπὸ ἀνώφοιτον ἐξήρτηται τὸ σῶμα, λέγοιτ᾽ ἂν ἐνδι ἀεροπόρον εἶναι. πρὸς δὲ καὶ οὐράνιον, διὰ τῆς μονικωτάτης τῶν αἰσθήσεων, ὄψεως, ἡλίῳ καὶ λήνῃ καὶ ἑκάστῳ τῶν ἄλλων ἀστέρων πλανήτων ἀπλανῶν συνεγγίζον.

§. 52. Παγκάλως δὲ καὶ τὴν θέσιν τῶν ὀνο των ἀνῆψε τῷ πρώτῳ, σοφίας γὰρ καὶ βασιλ τὸ ἔργον. Σοφὸς δὲ ἐκεῖνος αὐτομαθὴς καὶ αι δίδακτος χάρισι θείαις γενόμενος, καὶ προςέτι βασιλεύς. Ἐμπρεπὲς δὲ ἡγεμόνι προςαγορεύειν ἕ
36στον τῶν ὑπηκόων. Ὑπερβάλλουσα δὲ ὡς εἰκὸς
M.ναμις ἀρχῆς ἦν περὶ τὸν πρῶτον ἐκεῖνον ἄνθρω ὃν σπουδῇ διαπλάσας ὁ θεὸς ἠξίου δευτερείων, ὕπ χον μὲν αὐτοῦ τῶν δὲ ἄλλων ἡγεμόνα πάντων θείς. Ὁπότε καὶ οἱ τοσαύταις γενεαῖς ὕστερον ς τες, ἤδη τοῦ γένους διὰ μακρὰς χρόνων περιόι ἐξιτήλου ὄντος, οὐδὲν ἧττον ἔτι δεσπόζουσι τῶν ι γων, καθάπερ λαμπάδιον ἀρχῆς καὶ δυναστείας τοῦ πρώτου διαδοθὲν φυλάττοντες. Φησὶν οὖν "Πάντα τὰ ζῶα ἤγαγεν ὁ θεὸς πρὸς τὸν θρωπον, ἰδεῖν βουλόμενος, τίνας θήσεται π ρήσεις ἑκάστοις," οὐχ ὅτι ἐνεδοίαζεν, ἄγνω γὰρ οὐδὲν θεῷ, ἀλλ᾽ ὅτι ᾔδει τὴν λογικὴν ἐν τῷ φύσιν κατεσκευακὼς αὐτοκίνητον, ὅπως ἀμέτ

αὐτὸς ἢ κακίας. Ἀπεπειρᾶτο δὲ ὡς ὑφηγητὴς γνωρίμου, τὴν ἐνδιάθετον ἕξιν ἀνακινῶν, καὶ προςέτι τῶν οἰκείων ἀνακαλῶν ἔργων, ἵνα ἐπαυτοματίσῃ τὰς θέσεις, μήτ' ἀνοικείους, μήτ' ἀναρμόστους, ἀλλ' ἐμφαινούσας εὖ μάλα τὰς τῶν ὑποκειμένων ἰδιότητας. Ἀκράτου γὰρ ἔτι τῆς λογικῆς φύσεως ὑπαρχούσης ἐν ψυχῇ, καὶ μηδενὸς ἀῤῥωστήματος ἢ νοσήματος ἢ πάθους παρειςεληλυθότος, ταῖς φαντασίαις τῶν σωμάτων καὶ πραγμάτων ἀκραιφνεστάταις χρώμενος, εὐθυβόλους ἐποιεῖτο τὰς κλήσεις, εὖ μάλα στοχαζόμενος τῶν δηλουμένων, ὡς ἅμα λεχθῆναί τε καὶ νοηθῆναι τὰς φύσεις αὐτῶν. Οὕτω μὲν ἐν ἅπασι τοῖς καλοῖς διέφερεν, ὡς ἐπ' αὐτὸ τὸ πέρας φθάνειν τῆς ἀνθρωπίνης εὐδαιμονίας.

§. 53. Ἐπεὶ δὲ οὐδὲν τῶν ἐν γενέσει βέβαιον, τροπὰς δὲ καὶ μεταβολὰς ἀναγκαίας τὰ θνητὰ δέχεται, ἐχρῆν καὶ τὸν πρῶτον ἄνθρωπον ἀπολαῦσαί τινος κακοπραγίας. Ἀρχὴ δὲ τῆς ὑπαιτίου ζωῆς αὐτῷ γίνεται γυνή. Μέχρι μὲν γὰρ εἷς ἦν, ὡμοιοῦτο τῷ κατὰ τὴν γένεσιν κόσμῳ καὶ θεῷ, καὶ τῆς ἑκατέρου φύσεως ἀπεμάττετο τῇ ψυχῇ τοὺς χαρακτῆρας, 35
οὐ πάντας, ἀλλ' ὅσους χωρῆσαι δυνατὸν θνητὴν σύ- P.
στασιν. Ἐπεὶ δὲ ἐπλάσθη καὶ γυνή, θεασάμενος ἀδελφὸν εἶδος, καὶ συγγενῆ μορφήν, ἐνησμένισε τῇ θέᾳ, καὶ προςιὼν ἠσπάζετο. Ἡ δὲ οὐδὲν ἐκείνου προςβλέπουσα ζῶον ἐμφερέστερον ἑαυτῇ, γάννυταί τε καὶ ἀντιπροςφθέγγεται μετ' αἰδοῦς. Ἔρως δ' ἐπιγενόμενος, καθάπερ ἑνὸς ζώου διττὰ τμήματα διεστηκότα συναγαγὼν εἰς ταὐτόν, ἁρμόττεται, πόθον ἐνιδρυσάμενος ἑκατέρῳ τῆς πρὸς θάτερον κοινωνίας εἰς τὴν τοῦ ὁμοίου γένεσιν. Ὁ δὲ πόθος οὗτος καὶ τὴν τῶν σωμάτων ἡδονὴν ἐγέννησεν, ἥτις
37 ἐστὶν ἀδικημάτων καὶ παρανομημάτων ἀρχή, δι'
M. οὗ ὑπαλλάττονται τὸν θνητὸν καὶ κακοδαίμονα βίον
ἀντ' ἀθανάτου καὶ εὐδαίμονος.

§. 54. Ἔτι δὲ τοῦ ἀνδρὸς μονήρη βίον ζῶντ μήπω διαπλασθείσης γυναικὸς, φυτευθῆναι λό ἔχει παράδεισον ὑπὸ θεοῦ, τοῖς παρ' ἡμῖν οὐ προςεοικότα. Τῶν μὲν γάρ ἐστιν ἄψυχος ἡ ὕ παντοίων δένδρων κατάπλεως, τῶν μὲν ἀειθαλ πρὸς τὴν ὄψεως ἀδιάστατον ἡδονὴν, τῶν δὲ τ ἐαριναῖς ὥραις ἡβώντων καὶ βλαστανόντων, τὸν μὲν ἥμερον καρπὸν ἀνθρώποις φερόντων, πρὸς ἀναγκαίαν μόνον χρῆσιν τροφῆς, ἀλλὰ καὶ π περιττὴν ἀπόλαυσιν ἁβροδιαίτου βίου, τὸν δὲ ἀ μερον, ὃς ἀναγκαίως θηρίοις ἀπενεμήθη. Κατὰ τὸν θεῖον παράδεισον ἔμψυχα καὶ λογικὰ τὰ φι πάντ' εἶναι συμβέβηκε, καρπὸν φέροντα τὰς ἀρετ καὶ προςέτι τὴν ἀδιάφθορον σύνεσιν καὶ ἀγχίνοι ᾗ γνωρίζεται τὰ αἰσχρὰ καὶ καλὰ, ζωήν τε ἄνο καὶ ἀφθαρσίαν, καὶ πᾶν εἴ τι τούτοις ὁμοιότροπ Ταῦτα δέ μοι δοκεῖ συμβολικῶς μᾶλλον ἢ κυρ φιλοσοφεῖσθαι· δένδρα γὰρ ἐπὶ γῆς οὔτε πέφηνέ πρότερον, οὔτ' αὖθις εἰκὸς φανεῖσθαι, ζωῆς ἢ σ ἔσεως. Ἀλλ' ὡς ἔοικεν αἰνίττεται, διὰ μὲν τοῦ π ραδείσου τὸ τῆς ψυχῆς ἡγεμονικὸν, ὅπερ ἐστὶ τάπλεων, οἷα φυτῶν, μυρίων ὅσων δοξῶν· διὰ τοῦ δένδρου τῆς ζωῆς τὴν μεγίστην τῶν ἀρετ θεοσέβειαν, δι' ἧς ἀθανατίζεται ἡ ψυχή· διὰ τοῦ τῶν καλῶν καὶ πονηρῶν γνωστικοῦ, φρόνη τὴν μέσην, ᾗ διακρίνεται τὰ ἐναντία φύσει.

§. 55. Θέμενος οὖν τοὺς ὅρους τούτους ἐν ψυ καθάπερ δικαστὴς ἐσκόπει πρὸς πότερον ἐπικλι ἕξει. Ὡς δὲ εἶδε ῥέπουσαν μὲν πρὸς πανουργί ὁσιότητος δὲ καὶ εὐσεβείας ὀλιγωροῦσαν, ἐξ ὧ ἀθάνατος ζωὴ ἐπιγίνεται, προεβάλετο κατ' εἰκὸς ἐφυγάδευσεν ἐκ τοῦ παραδείσου· μηδ' ἐλπίδα εἰςαῦθις ἐπανόδου δυςίατα καὶ ἀθεράπευτα πλημ λούσῃ ψυχῇ παρασχών· ἐπεὶ καὶ ἡ τῆς ἀπάτης π φασις ἐπίληπτος ἦν οὐ μετρίως, ἣν οὐκ ἄξιον ρασιωπῆσαι. Λέγεται τὸ παλαιὸν τὸ ἰοβόλον

γηγενὲς ἑρπετὸν, ὄφις, ἀνθρώπου φωνὴν προΐεσθαι. Καί ποτε προςελθὼν τῇ τοῦ πρώτου φύντος ἀνδρὸς γυναικὶ, τῆς βραδυτῆτος καὶ τῆς ἄγαν εὐλαβείας ὀνειδίσαι, διότι μέλλει καὶ ὑπερτίθεται πάγκαλον ὀφθῆναι καὶ ἥδιστον ἀπολαυσθῆναι καρπὸν δρέπεσθαι, πρὸς δὲ καὶ ὠφελιμώτατον, ᾧ δυνήσεται γνωρίζειν ἀγαθά τε αὖ καὶ κακά. Τὴν δὲ ἀνεξετάστως ἀπὸ γνώμης ἀβεβαίου καὶ ἀνιδρύτου συναι-
38νέσασαν ἐμφαγεῖν τοῦ καρποῦ, καὶ τῷ ἀνδρὶ μετα-
M.δοῦναι, — καὶ τοῦτ᾽ ἐξαπιναίως ἀμφοτέρους ἐξ ἀκακίας καὶ ἁπλότητος ἠθῶν εἰς πανουργίαν μετέβαλεν, — ἐφ᾽ ᾧ τὸν πατέρα χαλεπήναντα — ἡ γὰρ πρᾶξις ὀργῆς ἀξία, ἐπεὶ παρελθόντες τὸ ζωῆς ἀθανάτου φυτὸν, τὴν ἀρετῆς παντέλειαν, ὑφ᾽ ἧς μακραίωνα καὶ εὐδαίμονα βίον ἐδύναντο καρποῦσθαι, τὸν ἐφήμερον καὶ θνητὸν, οὐ βίον, ἀλλὰ χρόνον κακοδαιμονίας μεστὸν εἵλοντο — κολάσεις ὁρίσαι κατ᾽ αὐτῶν τὰς προςηκούσας.

§. 56. Ἔστι δὲ ταῦτα οὐ πλάσματα μύθων, οἷς τὸ ποιητικὸν καὶ σοφιστικὸν χαίρει γένος, ἀλλὰ τρόπον τύπων, ἐπ᾽ ἀλληγορίαν παρακαλούντων, κατὰ τὰς δι᾽ ὑπονοιῶν ἀποδόσεις. Ἑπόμενος δέ τις εἰκότι στοχασμῷ, φήσει προςηκόντως τὸν εἰρημένον ὄφιν ἡδονῆς εἶναι σύμβολον, ὅτι πρῶτον μὲν ἄπους ἐστὶ, πρηνὴς πεπτωκὼς ἐπὶ γαστέρα· δεύτερον δὲ, ὅτι γῆς βώλοις σιτίῳ χρῆται· τρίτον δὲ, ὅτι τὸν ἰὸν ἐπιφέρεται τοῖς ὀδοῦσιν, ᾧ τοὺς δηχθέντας ἀναιρεῖν πέφυκεν. Οὐδενὸς δὲ τῶν λεχθέντων ὁ φιλήδονος ἀμοιρεῖ. Μόλις τε γὰρ τὴν κεφαλὴν ἐπαίρει, βαρυνόμενος καὶ καθελκόμενος, ἐκτραχηλιζούσης καὶ ὑποσκελιζούσης τῆς ἀκρασίας. Σιτεῖταί τε οὐκ οὐράνιον τροφὴν, ἣν ὀρέγει τοῖς φιλοθεάμοσι διὰ λόγων καὶ δογμάτων σοφία· τὴν δ᾽ ἀναδιδομένην ἐκ γῆς κατὰ τὰς ἐτησίους ὥρας, ἐξ ἧς οἰνοφλυγίαι καὶ ὀψοφαγίαι καὶ λαιμαργίαι, τὰς γαστρὸς ἐπιθυμίας προςαναῤῥηγνύουσαι καὶ ἀναῤῥιπίζουσαι καὶ ἀνδραποδίζουσαι πρὸς γαστριμαργίαν, συναύξουσι

καὶ ἀναῤῥηγνύουσι τοὺς ὑπογαστρίους οἴστρους. Σ
τοπόνων τε γὰρ καὶ ὀψαρτυτῶν κάματον περιλ
χνεύουσι. Καί τις ἀπὸ τῶν ἡδυσμάτων κνίσσης
κύκλῳ τὴν κεφαλὴν περιάγων μεταλαμβάνειν ἡδ
τῆς θέας ὀρέγεται, καὶ ὁπότε πολυτελῆ τράπεζαν θεά
σαιτο, ἐπιβαλὼν αὐτὸν ὅλον ἐπὶ τὰ εὐτρεπισθέντ
ἐκχεῖται, πάντων ἀθρόον σπουδάζων ἐμφορεῖσθα
τέλος οὐκ ἄλλο, ἢ τὸ μηδὲν ὑπολείπεσθαι τῶν ε
τρεπισθέντων ποιούμενος. Ὅθεν οὐχ ἧττον ὄφει
αὐτοῖς ὀδοῦσιν ἐπιφέρεται τὸν ἰόν· οὗτοι γάρ εἰσ
ἀπληστίας ὑπηρέται καὶ ὑπουργοὶ, πάνθ᾽ ὅσα πρ
ἐδωδὴν τέμνοντές τε καὶ λεαίνοντες, καὶ τὸ μ
πρῶτον γλώττῃ παραδιδόντες τῇ χυλοὺς δικαζού
39 πρὸς ἐπίκρισιν, ἔπειτα δὲ φάρυγγι. Σιτίων δὲ ἀμ
M. τρία θανατῶδες φύσει καὶ ἰοβόλον, ἅτε πέψιν οὐ
ἐνδεχομένων διὰ τὴν τῶν ἐπεισιόντων ἐπιφορὰν,
γίνεται πρὶν ἐξικμασθῆναι καὶ τὰ πρότερα. Φωνὴ
δὲ ἀνθρώπειον ὄφις λέγεται προΐεσθαι, διότι μυρ
οις ὑπερμάχοις καὶ προαγωνισταῖς ἡδονὴ χρῆται τὴ
ἐπιμέλειαν αὐτῆς ἀνειληφόσιν, οἳ τολμῶσιν ἀναδιδ
σκειν, ὅτι τὸ πάντων κράτος ἀνῆπται μικρῶν τε κ
μεγάλων οὐδενὸς ὑπεξῃρημένου τὸ παράπαν.

§. 57. Ἀλλ᾽ αἵ τε πρῶται τοῦ ἄῤῥενος πρὸς τὸ θῆλ
σύνοδοι ξεναγὸν ἔχουσιν ἡδονὴν, αἵ τε σποραὶ κ
γενέσεις διὰ ταύτης συνίστανται. Τά τε γεννώμε
οὐδενὶ πρῶτον οἰκειοῦσθαι πέφυκεν ἢ ταύτῃ, χα
ροντα μὲν ἡδονῇ, τὴν δὲ ἐναντίαν ἀλγηδόνα δυσχ
ραίνοντα. Παρὸ καὶ ἀποκλαίεται τὸ βρέφος ἀπο
κυηθὲν, ἀλγῆσαν, ὡς ἔοικε, τῇ περιψύξει. Ἐκ γὰ
θερμοτάτου καὶ πυρωδεστάτου χωρίου τοῦ κατὰ τ
μήτραν, ᾧ πολὺν χρόνον ἐνδιῃτήθη, προελθὸν ἐξ
πιναίως εἰς ἀέρα, ψυχρὸν καὶ ἀσυνήθη τόπον, ἐπλ
χθη, καὶ τῆς ὀδύνης καὶ τοῦ δυσχεραίνειν ἀλγηδό
τὰ κλαύματα δεῖγμα παρέχει ἐναργέστατον. Σπεύδ
τε γὰρ, φασὶ, πᾶν ζῶον, ὡς ἐπὶ ἀναγκαιότατον κ
συνεκτικώτατον τέλος, ἡδονὴν, καὶ μάλιστα ἄνθρ

πος. Τὰ μὲν γὰρ διὰ γεύσεως μόνον καὶ τῶν γεννητικῶν ἐφίεται ταύτης· ἄνθρωπος καὶ διὰ τῶν ἄλλων αἰσθήσεων, ὅσα θεάματα ἢ ἀκούσματα τέρψιν δύναται παρασχεῖν ὠσὶ καὶ ὀφθαλμοῖς μεταδιώκων. Λέγεται δὲ καὶ πρὸς ἔπαινον τοῦ πάθους ἄλλα παμπληθῆ, καὶ ὥς ἐστιν οἰκειότατον καὶ συγγενέστατον ζώοις.

§. 58. Ἀπόχρη δὲ δείγματος ἕνεκα καὶ τὰ νῦν εἰρημένα, ὧν χάριν ἀνθρωπίνην φωνὴν ἔδοξεν ὁ ὄφις προΐεσθαι. Διό μοι δοκεῖ καὶ ἐν τοῖς κατὰ μέρος νόμοις, οὓς περὶ ζώων ἔγραψεν, ἅτε χρὴ προςφέρεσθαι, καὶ ἃ τὸ ἐναντίον, ἐπαινέσαι μάλιστα τὸν ὀφιομάχην ἐπικαλούμενον. Ἑρπετὸν δέ ἐστιν ἔχον ἀνωτέρω σκέλη τῶν ποδῶν, οἷς ἀπὸ γῆς πέφυκε πηδᾶν καὶ μετέωρον αἴρεσθαι, καθάπερ τὸ τῶν ἀκρίδων γένος. Ὁ γὰρ ὀφιομάχης οὐδὲν ἄλλο ἢ συμβολικῶς ἐγκράτεια εἶναί μοι δοκεῖ, μάχην ἀκαθαίρετον καὶ πόλεμον ἄσπονδον ἐκφέρουσα πρὸς ἀκρασίαν καὶ ἡδονήν. Ἡ μὲν γὰρ εὐτέλειαν καὶ ὀλιγοδείαν, καὶ ὅσον ἀναγκαῖον, φιλαυστήρῳ καὶ σεμνῷ βίῳ, διαφερόντως ἀσπάζεται· ἡ δὲ πολυεργίαν καὶ 38
πολυτέλειαν, ἃ χλιδῆς καὶ θρύψεως αἴτια γίνεται τῇ P.
ψυχῇ τε καὶ τῷ σώματι, δι᾽ ὧν τὴν ὑπαίτιον καὶ θανάτου χαλεπωτέραν ζωὴν παρὰ τοῖς εὐφρονοῦσι συμβέβηκε γίνεσθαι.

§. 59. Τὰς δὲ γοητείας καὶ ἀπάτας αὐτῆς ἡ ἡδονὴ τῷ μὲν ἀνδρὶ οὐ τολμᾷ προςφέρειν, τῇ δὲ
40 γυναικὶ, καὶ διὰ ταύτης ἐκείνῳ· πάνυ προςφυῶς καὶ
M. εὐθυβόλως. Ἐν ἡμῖν γὰρ ἀνδρὸς μὲν ἔχει λόγον ὁ νοῦς, γυναικὸς δὲ αἴσθησις. Ἡδονὴ δὲ προτέραις ἐντυγχάνει καὶ ἐνομιλεῖ ταῖς αἰσθήσεσι, δι᾽ ὧν καὶ τὸν ἡγεμόνα νοῦν φενακίζει. Ἐπειδὰν γὰρ ἑκάστη τῶν αἰσθήσεων τοῖς φίλτροις αὐτῆς ὑπαχθῇ, χαίρουσα τοῖς προτεινομένοις, — ἐπὶ χρωμάτων μὲν καὶ σχημάτων ποικιλίαις ὄψις, ἐπὶ δὲ φωνῶν ἐμμελείαις ἀκοὴ, ἐν δὲ χυλῶν ἡδύτησι γεῦσις, καὶ ἐκ τῆς τῶν ἀναδιδομένων ἀτμῶν εὐωδίας ὄσφρησις, —

δεξάμεναι τὰ δῶρα θεραπαινίδων τρόπον προςφέ-
ρουσιν οἷα δεσπότῃ, τῷ λογισμῷ, παράκλητον ἐπα-
γόμεναι πειθώ, περὶ τοῦ μηδὲν ἀπώσασθαι τὸ πα-
ράπαν. Ὁ δὲ αὐτίκα δελεασθεὶς, ὑπήκοος ἀνθ᾽ ἡ-
γεμόνος, καὶ δοῦλος ἀντὶ δεσπότου, καὶ ἀντὶ πολί-
του φυγὰς, καὶ θνητὸς ἀντ᾽ ἀθανάτου γίνεται. Συν-
όλως γὰρ οὐκ ἀγνοητέον, ὅτι οἷα ἑταιρὶς καὶ μά-
χλος οὖσα ἡδονὴ γλίχεται τυχεῖν ἐραστοῦ, καὶ μα-
στροποὺς ἀναζητεῖ, δι᾽ ὧν τοῦτον ἀγκιστρεύσεται.
Μαστροπεύουσι δὲ αὐτῇ καὶ προξενοῦσι τὸν ἔρωτα
αἰσθήσεις, ἃς δελεάσασα ῥᾳδίως ὑπηγάγετο τὸν νοῦν·
ᾧ τὰ φανέντα ἐκτὸς εἴσω κομίζουσαι, διαγγέλλουσι
καὶ ἐπιδείκνυνται τοὺς τύπους ἑκάστων, ἐνσφραγιζό-
μεναι τὸ ὅμοιον πάθος. Κηρῷ γὰρ ἐοικὼς δέχεται
τὰς διὰ τῶν αἰσθήσεων φαντασίας, αἷς τὰ σώματα
καταλαμβάνει, δι᾽ αὑτοῦ μὴ δυνάμενος, καθάπερ
ἤδη εἶπον.

§. 60. Τὰ δὲ ἐπίχειρα τῆς ἡδονῆς εὐθὺς ἤραντο
οἱ πρότερον γενόμενοι δοῦλοι χαλεποῦ καὶ δυςιάτου
πάθους. Ἡ μὲν γυνὴ σφοδρὰς ἀνίας ἐνδεξαμένη,
τὰς ἐν ὠδῖσι, καὶ τὰς παρὰ τὸν ἄλλον βίον ἐπαλ-
λήλους λύπας, καὶ μάλιστα τὰς ἐπὶ τέκνοις γεννω-
μένοις καὶ τρεφομένοις, καὶ νοσοῦσι καὶ ὑγιαίνουσι,
καὶ εὐτυχοῦσι καὶ ἀτυχοῦσιν, εἰς ἀφαίρεσιν ἐλευθε-
ρίας καὶ τὴν ἀπὸ τοῦ συνόντος ἀνδρὸς δεσποτείαν,
οὗ τοῖς ἐπιτάγμασι πειθαρχεῖν ἀναγκαῖον. Ὁ δὲ
ἀνὴρ ἐν μέρει πόνους καὶ ταλαιπωρίας καὶ συνεχεῖς
ἱδρῶτας, ἕνεκα πορισμοῦ τῶν ἀναγκαίων, καὶ στέ-
ρησιν μὲν τῶν αὐτομάτων ἀγαθῶν, ἅπερ ἐδιδάχθη
φέρειν ἡ γῆ δίχα γεωργικῆς ἐπιστήμης, ἀτρύτων δὲ
μετουσίαν καμάτων εἰς ζήτησιν βίου καὶ τροφῆς,
ὑπὲρ τοῦ μὴ λιμῷ παραπολέσθαι. Οἶμαι γὰρ, ὥς- 39
περ ἥλιον καὶ σελήνην ἀεὶ φωςφορεῖν, ἅπαξ κελευ- P.
σθέντας ἅμα τῇ πρώτῃ γενέσει τοῦ παντὸς, καὶ
41 τὸ θεῖον πρόςταγμα διατηρεῖν, οὐδενὸς ἑτέρου χά-
M. ριν, ἢ ὅτι τῶν ὅρων οὐρανοῦ μακρὰν κακία πεφυ-

γάδευται· τὸν αὐτὸν τρόπον καὶ τῆς γῆς τὴν βαθεῖαν καὶ καρποφόρον, ἄνευ τέχνης καὶ συμπράξεως γεωπόνων ἀνδρῶν, φέρειν ἂν πολλὴν ἀφθονίαν κατὰ τὰς ἐτησίους ὥρας. Νυνὶ δὲ αἱ ἀέναοι πηγαὶ τῶν τοῦ θεοῦ χαρίτων ἐπεσχέθησαν, ὅτε ἤρξατο κακία τὰς ἀρετὰς παρευημερεῖν, ἵνα μὴ ὡς ἀναξίοις χορηγῶσιν. Ἔδει μὲν οὖν τὸ ἀνθρώπων γένος, εἰ τὴν ἁρμόττουσαν ἔμελλε δίκην ὑπομένειν, ἠφανίσθαι διὰ τὴν πρὸς τὸν εὐεργέτην καὶ σωτῆρα θεὸν ἀχαριστίαν. Ὁ δὲ, ἅτε τὴν φύσιν ἵλεως, οἶκτον λαβὼν ἐμετρίασε τὴν τιμωρίαν. Τὸ μὲν γένος ἐάσας διαμένειν, τὰς δὲ τροφὰς οὐκέθ᾽ ὁμοίως ἐξ ἑτοίμου παρασχὼν, ἵνα μὴ δυσὶ κακοῖς ἀργίᾳ καὶ κόρῳ χρώμενοι, πλημμελῶσι καὶ ὑβρίζωσι.

§. 61. Τοιοῦτος μὲν ὁ βίος τῶν ἐν ἀρχῇ μὲν ἀκακίᾳ καὶ ἁπλότητι χρωμένων· αὖθις δὲ κακίαν ἀντ᾽ ἀρετῆς προτιμώντων, ὧν ἄξιον ἀπέχεσθαι. Διὰ δὲ τῆς λεχθείσης κοσμοποιΐας πολλὰ μὲν καὶ ἄλλα ἡμᾶς ἀναδιδάσκει Μωϋσῆς, πέντε δὲ τὰ κάλλιστα καὶ πάντων ἄριστα. Πρῶτον μὲν, ὅτι ἔστι καὶ ὑπάρχει τὸ θεῖον, διὰ τοὺς ἀθέους. Ὧν οἱ μὲν ἐνεδοίασαν ἐπαμφοτερίσαντες περὶ τῆς ὑπάρξεως αὐτοῦ· οἱ δὲ τολμηρότεροι καὶ κατεθρασύναντο, φάμενοι μηδ᾽ ὅλως εἶναι, λέγεσθαι δὲ αὐτὸ μόνον πρὸς ἀνθρώπων πλάσμασι μυθικοῖς ἐπισκιασάντων τὴν ἀλήθειαν. Δεύτερον δὲ, ὅτι θεὸς εἷς ἐστι, διὰ τοὺς εἰσηγητὰς τῆς πολυθέου δόξης, οἳ οὐκ ἐρυθριῶσι τὴν φαυλοτάτην τῶν κακοπολιτειῶν ὀχλοκρατείαν ἀπὸ γῆς εἰς οὐρανὸν μετοικίζοντες. Τρίτον δὲ, ὡς ἤδη λέλεκται, ὅτι γενητὸς ὁ κόσμος, διὰ τοὺς οἰομένους αὐτὸν ἀγέννητον καὶ ἀΐδιον εἶναι, οἳ πλεῖον οὐδὲν ἀπονέμουσι θεῷ. Τέταρτον δὲ, ὅτι καὶ εἷς ἐστιν ὁ γεγονὼς κόσμος, ἐπειδὴ καὶ εἷς ὁ δημιουργὸς, ὃς ἐξομοιώσας αὐτῷ κατὰ τὴν μόνωσιν τὸ ἔργον, πάσῃ κατεχρήσατο τῇ οὐσίᾳ εἰς τὴν τοῦ ὅλου γένεσιν. Ὅλον γὰρ οὐκ ἂν ἦν, εἰ μὴ ἐξ ὅλων ἐπάγη,

καὶ συνέστη τῶν μερῶν. Εἰσὶ γὰρ οἱ πλείους παρα-
λαμβάνοντες κόσμους εἶναι, οἱ δὲ καὶ ἀπείρους, ἄπειροι
καὶ ἀνεπιστήμονες αὐτοὶ πρὸς ἀλήθειαν ὄντες, ὧν καλὸν
ἐπιστήμην ἔχειν. Πέμπτον δὲ, ὅτι καὶ προνοεῖ τοῦ
κόσμου ὁ θεός. Ἐπιμελεῖσθαι γὰρ ἀεὶ τὸ πεποιηκὸς
τοῦ γεγεννημένου, φύσεως νόμοις καὶ θεσμοῖς ἀναγ-
42 καῖον, καθὼς καὶ γονεῖς τέκνων προμηθοῦνται. Ὁ
M. δὲ ταῦτα μὴ ἀκοῇ μᾶλλον ἢ διανοίᾳ προμαθὼν, καὶ
ἐν τῇ αὐτοῦ ψυχῇ σφραγισάμενος, θαυμάσια καὶ
περιμάχητα εἴδη, ὅτι τε ἔστι καὶ ὑπάρχει θεὸς, καὶ
ὅτι εἷς ὁ ὢν ὄντως ἐστὶ, καὶ ὅτι πεποίηκε τὸν κό-
σμον, καὶ πεποίηκεν ἕνα, ὡς ἐλέχθη, κατὰ τὴν μόνω-
σιν ἐξομοιώσας ἑαυτῷ, καὶ ὅτι ἀεὶ προνοεῖ τοῦ γε-
γονότος· μακαρίαν καὶ εὐδαίμονα ζωὴν βιώσεται, δό-
γμασιν εὐσεβείας καὶ θειότητος χαραχθεῖσαν.

ΝΟΜΩΝ ΙΕΡΩΝ

ΑΛΛΗΓΟΡΙΑΙ ΠΡΩΤΑΙ

ΤΩΝ ΜΕΤΑ ΤΗΝ ἙΞΑΗΜΕΡΟΝ.

SACRARUM LEGUM
ALLEGORIARUM
POST SEX DIERUM OPUS.
LIBER I.

Argumentum.

(Cf. Gen. 2, 1 sqq.)

(1) Coeli et terrae creatione indicatur mentis sensuumque perfectio, quae (2) inde censenda, quod deus sex diebus illa absolvit; senarius enim numerus perfectus. Septimo die (3) deus quievit, — h. e. creatis alia addere desiit; deus enim agendo nunquam cessat, - propter septenarii (4 et 5) virtutes eximias. Ad huius (6 et 7) igitur numeri rationem mores sunt componendi. Libro (8) generationis verbum dei, (9) coelo intellectus, terrâ sensus (10), virente agri intelligibile, pluviâ efficacia dei, fonte (11) animus innuuntur. Hominis (12 et 13) natura duplex, cuius pars sublimior debetur afflatui divino. Paradisus (14) est sapientia terrena, i. e. virtus. Plantatio (15) paradisi figurate indicat, a deo amorem virtutis hominum animis inseri. Homo (16), quem deus in paradiso posuit, duplex, et corporeus et spiritualis, quorum ille eiectus est, hic mansit. Arbores (17) sunt virtutes; arbor vitae (18) virtus illa universalis, ex qua speciales procedunt, quae quatuor fluviis Edem (19 - 24) innuuntur, prudentia, fortitudo, temperantia, iustitia. Aurum (25) est prudentia illa, quae dei sapientiae inest. Carbunculus (26) et lapis prasinus referunt prudentiam et virtutem humanam. Physon et Geon (27) cir-

cummeant regiones quasdam, ut significetur, prudentiam fortitudine iunctam murum esse contra vitia opposita. (28), quem deus apprehendit, purior est illa hominis quam intra virtutes posuit, ut bona operetur; pars ho terrena est, quae dicitur Adam (29). Hic cunctis anim nomina imposuit, sibi non; quod factum (30), quia hom ipsum naturamque suam ignorat. Protoplastis (31) omnibus narum arborum, i. e. virtutum, fructus frui licuit; arbor cuius fructus tangi vetuit, extra paradisum erat, utut m extra bonum. Quam dum vitari iussit, homines voluit sa tiam sequi, quae maxime in abstinentia a rebus sensus tantibus cernitur. (33) Mors, quam deus praecepta sua t gredientibus minatus est, non est mors corporis, sed ani i. e. assumptio vitii, quae sola hominis perniciem efficit.

---

43 §. 1. "Καὶ ἐτελέσθησαν οἱ οὐρανοὶ καὶ ἡ
M. καὶ πᾶς ὁ κόσμος αὐτῶν." *) Νοῦ καὶ αἰσθήσ γένεσιν εἰπὼν πάλαι, νῦν δι' ἀμφοτέρων τελείω διασυνίστησιν. Οὔτε δὲ νοῦν τὸν ἄτομον, οὔτε σθησιν τὴν ἐν μέρει πέρας εἰληφέναι φησὶν, ἀ ἰδέας, τὴν μὲν νοῦ τὴν δὲ αἰσθήσεως. Συμβολι μὲν τὸν νοῦν οὐρανὸν, ἐπειδὴ αἱ νοηταὶ φύσεις οὐρανῷ, τὴν δὲ αἴσθησιν καλεῖ γῆν, ὅτι σύστα σωματοειδῆ καὶ γεωδεστέραν ἔλαχεν αἴσθησις. σμος δὲ νοῦ μὲν, τὰ ἀσώματα καὶ νοητὰ πάν αἰσθήσεως δὲ, τὰ ἐνσώματα καὶ ὅσα συνόλως σθητά.

44 §. 2. "Καὶ συνετέλεσεν ὁ θεὸς ἐν τῇ ἡμέρᾳ
M. ἕκτῃ ἔργον αὐτοῦ ὃ ἐποίησεν." Εὔηθες πάνυ οἴεσθαι ἓξ ἡμέραις, ἢ καθόλου χρόνῳ κόσμον γε νέναι, διότι σύμπας ὁ χρόνος ἡμερῶν καὶ νυκ ἐστι διάστημα, καὶ ταῦτα ἡλίου κίνησις ὑπὲρ καὶ ὑπὸ γῆν ἰόντος ἐξ ἀνάγκης ἀποτελεῖ. Ἥλιος

---

*) Gen. 2, 1 sqq.

μέρος οὐρανοῦ γέγονεν, ὥςτε χρόνον ἀνομολογεῖσθαι νεώτερον κόσμου. Λέγοιτ᾽ ἂν οὖν ὀρθῶς, ὅτι οὐκ ἐν χρόνῳ γέγονε κόσμος, ἀλλὰ διὰ κόσμου συνέστηκε χρόνος· ἡ γὰρ οὐρανοῦ κίνησις χρόνου φύσιν ἔδειξεν. Ὅταν οὖν λέγῃ, "Συνετέλεσεν ἕκτῃ ἡμέρᾳ τὰ ἔργα," νοητέον ὅτι οὐ πλῆθος ἡμερῶν παραλαμβάνει, τέλειον δὲ ἀριθμὸν τὸν ἕξ. ἐπειδὴ πρῶτος ἴσος ἐστὶ τοῖς ἑαυτοῦ μέρεσιν, ἡμίσει καὶ τρίτῳ, καὶ ἕκτῳ, καὶ ἀπὸ ἑτερομήκους συνίσταται, τοῦ δὶς τρία. Δυὰς μέντοι καὶ τριὰς ἐκβέβηκε τὴν κατὰ τὸ ἓν ἀσωματότητα, ὅτι ἡ τῆς μὲν ὕλης ἐστὶν εἰκὼν, διαιρουμένη καὶ τεμνομένη καθάπερ ἐκείνη· τριὰς δὲ στερεοῦ σώματος, ὅτιπερ τριχῇ τὸ στερεὸν διαιρετόν. Οὐ μὴν ἀλλὰ καὶ συγγενὴς ἐστι ταῖς τῶν ὀργανικῶν ζώων κινήσεσιν. Ἑξαχῇ γὰρ τὸ ὀργανικὸν σῶμα πέφυκε κινεῖσθαι, πρόσω, κατόπιν, ἄνω, κάτω, ἐπὶ δεξιὰ καὶ εὐώνυμα. Βούλεται γοῦν τά τε θνητὰ γένη, καὶ πάλιν αὖ τὰ ἄφθαρτα κατὰ τοὺς οἰκείους ἐπιδεῖξαι συστάντα ἀριθμούς. Τὰ μὲν θνητὰ ὡς ἔφην, καταμετρῶν ἑξάδι, τὰ δὲ μακάρια καὶ εὐδαίμονα ἑβδομάδι. Πρῶτον οὖν ἑβδόμῃ ἡμέρᾳ καταπαύσας τὴν τῶν θνητῶν σύστασιν, ἄρχεται ἑτέρων θειοτέρων διατυπώσεων.

§. 3. Παύεται γὰρ οὐδέποτε ποιῶν ὁ θεὸς, ἀλλ᾽ ὥςπερ ἴδιον τὸ καίειν πυρὸς, καὶ χιόνος τὸ ψύχειν, οὕτω καὶ θεοῦ τὸ ποιεῖν· καὶ πολύ γε μᾶλλον, ὅσῳ καὶ τοῖς ἄλλοις ἅπασιν ἀρχὴ τοῦ δρᾶν ἐστιν. Εὖ μέντοι καὶ τὸ φάναι "κατέπαυσεν," οὐχὶ "ἐπαύσατο." παύει μὲν γὰρ τὰ δοκοῦντα ποιεῖν, οὐκ ἐνεργοῦντα· οὐ παύεται δὲ ποιῶν αὐτός. Διὸ καὶ ἐπιφέρει, "Κατέπαυσεν ὧν ἤρξατο." Ὅσα μὲν γὰρ ταῖς ἡμετέραις τέχναις δημιουργεῖται, ταῦτα τελειωθέντα ἵσταται καὶ μένει, ὅσα δὲ ἐπιστήμῃ θεοῦ περαιωθέντα, πάλιν κινεῖται. Τὰ γὰρ τέλη αὐτῶν ἑτέρων εἰσὶν ἀρχαὶ, οἷον ἡμέρας τέλος, νυκτὸς ἀρχή.

45 Καὶ μῆνα δὲ καὶ ἐνιαυτὸν ἐνισταμένους, ἀρχῆι
M. που τῶν ἑξῆς ἰόντων ὑποληπτέον. Φθειρομένι
αὖ γένεσις ἑτέρων, καὶ φθορὰ γενομένων ἀ
ἀποτελεῖται, ὥςτε ἀληθὲς εἶναι τὸ λεγόμενον, ὅ

- - - - θνήσκει δὲ οὐδὲν
Τῶν γινομένων· διακρινόμενον
Δ' ἄλλο πρὸς ἄλλο
Μορφὴν ἑτέραν ἀπέδειξε.

§. 4. Χαίρει δὲ ἡ φύσις ἑβδομάδι· πλάν τε γὰρ ἑπτὰ γεγόνασιν, ἀντίῤῥοποι τῇ κατὰ τα καὶ ὡςαύτως ἐχούσῃ φορᾷ. Καὶ ἄρκτος ἑπτὰ στροις συμπληροῦται, κοινωνίας καὶ ἑνώσεως ἀνθ πων, οὐκ ἐπιμιξίας αὐτὸ μόνον, οὖσα αἰτία. τροπαὶ δὲ σελήνης ἑβδομάσι γίνονται, συμπαθεσ του πρὸς τὰ ἐπίγεια τοῦ ἄστρου. Καὶ ἃς κατὰ ἀέρα μεταβολὰς ἐργάζεται, μάλιστα τοῖς κατὰ ἑβ μάδα σχηματισμοῖς ἀποτελεῖ. Τά γε μὴν θνη ὡς ἔφην, ἅπαντα σπάσαντα ἀπ' οὐρανοῦ θειοτέ ἀρχὴν, κατὰ ἑβδομάδα σωτηρίως κινεῖται. Τίς γ οὐκ οἶδεν, ὅτι τῶν βρεφῶν τὰ μὲν ἑπταμηνιαῖα νιμα, τὰ δὲ πλείω χρόνον προςλαβόντα, ὡς ὀκ μῆνας ἐνδιαιτηθῆναι γαστρὶ, κατὰ τὸ πλεῖστον ἄ να; Λογικόν τέ φασιν ἄνθρωπον κατὰ τὴν πρώ ἑπταετίαν γίγνεσθαι, ὅτε ἤδη ἱκανός ἐστιν ἑρμην εἶναι τῶν συνήθων ὀνομάτων καὶ ῥημάτων, λο κὴν ἕξιν περιποιούμενος. κατὰ δὲ τὴν δευτέραν ἑπτ ετίαν ἄκρως τελειοῦσθαι, τελείωσις δέ ἐστι δύναμ τῆς τοῦ ὁμοίου σπορᾶς· περὶ γὰρ τὴν τετταρεςκαι δεκάτην ἡλικίαν τὸ ὅμοιον γεννᾶν δυνάμεθα. Τρί πάλιν ἑπταετία πέρας ἐστὶν αὐξήσεως· ἄχρι γὰρ ἑν καὶ εἴκοσιν ἐτῶν ἐπιδίδωσιν εἰς μέγεθος ἄνθρωπο καὶ καλεῖται παρὰ πολλοῖς ὁ χρόνος οὗτος ἀκμ Ψυχῆς γε μὴν τὸ ἄλογον ἑπταμερὲς, αἰσθήσει πέντε, καὶ φωνητήριον ὄργανον, καὶ τὸ διῆκον ἄχ παραστατῶν, ὃ δὴ γόνιμόν ἐστι. Πάλιν αὖ σώμα τος ἑπτὰ κινήσεις, ὀργανικαὶ μὲν ἕξ, ἑβδόμη δὲ

κύκλῳ. Σπλάγχνα γε μὴν ἑπτὰ, στόμαχος, καρδία, σπλὴν, ἧπαρ, πνεύμων, νεφροὶ δύο. Μέλη δὲ σώματος ὁμοίως ἰσάριθμα, κεφαλὴ, τράχηλος, στέρνον, χεῖρες, κοιλία, ἦτρον, πόδες. Τό γε ἡγεμονικώτατον τοῦ ζώου πρόσωπον, ἑπταχῇ κατατέτρηται, δυσὶν ὀφθαλμοῖς, καὶ ὠσὶ δυσὶν, ἴσοις μυκτῆρσιν, ἑβδόμῳ στόματι. Αἵ τε ἀποκρίσεις ἑπτὰ, δάκρυα, μύξαι, σίελος, σπέρμα, διττοὶ περιττωμάτων ὀχετοὶ, καὶ δι᾽ ὅλου τοῦ σώματος ἱδρώς. Ἐν μὲν οὖν ταῖς νόσοις κριτικωτάτη ἑβδομάς. Καὶ γυναιξὶ δὲ αἱ καταμήνιοι καθάρσεις ἄχρις ἑβδομάδος παρατείνουσι.

46 §. 5. Διελήλυθε δὲ ἡ δύναμις αὐτῆς καὶ ἐπὶ
M. τὰς ὠφελιμωτάτας τῶν τεχνῶν, τὴν γραμματικήν.
Τὰ γοῦν ἐν γραμματικῇ ἄριστα τῶν στοιχείων καὶ πλείστην ἔχοντα δύναμιν, ἑπτά ἐστι φωνήεντα. Κατά τε μουσικὴν ἡ ἑπτάχορδος λύρα, πάντων σχεδὸν ὀργάνων ἀρίστη· διότι τὸ ἐναρμόνιον, ὃ δὴ τῶν μελῳδουμένων γενῶν ἐστι τὸ σεμνότατον, κατ᾽ αὐτὴν μάλιστά πως θεωρεῖται. Τάς τε τῶν φθόγγων τάσεις ἑπτὰ εἶναι συμβέβηκεν, ὀξὺν, βαρὺν, περισπώμενον, δασὺν, ψιλὸν, μακρὸν, βραχύν. Καὶ πρῶτός ἐστιν
ἀπὸ τελείου τοῦ ἓξ καὶ μονάδος. Κατά τινα λόγον 43
οἱ ἐντὸς δεκάδος ἀριθμοὶ γεννῶνται ἢ γεννῶσι τοὺς P.
ἐντὸς δεκάδος καὶ αὐτήν· ἡ δέ γε ἑβδομὰς οὔτε γεννᾷ τινα τῶν ἐντὸς δεκάδος ἀριθμῶν, οὔτε γεννᾶται ὑπό τινος. Παρ᾽ ὃ μυθεύοντες οἱ Πυθαγόρειοι τῇ ἀειπαρθένῳ καὶ ἀμήτορι αὐτὴν ἀπεικάζουσιν, ὅτι οὔτε ἀπεκυήθη, οὔτε ἀποτέξεται.

§. 6. „Κατέπαυσεν οὖν τῇ ἑβδόμῃ ἡμέρᾳ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησε."*) Τοῦτο δὲ ἐστὶ τοιοῦτο· τὰ θνητὰ γένη παύεται πλάττων ὁ θεὸς, ὅταν ἄρχηται ποιεῖν τὰ θεῖα, καὶ ἑβδομάδος φύσει οἰκεῖα. Ἡ δὲ πρὸς τὸ ἦθος ἀπόδοσίς ἐστι τοιαύτη· ὅταν ἐπιγίνηται τῇ ψυχῇ ὁ κατὰ ἑβδομάδα ἅγιος

*) Gen. 2, 2 sqq.

λόγος, ἐπέχεται ἡ ἑξῆς καὶ ὅσα θνητὰ τουτὶ ποιεῖν δοκεῖ.

§. 7. "Καὶ ηὐλόγησεν ὁ θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτήν." Τοὺς κατὰ τὸ ἕβδομον καὶ θεῖον ὡς ἀληθῶς φῶς ποιηθέντας τρόπους εὐλογεῖ τε ὁ θεὸς, καὶ εὐθὺς ἁγίους ἀποφαίνει. Συγγενέστατοι γὰρ ἀλλήλοις ὅ τε εὐλόγιστος καὶ ὁ ἅγιος. Διὰ τοῦτο ἐπὶ τοῦ τὴν μεγάλην εὐχὴν εὐξαμένου φησὶν, ὅτι "Ἐὰν τροπὴ κατασκήψασα αἰφνίδιος μιάνῃ τὸν νοῦν, οὐκ ἔτ' ἔσται ἅγιος." *) Ἀλλ' αἱ ἡμέραι αἱ πρότεραι ἄλογοι, κατὰ τὸ εἰκός· ἀλόγιστος γὰρ ὁ μὴ ἅγιος τρόπος, ὥςτε ὁ εὐλόγιστος ἅγιος. Ὀρθῶς οὖν ἔφη, ὅτι "τὴν ἑβδόμην ηὐλόγησέ τε καὶ ἡγίασεν, ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἤρξατο ὁ θεὸς ποιῆσαι." Αἰτία δι' ἣν εὐλόγιστός τε καὶ ἅγιος γέγονεν ὁ κατὰ τὸ ἕβδομον καὶ τέλειον φῶς ἄγων ἑαυτὸν, ἐπεὶ ἐν ταύτῃ τῇ φύσει παύεται ἡ τῶν θνητῶν σύστασις. Καὶ γὰρ οὕτως ἔχει· ὅταν ἀνατείλῃ φέγγος τῆς ἀρετῆς τὸ λαμπρὸν καὶ θεῖον ὄντως, ἐπέχεται τῆς ἐναν-
47 τίας φύσεως ἡ γένεσις. Ἐδηλώσαμεν δὲ ὅτι ποιῶν
M. ὁ θεὸς οὐ παύεται, ἀλλ' ἑτέρων γενέσεως ἄρχεται, ἅτε οὐ τεχνίτης μόνον, ἀλλὰ καὶ πατὴρ ὢν τῶν γιγνομένων.

§. 8. "Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς, ὅτε ἐγένοντο." **) Οὗτος ὁ κατὰ ἑβδομάδα κινούμενος τέλειος λόγος, ἀρχὴ γενέσεως τοῦ τε κατὰ τὰς ἰδέας τεταγμένου νοῦ, καὶ τῆς κατὰ τὰς ἰδέας τεταγμένης νοητῆς, εἰ οἷόν τε τοῦτο εἰπεῖν, αἰσθήσεως. Βιβλίον δὲ εἴρηκε τὸν τοῦ θεοῦ λόγον, ᾧ συμβέβηκεν ἐγγράφεσθαι καὶ ἐγχαράττεσθαι τὰς τῶν ἄλλων συστάσεις. Ἵνα δὲ μὴ καθ' ὡρισμένας χρόνων περιόδους ὑπολάβῃς τὸ θεῖόν τι ποιεῖν, ἀλλ'

*) Cf. Num. 6, 9.

**) Gen. 2, 4 sqq.

ἀειδῆ, ἄδηλα, ἀτέκμαρτα καὶ ἀκατάληπτα τῷ θνη-
τῷ γένει τὰ δημιουργούμενα, ἐπιφέρει τὸ "ὅτε ἐγένε- 44
το," τὸ πότε κατὰ περιγραφὴν οὐ διορίζων· ἀπερι- P.
γράφως γὰρ γίνεται τὰ γινόμενα ὑπὸ τοῦ αἰτίου. Ἀνῄρηται τοίνυν τὸ ἐν ἓξ ἡμέραις γεγενῆσθαι τὸ πᾶν.

§. 9. "Ἡι ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πᾶν χλωρὸν ἀγροῦ πρὸ τοῦ γενέσθαι ἐπὶ τῆς γῆς, καὶ πάντα χόρτον ἀγροῦ πρὸ τοῦ ἀνατεῖλαι· οὐ γὰρ ἔβρεξεν ὁ θεὸς ἐπὶ τὴν γῆν, καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν." Τὴν ἡμέραν ταύτην ἐπάνω βιβλίον εἴρηκεν, εἴγε ἐν ἀμφοτέροις οὐρανοῦ καὶ γῆς ὑπογράφει γένεσιν. Τῷ γὰρ περιφανεστάτῳ καὶ τηλαυγεστάτῳ ἑαυτοῦ λόγῳ ῥήματι ὁ θεὸς ἀμφότερα ποιεῖ, τήν τε ἰδέαν τοῦ νοῦ, ὃν συμβολικῶς οὐρανὸν κέκληκε, καὶ τὴν ἰδέαν τῆς αἰσθήσεως, ἣν διὰ σημείου γῆν ὠνόμασεν. Ἀγροῖς δὲ ἀπεικάζει δυσὶ τήν τε ἰδέαν τοῦ νοῦ, καὶ τὴν ἰδέαν τῆς αἰσθήσεως. Φέρει γὰρ ὁ μὲν νοῦς καρποὺς, τὰ ἐν τῷ νοεῖν· ἡ δὲ αἴσθησις, τὰ ἐν τῷ αἰσθάνεσθαι. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὥςπερ τοῦ ἐπὶ μέρους καὶ ἀτόμου νοῦ προϋπάρχει τις ἰδέα, ὡς ἂν ἀρχέτυπος καὶ παράδειγμα τούτου, καὶ πάλιν τῆς κατὰ μέρος αἰσθήσεως, σφραγῖδος λόγον ἔχουσα, εἴδη τυπούσης· πρὶν μὲν γενέσθαι τὰ ἐπὶ μέρους νοητὰ, ἦν τὸ αὐτὸ τοῦτο νοητὸν, οὗ κατὰ μετοχὴν καὶ τὰ ἄλλα ὠνόμασται· πρὶν δὲ γενέσθαι τὰ κατὰ μέρος αἰσθητὰ, ἦν τὸ αὐτὸ τοῦτο γενικὸν αἰσθητὸν, οὗ κατὰ μετουσίαν καὶ τὰ ἄλλα αἰσθητὰ
48 γέγονε. "Χλωρὸν μὲν ἀγροῦ" τὸ νοητὸν εἴρηκε τοῦ
M. νοῦ. ὡς γὰρ ἐν ἀγρῷ τὰ χλωρὰ βλαστάνει καὶ ἀνθεῖ, οὕτω βλάστημα τοῦ νοῦ τὸ νοητόν ἐστι. Πρὶν οὖν τὸ κατὰ μέρος νοητὸν γενέσθαι, τὸ αὐτὸ τοῦτο νοητὸν ἀπετέλει γενικὸν, ὃ δὴ καὶ "πᾶν" κέκληκεν ὑγιῶς. Τὸ μὲν γὰρ κατὰ μέρος νοητὸν ἀτελὲς ὂν, οὐ πᾶν, τὸ δὲ γενικὸν, ἅπαν, ἅτε πλῆρες ὄν.

§. 10. „Καὶ πάντα," φησὶ, „χόρτον ἀγροῦ πρὶν ἀνατεῖλαι." Τουτέστι· πρὶν ἀνατεῖλαι κατὰ μέρος αἰσθητὰ ἦν τὸ γενικὸν αἰσθητὸν προμηθείᾳ τοῦ πεποιηκότος, ὃ δὴ πάλιν „ἅπαν" εἴρηκεν. Εἰκότως μέντοι τὸ αἰσθητὸν ἀπείκασε χόρτῳ. Ὡς γὰρ ὁ χόρτος ἀλόγου τροφὴ, οὕτως τὸ αἰσθητὸν τῷ ἀλόγῳ μέρει τῆς ψυχῆς προςκεκλήρωται. Ἐπεὶ διὰ τί „χλωρὸν ἀγροῦ" προειπὼν ἐπιφέρει καὶ „πάντα χόρτον," ὡς οὐ γινομένου χόρτου χλωροῦ τὸ παράπαν; Ἀλλὰ τὸ μὲν ἀγροῦ χλωρὸν, τὸ νοητόν ἐστιν, ἐκβλάστημα νοῦ· ὁ δὲ χόρτος τὸ αἰσθητὸν, τοῦ ἀλόγου τῆς ψυχῆς καὶ αὐτὸ βλάστημα. „Οὐ γὰρ ἔβρεξεν ὁ θεὸς ἐπὶ τὴν γῆν, καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν." Φυσικώτατα· ἐὰν γὰρ μὴ ἐπομβρήσῃ ταῖς αἰσθήσεσι τὰς ἀντιλήψεις τῶν ὑποκειμένων ὁ θεὸς, οὐδὲ ὁ νοῦς ἐργάσεται καὶ πραγματεύσεταί τι περὶ αἴσθησιν. Ἄπρακτος γὰρ αὐτὸς ἐξ ἑαυτοῦ ὢν, μὴ ὥςπερ ὕοντος καὶ ἐπιψεκάζοντος, ὁράσει μὲν χρώματα, φωνὰς δὲ ἀκοῇ, γεύσει δὲ χυλοὺς, καὶ ταῖς ἄλλαις τὰ οἰκεῖα τοῦ αἰτίου. Ὅταν 45
δὲ ἄρδειν ἄρξηται ὁ θεὸς τὴν αἴσθησιν αἰσθητοῖς, P.
τηνικαῦτα καὶ ὁ νοῦς, ἐργάτης οἷα πίονος γῆς, ἀνευρίσκεται. Ἡ δὲ ἰδέα τῆς αἰσθήσεως, ἣν κατὰ σύμβολον γῆν εἴρηκεν, οὐ δεῖται τροφῆς. Τροφὴ δὲ αἰσθήσεως, τὰ ἐπὶ μέρους αἰσθητὰ, ἃ δὴ σώματά ἐστιν. Ἰδέα δὲ σωμάτων ἀλλότριον. Πρὶν οὖν γενέσθαι τὰ κατὰ μέρος συγκρίματα, οὐκ ἔβρεξεν ὁ θεὸς ἐπὶ τὴν ἰδέαν τῆς αἰσθήσεως ἣν εἴρηκε γῆν. Τοῦτο δέ ἐστιν, τροφὴν οὐ παρέσχεν αὐτῇ· οὐδὲ γὰρ ἐδεῖτο αἰσθητοῦ τὸ παράπαν οὐδενός. Τὸ δὲ „Καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν" τοιοῦτόν ἐστιν· ἡ ἰδέα τοῦ νοῦ τὴν ἰδέαν τῆς αἰθήσεως οὐκ εἰργάζετο. Ὁ μὲν γὰρ ἐμὸς καὶ σὸς νοῦς ἐργάζεται τὴν αἴσθησιν διὰ τῶν αἰσθητῶν· ἡ δὲ τοῦ νοῦ ἰδέα, ἅτε ἂν μηδενὸς ὄντος ἐπὶ μέρους οἰκείου σώματος, οὐκ ἐργάζεται τὴν ἰδέαν τῆς αἰσθήσεως.

Εἰ γὰρ εἰργάζετο, διὰ τῶν αἰσθητῶν ἂν εἰργάζετο· αἰσθητὸν δὲ ἐν ἰδέαις οὐδέν.

§. 11. "Πηγὴ δὲ ἀνέβαινεν ἀπὸ τῆς γῆς, καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς." Τὸν μὲν νοῦν
49 εἴρηκε γῆς πηγὴν, τὰς δὲ αἰσθήσεις πρόσωπον. Ὅτι
M χωρίον αὐταῖς ἐξ ἅπαντος τοῦ σώματος πρὸς τὰς
ἰδίας ἐνεργείας ἐπιτηδειότατον, ἡ πάντα προμηθουμένη φύσις ἀπένειμε τοῦτο. Πηγῆς δὲ τρόπον ἄρδει τὰς αἰσθήσεις ὁ νοῦς, ἐπιπέμπων τὰ πρόσφορα ἑκάστῃ ῥεύματα. Ἴδε οὖν πῶς ἀλύσεως τρόπον αἱ τοῦ ζώου δυνάμεις ἀλλήλων ἔχονται. Νοῦ γὰρ, καὶ αἰσθήσεως, ἔτι δὲ καὶ αἰσθητοῦ, τριῶν ὄντων, μέση μέν ἐστιν αἴσθησις, ἄκρον δὲ ἑκάτερον ὅ τε νοῦς καὶ τὸ αἰσθητόν. Ἀλλ᾿ οὐδὲ νοῦς δυνατὸς ἐργάζεσθαι, τουτέστιν ἐνεργῆσαι κατὰ αἴσθησιν, ἐὰν μὴ βρέξῃ καὶ ὕσῃ τὸ αἰσθητὸν ὁ θεὸς, οὔτε ὑσθέντος αἰσθητοῦ ὄφελός ἐστιν, ἐὰν μὴ πηγῆς τρόπον ὁ νοῦς, τείνας ἑαυτὸν ἄχρι τῆς αἰσθήσεως, κινήσῃ τε αὐτὴν ἠρεμοῦσαν καὶ ἀναγάγῃ πρὸς ἀντίληψιν τοῦ ὑποκειμένου. Ὥςτε ἀντίδοσιν ὁ νοῦς καὶ τὸ αἰσθητὸν ἀεὶ μελετῶσι, τὸ μὲν προϋποκείμενον αἰσθήσει, ὡς ἂν ὕλῃ, ὁ δὲ κινῶν τὴν αἴσθησιν πρὸς τὸ ἐκτὸς, ὡς ἂν τεχνίτης, ἵνα γένηται ὁρμή. Τὸ γὰρ ζῶον τοῦ μὴ ζώου δυσὶ προέχει, φαντασίᾳ καὶ ὁρμῇ. Ἡ μὲν οὖν φαντασία συνίσταται, κατὰ τὴν τοῦ ἐκτὸς πρόσοδον τυποῦντος νοῦν δι᾿ αἰσθήσεως. Ἡ δὲ ὁρμὴ τὸ ἀδελφὸν τῆς φαντασίας, κατὰ τὴν τοῦ νοῦ τονικὴν δύναμιν, ἣν τείνας δι᾿ αἰσθήσεως ἅπτεται τοῦ ὑποκειμένου, καὶ πρὸς αὐτὸ χωρεῖ, γλιχόμενος ἐφικέσθαι καὶ συλλαβεῖν αὐτό.

§. 12. "Καὶ ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον χοῦν λαβὼν ἀπὸ τῆς χθονὸς, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς. Καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν." Διττὰ ἀνθρώπων γένη· 46
ὁ μὲν γάρ ἐστιν οὐράνιος ἄνθρωπος, ὁ δὲ γήϊνος. P.
Ὁ μὲν οὖν οὐράνιος, ἅτε κατ᾿ εἰκόνα θεοῦ γεγονὼς,

φθαρτῆς καὶ συνόλως γεώδους οὐσίας ἀμέτοχος· ὁ δὲ γήϊνος ἐκ σποράδος ὕλης, ἣν χοῦν κέκληκεν, ἐπάγη. Διὸ τὸν μὲν οὐράνιόν φησιν οὐ πεπλάσθαι κατ' εἰκόνα δὲ τετυπῶσθαι θεοῦ· τὸ δὲ γήϊνον πλάσμα, ἀλλ' οὐ γέννημα εἶναι τοῦ τεχνίτου. Ἄνθρωπον δὲ τὸν ἐκ τῆς λογιστέον εἶναι νοῦν εἰςκρινόμε-
50 νον σώματι, οὔπω δὲ εἰςκεκριμένον. Ὁ δὲ νοῦς οὗ-
M. τος γεώδης ἐστὶ τῷ ὄντι καὶ φθαρτὸς, εἰ μὴ ὁ θεὸς ἐνέπνευσεν αὐτῷ δύναμιν ἀληθινῆς ζωῆς. Τότε γὰρ "γίνεται" καὶ οὐκέτι πλάττεται εἰς ψυχὴν, οὐκ ἀργὴν καὶ ἀδιατύπωτον, ἀλλ' εἰς νοερὰν καὶ ζῶσαν ὄντως, "Εἰς ψυχὴν γὰρ," φησὶ, "ζωῆς ἐγένετο ὁ ἄνθρωπος."

§. 13. Ζητήσειε δ' ἄν τις, διὰ τί ἠξίωσεν ὁ θεὸς τὸν γηγενῆ καὶ φιλοσώματον νοῦν πνεύματος θείου, ἀλλ' οὐχὶ τὸν κατὰ τὴν ἰδέαν γεγονότα καὶ τὴν εἰκόνα ἑαυτοῦ. Δεύτερον δὲ, τί ἐστι τὸ "ἐνεφύσησε." Τρίτον, διὰ τί εἰς τὸ πρόσωπον ἐμπνεῖται. Τέταρτον, διὰ τί, πνεύματος ὄνομα εἰδὼς, ὅταν λέγῃ, "Καὶ πνεῦμα θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος" *), πνοῆς νῦν ἀλλ' οὐχὶ πνεύματος μέμνηται. Πρὸς μὲν οὖν τὸ πρῶτον λεκτέον· ἓν μὲν, ὅτι φιλόδωρος ὢν ὁ θεὸς, χαρίζεται τὰ ἀγαθὰ πᾶσι καὶ τοῖς μὴ τελείοις, προκαλούμενος αὐτοὺς εἰς μετουσίαν καὶ ζῆλον ἀρετῆς, ἅμα καὶ τὸν περιττὸν πλοῦτον ἐπιδεικνύμενος αὐτοῦ, ὅτι ἐξαρκεῖ καὶ τοῖς μὴ λίαν ὠφεληθησομένοις. Τοῦτο δὲ καὶ ἐπὶ τῶν ἄλλων ἐμφαντικώτατα παρίστησιν. Ὅταν γὰρ ὕῃ μὲν κατὰ θαλάττης, πηγὰς δὲ ἐν τοῖς ἐρημοτάτοις ἐπομβρῇ, τὴν δὲ λεπτόγεων καὶ τραχεῖαν καὶ ἄγονον γῆν ἄρδῃ, ποταμοὺς ἀναχέων ταῖς πλημμύραις, τί ἕτερον παρίστησιν, ἢ τὴν ὑπερβολὴν τοῦ τε πλούτου καὶ τῆς ἀγαθότητος αὐτοῦ; Ἥδ' ἐστὶν ἡ αἰτία, δι' ἣν ἄγονον μὲν οὐδεμίαν ψυχὴν ἐδημιούργησεν ἀγα-

*) Gen. 1, 2.

θοῦ, καὶ ἂν ἀδύνατος ἡ χρῆσις ἐνίοις ἦν αὐτοῦ. Ἕ-
τερον δὲ λεκτέον ἐκεῖνο. Βούλεται τὰ θεῖα δίκαια
εἰςαγαγεῖν· ὁ μὲν οὖν μὴ ἐμπνευσθεὶς τὴν ἀληθινὴν
ζωὴν, ἀλλ' ἄπειρος ὢν ἀρετῆς, κολαζόμενος ἐφ' οἷς
ἥμαρτεν εἴπεν ἂν ὡς ἀδίκως κολάζεται, ἀπειρίᾳ γὰρ
τοῦ ἀγαθοῦ σφάλλεσθαι περὶ αὐτό. Αἴτιον δὲ εἶναι
τὸν μηδεμίαν ἐμπνεύσαντα ἔννοιαν αὐτοῦ. Τάχα δὲ
μηδ' ἁμαρτάνειν φήσει τὸ παράπαν, εἴ γε τὰ ἀκού-
σια καὶ τὰ κατὰ ἄγνοιαν οὐδὲ ἀδικημάτων λόγον ἔχειν
φασί τινες. Τό γε μὴν "ἐνεφύσησεν" ἴσον ἐστὶ τῷ
"ἐνέπνευσεν" ἢ "ἐψύχωσε" τὰ ἄψυχα. Μὴ γὰρ 47
τοσαύτης ἀτοπίας ἀναπλησθείημεν, ὥςτε νομίσαι P.
θεὸν στόματος ἢ μυκτήρων ὀργάνοις χρῆσθαι πρὸς
τὸ ἐμφυσῆσαι· ἄποιος γὰρ ὁ θεὸς οὐ μόνον, ἀλλ'
οὐδ' ἀνθρωπόμορφος. Ἐμφαίνει δέ τι καὶ φυσικώ-
τερον ἡ προφορά. Τρία γὰρ εἶναι δεῖ, τὸ ἐμπνέον,
τὸ δεχόμενον, τὸ ἐμπνεόμενον. Τὸ μὲν οὖν ἐμπνέον
ἐστὶν ὁ θεὸς, τὸ δὲ δεχόμενον ὁ νοῦς, τὸ δὲ ἐμπνεό-
51 μενον τὸ πνεῦμα. Τί οὖν ἐκ τούτων συνάγεται; Ἕνω-
M. σις γίνεται τῶν τριῶν, τείνοντος τοῦ θεοῦ τὴν ἀφ'
ἑαυτοῦ δύναμιν διὰ τοῦ μέσου πνεύματος ἄχρι τοῦ
ὑποκειμένου. Τίνος ἕνεκα, ἢ ὅπως ἔννοιαν αὐτοῦ
λάβωμεν; Ἐπεὶ πῶς ἂν ἐνόησεν ἡ ψυχὴ θεὸν, εἰ μὴ
ἐνέπνευσε καὶ ἥψατο αὐτῆς κατὰ δύναμιν; Οὐ γὰρ
ἂν ἐπετόλμησε τοσοῦτον ἀναδραμεῖν ὁ ἀνθρώπινος
νοῦς, ὡς ἀντιλαβέσθαι θεοῦ φύσεως, εἰ μὴ αὐτὸς
ὁ θεὸς ἀνέσπασεν αὐτὸν πρὸς ἑαυτὸν, ὡς ἐνῆν ἀν-
θρώπινον νοῦν ἀνασπασθῆναι, καὶ ἐτύπωσε κατὰ
τὰς ἐφικτὰς νοηθῆναι δυνάμεις. Εἰς δὲ τὸ προς-
ωπον ἐμπνεῖ καὶ φυσικῶς καὶ ἠθικῶς. Φυσικῶς
μὲν, ὅτι ἐν προςώπῳ τὰς αἰσθήσεις ἐδημιούργει·
τοῦτο δὲ μάλιστα τοῦ σώματος τὸ μέρος ἐψύχωται
καὶ ἐμπέπνευσται. Ἠθικῶς δὲ οὕτως· ὥςπερ σώμα-
τος ἡγεμονικόν ἐστι τὸ πρόσωπον, οὕτω ψυχῆς ἡγε-
μονικόν ἐστιν ὁ νοῦς. Τούτῳ μόνῳ ἐμπνεῖ ὁ θεὸς,
τοῖς δὲ ἄλλοις μέρεσιν οὐκ ἀξιοῖ, ταῖς τε αἰσθήσεσι

καὶ τῷ λόγῳ καὶ τῷ γονίμῳ· δεύτερα γάρ ἐστι τῇ δυνάμει. Ὑπὸ τίνος οὖν καὶ ταῦτα ἐνεπνεύσθη; Ὑπὸ τοῦ νοῦ δηλονότι. Οὗ γὰρ μετέσχεν ὁ νοῦς παρὰ τοῦ θεοῦ, τούτου μεταδίδωσι τῷ ἀλόγῳ μέρει τῆς ψυχῆς· ὥστε τὸν μὲν νοῦν ἐψυχῶσθαι ὑπὸ θεοῦ, τὸ δὲ ἄλογον ὑπὸ τοῦ νοῦ. Ὡςανεὶ γὰρ θεός ἐστι τοῦ ἀλόγου ὁ νοῦς, παρ' ὃ καὶ Μωϋσῆν οὐκ ὤκνησεν εἰπεῖν "θεὸν τοῦ Φαραώ."*) Τῶν γὰρ γινομένων τὰ μὲν καὶ ὑπὸ θεοῦ γίγνεται,, καὶ δι' αὐτοῦ· τὰ δὲ ὑπὸ θεοῦ μὲν οὔ, δι' αὐτοῦ δέ· τὰ μὲν ἄριστα καὶ ὑπὸ θεοῦ γέγονε, καὶ δι' αὐτοῦ. Προελθὼν γοῦν ἐρεῖ, ὅτι ἐφύτευσεν ὁ θεὸς παράδεισον. Τούτων καὶ ὁ νοῦς ἐστι. Τὸ δὲ ἄλογον, ὑπὸ θεοῦ μὲν γέγονεν, οὐ διὰ θεοῦ δέ, ἀλλὰ διὰ τοῦ λογικοῦ τοῦ ἄρχοντός τε καὶ βασιλεύοντος ἐν ψυχῇ. Πνοὴν δέ, ἀλλ' οὐ πνεῦμα εἴρηκεν, ὡς διαφορᾶς οὔσης. Τὸ μὲν γὰρ πνεῦμα νενόηται κατὰ τὴν ἰσχὺν καὶ εὐτονίαν καὶ δύναμιν· ἡ δὲ πνοὴ ὡς ἂν αὔρα τίς ἐστι καὶ ἀναθυμίασις ἠρεμαία καὶ πραεῖα. Ὁ μὲν οὖν κατὰ τὴν εἰκόνα γεγονὼς καὶ τὴν ἰδέαν νοῦς, πνεύματος ἂν λέγοιτο κεκοινωνηκέναι. Ῥώμην γὰρ ἔχει ὁ λογισμὸς αὐτοῦ. Ὁ δὲ ἐκ τῆς ὕλης, τῆς κούφης καὶ ἐλαφροτάτης αὔρας, ὡς ἂν ἀποφορᾶς τινος, ὁποῖαι γίνον-
ται ἀπὸ τῶν ἀρωμάτων. Φυλαττομένων γὰρ οὐδὲν 48
ἧττον καὶ μὴ ἐκθυμιωμένων, εὐωδία τις γίνεται. P.

§. 14. "Καὶ ἐφύτευσεν ὁ θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς· καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασε."**) Τὴν μὲν γὰρ θείαν καὶ οὐράνιον σοφίαν πολλοῖς ὠνόμασεν ὀνόμασι, καὶ πολυώνυμον
52 οὖσαν δεδήλωκε· καὶ γὰρ ἀρχὴν καὶ εἰκόνακαὶ ὅρασιν
M. θεοῦ κέκληκε. Ταύτης δὲ ὡς ἂν ἀρχετύπου μίμημα, τὴν ἐπίγειον σοφίαν νυνὶ παρίστησι διὰ τῆς τοῦ παραδείσου φυτουργίας. Μὴ γὰρ τοσαύτη κατάσχοι τὸν

*) Exod. 7, 1.

**) Gen. 2, 8.

ἡμέτερον λογισμὸν ἀσέβεια, ὡς ὑπολαβεῖν ὅτι θεὸς γεωπονεῖ καὶ φυτεύει παραδείσους, ἐπεὶ καὶ τίνος ἕνεκα εὐθὺς διαπορήσομεν. Οὐ γὰρ ὅπως ἀναπαύλας εὐδιαγώγους καὶ ἡδονὰς ἑαυτῷ πορίζῃ· μηδὲ εἰς νοῦν ἔλθοι ποτὲ τὸν ἡμέτερον ἡ τοιαύτη μυθοποιΐα. Θεοῦ γὰρ οὐδὲ ὁ σύμπας κόσμος ἄξιον ἂν εἴη χωρίον καὶ ἐνδιαίτημα, ἐπεὶ αὐτὸς ἑαυτῷ τόπος, καὶ αὐτὸς ἑαυτοῦ πλήρης, καὶ ἱκανὸς αὐτὸς ἑαυτῷ ὁ θεός· τὰ μὲν ἄλλα ἐπιδεῆ καὶ ἔρημα καὶ κενὰ ὄντα πληρῶν καὶ περιέχων, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἄλλου περιεχόμενος, ἅτε εἷς καὶ τὸ πᾶν αὐτὸς ὤν. Τὴν οὖν ἐπίγειον ἀρετὴν σπείρει καὶ φυτεύει τῷ θνητῷ γένει ὁ θεὸς, μίμημα καὶ ἀπεικόνισμα οὖσαν τῆς οὐρανίου. Ἐλεήσας γὰρ ἡμῶν τὸ γένος, καὶ κατιδὼν ὅτι ἐξ ἀφθόνων καὶ πλουσίων κακῶν συνέστη, ἐπίκουρον καὶ ἀρωγὸν τῶν ψυχῆς νόσων ἀρετὴν ἐπίγειον ἐῤῥίζου, μίμημα, ὡς ἔφην, τῆς οὐρανίου καὶ ἀρχετύπου, ἣν πολλοῖς ὀνόμασι καλεῖ. Παράδεισος μὲν δὴ τροπικῶς εἴρηται ἡ ἀρετὴ, τόπος δὲ οἰκεῖος τῷ παραδείσῳ Ἐδὲμ, τοῦτο δέ ἐστι τρυφή. Ἀρετῇ δὲ ἁρμόττον εἰρήνη καὶ εὐπάθεια καὶ χαρὰ, ἐν οἷς τὰ τρυφᾶν ὡς ἀληθῶς ἐστι. Καὶ μὴν κατὰ ἀνατολάς ἐστιν ἡ φυτουργία τοῦ παραδείσου. Οὐ γὰρ δύεται καὶ σβέννυται, ἀλλ' ἀεὶ πέφυκεν ἀνατέλλειν ὁ ὀρθὸς λόγος. Καὶ ὥςπερ, οἶμαι, ἀνατείλας ἥλιος τὸν ζόφον τοῦ ἀέρος φωτὸς ἀνέπλησεν, οὕτω καὶ ἀρετὴ ἀνατείλασα ἐν ψυχῇ τὴν ἀχλὺν αὐτῆς ἐναυγάζει, καὶ τὸν πολὺν σκότον σκεδάννυσι. "Καὶ ἔθετο," φησὶν, "ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασεν." Ἀγαθὸς γὰρ ὢν ὁ θεὸς, καὶ ἐπ' ἀρετὴν ὡς οἰκειότατον ἔργον ἀσκῶν τὸ γένος ἡμῶν, τὸν νοῦν τίθησιν ἐν τῇ ἀρετῇ, ἵνα δηλονότι μηδὲν ἄλλο ἢ ταύτην, καθάπερ γεωργὸς ἀγαθὸς, τημελῇ καὶ περιέπῃ.

§. 15. Ζητήσειε δ' ἄν τις, διὰ τί, τοῦ μιμεῖσθαι τὰ θεοῦ ἔργα ὄντος ὁσίου, ἐμοὶ μὲν ἀπηγόρευται φυτεύειν ἄλσος παρὰ τῷ θυσιαστηρίῳ, τὸν δὲ

παράδεισον ὁ θεὸς φυτεύει; Φησὶ γάρ, "Οὐ φυτεύσεις σεαυτῷ ἄλσος, πᾶν ξύλον παρὰ τὸ θυσιαστή-
53 ριον κυρίου τοῦ θεοῦ σου οὐ ποιήσεις σεαυτῷ." *)
M. Τί οὖν λεκτέον; Ὅτι πρέπει τῷ θεῷ φυτεύειν καὶ οἰκοδομεῖν ἐν ψυχῇ τὰς ἀρετάς. - Φίλαυτος δὲ καὶ ἄθεος ὁ νοῦς οἰόμενος ἴσος εἶναι θεῷ, καὶ ποιεῖν 49
δοκῶν ἐν τῷ πάσχειν ἐξεταζόμενος· θεοῦ δὲ σπεί- P.
ροντος καὶ φυτεύοντος ἐν ψυχῇ τὰ καλά, ὁ λέγων νοῦς ὅτι "ἐγὼ φυτεύω" ἀσεβεῖ. Οὐ φυτεύσεις οὖν, ὅταν ὁ θεὸς φυτουργῇ· ἐὰν δὲ καὶ φυτὰ ἐν ψυχῇ καταβάλῃς, ὦ διάνοια, καρποτόκα φύτευε πάντα, ἀλλὰ μὴ ἄλσος. Ἐν ἄλσει γὰρ καὶ ἀγρίας ὕλης ἐστὶ καὶ ἡμέρου δένδρα· κακίαν δὲ τὴν ἄγονον ἐν ψυχῇ μετὰ τῆς ἡμέρου καὶ καρποτόκου φυτεύειν ἀρετῆς, λέπρας ἐστὶ τῆς διφυοῦς καὶ μιγάδος οἰκεῖον. Ἐὰν μέντοι γε τὰ ἄμικτα εἰς ταὐτὸ ἀγάγῃς, χώριζε καὶ διάκρινε τῆς καθαρᾶς καὶ ἀμιάντου φύσεως, τῆς ἀναφερούσης τὰ ἄμωμα τῷ θεῷ, αὕτη δέ ἐστι τὸ θυσιαστήριον. Τούτου γὰρ ἀλλότριον, τὸ λέγειν ἔργον τι εἶναι ψυχῆς, ἐπὶ θεὸν πάντων λαμβανόντων τὴν ἀναφοράν, καὶ τὸ τὰ ἄκαρπα τοῖς καρποτόκοις ἀναμιγνύναι· μῶμος γὰρ τοῦτό γε, τὰ δὲ ἄμωμα τῷ θεῷ προσάγεται. Ἐὰν οὖν τι τούτων παραβῇς, ὦ ψυχή, σαυτὴν βλάψεις, οὐ θεόν. Διὰ τοῦτό φησιν, "Οὐ φυτεύσεις σεαυτῷ." θεῷ γὰρ οὐδεὶς ἐργάζεται, καὶ μάλιστα τὰ φαῦλα. Καὶ ἐπιφέρει πάλιν, "Οὐ ποιήσεις σεαυτῷ·" λέγει δὲ καὶ ἐν ἑτέροις, "Οὐ ποιήσετε μετ' ἐμοῦ θεοὺς ἀργυροῦς, καὶ θεοὺς χρυσοῦς οὐ ποιήσετε ὑμῖν ἑαυτοῖς." Ὁ γὰρ ἢ ποιότητα οἰόμενος ἔχειν τὸν θεόν, ἢ μὴ ἕνα εἶναι, ἢ μὴ ἀγέννητον καὶ ἄφθαρτον, ἢ μὴ ἄτρεπτον, ἑαυτὸν ἀδικεῖ, οὐ θεόν· "ἑαυτοῖς γάρ," φησίν, "οὐ ποιήσετε." Δεῖ γὰρ ἡγεῖσθαι καὶ ἄποιον αὐτὸν εἶναι, καὶ ἄφθαρτον καὶ ἄτρεπτον· ὁ δὲ μὴ οὕτω διανοούμενος ἑαυτοῦ τὴν

*) Deuter. 16, 21.

ψυχὴν ψευδοῦς καὶ ἀθέου δόξης ἀναπίμπλησιν. Οὐχ ὁρᾷς ὅτι καὶ ἂν εἰςάγῃ ἡμᾶς εἰς τὴν ἀρετὴν, καὶ εἰςαχθέντες φυτεύσωμεν ἄκαρπον μὲν οὐδὲν, πᾶν δὲ ξύλον βρώσιμον, κελεύει "καθαρίσαι τὴν ἀκαθαρσίαν αὐτοῦ," *) τοῦτο δέ ἐστι, τὸ δοκεῖν φυτεύειν. Ἀποτεμεῖν γὰρ οἴησιν ἐπαγγέλλεται, οἴησις δὲ ἀκάθαρτον φύσει.

§. 16. "Ὃν δ' ἔπλασεν ἄνθρωπον τιθέναι φησὶν ἐν τῷ παραδείσῳ," **) νυνὶ μόνον. τίς οὖν ἐστιν ἐφ' οὗ ὕστερόν φησιν, ὅτι "ἔλαβε κύριος ὁ θεὸς τὸν ἄνθρωπον ὃν ἐποίησε, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ ἐργάζεσθαι αὐτὸν καὶ φυλάττειν;" ***) Μήποτ' οὖν ἕτερός ἐστιν ἄνθρωπος οὗτος ὁ κατὰ τὴν εἰκόνα καὶ τὴν ἰδέαν γεγονώς; Ὥςτε δύο ἀνθρώπους εἰς τὸν παράδεισον εἰςάγεσθαι, τὸν μὲν πεπλασμένον, τὸν δὲ κατ' εἰκόνα. Ὁ μὲν οὖν κατὰ
54 τὴν ἰδέαν γεγονὼς οὐ μόνον ἐν ταῖς φυτουργίαις
M. τῶν ἀρετῶν ἐξετάζεται, ἀλλὰ καὶ ἐργάτης ἐστὶν αὐ-
τῶν καὶ φύλαξ· τοῦτο δ' ἐστὶ μνήμων ὧν ἤκουσε
καὶ ἤσκησεν. Ὁ δὲ πλαστὸς οὐδὲ ἐργάζεται τὰς
ἀρετὰς, οὐδὲ φυλάττει, ἀλλὰ μόνον εἰςάγεται εἰς
τὰ δόγματα, ἀφθονίᾳ θεοῦ, μέλλων αὐτίκα φυγὰς
ἀρετῆς ἔσεσθαι. Διὰ τοῦτο ὃν μὲν μόνον τίθησιν 50
ἐν τῷ παραδείσῳ, πλαστὸν καλεῖ· ὃν δὲ καὶ ἐργά- P.
την καὶ φύλακα ἀποδείκνυσιν, οὐ πλαστὸν, ἀλλ' ὃν ἐποίησε. Καὶ τοῦτον μὲν λαμβάνει, ἐκεῖνον δὲ ἐκβάλλει. Ὃν δὲ λαμβάνει, τριῶν ἀξιοῖ, ἐξ ὧν συνέστηκεν ἡ εὐφυΐα, εὐθιξίας, ἐπιμονῆς, μνήμης. Ἡ μὲν οὖν εὐθιξία θέσις ἐστὶν ἐν τῷ παραδείσῳ, ἡ δὲ μνήμη φυλακὴ καὶ διατήρησις τῶν ἁγίων δογμάτων, ἡ δὲ ἐπιμονὴ πρᾶξις τῶν καλῶν, τὸ ἐργάζεσθαι τὰ καλά. Ὁ δὲ πλαστὸς νοῦς, οὔτε μνημονεύει τὰ κα-

*) Lev. 19, 23.
**) Gen. 2, 8.
***) Gen. 2, 15.

λὲ, οὔτε ἐργάζεται, μόνον δὲ εὔθικτός ἐστι· παρ' ὃ καὶ τεθεὶς ἐν τῷ παραδείσῳ, μικρὸν ὕστερον ἀποδιδράσκει καὶ ἐκβάλλεται.

§. 17. „Καὶ ἐξανέτειλεν ὁ θεὸς ἐκ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν καὶ καλὸν εἰς βρῶσιν, καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου, καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ." *) Ἃ φυτεύει ἐν τῇ ψυχῇ δένδρα ἀρετῆς νῦν ὑπογράφει· ἔστι δὲ ταῦτα αἵ τε κατὰ μέρος ἀρεταὶ, καὶ αἱ κατὰ ταύτας ἐνέργειαι, καὶ τὰ κατορθώματα, καὶ τὰ λεγόμενα παρὰ τοῖς φιλοσοφοῦσι καθήκοντα, ταῦτά ἐστι τοῦ παραδείσου τὰ φυτά. Χαρακτηρίζει μέντοι γε αὐτὰ ταῦτα, δηλῶν ὅτι τὸ ἀγαθὸν καὶ ὀφθῆναι κάλλιστόν ἐστι καὶ ἀπολαυθῆναι. Ἔνιαι γὰρ τῶν τεχνῶν θεωρητικαὶ μέν εἰσιν, οὐ πρακτικαὶ δὲ, γεωμετρία, ἀστρονομία. ἔνιαι δὲ πρακτικαὶ μὲν, οὐ θεωρητικαὶ δὲ, τεκτονικὴ, χαλκευτικὴ, καὶ ὅσαι βάναυσοι λέγονται. Ἡ δὲ ἀρετὴ καὶ θεωρητική ἐστι καὶ πρακτική. Καὶ γὰρ θεωρίαν ἔχει, ὁπότε καὶ ἡ ἐπ' αὐτὴν ὁδὸς φιλοσοφία διὰ τῶν τριῶν αὐτῆς μερῶν, τοῦ λογικοῦ, τοῦ ἠθικοῦ, τοῦ φυσικοῦ. Καὶ πρᾶξιν· ὅλου γὰρ τοῦ βίου ἐστὶ τέχνη ἡ ἀρετὴ, ἐν ᾧ καὶ αἱ σύμπασαι πράξεις. Ἀλλὰ καίτοι θεωρίαν ἔχουσα καὶ πρᾶξιν, πάλιν ἐν ἑκατέρῳ ὑπερβάλλει κατὰ τὸ κρεῖττον. Καὶ γὰρ ἡ θεωρία τῆς ἀρετῆς παγκάλη, καὶ ἡ πρᾶξις καὶ ἡ τήρησις περιμάχητος. Διὸ καί φησιν, ὅτι καὶ εἰς ὅρασίν ἐστιν ὡραῖον, ὅπερ ἦν τοῦ θεωρητικοῦ σύμβολον. Καὶ καλὸν εἰς βρῶσιν, ὅπερ ἐστὶν χρηστικοῦ καὶ πρακτικοῦ σημεῖον.

§. 18. Τὸ δὲ ξύλον τῆς ζωῆς ἐστιν ἡ γενικωτάτη ἀρετὴ, ἥν τινες ἀγαθότητα καλοῦσιν, ἀφ' ἧς αἱ κατὰ μέρος ἀρεταὶ συνίστανται. Τούτου χάριν καὶ μέσον ἱδρύεται τοῦ παραδείσου, τὴν συνεκτικωτάτην χώραν ἔχον, ἵνα ὑπὸ τῶν ἑκατέρωθεν βασι-

*) Gen. 2, 9.

55 λέως τρόπον δορυφορῆται. Οἱ δὲ λέγουσι τὴν καρ-
M. δίαν ξύλον εἰρῆσθαι ζωῆς, ἐπειδὴ αἰτία τε τοῦ ζῆν
ἐστι, καὶ τὴν μέσην τοῦ σώματος χώραν ἔλαχεν, ὡς ἂν
κατ' αὐτοὺς ἡγεμονικὸν ὑπάρχουσα. Ἀλλ' οὗτοι μὲν
ἰατρικὴν δόξαν ἐκτιθέμενοι μᾶλλον ἢ φυσικὴν, μὴ 51
λανθανέτωσαν· ἡμεῖς δὲ, ὡς καὶ πρότερον ἐλέχθη, P.
τὴν γενικωτάτην ἀρετὴν ξύλον εἰρῆσθαι ζωῆς λέ-
γομεν. Τοῦτο μὲν οὖν ῥητῶς φησιν ὅτι ἐστὶν ἐν
μέσῳ τῷ παραδείσῳ· τὸ δὲ ἕτερον ξύλον, τὸ τοῦ
γινώσκειν καλὸν καὶ πονηρὸν, οὐ δεδήλωκεν οὔτ' εἰ
ἐντὸς οὔτ' εἰ ἐκτός ἐστι τοῦ παραδείσου· ἀλλ' εἰπὼν
οὕτω, "Καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ
καὶ πονηροῦ," εὐθὺς ἡσύχασεν, οὐ δηλώσας ὅπου
τετύχηκεν ὂν, ἵνα μὴ ὁ φυσιολογίας ἀμύητος τὸν
ὄντα τῆς ἐπιστήμης θαυμάζῃ. Τί οὖν χρὴ λέγειν;
Ὅτι τοῦτο τὸ ξύλον καὶ ἐν τῷ παραδείσῳ ἐστὶ, καὶ
ἐκτὸς αὐτοῦ. Οὐσίᾳ μὲν ἐν αὐτῷ, δυνάμει δὲ ἐκτός.
Πῶς; Τὸ ἡγεμονικὸν ἡμῶν πανδεχές ἐστι, καὶ ἔοικε
κηρῷ πάντας τοὺς τύπους καλούς τε καὶ αἰσχροὺς
δεχομένῳ. Παρ' ὃ καὶ ὁ πτερνιστὴς Ἰακὼβ ὁμο-
λογεῖ φάσκων, "Ἐπ' ἐμὲ ἐγένετο ταῦτα πάντα." *)
Ἐπὶ γὰρ μίαν οὖσαν τὴν ψυχὴν αἱ ἀμύθητοι τυ-
πώσεις ἁπάντων τῶν ἐν τῷ παντὶ ἀναφέρονται.
Ὅταν μὲν οὖν δέξηται τὸν τῆς τελείας ἀρετῆς χα-
ρακτῆρα, ἐγένετο τὸ τῆς ζωῆς ξύλον· ὅταν δὲ τὸν
τῆς κακίας, ἐγένετο τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ
πονηροῦ. Ἡ δὲ κακία πεφυγάδευται θείου χοροῦ.
Τὸ δεδεγμένον οὖν αὐτὴν ἡγεμονικὸν ἐν τῷ παρα-
δείσῳ ἐστὶ κατὰ τὴν οὐσίαν· ἐν αὐτῷ γάρ ἐστι καὶ
ὁ τῆς ἀρετῆς χαρακτὴρ, οἰκεῖος ὢν τῷ παραδείσῳ.
Δυνάμει δὲ πάλιν οὐκ ἔστιν ἐν αὐτῷ, ὅτι ὁ τύπος
ὁ κακίας ἀλλότριός ἐστι θείων ἀνατολῶν. Ὃ δὲ λέ-
γω καὶ οὕτως ἂν τις καταμάθοι. Νῦν ἐν τῷ σώ-
ματί μου τὸ ἡγεμονικόν ἐστι κατὰ τὴν οὐσίαν, δυ-

*) Gen. 42, 36.

νάμει δὲ ἐν Ἰταλίᾳ, ἢ Σικελίᾳ, ὁπότε περὶ τῶν ;
ρῶν τούτων ἐπιλογίζεται, καὶ ἐν οὐρανῷ, ὁπ
περὶ οὐρανοῦ σκοπεῖται. Παρ' ὃ καὶ πολλάκις
βεβήλοις ὄντες χωρίοις τινὲς κατὰ τὴν οὐσίαν,
ἱερωτάτοις ὑπάρχουσι, φαντασιούμενοι τὰ ἀρετ
καὶ ἔμπαλιν ἐν τοῖς ἀδύτοις ὑπάρχοντες ἄλλοι
διάνοιάν εἰσι βέβηλοι, τῷ τροπὰς πρὸς τὸ χεῖ
καὶ τύπους αὐτὴν λαμβάνειν φαύλους. Ὥςτε ο
ἐν τῷ παραδείσῳ ἡ κακία ἐστὶν, οὔτε οὐχί ἐσ
δύναται μὲν γὰρ εἶναι κατὰ οὐσίαν, δυνάμει δὲ
δύναται.

§. 19. "Ποταμὸς δὲ ἐκπορεύεται ἐξ Ἐδὲμ,
ποτίζειν τὸν παράδεισον. Ἐκεῖθεν ἀφορίζεται
56 τέτταρας ἀρχάς. Ὄνομα τῷ ἑνὶ Φυσών· οὗτο
M. κυκλῶν πᾶσαν τὴν γῆν Εὐιλὰτ, ἐκεῖ οὗ ἐστι τὸ χ
σίον· τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης καλόν· ἐ
ἐστιν ὁ ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος. Καὶ ὄνο
τῷ ποταμῷ τῷ δευτέρῳ, Γεών· οὗτος κυκλοῖ π
σαν τὴν γῆν Αἰθιοπίας. Καὶ ὁ ποταμὸς ὁ τρί
ὁ Τίγρις· οὗτος ὁ πορευόμενος κατέναντι Ἀσσυρί
Ὁ δὲ ποταμὸς ὁ τέταρτος, οὗτος ὁ Εὐφράτης."*)
Διὰ τούτων βούλεται τὰς κατὰ μέρος ἀρετὰς ὑ
γράφειν. Εἰσὶ δὲ τὸν ἀριθμὸν τέσσαρες, φρόνη
σωφροσύνη, ἀνδρία, δικαιοσύνη. Ὁ μὲν δὴ μ
στος ποταμὸς, οὗ αἱ τέτταρες ἀπόῤῥοιαι γεγόνα
ἡ γενική ἐστιν ἀρετὴ, ἣν ὠνομάσαμεν ἀγαθότ
αἱ δὲ τέσσαρες ἀπόῤῥοιαι, ἰσάριθμοι ἀρεταί. Λ
βάνει μὲν οὖν τὰς ἀρχὰς ἡ γενικὴ ἀρετὴ ἀπὸ
Ἐδὲμ, τῆς τοῦ θεοῦ σοφίας, — ἣ χαίρει καὶ γ
ται καὶ τρυφᾷ, ἐπὶ μόνῳ τῷ πατρὶ αὐτῆς ἀγ
μένη καὶ σεμνυνομένη θεῷ, — αἱ δὲ ἐν εἴδει
ταρες ἀπὸ τῆς γενικῆς, ἥτις ποταμοῦ δίκην
τὰ κατορθώματα ἑκάστης πολλῷ ῥεύματι κ
πράξεων. Ἴδωμεν δὲ καὶ τὰς λέξεις. "Ποτα

*) Gen. 2, 13 sqq.

δέ φησιν "ἐκπορεύεται ἐξ Ἐδὲμ, τοῦ ποτίζειν τὸν παράδεισον." Ποταμὸς ἡ γενική ἐστιν ἀγαθότης. αὕτη ἐκπορεύεται ἐκ τῆς Ἐδὲμ τοῦ θεοῦ σοφίας. Ἡ δέ ἐστιν ὁ θεοῦ λόγος· κατὰ γὰρ τοῦτον πεποίηται ἡ γενικὴ ἀρετή. Τὸν δὲ παράδεισον ποτίζει ἡ γενικὴ ἀρετὴ, τουτέστι τὰς κατὰ μέρος ἀρετὰς ἄρδει. Ἀρχὰς δὲ οὐ τὰς τοπικὰς λαμβάνει, ἀλλὰ τὰς ἡγεμονικάς· ἑκάστη γὰρ τῶν ἀρετῶν ἡγεμονὶς καὶ βασιλὶς ὡς ἀληθῶς ἐστι. Τὸ δὲ "ἀφορίζεται" ἴσον ἐστὶ τῷ ὅροις πεπεράτωται. ἡ μὲν φρόνησις περὶ τὰ ποιητέα ὅρους αὐτοῖς τιθεῖσα· ἡ δὲ ἀνδρία τοῖς ὑπομενετέοις· ἡ δὲ σωφροσύνη τοῖς αἱρετέοις· ἡ δὲ δικαιοσύνη τοῖς ἀπονεμητέοις.

§. 20. "Ὄνομα τῷ ἑνὶ Φεισών· οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Εὐιλὰτ, ἐκεῖ οὗ ἐστι τὸ χρυσίον· τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης καλόν. οὗ ἐστιν ὁ ἄνθραξ, καὶ ὁ λίθος ὁ πράσινος." Τῶν τεττάρων ἀρετῶν ἓν εἶδός ἐστιν, ἡ φρόνησις, ἣν Φεισὼν ὠνόμασε, παρὰ τὸ φείδεσθαι καὶ φυλάττειν τὴν ψυχὴν ἀπὸ ἀδικημάτων. Χορεύει δὲ κύκλῳ, καὶ περίεισι τὴν γῆν Εὐιλὰτ, τοῦτο δέ ἐστι τὴν εὐμενῆ καὶ πραεῖαν καὶ ἵλεων κατάστασιν περιέπει. Καθάπερ δὲ τῆς χυτῆς οὐσίας ἡ κρατίστη καὶ δοκιμωτάτη χρυσός ἐστιν, οὕτω καὶ ψυχῆς ἡ δοκιμωτάτη ἀρετὴ φρόνησις γέγονε. Τὸ δὲ "Ἐκεῖ οὗ ἐστι τὸ χρυσίον" οὐκ ἔστι τοπικὸν τοιοῦτο, ἐκεῖ ὅπου ἐστὶ τὸ χρυσίον, ἀλλ' ἐκεῖ οὗ κτῆμά ἐστιν ἡ χρυσαυγὴς καὶ πεπυρωμένη καὶ τιμία φρόνησις. Κτῆμα δὲ θεοῦ κάλλιστον ἥδε ἀνωμολόγηται. Κατὰ δὲ τὸν τόπον τῆς φρονήσεως δύο εἰσὶ ποιοὶ, ὅ τε φρόνιμος καὶ ὁ φρονῶν, οὓς ἄνθρακι καὶ πρασίνῳ παραβέβληκε.

§. 21. "Καὶ ὄνομα τῷ ποταμῷ τῷ δευτέρῳ Γεών· οὗτος κυκλοῖ πᾶσαν τὴν γῆν Αἰθιοπίας." Συμβολικῆς ἐστιν ὁ ποταμὸς οὗτος ἡ ἀνδρία· ἑρμηνευθὲν γὰρ τὸ Γεὼν ὄνομά ἐστι στῆθος ἢ κερατί-

ζων. Ἑκάτερον δὲ ἀνδρίας μηνυτικόν· περί τέ που
γὰρ τὰ στήθη, ὅπου καὶ ἡ καρδία, διατρίβει, καὶ 53
πρὸς ἄμυναν ηὐτρέπισται. Ἐπιστήμη γάρ ἐστιν ὑπο- P
μενετέων, καὶ οὐχ ὑπομενετέων, καὶ οὐδετέρων.
Περικυκλοῖ δὲ καὶ περικάθηται προσπολεμοῦσα τὴν
Αἰθιοπίαν, ἧς ἐστιν ἑρμηνευθὲν τὸ ὄνομα ταπεί-
νωσις. Ταπεινὸν δὲ ἡ δειλία· ἡ δὲ ἀνδρία ταπει-
νώσει καὶ δειλίᾳ πολέμιον. "Καὶ ὁ ποταμὸς ὁ τρί-
τος Τίγρις, οὗτος ὁ κατέναντι Ἀσσυρίων πορευόμε-
νος." Τρίτη ἐστὶν ἀρετὴ σωφροσύνη, ἀντιστατοῦ-
σα τῇ κατευθύνειν δοκούσῃ τὴν ἀνθρωπίνην ἀσθέ-
νειαν ἡδονῇ. Ἀσσύριοι γὰρ εὐθύνοντες ἑλλάδι γλώτ-
τῃ καλοῦνται. Τίγριδι δὲ τῷ ἀτιθασσοτάτῳ ζώῳ
τὴν ἐπιθυμίαν εἴκασε, περὶ ἣν σωφροσύνη πρα-
γματεύεται.

§. 22. Ἄξιον μὲν οὖν ἀπορῆσαι, διὰ τί δευτέρα μὲν
ἀνδρία, τρίτη δὲ σωφροσύνη, πρώτη δὲ φρόνησις εἴρη-
ται, καὶ οὐχ ἑτέρων τῶν ἀρετῶν πρᾶξιν δεδήλωκε.
Νοητέον οὖν, ὅτι ἐστὶν ἡμῶν ἡ ψυχὴ τριμερὴς, καὶ
ἔχει μέρος, τὸ μὲν λογικὸν, τὸ δὲ θυμικὸν, τὸ δὲ
ἐπιθυμητικόν. Καὶ συμβέβηκε τοῦ μὲν λογικοῦ χω-
ρίον εἶναι καὶ ἐνδιαίτημα, κεφαλὴν, τοῦ δὲ θυμικοῦ,
τὰ στέρνα, τοῦ δὲ ἐπιθυμητικοῦ, τὸ ἦτρον. Ἀρετὴν
δὲ ἑκάστῳ τῶν μερῶν οἰκείαν προςηρμόσθαι. τῷ μὲν
λογικῷ, φρόνησιν· λογισμοῦ γάρ ἐστιν, ἐπιστήμην
ἔχειν ὧν τε δεῖ ποιεῖν, καὶ ὧν μή. τῷ δὲ θυμικῷ,
ἀνδρίαν. τῷ δὲ ἐπιθυμητικῷ, σωφροσύνην· σωφρο-
58 σύνῃ γὰρ τὰς ἐπιθυμίας ἀκούμεθα καὶ ἰώμεθα.
M. Ὥςπερ οὖν κεφαλὴ μὲν πρῶτον τοῦ ζώου καὶ ἀνω-
τάτω μέρος ἐστὶ, δεύτερον δὲ στέρνα, τρίτον δὲ
ἦπαρ, καὶ πάλιν ψυχῆς, πρῶτον μὲν τὸ λογικὸν,
δεύτερον δὲ τὸ θυμικὸν, τρίτον δὲ τὸ ἐπιθυμητι-
κόν· οὕτω καὶ τῶν ἀρετῶν πρώτη μὲν, ἡ περὶ τὸ
πρῶτον τῆς ψυχῆς, ὃ δὴ λογικόν ἐστι, καὶ τοῦ σώ-
ματος διατρίβουσα κεφαλὴν, φρόνησις. Δευτέρα δὲ
ἀνδρία ὅτι περὶ τὸ δεύτερον μέρος, ψυχῆς μὲν θυ-

μὸν, σώματος δὲ τὰ στέρνα φωλεύει. Τρίτη δὲ σωφροσύνη, ὅτι περὶ τὸ ἦτρον, ὃ δὴ τρίτον ἐστὶ τοῦ σώματος, καὶ περὶ τὸ ἐπιθυμητικὸν, ὃ τρίτην εἴληχε χώραν ἐν ψυχῇ, πραγματεύεται.

§. 23. "Ὁ δὲ ποταμὸς," φησὶν, "ὁ τέταρτος Εὐφράτης." Καρποφορία καλεῖται οὗτος ὁ Εὐφράτης, ἔστι δὲ συμβολικῶς ἀρετὴ τετάρτη, δικαιοσύνη, καρποφόρος τῷ ὄντι, καὶ εὐφραίνουσα τὴν διάνοιαν. Πότε οὖν γίνεται; Ὅταν τὰ τρία μέρη τῆς ψυχῆς συμφωνίαν ἔχῃ. Συμφωνία δὲ αὐτοῖς ἐστιν ἡ τοῦ κρείττονος ἡγεμονία, οἷον, ὅταν τὰ δύο, τό τε θυμικὸν καὶ τὸ ἐπιθυμητικὸν, ἡνιοχῶνται ὑπὸ τοῦ λογικοῦ, τότε γίνεται δικαιοσύνη. Δίκαιον γὰρ, τὸ μὲν κρεῖττον ἄρχειν ἀεὶ καὶ πανταχοῦ, τὸ δὲ χεῖρον ἄρχεσθαι. κρεῖττον μὲν δὴ τὸ λογικὸν, χεῖρον δὲ τὸ ἐπιθυμητικὸν καὶ θυμικόν. Ὅταν δὲ
ἔμπαλιν ἀφηνιάσῃ καὶ ἀναχαιτίσῃ ὁ θυμὸς καὶ ἡ 54
ἐπιθυμία, καὶ τὸν ἡνίοχον, λέγω δὲ τὸν λογισμὸν, P.
τῇ βίᾳ τῆς ὁρμῆς κατασύρῃ καὶ ὑποζεύξῃ, ἑκάτερον δὲ πάθος λάβηται τῶν ἡνιῶν, ἀδικία κρατεῖ. Ἀνάγκη γὰρ καὶ ἀπειρίᾳ καὶ κακίᾳ ἡνιόχου τὰ ὑπεζευγμένα κατὰ κρημνῶν φέρεσθαι καὶ βαράθρων, ὥσπερ ἐμπειρίᾳ καὶ ἀρετῇ διασώζεσθαι.

§. 24. Ἔτι καὶ οὕτως ἴδωμεν τὸ προκείμενον. Φεισὼν ἑρμηνεύεται στόματος ἀλλοίωσις, Εὐιλὰτ δὲ ὠδίνουσα. καὶ διὰ τούτων ἡ φρόνησις ἐμφαίνεται. Οἱ μὲν γὰρ πολλοὶ φρόνιμον νομίζουσι τὸν εὑρέτην λόγων σοφιστικῶν καὶ δεινὸν ἑρμηνεῦσαι τὸ νοηθὲν, Μωϋσῆς δὲ λογόφιλην μὲν αὐτὸν οἶδε, φρόνιμον δὲ οὐδαμῶς. Ἐν ἀλλοιώσει γὰρ τοῦ στόματος, τουτέστι τοῦ ἑρμηνευτικοῦ λόγου, ἡ φρόνησις θεωρεῖται. Ὅπερ ἦν μὴ ἐν λόγῳ τὸ φρονεῖν, ἀλλ' ἐν ἔργῳ θεωρεῖσθαι καὶ σπουδαίαις πράξεσι. Κύκλον δὲ περιτίθησι καὶ ὡςανεὶ τεῖχος Εὐιλὰτ τῇ ὠδινούσῃ ἡ φρόνησις πρὸς πολιορκίαν αὐτῆς καὶ καθαίρεσιν. Ἀφρο-

59σύνῃ δέ ἐστι κύριον ὄνομα ὠδίνουσα, ὅτι ὁ ἄφρων
M.νοῦς ἀνεφίκτων ἐρῶν ἑκάστοτε ἐν ὠδῖσίν ἐστιν. Ὅταν χρημάτων ἐρᾷ, ὠδίνει, ὅτε δόξης, ὅτε ἡδονῆς, ὅτε ἄλλου τινός. Ἐν ὠδῖσι δὲ ὢν, οὐδέποτε τίκτει. Οὐ γὰρ πέφυκε γόνιμον οὐδὲν τελεςφορεῖν ἡ τοῦ φαύλου ψυχή. Ἃ δὲ ἂν δοκῇ προςφέρειν, ἀμβλωθρίδια εὑρίσκεται καὶ ἐκτρώματα, "κατεσθίοντα τὸ ἥμισυ τῶν σαρκῶν αὐτῆς, ἴσα θανάτῳ ψυχικῷ." *) Παρ' ὃ καὶ δεῖται ὁ ἱερὸς λόγος Ἀαρὼν τοῦ θεοφιλοῦς Μωϋσέως ἰάσασθαι τὴν τροπὴν τῆς Μαριὰμ, ἵνα μὴ γένηται ἐν ὠδῖνι κακῶν ἡ ψυχή. Διὸ καί φησι, "Μὴ γένηται ὡς ἴσον θανάτῳ, ὡς ἔκτρωμα ἐκπορευόμενον ἐκ μήτρας μητρὸς, καὶ κατεσθίῃ τὸ ἥμισυ τῶν σαρκῶν αὐτῆς." **)

§. 25. "Ἐκεῖ οὖν," φησὶν, "οὗ ἐστι τὸ χρυσίον." Οὐ λέγει ἐκεῖ εἶναι τὸ χρυσίον μόνον, ἀλλ' "ἐκεῖ οὗ ἐστιν." Ἡ γὰρ φρόνησις, ἣν εἴκασε χρυσίῳ, ἀδόλῳ καὶ καθαρᾷ καὶ πεπυρωμένῃ καὶ δεδοκιμασμένῃ καὶ τιμίᾳ φύσει, ἐκεῖ μέν ἐστιν ἐν τῇ τοῦ θεοῦ σοφίᾳ. Ἐκεῖ δὲ οὖσα, οὐκ ἔστι τῆς σοφίας κτῆμα, ἀλλὰ οὗ καὶ ἡ σοφία ἐστὶν αὕτη, τοῦ δημιουργοῦ καὶ κεκτημένου θεοῦ. "Τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης καλόν." Οὐκ οὖν ἐστιν ἕτερον χρυσίον οὐχὶ καλόν; Πάνυ γε· διττὸν γὰρ φρονήσεως γένος, τὸ μὲν καθόλου, τὸ δὲ ἐπὶ μέρους. Ἡ μὲν οὖν ἐν ἐμοὶ φρόνησις ἐπὶ μέρους οὖσα, οὐ καλή· φθαρέντος γάρ μου συμφθείρεται. Ἡ δὲ καθόλου φρόνησις, ἡ οἰκοῦσα τὴν θεοῦ σοφίαν καὶ τὸν οἶκον αὐτοῦ, καλή· ἄφθαρτος γὰρ ἐν ἀφθάρτῳ οἴκῳ διαμένει.

§. 26. "Καὶ ἐκεῖ ἐστιν ὁ ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος." Οἱ δύο ποιοὶ, ὅ τε φρόνιμος καὶ ὁ φρονῶν, ὁ μὲν συνιστάμενος κατὰ τὴν φρόνησιν, ὁ 55
δὲ φρονῶν κατὰ τὸ φρονεῖν. Τούτων γὰρ ἕνεκα P.

*) Num. 12, 12.

**) Ibid.

τῶν ποιῶν ἔσπειρεν ὁ θεὸς τῷ γηγενεῖ φρόνησίν τε καὶ ἀρετήν. Τί γὰρ ὄφελος ἦν αὐτῆς, εἰ μὴ οἱ δεξόμενοι λογισμοὶ ὑπῆρχον, καὶ τοὺς τύπους αὐτῆς ἐναπομαξόμενοι; Ὥςτε εἰκότως ἐκεῖ εἰσιν ὅπου ἡ φρόνησις, ὅ τε φρόνιμος καὶ ὁ φρονῶν, οἱ δύο λίθοι. Μήποτε δὲ Ἰούδας καὶ ὁ Ἰσσάχαρ. Ὁ γὰρ τῆς τοῦ θεοῦ φρονήσεως ἀσκητὴς ἐξομολογεῖται εὐχαριστικῶς τῷ τὸ ἀγαθὸν ἀφθόνως δωρησαμένῳ, ὁ δὲ καὶ τὰ καλὰ καὶ σπουδαῖα ἐργάζεται. Τοῦ μὲν οὖν ἐξομολογουμένου ὁ Ἰούδας σύμβολον, "ἐφ᾽ οὗ καὶ ἵσταται τίκτουσα ἡ Λεία." *) τοῦ δὲ ἐργαζομένου τὰ καλὰ, ὁ Ἰσσάχαρ, "ὑπέθηκε γὰρ τὸν ὦμον εἰς τὸ πονεῖν, καὶ ἐγένετο ἀνὴρ γεωργός," **) ἐφ᾽ οὗ φησι Μωϋσῆς σπαρέντος καὶ φυτευθέντος ἐν ψυχῇ ἐστι μισθὸς, ὅπερ ἦν οὐκ ἀτελὴς πόνος, ἀλλὰ στεφανούμενος ὑπὸ θεοῦ καὶ μισθοδοτούμενος.
60 Ὅτι δὲ τούτων ποιεῖται μνήμην, δι᾽ ἑτέρων δηλοῖ, ὅταν ἐπὶ τοῦ ποδήρους φῇ, "Καὶ συνυφανεῖς ἐν αὐτῷ λίθον τετράστιχον. Λίθων στίχος ἔσται, σάρδιον, τοπάζιον, καὶ σμάραγδος, ὁ στίχος ὁ εἷς." Ῥουβὴν, Συμεὼν, Λευί. "Καὶ ὁ στίχος," φησὶν, "ὁ δεύτερος, ἄνθραξ, καὶ σάπφειρος." ***) Ὁ δὲ σάπφειρος πράσινος λίθος ἐστίν. Ἐγγέγλυπται δὲ τῷ μὲν ἄνθρακι ὁ Ἰούδας, τέταρτος γὰρ, τῷ δὲ σαπφείρῳ ὁ Ἰσσάχαρ. Διὰ τί οὖν οὐχ ὥςπερ λίθον πράσινον εἴρηκεν, οὕτω καὶ λίθον ἀνθράκινον; Ὅτι ὁ μὲν Ἰούδας, ἐξομολογητικὸς τρόπος, ἄϋλός ἐστι καὶ ἀσώματος. καὶ γὰρ αὐτὸ τὸ ὄνομα τὸ τῆς ἐξομολογήσεως ἐμφαίνει τὴν ἐκτὸς ἑαυτοῦ ὁμολογίαν. Ὅταν γὰρ ἐκβῇ ὁ νοῦς ἑαυτοῦ, καὶ ἑαυτὸν ἀνενέγκῃ θεῷ, ὥςπερ ὁ γέλως Ἰσαὰκ, τηνικαῦτα ὁμολογίαν τὴν πρὸς τὸν ὄντα ποιεῖται. Ἕως δὲ αὐτὸν ὑπο-

*) Gen. 29, 35.
**) Gen. 48, 15.
***) Exod. 28, 17.

*τίθηται ὡς αἴτιόν τινος, μακρὰν ἀφέστηκε τοῦ πα-
ραχωρεῖν θεῷ καὶ ὁμολογεῖν αὐτῷ. Καὶ γὰρ αὐτὸ
τοῦτο τὸ ἐξομολογεῖσθαι νοητέον, ὅτι ἔργον ἐστὶν
οὐχὶ τῆς ψυχῆς, ἀλλὰ τοῦ φαίνοντος αὐτῇ θεοῦ τὸ
εὐχάριστον· ἄϋλος μὲν δὴ ὁ ἐξομολογούμενος Ἰού-
δας. Τῷ δὲ ἐκ πόνου προςεληλυθότι Ἰσσάχαρ δεῖ
καὶ ὕλης σωματικῆς. Ἐπεὶ πῶς ἀναγνώσεται χωρὶς
ὀμμάτων ὁ ἀσκητής; Πῶς δὲ ἀκούσεται τῶν προ-
τρεπτικῶν λόγων, χωρὶς ἀκοῆς; Πῶς δὲ σιτίων καὶ
ποτῶν ἐφίξεται, δίχα γαστρὸς καὶ τῆς περὶ αὐτὴν
τερατουργίας; Διὰ τοῦτο λίθῳ ἀπεικάσθη. Καὶ τὰ
χρώματα μέν τοι διάφορα. Τῷ μὲν γὰρ ἐξομολο-
γητικῷ οἰκεία χροιὰ ἡ τοῦ ἄνθρακος· πεπύρωται
γὰρ ἐν εὐχαριστίᾳ θεοῦ, καὶ μεθύει τὴν νήφουσαν
μέθην. Τῷ δὲ ἔτι πονοῦντι, ἡ τοῦ πρασίνου λί-
θου· ὠχροὶ γὰρ οἱ ἐν ἀσκήσει, διά τε τὸν τρύχοντα* 56
πόνον, καὶ διὰ δέος τοῦ μὴ τυχεῖν ἂν ἴσως τοῦ κατ᾽ P.
εὐχὴν τέλους.

*§. 27. Ἄξιον δὲ διαπορῆσαι, διὰ τί οἱ μὲν δύο
ποταμοί, ὁ Φεισὼν καὶ ὁ Γεὼν κυκλοῦσι χώρας τι-
νάς, ὁ μὲν τὴν Εὐιλὰτ, ὁ δὲ τὴν Αἰθιοπίαν, τῶν
δὲ λοιπῶν οὐδέτερος. Ἀλλ᾽ ὁ μὲν Τίγρις κατέναντι
Ἀσσυρίων λέγεται εἶναι, ὁ δὲ Εὐφράτης οὐδενός.
Καίτοιγε πρὸς τὸ ἀληθὲς ὁ Εὐφράτης καὶ περιῤῥεῖ
τινας χώρας, καὶ ἀντικρὺς ἔχει πολλάς. Ἀλλ᾽ οὐκ
ἔστι περὶ τοῦ ποταμοῦ ὁ λόγος, ἀλλὰ περὶ ἐπανορ-
θώσεως ἤθους. Λεκτέον οὖν ὅτι ἡ μὲν φρόνησις
καὶ ἀνδρία δύνανται τεῖχος καὶ κύκλον βαλέσθαι κα-
τὰ τῶν ἐναντίων κακιῶν, ἀφροσύνης τε καὶ δειλίας,
καὶ ἑλεῖν αὐτάς· ἀσθενεῖς γὰρ καὶ εὐάλωτοι ἀμφό-
τεραι. Καὶ γὰρ ὁ ἄφρων εὔληπτος τῷ φρονίμῳ,
καὶ ὁ δειλὸς ὑποπέπτωκε τῷ ἀνδρείῳ. Ἡ δὲ σω-*
61 *φροσύνη ἀδυνατεῖ κυκλώσασθαι τὴν ἐπιθυμίαν καὶ*
M. *ἡδονήν· χαλεπαὶ γὰρ ἀντίπαλοι καὶ δυςκαθαίρετοι.
Οὐχ ὁρᾷς, ὅτι καὶ οἱ ἐγκρατέστατοι ἀνάγκῃ τοῦ
θνητοῦ παραγίνονται ἐπὶ σιτία καὶ ποτά, ἐξ ὧν αἱ*

γαστρὸς ἡδοναὶ συνίστανται; Ἀγαπητὸν οὖν ἐστιν ἀντιβῆναι καὶ μαχέσασθαι τῷ γένει τῆς ἐπιθυμίας. Διὸ κατέναντι Ἀσσυρίων ἐστὶν ὁ Τίγρις ποταμὸς, ἡ σωφροσύνη τῆς ἡδονῆς. Ἡ δέ γε δικαιοσύνη, καθ᾽ ἣν ὁ Εὐφράτης ποταμὸς συνίσταται, οὔτε πολιορκεῖ καὶ περιτειχίζει τινὰ οὔτε ἀντιστατεῖ. Διὰ τί; Ὅτι ἀπονεμητικὴ τῶν κατ᾽ ἀξίαν ἐστὶν ἡ δικαιοσύνη, καὶ τέτακται οὔτε κατὰ τὸν κατήγορον, οὔτε κατὰ τὸν ἀπολογούμενον, ἀλλὰ κατὰ τὸν δικαστήν. Ὥσπερ οὖν ὁ δικαστὴς οὔτε νικῆσαί τινας προῄρηται, οὔτε πολεμῆσαί τισι καὶ ἐναντιωθῆναι, γνώμην δὲ ἀποφηνάμενος βραβεύει τὸ δίκαιον, οὕτω καὶ ἡ δικαιοσύνη, οὐδενὸς οὖσα ἀντίδικος, ἀπονέμει τὸ κατ᾽ ἀξίαν ἑκάστῳ πράγματι.

§. 28. “Καὶ ἔλαβε κύριος ὁ θεὸς τὸν ἄνθρωπον ὃν ἐποίησε, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ, ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν.” *) Τοῦ πλασθέντος διαφέρει ὃν ἐποίησεν ὁ θεὸς ἄνθρωπον, ὡς εἶπον. Ὁ μὲν γὰρ πλασθεὶς νοῦς ἐστι γεωδέστερος, ὁ δὲ ποιηθεὶς ἀϋλώτερος, φθαρτῆς ὕλης ἀμέτοχος, καθαρωτέρας καὶ εἰλικρινεστέρας τετυχηκὼς συστάσεως. Τοῦτον οὖν τὸν καθαρὸν νοῦν λαμβάνει τε ὁ θεὸς, οὐκ ἐῶν ἐκτὸς ἑαυτοῦ βαίνειν, καὶ λαβὼν τίθησιν ἐν ταῖς ἐρριζωμέναις καὶ βλαστανούσαις ἀρεταῖς, ἵνα ἐργάζηται αὐτὰς καὶ φυλάττῃ. Πολλοὶ γὰρ ἀσκηταὶ γενόμενοι τῆς ἀρετῆς, ἐπὶ τοῦ τέλους μετέβαλον· ᾧ δὲ παρέχει ὁ θεὸς ἐπιστήμην βεβαίαν, τούτῳ δίδωσιν ἀμφότερα, τὸ ἐργάζεσθαι τὰς ἀρετὰς καὶ μηδέποτε αὐτῶν ἀφίστασθαι, ἀλλ᾽ ἀεὶ ταμιεύειν
καὶ φυλάττειν ἑκάστην. Τὸ μὲν οὖν “ἐργάζεσθαι” 57
ἀντὶ τοῦ “πράττειν,” τὸ δὲ “φυλάττειν” ἀντὶ τοῦ P.
“μνημονεύειν.”

§. 29. “Καὶ ἐνετείλατο κύριος ὁ θεὸς τῷ Ἀδὰμ, λέγων, Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ· ἀπὸ δὲ τοῦ ξύλου τοῦ εἰδέναι γνω-

*) Gen. 2, 15.

στὸν καλοῦ καὶ πονηροῦ, οὐ φάγεσθε· ᾗ δ' ἂν ἡμέ-
ρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε." *)
Ποίῳ Ἀδὰμ ἐντέλλεται, καὶ τίς ἐστιν οὗτος, διαπο-
ρητέον· οὐ γὰρ μέμνηται πρότερον αὐτοῦ, νυνὶ δὲ
πρῶτον ὠνόμασεν αὐτόν. Μήποτ' οὖν βούλεταί σοι
τοῦ πλαστοῦ ἀνθρώπου παραστῆσαι τὸ ὄνομα; Κα-
62 λεῖ δέ, φησίν, αὐτὸν γῆν· τοῦτο γὰρ Ἀδὰμ ἑρμη-
M. νεύεται. Ὥςτε, ὅταν ἀκούσῃς Ἀδάμ, γήϊνον καὶ
φθαρτὸν εἶναι νόμιζε. Ὁ γὰρ κατ' εἰκόνα, οὐ γήϊ-
νος, ἀλλ' οὐράνιος. Ζητητέον δέ, διὰ τί πᾶσιν ἐπι-
θεὶς τοῖς ἄλλοις τὰ ὀνόματα οὐκ ἐπιτέθεικε καὶ ἑαυ-
τῷ. Τί οὖν λεκτέον; Ὁ νοῦς ὁ ἐν ἑκάστῳ ἡμῶν
τὰ μὲν ἄλλα δύναται καταλαβεῖν, ἑαυτὸν δὲ γνωρί-
σαι ἀδυνάτως ἔχει. Ὥςπερ γὰρ ὁ ὀφθαλμὸς τὰ μὲν
ἄλλα ὁρᾷ, ἑαυτὸν δὲ οὐχ ὁρᾷ· οὕτω καὶ ὁ νοῦς τὰ
μὲν ἄλλα νοεῖ, ἑαυτὸν δὲ οὐ καταλαμβάνει. Εἰπάτω
γάρ, τίς τέ ἐστι καὶ ποταπός, πνεῦμα ἢ αἷμα ἢ πῦρ
ἢ ἀὴρ ἤ τι ἕτερον σῶμα· ἢ τοσοῦτόν γε, ἢ ὅτι σῶ-
μά ἐστιν, ἢ πάλιν ἀσώματον. Εἶτα οὐκ εὐήθεις οἱ
περὶ θεοῦ σκεπτόμενοι οὐσίας; Οἱ γὰρ τῆς ἰδίας
ψυχῆς τὴν οὐσίαν οὐκ ἴσασι, πῶς ἂν περὶ τῆς τῶν
ὅλων ψυχῆς ἀκριβώσαιεν; Ἡ γὰρ τῶν ὅλων ψυχὴ
θεός ἐστι κατὰ ἔννοιαν.

§. 30. Εἰκότως οὖν ὁ Ἀδάμ, τουτέστιν ὁ νοῦς, τὰ ἄλλα ὀνομάζων καὶ καταλαμβάνων, ἑαυτῷ ὄνομα οὐκ ἐπιτίθησιν, ὅτι ἑαυτὸν ἀγνοεῖ καὶ τὴν ἰδίαν φύσιν. Ἐντέλλεται δὲ τούτῳ, ἀλλ' οὐχὶ τῷ κατ' εἰκόνα καὶ τὴν ἰδέαν γεγονότι. Ἐκεῖνος μὲν γὰρ καὶ δίχα προτροπῆς τὴν ἀρετὴν ἔχει αὐτομαθῶς, οὗτος δὲ ἄνευ διδασκαλίας οὐκ ἂν φρονήσεως ἐπιλάχοι. Διαφέρει δὲ τρία ταῦτα, πρόςταξις, ἀπαγόρευσις, παραίνεσις. Ἡ μὲν γὰρ ἀπαγόρευσις περὶ ἁμαρτημάτων γίνεται καὶ πρὸς φαῦλον, ἡ δὲ πρόςταξις κατορθωμάτων, ἡ δὲ παραίνεσις πρὸς τὸν μέσον, τὸν

---

*) Gen. 2, 16.

μήτε φαῦλον μήτε σπουδαῖον. Οὔτε γὰρ ἁμαρτάνει,
ὡς ἀπαγορεύειν ἄν τινα αὐτῷ, οὔτε κατορθοῖ κατὰ
τὴν τοῦ ὀρθοῦ λόγου πρόςταξιν· ἀλλὰ χρείαν ἔχει
παραινέσεως, τῆς ἀνέχειν μὲν τῶν φαύλων διδα-
σκούσης, προτρεπούσης δὲ ἐφίεσθαι τῶν ἀστείων.
Τῷ μὲν οὖν τελείῳ καὶ κατ' εἰκόνα προςτάττειν ἢ
ἀπαγορεύειν ἢ παραινεῖν οὐχὶ δεῖ· οὐδενὸς γὰρ τού-
των ὁ τέλειος δεῖται· τῷ δὲ φαύλῳ προςτάξεώς
ἐστι καὶ ἀπαγορεύσεως χρεία, τῷ δὲ νηπίῳ παραι- 58
νέσεως καὶ διδασκαλίας. Ὥςπερ τῷ τελείῳ γραμ- P.
ματικῷ ἢ μουσικῷ οὐδενὸς δεῖ παραγγέλματος τῶν
εἰς τὰς τέχνας, τῷ δὲ σφαλλομένῳ περὶ τὰ θεωρή-
ματα ὡςανεί τινων νόμων προςτάξεις καὶ ἀπαγορεύ-
63 σεις ἐχόντων, τῷ δὲ ἄρτι μανθάνοντι διδασκαλίας.
M. Εἰκότως οὖν τῷ γηΐνῳ νοΐ, μήτε φαύλῳ ὄντι μήτε
σπουδαίῳ ἀλλὰ μέσῳ, τανῦν ἐντέλλεται καὶ παραινεῖ.
Ἡ δὲ παραίνεσις γίνεται δι' ἀμφοτέρων τῶν κλή-
σεων, καὶ τοῦ Κυρίου καὶ τοῦ Θεοῦ. Ἐνετείλατο
γὰρ Κύριος ὁ Θεὸς, ἵνα εἰ μὲν πείθοιτο ταῖς πα-
ραινέσεσιν, ὑπὸ τοῦ Θεοῦ εὐεργεσιῶν ἀξιωθείη· εἰ
δὲ ἀφηνιάζοι, ὑπὸ τοῦ Κυρίου, ὡς δεσπότου καὶ
ἐξουσίαν ἔχοντος, σκορακίζοιτο. Διόπερ καὶ, ὅτε
ἐκβάλλεται τοῦ παραδείσου, τὰς αὐτὰς κλήσεις πα-
ρείληφε· λέγει γὰρ, "Καὶ ἐξαπέστειλεν αὐτὸν Κύριος
ὁ Θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς, ἐργάζεσθαι
τὴν γῆν ἐξ ἧς ἐλήφθη." *) Ἵνα ἐπεὶ καὶ ὡς δε-
σπότης ὁ Κύριος, καὶ ὡς εὐεργέτης ὁ Θεὸς ἐνετέλ-
λετο, πάλιν ὡς ἀμφότερα ὢν τὸν παρακούσαντα τι-
μωρῆται· δι' ὧν γὰρ προέτρεπε δυνάμεων, διὰ τού-
των τὸν ἀπειθοῦντα ἀποπέμπεται.

§. 31. Ἃ δὲ παραινεῖ ταῦτά ἐστιν, "Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ." **) Προτρέπει τὴν τοῦ ἀνθρώπου ψυχὴν μὲν μὴ ἀφ'

---

*) Gen. 3, 23.

**) Gen. 2, 16.

ἑνὸς ξύλου, μηδὲ ἀπὸ μιᾶς ἀρετῆς, ἀλλ' ἀπὸ πασῶν τῶν ἀρετῶν ὠφελεῖσθαι. Τὸ γὰρ φαγεῖν σύμβολόν ἐστι τροφῆς ψυχικῆς. Τρέφεται δὲ ἡ ψυχὴ ἀναλήψει τῶν καλῶν, καὶ πράξει τῶν κατορθωμάτων. Μὴ μόνον δέ φησι "φαγῇ," ἀλλὰ καὶ "βρώσει," τουτέστι, καταλέσας καὶ ἐπιλεάνας μὴ ἰδιώτου ἀλλ' ἀθλητοῦ τρόπον τὴν τροφὴν, ἰσχὺν καὶ δύναμιν περιποιήσῃ. Καὶ γὰρ τοῖς ἀθληταῖς οἱ ἀλεῖπται παραγγέλλουσι, μὴ κόπτειν ἀλλὰ κατὰ σχολὴν λεαίνειν, ἵνα πρὸς ἰσχὺν ἐπιδιδῶσιν. Ἑτέρως γὰρ ἐγὼ καὶ ὁ ἀθλητὴς τρεφόμεθα· ἐγὼ μὲν γὰρ, ἕνεκα τοῦ ζῆν μόνον, ὁ δὲ ἀθλητὴς καὶ ἕνεκα τοῦ πιαίνεσθαι καὶ ῥώννυσθαι· παρ' ὃ καὶ ἕν τι τῶν ἀσκητικῶν ἐστι τὸ λεαίνεσθαι τροφήν. Τὸ "βρώσει φαγεῖν" ἐστι τοιοῦτον. Ἔτι δὲ ἀκριβέστερον διατυπώσωμεν αὐτό. Τιμᾶν τοὺς γονεῖς ἐδώδιμον καὶ τρόφιμόν ἐστιν. Ἀλλ' ἑτέρως οἱ ἀγαθοὶ καὶ οἱ φαῦλοι τιμῶσιν. Οἱ μὲν γὰρ διὰ τὸ ἔθος, οἵ τινες οὐ βρώσει ἐσθίουσιν, ἀλλὰ μόνον ἐσθίουσι. Πότε οὖν καὶ βρώσει; Ὅταν ἀναπτύξαντες καὶ τὰς αἰτίας ἐρευνήσαντες κρίνωσιν ἑκουσίως, ὅτι καλὸν τοῦτ' ἔστιν. Αἱ δὲ αἰτίαι τοιαῦται· ἐγέννησαν ἡμᾶς, ἔθρεψαν, ἐπαίδευσαν, πάντων αἴτιοι γεγόνασιν ἀγαθῶν. Πάλιν ἐδώδιμον τὸν ὄντα τιμᾶσθαι· τὸ δὲ "βρώσει," ὅταν καὶ μετὰ τῆς
τοῦ κεφαλαίου ἀναπτύξεως, καὶ τῆς τῶν αἰτιῶν 59
ἀποδόσεως. P.

§. 32. "Ἀπὸ δὲ τοῦ ξύλου γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἐξ αὐτοῦ," *) Οὐκοῦν. οὐκ
64 ἔστιν ἐν τῷ παραδείσῳ τὸ ξύλον τοῦτο· εἴπερ ἀπὸ
M. παντὸς ἐσθίειν παραγγέλλει τῶν ἐν τῷ παραδείσῳ.
Ἀπὸ δὲ τούτου μὴ φαγεῖν, δῆλον ὅτι οὐκ ἔστιν ἐν τῷ παραδείσῳ. Καὶ φυσικῶς· ἔστι γὰρ οὐσίᾳ, ὡς ἔφην, καὶ οὐκ ἔστι δυνάμει. Ὥσπερ γὰρ ἐν τῷ κηρῷ δυνάμει μέν εἰσι πᾶσαι αἱ σφραγῖδες, ἐντελεχείᾳ

*) Gen. 2, 16.

δὲ μόνη ἡ τετυπωμένη, οὕτω καὶ ἐν τῇ ψυχῇ κηροειδεῖ ὑπαρχούσῃ, πάντες οἱ τύποι περιέχονται δυνάμει· ἀποτελέσματι δὲ κρατεῖ ὁ εἷς χαραχθεὶς ἐν αὐτῷ, ἕως μὴ ἀπαλείφεται ὑφ' ἑτέρου ἐνεργέστερον καὶ ἐκδήλως μᾶλλον ἐπιχαράξαντος. Ἑξῆς καὶ ἐκεῖνο διαπορητέον. Ὅτε μὲν πορ(αι)νεῖ ἀπὸ παντὸς ξύλου ἐν τῷ παραδείσῳ ἐσθίειν, ἕνα προτρέπει· ὅτε δὲ ἀπαγορεύει χρῆσθαι τῷ πονηροῦ καὶ καλοῦ αἰτίῳ, ὡς πλείοσι διαλέγεται. Ἐκεῖ μὲν γάρ φησιν, "Ἀπὸ παντὸς φαγῇς," ἐνταῦθα δὲ, "Οὐ φάγεσθε· καὶ ᾗ δ' ἂν ἡμέρᾳ φάγητε," οὐχὶ φαγῇ, καὶ "ἀποθανεῖσθε," οὐχὶ ἀποθανῇ. Λεκτέον οὖν τάδε, ὅτι πρῶτον μὲν σπάνιόν ἐστι τὸ ἀγαθὸν, τὸ δὲ κακὸν πολύχουν. Διὰ τοῦτο σοφὸν καὶ πιστὸν μὲν εὑρεῖν ἕνα μόνον ἔργον, φαύλων δὲ τὸ πλῆθος ἀναρίθμητον. Εἰκότως οὖν ἑνὶ παραγγέλλει ταῖς ἀρεταῖς ἐντρέφεσθαι, πολλοῖς δὲ περιττοῦ πανουργίας ἀπέχεσθαι· ταύτῃ γὰρ μυρίοι χρῶνται. Δεύτερον, εἰς ἀρετῆς ἀνάληψίν τε καὶ χρῆσιν, ἑνὸς μόνου δεῖται, τοῦ λογισμοῦ. Τὸ δὲ σῶμα οὐχ οἷον οὐ συνεργεῖ πρὸς τοῦτο, ἀλλὰ καὶ κωλυσιεργεῖ. Σχεδὸν γὰρ σοφίας ἔργον τοῦτ' ἔστιν, ἀλλοτριοῦσθαι πρὸς τὸ σῶμα καὶ τὰς ἐπιθυμίας αὐτοῦ· εἰς δὲ ἀπόλαυσιν κακίας, οὐ μόνον δεῖ πως ἔχειν τὸν νοῦν, ἀλλὰ καὶ τὴν αἴσθησιν καὶ τὸν λόγον καὶ τὸ σῶμα. Ὁ γὰρ φαῦλος δεῖται τούτων ἁπάντων πρὸς ἐκπλήρωσιν τῆς ἰδίας κακίας. Ἐπεὶ πῶς ἐκλαλήσει μυστήρια, φωνητήριον οὐκ ἔχων ὄργανον; Πῶς δὲ ταῖς ἡδοναῖς χρήσεται, γαστρὸς καὶ τῶν αἰσθητηρίων στερούμενος; Δεόντως οὖν ἑνὶ μὲν τῷ λογισμῷ διαλέγεται περὶ κτήσεως ἀρετῆς· μόνου γάρ, ὡς ἔφην, ἐστὶν αὐτοῦ χρεία πρὸς τὴν ἀνάληψιν αὐτῆς. Περὶ δὲ κακίας πλείοσι, ψυχῇ, λόγῳ, αἰσθήσεσι σώματος· διὰ πάντων γὰρ τούτων ἐμφαίνεται.

§. 33. Λέγει γε μὴν, "Ἧι ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε." Καὶ φαγόντες

οὐχ οἷον οὐκ ἀποθνήσκουσιν, ἀλλὰ καὶ παιδοπο
ται, καὶ ἑτέροις τοῦ ζῆν αἴτιοι καθίστανται.
οὖν λεκτέον; Ὅτι διττός ἐστι θάνατος, ὁ μὲν
65θρώπου, ὁ δὲ ψυχῆς ἴδιος. Ὁ μὲν οὖν ἀνθρώ
M χωρισμός ἐστι ψυχῆς ἀπὸ σώματος, ὁ δὲ ψυχῆς
νατος ἀρετῆς μὲν φθορά ἐστι, κακίας δὲ ἀνάλη
Παρ' ὃ καί φησιν οὐκ ἀποθανεῖν αὐτὸ μόνον, ἀ
"θανάτῳ ἀποθανεῖν," δηλῶν οὐ τὸν κοινὸν, ἀ
τὸν ἴδιον καὶ κατ' ἐξοχὴν θάνατον, ὅς ἐστι ψυ
ἐντυμβευομένης πάθεσι καὶ κακίαις ἁπάσαις. Ι
σχεδὸν οὗτος ὁ θάνατος μάχεται ἐκείνῳ. Ἐκεῖνος
γὰρ διάκρισίς ἐστι τῶν συγκριθέντων, σώματός τε
ψυχῆς· οὗτος δὲ τὸ ἐναντίον, σύνοδος ἀμφοῖν, κρ
τοῦντος μὲν τοῦ χείρονος, σώματος, κρατουμένου
τοῦ κρείττονος, τῆς ψυχῆς. Ὅπου δ' ἂν οὖν λέ
"θανάτῳ ἀποθανεῖν," παρατήρει ὅτι θάνατον τὸν ἐ
τιμωρίᾳ λαμβάνει, οὐ τὸν φύσει γινόμενον. Φύ
μὲν οὖν ἐστι, καθ' ὃν χωρίζεται ψυχὴ ἀπὸ σώμα
τος· ὁ δ' ἐπὶ τιμωρίᾳ συνίσταται, ὅταν ἡ ψυχὴ τ
ἀρετῆς βίον θνήσκῃ, τὸν δὲ κακίας ζῇ μόνον. Ε
καὶ ὁ Ἡράκλειτος κατὰ τοῦτο Μωϋσέως ἀκολουθή
σας τῷ δόγματι· φησὶ γὰρ, "Ζῶμεν τὸν ἐκείνω
θάνατον, τεθνήκαμεν δὲ τὸν ἐκείνων βίον," ὡς νῦ
μὲν, ὅτε ἐνζῶμεν, τεθνηκυίας τῆς ψυχῆς, καὶ ὡς ἂ
ἐν σήματι τῷ σώματι ἐντετυμβευμένης· εἰ δὲ ἀπο-
θάνοιμεν, τῆς ψυχῆς ζώσης τὸν ἴδιον βίον, καὶ ἀπηλ-
λαγμένης κακοῦ καὶ νεκροῦ τοῦ συνδέτου σώματος.

ΝΟΜΩΝ ἹΕΡΩΝ

ΑΛΛΗΓΟΡΙΑΙ ΔΕΥΤΕΡΑΙ

ΤΩΝ

ΜΕΤΑ ΤΗΝ ἙΞΑΗΜΕΡΟΝ.

SACRARUM LEGUM

ALLEGORIARUM

POST SEX DIERUM OPUS.

LIBER II.

Argumentum.

(Cf. Gen. 2, 17 sqq. 3, 1 sqq.)

Mulierem auxiliarem deus homini dedit, i. e. animae corpus sensibus praeditum iunxit (1 et 2), ut homo mente percipere posset, quae extra ipsum sunt (3), quod non nisi corpore fieri potest. Bestias et volucres deinceps creavit deus (4); his indicantur affectus, quorum impetu animus laeditur (5). Deus Adamum cunctis rebus creatis nomina imponere iussit, ut inde cognosceret, quas ex omnibus hominis mens potissimum amplexura foret, quas non (6). Sopore, quem deus Adamo immisit (7), indicatur, sensus esse deprimendos, ut mens libere agere possit, feminâque e costâ creatâ sensus in actu, ad quem deus hominem perpulit (8—11); mulier enim denotat sensum, vir mentem, per quam sensus ope, deo quidem cooperante, efficitur actus (12 et 13). Homo derelinquet patrem et matrem, ut sequatur uxorem, i. e. homo indulgebit affectibus, neque mentem, uti debebat, sequetur (14). Nuditate protoplastorum triplex animae habitus indicatur, quorum primus est is, quo homo omni vitio expers est, alter, quo virtute caret, tertius, medius quidam, quo, ut infantes, neque virtutis, neque vitii particeps est (15 et 16); hic erat status primorum hominum, quamobrem non erubuisse dicuntur; mens enim illo-

rum adhuc boni et mali discrimen non intellexerat (17). Serpens typus est voluptatis animum mordentis (18), quod sentiunt omnes, etiam ii, qui loca deserta petunt, ut ibi clausis oculis de rebus coelestibus meditentur (19). Huic serpenti Evae oppositus est aenens ille, quem iubente deo erexit Moyses. Hic signum est temperantiae, qua profligatur voluptas (20 et 21); hoc etiam indicatur, qua via voluptatem insidiantem animo fugere possis (22 et 23). Eadem vis ac potestas est serpentis, qualis Dan fieri debuit (24), quo iterum typice temperanti[illegible] significatur, quam potissimum sequi debemus. In fine libri lector excitatur, ut voluptati animum ὀφιομάχον opponat, et certamine cum illa fortiter inito pulcherrimam et prae omnibu[illegible] insignem coronam, quam temperantia voluptatem devincentibus porrigit, parare studeat (25 et 26).

---

66 §. 1. Καὶ εἶπε κύριος ὁ θεὸς, "Οὐ καλὸν 1
M. εἶναι τὸν ἄνθρωπον μόνον, ποιήσωμεν αὐτῷ βοηθὸ
κατ' αὐτόν." *) Διὰ τί τὸν ἄνθρωπον, ὦ προφῆτα
οὐκ ἔστι καλὸν εἶναι μόνον; Ὅτι, φησὶ, καλόν ἐστι
τὸν μόνον εἶναι μόνον. Μόνος δὲ, καὶ καθ' αὑτὸν
εἷς ὢν, ὁ θεὸς, οὐδὲν δὲ ὅμοιον θεῷ. Ὥςτε, ἐπ
τὸ μόνον εἶναι τὸν ὄντα καλόν ἐστιν, — ὃ γὰρ πε
μόνον αὐτὸν τὸ καλόν, — οὐκ ἂν εἴη καλὸν, τ
εἶναι τὸν ἄνθρωπον μόνον. Τὸ δὲ, μόνον εἶναι τὸ
θεὸν, ἔστι μὲν ἐκδέξασθαι καὶ οὕτως, ὅτι οὔτε πρ
γενέσεως ἦν τι σὺν τῷ θεῷ, οὔτε κόσμου γενομένο
συντάττεταί τι αὐτῷ· χρῄζει γὰρ οὐδενὸς τὸ παρ
παν. Ἀμείνων δὲ ἥδε ἡ ἐκδοχή. Ὁ θεὸς μόνος ἐστ
καὶ ἓν, οὐ σύγκριμα, φύσις ἁπλῆ· ἡμῶν δὲ ἕκαστο
καὶ τῶν ἄλλων ὅσα γέγονε, πολλά· οἷον, ἐγὼ, πο
λά εἰμι· ψυχὴ, σῶμα· καὶ ψυχῆς, ἄλογον, λογ
κόν· πάλιν σώματος, θερμὸν, ψυχρὸν, βαρὺ, κο
φον, ξηρὸν, ὑγρόν. Ὁ δὲ θεὸς, οὐ σύγκριμα, οὐ

*) Gen. 2, 18 sqq.

ἐκ πολλῶν συνεστὼς, ἀλλ᾽ ἀμιγὴς ἄλλῳ. Ὃ γὰρ
67 ἂν προςκριθῇ θεῷ ἢ κρεῖσσόν ἐστιν αὐτοῦ, ἢ ἔλασ-
M. σον ἢ ἴσον αὐτῷ. Οὔτε δὲ ἴσον οὔτε κρεῖσσόν ἐστι θεοῦ, ἔλασσόν γε μὴν οὐδὲν αὐτῷ προςκρίνεται· εἰ δὲ μὴ, καὶ αὐτὸς ἐλαττωθήσεται· εἰ δὲ τοῦτο, καὶ φθαρτὸς ἔσται, ὅπερ οὐδὲ θέμις νοῆσαι. Τέτακται οὖν ὁ θεὸς κατὰ τὸ ἓν καὶ τὴν μονάδα· μᾶλλον δὲ καὶ ἡ μονὰς, κατὰ τὸν ἕνα θεὸν, πᾶς γὰρ ἀριθμὸς νεώτερος κόσμου, ὡς καὶ χρόνος· ὁ δὲ θεὸς 1088
πρεσβύτερος κόσμου καὶ δημιουργός. P.

§. 2. Οὐδένα δὲ ἄνθρωπον καλόν ἐστιν εἶναι μόνον. Δύο γὰρ ἀνθρώπων γένη, τό τε κατὰ τὴν εἰκόνα γεγονὸς, καὶ τὸ πεπλασμένον ἐκ γῆς· ἐφίεται γὰρ τῆς εἰκόνος. Ἡ γὰρ εἰκὼν τοῦ θεοῦ, ἀρχέτυπος ἄλλων ἐστί. Πᾶν δὲ μίμημα ποθεῖ τοῦτο, οὗπέρ ἐστι μίμημα, καὶ μετ᾽ ἐκείνου τάττεται. Οὔτε δὲ τῷ κατ᾽ εἰκόνα ἀνθρώπῳ καλόν ἐστιν εἶναι μόνῳ, οὔτε τῷ πλαστῷ πολὺ μᾶλλον καλόν ἐστιν εἶναι μόνῳ, ἀλλὰ καὶ ἀδύνατον. Καὶ γὰρ αἰσθήσεις καὶ πάθη καὶ κακίαι καὶ μυρία ἄλλα τούτῳ τῷ νῷ συνέζευκται καὶ συνήρμοσται. Τῷ δὲ δευτέρῳ ἀνθρώπῳ βοηθὸς συνίσταται, πρῶτον μὲν γεννητός· „ποιήσω γὰρ," φησὶν, „αὐτῷ βοηθόν." Ἔπειτα δὲ νεώτερος τοῦ βοηθουμένου. Πρότερον μὲν γὰρ ἔπλασε τὸν νοῦν, μέλλει δὲ πλάττειν τὸν βοηθὸν αὐτοῦ. Ἀλλὰ καὶ ταῦτα φυσικῶς ἀλληγορεῖται· ἡ γὰρ αἴσθησις, καὶ τὰ πάθη τῆς ψυχῆς, εἰσὶ νεώτεροι τῆς ψυχῆς. Πῶς μὲν οὖν βοηθοῦσιν, ὀψώμεθα· ὅτι δέ εἰσι βοηθοὶ νεώτεροι, θεασώμεθα.

§. 3. Ὥςπερ κατὰ τοὺς ἀρίστους τῶν ἰατρῶν καὶ φυσικῶν δοκεῖ τοῦ ὅλου σώματος προπλάττεσθαι ἡ καρδία, θεμελίου τρόπον, ἢ ὡς ἐν νηῒ τρόπεως, ἐφ᾽ ἣν οἰκοδομεῖται τὸ ἄλλο σῶμα, — παρὸ καὶ μετὰ τὴν τελευτὴν ἔτι ἐμπηδᾶν φασιν αὐτὴν, ὡς καὶ πρώτην γινομένην, καὶ ὑστέραν φθειρομένην, — οὕτως καὶ τὸ ἡγεμονικὸν τῆς ψυχῆς πρεσβύτερον τῆς

ὅλης εἶναι· τὸ δ' ἄλογον νεώτερον, οὗ τὴν οὔπω μὲν δεδήλωκε, μέλλει δὲ ὑπογράφειν. ἄλογον αἴσθησίς ἐστι καὶ τὰ ταύτης ἔκγονα καὶ μάλιστα εἰ μὲν κρίσεις εἰσὶν ἡμέτεραι. Κα τερος οὖν οὗτος ὁ βοηθὸς θεοῦ, καὶ γεννητὸς
68τως. Τὸ δὲ ὑπερτεθὲν, ἴδωμεν πῶς βοηθεῖ.
M.ἡμῶν ὁ νοῦς καταλαμβάνει, ὅτι τουτὶ λευκὸν λαν ἐστὶν, εἰ μὴ βοηθῷ χρησάμενος ὁράσει; δὲ, ὅτι ἡδεῖα ἡ τοῦ κιθαρῳδοῦ φωνὴ, ἢ τὸ ἐν ἐκμελὴς, εἰ μὴ βοηθῷ χρησάμενος ἀκοῇ; Π ὅτι εὐώδεις ἢ δυςώδεις οἱ ἀτμοὶ, εἰ μὴ συμ χρησάμενος ὀσφρήσει; Πῶς δὲ δοκιμάζει το λοὺς, εἰ μὴ διὰ βοηθοῦ τῆς γεύσεως; Πῶς τὰ μαλακὰ καὶ τραχέα, εἰ μὴ δι' ἀφῆς; Ἔστ νυν ἕτερον εἶδος βοηθοῦ, ὡς ἔφην, τὰ πάθη. γὰρ ἡδονὴ βοηθεῖ πρὸς διαμονὴν τοῦ γένους καὶ ἐπιθυμία καὶ λύπη μέντοι καὶ φόβος, δάκ τὴν ψυχὴν, ἐπέστρεψεν αὐτὴν μηδενὸς ὀλιγ Ὀργή τε ἀμυντήριον ὅπλον, ἣ μεγάλα πολλοὺς λησε, καὶ τὰ ἄλλα ταύτῃ. Διὸ καὶ εὐθυβόλ εἶπε, "κατ' αὐτὸν εἶναι τὸν βοηθόν." Τῷ γὰρ οἰκεῖος οὗτος ὁ βοηθός ἐστι τῷ νῷ, ὡς ἂν ἀδ καὶ ὅμαιμος· μιᾶς γάρ ἐστι ψυχῆς μέρη καὶ γ ματα ἥ τε αἴσθησις καὶ τὰ πάθη.

§. 4. Τοῦ δὲ βοηθοῦ ἐστι διττὸν τὸ ε τὸ μὲν ἐν πάθεσι, τὸ δ' αἰσθήσει. τὸ ** νό τὸ πρότερον εἶδος γεννήσει. Λέγει γὰρ, "Καὶ ἐ σεν ὁ θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ θηρία ἀγροῦ, καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ. ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδὰμ, ἰδεῖν τί καλέσει α καὶ πᾶν ὃ ἂν ἐκάλεσεν αὐτὸ Ἀδὰμ ψυχὴν ζῶ τοῦτο ὄνομα αὐτῷ." *) Ὁρᾷς τίνες εἰσὶν οἱ βοηθοὶ, τὰ θηρία τῆς ψυχῆς, τὰ πάθη. πὼν γὰρ, "ποιήσω βοηθὸν κατ' αὐτὸν," ἐπι

*) Gen. 2, 19.

τὸ "ἔπλασε τὰ θηρία," ὡς τῶν θηρίων ὄντων βοη-
θῶν ἡμῖν. Οὐ κυρίως δὲ οὗτοι βοηθοὶ, ἀλλὰ κα-
ταχρηστικῶς λέγονται, εὑρίσκονταί γέ τοι πρὸς ἀλή-
θειαν πολέμιοι. Ὥςπερ καὶ τῶν πόλεων ἔστιν ὅτε οἱ
σύμμαχοι προδόται καὶ αὐτόμολοι, καὶ ἐν ταῖς φι-
λίαις οἱ κόλακες ἀντὶ ἑταίρων ἐχθροί. Οὐρανὸν δὲ
καὶ ἀγρὸν συνωνύμως κέκληκεν, ἀλληγορῶν τὸν
νοῦν. Οὗτος γὰρ, καὶ ὡς ἀγρὸς, ἀνατολὰς καὶ
βλάστας ἔχει μυρίας ὅσας, καὶ, ὡς οὐρανὸς πάλιν,
λαμπρὰς καὶ θείας καὶ εὐδαίμονας φύσεις. Θη-
ρίοις δὲ καὶ πτηνοῖς ἀπεικάζει τὰ πάθη, ὅτι σίνε-
ται τὸν νοῦν, ἀτίθασσα καὶ ἀνήμερα ὄντα, καὶ ὅτι
πτηνῶν τρόπον ἐπιπετᾶται τῇ διανοίᾳ· ὀξεῖα γὰρ ἡ
τούτων καὶ ἀνεπίσχετος ὁρμή. Οὐ παρέργως δὲ
πρόςκειται τῷ ἔπλασε τὸ ἔτι. Διὰ τί; Ὅτι καὶ ἐπάνω
69 πεπλάσθαι τὰ θηρία φησὶ πρὸ τῆς ἀνθρώπου γενέ-
M. σεως. καὶ δηλοῖ διὰ τούτων ἐν ἕκτῃ ἡμέρᾳ. "Καὶ
εἶπεν· ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, τε-
τράποδα καὶ ἑρπετὰ καὶ θηρία." *) Τί παθὼν
οὖν ἄλλα πλάττει θηρία νῦν, οὐκ ἀρκεσθεὶς τοῖς
προτέροις; Λεκτέον ἠθικῶς μὲν τοῦτο. Πλούσιόν
ἐστι τὸ κακίας γένος ἐν τῷ γεννητῷ, ὥςτε ἀεὶ γεν-
νᾶσθαι τὰ φαυλότατα ἐν τούτῳ. Φυσικῶς δὲ ἐκεῖνο·
πρότερον μὲν ἐν τῇ ἑξαμέρῳ τὰ γένη τῶν παθῶν καὶ
τὰς ἰδέας εἰργάζετο, νυνὶ δὲ τὰ εἴδη προςπλάττει.
Διό φησιν, "ἔπλασεν ἔτι." Ὅτι δὲ τὰ πάλαι κα-
τασκευασθέντα γένη ἦν, φανερὸν, ἐξ ὧν φησιν,
"ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν," οὐ κατ' εἶδος, ἀλλὰ
"κατὰ γένος." Καὶ τοιοῦτος ἐν ἅπασιν εὑρίσκεται.
Πρὸ γὰρ τῶν εἰδῶν ἀποτελεῖ τὰ γένη, ὥςπερ καὶ
ἐπὶ τοῦ ἀνθρώπου· προτυπώσας γὰρ τὸν γενικὸν
ἄνθρωπον, ἐν ᾧ τὸ ἄῤῥεν καὶ τὸ θῆλυ γένος 1090
φασὶν εἶναι, ὕστερον τὸ εἶδος ἀπεργάζεται τὸν P.
Ἀδάμ.

*) Gen. 1, 24.

§. 5. Τοῦτο μὲν οὖν τὸ εἶδος τῶν βοηθῶν εὑ ρηκε, τὸ δὲ ἕτερον ὑπερτίθεται τὸ τῆς αἰσθήσεω ὅταν ἐπιχειρῇ πλάττειν τὴν γυναῖκα. Ἐκεῖνο ὑπερθέμενος, περὶ τῆς τῶν ὀνομάτων θέσεως τεχνο λογεῖ. Ἔστι δὲ καὶ ἡ τροπικὴ καὶ ἡ ῥητὴ ἀπόδοσ ἀξία τοῦ θαυμάζεσθαι. Ἡ μὲν ῥητὴ, παρόσον τὶ θέσιν τῶν ὀνομάτων προςῆψε τῷ πρώτῳ γεννωμέν ὁ νομοθέτης. Καὶ γὰρ οἱ παρ' Ἕλλησι φιλοσ φοῦντες εἶπον, εἶναι σοφοὺς τοὺς πρώτους τοῖς πρ γμασι τὰ ὀνόματα θέντας. Μωϋσῆς δὲ ἄμεινον, ὁ πρῶτον μὲν οὔ τισι τῶν πρότερον, ἀλλὰ τῷ πρώ γεννωμένῳ, ἵνα ὥςπερ αὐτὸς ἀρχὴ τοῖς ἄλλοις γε σεως ἐπλάσθη, οὕτω καὶ αὐτὸς ἀρχὴ τοῦ διαλέγεσθ νομισθῇ. Μὴ γὰρ ὄντων ὀνομάτων, οὐδ' ἂν διάλεκ ἦ. Ἔπειτα, ὅτι πολλῶν μὲν τιθέντων ὀνόματα, δ φωνα καὶ ἄμικτα ἔμελλεν ἔσεσθαι, ἄλλων ἄλλως θέντων. Ἑνὸς δὲ ὤφειλεν ἡ θέσις ἐφαρμόττειν πράγματι, καὶ τοῦτ' εἶναι σύμβολον ἅπασι τὸ αὐ τοῦ τυγχάνοντος ἢ τοῦ σημαινομένου.

§. 6. Ὁ δὲ ἠθικὸς λόγος τοιοῦτός ἐστι. „τί" πολλάκις τίθεμεν ἀντὶ τοῦ „διὰ τί," οἱ τί λέλουσαι, τί περιπατεῖς, τί διαλέγῃ· πάντα ταῦτα ἀντὶ τοῦ „διὰ τί." Ὅταν οὖν λέγῃ, ἰδεῖ καλέσῃ, ἄκουε ἴσον τῷ, διὰ τί καλέσει, καὶ πρ καλέσεται, καὶ ἀσπάσεται τούτων ἕκαστον ὁ ν Πότερον ἕνεκα τοῦ ἀναγκαίου μόνον, ὅτι κατέζευ τὸ θνητὸν ἐξ ἀνάγκης πάθεσι καὶ κακίαις; Ἢ ἕνεκα τοῦ ἀμέτρου καὶ περιττοῦ; Καὶ πότερον τὰς τοῦ γηγενοῦς χρείας, ἢ διὰ τὸ κρίνειν αὐτὰ τιστα καὶ θαυμασιώτατα, οἷον ἡδονῇ χρῆσθαι
70 τὸ γεγονός; Ἀλλ' ὁ μὲν φαῦλος ὡς ἀγαθῷ τε
M. χρήσεται, ὁ δὲ σπουδαῖος, ὡς μόνον ἀναγκαίῳ· ρὶς γὰρ ἡδονῆς οὐδὲν γίνεται τῶν ἐν τῷ θνητῷ νει. Πάλιν τὴν τῶν χρημάτων κτῆσιν, ὁ μὲ λειότατον ἀγαθὸν κρίνει, ὁ δὲ σπουδαῖος, ἀναγ καὶ χρήσιμον αὐτὸ μόνον. Εἰκότως οὖν ὁ θεὸς

καὶ καταμαθεῖν βούλεται, πῶς ἕκαστον τούτων προςκαλεῖται καὶ ἀποδέχεται ὁ νοῦς, εἴτε ὡς ἀγαθὰ εἴτε ὡς ἀδιάφορα, ἢ ὡς κακὰ μὲν χρειώδη δὲ ἄλλως. Διὸ καὶ πᾶν ὃ ἂν προςεκαλέσατο, καὶ ἠσπάσατο ὡς ψυχὴν ζῶσαν, ἰσότιμον αὐτὸ ἡγησάμενος ψυχῇ, τοῦτο ὄνομα οὐ τοῦ κληθέντος ἐγίνετο μόνον, ἀλλὰ καὶ τοῦ καλέσαντος· οἷον, εἰ ἀπεδέξατο ἡδονὴν, ἐκαλεῖτο ἡδονικὸς, εἰ δ' ἐπιθυμίαν, ἐπι- 1091 θυμητικὸς, εἰ ἀκολασίαν, ἀκόλαστος, εἰ δειλίαν, P. δειλὸς, καὶ οὕτως ἐπὶ τῶν ἄλλων. Ὥςπερ γὰρ ἀπὸ τῶν ἀρετῶν ὁ κατ' αὐτὰς ποιὸς καλεῖται φρόνιμος ἢ σώφρων ἢ δίκαιος ἢ ἀνδρεῖος, οὕτως ἀπὸ τῶν κακῶν ἄδικος καὶ ἄφρων καὶ ἄνανδρος, ἐπειδὰν τὰς ἕξεις προςκαλέσηται καὶ δεξιώσηται.

§. 7. "Καὶ ἐπέβαλεν ὁ θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδὰμ, καὶ ὕπνωσε. Καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ," *) καὶ τὰ ἑξῆς. Τὸ ῥητὸν ἐπὶ τούτου μυθῶδές ἐστι. Πῶς γὰρ ἂν παραδέξαιτό τις, ὅτι γέγονεν ἐκ πλευρᾶς ἀνδρὸς γυνὴ, ἢ συνόλως ἄνθρωπος; Τί δὲ ἐκώλυεν, ὥςπερ ἐκ γῆς ἄνδρα ἐδημιούργει τὸ αἴτιον, οὕτω καὶ γυναῖκα δημιουργῆσαι; Ὅ τε γὰρ ποιῶν ὁ αὐτὸς ἦν, ἥ τε ὕλη σχεδὸν ἄπειρος, ἐξ ἧς πᾶσα ποιότης κατεσκευάζετο. Διὰ τί δὲ οὐκ ἐξ ἄλλου μέρους, τοσούτων ὑπαρχόντων, ἀλλ' ἐκ πλευρᾶς ἐτύπου τὴν γυναῖκα; Ποτέρας δὲ πλευρᾶς; Ἵνα καὶ δύο μόνον ἐμφαίνεσθαι φῶμεν. Πρὸς γὰρ ἀλήθειαν οὐδὲ πλῆθος αὐτῶν ἐδήλωσεν. Ἆρά γε τὴν εὐώνυμον, ἢ τὴν δεξιάν; Εἴ γε μὴν ἀνεπλήρου σαρκὶ τὴν ἑτέραν, ἡ ἀπολειπομένη οὐκ ἦν σαρκίνη δήπου; Καὶ μὴν ἀδελφαί γέ εἰσι καὶ συγγενεῖς πᾶσι τοῖς μέρεσιν αἱ ἡμῶν πλευραὶ, καὶ σαρκὸς γεγόνασι. Τί οὖν λεκτέον; Πλευρὰς ὁ βίος ὀνομάζει τὰς δυνάμεις. Λέγομεν γὰρ πλευρὰς ἔχειν τὸν ἄνθρωπον, ἴσον τῷ δυνάμεις, καὶ ἔμπλευρον εἶναι τὸν ἀθλητὴν,

*) Gen. 2, 21.

ἀντὶ τοῦ ἰσχυρὸν, καὶ πλευρὰς ἔχειν τὸν κιθα
ἀντὶ τοῦ δύναμιν ἐῤῥωμένην ἐν τῷ ᾄδειν.
71 προειρημένου καὶ ἐκεῖνο λεκτέον, ὅτι ὁ γυμι
M. ἀνένδετος σώματι νοῦς — περὶ γὰρ τοῦ μήπω
δεμένου ἐστὶν ὁ λόγος — πολλὰς ἔχει δυνάμεις
κὴν, φυτικὴν, ψυχικὴν, λογικὴν, διανοητικὴ
λας μυρίας κατά τε εἴδη καὶ γένη. Ἡ μὲν ἕξις
καὶ τῶν ἀψύχων ἐστὶ λίθων καὶ ξύλων, ἧς
καὶ τὰ ἐν ἡμῖν ἐοικότα λίθοις ὀστέα. Ἡ δὲ
διατείνει καὶ ἐπὶ τὰ φυτά. Καὶ ἐν ἡμῖν δ
ἐοικότα φυτοῖς, ὄνυχές τε καὶ τρίχες. Ἔστι
φύσις ἕξις ἤδη κινουμένη. Ψυχὴ δέ ἐστι φύσις
εἰληφυῖα φαντασίαν καὶ ὁρμήν· αὕτη κοινὴ κα
ἀλόγων ἐστίν. Ἔχει δὲ καὶ ὁ ἡμέτερος νοῦς ἀ
γοῦν τι ἀλόγου ψυχῇ· πάλιν ἡ διανοητικὴ δι
ἰδία τοῦ νοῦ ἐστι, καὶ ἡ λογικὴ κοινὴ μὲν τά
τῶν θειοτέρων φύσεων, ἰδία δὲ ὡς ἐν θνητῖ
θρώπου. Αὕτη δὲ διττὴ, ἡ μὲν καθ᾽ ἣν λ
ἐσμεν, νοῦ μετέχοντες, ἡ δὲ καθ᾽ ἣν διαλεγό
Ἔστιν ἄλλη δύναμις ἐν ψυχῇ, τούτων ἀδελ
αἰσθητικὴ, περὶ ἧς ἐστιν ὁ λόγος. Οὐδὲν γὰρ
νῦν ὑπογράφει, ἢ γένεσιν τῆς κατ᾽ ἐνέργειαν
σθήσεως καὶ κατὰ λόγον.

§. 8. Μετὰ γὰρ νοῦν, εὐθὺς ἔδει δημιουρ
ναι αἴσθησιν βοηθὸν αὐτῷ καὶ σύμμαχον.
σιουργήσας οὖν ἐκεῖνον, τὸ δεύτερον καὶ τῇ τάξ
τῇ δυνάμει πλάττει δημιούργημά τι, τὴν κατ᾽
γειαν αἴσθησιν, πρὸς συμπλήρωσιν τῆς ὅλης ψ
καὶ πρὸς τὴν τῶν ὑποκειμένων ἀντίληψιν. Πῶ
γεννᾶται; Ὡς αὐτὸς πάλιν φησὶν, ὅταν ὑπνώ
νοῦς. Τῷ γὰρ ὄντι ὑπνώσαντος νοῦ γίνεται αἰ
σις. Καὶ γὰρ ἔμπαλιν ἐγρηγορότος νοῦ, σβέννι
Τεκμήριον δὲ, ὅταν τι βουλώμεθα ἀκριβὲς νο
εἰς ἐρημίαν ἀποδιδράσκομεν, καταμύομεν τὰς ὄ
τὰ ὦτα ἐπιφράττομεν, ἀποταττόμεθα ταῖς αἰ
σεσιν. Οὕτως μὲν ὅταν ἀναστῇ, καὶ ἐγρηγόρσει

ται ὁ νοῦς, φθείρεται αἴσθησις. Ἴδωμεν δὲ καὶ θάτερον πῶς ὕπνῳ χρῆται ὁ νοῦς. Περιαναστάσης καὶ ζωπυρηθείσης αἰσθήσεως, ὅταν ἡ ὄψις γραφέων ἢ πλαστῶν ἔργα εὖ δεδημιουργημένα καθορᾷ, οὐχ ὁ νοῦς ἄπρακτός ἐστι, νοητὸν ἐπινοῶν οὐδέν; Τί δέ; Ὅταν ἡ ἀκοὴ προσέχῃ φωνῆς ἐμμελείᾳ, δύναται ὁ νοῦς λογίζεσθαί τι τῶν οἰκείων; Οὐδαμῶς. Καὶ μὴν πολὺ πλέον ἄπρακτος γίγνεται, ὅταν ἡ γεῦσις ἐξανασπᾶσα, λάβρως ἐμπίμπληται τῶν γαστρὸς ἡδονῶν. Διὸ καὶ Μωϋσῆς φοβηθείς, μή ποτε ὁ νοῦς μὴ μόνον κοιμηθῇ, ἀλλὰ καὶ τελείως ἀποθάνῃ, φησὶν ἐν Ἑτέροις, „Καὶ πάσσαλος ἔσται σοι ἐπὶ τῆς ζώνης Μου. Καὶ ἔσται, ὅταν διακαθιζάνῃς, ὀρύξεις ἐν αὐτῷ καὶ ἐπαγαγὼν καλύψεις τὴν ἀσχημοσύνην σου," *) πάσσαλον συμβολικῶς φάσκων τὸν ἐξορύσσοντα λόγον τὰ κεκρυμμένα τῶν πραγμάτων. Κελεύει δὲ αὐτὸν φορεῖν ἐπὶ τοῦ πάθους, ὃ ἀνεζῶσθαι χρή, καὶ μὴ ἐᾶν κεχαλᾶσθαι καὶ ἀνεῖσθαι. Τοῦτο δὲ πρακτέον, ὅταν ὁ νοῦς τοῦ τόνου τῶν νοητῶν ἀποστάς, ὑφῆκται πρὸς τὰ πάθη καὶ διακαθιζάνῃ, ἐνδιδοὺς καὶ ἀγόμενος ὑπὸ τῆς σωματικῆς ἀνάγκης. Καὶ οὕτως ἔχει, ὅταν ἐν ταῖς ἁβροδιαίτοις συνουσίαις ἐπιλάθηται ὁ νοῦς ἑαυτοῦ, κρατηθεὶς τοῖς ἐπὶ τὰς ἡδονὰς ἄγουσι, δεδουλώμεθα, καὶ ἀκατακαλύπτῳ τῇ ἀκαθαρσίᾳ χρώμεθα. Ἐὰν δὲ ὁ λόγος ἰσχύσῃ ἀνακαθᾶραι τὸ πάθος, οὔτε πίνοντες μεθυσκόμεθα, οὔτε ἐσθίοντες ἐξυβρίζομεν διὰ κόρον, ἀλλὰ δίχα τοῦ ληρεῖν νηφάλια σιτούμεθα. Οὐκοῦν ἥ τε τῶν αἰσθήσεων ἐγρήγορσις ὕπνος ἐστὶ νοῦ, ἥ τε τοῦ νοῦ ἐγρήγορσις ἀπραξία τῶν αἰσθήσεων. Καθάπερ καὶ ἡλίου ἀνατείλαντος μὲν ἀφανεῖς αἱ τῶν ἄλλων ἀστέρων λάμψεις, καταδύναντος δὲ ἔκδηλοι· ἡλίου δὴ τρόπον ὁ νοῦς ἐγρηγορὼς μὲν ἐπισκιάζει ταῖς αἰσθήσεσι, κοιμηθεὶς δὲ αὐτὸς ἐξέλαμψε.

*) Deuter. 23, 13.

§. 9. Τούτων εἰρημένων, ἐφαρμοστέον : λέξεις. „Ἐπέβαλε," φησὶν, „ὁ θεὸς ἔκστασ τὸν Ἀδὰμ, καὶ ὕπνωσεν." *) Ὀρθῶς, ἡ γὰρ ἐκι καὶ τροπὴ τοῦ νοῦ ὕπνος ἐστὶν αὐτοῦ. Ἐξίο δὲ, ὅταν μὴ πραγματεύηται τὰ ἐπιβάλλοντα νοητά. Ὅτε δὲ οὐκ ἐνεργεῖ ταῦτα, κοιμᾶται. δὲ τὸ φάναι ὅτι „ἐξίσταται." τοῦτο δὲ, ὅτι ι ται, οὐ παρ' ἑαυτὸν, ἀλλὰ παρὰ τὸν ἐπιβάλ καὶ ἐπιφέροντα καὶ ἐπιπέμποντα τὴν τροπὴν Καὶ γὰρ οὕτως ἔχει· εἰ γοῦν παρ' ἐμὲ ἦν τὸ ι σθαι, ὁπότε ἐβουλόμην ἂν ἐχρώμην αὐτῷ, καὶ μὴ ἐπροηρούμην, ἄτρεπτος διετέλουν. Νυνὶ δ ἀντιφιλονεικεῖ μοι ἡ τροπὴ, καὶ πολλάκις βουλό καθῆκόν τι νοῆσαι, ἐπαντλοῦμαι ταῖς παρὰ τι θῆκον ἐπιῤῥοίαις· καὶ ἔμπαλιν ἔννοιάν τινος λα νων αἰσχροῦ, ποτίμοις ἐννοίαις ἀπεῤῥιψάμην ἐ θεοῦ τῇ ἑαυτοῦ χάριτι γλυκὺ νᾶμα ἀντὶ ἀλμ ἐπεισχέαντος τῇ ψυχῇ. Πᾶν μὲν οὖν τὸ γενι ἀναγκαῖον τρέπεσθαι· ἴδιον γάρ ἐστι τοῦτο α ὥςπερ θεοῦ τὸ ἄτρεπτον εἶναι. Ἀλλ' οἱ μὲν πέντες κατέμειναν ἄχρι παντελοῦς φθορᾶς, ο ὅσον μόνον παθεῖν τὸ θνητόν· οὗτοι δὲ εὐθὺς
73 σώθησαν. Διὸ καὶ Μωϋσῆς φησιν, ὅτι „οὐκ
M. τὸν ὀλοθρεύοντα εἰςελθεῖν εἰς τὰς οἰκίας ὑμῶν τάξαι." **) Ἐᾷ μὲν γὰρ τὸν ὀλοθρεύοντα — ὄλ δὲ ψυχῆς ἐστιν ἡ τροπή — εἰςελθεῖν εἰς τὴν ψ ἵνα τὸ ἴδιον ἐνδείξηται τοῦ γεννητοῦ. Οὐκ ἀ δὲ ὁ θεὸς τὸν τοῦ ὁρῶντος ἔγγονον Ἰσραὴλ τραπῆναι, ὥςτε πληγῆναι ὑπὸ τῆς τροπῆς, ἀλλὰ δραμεῖν καὶ ἀνακῦψαι ὥςπερ ἐκ βυθοῦ καὶ ἀ θῆναι βιάσεται.

§. 10. „Ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ." πολλῶν τοῦ νοῦ δυνάμεων μίαν ἔλαβε, τὴν α

*) Gen. 2, 21.

**) Exod. 12, 23.

τικήν. Τὸ δὲ „ἔλαβεν“ οὐκ ἀντὶ τοῦ ἀφεῖλεν ἀκουστέον, ἀλλ' ἀντὶ τοῦ κατηρίθμησεν, ἐξήτασεν· ὡς ἐν ἑτέροις, „Λάβε τὸ κεφάλαιον τῶν σκύλων τῆς αἰχμαλωσίας.“ *) Τί οὖν ἐστιν ὃ βούλεται παραστῆσαι; Διχῶς αἴσθησις λέγεται· ἡ μὲν καθ' ἕξιν, ἥτις καὶ κοιμωμένων ἡμῶν ἐστιν, ἡ δὲ κατ' ἐνέργειαν. Τῆς μὲν οὖν προτέρας τῆς καθ' ἕξιν, ὄφελος οὐδέν, οὐδὲ γὰρ αὐτῇ τῶν ὑποκειμένων ἀντιλαμβανόμεθα· τῆς δὲ δευτέρας τῆς κατ' ἐνέργειαν. Διὰ γὰρ 1094
ταύτης ποιούμεθα τὰς τῶν αἰσθητῶν ἀντιλήψεις. P.
Γεννήσας οὖν τὴν προτέραν τὴν καθ' ἕξιν αἴσθησιν, ὅτε καὶ τὸν νοῦν ἐγέννα, — σὺν γὰρ πολλαῖς δυνάμεσιν ἠρεμούσαις αὐτὸν κατεσκεύαζε, — νῦν βούλεται τὸν κατ' ἐνέργειαν ἀποτελέσαι. Ἀποτελεῖται δὲ ἡ κατ' ἐνέργειαν, ὅταν ἡ καθ' ἕξιν κινηθεῖσα ταθῇ μέχρι τῆς σαρκὸς καὶ τῶν αἰσθητικῶν ἀγγείων. Ὥςπερ γὰρ φύσις ἀποτελεῖται, κινηθέντος σπέρματος, οὕτως καὶ ἐνέργεια, κινηθείσης ἕξεως.

§. 11. „Ἀνεπλήρου δὴ σάρκα ἀντ' αὐτῆς.“ Τουτέστι συνεπλήρου τὴν καθ' ἕξιν αἴσθησιν, ἄγων εἰς ἐνέργειαν, καὶ τείνων αὐτὴν ἄχρι σαρκὸς καὶ τῆς ὅλης ἐπιφανείας. Διὸ καὶ ἐπιφέρει ὅτι ᾠκοδόμησεν εἰς γυναῖκα,“ **) διὰ τούτου παριστάς, ὅτι οἰκειότατον καὶ εὐθυβολώτατόν ἐστιν ὄνομα αἰσθήσεως γυνή. Ὥςπερ γὰρ ὁ μὲν ἀνὴρ ἐν τῷ δρᾶσαι θεωρεῖται, ἐν δὲ τῷ πάσχειν ἡ γυνή, οὕτως ἐν μὲν τῷ δρᾶν ὁ νοῦς, ἐν δὲ τῷ πάσχειν γυναικὸς τρόπον ἡ αἴσθησις ἐξετάζεται. Μαθεῖν δὲ ἐκ τῆς ἐνεργείας ῥᾴδιον. Ἡ ὄψις πάσχει ὑπὸ τῶν κινούντων αὐτὴν ὁρατῶν, τοῦ λευκοῦ, τοῦ μέλανος, τῶν ἄλλων. Ἡ ἀκοὴ πάλιν ὑπὸ τῶν φωνῶν, καὶ ἡ γεῦσις ὑπὸ τῶν χυλῶν διατίθεται, ὑπὸ τῶν ἀτμῶν ἡ ὄσφρησις, ὑπὸ τραχέος καὶ μαλακοῦ ἡ ἁφή. καὶ ἠρεμοῦσί γε αἱ

---

*) Num. 31, 26.

**) Gen. 2, 22.

αἰσθήσεις ἅπασαι, μέχρις ἂν προςέλθῃ ἑκάσ
κινῆσον ἔξωθεν.

§. 12. „Καὶ ἤγαγεν αὐτὴν πρὸς τὸν Ἀ
καὶ εἶπεν Ἀδάμ· τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀ
μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου." *) Τὴν
ἐνέργειαν αἴσθησιν ἄγει ὁ θεὸς πρὸς τὸν νοῦν
74 δώς, ὅτι ἀνακάμπτειν δεῖ τὴν κίνησιν αὐτῆς
M. ἀντίληψιν ἐπὶ νοῦν. Ὁ δὲ θεασάμενος ἣν πρότ
εἶχε δύναμιν, καὶ καθ' ἕξιν ἠρεμοῦσαν, νῦν ἐ
τέλεσμα καὶ ἐνέργειαν γεγενημένην καὶ κινουμέ
θαυμάζει τε, καὶ ἀναφθέγγεται φάσκων, ὅτι
ἔστιν ἀλλοτρία αὐτοῦ, ἀλλὰ σφόδρα οἰκεία. Τό
γάρ φησιν, „ὀστοῦν ἐκ τῶν ἐμῶν ὀστῶν," τουτέ
δύναμις ἐκ τῶν ἐμῶν δυνάμεων. Ἐπὶ γὰρ δυνάμ
καὶ ἰσχύος νῦν παρείληπται τὸ ὀστέον· καὶ πά
ἐκ τῶν ἐμῶν παθῶν, καὶ σὰρξ, φησὶν, ἐκ τῆς σ
κός μου. Πάντα γὰρ ὅσα πάσχει ἡ αἴσθησ
οὐκ ἄνευ νοῦ ὑπομένει, πηγὴ γὰρ οὗτός ἐστιν αἰ
καὶ θεμέλιος ᾧ ἐπερείδεται. Ἄξιον δὲ σκέψασθ
διὰ τί τὸ „Νῦν" προςετέθη· „τοῦτο γάρ," φη
„Νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου." Ἡ αἴσθησις φ
σει νῦν ἐστι, κατὰ τὸν ἐνεστῶτα χρόνον ὑφισταμέ
μόνον. Ὁ μὲν γὰρ νοῦς τῶν τριῶν ἐφάπτεται 1
χρόνων· καὶ γὰρ τὰ παρόντα νοεῖ, καὶ τῶν παρ
ληλυθότων μέμνηται, καὶ τὰ μέλλοντα προςδοκ
Ἡ δὲ αἴσθησις οὔτε μελλόντων ἀντιλαμβάνετα
οὐδ' ἀνάλογόν τι πάσχει προςδοκίᾳ ἢ ἐλπίδι, οὔτ
παρεληλυθότων μέμνηται· ἀλλ' ὑπὸ τοῦ ἤδη κινοῦν-
τος καὶ παρόντος μόνου πάσχειν πέφυκεν. Οἷον
ὀφθαλμὸς λευκαίνεται νῦν ὑπὸ τοῦ παρόντος λευ-
κοῦ, ὑπὸ δὲ τοῦ μὴ παρόντος οὐδὲν πάσχει. Ὁ δὲ
νοῦς καὶ ἐπὶ τῷ μὴ παρόντι κινεῖται, παρεληλυθότι
μὲν κατὰ μνήμην, μέλλοντι δὲ, ἐπελπίζων καὶ προς-
δοκῶν.

---

*) Gen. 2, 23.

§. 13. "Αὕτη καὶ κληθήσεται γυνή," ἀντὶ τοῦ, διὰ τοῦτο ἡ αἴσθησις γυνὴ προσρηθήσεται, ὅτι ἐκ τοῦ ἀνδρὸς τοῦ κινοῦντος αὐτὴν λαμβάνεται. "Αὕτη," φησί. Διὰ τί οὖν τὸ "Αὕτη" πρόςκειται; Ὅτι ἐστὶν ἑτέρα αἴσθησις, οὐκ ἐκ τοῦ νοῦ λαμβανομένη, ἀλλὰ σὺν αὐτῷ γεγενημένη. Δύο γὰρ, ὡς εἶπον ἤδη, εἰσὶν αἰσθήσεις· ἡ μὲν καθ' ἕξιν, ἡ δὲ κατ' ἐνέργειαν. Ἡ μὲν οὖν καθ' ἕξιν, οὐκ ἐκ τοῦ ἀνδρὸς, τουτέστι τοῦ νοῦ, λαμβάνεται, ἀλλὰ σὺν αὐτῷ φύεται· ὁ γὰρ νοῦς, καθάπερ ἐδήλωσα, ὅτε ἐγεννᾶτο, σὺν πολλαῖς δυνάμεσι καὶ ἕξεσιν ἐγεννᾶτο, λογικῇ, ψυχικῇ, φυτικῇ, ὥςτε καὶ αἰσθητικῇ. Ἡ δὲ κατ' ἐνέργειαν, ἐκ τοῦ νοῦ. Ἐκ γὰρ τῆς ἐν τῷ καθ' ἕξιν οὔσης αἰσθήσεως ἐτάθη, ἵνα γένηται κατ' ἐνέργειαν· ὥςτε ἐξ αὐτοῦ τοῦ νοῦ γεγεννῆσθαι τὴν δευτέραν καὶ κατὰ κίνησιν. Μάταιος δὲ ὁ νομίζων, πρὸς τὸν ἀληθῆ λόγον ἐκ τοῦ νοῦ τι συνόλως γεννᾶσθαι ἢ ἐξ ἑαυτοῦ. Οὐχ ὁρᾷς, ὅτι καὶ τῇ ἐπὶ τῶν εἰδώλων καθεζομένῃ αἰσθήσει τῇ Ῥαχὴλ, νομιζούσῃ ἐκ τοῦ νοῦ τὰ κινήματα εἶναι, ἐπιπλήττει ὁ βλέπων; Ἡ
75 μὲν γάρ φησι, "Δός μοι τέκνα, εἰ δὲ μὴ, τελευ-
M. τήσω ἐγώ." *) Ὁ δὲ ἀποκρίνεται· ὅτι, ὦ ψευδοδοξοῦσα, οὐκ ἔστιν ὁ νοῦς αἴτιον οὐδενὸς, ἀλλ' ὁ πρὸ τοῦ νοῦ θεός. Διὸ καὶ ἐπιφέρει, "Μὴ ἀντὶ θεοῦ ἐγώ εἰμι, ὃς ἐστέρησέ σε καρπὸν κοιλίας;" Ὅτι δὲ ὁ γεννῶν ὁ θεός ἐστι, μαρτυρήσει ἐπὶ τῆς Λείας, ὅταν φῇ; "Ἰδὼν δὲ κύριος ὅτι μισεῖται Λεία, ἤνοιξε τὴν μήτραν αὐτῆς· Ῥαχὴλ δὲ ἦν στεῖρα." **) Ἀνδρὸς δὲ ἴδιον τὸ μήτραν ἀνοιγνύναι. Φύσει δὲ μισεῖται παρὰ τῷ θνητῷ ἡ ἀρετή· διὸ καὶ ὁ θεὸς αὐτὴν τετίμηκε, καὶ παρέχει τὰ πρωτοτόκια
τῇ μισουμένῃ. Λέγει δὲ ἐν ἑτέροις, "Ἐὰν δὲ γέ- P.
νωνται ἀνθρώπῳ δύο γυναῖκες, μία αὐτῶν ἠγαπη- 1096

*) Gen. 30, 1 sqq.
**) Gen. 29, 31.

μένη, καὶ μία αὐτῶν μισουμένη, καὶ τέκωσιν αὐτῷ, καὶ γένηται υἱὸς πρωτότοκος τῆς μισουμένης· οὐ δυνήσεται πρωτοτοκεῦσαι τῷ υἱῷ τῆς ἠγαπημένης, ὑπεριδὼν τὸν υἱὸν τὸν πρωτότοκον τῆς μισουμένης." *) Πρώτιστα γάρ ἐστι καὶ τελειότατα τὰ τῆς μισουμένης ἀρετῆς γεννήματα, τὰ δὲ τῆς ἀγαπωμένης ἡδονῆς ἔσχατα.

§. 14. "Ἕνεκα τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα, καὶ προςκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν." **) Ἕνεκα τῆς αἰσθήσεως ὁ νοῦς, ὅταν αὐτῇ δουλωθῇ, καταλίπῃ καὶ τὸν πατέρα, τὸν ὅλων θεὸν, καὶ τὴν μητέρα τῶν συμπάντων, τὴν ἀρετὴν καὶ σοφίαν τοῦ θεοῦ, καὶ προςκολλᾶται καὶ ἑνοῦται τῇ αἰσθήσει, καὶ ἀναλύεται εἰς αἴσθησιν, ἵνα γίνωνται μία σὰρξ, καὶ ἓν πάθος, οἱ δύο. Παρατήρει δὲ, ὅτι οὐχ ἡ γυνὴ κολλᾶται τῷ ἀνδρὶ, ἀλλ' ἔμπαλιν ὁ ἀνὴρ τῇ γυναικὶ, ὁ νοῦς τῇ αἰσθήσει· ὅταν γὰρ τὸ κρεῖττον, ὁ νοῦς, ἑνωθῇ τῷ χείρονι, τῇ αἰσθήσει, ἀναλύεται εἰς τὸ χεῖρον τὸ σαρκὸς γένος, τὴν παθῶν αἰτίαν αἴσθησιν. Ὅταν δὲ τὸ χεῖρον, ἡ αἴσθησις, ἀκολουθήσῃ τῷ κρείττονι, τῷ νῷ, οὐκέτι ἔσται σὰρξ, ἀλλὰ ἀμφότερα νοῦς. Οὗτος μὲν δὴ τοιοῦτος, τὸ φιλοπαθὲς προκρίνων τοῦ φιλοθέου. Ἔστι δέ τις ἕτερος τὸ ἐναντίον εἰρημένος, ὁ Λευΐ, ὁ λέγων τῷ πατρὶ καὶ τῇ μητρί, "Οὐχ ἑώρακέ σε, καὶ τοὺς ἀδελφοὺς οὐκ ἐπέγνω, καὶ τοὺς υἱοὺς ἀπέγνω." ***) Πατέρα καὶ μητέρα οὗτος, τόν τε νοῦν καὶ τὴν τοῦ σώματος ὕλην καταλείπει, ὑπὲρ τοῦ κλῆρον ἔχειν τὸν ἕνα θεόν· "κύριος γὰρ αὐτὸς κλῆρος αὐτῷ." ****) Γίνεται δὴ τοῦ μὲν φιλοπαθοῦς

*) Deut. 21, 15 sq.

**) Gen. 2, 24.

***) Deut. 33, 9.

****) Deut. 10, 9.

κλῆρος τὸ πάθος, τοῦ δὲ τοῦ Λευῒ κλῆρός ὁ θεός. Οὐχ ὁρᾷς, ὅτι καὶ „τῇ δεκάτῃ τοῦ μηνὸς κελεύει δύο τράγους κλῆρον προςάγειν, κλῆρον ἕνα τῷ κυρίῳ, καὶ κλῆρον ἕνα τῷ ἀποπομπαίῳ; *) Τοῦ γὰρ φιλοπαθοῦς ἐστι κλῆρος ὄντως, τὸ ἀποπόμπιμον πάθος.

§. 15. „Καὶ ἦσαν οἱ δύο γυμνοὶ, ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οὐκ ᾐσχύνοντο. Ὁ δὲ ὄφις ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς,
76ὧν ἐποίησε κύριος ὁ θεός.“ **) Γυμνός ἐστιν ὁ νοῦς,
M.ὁ μήτε κακίᾳ μήτε ἀρετῇ ἀμπεχόμενος, ἀλλ' ἑκατέρου γεγυμνωμένος ὄντως. Οἷον ἡ τοῦ νηπίου παιδὸς ψυχὴ, ἀμέτοχος οὖσα ἑκατέρου, ἀγαθοῦ τε καὶ κακοῦ, ἀπημφίασται τὰ καλύμματα καὶ γεγύμνωται. Ταῦτα γάρ ἐστιν ἐσθήματα ψυχῆς, οἷς σκεπάζεται καὶ συγκρύπτεται, τῆς μὲν σπουδαίας τὸ ἀγαθὸν, 1097
τῆς δὲ φαύλης τὸ κακόν. Τριχῶς δὲ καὶ ψυχὴ γυ-P.
μνοῦται. Ἅπαξ μὲν, ὅτε ἄτρεπτος διατελεῖ, καὶ πασῶν μὲν ἠρήμωται κακιῶν, πάντα δὲ τὰ πάθη, ἀπημφίασται καὶ ἀποβέβληκε. Διὰ τοῦτο καὶ „Μωϋσῆς ἔξω τῆς παρεμβολῆς πήγνυσι τὴν ἑαυτοῦ σκηνὴν, μακρὰν ἀπὸ τῆς παρεμβολῆς, καὶ ἐκλήθη σκηνὴ μαρτυρίου.“ ***) Τοῦτο δ' ἔστι τοιοῦτον. Ἡ φιλόθεος ψυχὴ ἐκδῦσα τὸ σῶμα καὶ τὰ τούτῳ φίλα, καὶ μακρὰν ἔξω φυγοῦσα ἀπὸ τούτων, πῆξιν καὶ βεβαίωσιν καὶ ἵδρυσιν ἐν τοῖς τελείοις ἀρετῆς δόγμασι λαμβάνει. Διὸ καὶ μαρτυρεῖται ὑπὸ θεοῦ, ὅτι καλῶν ἐρᾷ, „ἐκλήθη γὰρ σκηνὴ μαρτυρίου,“ φησί· καὶ τὸν καλοῦντα παρεσιώπησεν, ἵνα συγκινηθεῖσα ἡ ψυχὴ σκέψηται, τίς ὁ μαρτυρῶν ταῖς φιλαρέτοις διανοίαις ἐστί. Τούτου χάριν ὁ ἀρχιερεὺς „εἰς τὰ ἅγια τῶν ἁγίων οὐκ εἰςελεύσεται ἐν τῷ ποδήρει,“ ****)

*) Lev. 16, 7 sq.
**) Gen. 2, 25. 3, 1.
***) Exod. 33, 7.
****) Lev. 16, 1 sqq.

ἀλλὰ τὸν τῆς δόξης καὶ φαντασίας ψυχῆς χιτῶνα ἀποδυσάμενος, καὶ καταλιπὼν τοῖς τὰ ἐκτὸς ἀγαπῶσι, καὶ δόξαν πρὸ ἀληθείας τετιμηκόσι, γυμνὸς ἄνευ χρωμάτων καὶ ἤχων εἰςελεύσεται σπεῖσαι τὸ ψυχικὸν αἷμα, καὶ θυμιᾶσαι ὅλον τὸν νοῦν τῷ σωτῆρι καὶ εὐεργέτῃ θεῷ. Καὶ μὲν δὴ Ναδὰβ καὶ Ἀβιοὺδ*), οἱ ἐγγίσαντες θεῷ, καὶ τὸν μὲν θνητὸν βίον καταλιπόντες, τοῦ δὲ ἀθανάτου μεταλαχόντες, γυμνοὶ θεωροῦνται τῆς καινῆς καὶ θνητῆς δόξης. Οὐ γὰρ ἂν ἐν τοῖς χιτῶσιν αὐτοῖς οἱ κομίζοντες ἔφερον, εἰ μὴ ἐγεγύμνωντο, πάντα δεσμὸν πάθους καὶ σωματικῆς ἀνάγκης διαῤῥήξαντες· ἵνα μὴ ἡ γύμνωσις αὐτῶν καὶ ἀσωματότης ἀθέων ἐπειςόδῳ λογισμῶν κιβδηλευθῇ. Οὐ γὰρ πᾶσι ἐπιτρεπτέον τὰ θεοῦ καθορᾶν ἀπόῤῥητα, ἀλλὰ μόνοις τοῖς δυναμένοις αὐτὰ περιστέλλειν καὶ φυλάττειν. Διὸ καὶ οἱ περὶ τὸν Μισαδαὶ οὐχὶ τοῖς ἰδίοις χιτῶσιν, ἀλλὰ ταῖς τῶν ἐκπυρωθέντων καὶ ἀναληφθέντων Ναδὰβ καὶ Ἀβιούδ. Ἀποδυσάμενοι γὰρ τὰ ἐπικαλύπτοντα πάντα τὴν γύμνωσιν
77 τῷ θεῷ προςήνεγκαν, τοὺς δὲ χιτῶνας τοῖς περὶ Μι-
M. σαδὲ κατέλιπον. Χιτῶνες δέ εἰσι τὰ μέρη τοῦ ἀλόγου, ἃ τὸ λογικὸν ἐπεσκίαζε. Καὶ Ἀβραὰμ γυμνοῦται, ὅταν ἀκούσῃ, "Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου." **) Καὶ ὁ Ἰσαὰκ οὐ γυμνοῦται μέν, ἀεὶ δὲ γυμνός ἐστι καὶ ἀσώματος. Πρόσταγμα γὰρ αὐτῷ δέδοται, μὴ καταβῆναι εἰς Αἴγυπτον, ***) τουτέστι τὸ σῶμα. Καὶ Ἰακὼβ γυμνότητος ἐρᾷ ψυχικῆς, ἡ γὰρ λειότης αὐτοῦ γύμνωσίς ἐστιν. "Ἦν γὰρ Ἡσαῦ ἀνὴρ δασὺς, Ἰακὼβ δὲ," φησὶν, "ἀνὴρ λεῖος," ****) παρὸ καὶ τῆς Λείας ἀνήρ ἐστι.

§. 16. Μία μὲν ἀρίστη γύμνωσίς ἐστιν αὕτη,

*) Lev. 10, 1.
**) Gen. 13, 1.
***) Gen. 26, 2.
****) Gen. 25, 25 sqq.

ἡ δὲ ἑτέρα ἐστὶν ἐναντία, ἀρετῆς ἀφαίρεσις ἐκ 1098
τροπῆς γινομένη, ὅταν ληραίνῃ καὶ παρανοῇ ἡ ψυ- P.
χή. Ταύτῃ χρῆται ὁ "Νῶε γυμνούμενος, ὅταν πίῃ τοῦ οἴνου." *). Χάρις δὲ τῷ θεῷ, ὅτι ἡ τροπὴ καὶ ἡ γύμνωσις τοῦ νοῦ κατ' ἀρετῆς ἀφαίρεσιν οὐκ ἄχρι τῶν ἐκτὸς ἐχύθη, ἀλλ' ἔμεινεν ἐν τῷ οἴκῳ. Φησὶ γὰρ, ὅτι "ἐγυμνώθη ἐν τῷ οἴκῳ αὐτοῦ." Καὶ ἂν γὰρ ἁμάρτῃ ὁ σοφὸς, οὐχ οὕτως ἐξοκέλλει ὡς ὁ φαῦλος. Τοῦ μὲν γὰρ κέχυται ἡ κακία, τοῦ δὲ συνέσταλται. Διὸ καὶ ἀνανήφει, τοῦτο δ' ἔστι, μετανοεῖ, καὶ ὥςπερ ἐκ νόσου ἀναλαμβάνει. Ἀκριβέστερον δὲ τὸ "ἐν τῷ οἴκῳ γίνεσθαι τὴν γύμνωσιν," θεασώμεθα. Ἐπειδὰν ἡ ψυχὴ τραπεῖσα μόνον ἐνοηθῇ τι τῶν ἀτόπων, καὶ μὴ ἐπεξέλθῃ, ὥςτε αὐτὸ ἔργῳ τελειῶσαι, ἐν τῷ τῆς ψυχῆς χωρίῳ καὶ οἴκῳ γέγονε τὸ ἁμάρτημα. Ἐὰν δὲ πρὸς τῷ μοχθηρόν τι λογίσασθαι καὶ ἐπανύσηται, ὥςτε ἐργάσασθαι, κέχυται καὶ εἰς τὰ ἐκτὸς τὸ ἀδίκημα. Παρὸ καὶ τῷ Χανὰν καταρᾶται, ὅτι τὴν τῆς ψυχῆς τροπὴν ἔξω ἀπήγγειλε, τουτέστι, καὶ εἰς τὰ ἐκτὸς ἔτεινε καὶ ἐπεξειργάσατο, προςθεὶς τῷ κακῷ βουλήματι κακὸν τὸ διὰ τῶν ἔργων ἀποτέλεσμα. Σὴμ δὲ καὶ Ἰάφεθ ἐπαινοῦνται, μὴ ἐπιθέμενοι τῇ ψυχῇ, ἀλλὰ τὴν τροπὴν αὐτῆς περικαλύψαντες. Διὰ τοῦτο καὶ αἱ εὐχαὶ καὶ οἱ ὁρισμοὶ τῆς ψυχῆς ἐπιλύονται, ὅταν "ἐν οἴκῳ γένωνται πατρὸς, ἢ ἀνδρὸς μὲν," **) ἡσυχαζόντων τῶν λογισμῶν, μηδὲ ἐπιθεμένων τῇ τροπῇ, ἀλλὰ περιαιρούντων τὸ ἁμάρτημα. Τότε γὰρ καὶ ὁ δεσπότης ἁπάντων "καθαριεῖ αὐτήν. Εὐχὴν δὲ χήρας καὶ ἐκβεβλημένης ἀναφαίρετον ἐᾷ. ὅσα γὰρ ἂν εὔξηται," φησὶ, "κατὰ τῆς ψυχῆς αὐτῆς, μένει αὐτῇ." Κατὰ λόγον. Εἰ γὰρ ἄχρι τῶν ἐκτὸς ἐκβληθεῖσα προελήλυθεν, ὡς μὴ τρέπεσθαι μόνον ἀλλὰ καὶ

*) Gen. 9, 21 sqq.

**) Num. 30, 4 sqq.

διὰ τῶν ἀποτελεσμάτων ἁμαρτάνειν, ἀθεράπευτος μένει, ἀνδρείου τε λόγου μὴ μετασχοῦσα, καὶ τῆς τοῦ πατρὸς παρηγορίας στερηθεῖσα. Τρίτη γύμνωσίς ἐστιν ἡ μέση, καθ᾽ ἣν ὁ νοῦς ἄλογός ἐστι, μήτε ἀρετῆς πω μήτε κακίας μετέχων. Περὶ ταύτης ἐστὶν
78 ὁ λόγος, ἧς καὶ ὁ νήπιος κοινωνεῖ, ὥςτε τὸ λεγόμε-
M. νον, "ἦσαν οἱ δύο γυμνοὶ, ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ," τοιοῦτον εἶναι· οὔτε ὁ νοῦς ἐνόει, οὔτε ἡ αἴσθησις ᾐσθάνετο, ἀλλ᾽ ἦν ὁ μὲν τοῦ νοεῖν ἔρημός τε καὶ γυμνὸς, ἡ δὲ τοῦ αἰσθάνεσθαι.

§. 17. Τὸ δὲ "Οὐκ ᾐσχύνοντο," πάλιν ἴδωμεν. Τρία κατὰ τὸν τόπον ἐστίν· ἀναισχυντία, αἰδὼς, τὸ μήτε ἀναισχυντεῖν μήτε αἰδεῖσθαι. Ἀναισχυν- 1099
τία μὲν οὖν ἴδιον φαύλου, αἰδὼς δὲ σπουδαίου, τὸ P.
δὲ μήτε αἰδεῖσθαι μήτε ἀναισχυντεῖν τοῦ ἀκαταλήπτως ἔχοντος καὶ ἀσυγκαταθέτως, περὶ οὗ νῦν ἐστιν ὁ λόγος. Ὁ γὰρ μηδέπω κατάληψιν ἀγαθοῦ ἢ κακοῦ λαβὼν, οὔτε ἀναισχυντεῖν οὔτε αἰδεῖσθαι δύναται. Τῆς μὲν οὖν ἀναισχυντίας παραδείγματα, αἱ ἀσχημοσύναι πᾶσαι, ὅταν ὁ νοῦς ἀποκαλύπτῃ τὰ αἰσχρὰ, συσκιάζειν δέον, ἐπαυχῶν καὶ σεμνυνόμενος ἐπ᾽ αὐτοῖς. Λέγεται καὶ ἐπὶ τῆς Μαρίας, ὅτε καταλαλεῖ Μωϋσῇ, "εἰ ὁ πατὴρ αὐτῆς πτύων ἐνέπτυσεν εἰς τὸ πρόσωπον αὐτῆς, οὐκ ἐντραπήσηται ἑπτὰ ἡμέρας;" *) Ὄντως γὰρ ἀναίσχυντος καὶ θρασεῖα ἡ αἴσθησις, ἡ ἐξουθενηθεῖσα ὑπὸ τοῦ θεοῦ τοῦ πατρὸς παρὰ τὸν πιστὸν ἐν ὅλῳ τῷ οἴκῳ, ᾧ τὴν Αἰθιόπισσαν, τὴν ἀμετάβλητον καὶ καταχορῆ γνώμην, αὐτὸς ὁ θεὸς ἡρμόσατο, τολμᾷ καταλαλεῖν Μωϋσῇ καὶ κατηγορεῖν, ἐφ᾽ ᾧ ὤφειλεν ἐπαινεῖσθαι. Τοῦτο γάρ ἐστιν ἐγκώμιον αὐτοῦ μέγιστον, ὅτι τὴν Αἰθιόπισσαν ἔλαβε, τὴν ἄτρεπτον καὶ πεπυρωμένην καὶ δόκιμον φύσιν. Ὥςπερ γὰρ ἐν ὀφθαλμῷ τὸ βλέπον μέλαν ἐστὶν, οὕτως τὸ ὁρατικὸν τῆς ψυχῆς Αἰθιό-

*) Num. 12, 14.

πισσα κέκληται. Διὰ τί οὖν, πολλῶν ὄντων κακίας ἔργων, ἑνὸς μόνου μέμνηται τοῦ κατὰ τὸ αἰσχρὸν, εἰπὼν „οὐκ ᾐσχύνοντο;" Ἀλλ' οὐκ ἠδίκουν, ἢ οὐχ ἡμάρτανον, ἢ οὐκ ἐπλημμέλουν; Παράκειται δὲ ἡ αἰτία. Μὰ τὸν ἀληθῆ μόνον θεὸν, οὐδὲν οὕτως αἰσχρὸν ἡγοῦμαι, ὡς τὸ ὑπολαμβάνειν ὅτι νοῶ, ἢ ὅτι αἰσθάνομαι. Ὁ ἐμὸς νοῦς αἴτιος τοῦ νοεῖν; Πόθεν; Ἑαυτὸν γὰρ οἶδεν, ὅστις ὢν τυγχάνει ἢ πῶς ἐγένετο; Ἡ δὲ αἴσθησις αἰτία τοῦ αἰσθάνεσθαι; Πῶς ἂν λέγοιτο, μήτε ὑφ' αὑτῆς, μήτε ὑπὸ τοῦ νοῦ γνωριζομένη; Οὐχ ὁρᾷς, ὅτι ὁ δοκῶν νοεῖν νοῦς εὑρίσκεται πολλάκις ἄνους ἐν τοῖς κόροις, ἐν ταῖς μέθαις, ἐν ταῖς παραφροσύναις; Ποῦ δὲ τὸ νοεῖν ἐπ' αὐτῶν; Ἡ δὲ αἴσθησις οὐ πολλάκις ἀφαιρεῖται τὸ αἰσθάνεσθαι; Ὁρῶντες ἔστιν ὅτε οὐχ ὁρῶμεν, καὶ ἀκούοντες οὐκ ἀκούομεν, ἐπειδὰν ὁ νοῦς μικρὸν ὅσον ἑτέρῳ νοητῷ προςανέχῃ παρενθυμούμενος. Ἕως οὖ γυμνοί εἰσιν, ὁ μὲν νοῦς τοῦ νοεῖν, ἡ δὲ αἴσθησις τοῦ αἰσθάνε-
79 σθαι, οὐδὲν ἔχουσιν αἰσχρόν· ἐπειδὰν δὲ ἄρξωνται
M. καταλαμβάνειν, ἐν αἰσχύνῃ καὶ ὕβρει γίνονται. Εὑρεθήσονται γὰρ εὐηθείᾳ καὶ μωρίᾳ πολλάκις χρώμενοι μᾶλλον, ἢ ὑγιαινούσῃ ἐπιστήμῃ, οὐ μόνον ἐν κόροις καὶ μελαγχολίαις καὶ παραφροσύναις, ἀλλὰ 1100
καὶ ἐν τῷ ἄλλῳ βίῳ. Ὅτε μὲν γὰρ ἡ αἴσθησις κρα- P.
τεῖ, ὁ νοῦς ἠνδραπόδισται, μηδενὶ προσέχων νοητῷ. ὅτε δὲ ὁ νοῦς κρατεῖ, ἡ αἴσθησις ἄπρακτος θεωρεῖται, μηδενὸς ἀντίληψιν ἴσχουσα αἰσθητοῦ.

§. 18. „Ὁ δὲ ὄφις ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησε κύριος ὁ θεός." *) Δυοῖν προγεγονότων, νοῦ καὶ αἰσθήσεως, καὶ τούτων γυμνῶν κατὰ τὸν δεδηλωμένον τρόπον ὑπαρχόντων, ἀνάγκη τρίτην ἡδονὴν συναγωγὸν ἀμφοῖν ὑπάρξαι, πρὸς τὴν τῶν νοητῶν καὶ αἰσθητῶν ἀντίληψιν. Οὔτε γὰρ ὁ νοῦς δίχα αἰσθήσεως ἠδύνατο καταλα-

*) Gen. 3, 1.

βεῖν ζῶον ἢ φυτὸν ἢ λίθον ἢ ξύλον ἢ συνόλως σῶμα, οὔτε ἡ αἴσθησις δίχα τοῦ νοῦ περιποιῆσαι τὸ αἰσθάνεσθαι. Ἐπειδὴ τοίνυν ἄμφω ταῦτα συνελθεῖν ἔδει πρὸς κατάληψιν τῶν ὑποκειμένων, τίς αὐτὰ συνήγαγεν, ὅτι μὴ δεσμὸς τρίτος, ἔρωτος καὶ ἐπιθυμίας, ἀρχούσης καὶ δυναστευούσης ἡδονῆς, ἣν συμβολικῶς ὄφιν ὠνόμασε; Πάνυ καλῶς ὁ ζωοπλάστης θεὸς ἐδημιούργησε τὴν τάξιν. Νοῦν γὰρ πρῶτον, τὸν ἄνδρα, πρεσβύτατον γὰρ ἐν ἀνθρώπῳ, εἶτα αἴσθησιν, τὴν γυναῖκα, εἶτα ἑξῆς τρίτον, ἡδονήν. Δυνάμεις δέ εἰσιν αὐτῶν, καὶ ἡλικίαι διάφοροι, νοούμεναι μόμον, χρόνῳ δὲ ἰσήλικες. Ἅμα γὰρ ἑαυτῇ ψυχὴ πάντα ἐπιφέρεται· ἀλλὰ τὰ μὲν ἐντελεχείᾳ, τὰ δὲ τῷ δύνασθαι γενέσθαι, εἰ καὶ μήπω προςείληφε τὸ τέλος. Εἰκάσθη δὲ ὄφει ἡδονὴ διὰ τόδε. Πολύπλοκος γὰρ καὶ ποικίλη, ὥςπερ τοῦ ὄφεως ἡ κίνησις, οὕτως καὶ ἡδονῆς. Πενταχῇ γέ τοι πρῶτον εἰλεῖται. Καὶ γὰρ δι᾽ ὁράσεως ἡδοναὶ συνίστανται· καὶ δι᾽ ἀκοῆς, καὶ διὰ γεύσεως, καὶ διὰ ὀσφρήσεως, καὶ δι᾽ ἁφῆς. Γίνονται δὲ καὶ αἱ σφοδρόταται καὶ σύντονοι αἱ περὶ τὰς γυναῖκας ὁμιλίαι, δι᾽ ὧν γένεσις ἡ τοῦ ὁμοίου πέφυκεν ἀποτελεῖσθαι. Καὶ μὴν οὐ διὰ τοῦτο μόνον ποικίλην φαμὲν τὴν ἡδονὴν, ὅτι περὶ πάντα τὰ τοῦ ἀλόγου τῆς ψυχῆς εἰλεῖται, ἀλλ᾽ ὅτι καὶ περὶ ἕκαστον μέρος πολύπλοκός ἐστιν. Εὐθέως δι᾽ ὁράσεως ἡδοναὶ γίνονται ποικίλαι, γραφικὴ πᾶσα, πλαστικὴ, τὰ ἄλλα ὅσα κατὰ τέχνας τεχνικὰ δημιουργήματα, τέρπει τὴν ὅρασιν. Πάλιν φυτῶν βλαστανόντων, ἀνθούντων, καρποτοκούντων διαφοραὶ, ζώων εὐμορφίαι πολυσχιδεῖς. Ὁμοίως τὴν ἀκοὴν αὐλὸς
80 *ἡδύνει, κιθάρα, πᾶσα ὀργάνων ἰδέα, ζώων ἀλόγων*
M. *ἐμμελεῖς φωναὶ, χελιδόνων, ἀηδόνων, τῶν ἄλλων* 1101
ὅσα φύσις μεμούσωκε λογικῶν, εὐφωνία κιθαρῳδῶν, P.
κωμῳδίαν, τραγῳδίαν, τὴν ἄλλην ὑποκριτικὴν ἐπιδεικνυμένων.

§. 19. *Τί δεῖ περὶ τῶν γαστρὸς ἡδονῶν διδά-*

σκειν; Σχεδὸν γάρ, ὅσαι τῶν ὑποκειμένων χυλῶν προςηνῶν διαφοραί, καὶ τὴν αἴσθησιν κινούντων, τοσαῦται καὶ τῆς ἡδονῆς. Ἀρ' οὐ δεόντως ποικίλων οὖσα ἡδονὴ ποικίλῳ ζώῳ παρεβλήθη; Διὰ τοῦτο καὶ τὸ λαῶδες, καὶ ὄχλον ἔχον ἐν ἡμῖν μέρος, ὅτε τῶν ἐν Αἰγύπτῳ *), τουτέστι τῷ σωματικῷ οἴκῳ, οἰκιῶν ἐφίεται, ἡδοναῖς περιπίπτει θάνατον ἐπαγούσαις, οὐ χωρισμὸν ψυχῆς ἀπὸ σώματος, ἀλλὰ ψυχῆς ὑπὸ κακίας φθοράν. Φησὶ γάρ, "Καὶ ἀπέστειλε κύριος εἰς τὸν λαὸν τοὺς ὄφεις τοὺς θανατοῦντας, καὶ ἔδακνον τὸν λαόν, καὶ ἀπέθνησκε λαὸς πολὺς τῶν υἱῶν Ἰσραήλ." Ὄντως γὰρ οὐδὲν οὕτως θάνατον ἐπάγει ψυχῇ, ὡς ἀμετρία τῶν ἡδονῶν. Τὸ δὲ ἀποθνῆσκον, οὐ τὸ ἄρχον ἐστὶν ἐν ἡμῖν, ἀλλὰ τὸ ἀρχόμενον, τὸ λαῶδες· καὶ μέχρι τούτου θάνατον ἐνδέξεται, μέχρις ἂν μετανοίᾳ χρησάμενον, ὁμολογήσῃ τὴν τροπήν. Προςελθόντες γὰρ ἔλεγον Μωϋσῇ, ὅτι "ἡμαρτήκαμεν, ὅτι κατελαλήσαμεν κατὰ Κυρίου καὶ κατὰ σοῦ. Εὖξαι οὖν πρὸς Κύριον, καὶ ἀφελέτω ἀφ' ἡμῶν τοὺς ὄφεις." Εὖ τὸ φάναι, οὐχ ὅτι κατελαλήσαμεν, ἡμάρτομεν, ἀλλ', ὅτι ἡμάρτομεν, κατελαλήσαμεν. Ὅταν γὰρ ἁμάρτῃ καὶ ἀπαρτηθῇ ὁ νοῦς ἀρετῆς, αἰτιᾶται τὰ θεῖα, τὴν ἰδίαν τροπὴν προςάπτων θεῷ.

§. 20. Πῶς οὖν γίνεται ἴασις τοῦ πάθους; Ὅταν ἕτερος ὄφις κατασκευασθῇ, τῷ τῆς Εὔας ἐναντίος, ὁ σωφροσύνης λόγος· ἡδονῇ γὰρ ἐναντίον σωφροσύνη, ποικίλῳ πάθει, ποικίλη ἀρετὴ καὶ ἀμυνομένη πολεμίαν ἡδονήν. Τὸν κατὰ σωφροσύνην οὖν ὄφιν κελεύει ὁ θεὸς Μωϋσεῖ κατασκευάσασθαι, καὶ φησι· "Ποίησον σεαυτῷ ὄφιν, καὶ θὲς αὐτὸν ἐπὶ σημείου." Ὁρᾷς, ὅτι οὐκ ἄλλῳ τινὶ κατασκευάζεται τοῦτον ὁ Μωϋσῆς τὸν ὄφιν, ἢ ἑαυτῷ· προςτάττει γὰρ ὁ θεός, "Ποίησον σεαυτῷ," ἵνα γνῷς, ὅτι οὐ

*) Num. 21, 5 sqq.

παντός ἐστι κτῆμα σωφροσύνη, ἀλλὰ μόνου τοῦ
θεοφιλοῦς. Σκεπτέον δὲ, διὰ τί Μωϋσῆς χαλκοῦν
ὄφιν κατασκευάζεται, οὐ προσταχθὲν αὐτῷ περὶ ποι-
81 ότητος. Μή ποτ' οὖν διὰ τάδε; Πρῶτον μὲν ἄϋλοί
M. εἰσιν αἱ θεοῦ χάριτες, ἰδέαι αὗται καὶ ἄποιοι. Αἱ
δὲ τῶν θνητῶν σὺν ὕλῃ θεωροῦνται. Δεύτερον 110
δὲ καὶ Μωϋσῆς μὲν ἀσωμάτων ἐρᾷ ἀρετῶν, αἱ δὲ I
ἡμέτεραι ψυχαὶ, οὐ δυνάμεναι ἐκδῦναι τὰ σώματα,
σωματικῆς ἐφίενται ἀρετῆς. Δυνατῇ δὲ καὶ στερεᾷ
οὐσίᾳ τῇ χαλκοῦ ἀπείκασται ὁ κατὰ σωφροσύνην λό-
γος, εὔτονος καὶ ἀδιάκοπος ὤν. Ἴσως δὲ καὶ παρό-
σον ἡ μὲν ἐν τῷ θεοφιλεῖ σωφροσύνη τιμιωτάτη ἐστὶ
καὶ χρυσῷ ἐοικυῖα, δευτερεύουσα δὲ ἡ ἐν τῷ κατὰ προ-
κοπὴν σοφίαν ἀναλαβόντι. "Ὃν ἂν οὖν δάκῃ ὄφις,
πᾶς ὁ ἰδὼν αὐτὸν ζήσεται," πάνυ ἀληθῶς. Ἐὰν γὰρ
ὁ νοῦς δηχθεὶς ἡδονῇ, τῷ τῆς Εὔας ὄφει, ἰσχύσῃ
κατιδεῖν ψυχικῶς τὸ σωφροσύνης κάλλος, τὸν Μωϋ-
σέως ὄφιν, καὶ διὰ τούτου τὸν θεὸν αὐτὸν, ζήσε-
ται. Μόνον ἰδέτω καὶ κατανοησάτω.

§. 21. Οὐχ ὁρᾷς, ὅτι καὶ ἡ ἄρχουσα σοφία, Σάῤῥα, φησὶ, "Ὃς γὰρ ἂν ἀκούσῃ, συγχαρεῖταί μοι." *) Ἀλλὰ φέρε τινὰ ἰσχῦσαι ἀκοῦσαι, ὅτι τέτοκεν ἡ ἀρετὴ τὴν εὐδαιμονίαν, Ἰσαὰκ, καὶ εὐθὺς συγχαριτικὸν ὕμνον ὑμνήσει. Ὡς οὖν τοῦ ἀκούσαντός ἐστι συγχαίρειν, οὕτω τοῦ σωφροσύνην καὶ θεὸν ἰδόντος εἰλικρινῶς, τὸ μὴ ἀποθνήσκειν. Πολλαὶ δὲ καρτερίας καὶ σωφροσύνης ἐρασθεῖσαι ψυχαὶ, ἐρημωθεῖσαι παθῶν, ὅμως κράτος ὑπέμειναν θεοῦ, καὶ τροπὴν τὴν πρὸς τὸ χεῖρον ἐδέξαντο, διασυνιστάντος αὐτόν τε καὶ τὴν γένεσιν τοῦ δεσπότου· ἑαυτὸν μὲν, ὅτι ἀκλινὴς ἕστηκεν ἀεὶ, τὴν δὲ γένεσιν, ὅτι ταλαντεύει καὶ πρὸς τὰ ἐναντία ἀντιῤῥέπει. Φησὶ γὰρ "τοῦ ἀγαγόντος σε διὰ τῆς ἐρήμου τῆς μεγάλης καὶ τῆς φοβερᾶς ἐκείνης, οὗ ὄφις δάκνων καὶ σκορ-

*) Gen. 21, 6.

πίος καὶ δίψα, οὗ οὐκ ἦν ὕδωρ. Τοῦ ἐξαγαγόντος σοι ἐκ πέτρας ἀκροτόμου πηγὴν ὕδατος, τοῦ ψωμίσαντός σε τὸ μάννα ἐν τῇ ἐρήμῳ, ὃ οὐκ ᾔδεισαν οἱ πατέρες σου." *) Ὁρᾷς, ὅτι οὐ μόνον τῶν ἐν Αἰγύπτῳ παθῶν ἐφιεμένη ἡ ψυχὴ περιπίπτει τοῖς ὄφεσιν, ἀλλὰ καί, ὅτε ἐστὶν ἐν ἐρήμῳ, δάκνεται ὑφ' ἡδονῆς, τοῦ ποικίλου καὶ ὀφιώδους πάθους. Οἰκειότατον δὲ ὄνομα εἴληχε τὸ ἡδονῆς ἔργον, δηγμὸς γὰρ καλεῖται. Ἀλλ' οὐ μόνον οἱ ἐν ἐρήμῳ δάκνονται ὑφ' ἡδονῆς, ἀλλὰ καὶ οἱ ἐσκορπισμένοι. Καὶ γὰρ ἐγὼ πολλάκις καταλιπὼν μὲν ἀνθρώπους συγγενεῖς καὶ φίλους καὶ πατρίδα, καὶ εἰς ἐρημίαν ἐλθών, ἵνα τι τῶν θέας ἀξίων κατανοήσω, οὐδὲν ὤνησα· ἀλλὰ σκορπισθεὶς ὁ νοῦς, ἢ πάθει δηχθείς, ἀνεχώρησεν εἰς τὰ ἐναντία. Ἔστι δὲ ὅτε καὶ ἐν πλή- 1103
82 θει μυριάνδρῳ ἐρημῶ τὴν διάνοιαν, τὸν ψυχικὸν P.
M. ὄχλον σκεδάσαντος θεοῦ, καὶ διδάξαντός με, ὅτι οὐ τόπων διαφοραὶ τό τε εὖ καὶ χεῖρον ἐργάζονται, ἀλλ' ὁ κινῶν θεὸς καὶ ἄγων ᾗ ἂν προαιρῆται, τὸ τῆς ψυχῆς ὄχημα. Πλὴν περιπίπτει σκορπίῳ, ὅπερ ἐστὶ σκορπισμῷ ἐν τῇ ἐρήμῳ, καὶ δίψα καταλαμβάνει ἡ τῶν παθῶν, μέχρις ἂν ὁ θεὸς τῆς ἀκροτόμου σοφίας ἑαυτοῦ τὸ νᾶμα ἐπιπέμψῃ, καὶ ποτίσῃ τὴν τραπεῖσαν ψυχὴν ἀμεταβλήτῳ ὑγείᾳ. Ἡ γὰρ ἀκρότομος πέτρα, ἡ σοφία τοῦ θεοῦ ἐστιν, ἣν ἄκραν καὶ πρωτίστην ἔτεμεν ἀπὸ τῶν ἑαυτοῦ δυνάμεων, ἐξ ἧς ποτίζει τὰς φιλοθέους ψυχάς. Ποτισθεῖσαι δὲ καὶ τοῦ μάννα ἐμπίπλανται τοῦ γενικωτάτου. Καλεῖται γὰρ τὸ μάννα Τί, ὃ πάντων ἐστὶ γένος. Τὸ δὲ γενικώτατόν ἐστιν ὁ θεός, καὶ δεύτερος ὁ θεοῦ λόγος, τὰ δὲ ἄλλα λόγῳ μόνον ὑπάρχει, ἔργοις δ' ἔστιν οὗ ἴσον τῷ οὐχ ὑπάρχοντι.

§. 22. Ἴδε νῦν διαφορὰν τοῦ ἐν ἐρήμῳ τρεπομένου καὶ τοῦ ἐν Αἰγύπτῳ. Ὁ μὲν γὰρ τοῖς θα-

*) Deut. 8, 14 sq.

νατοῦσιν ὄφεσι χρῆται, τουτέστιν ἀπλήστοις ἡδοναῖς θάνατον ἐπιφερούσαις· ὁ δὲ ἀσκητὴς δάκνεται μόνον ὑφ᾽ ἡδονῆς καὶ σκορπίζεται, οὐ θανατοῦται. Καὶ ἐκεῖνος μὲν σωφροσύνῃ, χαλκῷ ὄφει, θεραπεύεται, γενομένῃ ὑπὸ τοῦ σοφοῦ Μωϋσέως· οὗτος δὲ ὑπὸ τοῦ θεοῦ ποτίζεται κάλλιστον ποτὸν, σοφίαν, ἐκ τῆς πηγῆς, ἣν αὐτὸς ἐξήγαγεν ἀπὸ τῆς ἑαυτοῦ σοφίας. Οὐδὲ τοῦ θεοφιλεστάτου Μωϋσέως ἀπέχεται ἡ ὀφιώδης. Λέγεται δὲ ὧδε. "Ἐὰν οὖν μὴ πιστεύσωσί μοι, μηδὲ εἰςακούσωσι τῆς φωνῆς μου, — ἐροῦσι γὰρ, οὐκ ὦπταί σοι ὁ θεὸς, — τί ἐρῶ πρὸς αὐτούς; Καὶ εἶπε κύριος Μωϋσεῖ· τί τοῦτ᾽ ἐστι τὸ ἐν τῇ χειρί σου; Ὁ δὲ εἶπε, ῥάβδος. Καὶ εἶπε, ῥίψον αὐτὴν ἐπὶ τὴν γῆν. Καὶ ἔῤῥιψεν αὐτὴν ἐπὶ τὴν γῆν, καὶ ἐγένετο ὄφις, καὶ ἔφυγε Μωϋσῆς ἀπ᾽ αὐτοῦ. Καὶ εἶπε κύριος Μωϋσεῖ, Ἔκτεινον τὴν χεῖρά σου, καὶ ἐπιλαβοῦ τῆς κέρκου. Ἐκτείνας οὖν τὴν χεῖρα, ἐπελάβετο τῆς κέρκου. Καὶ ἐγένετο ῥάβδος ἐν τῇ χειρί. Καὶ εἶπεν αὐτῷ, ἵνα πιστεύσωσί σοι." *) Πῶς ἂν τις πιστεύσαι θεῷ; Ἐὰν μάθῃ, ὅτι πάντα τὰ ἄλλα τρέπεται, μόνος δὲ αὐτὸς ἄτρεπτός ἐστι. Πυνθάνεται οὖν ὁ θεὸς τοῦ σοφοῦ, τί ἐστιν ἐν τῷ πρακτικῷ τῆς ψυχῆς αὐτοῦ βίῳ· ἡ γὰρ χεὶρ σύμβολον πράξεως. Ὁ δὲ ἀποκρίνεται, ὅτι
παιδεία, ἣν ῥάβδον καλεῖ. Διὸ καὶ ὁ πτερνιστὴς 1104
τῶν παθῶν Ἰακὼβ φησιν, "Ἐν γὰρ τῇ ῥάβδῳ μου P.
83 διέβην τὸν Ἰορδάνην τοῦτον." **) Ἰορδάνης δὲ κα-
M. τάβασις ἑρμηνεύεται. Τῆς δὲ κάτω καὶ γηΐνης καὶ
φθαρτῆς φύσεώς ἐστι τὰ κατὰ κακίαν καὶ πάθος· διαβαίνει δὲ ταῦτα ὁ ἀσκητὴς νοῦς ἐν παιδείᾳ. Ταπεινὸν γὰρ, τὸ ἐνδέχεσθαι ὅτι βακτηρίαν ἔχων ποταμὸν διέβαινε.

---

*) Exod. 4, 3 sqq.

**) Gen. 32, 10.

§. 23. Καλῶς οὖν καὶ ὁ θεοφιλὴς Μωϋσῆς ἀποκρίνεται. Ὄντως γὰρ αἱ πράξεις τοῦ σπουδαίου παιδείᾳ ὡς ἂν ῥάβδῳ ἐπερείδονται, τὸν κλόνον καὶ σάλον τῆς ψυχῆς ἱδρυόμεναι. Αὕτη ἡ ῥάβδος ἀποῤῥιφθεῖσα γίνεται ὄφις. Εἰκότως. Ἐὰν γὰρ ἡ ψυχὴ ἀποῤῥίψῃ τὴν παιδείαν, γέγονε φιλήδονος ἀντὶ φιλαρέτου. Διὸ καὶ Μωϋσῆς φεύγει ἀπ' αὐτοῦ. Ἀπὸ γὰρ τοῦ πάθους καὶ τῆς ἡδονῆς ἀποδιδράσκει ὁ φιλάρετος. Ἀλλά τοί γε ὁ θεὸς τὴν φυγὴν οὐκ ἐπαινεῖ. Σοὶ μὲν γὰρ, ὦ διάνοια, μήπω τελειωθείσῃ, φυγὴν καὶ δρασμὸν τῶν παθῶν ἁρμόσει μελετᾷν. Μωϋσεῖ δὲ τῷ τελείῳ, παραμένειν τῷ πρὸς αὐτὰ πολέμῳ, καὶ ἀντιστατεῖν αὐτοῖς, καὶ διαμάχεσθαι. Εἰ δὲ μὴ, ἀδείας καὶ ἐξουσίας λαβόμενα μέχρι τῆς ψυχικῆς ἀκροπόλεως ἀναβάντα πᾶσαν ἐκπολιορκήσει καὶ λεηλατήσει, τυράννου τρόπον, τὴν ψυχήν. Διὸ καὶ προστάττει ὁ θεὸς "λαβέσθαι τῆς κέρκου," τουτέστι, τὸ ἀντίδικον τῆς ἡδονῆς καὶ ἀτίθασσον αὐτῆς μὴ φοβείτω σε, ἀλλὰ τοῦτον μάλιστα λαβοῦ καὶ κατάσχες καὶ περικράτησον. Ἔσται γὰρ πάλιν ἀντὶ ὄφεως ῥάβδος, τουτέστιν ἀντὶ ἡδονῆς γενήσεται ἐν τῇ χειρὶ παιδεία. Ἀλλὰ γενήσεται ἐν τῇ χειρὶ, ἐν τῇ πράξει τοῦ σοφοῦ, ὃ δὴ καὶ ἀληθές ἐστι. Λαβέσθαι δὲ καὶ περικρατῆσαι ἡδονῆς ἀδύνατον, εἰ μὴ πρότερον ἐκταθείη ἡ χεὶρ, τουτέστιν, εἰ μὴ τὰς πράξεις καὶ προκοπὰς ἁπάσας ὁμολογήσειεν ἡ ψυχὴ κατὰ θεὸν εἶναι, καὶ μηδὲν εἰς ἑαυτὴν συναγάγοι. Τοῦτον μὲν δὴ τὸν ὄφιν ἀποδιδράσκειν ὁ βλέπων διέγνωκεν. Ἕτερον δὲ τὸν σωφροσύνης λόγον κατασκευάζει, τὸν χαλκοῦν ἐκεῖνον, ἵνα ὁ δηχθεὶς ὑφ' ἡδονῆς, ἰδὼν σωφροσύνην, ζήσῃ τὸν ἀληθῆ βίον.

§. 24. Τοιοῦτον ὄφιν εὔχεται ὁ Ἰακὼβ γενέσθαι τὸν Δὰν, καί φησιν οὕτως· "Δὰν κρινεῖ τὸν ἑαυτοῦ λαὸν, ὡσεὶ καὶ μία φυλὴ Ἰσραὴλ," καὶ "Γενέσθω Δὰν ὄφις ἐφ' ὁδοῦ, ἐγκαθήμενος ἐπὶ

τρίβον, δάκνων πτέρναν ἵππου. Καὶ πεσεῖται ὁ ἱπ-
πεὺς εἰς τὰ ὀπίσω, τὴν σωτηρίαν περιμένων κυ-
ρίου." *) Ἐκ μὲν τῆς Λείας πέμπτος υἱός ἐστιν
Ἰσσάχαρ γνήσιος τῷ Ἰακώβ. Συγκαταριθμουμένων
δὲ τῶν ἐκ τῆς Ζέλφας δυοῖν, ἕβδομος. Τοῦ δὲ
Ἰακὼβ πέμπτος ἐστὶν ὁ Δὰν ἐκ τῆς Βάλλας τῆς 110
παιδίσκης Ῥαχήλ. Τὴν δὲ αἰτίαν ἐν τοῖς κατ' ἰδίαν P.
ἐξευρήσομεν. Περὶ δὲ τοῦ Δὰν πάλιν κατανοη-
τέον. Δύο γένη φορεῖ ἡ ψυχή, τὸ μὲν θεῖον, τὸ
δὲ φθαρτόν. Τὸ μὲν οὖν κρεῖττον κεκύηκεν ἤδη,
καὶ ἵσταται ἐπ' αὐτοῦ. Ὅτε γὰρ ἐξομολογήσασθαι
84 τῷ θεῷ καὶ παραχωρῆσαι πάντα ἴσχυσεν ἡ ψυχή,
M. κτῆμα κρεῖσσον λαβεῖν οὐκ ἔτ' εἶχε. Διὰ τοῦτο ἔστη
τοῦ τίκτειν, τὸν Ἰούδαν, τὸν ἐξομολογητικὸν τρό-
πον, ἐνεγκοῦσα. Τὸ δὲ θνητὸν γένος νῦν ἄρχεται
διαπλάττειν. Ὑφέστηκε δὲ τὸ θνητὸν καταπόσει·
θεμελίου γὰρ τρόπον ἡ γεῦσις, ἣ αἰτία τῆς τῶν
ζώων διαμονῆς ἐστι. Βάλλα δὲ ἑρμηνεύεται κατά-
ποσις. Ἐκ ταύτης οὖν γίνεται ὁ Δάν, ὃς ἑρμηνεύε-
ται κρίσις· τοῦτο γὰρ τὸ γένος διακρίνει καὶ χωρί-
ζει τὰ ἀθάνατα ἀπὸ τῶν θνητῶν. Εὔχεται οὖν αὐ-
τὸν γενέσθαι σωφροσύνης ἐργάτην. Τῷ δὲ Ἰούδᾳ
οὐκ εὔξεται· ἔχει γὰρ ἤδη τὸ ἐξομολογεῖσθαι καὶ εὐ-
αρεστεῖν θεῷ. "Γενέσθω οὖν," φησί, "Δὰν ὄφις
ἐφ' ὁδοῦ." Ὁδὸς ἡμῶν ἐστιν ἡ ψυχή. Ὥσπερ γὰρ
ἐν ταῖς ὁδοῖς ἐστιν ἰδεῖν διαφορὰν τῶν ὄντων, ἀψύ-
χων, ἐμψύχων, ἀλόγων, λογικῶν, σπουδαίων, φαύ-
λων, δούλων, ἐλευθέρων, νεωτέρων, πρεσβυτέρων,
ἀῤῥένων, θηλειῶν, ξένων, ἀστῶν, νοσούντων, ὑγιαι-
νόντων, λελωβημένων, ὁλοκλήρων· οὕτως καὶ ἐν
ψυχῇ καὶ ἄψυχα, καὶ ἀτελῆ, καὶ νοσώδη, καὶ δοῦ-
λα, καὶ θήλεα, καὶ μυρία ἄλλα κηρῶν μετακινή-
ματά ἐστι, καὶ ἔμπαλιν ἔμψυχα, ὁλόκληρα, ἄῤῥενα,
ἐλεύθερα, ὑγιᾶ, πρεσβύτερα, σπουδαῖα, γνήσια, καὶ

*) Gen. 49, 17.

ἀστὰ ὄντως. Γενέσθω οὖν ὁ σωφροσύνης λόγος, ὄφις ἐπὶ τῆς ψυχῆς, τῆς ὁδευούσης διὰ πάντων τῶν ἐν τῷ βίῳ πραγμάτων, καὶ ἐγκαθισάτω ἐπὶ τρίβου. Τί δὲ τοῦτ᾽ ἔστιν; Ἄτριπτος μὲν ὁ ἀρετῆς χῶρος, ὀλίγοι γὰρ βαίνουσιν αὐτόν. τέτριπται δὲ ὁ κακίας. Ἐγκαθίσαι δὲ καὶ ἐνεδρεῦσαι καὶ λοχῆσαι παραινεῖ τὴν τετριμμένην ὁδὸν, τὸ πάθος καὶ τὴν κακίαν, ἐν οἷς κατατρίβονται τὸν βίον οἱ φυγάδες ἀρετῆς λογισμοί.

§. 25. "Δάκνων πτέρναν ἵππου." Ἐχομένως πτερνιστής ἐστιν ὁ τὴν στάσιν τοῦ γεννητοῦ καὶ φθαρτοῦ διασείων τρόπος. Τὰ πάθη δὲ ἵππῳ ἀπεικάσθη. Τετρασκελὲς γὰρ καὶ τὸ πάθος, ὡς ἵππος, καὶ ὁρμητικὸν, καὶ αὐθαδείας γέμον, καὶ σκιρ- 106
τητικὸν φύσει. Ὁ δὲ σωφροσύνης λόγος δάκνειν καὶ P.
τιτρώσκειν φιλεῖ καὶ ἀναιρεῖν τὸ πάθος. Πτερνισθέντος τοῦ πάθους καὶ ὀκλάσαντος "πεσεῖται ὁ ἱππεὺς εἰς τὰ ὀπίσω." Ἱππέα νοητέον ἐπιβεβηκότα τοῖς πάθεσι νοῦν, ὃς ἀποπίπτει τῶν παθῶν, ὅταν αὐτὰ συλλογισθῇ καὶ πτερνισθῇ. Εὖ δὲ, ὅτι εἰς τὸ ἔμπροσθεν οὐ πίπτει ἡ ψυχή· μὴ γὰρ προερχέσθω τῶν παθῶν, ἀλλ᾽ ὑστεριζέτω τούτων, καὶ σωφρονισθήσεται. Καὶ δογματικόν ἐστιν ὃ λέγει. Ἐὰν ὁρμήσας ὁ νοῦς ἀδικῆσαι ὑστερήσῃ καὶ πέσῃ εἰς τὰ ὀπίσω, οὐκ ἀδικήσει. Ἐὰν δὲ ἐπὶ πάθος κινηθεὶς
85 ἄλογον μὴ ἐπεκδράμῃ, ἀλλὰ κατόπιν μείνῃ, ἀπά-
M. θειαν, τὸ κάλλιστον, καρπώσεται. Διὸ καὶ τὸ κατόπιν πτῶμα ἀποδεχόμενος τῶν κακιῶν, ἐπιφέρει, τὴν σωτηρίαν περιμένων κυρίου. Ὄντως γὰρ ὑπὸ θεοῦ σώζεται ὁ ἀποπίπτων τῶν παθῶν, καὶ ὑστερίζων τῆς ἐνεργείας αὐτῶν. Πέσοι τοιοῦτόν μου πτῶμα ἡ ψυχὴ, καὶ μηδέποτε ἀνασταίη ἐπὶ τὸ ἵππειον καὶ σκιρτητικὸν πάθος, ἵνα θεοῦ σωτηρίαν περιμείνασα εὐδαιμονήσῃ. Διὰ τοῦτο καὶ Μωϋσῆς ἐν τῷ ᾄσματι ὑμνεῖ τὸν θεὸν, ὅτι "ἵππον καὶ ἀναβάτην

ἔῤῥιψεν εἰς θάλασσαν," *) τὰ τέσσαρα πάθη καὶ τὸν ἐποχούμενον αὐτοῖς ἄθλιον νοῦν εἰς τὴν φθορὰν τῶν πραγμάτων καὶ τὸν ἀνήνυτον βυθόν. Καὶ σχεδὸν τοῦ ᾄσματος ὅλου τὸ κεφάλαιον τοῦτ' ἔστιν, ἐφ' ὃ τὰ ἄλλα πάντα ἀναφέρεται, καὶ οὕτως ἔχει. Ἐὰν γὰρ ἀπάθεια κατάσχῃ τὴν ψυχὴν, τελέως εὐδαιμονήσει.

§. 26. Ζητητέον δὲ, τίνος ἕνεκα ὁ μὲν Ἰακὼβ φησιν, ὅτι "πεσεῖται ὁ ἱππεὺς εἰς τὰ ὀπίσω;" **) Μωϋσῆς δὲ ᾄδει, ὅτι "ἵππος καὶ ἀναβάτης κατεποντώθησαν." Λεκτέον οὖν, ὅτι ὁ μὲν καταποντούμενος ὁ Αἰγύπτιός ἐστι τρόπος· ὃς καὶ ἂν φεύγῃ, ὑπὸ τὸ ὕδωρ, τουτέστιν ὑπὸ τὴν φορὰν τῶν παθῶν, φεύγει. Ὁ δὲ πίπτων ἱππεὺς εἰς τὰ ὀπίσθια, οὐκ ἔστι τῶν φιλοπαθῶν. Τεκμήριον δὲ, ὅτι οὗτος μέν ἐστιν ἱππεὺς, ἐκεῖνος δὲ ἀναβάτης. Ἱππέως μὲν οὖν ἔργον δαμάζειν τὸν ἵππον, καὶ ἀφηνιάζοντα ἐπιστοματίζειν, ἀναβάτου δὲ, φέρεσθαι ᾗ ἂν τὸ ζῶον ἄγῃ. Καὶ ἐν θαλάττῃ, τοῦ μὲν κυβερνήτου ἔργον ἄγειν τὸ σκάφος, καὶ εὐθύνειν καὶ ὀρθοῦν· τοῦ δὲ ἐπιβάτου, πάσχειν ὅσα ἂν ἡ ναῦς ὑπομείνῃ. Παρὸ δὴ 1107
ὁ δαμάζων τὰ πάθη ἱππεὺς, οὐ καταποντοῦται, P.
ἀλλὰ ἀποβὰς αὐτῶν, τὴν σωτηρίαν περιμένει τοῦ δεσπότου. Παραινεῖ μέντοι ὁ ἱερὸς λόγος ἐν Λευιτικῷ, "ἀπὸ τῶν ἑρπετῶν, ἃ πορεύεται ἐπὶ τεσσάρων, ἃ ἔχει σκέλη ἀνώτερον τῶν ποδῶν, ὥςτε πηδᾶν ἐν αὐτοῖς, σιτεῖσθαι," ***) ὧν ἐστιν ὁ βροῦχος, καὶ ὁ ἄττακος, καὶ ἀκρὶς, καὶ τέταρτον ὁ ὀφιομάχης. Καὶ δεόντως. Εἰ γὰρ ἄτροφον καὶ βλαβερὸν πρᾶγμα ὀφιώδης ἡδονὴ, τροφιμώτατον ἂν καὶ σωτήριον γένοιτο ἡ πρὸς ἡδονὴν διαμαχομένη φύσις. αὕτη δὲ ἡ σωφροσύνη ἐστί. Μάχου δὴ καὶ σὺ, ὦ διάνοια,

*) Exod. 15, 1.
**) Gen. 49, 17.
***) Lev. 11, 22.

πρὸς πᾶν πάθος, καὶ διαφερόντως πρὸς ἡδονήν.
Καὶ γὰρ „φρονιμώτατός ἐστιν ὁ ὄφις πάντων θη-
ρίων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησεν κύριος ὁ θεός.“ *)
Τῶν γὰρ πάντων πανουργότατόν ἐστιν ἡδονή. Διὰ
τί; Ὅτι πάντα ἡδονῆς δοῦλα, καὶ ὁ βίος ὁ τῶν
φαύλων δεσπόζεται ὑφ' ἡδονῆς. Τὰ γοῦν ποιητικὰ
αὐτῆς εὑρίσκεται διὰ πανουργίας πάσης, χρυσός, ἄρ-
86 γυρος, δόξα, τιμαί, ἀρχαί, αἱ ὗλαι τῶν αἰσθητῶν,
M. καὶ τέχναι αἱ βάναυσοι, καὶ ὅσαι ἄλλαι κατασκευα-
στικαὶ ἡδονῆς, πάνυ ποικίλαι καὶ ἀδικοῦσαι τὴν
ψυχήν. Τὰ δὲ ἀδικήματα οὐκ ἄνευ πανουργίας τῆς
ἐσχάτης ἐστί. Τὴν ὀφιομάχον οὖν γνώμην ἀντί-
ταττε, καὶ κάλλιστον ἀγῶνα τοῦτον διάθλησον, καὶ
σπούδασον στεφανωθῆναι, κατὰ τῆς τοὺς ἄλλους
ἅπαντας νικώσης ἡδονῆς, καλὸν καὶ εὐκλεᾶ στέφα-
νον, ὃν οὐδεμία πανήγυρις ἀνθρώπων ἐχώρησε.

*) Gen. 3, 3.

ΝΟΜΩΝ ʽΙΕΡΩΝ

ΑΛΛΗΓΟΡΙΑΙ ΤΡΙΤΑΙ

ΤΩΝ

ΜΕΤΑ ΤΗΝ ʽΕΞΑΗΜΕΡΟΝ.

SACRARUM LEGUM
ALLEGORIARUM
POST SEX DIERUM OPUS.
LIBER III.

Argumentum.

(Cf. Gen. 3, 8 sqq.)

(1) Qui deum fugit, is malus est, civitateque, quam virtus sapientibus donat, indignus. Hoc Moyses docuisse voluit, dicens, Adamum et Evam pone arbores paradisi sese abscondisse. Deum enim (2), qui universum implet, nemo fugit; quem igitur si quis fugere vult, is aperte prodit, se dei et numen et voluntatem ignorare (3). Quod quum cummaxime iis accidat, qui voluptati se tradunt, suadendum, ut huius dominationi aufugiamus, quam typus Pharaonis indicat (4), secedamusque, ut Moyses, in Midiam, i. e. ad iudicium nostrum confugiamus, ut ratiociniis divinis validiores redditi denuo certamen cum sensuum illecebris, quae sunt Pharao et Aegyptii, ineamus (5). Ita Iacobus quoque Labanum, rerum sensus concitantium sectatorem, abscondidit, deosque alienos et inaures subter terebinthum defodit; hoc enim genus sese occultandi omnes decet dei amantes, quorum est voluptatem fugere, non illud, cui studebant Adam et Eva (6—8). Si quis vero deum latere conatur, is ad se solum confugit (9); talis autem furi par est aestimandus, quem Moyses interfici iussit, quando in ipso facto deprehendatur (10); deum enim, a quo solo animus humanus ad recte cogitandum et agendum movetur, tan-

L 2

tum abest ut fugere liceat, ut mente potius pia sit quaerendus et colendus (11). Quod autem malus in se solum recedit, ut ibi lateat, innuit typus hominis Aegyptii, quem interfectum Moyses sabulo defodit; ille enim est humana et perniciosa affectio, hic mens sana deum recte colens (12). Hinc etiam Abramus dicitur a deo eductus fuisse e domo, i. e. mens, deo opitulante sensui valedicit, ut sola quae aeterna sunt cognoscat (13); et alio loco sumtus de domo patris, i. e. deo non appropinquat mens, nisi postquam deo adiuvante e corporis carcere liberata est (14). Atque ita in aliis locis egredi de ratione usurpatur, quae homini ineunda est, ut virtutis particeps fiat (15). Vocavit deus Adamum ad verbum solum quidem, sed cum eo etiam Evam; nam mens sine sensu ne cogitari quidem potest (16 et 17), id quod verbis mulier, quam dedisti mecum, docetur; his tamen simul innuitur, sensum, qui est mulier, non in mente, sed iuxta mentem esse, ut huic notiones rerum suppeditet (18). Sensus vero non decipit mentem, nisi ipse voluptate, quae est serpens, ante deceptus est (19 et 20). Serpens damnatur non admissa defensione, quia voluptas, quippe quae res pessima, non est audienda (21); quamobrem etiam Ir, qui est corpus, absque ulla causa manifesta, malus iudicatur (22), et interficitur; corpus enim mali sedes, ita ut anima praemia virtutis, quae significat Thamar, non accipiat, nisi ante corpus morti tradidit (23). Contra deus bonos absque manifestà causà effert, ut Noachum; talia enim sunt penes liberam gratiam dei, a quâ omnia pendent (24). Hac etiam factum est, ut deus Melchisedecum, qui est mens sana, non prius expresso eius merito, sacerdotem sibi constitueret (25 et 26); ut Abramo, nuspiam ante laudato, regionem fertilem habitandam promitteret, qua re migratio mentis in coelestia innuitur (27); ut cum Isaaco, antequam natus erat, foedus sempiternum iniret, quo subnotatur, laetitià, quam significat Isaacus, antequam adest, animum exhilarari (28); ut Iacobum, dum in utero matris erat, principem prae Esavo declararet, quo docetur, rationale potius esse irrationali l. pravo (29); ut ex filiis Iosephi Ephraimum, iuniorem, potiorem habuerit Manasse, natu maiorem, quibus symbolice innuitur memoriam potiorem esse reminiscentià (30); ut Beseleelum, cuius opera ante perfecta non laudantur, ad exstruendum tabernaculum evocaret, quo usus est deus, ut imagines exemplarium divinorum exprimeret, quorum primus artifex fuit Moyses; per hunc enim solum verus deus se, ut ab hominibus cognosceretur, manifestavit, non per mundum factum et interiturum, quod plurimis philosophorum pla-

cuit (31—33). Quamobrem precandum a deo, ut omnibus nobis thesauros gratiae, l. bonorum aeternorum aperiat, malorum contra claudat (34). Voluptatem, serpentem, recte exsecratur deus, quia terminos animae turbat, pro virtutis studio amorem affectuum generans; ita eandem typo coeci (Deut. 28, 18.) exsecratur, voluptas enim coeca (35 et 36); et quum sit omnium affectuum deterrimus, prae omnibus bestiis, i. e. affectibus, damnatur (37). Gradietur super pectus et ventrem, quod in his corporis partibus et voluptatis et irae sedes, in capite vero rationis (38. 39). Quomodo illae hac sint cohibendae figurate docetur, quod Aaron doctrinam et veritatem in pectore gerere iussus est (40—42); his enim cohibetur ira a proficiente in virtute, Aarone, at a sapientissimo quoque, Moyse, penitus pectori exscinditur (43—46). Serpens ventre gradi iubetur, quoniam hic sedes voluptatis (47); quamobrem ventrem et pedes aquâ lavari, i. e. voluptatem vitari iubet Moyses (48 et 49), nam ventris repletio quasi fundamentum est ceterorum affectuum (50). Obsequendum igitur rationi, ne anima voluptate polluatur, quod castris suos egredi iubens (Deut. 23, 12.) Moyses suasit; nam rationi simul cum voluptate in una sede non est commorandum (51. 52). Quidquid enim ratione caret, turpe, sicut decorum, quidquid cum ratione coniunctum (53). Recte admodum serpens gradi iubetur, voluptas enim semper mutabilis (54); recte quoque terram comedere, nam voluptas rebus corporeis, animus coelestibus delectatur; hoc ex manna clarum, quod deus Israelitis colligendum dedit (55 et 56), quo declaratur institutio et sapientia divinior (57), qua unumquemque, quantum valet, animum imbuere decet (58). Illud manna tanquam ros coelo decidisse dicitur, quod sapientiâ illâ affectus sopiuntur et quasi coagulantur (59 et 60). Ita et alibi homo non pane tantum, sed omni verbo dei vivere dicitur (61). Haec sapientia, l. verbum dei l. manna, a deo per angelos datur; errant igitur, qui suis viribus freti eam soli invenire posse putant; quamobrem male Iosephus Iacobo nuntiat: "Enutriam te"; deus enim, ut Liae, ita animae uterum aperit, eique sapientiae semen instillat (62 et 63). Inimicitiâ positâ intra serpentem et mulierem innuitur, voluptatem sensui esse oppositam, ut adulatio amicitiae (64); bellum enim nunquam cessans est inter appetitum et sensum (65). Ita oppositi Adamus et Eva, Israel et Amalec (66). Hoc bello fortiter certandum, ut et Iacobus luctatus est (67. 68); turpe enim hoc certamine vinci, et decorum tantum sapientiae vel rationi servire (69. 70). Voluptati

servientem consequitur tristitia, quam mulieri deus minatur, sapientiae laetitia, quam deus Isaaco iureiurando interposito et Sarae promisit (71 – 77). Mulier igitur, i. e. sensus, convertat se ad virum, i. e. mentem sanam, necesse est (78). Recta ratio regat vitam, ut gubernator navem; alioquin affectus, mulieres, pessundabunt animum (79. 80). Cogitationibus nostris solis, quas denotat Esebon, non summa fides tribuenda, sed deo, ad exemplum Abrami (81). Tenues enim quum sint, sed tamen arrogantes, facile decipiunt intellectum, qui est Moab (82. 83). Unam eius generis repraesentat uxor Petephrae, cui aufugit Iosephus; virtus enim, cuius typus hic, repellit pravas animi conceptiones (84. 85). Ita etiam Phinees, qui est zelus divinus, interfecit Madianitidem, quae est natura occultans se in divino choro (86). Mulieri contra, ut Sarae, quae est virtus, obtemperandum (87); nam voluptati, serpenti, qui paret, is maledictus (88), ita ut non nisi spinarum, i. e. male factorum auctor futurus sit, ex quibus gravissimi dolores, quod significatur herba agri et sudore, nascantur (89. 90).

---

87 §. 1. „Καὶ ἐκρύβη ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐ- 60
M. τοῦ ἀπὸ προςώπου κυρίου τοῦ θεοῦ ἐν μέσῳ τοῦ P.
ξύλου τοῦ παραδείσου.“ *) Δόγμα εἰςηγεῖται δι-
δάσκον, ὅτι ὁ φαῦλος φυγάς ἐστιν. Ἡ γὰρ πόλις
οἰκεία τῶν σοφῶν, ἡ ἀρετή· ταύτης ὁ μὴ δυνάμε-
νος μετέχειν ἀπελήλαται πόλεως, ἧς ἀδυνατεῖ μετέ-
χειν ὁ φαῦλος. Ἀπελήλαται ἄρα καὶ πεφυγάδευται
μόνος ὁ φαῦλος. Ὁ δὲ ἀρετῆς φυγὰς εὐθὺς ἀποκέ-
κρυπται θεοῦ. Εἰ γὰρ ἐμφανεῖς οἱ σοφοὶ θεῷ, ἅτε 61
ὄντες αὐτῷ φίλοι, δῆλον ὡς ἀποκρύπτονται καὶ κα- P.
ταδύονται πάντες οἱ φαῦλοι, ὡς ἂν ἐχθροὶ καὶ δυς-
μενεῖς ὄντες ὀρθῷ λόγῳ. Ὅτι μὲν οὖν ἄπολις καὶ
ἄοικος ὁ φαῦλός ἐστι, μαρτυρεῖ ἐπὶ τοῦ δασέος καὶ
ποικίλου τὴν κακίαν Ἡσαῦ, ὅτε φησίν, „Ἦν δὲ

---

*) Gen. 3, 8.

Ἠσαῦ εἰδὼς κυνηγεῖν, ἄγροικος." *) Οὐ γὰρ πέ-
φυκεν ἡ τῶν παθῶν θεραπευτικὴ κακία τὴν ἀρετῆς
πόλιν οἰκεῖν, ἀγροικίαν καὶ ἀπαιδευσίαν μετὰ πολλῆς
ἀγνωμοσύνης μεταδιώκουσα. Ὁ δέ γε σοφίας με-
88 στὸς Ἰακὼβ καὶ πολίτης ἐστὶ, καὶ "οἰκίαν," τὴν
M. ἀρετὴν, "κατοικεῖ." **) Φησὶν οὖν περὶ αὐτοῦ,
"Ἰακὼβ δὲ ἄπλαστος ἄνθρωπος οἰκῶν οἰκίαν."
Παρ' ὃ καὶ "αἱ μαῖαι, ἐπειδὴ ἐφοβοῦντο τὸν θεὸν,
ἐποίησαν ἑαυταῖς οἰκίας." ***) Αἱ γὰρ ζητητικαὶ
τῶν ἀφανῶν θεοῦ μυστηρίων, ὅπερ ἐστὶ ζωογονεῖν
τὰ ἄρσενα, οἰκοδομοῦσι τὰ ἀρετῆς πράγματα, οἷς
καὶ ἐνοικεῖν προῄρηνται. Διὰ μὲν δὴ τούτων ἐπιδέ-
δεικται, πῶς ὁ μὲν φαῦλος ἄπολίς τέ ἐστι καὶ ἄοι-
κος, φυγὰς ἀρετῆς ὤν, ὁ δὲ σπουδαῖος καὶ πόλιν
ἔχει καὶ οἶκον σοφίαν κεκλήρωται.

§. 2. Ἴδωμεν δὲ ἑξῆς, πῶς καὶ ἀποκρύπτεσθαί τις θεοῦ λέγεται. Εἰ δὲ μὴ ἀλληγορήσειέ τις, ἀδύνατον παραδέξασθαι τὸ προκείμενον. Πάντα γὰρ πεπλήρωκεν ὁ θεὸς, καὶ διὰ πάντων διελήλυθεν, καὶ κενὸν οὐδὲν οὐδὲ ἔρημον ἀπολέλοιπεν ἑαυτοῦ. Ποῖον γάρ τις τόπον ἐφέξει, ἐν ᾧ οὐχὶ θεός ἐστι; Μαρτυρεῖ δὲ καὶ ἐν ἑτέροις λέγων, "Ὁ θεὸς ἐν τῷ οὐρανῷ ἄνω, καὶ ἐπὶ τῆς γῆς κάτω, καὶ οὐκ ἔστιν ἔτι πλὴν αὐτοῦ." ****) Καὶ πάλιν ὧδε, "Ἐγὼ ἕστηκα πρὸ τοῦ σε." *****) Πρὸ γὰρ τοῦ παντὸς γενητοῦ ὁ θεός ἐστι, καὶ ἔσται πανταχοῦ, ὥςτε οὐκ ἂν δύναιτό τις ἀποκρύπτεσθαι. Καὶ τί θαυμάζομεν; Τῶν γὰρ γενομένων τὰ συνεκτικώτατα, οὐδ' ἂν εἴ τι γένοιτο, ἐκφεύγειν καὶ ἀποκρύπτεσθαι δυνηθείημεν, οἷον, γῆν φυγέτω τις ἢ ὕδωρ ἢ ἀέρα ἢ οὐρανὸν ἢ τὸν σύμ-

*) Gen. 25, 27.
**) Ibid.
***) Exod. 1, 21.
****) Deut. 4, 39.
*****) Exod. 17. 6.

παντα κόσμον. Ἀνάγκη γὰρ ἐν τούτοις περιέχεσθαι, οὐ γὰρ ἔξω γέ τις τοῦ κόσμου φεύγειν δυνήσεται. Εἶτα τὰ μέρη τοῦ κόσμου, μηδὲ τὸν κόσμον αὐτὸν δυνάμενός τις ἀποκρύπτεσθαι, τὸν θεὸν ἂν ἰσχύσειε λανθάνειν; Οὐδαμῶς. Τί οὖν τὸ "ἐκρύβησαν;" Ὁ φαῦλος δοκεῖ εἶναι τὸν θεὸν ἐν τόπῳ, μὴ περιέχοντα, ἀλλὰ περιεχόμενον. Οὗ χάριν καὶ οἴεται ἀποκρύπτεσθαι, ὡς κατ᾽ ἐκεῖνο τὸ μέρος οὐκ ὄντος τοῦ αἰτίου, καθ᾽ ὃ φωλεύειν διέγνωκεν.

§. 3. Ἔστι δὲ οὕτως ἐκδέξασθαι. Ἐν τῷ φαύλῳ ἡ ἀληθὴς περὶ θεοῦ δόξα ἐπεσκίασται καὶ ἀποκρύπτεται· σκότους γὰρ πλήρης ἐστὶ, μηδὲν ἔχων ἐναύγασμα θεῖον, ᾧ τὰ ὄντα περισκέψεται. Ὁ δὲ 62
τοιοῦτος πεφυγάδευται θείου χοροῦ, καθάπερ ὁ λε- P.
πρὸς καὶ γονοῤῥυής. Ὁ μὲν θεὸν καὶ γένεσιν, ἀντιπάλους φύσεις δύο χρωμάτων ὄντων ἀγαγὼν εἰς ταὐτὸ ὡς αἴτια, ἑνὸς ὄντος αἰτίου τοῦ δρῶντος. Ὁ δὲ γονοῤῥυὴς, ἐκ κόσμου πάντα καὶ εἰς κόσμον ἀνάγων, ὑπὸ θεοῦ δὲ μηδὲν οἰόμενος γεγονέναι, Ἡρα-
89 κλειτείου δόξης ἑταῖρος, κόρον καὶ χρησμοσύνην καὶ
M. ἓν τὸ πᾶν καὶ πάντα ἀμοιβῇ εἰσάγων. Διό φησι καὶ ὁ θεῖος λόγος, "Ἐξαποστειλάτωσαν ἐκ τῆς ἁγίου ψυχῆς πάντα λεπρὸν, καὶ πάντα γονοῤῥυῆ, καὶ πάντα ἀκάθαρτον ἐν ψυχῇ, ἀπὸ ἀρσενικοῦ ἕως θηλυκοῦ· καὶ τοὺς θλαδίας καὶ ἀποκεκομμένους τὰ γεννητικὰ τῆς ψυχῆς, καὶ πόρνους," *) τὴν ἑνὸς ἀρχὴν ἀποδιδράσκοντας, οἷς ἄντικρυς ἀπείρηται "εἰς ἐκκλησίαν θεοῦ φοιτᾶν." **) Οἱ δέ γε σοφοὶ λογισμοὶ, οὐχ οἷον ἀποκρύπτονται, ἀλλ᾽ ἐμφανεῖς εἶναι γλίχονται. Οὐχ ὁρᾷς, ὅτι Ἀβραὰμ ἔτι ἦν ἑστηκὼς ἐν τόπῳ κυρίου, καὶ ἐγγίσας εἶπε, "Μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς," ***) τὸν ἐμφανῆ σοι καὶ γνώ-

*) Num. 5, 2.

**) Deut. 23, 2.

***) Gen. 18, 23.

ριμον, μετὰ τοῦ φεύγοντός σε καὶ ἀποδιδράσκοντος; Οὗτος μὲν γὰρ ἀσεβὴς, δίκαιος δὲ ὁ ἑστηκὼς ἐναντίον σου καὶ μὴ φεύγων. Σὲ γὰρ, ὦ δέσποτα, τιμᾶσθαι δίκαιον μόνον. Οὐχ ὥςπερ δὲ ἀσεβὴς, οὕτω καὶ εὐσεβής τις εὑρίσκεται. Ἀλλ' ἀγαπητὸν εἰ δίκαιος, οὗ χάριν φησὶ, "Μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς." Ἀξίως γὰρ οὐδὲ εἷς τὸν θεὸν τιμᾷ, ἀλλὰ δικαίως μόνον. Ὁπότε γὰρ οὐδὲ τοῖς γονεῦσιν ἴσας ἀποδοῦναι χάριτας ἐνδέχεται, ἀντιγεννῆσαι γὰρ οὐχ οἷόν τε τούτους, πῶς οὐκ ἀδύνατον θεὸν ἀμείψασθαι ἢ ἐπαινέσαι κατὰ τὴν ἀξίαν τὸν τὰ ὅλα συστησάμενον ἐκ μὴ ὄντων; "Πᾶσαν γὰρ ἀρετὴν παρέσχε." *)

§. 4. Τρεῖς οὖν καιροὺς, ὦ ψυχὴ, τουτέστι τὸν τριμερῆ χρόνον, σύμπασα ἐμφανὴς ἀεὶ γίνου θεῷ, μὴ τὸ θῆλυ αἰσθητὸν πάθος ἐφελκομένη, ἀλλὰ τὸν ἀνδρεῖον καὶ καρτερίας ἀσκητὴν λογισμὸν ἐκθυμιῶσα. "Τρισὶ γὰρ καιροῖς τοῦ ἐνιαυτοῦ ὀφθῆναι πᾶν ἀρσενικὸν ἐναντίον κυρίου τοῦ θεοῦ Ἰσραὴλ" **) ὁ ἱερὸς λόγος προστάττει. Διὰ τοῦτο καὶ Μωϋσῆς, ὅταν ἐμφανὴς καθίσταται θεῷ, φεύγει τὸν διασκεδαστὴν τρόπον Φαραῶ, ὃς αὐχεῖ λέγων μὴ εἰδέναι τὸν κύριον. "Ἀνεχώρησε γὰρ," φησὶ, "Μωϋσῆς ἀπὸ προςώπου Φαραῶ, καὶ κατῴκησεν ἐν γῇ Μαδιὰμ," ***) τῇ κρίσει τῆς φύσεως πραγμάτων, "καὶ ἐκάθησεν ἐπὶ τοῦ φρέατος," ἐκδεχόμενος τί ὁ θεὸς ἀνομβρήσει πότιμον τῇ διψώσῃ καὶ ποθούσῃ ψυχῇ τὸ ἀγαθόν. Ἀναχωρεῖ μὲν δὴ ἀπὸ τῆς ἀθέου καὶ ἡγεμονίδος τῶν παθῶν δόξης, Φαραῶ, "ἀναχωρεῖ δὲ εἰς Μαδιὰμ,"
90 τὴν κρίσιν, ἐξετάζων πότερον ἠρεμητέον αὐτῷ ἐστιν,
M ἢ δικαστέον πάλιν πρὸς τὸν φαῦλον ἐπ' ὀλέθρῳ αὐτοῦ. Σκέπτεται δὲ εἰ ἐπιθέμενος ἰσχύσει νικηφορῆ- 63 P.

*) Deut. 8, 28. (?)
**) Deut. 16, 16.
***) Exod. 2, 15.

σαι· παρ' ὃ καὶ κατέχεται ὑπομένων, ὡς ἔφην, εἰ ἀναδώσει ὁ θεὸς τῷ βαθεῖ καὶ μὴ κούφῳ λογισμῷ, πηγὴν ἱκανὴν ἐπικλύσαι τὴν φορὰν τοῦ Αἰγυπτίων βασιλέως, τῶν παθῶν αὐτοῦ. Ἀξιοῦται μέν τοι τῆς χάριτος· στρατευσάμενος γὰρ τὴν στρατείαν τὴν ὑπὲρ ἀρετῆς, οὐ παύεται πολεμῶν, πρὶν ἐπιδεῖν πρηνεῖς καὶ ἀπράκτους τὰς ἡδονάς. Οὗ χάριν οὐ φεύγει Μωϋσῆς ἀπὸ τοῦ Φαραῶ, ἀνεπιστρεπτὶ γὰρ ἂν ἀπεδίδρασκεν, ἀλλὰ ἀναχωρεῖ, τουτέστιν ἀνακωχὴν ποιεῖται τοῦ πολέμου, ἀθλητοῦ τρόπον διαπνέοντος καὶ συλλεγομένου τὸ πνεῦμα, μέχρις ἂν ἐγείρας τὴν φρονήσεως καὶ τῆς ἄλλης ἀρετῆς συμμαχίαν, διὰ λόγων θείων μετὰ δυνάμεως ἐῤῥωμενεστάτης ἐπίθηται. Ὁ δὲ Ἰακὼβ, πτερνιστὴς γάρ ἐστι, μεθόδοις καὶ τέχναις τὴν ἀρετὴν οὐκ ἀκονιτὶ κτώμενος — οὐ γὰρ μετωνόμαστό πω εἰς τὸν Ἰσραὴλ — "ἀποδιδράσκει τῶν κατὰ Λάβαν πραγμάτων," *) τουτέστι χρωμάτων καὶ σχημάτων, καὶ συνόλως σωμάτων, ἃ τὸν νοῦν διὰ τῶν αἰσθητῶν τιτρώσκειν πέφυκεν. Ἐπειδὰν γὰρ αὐτὰ νικῆσαι παρὼν κατὰ τὸ παντελὲς οὐκ ἠδύνατο, φεύγει, δεδιὼς τὴν πρὸς αὐτῶν ἧτταν· καὶ σφόδρα ἐπαίνων ἄξιος. "Εὐλαβεῖς" γὰρ, φησὶ Μωϋσῆς, "ποιήσετε τοὺς υἱοὺς τοῦ ὁρῶντος," **) ἀλλ' οὐ θρασεῖς, καὶ τῶν μὴ καθ' αὑτοὺς ἐρῶντας.

§. 5. "Καὶ ἔκρυψεν Ἰακὼβ Λάβαν τὸν Σύρον, τοῦ μὴ ἀναγγεῖλαι αὐτῷ ὅτι ἀποδιδράσκει. Καὶ ἀπέδρα αὐτὸς καὶ τὰ αὐτοῦ πάντα, καὶ διέβη τὸν ποταμὸν, καὶ ὥρμησεν εἰς τὸ ὄρος Γαλαάδ." Φυσικώτατόν ἐστι τὸ κρύπτειν, ὅτι ἀποδιδράσκει, καὶ μὴ ἀναγγέλλειν τῷ ἠρτημένῳ τῶν αἰσθητῶν λογισμῷ Λάβαν, οἷον ἐὰν κάλλος ἰδὼν αἱρεθῇς αὐτῷ καὶ μέλλῃς πταίειν περὶ αὐτὸ, φεῦγε λαθὼν ἀπὸ

---

*) Gen. 31, 20.

**) Lev. 15, 31.

τῆς φαντασίας αὐτοῦ, καὶ μηκέτι ἀναγγείλῃς τῷ νῷ,
τουτέστι, μὴ ἐπιλογίσῃ πάλιν, μηδὲ μελετήσῃς. Αἱ
γὰρ συνεχεῖς ὑπομνήσεις τύπους ἐγχαράττουσαι τρα-
νοὺς, βλάπτουσι τὴν διάνοιαν, καὶ ἄκουσαν αὐτὴν
προτρέπουσιν. Ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ πάντων
τῶν καθ᾽ ἡντινοῦν αἴσθησιν ὁλκῶν. Ἐν γὰρ τούτοις
σώτειρα ἡ λαθραία φυγή. Τὸ δὲ ὑπομνήσκεσθαι
καὶ ἀναγγέλλειν καὶ ἀναπολεῖν, κρατεῖ καὶ δουλοῦ-
ται βιαίως τὸν λογισμόν. Μηδέποτ᾽ οὖν, ὦ διάνοια,
τὸ φανὲν αἰσθητὸν, εἰ μέλλεις ἁλίσκεσθαι πρὸς αὐ-
τοῦ, ἀναγγείλῃς ἑαυτῇ, μηδὲ ἀναπολήσῃς αὐτὸ, ἵνα 64
μὴ κρατηθεῖσα κακοδαιμονῇς· ἀλλ᾽ ἄφετος ὁρμήσασα P.
ἀπόδραθι, ἐλευθερίαν ἀτίθασσον δουλείας χειροήθους
προκρίνουσα.

§. 6. Διὰ τί δὲ νῦν ὡς ἀγνοοῦντος τοῦ Ἰακὼβ
ὅτι Σύρος ὁ Λάβαν ἐστὶ, φησὶν, "Ἔκρυψε δὲ Ἰα-
κὼβ Λάβαν τὸν Σύρον;" Ἔχει δὲ καὶ τοῦτο οὐ
91 πάρεργον λόγον. Συρία γὰρ ἑρμηνεύεται μετέωρα.
M. Ὁ ἀσκητὴς οὖν Ἰακὼβ, νοῦς, ὅτε μὲν ὁρᾷ ταπεινὸν
τὸ πάθος, περιμένει, λογιζόμενος αὐτὸ νικήσειν κατὰ
κράτος. Ὅτε δὲ μετέωρον καὶ ὑψαυχενοῦν καὶ ὑπέρ-
ογκον, ἀποδιδράσκει τε ὁ νοῦς ὁ ἀσκητὴς πρῶτος,
εἶτα καὶ τὰ αὐτοῦ πάντα μέρη τῆς ἀσκήσεως, ἀνα-
γνώσεις, μελέται, θεραπεῖαι, τῶν καλῶν μνῆμαι, ἐγ-
κράτεια, τῶν καθηκόντων ἐνέργειαι, καὶ διαβαίνει
τὸν τῶν αἰσθητῶν ποταμὸν τὸν ἐπικλύζοντα καὶ βα-
πτίζοντα τῇ φορᾷ τῶν παθῶν τὴν ψυχὴν, καὶ ὁρμᾷ
διαβὰς εἰς τὸν ὑψηλὸν καὶ μετέωρον τὸν λόγον τῆς
τελείας ἀρετῆς. "Ὥρμησε γὰρ εἰς τὸ ὄρος Γαλαάδ,"
ἑρμηνεύεται δὲ μετοικία μαρτυρίας, τοῦ θεοῦ μετοι-
κίσαντος τὴν ψυχὴν ἀπὸ τῶν κατὰ Λάβαν παθῶν,
καὶ μαρτυρήσαντος αὐτῇ μετανάστασιν, ὅτι λυσιτε-
λὴς καὶ συμφέρουσα, καὶ ἀπὸ τῶν ταπεινὴν καὶ χα-
μαίζηλον ἀπεργαζομένων τὴν ψυχὴν κακῶν εἰς ὕψος
καὶ μέγεθος ἀρετῆς προάγοντος; Διὰ τοῦτο ὁ φίλος
τῶν αἰσθήσεων, καὶ κατ᾽ αὐτὰς, ἀλλὰ μὴ κατὰ νοῦν

ἐνεργῶν Λάβαν, ἀγανακτεῖ, καὶ διώκει, καί φησιν, "Ἵνα τί κρυφῇ ἀπέδρας, ἀλλ' οὐ παρέμεινας τῇ τοῦ σώματος ἀπολαύσει, καὶ τῷ δόγματι τῷ περὶ σῶμα, καὶ τὰ ἐκτὸς ἀγαθὰ κρίνοντι; Ἀλλὰ καὶ φεύγων ἀπὸ τῆσδε τῆς δόξης ἐσύλησάς μου καὶ τὸ φρονεῖν, Λείαν τε καὶ Ῥαχήλ," αὗται γὰρ ἡνίκα παρέμενον τῇ ψυχῇ φρένας ἐνεποίουν ταύτῃ, μεταναστᾶσαι δὲ ἀμαθίαν καὶ ἀπαιδευσίαν αὐτῇ κατέλιπον. Διὸ καὶ ἐπιφέρει, ὅτι "ἐκλοποφόρησάς με," τουτέστι τὸ φρονεῖν ἔκλεψας.

§. 7. Τί οὖν ἦν τὸ φρονεῖν, ἐξηγήσεται. Ἐπιφέρει γὰρ, "Καὶ ἀπήγαγες τὰς θυγατέρας μου ὡς αἰχμαλώτιδας· καὶ εἰ ἀνήγγειλάς μοι, ἐξαπέστειλα ἄν σε." Οὐκ ἂν ἐξαπέστειλας τὰ μαχόμενα ἀλλήλοις. Εἰ γὰρ ἐξαπέστειλας ὄντως καὶ ἠλευθέρους τὴν ψυχὴν, περιεῖλες ἂν αὐτῆς τοὺς σωματικοὺς καὶ αἰσθητικοὺς ἅπαντας ἤχους. Οὕτω γὰρ ἀπολυτροῦται κακῶν καὶ παθῶν διάνοια. Νυνὶ δὲ λέγεις μὲν, ὡς ἐξαποστέλλεις ἐλευθέραν, διὰ δὲ τῶν ἔργων ὁμολογεῖς, ὅτι κατέσχες ἂν ἐν δεσμωτηρίῳ· εἰ γὰρ μετὰ μουσικῶν καὶ τυμπάνων καὶ κιθάρας, καὶ τῶν 65
καθ' ἑκάστην αἴσθησιν ἡδονῶν προέπεμπες, οὐκ ἂν P.
ὄντως ἐξαπέστειλας. Οὐ γὰρ μόνον σε, ὦ σωμάτων καὶ χρωμάτων ἑταῖρε Λάβαν, ἀποδιδράσκομεν, ἀλλὰ καὶ πάντα τὰ σὰ, ἐν οἷς καὶ αἱ τῶν αἰσθήσεων φωναὶ ταῖς τῶν παθῶν ἐνεργείαις συνηχοῦσι. Μεμελετήκαμεν γὰρ, εἴ γε ἀρετῆς ἐσμεν ἀσκηταὶ, μελέτην ἀναγκαίαν, ἣν καὶ Ἰακὼβ ἐμελέτησεν, ἀπολλύ-
92 ναι καὶ διαφθείρειν τοὺς ἀλλοτρίους τῆς ψυχῆς τοὺς
M. θεοὺς τοὺς χωνευτοὺς, θεοὺς οὓς ἀπηγόρευκε Μωϋσῆς δημιουργεῖν *). Οὗτοι δέ εἰσιν ἀρετῆς μὲν καὶ εὐπαθείας διάλυσις, κακίας δὲ καὶ παθῶν σύστασίς τε καὶ πῆξις. Τὸ γὰρ χεόμενον διαλυθὲν αὖθις πήγνυται.

---

*) Levit. 19, 4.

§. 8. *Λέγει δὲ οὕτως, "Καὶ ἔδωκαν Ἰακὼβ τοὺς θεοὺς τοὺς ἀλλοτρίους, οἳ ἦσαν ἐν ταῖς χερσὶν αὐτῶν, καὶ τὰ ἐνώτια τὰ ἐν τοῖς ὠσὶν αὐτῶν. Καὶ κατέκρυψεν αὐτὰ Ἰακὼβ ὑπὸ τὴν τερέβινθον τὴν ἐν Σικίμοις." *) Οὗτοι δέ εἰσι τῶν φαύλων θεοί. Ὁ δὲ Ἰακὼβ οὐ λέγεται λαμβάνειν, ἀλλὰ κρύπτειν καὶ ἀπολλῦναι. Πάντη διηκριβωμένως. Ὁ γὰρ ἀστεῖος οὐδὲν λήψεται πρὸς περιουσίαν τῶν ἀπὸ κακίας, ἀλλὰ κρύψει καὶ ἀφανιεῖ λάθρα. Καθάπερ καὶ Ἀβραὰμ τῷ Σοδόμων βασιλεῖ τεχνάζοντι ἀλόγου φύσεως ποιήσασθαι ἀντίδοσιν πρὸς λογικὴν, ἵππου πρὸς ἄνδρας, φησὶ, "μηδὲν λήψεσθαι τῶν ἐκείνου, ἀλλ' ἐκτενεῖν" τὴν ψυχικὴν πρᾶξιν, ὅπερ διὰ συμβόλου "χεῖρα" ὠνόμασε, "πρὸς τὸν θεὸν τὸν ὕψιστον·" **) μὴ γὰρ λήψεσθαι ἀπὸ σπαρτίου ἕως σφαιρωτῆρος ὑποδήματος, ἀπὸ πάντων τῶν ἐκείνου, ἵνα μὴ εἴπῃ πλούσιον πεποιηκέναι τὸν ὁρῶντα, πενίαν ἀρετῆς τῆς πλουσίας ἀντιδιδούς. Κρύπτεται μὲν ἀεὶ καὶ φυλάττεται τὰ πάθη ἐν Σικίμοις, ὠμίασις δὲ ἑρμηνεύεται· ὁ γὰρ πονούμενος περὶ τὰς ἡδονὰς, φυλακτικὸς τῶν ἡδονῶν ἐστιν. Ἀπόλλυται δὲ καὶ διαφθείρεται παρὰ τῷ σοφῷ, οὐ πρὸς βραχύν τινα χρόνον, ἀλλ' ἕως τῆς σήμερον ἡμέρας, τουτέστιν ἀεί. Ὁ γὰρ αἰὼν ἅπας τῷ σήμερον παραμετρεῖται· μέτρον γὰρ τοῦ παντὸς χρόνου, ὁ ἡμέριος κύκλος. Διὸ καὶ ἐξαίρετον δίδωσι τῷ Ἰωσὴφ "τὰ Σίκιμα" ὁ Ἰακὼβ, ***) τὰ σωματικὰ καὶ αἰσθητικὰ, μετιόντι τὸν ἐν τούτοις πόνον· τῷ δ' ἐξομολογουμένῳ Ἰούδᾳ, οὐχὶ δόσεις, ἀλλὰ αἴνεσιν καὶ ὕμνους καὶ θεοπρεπεῖς ᾠδὰς πρὸς τῶν ἀδελφῶν. Τὰ δὲ Σίκιμα ὁ Ἰακὼβ λαμβάνει οὐ παρὰ θεοῦ, ἀλλ' ἐν μαχαίρᾳ καὶ τόξοις, λόγοις τμητικοῖς καὶ ἀμυντηρίοις. Ὑποτάττει*

*) Gen. 35, 4.
**) Gen. 14, 21.
***) Gen. 48, 22.

γὰρ καὶ τὰ δεύτερα ἑαυτῷ ὁ σοφός· ὑποτάξας δὲ
οὐ φυλάττει, ἀλλὰ χαρίζεται τῷ πεφυκότι πρὸς αὐ-
93 τά. Οὐχ ὁρᾷς, ὅτι καὶ τοὺς θεοὺς δοκῶν λαμβά-
M. νειν οὐκ εἴληφεν, ἀλλὰ ἀπέκρυψε καὶ ἠφάνισε, καὶ 66
διέφθειρε τὸν ἀεὶ χρόνον ἀφ' ἑαυτοῦ. Τίνι οὖν ψυ- P.
χῇ ἀποκρύπτειν καὶ ἀφανίζειν κακίαν ἐγένετο, εἰ μὴ
ᾗ ὁ θεὸς ἐνεφανίσθη, ἣν καὶ τῶν ἀποῤῥήτων μυ-
στηρίων ἠξίωσε; Φησὶ γάρ, "Μὴ κρύψω ἐγὼ ἀπὸ
Ἀβραὰμ τοῦ παιδός μου ἃ ἐγὼ ποιῶ;" *) Εὖ σῶ-
τερ, ὅτι τὰ σεαυτοῦ ἔργα ἐπιδείκνυσαι τῇ ποθούσῃ
τὰ καλὰ ψυχῇ, καὶ οὐδὲν αὐτὴν τῶν σῶν ἔργων
ἐπικέκρυψαι· τούτου χάριν ἰσχύει φεύγειν κακίαν,
καὶ ἐπικρύπτειν καὶ συσκιάζειν, καὶ ἀπολλῦναι ἀεὶ
τὸ βλαβερὸν πάθος.

§. 9. Ὃν μὲν οὖν τρόπον φυγάς τέ ἐστιν ὁ φαῦλος καὶ ἀποκρύπτεται θεὸν, δεδηλώκαμεν· νυνὶ δὲ σκεψώμεθα ὅπου ἀποκρύπτεται. "Ἐν μέσῳ," φησὶ, "τοῦ ξύλου τοῦ παραδείσου," **) τουτέστι κατὰ μέσον τὸν νοῦν, ὃς καὶ αὐτὸς μέσος ἐστὶν, ὡςανεὶ παραδείσου, τῆς ὅλης ψυχῆς. Ὁ γὰρ ἀποδιδράσκων θεὸν καταφεύγει εἰς ἑαυτόν. Δυοῖν γὰρ ὄντοιν, τοῦ τε τῶν ὅλων νοῦ, ὅς ἐστι θεὸς, καὶ τοῦ ἰδίου, ὁ μὲν φεύγων ἀπὸ τοῦ καθ' αὑτὸν καταφεύγει ἐπὶ τὸν συμπάντων. Ὁ δὲ νοῦν τὸν ἴδιον ἀπολείπων ὁμολογεῖ μηδὲν εἶναι τὰ κατὰ τὸν ἀνθρώπινον νοῦν, ἅπαντα δὲ προσάπτει θεῷ. Ὁ δὲ πάλιν ἀποδιδράσκων θεὸν, τὸν μὲν οὐδενὸς αἴτιόν φησιν εἶναι, τῶν δὲ γινομένων ἁπάντων ἑαυτόν. Λέγεται γοῦν παρὰ πολλοῖς, ὅτι τὰ ἐν τῷ κόσμῳ πάντα φέρεται χωρὶς ἡγεμόνος αὐτοματίζοντα, τέχνας δὲ καὶ ἐπιτηδεύματα καὶ νόμους καὶ ἔθη, καὶ πολιτικὰ καὶ ἴδια καὶ κοινὰ δίκαια πρός τε ἀνθρώπους καὶ πρὸς τὰ ἄλογα ζῷα, ἔθετο μόνος ὁ

*) Gen. 18, 17.

**) Gen. 3, 8.

ἀνθρώπινος νοῦς. Ἀλλ᾽ ὁρᾷς, ὦ ψυχὴ, τῶν δοξῶν τὸ παράλογον. Ἡ μὲν γὰρ τὸν ἐπὶ μέρους, τὸν γεννητὸν καὶ θνητὸν ἀπολιποῦσα, τὸν τῶν ὅλων καὶ ἀγέννητον καὶ ἄφθαρτον ἐπιγράφεται ὄντως· ἡ δὲ πάλιν θεὸν ἀποδοκιμάζουσα, τὸν μηδ᾽ αὐτῷ βοηθῆσαι ἱκανὸν νοῦν σύμμαχον ἐπισπᾶται πλημμελῶς.

§. 10. Τούτου χάριν καὶ Μωϋσῆς φησιν, ὅτι "ἐὰν ἐν τῷ διορύγματι εὑρεθῇ ὁ κλέπτης, καὶ πληγεὶς ἀποθάνῃ, οὐκ ἔστιν αὐτῷ φόνος· ἐὰν δὲ καὶ ὁ ἥλιος ἀνατείλῃ ἐπ᾽ αὐτῷ, ἔνοχός ἐστιν, ἀνταποθανεῖται." *) Ἐὰν γάρ τις τὸν ἑστῶτα καὶ ὑγιῆ καὶ ὀρθὸν διακόψῃ καὶ διέλῃ λόγον, ὃς θεῷ μόνῳ τὰ πάντα δύνασθαι μαρτυρεῖ, καὶ εὑρεθῇ ἐν τῷ διορύγματι, τουτέστιν ἐν τῷ τετρωμένῳ καὶ διῃρημένῳ, ὃς τὸν ἴδιον νοῦν ἐνεργοῦντα οἶδεν, ἀλλ᾽ οὐ θεὸν, κλέπτης ἐστὶ, τὰ ἀλλότρια ἀφαιρούμενος. Θεοῦ γὰρ τὰ πάντα κτήματα. Ὥςτε ὁ ἑαυτῷ τι προςνέμων, τὰ ἑτέρου νοσφίζεται, καὶ πληγὴν ἔχει παγχάλεπον καὶ δυςίατον, οἴησιν, πρᾶγμα ἀμαθίας καὶ ἀπαιδευσίας συγ- 67
γενές. Τὸν δὲ πλήττοντα παρησύχασεν· οὐ γὰρ P.
94 ἐστιν ἕτερος τοῦ πληττομένου. Ἀλλ᾽ ὥςπερ ὁ τρίβων
M. ἑαυτὸν καὶ τρίβεται, καὶ ὁ ἐκτείνων ἑαυτὸν καὶ ἐκτείνεται, — τήν τε γὰρ τοῦ δρῶντος δύναμιν, καὶ τὸ τοῦ ὑπομένοντος πάθος αὐτὸς ἐκδέχεται, — οὕτως ὁ κλέπτων τὰ θεοῦ καὶ ἑαυτῷ ἐπιγράφων ὑπὸ τῆς αὐτοῦ ἀθεότητός τε καὶ οἰήσεως αἰκίζεται. Εἴθε μέντοι πληχθεὶς ἀποθάνοι, τουτέστιν ἄπρακτος διατελέσειεν· ἧττον γὰρ ἁμαρτάνειν δόξει. Τῆς γὰρ κακίας ἡ μὲν ἐν σχέσει, ἡ δὲ ἐν κινήσει θεωρεῖται. Νεύει δὲ πρὸς τὰς τῶν ἀποτελεσμάτων ἐκπληρώσεις ἡ ἐν τῷ κινεῖσθαι· διὸ καὶ χείρων τῆς κατὰ σχέσιν ἐστίν. Ἐὰν οὖν ἡ διάνοια ἀποθάνῃ ἡ δοξάζουσα αὐτὴν αἰτίαν τῶν γινομένων, ἀλλὰ μὴ θεὸν, τουτέστιν ἠρεμήσῃ καὶ συσταλῇ, οὐκ ἔστιν αὐτῇ φόνος·

*) Exod. 22, 1 sqq.

οὐκ ἀνῄρηκε τελέως τὸ ἔμψυχον δόγμα, τῷ θεῷ τὰς ἁπάσας δυνάμεις ἐπιγράφειν. Ἐὰν δὲ ἀνατείλῃ ὁ ἥλιος, τουτέστιν ὁ φαινόμενος λαμπρὸς νοῦς ἐν ἡμῖν, καὶ δόξῃ πάντα διορᾶν καὶ πάντα βραβεύειν, καὶ μηδὲ ἐκφεύγειν ἑαυτὸν, ἔνοχός ἐστιν, ἀνταποθανεῖται τοῦ ἐμψύχου δόγματος ὃ ἀνεῖλε, καθ' ὃ μόνος αἴτιός ἐστιν ὁ θεὸς, εὑρισκόμενος ἄπρακτος καὶ νεκρὸς ὄντως αὐτὸς, ἀψύχου καὶ θνητοῦ καὶ πλημμελοῦς δόγματος εἰσηγητὴς γεγενημένος.

§. 11. Παρ' ὃ καὶ καταρᾶται ὁ ἱερὸς λόγος "τιθέντι ἐν ἀποκρύφῳ γλυπτὸν ἢ χωνευτὸν, ἔργον χειρῶν τεχνίτου." *) Τί γὰρ τὰς φαύλας δόξας, ὅτι ποιός ἐστιν ὁ θεὸς, ὡς καὶ τὰ γλυπτὰ, ὁ ἄποιος, ὅτι φθαρτὸς, ὡς τὰ χωνευτὰ, ὁ ἄφθαρτος, ταμιεύεις καὶ θησαυρίζεις, ὦ διάνοια, ἐν σαυτῇ, ἀλλ' οὐκ εἰς μέσον προφέρεις, ἵν' ὑπὸ τῶν ἀσκητῶν τῆς ἀληθείας ἃ χρὴ διδαχθῇς; Οἴει μὲν γὰρ τεχνική τις εἶναι, ὅτι κατὰ τῆς ἀληθείας ἀμούσας πιθανότητας μεμελέτηκας· ἄτεχνος δὲ ἀνευρίσκῃ, νόσον χαλεπὴν ψυχῆς, ἀμαθίαν, οὐκ ἐθέλουσα θεραπεύεσθαι.

§. 12. Ὅτι δὲ ὁ φαῦλος εἰς τὸν σποράδα νοῦν ἑαυτοῦ καταδύεται, φεύγων τὸν ὄντα, μαρτυρεῖ Μωϋσῆς ὁ "πατάξας τὸν Αἰγύπτιον, καὶ κρύψας ἐν τῇ ἄμμῳ," **) ὅπερ ἦν, συλλογισάμενος τὸν προστατεῖν λέγοντα τοῦ σώματος, καὶ μηδὲν τὰ ψυχῆς νομίζοντα, καὶ τέλος ἡγούμενον τὰς ἡδονάς. Κατανοήσας γὰρ τὸν πόνον τοῦ τὸν θεὸν ὁρῶντος, ὃν ἐπιτίθησιν αὐτῷ ὁ βασιλεὺς τῆς Αἰγύπτου, ἡ τῶν παθῶν ἡγεμονὶς κακία, ὁρᾷ τὸν Αἰγύπτιον ἄνθρωπον, τὸ ἀνθρώπειον καὶ ἐπίκαιρον πάθος, τύπτον καὶ αἰκιζόμενον τὸν ὁρῶντα. Περιβλεψάμενος δὲ τὴν ὅλην ψυχὴν ὧδε καὶ ἐκεῖσε, καὶ μηδένα ἰδὼν ἑστῶτα, ὅτι μὴ τὸν ὄντα θεὸν, τὰ δ' ἄλλα κλονούμενα

*) Deut. 27, 15.

**) Exod. 2, 12.

95 καὶ σαλευόμενα, πατάξας καὶ συλλογισάμενος τὴν 68
M. φιλήδονον, κρύπτει ἐν τῷ σποράδι καὶ πεφορημένῳ P.
νῷ, ὃς συμφυΐας καὶ γνώσεως τῆς πρὸς τὸ καλὸν ἐστέρηται. Οὗτος μὲν ἀποκέκρυπται εἰς αὑτόν. Ὁ δὲ ἐναντίος τούτῳ φεύγει μὲν ἀφ' ἑαυτοῦ, καταφεύγει δ' ἐπὶ τὸν τῶν ὄντων θεόν.

§. 13. Διὸ καί, φησιν, "Ἐξήγαγεν αὐτὸν ἔξω, καὶ εἶπεν, ἀνάβλεψον εἰς τὸν οὐρανὸν, καὶ ἀρίθμησον τοὺς ἀστέρας," *) οὓς ἐβουλόμεθα μὲν περιλαβεῖν καὶ περιαθρῆσαι, ἄπληστοι τῶν ἀρετῆς ὄντες ἐρώτων, ἀδυνατοῦμεν δὲ πλοῦτον ἀναμετρῆσαι θεοῦ. Ἀλλ' ὅμως χάρις τῷ φιλοδώρῳ, ὅτι οὕτω σπέρματα ἐν ψυχῇ βαλέσθαι φησὶ τηλαυγῆ καὶ λαμπρὰ καὶ δι' ὅλων νεαρὰ, ὡς τοὺς ἀστέρας ἐν οὐρανῷ. Οὐ παρέργως δὲ πρόσκειται τῷ ἐξήγαγεν αὐτὸν, τὸ ἔξω; Τίς γὰρ ἔνδον ἐξάγεται; Ἀλλὰ μήποτε ὃ λέγει τοιοῦτόν ἐστιν· ἐξήγαγεν αὐτὸν εἰς τὸ ἐξωτάτω χωρίον, οὐκ εἴς τι τῶν ἐκτὸς, ὃ δύναται ὑπ' ἄλλων περιέχεσθαι. Ὥςπερ γὰρ ἐν ταῖς οἰκίαις τοῦ θαλάμου ἐκτὸς μέν ἐστιν ὁ ἀνδρὼν, ἐντὸς δὲ ὁ αὐλὼν, καὶ ἡ αὔλειος ἐκτὸς μὲν τῆς αὐλῆς, εἴσω δὲ τοῦ πυλῶνος· οὕτω καὶ ἐπὶ ψυχῆς δύναται τὸ ἐκτός τινος ἐντὸς εἶναι τοῦ ἑτέρου. Οὕτως οὖν ἀκουστέον, τὸν νοῦν εἰς τὸ ἐξώτατον ἐξήγαγε. Τί γὰρ ὄφελος ἦν καταλιπεῖν αὐτὸν τὸ σῶμα, καταφυγεῖν δὲ ἐπ' αἴσθησιν; Τί δὲ αἰσθήσει μὲν ἀποτάξασθαι, λόγῳ δὲ ὑποστεῖλαι τὸ γεγονός; Χρὴ γὰρ τὸν μέλλοντα νοῦν ἐξάγεσθαι καὶ ἐν ἐλευθερίᾳ ἀφίεσθαι, πάντων ὑπεκστῆναι σωματικῶν ἀναγκῶν, αἰσθητικῶν ὀργάνων, καταλόγων σοφιστικῶν, πιθανοτήτων, τὰ τελευταῖα καὶ ἑαυτοῦ.

§. 14. Δι' ὃ καὶ ἐν ἑτέροις αὐχεῖ λέγων, "Κύριος ὁ θεὸς τοῦ οὐρανοῦ, καὶ ὁ θεὸς τῆς γῆς, ὃς

---

*) Gen. 15, 5.

ἔλαβέ με ἐκ τοῦ οἴκου τοῦ πατρός μου." *) Οὐ γάρ ἐστι κατοικοῦντα ἐν σώματι καὶ τῷ θνητῷ γένει δυνατὸν θεῷ συγγενέσθαι, ἀλλὰ τὸν ἐκ τοῦ δεσμωτηρίου θεὸς διαῤῥύεται. Οὗ ἕνεκα καὶ ἡ τῆς ψυχῆς χαρὰ, Ἰσαὰκ, ὅταν ἀδολεσχῇ καὶ ἰδιάζῃ θεῷ, ἐξέρχεται, ἀπολείπων ἑαυτὸν καὶ τὸν ἴδιον νοῦν. "Ἐξῆλθε γὰρ," φησὶν, "Ἰσαὰκ ἀδολεσχῆσαι εἰς τὸ πεδίον τὸ πρὸς δείλης." **) Καὶ Μωϋσῆς δὲ ὁ προφητικὸς λόγος φησὶν, "Ὅταν ἐξέλθω τὴν πόλιν," τὴν ψυχὴν, — πόλις γάρ ἐστι καὶ αὕτη τοῦ ζώου, νόμους διδοῦσα καὶ ἔθη, — "ἐκπετάσω τὰς χεῖρας," ***) καὶ ἀναπετάσω καὶ ἐξαπλώσω πάσας τὰς πράξεις θεῷ, μάρτυρα καλῶν καὶ ἐπίσκοπον
96 ἑκάστης, οὗ κακία κρύπτεσθαι οὐ πέφυκεν, ἐξαπλοῦ-
M. σθαι δὲ καὶ φανερῶς ὁρᾶσθαι. Ὅταν μέντοι διὰ πάντων ἡ ψυχὴ καὶ λόγων καὶ ἔργων ἐξαπλωθῇ καὶ
ἐκθειασθῇ, παύονται τῶν αἰσθήσεων αἱ φωναὶ, καὶ 69
πάντες οἱ ὀχληροὶ καὶ δυσώνυμοι ἦχοι. Φωνεῖ γὰρ P.
καὶ καλεῖ τὸ μὲν ὁρατὸν τὴν ὅρασιν ἐφ' ἑαυτὸ, ἡ δὲ φωνὴ τὴν ἀκοὴν, ὁ δὲ ἀτμὸς τὴν ὄσφρησιν, καὶ συνόλως τὸ αἰσθητὸν τὴν αἴσθησιν ἐφ' ἑαυτὸ προσκαλεῖται. Ταῦτα δὲ πάντα παύεται, ὅταν ἐξελθοῦσα τὴν ψυχῆς πόλιν ἡ διάνοια θεῷ τὰς ἑαυτῆς πράξεις καὶ διανοήσεις ἀνάψῃ.

§. 15. "Καὶ γάρ εἰσιν αἱ χεῖρες Μωϋσεῖ βαρεῖαι." ****) Ἐπειδὴ γὰρ αἱ τοῦ φαύλου πράξεις ἀνεμιαῖοί τε καὶ κοῦφοι, γένοιντ' ἂν αἱ τοῦ σοφοῦ βαρεῖαι καὶ ἀκίνητοι, οὐδ' εὐσάλευτοι· παρ' ὃ καὶ "στηρίζονται ὑπό τε Ἀαρὼν," τοῦ λόγου, καὶ "Ὢρ," ὅ ἐστι φῶς. Οὐδὲν τῶν πραγμάτων φῶς ἐναργέστερόν ἐστιν ἀληθείας. Βούλεται οὖν διὰ συμβόλων σοὶ

*) Gen. 24, 7.
**) Gen. 24, 62.
***) Exod. 9, 29.
****) Exod. 17, 12.

παραστῆσαι, ὅτι αἱ τοῦ σοφοῦ πράξεις στηρίζονται ὑπὸ τῶν ἀναγκαιοτάτων, λόγου τε καὶ ἀληθείας. Διὸ καὶ Ἀαρὼν ὅταν τελευτᾷ, τουτέστιν ὅταν τελειωθῇ, εἰς Ὢρ, ὅ ἐστι φῶς, ἀνέρχεται.*) Τὸ γὰρ τέλος τοῦ λόγου ἀλήθειά ἐστιν ἡ φωτὸς τηλαυγεστέρα, εἰς ἣν σπουδάζει ὁ λόγος ἐλθεῖν. Οὐχ ὁρᾷς, ὅτι καὶ τὴν παρὰ τοῦ θεοῦ σκηνὴν **) λαβὼν, τουτέστι σοφίαν, ἐν ᾗ κατασκηνοῖ καὶ ἐνοικεῖ ὁ σοφὸς, ἔπηξε καὶ ἐβεβαιώσατο καὶ κραταιῶς ἱδρύσατο, οὐκ ἐν τῷ σώματι, ἀλλ' ἔξω τούτου; Παρεμβολῇ γὰρ αὐτὸ ἀπεικάζει, στρατοπέδῳ πολέμων καὶ κακῶν ὅσα πόλεμος ἐργάζεται πλήρει, μετουσίαν εἰρήνης οὐκ ἔχοντι. "Καὶ ἐκλήθη ἡ σκηνὴ μαρτυρίου," σοφία μαρτυρουμένη ὑπὸ θεοῦ. Καὶ γὰρ "πᾶς ὁ ζητῶν κύριον ἐξεπορεύετο," παγκάλως. Εἰ γὰρ ζητεῖς θεὸν, ὦ διάνοια, ἐξελθοῦσα ἀπὸ σαυτῆς ἀναζήτει· μένουσα δὲ ἐν τοῖς σωματικοῖς ὄγκοις ἢ ταῖς κατὰ νοῦν οἰήσεσιν, ἀζητήτως ἔχεις τῶν θείων, καὶ ἂν ἐπιμορφάζῃς ὅτι ζητῇς. Εἰ δὲ ζητοῦσα εὑρήσεις θεὸν, ἄδηλον· πολλοῖς γὰρ οὐκ ἐγνώρισεν ἑαυτὸν, ἀλλ' ἀτελῆ σπουδὴν ἄχρι παντὸς ἔσχον. Ἐξαρκεῖ μέντοι πρὸς μετουσίαν ἀγαθῶν καὶ ψιλὸν τὸ ζητεῖν μόνον· ἀεὶ γὰρ αἱ ἐπὶ τὰ καλὰ ὁρμαὶ, καὶ ἂν τέλους ἀτυχῶσι, τοὺς χρωμένους προευφραίνουσιν. Οὕτως ὁ μὲν φαῦλος ἀρετήν γε φεύγων, καὶ θεὸν ἀποκρυπτόμενος, ἐπ' ἀσθενῆ βοηθὸν καταφεύγει τὸν ἴδιον νοῦν· ὁ δὲ σπουδαῖος ἔμπαλιν ἑαυτὸν ἀποδιδράσκων ἀναστρέ-
97φει πρὸς τὴν τοῦ ἑνὸς ἐπίγνωσιν, καλὸν δρόμον καὶ
M πάντων ἄριστον ἀγώνισμα τοῦτο νικῶν.

§. 16. "Καὶ ἐκάλεσε κύριος ὁ θεὸς τὸν Ἀδὰμ, καὶ εἶπεν αὐτῷ, ποῦ εἶ;"***) Διὰ τί μόνος καλεῖται ὁ Ἀδὰμ, συγκεκρυμμένης αὐτῷ καὶ τῆς γυναικός;

---

*) Num. 20, 25.

**) Exod. 33, 7.

***) Gen. 3, 9 sqq.

Λεκτέον οὖν πρῶτον ὅτι καλεῖται ὁ νοῦς ὅπου ἦν. Ὅταν ἔλεγχον λαμβάνῃ καὶ ἐπίσπασιν τῆς τροπῆς, 70
οὐ μόνον αὐτὸς καλεῖται, ἀλλὰ καὶ αἱ δυνάμεις αὐ- P.
τοῦ πᾶσαι· ἄνευ γὰρ τῶν δυνάμεων ὁ νοῦς καθ᾽ ἑαυτὸν γυμνὸς καὶ οὐδὲ ὢν εὑρίσκεται. Μία δὲ τῶν δυνάμεων καὶ ἡ αἴσθησις, ἥτις ἐστὶ γυνή. Συγκέκληται οὖν τῷ Ἀδὰμ, τῷ νοΐ, καὶ ἡ γυνὴ, αἴσθησις· ἰδίᾳ δ᾽ αὐτὴν οὐ καλεῖ. Διὰ τί; Ὅτι ἄλογος οὖσα ἔλεγχον ἐξ ἑαυτῆς λάμβάνειν οὐ δύναται. Οὔτε γὰρ ἡ ὅρασις οὔθ᾽ ἡ ἀκοὴ οὔτε τις τῶν ἄλλων αἰσθήσεων διδακτὴ, ὥςτε οὐ δύναται κατάληψιν πραγμάτων ποιήσασθαι· μόνων γὰρ σωμάτων διακριτικὴν εἰργάσατο αὐτὴν ὁ ἐργασάμενος. Ὁ δὲ νοῦς ὁ διδασκόμενός ἐστιν, οὗ χάριν αὐτὸν ἀλλ᾽ οὐ τὴν αἴσθησιν προκέκληται.

§. 17. Τὸ δὲ „ποῦ εἶ" πολλαχῶς ἐστιν ἀποδοῦναι· ἅπαξ μὲν, οὐ τὸ πευστικὸν, ἀλλὰ τὸ ἀποφαντὸν, τὸ ἴσον τῷ „ἐν τόπῳ ὑπάρχεις" βαρυτονουμένου τοῦ που εἶ. Ἐπειδὴ γὰρ ᾠήθης τὸν θεὸν ἐν τῷ παραδείσῳ περιπατεῖν, καὶ ὑπὸ τούτου περιέχεσθαι, μάθε ὅτι τοῦτο εὖ πέπονθας, καὶ ἄκουσον παρὰ τοῦ ἐπισταμένου θεοῦ ῥῆσιν ἀληθεστάτην, ὅτι ὁ μὲν θεὸς οὐχί που. Οὐ γὰρ περιέχεται, ἀλλὰ περιέχει τὸ πᾶν. Τὸ δὲ γενόμενον ἐν τόπῳ· περιέχεσθαι γὰρ αὐτὸ, ἀλλ᾽ οὐ περιέχειν ἀναγκαῖον. Δεύτερον δὲ, τὸ λεγόμενον ἴσον ἐστὶ τούτῳ, ποῦ γέγονας, ὦ ψυχή; Ἀνθ᾽ οἵων ἀγαθῶν οἷα ᾕρησαι κακά; Καλέσαντός σε τοῦ θεοῦ πρὸς μετουσίαν ἀρετῆς, κακίαν μετέρχῃ; Καὶ τὸ τῆς ζωῆς ξύλον, τουτέστι σοφίας, ᾗ δυνήσῃ ζῆν παρασχόντος εἰς ἀπόλαυσιν, ἀμαθίας καὶ φθορᾶς ἐνεφορήθης, κακοδαιμονίαν τὸν ψυχῆς θάνατον, εὐδαιμονίας τῆς ἀληθινῆς ζωῆς προκρίνασα. Τρίτον ἐστὶ τὸ πευστικὸν, πρὸς ὃ δύο γένοιντ᾽ ἂν ἀποκρίσεις. Μία μὲν, πυνθανομένῳ „ποῦ εἶ" ἡ „οὐδαμῶς." Τόπον γὰρ οὐδένα ἔχει ἡ τοῦ φαύλου ψυχὴ, ᾧ ἐπιβήσεται, ἢ ἐφ᾽ οὗ

ἱδρυνθήσεται. Παρ᾽ ὃ καὶ ἄτοπος λέγεται εἶναι ὁ φαῦλος· ἄτοπον δέ ἐστι κακὸν δύςθετον· Τοιοῦτος δὲ ὁ μὴ ἀστεῖος, σαλεύων καὶ κλονούμενος ἀεὶ, καὶ πνεύματος τρόπον ἀστάτου διαφερόμενος, βεβαίου
98 τὸ παράπαν οὐδεμιᾶς γνώμης ἑταῖρος ὤν. Ἑτέρα
M. δὲ γένοιτ᾽ ἂν ἀπόκρισις τοιάδε, ἣ κέχρηται καὶ ὁ Ἀδὰμ, ποῦ εἰμι ἄκουε, ὅπου οἱ τὸν θεὸν ἰδεῖν ἀδυνατοῦντες, ὅπου οἱ θεοῦ οὐκ ἀκούοντες, ὅπου οἱ τὸ αἴτιον ἐπικρυπτόμενοι, ὅπου οἱ φεύγοντες ἀρετὴν, ὅπου οἱ γυμνοὶ σοφίας, ὅπου οἱ φοβούμενοι καὶ τρέμοντες ὑπ᾽ ἀνανδρίας καὶ δειλίας ψυχικῆς. Ὅταν γὰρ λέγῃ, "Τῆς φωνῆς σου ἤκουσα ἐν τῷ παραδείσῳ καὶ ἐφοβήθην ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην," πάντα 71
τὰ εἰρημένα παρίστησιν, ὡς καὶ ἐν τοῖς προτέροις P.
διὰ μακροτέρων λόγων ἀπεδείξαμεν.

§. 18. Καίτοι γυμνὸς οὐκ ἔστι νῦν ὁ Ἀδὰμ, "ἐποίησάν ἑαυτοῖς περιζώματα," ὀλίγῳ πρότερον εἴρηται· ἀλλὰ καὶ διὰ τούτου βούλεταί σε διδάξαι, ὅτι γυμνότητα οὐ τὴν τοῦ σώματος παραλαμβάνει, ἀλλὰ καθ᾽ ἣν ὁ νοῦς ἄμοιρος καὶ γυμνὸς ἀρετῆς ἀνευρίσκεται. "Ἡ γυνὴ," φησὶν, "ἣν ἔδωκας μετ᾽ ἐμοῦ, αὕτη μοι ἔδωκεν ἀπὸ τοῦ ξύλου, καὶ ἔφαγον." Εὖ τὸ μὴ φάναι, ἡ γυνὴ ἣν ἔδωκας ἐμοὶ, ἀλλὰ μετ᾽ ἐμοῦ. Οὐ γὰρ ἐμοὶ ὡς κτῆμα τὴν αἴσθησιν ἔδωκας, ἀλλὰ καὶ αὐτὴν ἀφῆκας ἄνετον καὶ ἐλευθέραν, κατά τινα τρόπον οὐχ ὑπείκουσαν τοῖς τῆς ἐμῆς διανοίας ἐπιτάγμασιν. Ἐὰν γοῦν βουληθῇ ὁ νοῦς προςτάξαι τῇ ὁράσει μὴ ἰδεῖν, οὐδὲν ἧττον αὕτη τὸ ὑποκείμενον ὄψεται. Καὶ ἡ ἀκοὴ μέντοι προςπεσούσης φωνῆς ἀντιλήψεται πάντως, κἂν ὁ νοῦς φιλονεικῶν διακελεύηται αὐτῇ μὴ ἀκούειν. Καὶ μὴν ἥ γε ὄσφρησις ἀτμῶν χορησάντων εἰς αὐτὴν ὀσφρήσεται, καὶ ἂν ὁ νοῦς ἀπαγορεύῃ μὴ ἀντιλαβέσθαι. Διὰ τοῦτο ὁ θεὸς οὐκ ἔδωκεν αἴσθησιν τῷ ζώῳ, ἀλλὰ μετὰ τοῦ ζώου· τὸ δὲ τοῦτ᾽ ἔστιν, ἅπαντα αἴσθησις μετὰ τοῦ ἡμετέρου νοῦ γνωρίζει, καὶ

ἅμα αὐτῷ. Οἷον ἡ ὅρασις ἅμα τῷ νῷ ἐπιβάλλει τῷ ὁρατῷ· εἶδέ τε γὰρ ὁ ὀφθαλμὸς τὸ σῶμα, καὶ εὐθὺς ὁ νοῦς ἀντελάβετο τὸ ὁραθὲν, ὅτι μέλαν ἢ λευκὸν, ἢ ὠχρὸν ἢ φοινικοῦν, ἢ τρίγωνον ἢ τετράγωνον ἢ στρογγύλον, ἢ τὰ ἄλλα χρώματά τε καὶ σχήματα. Καὶ πάλιν ἡ ἀκοὴ ἐπλήχθη ὑπὸ τῆς φωνῆς, καὶ μετ᾽ αὐτῆς ὁ νοῦς. Τεκμήριον δὲ, ἔκρινεν εὐθὺς τὴν φωνὴν, ὅτι λεπτὴ ἢ μέγεθος ἔχουσα, ἢ ἐμμελὴς καὶ ἔῤῥυθμος, καὶ πάλιν εἰ ἐκμελής τε καὶ οὐκ ἐναρμόνιος· καὶ ταὐτὸν ἐπὶ τῶν ἄλλων αἰσθήσεων εὑρίσκεται. Πάνυ δὲ καλῶς καὶ τὸ προσθεῖναι τὸ, "Αὕτη μοι ἔδωκεν ἀπὸ τοῦ ξύλου." Τὸν δὲ ξύλινον καὶ αἰσθητὸν οἶκον τῷ νῷ οὐδεὶς δίδωσιν, ὅτι μὴ αἴσθησις. Τίς γὰρ ἔδωκε τῇ διανοίᾳ γνωρίσαι τὸ σῶμα, ἢ τὸ λευκόν; Οὐχ ἡ ὄψις; Τίς δὲ τὴν φωνήν; Οὐχ ἡ ἀκοή; Τίς δὲ τὸν ἀτμόν; Οὐχ ἡ ὄσφρησις; Τίς δὲ τὸν χυλόν; Οὐχ ἡ γεῦσις;
99 Τίς δὲ τραχὺ καὶ μαλακόν; Οὐχ ἡ ἁφή; Ὀρθῶς
M. οὖν καὶ πάνυ ἀληθῶς εἴρηται ὑπὸ τοῦ νοῦ, ὅτι τὰς τῶν σωμάτων ἀντιλήψεις δίδωσί μοι μόνη ἡ αἴσθησις.

§. 19. "Καὶ εἶπεν ὁ θεὸς τῇ γυναικὶ, τί τοῦτο ἐποίησας; Καὶ εἶπεν, ὁ ὄφις ἠπάτησέ με, καὶ ἔφαγον." Ἄλλο μὲν πυνθάνεται τῆς αἰσθήσεως ὁ
θεὸς, ἄλλο δὲ καὶ αὐτὴ ἀποκρίνεται. Πυνθάνεται 72
μὲν γάρ τι περὶ τοῦ ἀνδρός. Ἡ δὲ οὐ περὶ τούτου P.
φησὶν, ἀλλά τι περὶ ἑαυτῆς, λέγουσα ὅτι ἔφαγον, οὐχ ὅτι ἔδωκα. Μή ποτ᾽ οὖν ἀλληγοροῦντες λύσωμεν τὸ ἀπορηθὲν, καὶ δείξωμεν τὴν γυναῖκα εὐθυβόλως πρὸς τὸ πύσμα ἀποκρινομένην; Ἀνάγκη γάρ ἐστιν αὐτῆς φαγούσης καὶ τὸν ἄνδρα φαγεῖν. Ὅταν γὰρ ἡ αἴσθησις ἐπιβάλλουσα τῷ αἰσθητῷ πληρωθῇ τῆς αὐτοῦ φαντασίας, εὐθὺς καὶ ὁ νοῦς συμβέβληκε καὶ ἀντελάβετο, καὶ τρόπον τινὰ τροφῆς τῆς ἀπ᾽ ἐκείνου πεπλήρωται. Τοῦτ᾽ οὖν φησιν, ἄκουσα δέδωκα τῷ ἀνδρί· προσβαλούσης γάρ μου τῷ ὑποκει-

μένῳ, ὀξυκίνητος ὢν αὐτὸς ἐφαντασιώθη καὶ ἐτυπώθη.

§. 20. Παρατήρει δὲ, ὅτι ὁ μὲν ἀνὴρ λέγει τὴν γυναῖκα δεδωκέναι, ἡ δὲ γυνὴ οὐχὶ τὸν ὄφιν δεδωκέναι, ἀλλὰ ἠπατηκέναι. Ἴδιον γὰρ αἰσθήσεως μὲν τὸ διδόναι, ἡδονῆς δὲ τῆς ποικίλης καὶ ὀφιώδους τὸ ἀπατᾶν καὶ παρακρούεσθαι. Οἷον τὸ λευκὸν τῇ φύσει καὶ τὸ μέλαν καὶ τὸ θερμὸν καὶ τὸ ψυχρὸν δίδωσιν ἡ αἴσθησις τῷ νῷ, οὐχὶ ἀπατῶσα, ἀλλὰ πρὸς ἀλήθειαν. Τοιαῦτα γάρ ἐστι τὰ ὑποκείμενα, οἷα καὶ ἡ ἀπ' αὐτῶν προςπίπτουσα φαντασία, κατὰ τοὺς πλείστους τῶν μὴ φυσικώτερον φυσιολογούντων. Ἡ δὲ ἡδονὴ, οὐχ οἷόν ἐστι τὸ ὑποκείμενον, τοιοῦτον αὐτὸ γνωρίζει τῇ διανοίᾳ, ἀλλ' ἐπιψεύδεται, τέχνῃ τὸ ἀλυσιτελὲς εἰς συμφέροντος τάξιν ἐμβιβάζουσα. Ὥςπερ καὶ τῶν ἑταιρῶν τὰς εἰδεχθεῖς ἰδεῖν ἐστι φαρματτούσας καὶ ὑπογραφομένας τὴν ὄψιν, ἵνα τὸ περὶ αὐτὰς αἶσχος ἐπικρύψωσι, καὶ τὸν ἀκρατῆ ἐπὶ τῆς γαστρὸς νενευκότα ἡδονήν. Οὗτος τὸν πολὺν ἄκρατον καὶ τῶν σιτίων τὴν παρασκευὴν ἀποδέχεται ὡς ἀγαθὸν, βλαπτόμενος καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν ἀπ' αὐτῶν. Πάλιν τοὺς ἐρῶντας ἰδεῖν ἐστι πολλάκις ἐπὶ γυναικῶν αἰσχίστων ὀφθῆναι ἐπιμεμηνότας· τῆς ἡδονῆς ἀπατώσης καὶ μονονουχὶ διεξιούσης, ὅτι εὐμορφία καὶ εὔχροια καὶ εὐσαρκία, καὶ τῶν μερῶν ἀναλογία περὶ τὰς πάντα τὰ ἐναντία τού-
100 τοις ἐχούσας ἐστί. Τὰς γοῦν πρὸς ἀλήθειαν ἀμέμπτῳ
M. κεχρημένας κάλλει παρορῶσιν, ἐκείνων δὲ ὧν εἶπον κατατήκονται· Πᾶσα οὖν ἀπάτη οἰκειοτάτη ἡδονῇ, δόσις δὲ αἰσθήσει. Ἡ μὲν γὰρ σοφίζεται καὶ παράγει τὸν νοῦν, οὐχ ὁποῖα τὰ ὑποκείμενά ἐστι δηλοῦσα, ἀλλ' ὁποῖα οὐκ ἔστιν· ἡ δὲ αἴσθησις ἀκραιφνῶς δίδωσι τὰ σώματα οὕτως, ὡς ἔχει φύσεως ἐκεῖνα, πλάσματος καὶ τέχνης ἐκτός.

§. 21. "Καὶ εἶπε κύριος ὁ θεὸς τῷ ὄφει, ὅτι ἐποίησας τοῦτο, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν

κτηνῶν, καὶ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς. Ἐπὶ 73
τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσῃ, καὶ γῆν φάγεσαι P.
πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. Καὶ ἔχθραν θήσω ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον τῆς γυναικὸς, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου καὶ τοῦ σπέρματος αὐτῆς. Αὐτός σου τηρήσει τὴν κεφαλὴν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν." *) Διὰ τίνα αἰτίαν χωρὶς ἀπολογίας καταρᾶται τῷ ὄφει, κελεύων ἐν ἑτέροις, "ἀκουσθῆναι τοὺς δύο οἷς ἐστιν ἡ ἀντιλογία," **) καὶ μὴ τῷ ἑτέρῳ προπιστεύειν; Καὶ μὴν ὁρᾷς ὅτι τῷ Ἀδὰμ οὐ προπεπίστευκε κατὰ τῆς γυναικὸς, ἀλλὰ δίδωσιν αὐτῇ ἀπολογίας ἀφορμὴν, ὅταν πυνθάνηται, "Τί τοῦτο ἐποίησας;" ***) Ἡ δέ γε ὁμολογεῖ πταῖσαι παρὰ τὴν τῆς ὀφιώδους καὶ ποικίλης ἡδονῆς ἀπάτην. Τί οὖν ἐκώλυε καὶ τῆς γυναικὸς εἰπούσης, ὅτι ὁ ὄφις ἠπάτησέ με, πυθέσθαι τοῦ ὄφεως εἰ οὕτως οὗτος ἠπάτησεν, ἀλλὰ μὴ ἀκρίτως χωρὶς ἀπολογίας καταρᾶσθαι; Λεκτέον οὖν, ὅτι ἡ αἴσθησις οὔτε τῶν φαύλων οὔτε τῶν σπουδαίων ἐστὶν, ἀλλὰ μέσον τι αὕτη καὶ κοινὸν σοφοῦ τε καὶ ἄφρονος. Καὶ γενομένη μὲν ἐν ἄφρονι, γίνεται φαύλη, ἐν ἀστείῳ δὲ, σπουδαία. Εἰκότως οὖν, ἐπειδὴ φύσιν ἐξ ἑαυτῆς μοχθηρὰν οὐκ ἔχει, ἀλλ' ἐπαμφοτερίζουσα νεύει πρὸς ἑκάτερα τό τε εὖ καὶ χεῖρον, οὐ καταδικάζεται πρὶν ὁμολογῆσαι ὅτι ἠκολούθησε τῷ χείρονι. Ὁ δὲ ὄφις, ἡ ἡδονὴ, ἐξ ἑαυτῆς ἐστι μοχθηρά. Διὰ τοῦτο ἐν μὲν σπουδαίῳ οὐχ εὑρίσκεται τὸ παράπαν, μόνος δὲ αὐτῆς ὁ φαῦλος ἀπολαύει. Κατὰ τὸ οἰκεῖον οὖν μὴ διδούσῃ ἀπολογίαν αὐτῇ καταρᾶται ὁ θεὸς, σπέρμα ἀρετῆς οὐκ ἐχούσῃ, ἀλλὰ ἀεὶ καὶ πανταχοῦ ἐπιλήπτῳ καὶ μιαρᾷ καθεστώσῃ.

---

*) Gen. 3, 14.

**) Deut. 19, 17.

***) Gen. 3, 13.

§. 22. Διὰ τοῦτο καὶ τὸν Ἢρ χωρὶς αἰτίας
περιφανοῦς "πονηρὸν οἶδεν ὁ θεὸς" *) καὶ ἀποκτεί-
νει. Τὸν γὰρ δερμάτινον ὄγκον ἡμῶν, τὸ σῶμα, —
Ἢρ γὰρ δερμάτινος ἑρμηνεύεται, — πονηρόν τε καὶ
ἐπίβουλον τῆς ψυχῆς οὐκ ἀγνοεῖ, καὶ νεκρὸν καὶ τε-
θνηκὸς ἀεί. Μὴ γὰρ ἄλλο τι ποιήσειε ἕκαστον ἡ-
101 μῶν ποιεῖν, ἢ νεκροφορεῖν, τὸ νεκρὸν ἐξ ἑαυτοῦ
M. σῶμα ἐγειρούσης καὶ ἀμοχθὶ φερούσης τῆς ψυχῆς;
Καὶ τὴν εὐτονίαν αὐτῆς, εἰ βούλει, κατανόησον. Ὁ
μὲν ἐῤῥωμενέστατος ἀθλητὴς οὐκ ἂν ἴσχυσε τὸν
ἑαυτοῦ πρὸς βραχὺν χρόνον ἀνδριάντα κομίσαι, ἡ
δὲ ψυχὴ μέχρις ἑκατονταετίας ἔστιν ὅτε τὸν τοῦ ἀν-
θρώπου φέρει κούφως ἀνδριάντα, μὴ κάμνουσα.
Οὐ γὰρ νῦν αὐτὸν ἀπέκτεινεν, ἀλλ᾽ ἐξ ἀρχῆς νεκρὸν
τὸ σῶμα ἀπειργάσατο. Πονηρὸν δὲ φύσει μέν, ὡς
εἶπον, ἐστὶ καὶ ψυχῆς ἐπίβουλον, οὐ φαίνεται δὲ
πᾶσιν, ἀλλὰ μόνῳ τῷ θεῷ, καὶ εἴ τις θεῷ φίλος.
"Ἐναντίον γάρ," φησί, "κυρίου πονηρὸς Ἢρ." Ὅ- 74
ταν γὰρ ὁ νοῦς μετεωροπολῇ καὶ τὰ τοῦ κυρίου P.
μυστήρια μυῆται, πονηρὸν καὶ δυσμενὲς κρίνει τὸ
σῶμα· ὅταν δὲ ἀποστῇ τῆς τῶν θείων ἐρεύνης, φί-
λον αὐτῷ καὶ συγγενὲς καὶ ἀδελφὸν ἡγεῖται. Κατα-
φεύγει γοῦν ἐπὶ τὰ φίλα τούτῳ. Διὰ τοῦτο ἀθλη-
τοῦ ψυχὴ καὶ φιλοσόφου διαφέρει. Ὁ μὲν γὰρ
ἀθλητὴς πάντα ἐπὶ τὴν τοῦ σώματος εὐεξίαν ἀνα-
φέρει, καὶ τὴν ψυχὴν αὐτὴν πρόοιτ᾽ ἂν ὑπὲρ αὐτοῦ,
ἅτε φιλοσώματος ὑπάρχων. Ὁ δὲ φιλόσοφος, ἐρα-
στὴς ὢν τοῦ καλοῦ, τοῦ ζῶντος ἐν ἑαυτῷ κήδεται,
ψυχῆς, τοῦ δὲ νεκροῦ ὄντος σώματος ἀλογεῖ, μόνον
στοχαζόμενος, ἵνα μὴ ὑπὸ κακοῦ καὶ νεκροῦ συνδέ-
του πλημμελῆται τὸ ἄριστον, ἡ ψυχή.

§. 23. Ὁρᾷς ὅτι τὸν Ἢρ ἀποκτείνει οὐχ ὁ κύ-
ριος, ἀλλ᾽ ὁ θεός; Οὐ γάρ, καθ᾽ ὃ ἄρχει καὶ ἡγε-
μονεύει δυναστείᾳ κράτους αὐτεξουσίᾳ χρώμενος,

*) Gen. 38, 7.

ἀναιρεῖ τὸ σῶμα, ἀλλὰ καθ᾽ ὃ ἀγαθότητι καὶ χρηστότητι χρῆται. Ὁ θεὸς γὰρ ἀγαθότητός ἐστι τοῦ αἰτίου ὄνομα, ἵνα εἰδῇς ὅτι καὶ τὰ ἄψυχα οὐκ ἐξουσίᾳ πεποίηκεν, ἀλλ᾽ ἀγαθότητι, ᾗ καὶ τὰ ἔμψυχα. Ἔδει γὰρ εἰς τὴν τῶν βελτιόνων δήλωσιν, γένεσιν ὑποστῆναι καὶ τῶν χειρόνων, ὑπὸ δυνάμεως τῆς αὐτῆς ἀγαθότητος τοῦ αἰτίου, ἥτις ἐστὶν ὁ θεός. Πότε οὖν, ὦ ψυχὴ, μάλιστα νεκροφορεῖν σαυτὴν ὑπολήψῃ; Ἀρά γε οὐχ ὅταν τελειωθῇς καὶ βραβείων καὶ στεφάνων ἀξιωθῇς; Ἔσῃ γὰρ τότε φιλόθεος, οὐ φιλοσώματος. Τεύξῃ δὲ τῶν ἄθλων, ἐὰν γυνή σου γένηται ἡ τοῦ Ἰούδα νύμφη Θάμαρ, ἥτις ἑρμηνεύεται φοῖνιξ, σύμβολον νίκης. Τεκμήριον δὲ, ὅταν αὐτὴν ἀγάγηται ὁ Εἴρ, εὐθὺς πονηρός τε εὑρίσκεται, καὶ κτείνεται. Λέγει γὰρ, "Καὶ ἔλαβεν Ἰούδας γυναῖκα Εἴρ, τῷ πρωτοτόκῳ αὐτοῦ, ᾗ ὄνομα Θάμαρ," καὶ εὐθὺς λέγει, "Καὶ ἐγένετο Εἴρ πονηρὸς ἔναντι κυρίου, καὶ ἀπέκτεινεν αὐτὸν ὁ θεός." Ὅταν γὰρ ὁ νοῦς τὰ ἀρετῆς ἀπενέγκηται νικητήρια, θάνατον καταψηφίσεται τοῦ νεκροῦ σώματος. Ὁρᾷς ὅτι καὶ τὸν ὄφιν ἄνευ ἀπολογίας καταρᾶται, ἡδονὴ γάρ ἐστι,
102 καὶ τὸν Εἴρ χωρὶς αἰτίας περιφανοῦς ἀποκτείνει,
M. ἔστι γὰρ σῶμα. Καὶ σκοπῶν, ὦ γενναῖε, εὑρήσεις τὸν θεὸν πεποιηκότα φύσεις ἐξ ἑαυτῶν ἐπιλήπτους τε καὶ ὑπαιτίους ἐν ψυχῇ, καὶ ἐν πᾶσι σπουδαίας καὶ ἐπαινετὰς, ὥςπερ ἔχει καὶ ἐπὶ φυτῶν καὶ ζώων. Οὐχ ὁρᾷς, ὅτι καὶ τῶν φυτῶν τὰ μὲν ἥμερα καὶ ὠφέλιμα καὶ σωτήρια κατεσκεύακεν ὁ δημιουργὸς, τὰ δὲ ἄγρια καὶ βλαβερὰ καὶ νόσων καὶ φθορᾶς αἴτια, καὶ ζῶα ὁμοίως; Καθάπερ ἀμέλει καὶ τὸν ὄφιν περὶ οὗ νῦν ἐστιν ὁ λόγος· φθοροποιὸν γὰρ τὸ ζῶον καὶ ἀναιρετικὸν ἐξ αὐτοῦ. Ὁ δὲ διατίθησιν ἄνθρωπον ὄφις, τοῦτο καὶ ψυχὴν ἡδονή. Παρ᾽ ὃ καὶ ἀπεικάσθη ὄφις ἡδονῇ.

§. 24. Ὥσπερ οὖν ἡδονὴν καὶ σῶμα ἄνευ με- 75
μίσηκεν αἰτιῶν ὁ θεὸς, οὕτω καὶ φύσεις ἀστείας P.

χωρὶς περιφανοῦς αἰτίας προαγήοχεν, ἔργον οὐδὲν προ τῶν ἐπαίνων αὐτῶν ὁμολογήσας. Εἰ γάρ τις ἔροιτο, διὰ τί φησι "τὸν Νῶε χάριν εὑρεῖν ἐναντίον κυρίου τοῦ θεοῦ," *) μηδὲν πρότερον ἐργασάμενον, ὅσα γε εἰς τὴν ἡμετέραν ἐπίγνωσιν, ἀστεῖον, ἀποκρινούμεθα δεόντως; ὅτι ἐπαινετῆς ἐλέγχεται συστάσεως καὶ γενέσεως. Ἑρμηνεύεται γὰρ Νῶε ἀνάπαυσις ἢ δίκαιος. Ἀνάγκη δὲ τὸν πανόμενον ἀδικημάτων καὶ ἁμαρτημάτων, ἀναπαυόμενον ἐπὶ τῷ καλῷ καὶ δικαιοσύνῃ συζῶντα, χάριν εὑρεῖν παρὰ θεῷ. Τὸ δὲ χάριν εὑρεῖν οὐκ ἔστι μόνον, ὡς ὀνομάζουσί τινες, ἴσον τῷ εὐαρεστῆσαι, ἀλλὰ καὶ τοιοῦτον. Ζητῶν ὁ δίκαιος τὴν τῶν ὄντων φύσιν ἓν τοῦτο εὑρίσκει ἄριστον εὕρεμα, χάριν ὄντα τοῦ θεοῦ τὰ σύμπαντα. Γενέσεως δὲ οὐδὲν χάρισμα, ὅτι γε οὐδὲ κτῆμα· διὸ καὶ μόνου τὴν χάριν οἰκεῖον. Τοῖς γοῦν ζητοῦσι, τίς ἀρχὴ γενέσεως, ὀρθότατα ἄν τις ἀποκρίναιτο ὅτι ἀγαθότης καὶ χάρις τοῦ θεοῦ, ἣν ἐχαρίσατο τῷ μετ' αὐτὸν γένει· δωρεὰ γὰρ καὶ εὐεργεσία καὶ χάρισμα θεοῦ τὰ πάντα ὅσα ἐν κόσμῳ καὶ αὐτὸς ὁ κόσμος ἐστί.

§. 25. Καὶ Μελχισεδὲκ βασιλέα τε τῆς εἰρήνης,
Σαλὴμ, τοῦτο γὰρ ἑρμηνεύεται, "ἱερέα ἑαυτοῦ πε-
103 ποίηκεν ὁ θεὸς," **) οὐδὲν ἔργον αὐτοῦ προδια-
M. τυπώσας, ἀλλὰ τοιοῦτον ἐργασάμενος βασιλέα καὶ
εἰρηναῖον, καὶ ἱερωσύνης ἄξιον τῆς ἑαυτοῦ πρῶτον.
Καλεῖται γὰρ βασιλεὺς δίκαιος, βασιλεὺς δὲ ἐχθρὸν
τυράννῳ, ὅτι ὁ μὲν νόμων, ὁ δὲ ἀνομίας ἐστὶν εἰς-
ηγητής. Ὁ μὲν οὖν τύραννος νοῦς ἐπιτάγματα ἐπι-
τάττει τῇ τε ψυχῇ καὶ τῷ σώματι βίαια καὶ βλα-
βερὰ, καὶ σφοδρὰς λύπας ἐργαζόμενα, τὰς κατὰ
κακίαν πράξεις, καὶ τὰς τῶν παθῶν ἀπολαύσεις. Ὁ
δὲ δεύτερος, βασιλεὺς, πρῶτον μὲν οὖν οὐκ ἐπιτάτ-

---

*) Gen. 6, 8.

**) Gen. 14, 18.

τει μᾶλλον ἢ πείθει, ἐπεὶ τὰ τοιαῦτα παραγγέλλει, δι' ὧν ὥςπερ σκάφος τὸ ζῶον εὐπλοίᾳ τῇ τοῦ βίου χρήσεται, κυβερνώμενον ὑπὸ τοῦ ἀγαθοῦ καὶ τεχνίτου καὶ κυβερνήτου, οὗτος δέ ἐστιν ὁ ὀρθὸς λόγος. Καλείσθω οὖν ὁ μὲν τύραννος ἄρχων πολέμου, ὁ δὲ βασιλεὺς ἡγεμὼν εἰρήνης, Σαλήμ. Καὶ προςφερέτω τῇ ψυχῇ τροφὰς εὐφροσύνης καὶ χαρᾶς πλήρεις. "Ἄρτους γὰρ καὶ οἶνον προςφέρει," ἅπερ Ἀμμανῖται καὶ Μωαβῖται τῷ βλέποντι παρασχεῖν οὐκ ἠθέλησαν· οὗ χάριν "ἐκκλησίας εἴργονται καὶ συλλόγου θείου." *) Ἀμμανῖται γὰρ οἱ ἐκ τῆς μητρὸς αἰσθήσεως, καὶ Μωαβῖται οἱ ἐκ τοῦ πατρὸς νοῦ φύν-
τες, τρόποι δύο, ταῦτα τῶν ὄντων συνεκτικὰ νομί- 76
ζοντες, νοῦν καὶ αἴσθησιν, θεοῦ δὲ μὴ λαμβάνον- P.
τες ἔννοιαν. "Οὐκ εἰςελεύσονται, φησὶ Μωϋσῆς, εἰς ἐκκλησίαν κυρίου, παρὰ τὸ μὴ συναντῆσαι αὐτοὺς ὑμῖν μετ' ἄρτων καὶ ὕδατος, ἐξιοῦσιν" — ἐκ τῶν παθῶν — "Αἰγύπτου."

§. 26. Ἀλλ' ὁ μὲν Μελχισεδὲκ ἀντὶ ὕδατος οἶνον προςφερέτω, καὶ ποτιζέτω καὶ ἀκρατιζέτω ψυχάς, ἵνα κατάσχετοι γένωνται θείᾳ μέθῃ, νηφαλεωτέρᾳ νήψεως αὐτῆς· ἱερεὺς γάρ ἐστι λόγος, κλῆρον ἔχων τὸν ὄντα, καὶ ὑψηλῶς περὶ αὐτοῦ καὶ ὑπερόγκως καὶ μεγαλοπρεπῶς λογιζόμενος. "Θεοῦ γὰρ τοῦ ὑψίστου ἐστὶν ἱερεύς," **) οὐχ ὅτι ἐστί τις ἄλλος οὐχ ὕψιστος, ὁ γὰρ θεός, εἷς ὤν, "ἐν τῷ οὐρανῷ ἄνω ἐστὶ, καὶ ἐπὶ γῆς κάτω, καὶ οὐκ ἔστιν ἔτι πλὴν αὐτοῦ·" ***) ἀλλὰ τῷ μὴ ταπεινῶς καὶ χαμαιζήλως, ὑπερμεγέθως δὲ καὶ ὑπεραΰλως καὶ ὑψηλῶς νοεῖν περὶ θεοῦ ἔμφασιν τοῦ ὑψίστου κινεῖ.

§. 27. Τί δὲ εἰργάσατο ἤδη καλὸν ὁ Ἀβραμ, ὅτι κελεύει αὐτῷ "πατρίδος καὶ τῆς γενεᾶς ταύτης

---

*) Deut. 23, 3.

**) Gen. 14, 18.

***) Deut. 4, 39.

ξενοῦσθαι, καὶ γῆν οἰκεῖν, ἣν αὐτὸς δῷ ὁ θεός;" *) Πόλις δέ ἐστιν ἀγαθὴ καὶ πολλὴ καὶ σφόδρα εὐδαίμων· τὰ γὰρ δῶρα τοῦ θεοῦ μεγάλα καὶ τίμια. Ἀλλὰ καὶ τοῦτον τὸν τρόπον ἐγέννησε τύπον ἔχοντα σπουδῆς ἄξιον. Ἑρμηνεύεται γὰρ Ἄβραμ "πατὴρ
104 μετέωρος," δι' ἀμφοτέρων τῶν ὀνομάτων ἐπαινε-
M. τός. Ὁ γὰρ νοῦς ὅταν μὴ δεσπότου τρόπον ἀπειλῇ τῇ ψυχῇ, ἀλλ' ὡς πατὴρ ἀρχῇ, μὴ τὰ ἡδέα χαριζόμενος αὐτῇ, τὰ δὲ συμφέροντα καὶ ἀκούσῃ διδοὺς, καὶ ἔτι πάντων ταπεινῶν καὶ ἀγόντων ἐπὶ τὰ θνητὰ ἀποστὰς, μετεωροπολῇ καὶ συνδιατρίβῃ θεωρήμασι τοῖς περὶ κόσμου καὶ τῶν μερῶν αὐτοῦ. Καὶ ἔτι μᾶλλον ἐπανιὼν ἐρευνᾷ τὸ θεῖον καὶ τὴν τούτου φύσιν, δι' ἔρωτα ἐπιστήμης ἄλεκτον, μένειν ἐπὶ τῶν ἐξ ἀρχῆς δογμάτων οὐ δύναται, ἀλλὰ μετοικίαν ζητεῖ βελτιούμενος ἀμείνω.

§. 28. Ἐνίους δὲ ὁ θεὸς καὶ πρὸ τῆς γενέσεως καλῶς διαπλάττει καὶ διατίθεται, καὶ κλῆρον ἔχειν ἄριστον προῄρηται. Οὐχ ὁρᾷς τί περὶ τοῦ Ἰσαὰκ φησι τῷ Ἀβραὰμ οὐκ ἐλπίσαντι, ὅτι γεννήσεται τοιούτου γεννήματος πατὴρ, ἀλλὰ καὶ γελάσαντι ἐπὶ τῇ ὑποσχέσει, καὶ εἰπόντι, "Εἰ τῷ ἑκατονταετεῖ γενήσεται, καὶ Σάῤῥα ἐννενήκοντα ἐτῶν οὖσα τέξεται;" **) Καταφάσκει καὶ ἐπινεύει λέγων, "Ναὶ, ἰδοὺ Σάῤῥα ἡ γυνή σου τέξεταί σοι υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσαὰκ, καὶ στήσω τὴν διαθήκην μου πρὸς αὐτὸν εἰς διαθήκην αἰώνιον." Τί οὖν ἐστι τὸ καὶ τοῦτον πρὸ τῆς γενέσεως ἐπαινεῖσθαι πεποιηκός; Ἔνια τῶν ἀγαθῶν γενόμενα καὶ παρόντα ὠφελεῖ, οἷον, ὑγίεια, εὐαισθησία, πλοῦτος εἰ τύχοι, δόξα, — λεγέσθω γὰρ καὶ ταῦτα κατα- 77
χρηστικώτερον ἀγαθά· — ἔνια δὲ οὐ γενόμενα μό- P.
νον, ἀλλὰ θεσπισθέντα ὅτι γενήσεται, ὥςπερ ἡ χαρὰ

*) Gen. 12, 1.

**) Gen. 17, 17 sqq.

εὐπάθεια τῆς ψυχῆς ἐστιν· ἥδε γὰρ οὐχ, ὅταν παροῦσα δραστηρίως ἐνεργῇ, μόνον εὐφραίνει, ἀλλὰ καὶ ὅταν ἐλπίζηται, προγανοῖ. Ἐξαίρετον γὰρ καὶ τοῦτ᾽ ἔχει. Τὰ μὲν ἄλλα ἀγαθὰ ἴδια ἐνεργεῖ, ἡ δὲ χαρὰ καὶ ἴδιον καὶ κοινὸν ἀγαθόν ἐστιν· ἐπιγίνεται γοῦν ἅπασι. Χαίρομεν γὰρ καὶ ἐπὶ ὑγιείᾳ, καὶ ἐπ᾽ ἐλευθερίᾳ καὶ ἐπὶ τιμῇ, καὶ ἐπὶ τοῖς ἄλλοις, ὥςτε κυρίως εἰπεῖν, μηδὲν εἶναι ἀγαθὸν, ᾧ μὴ πρόςεστι χαρά. Ἀλλ᾽ οὐ μόνον ἐπὶ προγεγενημένοις ἤδη τοῖς ἄλλοις ἀγαθοῖς καὶ παροῦσι χαίρομεν, ἀλλὰ καὶ ἐπὶ μέλλουσι καὶ προςδοκωμένοις, οἷον, ὅτε ἐλπίζομεν πλουτήσειν, ἢ ἄρξειν, ἢ ἐπαινεθήσεσθαι, ἢ νόσων ἀπαλλαγὴν εὑρήσεσθαι, ἢ εὐτονίας καὶ ῥώμης κοινωνήσειν, ἢ ἐπιστήμονες ἀντ᾽ ἀνεπιστημόνων ἔσεσθαι, γεγήθαμεν οὐ μετρίως. Ἐπειδὴ τοίνυν ἡ χαρὰ οὐ παροῦσα μόνον, ἀλλὰ καὶ ἐλπιζομένη ἀναχεῖ τε καὶ εὐφραίνει τὴν ψυχὴν, εἰκότως τὸν Ἰσαὰκ, πρὶν γεννηθῆναι, ὀνόματός τε καὶ δωρεᾶς μεγάλης ἠξίωσε· γέλως γὰρ ψυχῆς καὶ χαρὰ καὶ εὐφροσύνη διερμηνεύεται οὗτος.

§. 29. Πάλιν δὲ τὸν Ἰακὼβ καὶ τὸν Ἡσαῦ,
τὸν μὲν ἄρχοντα καὶ ἡγεμόνα καὶ δεσπότην, τὸν δὲ
105 Ἡσαῦ ὑπήκοον καὶ δοῦλον, ἔτι κατὰ γαστρὸς ὄν-
M. τας φησὶν εἶναι. Ὁ γὰρ ζωοπλάστης θεὸς ἐπίστα-
ται τὰ ἑαυτοῦ καλῶς δημιουργήματα, καὶ πρὶν αὐ-
τὰ εἰς ἄκρον διατορεῦσαι, τάς τε δυνάμεις, αἷς αὖ-
θις χρήσονται, καὶ συνόλως τὰ ἔργα τούτων καὶ
πάθη. Ἐπειδὴ γὰρ πορεύεται, ἡ ὑπομονητικὴ ψυ-
χὴ, Ῥεβέκκα πυθέσθαι παρὰ θεοῦ, ἀποκρίνεται αὐ-
τῇ, ὅτι "Δύο ἔθνη ἐν τῇ γαστρί σού ἐστι, καὶ δύο
λαοὶ ἐκ τῆς κοιλίας σοῦ διασταλήσονται, καὶ λαὸς
λαοῦ ὑπερέξει, καὶ ὁ μείζων δουλεύσει τῷ ἐλάσ-
σονι." *) Φύσει γὰρ δοῦλον παρὰ θεῷ τὸ φαῦλον
καὶ ἄλογον, ἡγεμονικὸν δὲ καὶ ἐλεύθερον, τὸ ἀστεῖον

*) Gen. 25, 23.

καὶ λογικὸν καὶ ἄμεινον· καὶ οὐχ ὅταν ἤδη γένηται ἐν τῇ ψυχῇ τέλειον ἑκάτερον, ἀλλὰ κἂν ἐνδοιάζηται. Ὅλως γὰρ καὶ μικρά τις αὔρα τῆς ἀρετῆς ἀρχὴν καὶ ἡγεμονίαν, οὐκ ἐλευθερίαν μόνον, ἐμφαίνει· καὶ ἔμπαλιν ἡ τυχοῦσης κακίας γένεσις δουλοῖ τὸν λογισμὸν, κἂν μήπω τέλειον αὐτῆς ἐμφοιτήσῃ τὸ γέννημα.

§. 30. Τί δὲ παθὼν ὁ αὐτὸς οὗτος Ἰακὼβ, τοῦ Ἰωσὴφ τοὺς δύο υἱοὺς προςαγαγόντος τὸν πρεσβύτερον Μανασσῆν καὶ τὸν νεώτερον Ἐφραΐμ, ἐναλλάττει τὰς χεῖρας, καὶ τὴν μὲν δεξιὰν ἐπιτίθησι τῷ νεωτέρῳ, Ἐφραΐμ, τὴν δὲ εὐώνυμον τῷ πρεσβυτέρῳ, Μανασσῇ· καὶ βαρὺ τὸ πρᾶγμα ἡγησαμένου τοῦ Ἰωσὴφ καὶ οἰηθέντος τὸν πατέρα ἄκοντα σφαλῆναι περὶ τὴν τῶν 78
χειρῶν ἐπίθεσιν, φησὶν, "Οὐ διήμαρτον, ἀλλ' οἶδα, P.
τέκνον, οἶδα καὶ οὗτος ἔσται εἰς λαὸν, καὶ οὗτος ὑψωθήσεται· ἀλλ' ὁ ἀδελφὸς αὐτοῦ ὁ νεώτερος, μείζων αὐτοῦ ἔσται;" *) Τί οὖν χρὴ λέγειν, ἢ τοῦτο; Ὅτι δύο φύσεις ἐδημιουργήθησαν ἐν ψυχῇ ὑπὸ θεοῦ σφόδρα ἀναγκαῖαι, μνήμη τε καὶ ἀνάμνησις· ἀμείνων μὲν μνήμη, χείρων δὲ ἡ ἀνάμνησις. Ἡ μὲν γὰρ ἐναύλους ἔχει καὶ ἐναργεῖς τὰς καταλήψεις, ὡς μηδὲ ἀγνοίᾳ διαμαρτεῖν. Ἀναμνήσεως δὲ λήθη πάντως προηγεῖται, πηρὸν καὶ τυφλὸν πρᾶγμα. Πρεσβύτερον δὲ τὸ χεῖρον, ἡ ἀνάμνησις, εὑρίσκεται μνήμης, τοῦ κρείττονος, συνεχὲς καὶ ἀδιάστατον. Οἱ γὰρ πρῶτον εἰς τὰς τέχνας εἰςαγόμενοι, περικρατῆσαι τῶν εἰς αὐτὰς θεωρημάτων ἀδυνατοῦμεν εὐθύς. Λήθῃ οὖν κατ' ἀρχὰς χρώμενοι, πάλιν ἀναμιμνησκόμεθα, ἕως ἐκ τοῦ πολλάκις μὲν ἐκλαθέσθαι, πολλάκις δὲ ἀναμνησθῆναι, βέβαιον αὖθις μνήμη κρατήσῃ. Παρ' ὃ καὶ νεωτέρα, ὀψίγονος γάρ ἐστι, συνίσταται τῆς ἀναμνήσεως. Συμβολικῶς οὖν ὁ μὲν Ἐφραΐμ λέγεται μνήμη. Καρποφορία γὰρ ἑρμηνεύε-

*) Gen. 48, 1 sqq.

ται τῆς τοῦ φιλομαθοῦς ψυχῆς τὸν οἰκεῖον ἐνηνο-
106 χυίας, ὁπότε διὰ μνήμης ἔχοι βεβαιοῦν τὰ θεωρή-
M. ματα. Ὁ δὲ Μανασσῆς, ἀνάμνησις· μεταληφθεὶς
γὰρ ἐκ λήθης εἶναι λέγεται. Ὁ δὲ λήθην ἐκφεύγων
ἀναμιμνήσκεται πάντως. Ὀρθότατα οὖν ὁ πτερνι-
στὴς τῶν παθῶν καὶ ἀσκητὴς ἀρετῆς Ἰακὼβ δεξιοῦ-
ται τὴν καρποφόρον μνήμην, Ἐφραΐμ, δευτερείων
δὲ ἀξιοῖ τὴν ἀνάμνησιν, Μανασσῆν. Καὶ Μωϋσῆς
μὲν τῶν θυόντων τὸ Φασὲκ τοὺς μὲν πρότερον θύ-
σαντας μάλιστα ἐπαινεῖ, ὅτι διαβάντες ἀπὸ τῶν πα-
θῶν, Αἰγύπτου, ἐπέμειναν τῇ διαβάσει, καὶ οὐχ
ὥρμησαν ἔτι ἐπ' αὐτά· τοὺς δὲ τὸ δεύτερον δευτε-
ρείων ἀξιοῖ. Τραπέντες γὰρ ἀνέδραμον τὴν τροπήν,
καὶ ὥσπερ ἐπιλαθόμενοι τῶν πρακτέων, πάλιν ἐπὶ
τὸ πράττειν ὥρμησαν αὐτά, οἱ δὲ πρότεροι ἄτρεπτοι
διετέλεσαν. Ἔοικεν οὖν τοῖς μὲν τὸ δεύτερον πάσχα
θύουσιν, ὁ ἐκ λήθης Μανασσῆς· τοῖς δὲ τὸ πρότε-
ρον, ὁ καρποφόρος Ἐφραΐμ.

§. 31. Ὅθεν καὶ Βεσελεὴλ ἀνακαλεῖ ὁ θεὸς ἐξ
ὀνόματος, καί φησιν "αὐτῷ δωρήσεσθαι σοφίαν καὶ
ἐπιστήμην, καὶ δημιουργὸν αὐτὸν καὶ ἀρχιτέκτονα
πάντων τῶν τῆς σκηνῆς," *) τουτέστι τῶν τῆς ψυ-
χῆς ἔργων, ἀποδεῖξειν, μηδὲν ἔργον ὃ καὶ ἂν ἐπαι-
νέσειέ τις, προϋποδείξας αὐτοῦ. Λεκτέον οὖν, ὅτι
καὶ τοῦτο τὸ σχῆμα τῇ ψυχῇ ἐντετύπωκεν ὁ θεός,
νομίσματος δοκίμου τρόπον. Τίς οὖν ἐστιν ὁ χαρα-
κτήρ, εἰσόμεθα, ἐὰν τὴν ἑρμηνείαν πρὸ τοῦ ὀνόμα-
τος ἀκριβώσωμεν. Ἑρμηνεύεται οὖν Βεσελεήλ, ἐν 79
σκιᾷ ὁ θεός. Σκιὰ θεοῦ δὲ ὁ λόγος αὐτοῦ ἐστιν, P.
ᾧ καθάπερ ὀργάνῳ προσχρησάμενος ἐκοσμοποίει.
Αὕτη δὲ ἡ σκιὰ καὶ τὸ ὡσανεὶ ἀπεικόνισμα ἑτέρων
ἐστὶν ἀρχέτυπον. Ὥσπερ γὰρ ὁ θεὸς παράδειγμα τῆς
εἰκόνος, ἣν σκιὰν νυνὶ κέκληκεν, οὕτως ἡ εἰκὼν ἄλ-
λων γίνεται παράδειγμα, ὡς καὶ ἐναρχόμενος τῆς

*) Exod. 31, 2.

νομοθεσίας ἐδήλωσεν, εἰπὼν, „Καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον κατ᾽ εἰκόνα θεοῦ," *) ὡς τῆς μὲν εἰκόνος κατὰ τὸν θεὸν ἀπεικονισθείσης, τοῦ δὲ ἀν-
107 θρώπου κατὰ τὴν εἰκόνα, λαβοῦσαν δύναμιν πα-
M. ραδείγματος.

§. 32. Τίς οὖν ὁ ἐπιγινόμενος χαρακτὴρ, θεασώμεθα. Ἐζήτησαν οἱ πρῶτοι, πῶς ἐνοήσαμεν τὸ θεῖον. Εἶθ᾽ οἱ δοκοῦντες ἄριστα φιλοσοφεῖν ἔφασαν, ὅτι ἀπὸ τοῦ κόσμου καὶ τῶν μερῶν αὐτοῦ καὶ τῶν ἐνυπαρχουσῶν τούτοις δυνάμεων ἀντίληψιν ἐποιησάμεθα τοῦ αἰτίου. Ὥςπερ γὰρ εἴ τις ἴδοι δεδημιουργημένην οἰκίαν ἐπιμελῶς, προπυλαίοις, στοαῖς, ἀνδρῶσι, γυναικωνίτισι, τοῖς ἄλλοις οἰκοδομήμασιν, ἔννοιαν λήψεται τοῦ τεχνίτου, — οὐ γὰρ ἄνευ τέχνης καὶ δημιουργοῦ νομιεῖ τὴν οἰκίαν ἀποτελεσθῆναι, τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ πόλεως, καὶ νεὼς, καὶ παντὸς ἐλάττονος ἢ μείζονος κατασκευάσματος· — οὕτω δὴ καὶ εἰςελθών τις ὥςπερ εἰς μεγίστην οἰκίαν ἢ πόλιν τόνδε τὸν κόσμον, καὶ θεασάμενος οὐρανὸν ἐν κύκλῳ περιπολοῦντα, καὶ πάντα ἐντὸς συνειληφότα, πλανήτας δὲ καὶ ἀπλανεῖς ἀστέρας κατὰ ταὐτὰ καὶ ὡςαύτως κινουμένους, ἐμμελῶς τε καὶ ἐναρμονίως, καὶ τῷ παντὶ ὠφελίμως, γῆν δὲ τὸν μεσαίτατον χῶρον λαχοῦσαν, ὕδατός τε καὶ ἀέρος χύσεις ἐν μεθορίῳ τεταγμένας, ἔτι δὲ ζῶα θνητά τε αὖ καὶ ἀθάνατα, καὶ φυτῶν καὶ καρπῶν διαφορὰς, λογιεῖται δήπου, ὅτι ταῦτα οὐκ ἄνευ τέχνης παντελοῦς δεδημιούργηται, ἀλλὰ καὶ ἦν καὶ ἔστιν ὁ τοῦδε τοῦ παντὸς δημιουργὸς ὁ θεός. Οἱ δὴ οὕτως ἐπιλογιζόμενοι, διὰ σκιᾶς τὸν θεὸν καταλαμβάνουσι, διὰ τῶν ἔργων τὸν τεχνίτην κατανοοῦντες.

§. 33. Ἔστι δέ τις τελεώτερος καὶ μᾶλλον κεκαθαρμένος νοῦς, τὰ μεγάλα μυστήρια μυηθεὶς, ὅςτις οὐκ ἀπὸ τῶν γεγονότων τὸ αἴτιον γνωρίζει, ὡς ἂν

---

*) Gen. 1, 26.

ἀπὸ σκιᾶς τὸ μένον· ἀλλ' ὑπερκύψας τὸ γεννητὸν, ἔμφασιν ἐναργῆ τοῦ ἀγεννήτου λαμβάνει, ὡς ἀπ' αὐτοῦ αὐτὸν καταλαμβάνειν, καὶ τὴν σκιὰν αὐτοῦ, ὅπερ ἦν, τόν τε λόγον, καὶ τόνδε τὸν κόσμον. Οὗτός ἐστι Μωϋσῆς, ὁ λέγων, "Ἐμφάνισόν μοι σαυτὸν, γνωστῶς ἴδω σε," *) μὴ γὰρ ἐμφανισθείης μοι δι' οὐρανοῦ ἢ γῆς ἢ ὕδατος ἢ ἀέρος ἤ τινος ἁπλῶς τῶν ἐν γενέσει, μηδὲ κατοπτρισαίμην ἐν ἄλλῳ τινὶ τὴν σὴν ἰδέαν, ἢ ἐν σοὶ τῷ θεῷ. Αἱ γὰρ ἐν γεννητοῖς ἐμφάσεις διαλύονται· αἱ δὲ ἐν τῷ ἀγεννήτῳ, 80
μόνιμοι καὶ βέβαιοι καὶ ἀΐδιοι διατελοῖεν. Διὰ τοῦτο P.
"Μωϋσῆν ἀνακέκληκε, καὶ ἐλάλησεν αὐτῷ ὁ θεός." **) Καὶ Βεσελεὴλ ἀνακέκληκεν, ἀλλ' οὐχ ὁμοίως, ἀλλὰ τὸν μὲν, τὴν ἔμφασιν τοῦ θεοῦ λαμβάνοντα ἀπ' αὐτοῦ τοῦ αἰτίου, τὸν δὲ, ὥςπερ ἀπὸ σκιᾶς τῶν γενομένων, τὸν τεχνίτην ἐξ ἐπιλογισμοῦ κατανοοῦντα. Διὰ τοῦθ' εὑρήσεις τὴν σκηνὴν καὶ τὰ σκεύη πάντα αὐτῆς, πρότερον μὲν ὑπὸ Μωϋσέως, αὖθις δ' ὑπὸ
108 Βεσελεὴλ κατασκευαζόμενα. Μωϋσῆς μὲν γὰρ τὰ
M. ἀρχέτυπα τεχνιτεύει, Βεσελεὴλ δὲ τὰ τούτων μιμήματα. Χρῆται μὲν γὰρ Μωϋσῆς ὑφηγητῇ τῷ θεῷ, ὥς φησι, "Κατὰ τὸ παράδειγμα τὸ δεδειγμένον σοι ἐν τῷ ὄρει πάντα ποιήσεις," ***) Βεσελεὴλ δὲ Μωϋσεῖ. Καὶ εἰκότως. Καὶ γὰρ ὅ τε Ἀαρὼν, ὁ λόγος, καὶ Μαριὰμ, ἡ αἴσθησις, ἐπανίσταται ῥητῶς τοῖς ἀκούουσιν, ὅτι "Ἐὰν γένηται προφήτης κυρίῳ, ἐν ὁράματι αὐτῷ γνωσθήσεται καὶ ἐν σκιᾷ ὁ θεὸς, οὐκ ἐναργῶς. Μωϋσεῖ δὲ, ὅςτις πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ, στόμα κατὰ στόμα λαλήσει ἐν εἴδει, καὶ οὐ δι' αἰνιγμάτων." ****)

---

*) Exod. 33, 13.
**) Exod. 35, 30.
***) Exod. 25, 40.
****) Num. 12, 6.

§. 34. Ἐπειδὴ τοίνυν δύο φύσεις εὕρομεν γενομένας, καὶ πλαττομένας, καὶ ἄκρως τετορευμένας ὑπὸ θεοῦ, τὴν μὲν ἐξ ἑαυτῆς βλαβερὰν καὶ ἐπίληπτον καὶ κατάρατον, τὴν δὲ ὠφέλιμον καὶ ἐπαινετὴν καὶ ἔχουσαν τὴν μὲν κίβδηλον, τὴν δὲ δόκιμον χαρακτῆρα· καλὴν καὶ ἁρμόττουσαν εὐχὴν εὐξόμεθα, ἣν καὶ Μωϋσῆς, "ἵν' ἡμῖν ὁ θεὸς ἀνοίξῃ τὸν ἑαυτοῦ θησαυρὸν" καὶ τὸν μετάρσιον καὶ ἐγκύμονα θείων φώτων λόγον, ὃν δὴ κέκληκεν οὐρανὸν, "τοὺς δὲ τῶν κακῶν ἐπισφίγξῃ." Εἰσὶ γὰρ ὥςπερ ἀγαθῶν, οὕτω καὶ κακῶν παρὰ τῷ θεῷ θησαυροὶ, ὡς ἐν μεγάλῃ φησὶν ᾠδῇ, "Οὐκ ἰδοῦ ταῦτα συνῆκται παρ' ἐμοὶ, καὶ ἐσφράγισται ἐν τοῖς θησαυροῖς μου, ἐν ἡμέρᾳ ἐκδικήσεως, ὅταν σφαλῇ ὁ πους αὐτῶν;" *) Ὁρᾷς ὅτι κακῶν εἰσι θησαυροὶ, καὶ ὁ μὲν τῶν ἀγαθῶν εἷς. Ἐπὰν γὰρ ὁ θεὸς εἷς, καὶ ἀγαθῶν θησαυρός· πολλοὶ δὲ τῶν κακῶν, ὅτι καὶ οἱ ἁμαρτάνοντες ἄπειροι τὸ πλῆθος. Ἀλλὰ καὶ ἐν τούτῳ σκόπει τὴν τοῦ ὄντος ἀγαθότητα· τὸν μὲν τῶν ἀγαθῶν θησαυρὸν ἀνοίγει, τοὺς δὲ τῶν κακῶν ἐπισφίγγει. Θεοῦ γὰρ ἴδιον, τὰ μὲν ἀγαθὰ προτείνειν καὶ φθάνειν δωρούμενον, τὰ δὲ κακὰ μὴ ῥᾳδίως ἐπάγειν. Μωϋσῆς δὲ καὶ ἐπιτείνων τὸ τοῦ θεοῦ φιλόδωρον καὶ χαριστικὸν, οὐ μόνον ἐν τῷ ἄλλῳ χρόνῳ φησὶ τοὺς θησαυροὺς τῶν κακῶν ἐσφραγίσθαι, ἀλλὰ καὶ ὅταν ἡ ψυχὴ σφαλῇ κατὰ τὴν βάσιν τοῦ ὀρθοῦ λόγου, ὁπότε καὶ ἄξιον ἦν αὐτὴν δίκης ἀξιοῦσθαι· "ἐν ἡμέρᾳ γὰρ," φησὶν, "ἐκδικήσεως ἐσφραγίσθαι τοὺς τῶν κακῶν θησαυροὺς," δεικνύντος τοῦ ἱεροῦ λόγου,
ὅτι οὐδὲ τοῖς ἁμαρτάνουσιν εὐθὺς ἐπέξεισιν ὁ θεὸς, 81
ἀλλὰ δίδωσι χρόνον εἰς μετάνοιαν, καὶ τὴν τοῦ σφάλ- P.
ματος ἴασιν καὶ ἐπανόρθωσιν.

§. 35. "Καὶ εἶπε κύριος ὁ θεὸς τῷ ὄφει, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν, καὶ ἀπὸ

*) Deut. 32, 34 sqq.

πάντων τῶν θηρίων τῆς γῆς." Ὥςπερ ἡ χαρὰ εὐπάθεια οὖσα, εὐχῆς ἐστιν ἐπαξία, οὕτω κατάρας ἡδονὴ, τὸ πάθος, ἡ μεταθεῖσα, τοὺς ὅρους τῆς ψυχῆς, καὶ κατασκευάσασα αὐτὴν ἀντὶ φιλα-
109 ρέτου φιλοπαθῆ. Φησὶ δὲ Μωϋσῆς ἐν ταῖς ἀραῖς,
M. "ἐπικατάρατον εἶναι τὸν μετατιθέντα τὰ ὅρια τοῦ πλησίον," *) ὅρον γὰρ ἔθηκε καὶ νόμον ὁ θεὸς τὴν ἀρετὴν τῇ ψυχῇ, τὸ τῆς ζωῆς ξύλον. Τοῦτον δὲ μετατέθεικεν, πήξας ὅρον κακίαν, ξύλον θανάτου. "Ἐπικατάρατος μέντοι καὶ ὁ πλανῶν τυφλὸν ἐν ὁδῷ." Καὶ ταῦτα δὲ ἐργάζεται ἡ ἀθεωτάτη ἡδονή. Τυφλὸν γὰρ φύσει ἡ αἴσθησις, ἅτε ἄλογος οὖσα, ἐπεὶ τὸ λογικὸν ἐξομματοῦται. Παρ᾽ ὃ καὶ μόνῳ τούτῳ τὰ πράγματα καταλαμβάνομεν, αἰσθήσει δὲ οὐκέτι· μόνα γὰρ τὰ σώματα φαντασιούμεθα δι᾽ αἰσθήσεως. Τὴν οὖν πηρὰν αἴσθησιν τῆς τῶν πραγμάτων ἀντιλήψεως ἐξηπάτηκεν, εἴ γε δυναμένην ἐπὶ νοῦν τρέπεσθαι καὶ ἡνιοχεῖσθαι ὑπ᾽ αὐτοῦ κεκώλυκεν, ἐπὶ τὸ ἐκτὸς αἰσθητὸν ἀγαγοῦσα, καὶ λίχνον αὐτὴν ἀπεργασαμένη τοῦ ἑαυτῆς ποιητικοῦ· ἵνα ἡ μὲν αἴσθησις πηρὸς οὖσα, ἀκολουθῇ τυφλῷ ποδηγῷ, τῷ αἰσθητῷ, ὁ δὲ νοῦς ὑπ᾽ ἀμφοτέρων ποδηγετούμενος οὐ βλεπόντων, ἐκτραχηλίζηται καὶ ἀκρατὴς ἑαυτοῦ γίνηται. Εἰ γάρ τις ἦν τοῦ κατὰ φύσιν ἀκολουθία, τῷ βλέποντι λογισμῷ τὰ πηρὰ ἐχρῆν ἕπεσθαι, οὕτω γὰρ ἂν τὰ βλαβερὰ ἐπεκουφίζετο. Νυνὶ δὲ τοσοῦτον ἔστησε μηχάνημα κατὰ τῆς ψυχῆς, ὥςτε ἡγεμόσιν αὐτὴν χρῆσθαι τυφλοῖς ἠνάγκασε, παρακρουσαμένη καὶ ἀναπείσασα κακῶν ἀρετὴν ἀλλάξαι, καὶ ἀντιδοῦναι πονηρῶν κακίαν.

§. 36. Ἀπείρηκε δὲ καὶ τὴν τοιαύτην ἀντιδοσίαν ὁ ἱερὸς λόγος, ὅταν φησὶν, "Οὐκ ἀλλάξεις καλὸν πονηρῷ." **) Ἐπικατάρατος δὴ διὰ ταῦθ᾽ ἡ

*) Deut. 27, 17.

**) Lev. 27, 33.

ἡδονή. Ἃ δὲ καταρᾶται αὐτῇ, ἴδωμεν ὡς προςφυᾶ. "Ἀπὸ πάντων," φησὶ, "τῶν κτηνῶν ἐπάρατον εἶναι." *) Οὐκοῦν κτηνῶδες μέν ἐστι τὸ ἄλογον καὶ αἰσθητικόν. Ἑκάστη δὲ αἴσθησις ἡδονῇ καταρᾶται, ὡς πολεμιωτάτῃ καὶ ἐχθίστῃ. Καὶ γάρ ἐστι τῷ ὄντι πολέμιος αἰσθήσει. Τεκμήριον δὲ, ὅταν ἡδονῆς ἀμέτρου κορεσθῶμεν, οὔθ' ὁρᾶν οὔτ' ἀκούειν οὔτ' ὀσφραίνεσθαι οὔτε γεύεσθαι οὔθ' ἅπτεσθαι εἰλικρινῶς δυνάμεθα, ἀλλ' ἀμυδρὰς καὶ ἀσθενεῖς ποιούμεθα τὰς προςβολάς. Καὶ τοῦτο μὲν, ὅταν ἐπίσχωμεν τὴν χρῆσιν αὐτῆς, πάσχομεν· ἐν αὐταῖς δ' ὄντες ταῖς τῆς ἡδονῆς ἀπολαύσεσι, κατὰ τὸ παντελὲς καὶ
τὴν διὰ τῶν ἐνεργουσῶν αἰσθήσεων ἀντίληψιν ἀφαι- 82
ρούμεθα, ὡς δοκεῖν πεπηρῶσθαι. Πῶς οὖν οὐκ P.
ἂν εἰκότως ἀρὰς θεῖτο αἴσθησις τῇ πηρούσῃ αὐτὴν ἡδονῇ;

110 §. 37. "Ἐπικατάρατος δέ ἐστι καὶ παρὰ πάν-
M. τα τὰ θηρία," λέγω δὴ τὰ πάθη τῆς ψυχῆς· τούτοις γὰρ νοῦς τιτρώσκεται καὶ διαφθείρεται. Διὰ τί οὖν καὶ τῶν ἄλλων παθῶν χείρων εἶναι δοκεῖ; Ὅτι σχεδὸν ὑποβέβληται πᾶσιν, ὥςπερ τις ἀρχὴ καὶ θεμέλιος. Ἥ τε γὰρ ἐπιθυμία γέγονε δι' ἔρωτος ἡδονῆς, ἥ τε λύπη συνίσταται κατὰ τὴν ταύτης ἀφαίρεσιν· φόβος τε αὖ γεννᾶται δι' εὐλάβειαν ἀπουσίας αὐτῆς. Ὥςτε δῆλον εἶναι, ὅτι πάντα ἐφορμεῖ τὰ πάθη ἡδονῇ· καὶ οὐδ' ἂν συνέστη τὸ παράπαν ἴσως ἐκεῖνα, εἰ μὴ προκατεβλήθη τὸ οἰστικὸν αὐτῶν, ἡδονή.

§. 38. "Ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσῃ." Περὶ γὰρ ταῦτα φωλεύει τὰ μέρη τὸ πάθος, τὰ στέρνα καὶ τὴν γαστέρα. Ὅταν μὲν ἔχῃ τὰ ποιητικὰ καὶ τὰς ὕλας ἡ ἡδονὴ, περὶ τὴν γαστέρα καὶ τὰ μετ' αὐτὴν, ὅταν δὲ ἀπορῇ, περὶ τὰ στήθη, ὅπου ὁ θυμός. Οἱ γὰρ φιλήδονοι στερόμενοι τῶν ἡδονῶν,

*) Gen. 3, 14.

ὀργίζονται καὶ παραπικραίνονται. Ἔτι δὲ ἀκριβέστε-
ρον ἴδωμεν τὸ δηλούμενον. Τριμερῆ συμβέβηκε τὴν
ψυχὴν ἡμῶν εἶναι, καὶ ἔχειν μέρος μὲν ἓν λογιστι-
κὸν, δεύτερον δὲ θυμικὸν, τρίτον δὲ ἐπιθυμητικόν.
Ἔνιοι μὲν οὖν τῶν φιλοσόφων τὰ μέρη ταῦτα δυνάμει·
μόνον διέκριναν ἀλλήλων, τινὲς δὲ καὶ τόποις. Εἶτα
ἔνειμαν τῷ μὲν λογικῷ τὸν περὶ κεφαλὴν χῶρον, εἰπόν-
τες, ὅπου ὁ βασιλεὺς, ἐκεῖ καὶ οἱ δορυφόροι· δορυ-
φόροι δὲ αἱ αἰσθήσεις τοῦ νοῦ, περὶ κεφαλὴν οὖσαι,
ὥςτε καὶ ὁ βασιλεὺς εἴη ἂν ἐκεῖ, ὥςπερ ἄκραν ἐν
πόλει λαχὼν οἰκεῖν. Τῷ δὲ θυμικῷ τὰ στέρνα· παρ'
ὃ καὶ τὴν φύσιν ὀχυρῶσαι τὸ μέρος πυκνότητι καὶ
κραταιότητι συνεχῶν ὀστέων, ὥςπερ στρατιώτην ἀ-
γαθὸν καθοπλίσασαν θώρακι καὶ ἀσπίδι πρὸς τὴν
τῶν ἐναντιουμένων ἄμυναν. Τῷ δὲ ἐπιθυμητικῷ τὸν
περὶ τὸ ἧπαρ καὶ τὴν κοιλίαν τόπον· ἐνταῦθα γὰρ
κατοικεῖ ἐπιθυμία, ὄρεξις ἄλογος.

§. 39. Ἐὰν οὖν ποτε ζητῇς, ὦ διάνοια, τίνα
χῶρον ἡδονὴ κεκλήρωται, μὴ σκέπτου τὸν περὶ κε-
φαλὴν τόπον, ὅπου τὸ λογιστικὸν, μὴ γὰρ εὑρήσεις.
Ἐπεὶ μάχεται ὁ λόγος τῷ πάθει καὶ ἐν ταὐτῷ μέ-
νειν οὐ δύναται. Κρατοῦντος μὲν γὰρ λόγου, φροῦ-
δος ἡ ἡδονή· νικώσης δὲ ἡδονῆς, φυγὰς ὁ λόγος.
Ζήτει δὲ ἐν στήθει καὶ κοιλίᾳ, ὅπου ὁ θυμὸς καὶ ἡ
ἐπιθυμία μέρη τοῦ ἀλόγου· ἐν αὐτῇ γὰρ εὑρίσκεται
καὶ ἡ κρίσις ἡ ἡμετέρα καὶ τὰ πάθη. Οὐ κεκώλυ-
ται οὖν νοῦς, ἐκβὰς τῶν νοητῶν καὶ οἰκείων ἐπιβο-
λῶν, ἐκδοθῆναι τῷ χείρονι. Τοῦτο δὲ οὐ συμβαίνει,
ὅταν ὁ ψυχῆς κρατήσῃ πόλεμος· ἀνάγκη γὰρ δορυά- 83
111 λωτον γίνεσθαι τὸν μὴ μάχιμον, ἀλλ' εἰρηναῖον τὸν P.
M. ἐν ἡμῖν λογισμόν.

§. 40. Εἰδὼς γοῦν ὁ ἱερὸς λόγος ὅσον ἡ ἑκατέ-
ρου δύναται ὁρμὴ πάθους, θυμοῦ τε καὶ ἐπιθυμίας,
ἑκάτερον ἐπιστομίζει, ἡνίοχον καὶ κυβερνήτην ἐφι-
στὰς τὸν λόγον. Καὶ πρότερον περὶ τοῦ θυμοῦ, θε-
ραπεύων αὐτὸν καὶ ἰώμενος, διαλέγεται οὕτως. "Καὶ

ἐπιθήσεις ἐπὶ τὸ λόγιον τῶν κρίσεων, τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν, καὶ ἔσται ἐπὶ τοῦ στήθους Ἀαρὼν, ὅταν εἰςέρχηται εἰς τὸ ἅγιον ἐναντίον κυρίου." *) Λόγιον οὖν ἐστιν ἐν ἡμῖν τὸ φωνητήριον ὄργανον, ὅπερ ἐστὶν ὁ γεγονὸς λόγος. Οὗτος δὲ ἢ ἀκριτόμυθός ἐστι καὶ ἀδόκιμος, ἢ κεκριμένος καὶ δόκιμος. Εἰς ἔννοιαν δὲ ἡμᾶς ἄγει λόγου τοῦ κατὰ διάκρισιν. Τὸ γὰρ λόγιόν φησιν οὐ τὸ ἄκριτον ἢ κίβδηλον, ἀλλὰ τὸ τῶν κρίσεων, ἴσον τῷ, διακεκριμένον καὶ ἐξητασμένον. Τούτου δὲ τοῦ δοκίμου λόγου δύο ἀρετάς φησιν εἶναι τὰς ἀνωτάτω, σαφήνειαν καὶ ἀληθότητα· καὶ πάνυ ὀρθῶς. Ὁ γὰρ λόγος τὸ μὲν πρῶτον παρεῖχε τὸ σαφῆ ποιῆσαι καὶ δῆλα τὰ πράγματα τῷ πλησίον, μὴ δυνηθέντων ἡμῶν τὸ ἐγγινόμενον τῇ ψυχῇ πάθος ὑπὸ τῶν ἐκτὸς ἐπιδείξασθαι, οὐδ᾽ οἷον ἦν παραστῆσαι.

§. 41. Διόπερ ἠναγκάσθημεν ἐλθεῖν ἐπὶ τὰ διὰ φωνῆς σύμβολα, ὀνόματα καὶ ῥήματα, ἃ δεῖ πάντως εἶναι γνώριμα, ἵνα σαφῶς καὶ ἐκδήλως ὁ πλησίον ἐκλάβηται· ἔπειτα τὸ ἀληθῶς αὐτὰ ἀπαγγεῖλαι. Τί γὰρ ὄφελος, τρανῆ μὲν καὶ σαφῆ τὴν ἑρμηνείαν ποιεῖσθαι, ψευδῆ δὲ ἄλλως; Ἀνάγκη γὰρ οὕτως ἐχόντων, ἀπατᾶσθαι τὸν ἀκροατὴν καὶ μεγίστην καρποῦσθαι συμφορὰν μετὰ ἀγνοίας καὶ ἀπαιδευσίαν. Τί γὰρ, ἂν λέγω τῷ παιδὶ τρανῶς καὶ σαφῶς, δείξας τὸ ἄλφα στοιχεῖον ὅτι ἐστὶ γάμμα, ἢ τὸ ῆ ὅτι ἐστὶν ὦ; Ἢ ὁ μουσικὸς λέγει τῷ πρῶτα εἰςαγομένῳ δεικνὺς τὸ ἐναρμόνιον ὅτι χρῶμά ἐστιν, ἢ τὸ χρωματικὸν ὅτι διατονικὸν, ἢ τὴν ὑπάτην ὅτι μέση, ἢ τὸ συνημμένον ὅτι τὸ διεζευγμένον, ἢ τὴν ὑπερβολαίαν ὅτι προςλαμβανόμενος; Τρανῶς μὲν ἴσως καὶ σαφῶς ἐρεῖ, οὐκ ἀληθῶς δὲ, ἀλλὰ ταύτῃ κακίαν ἐργάσεται τὴν ἐν λόγῳ. Ὅταν δὲ ἀμφότερα καὶ σαφήνειαν καὶ ἀληθότητα ποιῆται, ὠφέλιμον

*) Exod. 28, 30 sqq.

παρέξει τῷ μανθάνοντι τὸν λόγον, χρησάμενος ταῖς δυσὶν ἀρεταῖς αὐτοῦ, ἃς καὶ μόνας σχεδὸν εἶναι συμβέβηκέ που.

§. 42. Φησὶν οὖν ἱδρῦσθαι τὸν κεκριμένον λόγον, ἔχοντα τὰς ἰδίας ἀρετάς, ἐπὶ τοῦ στήθους δηλονότι Ἀαρών, τουτέστιν ἐπὶ τοῦ θυμοῦ, ἵν' οὗτος ἡνιοχῆται λόγῳ τὸ πρῶτον, καὶ μὴ ὑπὸ τῆς ἑαυτοῦ ἀλογίας βλάπτηται, εἶτα δὲ σαφηνείᾳ, οὐ πέφυκε
112 γὰρ θυμὸς σαφηνείας εἶναι φίλος. Τῶν γοῦν ὀρ- 84
M. γιζομένων οὐ μόνον ἡ διάνοια, ἀλλὰ καὶ τὰ ῥήματα P.
ταραχῆς καὶ συγχύσεως γέμει· οἰκεῖον οὖν ἦν τὴν τοῦ θυμοῦ σαφήνειαν ἐπανορθωθῆναι σαφηνείᾳ, ἐπὶ τούτοις ἀληθότητι. Μετὰ γὰρ τῶν ἄλλων καὶ τοῦτο ἔχει ὁ θυμὸς ἴδιον, τὸ ψεύδεσθαι. Τῶν γοῦν χρωμένων τῷ πάθει τούτῳ σχεδὸν οὐδεὶς ἀληθεύει, ἅτε μέθῃ κεκρατημένος ψυχῆς, οὐ σώματος. Ταῦτα ἀλεξιφάρμακα τοῦ θυμικοῦ μέρους ἐστὶ, λόγος, σαφήνεια λόγου, ἀλήθεια αὐτοῦ· ἓν γάρ ἐστι δυνάμει τὰ τρία, λόγος σὺν ἀρεταῖς, ἀληθότητι καὶ σαφηνείᾳ, θυμὸν, νόσημα χαλεπὸν ψυχῆς ἰώμενος.

§. 43. Τίνος οὖν ἐστι φέρειν ταῦτα; Οὐχὶ τῆς ἐμῆς ἢ τῆς τοῦ τυχόντος διανοίας, ἀλλὰ τῆς ἱερωμένης καὶ θυούσης καθαρῶς, τῆς Ἀαρών. Καὶ οὐδὲ ταύτης ἀεὶ, πολλάκις γὰρ τρέπεται, ἀλλ' ὅταν ἀτρέπτως διάγῃ, ὅταν εἰςπορεύηται εἰς τὸ ἅγιον, ὅταν συνειςπορεύηται ὁ λογισμὸς ταῖς ἁγίαις γνώμαις, καὶ μὴ τούτων ἀποδιδράσκῃ. Ἀλλὰ πολλάκις συνειςέρχεται μὲν ὁ νοῦς εἰς ἱερὰς καὶ ὁσίας καὶ κεκαθαρμένας δόξας, ἀλλὰ ἀνθρωπίνους ταύτας, οἷον τὰς περὶ τῶν καθηκόντων, τὰς περὶ τῶν κατορθωμάτων, τὰς περὶ τῶν θέσει νομίμων, τὰς περὶ τῆς κατ' ἀνθρώπους ἀρετῆς. Οὐδ' ὁ τοῦτον διακείμενος τὸν τρόπον ἱκανός ἐστι τὸ λόγιον φέρειν ἐπὶ τοῦ στήθους μετὰ τῶν ἀρετῶν, ἀλλὰ μόνος ὁ ἐναντίον κυρίου εἰςιὼν, τουτέστιν ὁ ἕνεκα θεοῦ πάντα πράττων, καὶ μηδὲν τῶν μετὰ θεὸν ὑπερτιμῶν, ἀλλὰ νέ-

μων μὲν καὶ τούτοις τὰ κατ᾽ ἀξίαν, μὴ ἱστάμενος μέντοι ἐπ᾽ αὐτῶν, ἀλλ᾽ ἀνατρέχων ἐπὶ τὴν γνῶσιν καὶ ἐπιστήμην καὶ τιμὴν τοῦ ἑνός. Τῷ γὰρ οὕτως διακειμένῳ ἡνιοχηθήσεται ὁ θυμὸς ὑπὸ τοῦ λόγου κεκαθαρμένου, τὸ ἄλογον αὐτοῦ περιαιροῦντος, καὶ ὑπὸ σαφηνείας τὸ ἀσαφὲς καὶ συγκεχυμένον θεραπευούσης, καὶ ὑπὸ ἀληθότητος τὸ ψεῦδος ἀποκοπτούσης.

§. **44.** *Ὁ μὲν οὖν Ἀαρών, δεύτερος γάρ ἐστι Μωϋσῆς, ἐκτέμνων τὸ στῆθος, ὅπερ ἐστὶ τὸν θυμόν, οὐκ ἐᾷ αὐτὸν ἀκρίτοις ὁρμαῖς ἐκφέρεσθαι, δεδιὼς μήποτε ἀφεθείς, ἵππου τρόπον ἀνασκιρτήσας, ὅλην πατήσῃ τὴν ψυχήν· ἀλλὰ θεραπεύει καὶ ἐπιστομίζει τὸ μὲν πρῶτον λόγῳ, ἵνα ἡνιόχῳ χρώμενος ἀρίστῳ, μὴ σφόδρα ἀφηνιάζῃ, ἔπειτα δὲ ταῖς ἀρεταῖς τοῦ λόγου, σαφηνείᾳ καὶ ἀληθείᾳ. Εἰ γὰρ παιδευθείη ὁ θυμὸς οὕτως, ὥστε καὶ λόγῳ εἴκειν καὶ σαφηνείᾳ, καὶ τὸ ἀψευδὲς ἀσκεῖν, ἑαυτόν τε τῆς πολλῆς ζέσεως ἀπαλλάξει, τήν τε ὅλην ψυχὴν ἵλεων κατασκευάσει.*

§. **45.** *Ἀλλ᾽ οὗτος μέν, ὡς ἔφην, ἔχων τὸ πάθος, ἰᾶσθαι αὐτὸ πειρᾶται τοῖς λεχθεῖσι σωτηρίοις*
113 *φαρμάκοις. Μωϋσῆς δὲ ὅλον τὸν θυμὸν ἐκτέμνειν* 85
M. *καὶ ἀποκόπτειν οἴεται δεῖν τῆς ψυχῆς, οὐ μετριοπά-* P.
θειαν, ἀλλὰ συνόλως ἀπάθειαν ἀγαπῶν. Μαρτυρεῖ δέ μου τῷ λόγῳ ὁ ἱερώτατος χρησμός. "Λαβὼν γάρ," φησί, "Μωϋσῆς τὸ στηθύνιον, ἀφεῖλεν αὐτὸ ἐπίθεμα ἐναντίον κυρίου, ἀπὸ τοῦ κριοῦ τῆς τελειώσεως, καὶ ἐγένετο Μωϋσεῖ ἐν μερίδι." *) *Πάνυ καλῶς· τοῦ γὰρ φιλαρέτου καὶ θεοφιλοῦς ἔργον ἦν, τὴν ὅλην ψυχὴν θεασάμενον λαβέσθαι τοῦ στήθους, ὅπερ ἐστὶ τοῦ θυμοῦ, καὶ ἀφελεῖν αὐτὸν καὶ ἀποκόψαι, ἵνα τοῦ πολεμικοῦ μέρους ἐκτμηθέντος, εἰρήνην τὸ λοιπὸν ἄγῃ. Ἀφαιρεῖ δὲ οὐκ ἀπὸ τοῦ τυ-*

---

*) Lev. 8, 29.

χόντος ζώου, ἀλλ' ἀπὸ κριοῦ τῆς τελειώσεως, καί τοι καὶ μόσχος ἱερουργήθη. Ἀλλὰ τοῦτον παρελθὼν, ἐπὶ τὸν κριὸν ἦλθε· διότι κρουστικὸν φύσει ζῶόν ἐστι καὶ θυμικὸν καὶ ὁρμητικον, παρ' ὃ καὶ οἱ μηχανοποιοὶ τὰ πολλὰ τῶν πολεμιστηρίων ὀργάνων κριοὺς κατασκευάζουσι. Τὸ κριῶδες οὖν καὶ ὁρμητικὸν καὶ ἄκριτον ἐν ἡμῖν ἐστι τὸ ἐριστικὸν εἶδος. Ἔρις δὲ μήτηρ ἐστὶ θυμοῦ· παρ' ὃ καὶ οἱ φιλονεικότεροι, ἔν τε ταῖς συζητήσεσι καὶ ἐν ταῖς ἄλλαις ὁμιλίαις ῥᾷστα ὀργίζονται. Τῆς οὖν ἐριστικῆς καὶ φιλονείκου ψυχῆς πλημμελὲς γέννημα θυμὸν ἐκτέμνει δεόντως, ἵνα στειρωθεῖσα παύσηται βλαβερὰ τίκτουσα, καὶ γένηται μερὶς τοῦτο ἁρμόζουσα τῷ φιλαρέτῳ, οὐ τὸ στῆθος, οὐδ' ὁ θυμὸς, ἀλλὰ τὸ ἀφελεῖν αὐτά. Μοῖραν γὰρ ὁ θεὸς ἔνειμεν ἀρίστην τῷ σοφῷ τὸ ἐκτέμνειν τὰ πάθη δύνασθαι. Ὁρᾷς πῶς ὁ τέλειος τελείαν ἀπάθειαν ἀεὶ μελετᾷ. Ἀλλ' ὅγε προκόπτων, δεύτερος ὢν, Ἀαρὼν, μετριοπαθῶς, ὡς ἔφην, ἀσκεῖ· ἐκτεμεῖν γὰρ ἔτι τὸ στῆθος καὶ τὸν θυμὸν ἀδυνατεῖ. Φέρει δὲ ἐπ' αὐτὸν τὸν ἡνίοχον σὺν ταῖς προσφυέσιν ἀρεταῖς λόγου, τὸ λόγιον, ἐφ' οὗ δήλωσίς ἐστι καὶ ἀλήθεια.

§. 46. Παραστήσει δὲ σαφέστερον τὴν διαφορὰν καὶ διὰ τοῦτο. „Τὸ γὰρ στηθύνιον," φησὶ, „τοῦ ἐπιθέματος, καὶ τὸν βραχίονα τοῦ ἀφαιρέματος εἴληφα παρὰ τῶν υἱῶν Ἰσραὴλ ἀπὸ τῶν θυσιῶν τοῦ σωτηρίου ὑμῶν, καὶ ἔδωκα αὐτὰ Ἀαρὼν, καὶ τοῖς υἱοῖς αὐτοῦ." *) Ὁρᾷς ὅτι οὐκ εἰσὶν οὗτοι ἱκανοὶ τὸ στῆθος μόνον λαβεῖν, ἀλλὰ σὺν τῷ βραχίονι, Μωϋσῆς δὲ χωρὶς τοῦ βραχίονος. Διὰ τί; Ὅτι ὁ μὲν τέλειος ὢν βραχὺ καὶ ταπεινὸν οὐδὲν φρονεῖ, οὐδὲ μετριοπαθεῖν βούλεται, ἀλλ' ἐκ περιουσίας ὅλα τὰ πάθη δι' ὅλων ἀπέκοψεν. Οἱ δὲ βραχέως καὶ οὐ μεγάλως ὁρμῶσιν ἐπὶ τὸν τῶν παθῶν

---

*) Lev. 7, 34.

πόλεμον, ἀλλὰ καταλλάττονται καὶ σπονδὰς πρὸς
114 αὐτὰ τίθενται, τὸν συμβατήριον λόγον προτείνον-
M. τες, ἵν' οὕτως ἡνιοχῶν ἐπιστομίζῃ τὴν ἐπιπλέον αὐτῶν φοράν. Ἔστι δὲ καὶ σύμβολον ὁ βραχίων πόνου καὶ κακοπαθείας· τοιοῦτος δὲ ὁ θεραπευτὴς καὶ 86
λειτουργὸς τῶν ἁγίων, ἀσκήσει καὶ πόνῳ χρώμενος. P.
Ἄπονος δὲ ἐστιν ᾧ ὁ Θεὸς χαρίζεται κατὰ πολλὴν περιουσίαν τὰ ἀγαθὰ τέλεια. Βραχύτερος δὲ εὑρίσκεται καὶ ἀτελέστερος, ὁ πόνῳ κτώμενος τὴν ἀρετήν, τοῦ ἀπόνως καὶ εὐμαρῶς αὐτὴν παρὰ Θεοῦ λαβόντος Μωϋσέως. Καὶ γὰρ αὐτὸ τὸ πονεῖν βραχύτερον καὶ ἔλαττόν ἐστι τοῦ ἀπόνου· οὕτω καὶ τὸ ἀτελὲς τοῦ τελείου, καὶ τὸ μανθάνον τοῦ αὐτομαθοῦς. Διὰ τοῦτο σὺν μὲν βραχίονι λαμβάνει τὸ στῆθος Ἀαρών, ἄνευ δὲ βραχίονος Μωϋσῆς. Τὸ στηθύνιον δὲ ἐπιθέματος καλεῖ διὰ τοῦτο, ὅτι ἐπικεῖσθαι δεῖ τῷ θυμῷ καὶ ἐφιδρύσθαι τὸν λόγον, ὡσανεί τινα ἡνίοχον εὐθύνοντα σκληραύχενα καὶ ἀφηνιαστὴν ἵππον· τὸν δὲ βραχίονα, οὐκέτι ἐπιθέματος, ἀλλ' ἀφαιρέματος, διὰ τόδε, ὅτι δεῖ τὸν ὑπὲρ ἀρετῆς πόνον μὴ ἑαυτῇ προσάγειν τὴν ψυχήν, ἀλλ' ἀφελεῖν ἀφ' ἑαυτῆς καὶ Θεῷ ἀνενεγκεῖν, ὁμολογοῦσαν ὅτι οὐχ ἡ ἰσχὺς αὐτῆς οὐδὲ ἡ δύναμις περιεποίησε τὸ καλόν, ἀλλὰ καὶ ὁ τὸν ἔρωτα χαρισάμενος. Οὔτε δὲ στηθύνιον, οὔτε ὁ βραχίων λαμβάνεται, πλὴν ἀπὸ τῆς θυσίας τοῦ σωτηρίου, κατὰ τὸ εἰκός. Τότε γὰρ ἡ ψυχὴ σώζεται, ὅταν καὶ ὁ θυμὸς ἡνιοχηθῇ ὑπὸ λόγου, καὶ ὁ πόνος μὴ οἴησιν ἐγκατασκευάσῃ, ἀλλὰ παραχωρήσῃ τῷ εὐεργέτῃ Θεῷ.

§. 47. Τὸ δὲ μὴ μόνον ἐπὶ τῷ στήθει, ἀλλὰ καὶ τῇ κοιλίᾳ πορεύεσθαι τὴν ἡδονήν, εἴπομεν ἤδη, οἰκειότατον δηλοῦντες ἡδονῆς χωρίον, τὴν γαστέρα. Σχεδὸν γὰρ ἀγγεῖον τῶν ἡδονῶν ἁπασῶν αὕτη ἐστί. Πληρωθείσης γὰρ τῆς γαστρός, ὀρέξεις καὶ τῶν ἄλλων ἡδονῶν γίνονται σύντονοι· κενωθείσης δέ, ἠρεμαῖαι καὶ σταθερώτεραι. Διὸ καὶ φησιν ἑτέρωθι,

"Πᾶς ὁ πορευόμενος ἐπὶ κοιλίᾳ, πᾶς ὁ πορευόμενος ἐπὶ τεσσάρων διαπαντὸς, ὃς πολυπληθεῖ ποσὶν, ἀκάθαρτός ἐστι." *) Τοιοῦτος δὲ ὁ φιλήδονος ἀεὶ χωρῶν ἐπὶ γαστέρα καὶ τὰς μετὰ ταῦτα ἡδονάς. Τῷ δὲ ἕρποντι ἐπὶ κοιλίαν τὸν ἐπὶ τεσσάρων βαδίζοντα ἥνωκεν, εἰκότως· τέτταρα γάρ ἐστι τὰ πάθη τῶν ἐν ἡδονῇ, ὥς τις κατ' ἐξαίρετον λόγος μέμνηται. Ἀκάθαρτος οὖν ὁ καὶ τῷ ἑνὶ χρώμενος τῇ ἡδονῇ, καὶ ὁ πᾶσιν ἐφορμῶν τοῖς τέσσαρσι. Τούτων εἰρημένων, ἴδε διαφορὰν πάλιν τελείου καὶ προκόπτοντος. Ὥςπερ οὖν πρότερον εὑρίσκετο ὁ μὲν τέλειος ὅλον ἐκτέμνων τὸν θυμὸν τῆς ἐριστικῆς ψυχῆς, καὶ ποιῶν αὐτὴν τιθασσὸν καὶ χειροήθη, καὶ εἰρηναῖον, καὶ ἵλεων πρὸς πάντα ἔργῳ τε καὶ λόγῳ.
115 Ὁ δὲ προκόπτων, οὐ δυνάμενος μὲν ἀποκόψαι τὸ
M. πάθος, φέρει γὰρ τὸ στῆθος, παιδεύων δὲ αὐτὸ λό-
λῳ κεχριμένῳ, ἔχοντι δύο ἀρετὰς, σαφήνειαν καὶ ἀ- 87
λήθειαν. P.

§. 48. Οὕτω καὶ νῦν εὑρεθήσεται ὁ μὲν σοφὸς τελείως ἡδονὰς ἀποῤῥιπτόμενος καὶ ἀποσειόμενος, Μωϋσῆς· ὁ δὲ προκόπτων, οὐχ ἅπασαν, ἀλλὰ τὴν μὲν ἀναγκαίαν καὶ ἁπλῆν προςιέμενος, τὴν δὲ περίεργον καὶ περιττὴν κατὰ τὰς ἐπεντρώσεις παραιτούμενος. Ἐπὶ γὰρ Μωϋσέως φησὶν οὕτως, "Καὶ τὴν κοιλίαν καὶ τοὺς πόδας ἔπλυνεν ὕδατι τοῦ ὁλοκαυτώματος·" **) πάνυ καλῶς. Ὅλην γὰρ τὴν ψυχὴν ἀξίαν οὖσαν θεῷ προςάγεσθαι, διὰ τὸ μηδένα ἔχειν μήθ' ἑκούσιον μήτ' ἀκούσιον μῶμον, ὁ σοφὸς καθαγιάζει. Οὕτω δὲ διακείμενος, ὅλην τὴν γαστέρα καὶ τὰς αὐτῆς καὶ μετ' αὐτὴν ἡδονὰς ἐκπλύνει καὶ ἀπολούεται καὶ ἀποῤῥύπτεται, οὐχὶ μέρος τι. Ἀλλ' οὕτω καταφρονητικῶς ἔσχηκεν αὐτῆς, ὥςτε οὐδὲ τὰ ἀναγκαῖα σιτία ἢ ποτὰ προςίεται, θεωρίᾳ τῶν θείων

---

*) Lev. 11, 42.

**) Lev. 9, 14.

τρεφόμενος. Διὸ καὶ ἐν ἑτέροις μαρτυρεῖται αὐτῷ, „Τετταράκοντα ἡμέρας ἄρτον οὐκ ἔφαγε, καὶ ὕδωρ οὐκ ἔπιεν," *) ὅτε ἐν τῷ θείῳ ὄρει γενόμενος χρησμῶν θεοῦ νομοθετοῦντος ἤκουεν. Ἀλλ' οὐ μόνον ὅλῃ τῇ γαστρὶ ἀποτάττεται, ἀλλὰ καὶ τοὺς πόδας αὐτῇ συναποῤῥύπτεται, τουτέστι τὰς ἐπιβάσεις τῆς ἡδονῆς· ἐπιβάσεις δὲ ἡδονῆς εἰσι τὰ ποιητικὰ αὐτῆς. Ὅ τε γὰρ προκόπτων λέγεται „τὰ ἐγκοίλια καὶ τοὺς πόδας λούειν," **) οὐ τὴν ὅλην κοιλίαν. Ἱκανὸς γὰρ οὐκ ἔστι πᾶσαν ἡδονὴν διώσασθαι, ἀγαπητὸν δὲ, ἐὰν τὰ ἐγκοίλια αὐτῆς, τουτέστι τὰ ἐπεντρώματα, ἅ φασιν οἱ φιλήδονοι ἐπιδύσεις εἶναί τινας τῶν προηγουμένων ἡδονῶν, ἃ γίνεται ὀψαρτυτῶν καὶ σιτοπόνων λίχνων περιεργίᾳ.

§. 49. Καὶ προςεπιτείνει τὴν τοῦ προςπίπτοντος μετριοπάθειαν, τῷ τὸν μὲν ἄνευ προςτάξεως παραιτεῖσθαι ὅλην τὴν γαστρὸς ἡδονὴν, τὸν δὲ προκόπτοντα μετὰ προςτάξεως. Ἐπὶ μὲν γὰρ τοῦ σοφοῦ λέγεται οὕτως, „τὴν κοιλίαν καὶ τοὺς πόδας ὕδατι πλύνει," ***) ἀνεπικελεύστως κατὰ τὴν ἑκούσιον γνώμην. Ἐπὶ δὲ τῶν ἱερέων οὕτως, „τὰ δὲ ἐγκοίλια καὶ τοὺς πόδας" οὐχὶ ἔπλυναν, ἀλλὰ „πλυνοῦσι"· ****) σφόδρα παρατετηρημένως. Δεῖ γὰρ τὸν μὲν τέλειον ἐξ ἑαυτοῦ κινεῖσθαι πρὸς τὰς κατ' ἀρετὴν ἐνεργείας· τὸν δὲ ἀσκητὴν, μετὰ τοῦ ὑφηγουμένου τὰ πρακτέα λόγου, τῷ προστάττοντι πείθε-
116 σθαι καλόν. Οὐ δεῖ δὲ ἀγνοεῖν, ὅτι Μωϋσῆς ὅλην
M. τὴν κοιλίαν, τουτέστι τὴν γαστρὸς ἐκπλήρωσιν, παραιτούμενος, σχεδὸν καὶ τοῖς ἄλλοις πάθεσιν ἀποτάττεται· τοῦ νομοθέτου ἀπὸ μέρους ἑνὸς τὸ σύμπαν ἐναργῶς παριστάντος, καὶ ἀπὸ συνεκτικωτά-

---

*) Exod. 34, 28.

**) Lev. 1, 9.

***) Lev. 9, 14.

****) Lev. 1, 13.

του περὶ τῶν ἄλλων ἐν οἷς ἡσύχαζε, δυνάμει διεξιόντος.

§. 50. Συνεκτικώτατον ἡ γαστρὸς ἐκπλήρωσις, καὶ ὡςανεὶ θεμέλιός τις τῶν ἄλλων παθῶν. Οὐδὲν 88
γοῦν ἐκείνων δύναται συστῆναι, μὴ ἐπερειδόμενον P.
γαστρί, ἐφ' ᾗ πάντα ἐφίδρυκεν ἡ φύσις. Διὰ τοῦτο γεννηθέντων τῶν ἐκ τῆς Λείας προτέρων τῶν ἀγαθῶν ψυχικῶν, καὶ στάντων ἐπὶ τῆς ἐξομολογήσεως Ἰούδα, *) μέλλων ὁ θεὸς δημιουργεῖν καὶ τὰς σώματος προκοπάς, Βάλλαν τὴν Ῥαχὴλ παιδίσκην καὶ πρὸ τῆς δεσποίνης τίκτειν παρασκευάζει. Βάλλα δέ ἐστιν ἐγκατάποσις. Ἤδει γὰρ ὅτι οὐδὲν τῶν σωματικῶν ἄνευ καταπόσεως καὶ γαστρὸς ὑποστῆναι δύναται, ἀλλὰ αὕτη κρατεῖ καὶ ἡγεμονεύει παντὸς τοῦ σώματος, καὶ τοῦ κατὰ τὸ ζῆν ψιλὸν ὄγκον. Παρατήρει δὲ πᾶσαν τὴν λεπτολογίαν, οὐδὲν γὰρ λεχθὲν παρέργως εὑρήσεις. Μωϋσῆς μὲν τὸ "στηθύνιον ἀφαιρεῖται," τὴν δὲ κοιλίαν οὐκ ἀφαιρεῖ μέν, "πλύνει" δέ. **) Διὰ τί; Ὅτι ὁ τέλειος σοφὸς ὅλον μὲν τὸν θυμὸν ἰσχύει παραιτήσασθαι καὶ ἀποκόψαι, ὀργῆς κατεξαναστάς, τὴν δὲ κοιλίαν ἐκτεμεῖν ἀδυνατεῖ. Τοῖς γὰρ ἀναγκαίοις σιτίοις καὶ ποτοῖς ἡ φύσις βιάζεται χρῆσθαι, καὶ τὸν ὀλιγοδεέστατον καὶ καταφρονητικὸν αὐτῶν τῶν ἀναγκαίων, καὶ ἀσιτίαν αὐτῶν μελετῶντα. Πλυνέτω οὖν αὐτὴν καὶ καθαιρέτω ἀπὸ τῶν περιττῶν καὶ ἀκαθάρτων παρασκευῶν· ἱκανὴ γὰρ καὶ αὕτη παρὰ θεοῦ τῷ φιλαρέτῳ δωρεά.

§. 51. Διὰ τοῦτο ἐπὶ τῆς ὑπονοηθείσης διεφθάρθαι ψυχῆς φησιν, ***) ὅτι ἂν μὲν ἀπολελοιπυῖα τὸν ὀρθὸν λόγον, ὅς ἐστιν ἀνὴρ νόμιμος, εὑρεθῇ προςκεχωρηκυῖα τῷ μιαίνοντι τὴν ψυχὴν πάθει,

*) Gen. 29, 35.
**) Lev. 8, 29, 9, 14.
***) Num. 5, 27 sqq.

"πρησθήσεται τὴν γαστέρα," ὅπερ ἦν, ἀπληρώτους καὶ ἀκορέστους ἕξει τῆς γαστρὸς ἡδονὰς καὶ ἐπιθυμίας, καὶ οὐδέποτε παύσεται ἄπληστος οὖσα δι' ἀπαιδευσίαν, ἀλλ' ἀμυθήτων ἐπιῤῥεόντων, ἀΐδιον ἕξει τὸ πάθος. Οἶδα οὖν πολλοὺς οὕτω πταίοντας περὶ τὴν τῆς γαστρὸς ἐπιθυμίαν, ὥςτε ἔτι αὐτοῖς χρησόμενοι πάλιν ἐπὶ τὸν ἄκρατον καὶ τὰ ἄλλα ὥρμησαν· οὐ γὰρ ἀναλογεῖ τοῖς σωματικοῖς ὄγκοις ἡ τῆς ἀκράτορος ψυχῆς ἐπιθυμία. Ἀλλ' οἱ μὲν, ἅτε ἀγγεῖα ὄντες μεμετρημένα, ἄμετρον οὐδὲν προςίενται, ἀλλὰ τὸ περιττὸν ἐκβάλλουσιν· ἡ δὲ ἐπιθυμία πληροῦται μὲν οὐδέποτε, μένει δὲ ἐνδεὴς καὶ διψαλέα ἀεί.
117 Παρ' ὃ καὶ τὸ ἀκόλουθον προςτίθεται τῷ "πρη-
M. σθῆναι τὴν γαστέρα" τὸ "διαπεσεῖν τὸν μηρόν." Διαπίπτει γὰρ τότε τῇ ψυχῇ καὶ ὁ σπερματικὸς καὶ γεννητικὸς τῶν καλῶν λόγος ὀρθός. "Ἐὰν γοῦν," φησὶ, "μὴ μιανθῇ, καὶ καθαρὰ καὶ ἀθῶος ἔσται ἐκ σπερμάτων εἰς σπέρμα." Ἐὰν ὑπὸ πάθους μὴ μιανθῇ, καθαρεύσῃ δὲ πρὸς τὸν νόμιμον ἄνδρα, τὸν ὑγιῆ καὶ ἡγεμόνα λόγον, γόνιμον ἕξει ψυχὴν καὶ καρποφόρον, φέρουσαν γέννημα φρονήσεως καὶ δικαιοσύνης καὶ τῆς συμπάσης ἀρετῆς.

§. 52. Ἆρ' οὖν ἡμᾶς ἐνδεδεμένους σώματι οἷόν 89
τε σωματικαῖς ἀνάγκαις μὴ χρῆσθαι; Καὶ πῶς ἔνε- P.
στιν; Ἀλλ' ὅρα. Ὁ ἱεροφάντης τὸν τρόπον παραγγέλλει τῷ ἀγομένῳ ὑπὸ σωματικῆς χρείας αὐτῷ μόνῳ χρῆσθαι τῷ ἀναγκαίῳ. "Πρῶτον μὲν," φησὶ, "τόπος ἔστω σοι ἔξω τῆς παρεμβολῆς," *) παρεμβολὴν καλῶν τὴν ἀρετὴν, ἐν ᾗ ἐστρατοπέδευκεν ἡ ψυχή· οὐ γὰρ δύναται τὸν αὐτὸν κρατεῖν χῶρον φρόνησις, καὶ σωματικῆς ἀνάγκης ἀπόλαυσις. Εἶτα "Ἐξελεύσῃ," φησὶν, "ἐκεῖ ἔξω." Διὰ τί; Ὅτι οὐ δύναται ἡ ψυχὴ καταμένουσα μετὰ φρονήσεως, καὶ ἐν τῷ οἴκῳ διατρίβουσα τῆς σοφίας, χρῆσθαί τινι

*) Deut. 23, 12.

τῶν φίλων σώματος· τρέφεται γὰρ τότε θειοτέραις
τροφαῖς ἐν ταῖς ἐπιστήμαις, δι' ἃς καὶ τῆς σαρκὸς
ἀμελεῖ. Ἐπειδὰν γὰρ ἐξέλθῃ τῶν ἱερῶν ἀρετῆς ὀσ-
σῶν, τηνικαῦτα ἐπὶ τὰς τὸ σῶμα πλημμελούσας καὶ
πιεζούσας ὕλας τρέπεται. Πῶς οὖν αὐταῖς χρήσο-
μαι; "Πάσσαλος ἔστω σοι," φησὶν, "ἐπὶ τῆς ζώνης
σου, καὶ ὀρύξεις ἐν αὐτῷ," *) τουτέστι λόγος ἐπὶ
τοῦ πάθους ἐξορύττων καὶ ἀναστέλλων καὶ ἀπαμ-
φιεννὺς αὐτό. Ἀνεζῶσθαι γὰρ βούλεται ἡμᾶς τὰ
πάθη, ἀλλὰ μὴ ἀνειμένα καὶ κεχαλασμένα φορεῖν.
Διὸ καὶ ἐπὶ τῆς διαβάσεως αὐτῶν, ὃ καλεῖται πάσχα,
προστάττει τὰς "ὀσφῦς περιεζῶσθαι," **) ἤτοι συν-
εστάλθαι τὰς ἐπιθυμίας. Πάσσαλος οὖν, τουτέστι
λόγος, ἐπέσθω τῷ πάθει, κωλύων αὐτὸ χεῖσθαι.
Οὕτω γὰρ αὐτοῖς μόνοις χρησόμεθα τοῖς ἀναγκαίοις,
τῶν δὲ περιττῶν ἀφεξόμεθα.

§. 53. Καὶ ἂν ἐν συνουσίαις ὄντες καὶ μέλλον-
τες εἰς ἀπόλαυσιν καὶ χρῆσιν τῶν παρεσκευασμένων
ἐλθεῖν, σὺν λόγῳ παραγενώμεθα, ὥςπερ ὅπλῳ τινὶ
ἀμυντηρίῳ, οὔτε πέραν τοῦ μετρίου σιτίων ἐμφορη-
θησόμεθα αἰθυιῶν τρόπον, οὔτ' ἀκράτῳ ἀμέτρῳ
κορεσθέντες μέθῃ ληραίνειν ἀναγκαζούσῃ χρησόμε-
θα· ἐπιστομιεῖ γὰρ ὁ λόγος καὶ ἐγχαλινώσει τὴν ῥύ-
118 μην καὶ φορὰν τοῦ πάθους. Ἐγὼ γοῦν αὐτὸ πολ-
M. λάκις παθὼν οἶδα. Εἰς γὰρ ἀδιάγωγον συνουσίαν
ἐλθὼν καὶ πολυτελῆ δεῖπνα, ὁπότε μὴ ἀφικοίμην
σὺν λόγῳ, δοῦλος ἐγενόμην τῶν παρεσκευασμένων,
ἀγόμενος ὑπὸ δεσποτῶν ἀτιθάσσων, θεαμάτων καὶ
ἀκουσμάτων, καὶ τῶν ὅσα διὰ μυκτῆρος καὶ γεύσεως
ἡδονὰς ἀπεργάζεται. Ὁπότε δὲ μετὰ τοῦ αἱροῦντος
λόγου, δεσπότης ἀντὶ δούλου γίνομαι, καὶ ἀνακρά-
τος νικῶ καλὴν νίκην καρτερίας καὶ σωφροσύνης,
ἀντιβαίνων καὶ ἀντιφιλονεικῶν πᾶσι τοῖς ἀναῤῥη-

*) Deut. 23, 12.

**) Exod. 12, 11.

γνῶσι τὰς ἀκράτορας ἐπιθυμίας. „Θωρήξῃ," φησὶ
γοῦν, „τῷ πασσάλῳ," *) τουτέστιν ἣν ἕκαστον ἔχει
φύσιν, τὸ φαγεῖν, τὸ πιεῖν, τὸ τοῖς μετὰ γαστέρα
χρῆσθαι, τῷ λόγῳ γυμνώσεις, καὶ διαστείλῃς, ἵνα
διακρίνας γνῷς τὸ ἀληθές. Τότε γὰρ εἴσῃ ὅτι ἐν 90
οὐδενὶ τούτων ἐστὶ τὸ ἀγαθὸν, ἀλλὰ τὸ ἀναγκαῖον P.
μόνον καὶ χρήσιμον. „Καὶ ἐπαγαγὼν καλύψεις τὴν
ἀσχημοσύνην σου·" **) πάνυ καλῶς. Ἄγαγε γὰρ,
ὦ ψυχὴ, τὸν λόγον ἐπὶ πάντα, ᾧ καλύπτεται καὶ
συσκιάζεται καὶ συγκρύπτεται πᾶσα ἀσχημοσύνη
σαρκὸς καὶ πάθους. Τὰ γὰρ μὴ σὺν λόγῳ πάντα
αἰσχρὰ, ὥςπερ τὰ σὺν λόγῳ κόσμια. Οὐκοῦν ὁ μὲν
φιλήδονος ἐπὶ κοιλίαν βαδίζει, ὁ δὲ τέλειος τὴν κοιλίαν ὅλην ἐκπλύνει, ὁ δὲ προκόπτων, τὰ ἐν κοιλίᾳ.
Ὁ δὲ ἄρτι ἀρχόμενος παιδεύεσθαι ἔξω πρόεισιν, ὅταν μέλλῃ τῆς γαστρὸς, τοῖς ἀναγκαίοις ἐπιφερόμενος λόγον, ἐπιστομιεῖν τὸ πάθος, ὃς εἴρηται συμβολικῶς πάσσαλος.

§. 54. Εὖ μέντοι καὶ τὸ προςθεῖναι, „Πορεύσῃ ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ." ***) Ἡ γὰρ ἡδονὴ οὐκ ἔστι τῶν ἠρεμούντων καὶ ἱσταμένων, ἀλλὰ τῶν κινουμένων καὶ ταραχῆς γεμόντων. Ὥςπερ γὰρ ἡ φλὸξ ἐν κινήσει, οὕτω φλογμοῦ τινα τρόπον τὸ πάθος ἐν ψυχῇ κινούμενον, ἠρεμεῖν αὐτὴν οὐκ ἐᾷ. Διὸ καὶ τοῖς λέγουσι καταστηματικὴν εἶναι τὴν ἡδονὴν οὐ συμφέρεται· ἠρεμία γὰρ λίθῳ μὲν καὶ ξύλῳ καὶ παντὶ ἀψύχῳ οἰκεῖον, ἀλλότριον δὲ ἡδονῇ. Γαργαλισμοῦ γὰρ καὶ σπασμώδους ἐφίεται, καὶ ἐπ' ἐνίων οὐκ ἠρεμίας ἀλλὰ συντόνου καὶ σφοδρᾶς αἰκίσεώς ἐστι χρεία.

§. 55. Τὸ δὲ „Γῆν φάγεσαι πάσας τὰς ἡμέρας

---

*) Deut. 23, 12.
**) Deut. 23, 13.
***) Gen. 3, 14.

P

τῆς ζωῆς σου," *) τοῦτο προσφυῶς εἴρηται. Τῆς
119 γὰρ σώματος τροφῆς ἡδοναὶ γήϊναι. Καὶ μήποτ'
M. εἰκότως; Δύο ἐστὶν ἐξ ὧν συνέσταμεν, ψυχή τε καὶ
σῶμα. Τὸ μὲν οὖν σῶμα ἐκ γῆς δεδημιούργηται, ἡ δὲ ψυχὴ αἰθέρος ἐστὶν, ἀπόσπασμα θεῖον. "Ἐνεφύσησε γὰρ εἰς τὸ πρόσωπον αὐτοῦ πνεῦμα ζωῆς ὁ θεὸς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζωῆς." **) Εὐλόγως οὖν τὸ μὲν ἐκ γῆς διαπλασθὲν σῶμα συγγενεῖς ἔχει τροφὰς ἃς ἀναδίδωσιν ἡ γῆ, ἡ δὲ αἰθερίου φύσεως μοῖρα οὖσα ψυχὴ πάλιν αἰθερίους καὶ θείας· ἐπιστήμαις γὰρ τρέφεται, καὶ οὐ σιτίοις ἢ ποτοῖς, ὧν ἐπιδεές ἐστι τὸ σῶμα.

§. 56. Ὅτι δὲ οὐ γήϊνοι ἀλλ' οὐράνιοι αἱ ψυχῆς τροφαὶ, μαρτυρήσει διὰ πλειόνων ὁ ἱερὸς λόγος. "Ἰδοὺ ἐγὼ ὕω ὑμῖν ἄρτους τοῦ οὐρανοῦ, καὶ ἐξελεύσεται ὁ λαὸς, καὶ συνάξουσι τὸ τῆς ἡμέρας εἰς ἡμέραν, ὅταν πειράσω αὐτοὺς, εἰ πορεύσονται τῷ νόμῳ μου ἢ οὔ." ***) Ὁρᾷς ὅτι οὐ γηΐνοις καὶ φθαρτοῖς τρέφεται ἡ ψυχὴ, ἀλλ' οἷς ἂν ὁ θεὸς ὀμβρήσῃ λόγοις ἐκ τῆς μεταρσίου καὶ καθαρᾶς φύσεως, ἣν οὐρανὸν κέκληκεν; "Ἐξίτω μέντοι ὁ λεὼς," καὶ πᾶν τὸ τῆς ψυχῆς σύστημα, καὶ συναγαγέτω καὶ ἀρχέσθω τῆς ἐπιστήμης, μὴ ἀθρόως, ἀλλὰ "τὸ τῆς ἡμέρας εἰς
ἡμέραν." Πρῶτον μὲν γὰρ ἀθρόον οὐ κενώσει τὸν 91
πολὺν πλοῦτον τῶν τοῦ θεοῦ χαρίτων, ἀλλὰ τῇ P.
φορᾷ χειμάῤῥου τρόπον ἐπικλυσθήσεται. Ἔπειτ' ἔστιν αὐτάρκη λαβόντας ἀγαθὰ καὶ μεμετρημένα τῶν λοιπῶν ταμίαν οἰηθῆναι θεόν. Ὁ δὲ πάντα μετρῶν ἀθρόον, δυςελπιστίαν μετὰ πολλῆς ἀνίας κτᾶται· δύςελπις γὰρ, εἰ νῦν μόνον ἀλλὰ καὶ μὴ αὖθις ἐλπίζει τὸν θεὸν ὀμβρήσειν αὐτῷ ἀγαθά· ἄπιστος δὲ, εἰ μὴ πεπίστευκε καὶ νῦν καὶ ἀεὶ τὰς τοῦ

*) Gen. 3, 14.
**) Gen. 2, 7.
***) Exod. 16, 4.

θεοῦ χάριτας ἀφθόνως τοῖς ἀξίοις προσνέμεσθαι· ἄνους δὲ, εἰ οἴεται τῶν συναχθέντων ἱκανὸς ἔσεσθαι φύλαξ, ἄκοντος θεοῦ. Μικρὰ γὰρ ῥοπὴ τὸν ἀσφαλῆ καὶ βεβαιότατον περιάπτοντα νοῦν ὑπὸ μεγαλαυχίας ἑαυτῷ, ἄκυρον καὶ ἀβέβαιον ὧν ἐδόκει φύλαξ εἶναι πάντων ἐποίησε.

§. 57. Σύναγε οὖν, ὦ ψυχὴ, τὰ αὐτάρκη καὶ καθήκοντα, καὶ μήτε πλείω τῶν ἱκανῶν ὡς ὑπερβάλλειν, μήτε ἐλάττω πάλιν ὡς ἐνδεῖν, ἵνα μέτροις δικαίοις χρωμένη μὴ ἀδικῇς. Καὶ γὰρ διάβασίν γε μελετῶσαν ἀπὸ τῶν παθῶν καὶ τὸ πάσχα θύουσαν, δεῖ τὴν προκοπὴν, τὸ πρόβατον, λαμβάνειν μὴ ἀμέτρως. "Ἕκαστος γὰρ," φησὶ, "τὸ ἀρκοῦν αὐτῷ συναριθμήσεται εἰς πρόβατον." *) Καὶ ἐπὶ τοῦ μάννα οὖν, καὶ ἐπὶ πάσης δωρεᾶς ἣν ὁ θεὸς δω-
120 ρεῖται τῷ γένει ἡμῶν, καλὸν τὸ ἐνάριθμιον, καὶ
M. μεμετρημένον, καὶ μὴ τὸ ὑπὲρ ἡμᾶς λαμβάνειν· πλεονεξία γὰρ τοῦτό γε. Τὸ τῆς ἡμέρας οὖν εἰς ἡμέραν συναγαγέτω ἡ ψυχὴ, **) ἵνα μὴ ἑαυτὴν φύλακα τῶν ἀγαθῶν, ἀλλὰ τὸν φιλόδωρον θεὸν ἀποφήνῃ.

§. 58. Καὶ διὰ τοῦτό μοι δοκεῖ τὸ προκείμενον λέγεσθαι. Σύμβολον φωτός ἐστιν ἡ ἡμέρα. Φῶς δὲ ψυχῆς ἐστι παιδεία. Πολλοὶ οὖν τὰ ἐν ψυχῇ φῶτα ἐκτήσαντο εἰς νύκτα καὶ σκότος, ἀλλ᾽ οὐκ εἰς ἡμέραν καὶ φῶς, οἷον τὰ προπαιδεύματα πάντα, καὶ τὰ ἐγκύκλια λεγόμενα, καὶ φιλοσοφίαν αὐτὴν τρυφῆς ἕνεκα ἢ ἀρχῆς τῆς πρὸς τοὺς ἡγεμόνας. Ὁ δέ γε ἀστεῖος τὴν ἡμέραν ἕνεκα ἡμέρας, καὶ τὸ φῶς ἕνεκα φωτὸς, καὶ τὸ καλὸν ἕνεκα τοῦ καλοῦ κτᾶται μόνου, οὐχ ἕνεκα ἄλλου τινός. Διὸ καὶ ἐπιφέρει, "Ὅπως πειράσω αὐτοὺς εἰ πορεύσονται τῷ νόμῳ

---

*) Exod. 12, 5.
**) Exod. 16, 4.

μου ἢ οὔ. *) Νόμος γὰρ θεῖος οὗτος, τὴν ἀρετὴν δι' ἑαυτὴν τιμᾶν. Τοὺς οὖν ἀσκητὰς ὥςπερ νόμισμα δοκιμάζει ὁ ὀρθὸς λόγος, πότερα κεκηλίδωνται, ἐπί τι τῶν ἐκτὸς ἀναφέροντες τὸ τῆς ψυχῆς ἀγαθὸν, ἢ ὡς δόκιμον διαστέλλουσιν, ἐν διανοίᾳ μόνῃ διαφυλάττοντες τοῦτο. Τούτοις συμβέβηκε μὴ τοῖς γηΐνοις, ἀλλὰ ταῖς ἐπουρανίαις ἐπιστήμαις τρέφεσθαι.

§. 59. Δηλοῖ δὲ καὶ δι' ἑτέρων, ὅταν φησὶ,
"Τὸ πρωῒ ἐγένετο καταπαυομένης τῆς δρόσου κύ-
κλῳ τῆς παρεμβολῆς, καὶ ἰδοὺ ἐπὶ πρόςωπον τῆς 92
ἐρήμου λεπτὸν ὡςεὶ κόριον, λευκὸν, ὡςεὶ πάγος ἐπὶ P.
τῆς γῆς. Ἰδόντες δὲ αὐτὸ εἶπον ἕτερος τῷ ἑτέρῳ,
τί ἐστι τοῦτο; Οὐ γὰρ ᾔδεισαν τί ἦν. Εἶπε δὲ αὐ-
τοῖς Μωϋσῆς, οὗτος ὁ ἄρτος ὃν δέδωκεν ἡμῖν κύ-
ριος τοῦ φαγεῖν, τοῦτο τὸ ῥῆμα ὃ συνέταξε κύ-
ριος." **) Ὁρᾷς τῆς ψυχῆς τροφὴν οἵα ἐστί; Λό-
γος θεοῦ συνεχὴς, ἐοικὼς δρόσῳ, κύκλῳ πᾶσαν πε-
ριειληφὼς, καὶ μηδὲν μέρος ἀμέτοχον αὐτοῦ ἐῶν.
Φαίνεται δὲ οὐ πανταχοῦ ὁ λόγος οὗτος, ἀλλ' ἐπ'
ἐρήμου παθῶν καὶ κακιῶν, καὶ ἔστι λεπτὸς νοῆ-
σαί τε καὶ νοηθῆναι, καὶ σφόδρα διαυγὴς καὶ κα-
θαρὸς ὁραθῆναι, καὶ ἔστιν ὡςεὶ κόριον. Φα-
σὶ δὲ οἱ γεηπόνοι τὸ σπέρμα τοῦ κορίου διαιρεθὲν
εἰς ἄπειρα καὶ τμηθὲν, καθ' ἕκαστον τῶν μερῶν
καὶ τμημάτων σπαρὲν βλαστάνειν οὕτως, ὡς καὶ τὸ
ὅλον ἠδύνατο. Τοιοῦτος καὶ ὁ θεοῦ λόγος, καὶ δι'
ὅλων ὠφελητικὸς, καὶ διὰ παντὸς μέρους καὶ τοῦ
τυχόντος. Μήποτε δὲ ὁμοιοῦται καὶ τῇ κατὰ τὸν
ὀφθαλμὸν κόρῃ; Ὡς γὰρ αὕτη βραχύτατον οὖσα
μέρος, τὰς τῶν ὄντων ὁρᾷ ζώνας ὅλας, καὶ θάλατ-
121 ταν ἄπειρον, καὶ ἀέρος μέγεθος, καὶ τοῦ παντὸς
M. οὐρανοῦ ὅσον ἀνατέλλων καὶ δυόμενος ὁ ἥλιος ὁρί-

*) Exod. 16, 4.

**) Exod. 16, 13 sqq.

ζει· οὕτω καὶ ὁ θεῖος λόγος ὀξυδερκέστατός ἐστιν, ὡς πάντα ἐφορᾶν εἶναι ἱκανὸς, ᾧ τὰ θέας ἄξια κατόψονται, παρ' ὃ καὶ λευκόν ἐστι. Τί γὰρ ἂν εἴη λαμπρότερον ἢ τηλαυγέστερον θείου λόγου, οὗ κατὰ μετουσίαν καὶ τὰ ἄλλα τὴν ἀχλὺν καὶ τὸν ζόφον ἀπελαύνει, φωτὸς κοινωνῆσαι ψυχικοῦ γλιχόμενα;

§. 60. Ἴδιον δὲ περὶ τοῦτον τὸν λόγον συμβαίνει πάθος. Ὅταν γὰρ καλέσῃ πρὸς ἑαυτὸν τὴν ψυχὴν, πῆξιν ἀνεγείρει τῷ γεώδει καὶ σωματικῷ καὶ αἰσθητικῷ παντί. Διὸ λέγεται τὸ "ὡςεὶ πάγος ἐπὶ τῆς γῆς." *) Καὶ γὰρ ἡνίκα ὁ τὸν θεὸν ὁρῶν φυγὴν τὴν ἀπὸ τῶν παθῶν μελετᾷ, "πήγνυνται τὰ κύματα," τουτέστιν ἡ φορὰ καὶ αὔξησις καὶ τὸ μεγάλαυχον αὐτῶν· "ἐπάγη γὰρ τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης," **) ἵνα διαβῇ τὸ πάθος ὁ βλέπων τὸν ὄντα. "Πυνθάνονται οὖν ἀλλήλων αἱ ψυχαὶ" ***) αἱ πεπονθυῖαι μὲν ἤδη τὸν λόγον, οὐκ ἔχουσαι δὲ εἰπεῖν τὸ "τί ἐστι." Καὶ γὰρ γλυκανθέντες πολλάκις, τὸν κεκινηκότα χυμὸν ἀγνοοῦμεν, καὶ ἡδέων ἀτμῶν ὀσφραινόμενοι τίνες εἰσὶν οὐκ ἴσμεν. Οὕτως οὖν ἡ ψυχὴ γανωθεῖσα πολλάκις εἰπεῖν οὐκ ἔχει, τί τὸ γανῶσαν αὐτήν ἐστι· διδάσκεται δὲ ὑπὸ τοῦ ἱεροφάντου καὶ προφήτου Μωϋσέως, ὃς ἐρεῖ, "Οὗτός ἐστιν ὁ ἄρτος, ἡ τροφὴ ἣν ἔδωκεν ὁ θεὸς τῇ ψυχῇ," ****) προςενέγκασθαι τὸ ἑαυτοῦ ῥῆμα, καὶ τὸν ἑαυτοῦ λόγον· οὗτος γὰρ ὁ ἄρτος ὃν δέδωκεν ἡμῖν φαγεῖν, τοῦτο τὸ ῥῆμα.

§. 61. Λέγει δὲ καὶ ἐν Δευτερονομίῳ, "Καὶ 93
ἐκάκωσέ σε, καὶ ἐλιμαγχόνησέ σε, καὶ ἐψώμισέ σε P.
τὸ μάννα, ὃ οὐκ ᾔδεισαν οἱ πατέρες σοῦ, ἵνα ἀναγ-

---

*) Exod. 16, 14.
**) Exod. 15, 8.
***) Exod. 16, 15.
****) Ibid.

γείλῃ σοι, ὅτι οὐκ ἐπὶ ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ᾽ ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ." Ἡ κάκωσις αὕτη ἱλασμός ἐστι· καὶ γὰρ τῇ δεκάτῃ κακῶν ἡμῶν τὰς ψυχὰς ἱλάσκεται. Ὅταν γὰρ τὰ ἡδέα περισυλᾶται, δοκοῦμεν κακοῦσθαι, τόδ᾽ ἔστι πρὸς ἀλήθειαν, ἵλεω τὸν θεὸν ἔχειν. Περιποιεῖ δὲ ἡμῖν καὶ λιμὸν, οὐκ ἀρετῆς, ἀλλὰ τὸν ἐκ πάθους καὶ κακίας συνιστάμενον. Τεκμήριον δὲ, διατρέφει γὰρ ἡμᾶς τῷ γενικωτάτῳ αὐτοῦ λόγῳ. Τὸ γὰρ μάννα ἑρμηνεύεται Τί, τοῦτό ἐστι τὸ γενικώτατον τῶν ὄντων. Καὶ ὁ λόγος δὲ τοῦ θεοῦ ὑπεράνω παντός ἐστι τοῦ κόσμου, καὶ πρεσβύτατος καὶ γενικώτατος τῶν ὅσα γέγονε. Τοῦτον τὸν λόγον οὐκ ᾔδεισαν οἱ πατέρες, οὐχ οἱ πρὸς ἀλήθειαν, ἀλλ᾽ οἱ χρόνῳ πολιοὶ, οἱ λέγοντες, "Δῶμεν ἀρχηγὸν, καὶ ἀποστρέψωμεν" *) εἰς τὸ πάθος, Αἰγύπτου. Ἀναγγελλέτω οὖν ὁ θεὸς τῇ ψυχῇ, ὅτι "οὐκ
122 ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται ὁ ἄνθρωπος," κατ᾽ εἰκόνα,
M. "ἀλλ᾽ ἐπὶ παντὶ ῥήματι τῷ ἐκπορευομένῳ διὰ στόματος θεοῦ," **) τουτέστι, καὶ διὰ παντὸς τοῦ λόγου τραφήσεται, καὶ διὰ μέρους αὐτοῦ. Τὸ μὲν γὰρ στόμα σύμβολον τοῦ λόγου, τὸ δὲ ῥῆμα μέρος αὐτοῦ. Τρέφεται δὲ τῶν μὲν τελειοτέρων ἡ ψυχὴ ὅλῳ τῷ λόγῳ· ἀγαπήσαιμεν δ᾽ ἂν ἡμεῖς, εἰ καὶ μέρει τραφείημεν αὐτοῦ.

§. 62. Ἀλλ᾽ οὗτοι μὲν εὔχονται θεοῦ λόγῳ τραφῆναι, ὁ δὲ Ἰακὼβ καὶ τὸν λόγον ὑπερκύψας, ὑπ᾽ αὐτοῦ φησι τρέφεσθαι τοῦ θεοῦ. Λέγει δὲ οὕτως, "Ὁ θεὸς, ᾧ εὐηρέστησαν οἱ πατέρες μου, Ἀβραὰμ καὶ Ἰσαὰκ, ὁ θεὸς ὁ τρέφων με ἐκ νεότητος ἕως τῆς ἡμέρας ταύτης, ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν, εὐλογήσαι τὰ παιδία ταῦτα." ***) Ὡραῖος οὗτος ὁ τρόπος, τροφέα τὸν θεὸν, οὐχὶ λό-

*) Num. 14, 4.
**) Deut. 8, 3.
***) Gen. 48, 15.

γον, ἡγεῖται· τὸν δὲ ἄγγελον, ὅς ἐστι λόγος, ὥσπερ
ἰατρὸν κακῶν, φυσικώτατα. Ἀρέσκει γὰρ αὐτῷ τὰ
μὲν προηγούμενα ἀγαθὰ, αὐτοπροσώπως αὐτὸν τὸν
ὄντα διδόναι, τὰ δεύτερα δὲ τοὺς ἀγγέλους καὶ λό-
γους αὐτοῦ. Δεύτερα δέ ἐστιν ὅσα περιέχει κακῶν
ἀπαλλαγήν. Διὰ τοῦτ᾽ οἶμαι καὶ ὑγείαν μὲν τὴν
ἁπλῆν, ἧς οὐ προηγεῖται νόσος ἐν τοῖς σώμασιν,
ὁ θεὸς χαρίζεται δι᾽ ἑαυτοῦ μόνου, τὴν δὲ γινομένην
κατὰ νόσου φυγὴν, καὶ διὰ τέχνης καὶ διὰ ἰατρικῆς·
ἐπιγράφω καὶ ἐπιστήμῃ καὶ τεχνίτῃ τῷ δοκεῖν ἰᾶ-
σθαι, πρὸς ἀλήθειαν αὐτὸς καὶ διὰ τούτων καὶ ἄνευ
τούτων ἰώμενος. Τοῦτον δὴ τὸν τρόπον καὶ ἐπὶ
ψυχῆς ἔχει. Τὰ μὲν ἀγαθὰ, τὰς τροφὰς, αὐτὸς
χαρίζεται δι᾽ ἑαυτοῦ, διὰ δὲ ἀγγέλων καὶ λόγων, ὅσα 94
ἀπαλλαγὴν περιέχει κακῶν. P.

§. 63. Ταῦτα δὲ ηὔξατο αἰτιώμενος τὸν πολι-
τικὸν Ἰωσὴφ, ὃς ἐτόλμησεν εἰπεῖν ὅτι „ἐκθρέψω σε
ἐκεῖ." *) „Σπεύσαντες γὰρ," φησὶν, „ἀνάβητε πρὸς
τὸν πατέρα μου, καὶ εἴπατε αὐτῷ, τάδε λέγει," καὶ
τὰ ἑξῆς· εἶτα, „Κατάβηθι πρὸς μὲ καὶ μὴ μείνῃς·
ἐπὶ πᾶσι, καὶ ἐκθρέψω σε ἐκεῖ, ἔτη γὰρ πέντε λι-
μός." Ἐπιμεμφόμενος οὖν ἅμα, καὶ διδάσκων τὸν
δοκησίσοφον λέγει· ὦ οὗτος, ἴσθι τὰς ψυχῆς τρο-
φὰς ἐπιστήμας ὑπαρχούσας, ἃς οὐχ ὁ αἰσθητὸς λό-
γος, ἀλλ᾽ ὁ θεὸς δωρεῖται, ὁ τρέφων ἐκ νεότητος
καὶ πρώτης ἀκμῆς μέχρι τελείου φωτὸς, αὐτὸς ἐμ-
πλήσει. Ἔπαθεν οὖν ταὐτὸν ὁ Ἰωσὴφ τῇ μητρὶ αὐ-
τοῦ Ῥαχήλ. Καὶ γὰρ αὐτὴ ἐνόμισε δύνασθαί τι τὸ
γεννητόν. Διὸ λέγει, „Δός μοι τέκνα." Ἀλλ᾽ ὅ γε
πτερνιστὴς ἑαυτὸν μιμησάμενος ἐρεῖ. „Πλάνον πε-
123 πλάνησαι πολύν. Οὐ γὰρ ἀντὶ θεοῦ ἐγώ εἰμι, τοῦ
M. μόνου δυναμένου τὰς ψυχῶν μήτρας ἀνοιγνύ-
ναι," **) καὶ σπείρειν ἐν αὐταῖς ἀρετὰς, καὶ ποιεῖν

*) Gen. 45, 11.

**) Gen. 30, 1 sqq.

ἐγκύμονας καὶ τικτούσας τὰ καλά. Κατάμαθε γέ
τοι τὴν ἀδελφήν σου Λείαν, καὶ εὑρήσεις ἐξ οὐδενὸς
γεννητοῦ λαμβάνουσαν τὴν σπορὰν καὶ τὴν γονὴν,
ἀλλ' ὑπ' αὐτοῦ τοῦ θεοῦ. „Ἰδὼν γὰρ κύριος ὅτι
μισεῖται Λεία, ἤνοιξε τὴν μήτραν αὐτῆς. Ῥαχὴλ δὲ
ἦν στεῖρα." *) Ἀλλ' ὅρα πάλιν τὴν ἐν τούτῳ λε-
πτουργίαν τῆς ἀρετῆς. Ὁ θεὸς τὰς μήτρας ἀνοίγει,
σπείρων ἐν αὐταῖς τὰς καλὰς πράξεις. Ἡ δὲ μήτρα
παραδεξαμένη τὴν ἀρετὴν ὑπὸ θεοῦ, οὐ τίκτει τῷ
θεῷ, — χρεῖος γὰρ οὐδενός ἐστιν ὁ ὤν, — ἀλλ'
ἐμοὶ τῷ Ἰακὼβ υἱούς. Ἐμοῦ γὰρ ἕνεκα ἔσπειρεν ὁ
θεὸς ἐν τῇ ἀρετῇ τάχα, οὐχ ἑαυτοῦ. Οὐκοῦν ἄλλος
μὲν ἀνὴρ τῆς Λείας ὁ ἡσυχαζόμενος εὑρίσκεται, ἄλ-
λος δὲ πατὴρ τῶν ἐκ Λείας τέκνων. Ἀνὴρ μὲν γὰρ
ὁ τὴν μήτραν ἀνοίγων, πατὴρ δὲ τῶν τέκνων, ᾧ
ταῦτα τίκτειν λέγεται. —

§. 64. „Καὶ ἔχθραν θήσω ἀνὰ μέσον σοῦ καὶ
ἀνὰ μέσον τῆς γυναικός." **) Ὄντως ἐστὶν ἡδονὴ
ἐχθρὸν αἰσθήσει, καί τοι δοκοῦν ἐνίοις μάλιστα εἶ-
ναι φίλον. Ἀλλ' ὥσπερ τὸν κόλακα οὐκ ἄν τις ἑταῖ-
ρον εἴποι, νόσος γὰρ φιλίας ἡ κολακεία, οὐδὲ τὴν
ἑταίραν εὔνουν ἐραστῇ, τοῖς γὰρ διδομένοις, οὐκ
αὐτῷ, προσπέπονθεν· οὕτω καὶ τὴν ἡδονὴν ἐξετά-
ζων εὑρήσεις νόθον οἰκειότητα ὑποδυομένην πρὸς
αἴσθησιν. Ὅταν γέ τοι κορεσθῶμεν ἡδονῆς, ἐκπί-
πτει τῶν τόνων ἡμῶν τὰ αἰσθητήρια. Ἢ τοὺς οἴ-
νων ἔρωτι μεθύοντας οὐ καταλαμβάνεις, ὅτι ὁρῶντες
οὐχ ὁρῶσι, καὶ ἀκούοντες οὐκ ἀκούουσι, καὶ τῶν
ἄλλων αἰσθήσεων ἀφῄρηνται τὰς ἀκριβεῖς ἐνεργείας;
Ἔστι δὲ ὅτε καὶ διὰ πλῆθος ἄμετρον τροφῆς ἅπαν-
τες οἱ τόνοι τῶν αἰσθήσεων ὑφείθησαν ὕπνου κατα- 95
λαμβάνοντος, ὃς καὶ τὸ ὄνομα ἔσχεν ὑπὸ τῆς ὑφέ- P.
σεως αὐτῶν. Χαλᾶται γὰρ τότε τὸ αἰσθητικὸν ὄρ-

---

*) Gen. 29, 31.

**) Gen. 3, 15.

γανον, ὥςπερ ἐν ταῖς ἐγρηγόρσεσιν ἐπιτείνεται, μηκέτι κωφὰς τὰς ἀπὸ τοῦ ἐκτὸς πλήξεις δεχόμενον, ἀλλὰ γεγωνυίας καὶ ἐναργεῖς, τήν τε ἠχὴν ἄχρι τοῦ νοῦ διαδιδούσας. Δεῖ γὰρ αὐτὸν πληχθέντα γνωρίσαι τὸ ἐκτὸς, καὶ λαβεῖν αὐτοῦ τύπον ἐναργῆ. —

§. 65. Τήρει δὲ, ὅτι οὐκ εἶπεν, "ἔχθραν θήσω σοὶ καὶ τῇ γυναικὶ," ἀλλὰ "ἀνὰ μέσον σοῦ καὶ τῆς γυναικός." Διὰ τί δέ; Ὅτι περὶ τὸ μέσον, καὶ ὡς ἂν ἐν μεθορίῳ κείμενον ἡδονῆς καὶ αἰσθήσεως, γί-
124 νεται τούτων ὁ πόλεμος. Τὸ δὲ μέσον ἀμφοῖν ἐστι
M. τὸ πότιμον, τὸ ἐδώδιμον, τὸ εὐτρεπὲς πρὸς τὰ τοιαῦτα πάντα, ὧν ἕκαστον αἰσθητόν τέ ἐστι καὶ ποιητικὸν ἡδονῆς. Ὅταν οὖν ἀπλήστως ἐμφορηθήσεται τούτων ἡ ἡδονὴ, βλάβην εὐθὺς εἰργάζετο αἰσθήσει. Τὸ δὲ ἀνὰ μέσον τοῦ σπέρματός σου καὶ τοῦ σπέρματος αὐτῆς, εἴρηται πάλιν φυσικῶς. Σπέρμα γὰρ πᾶν ἐστι γενέσεως ἀρχή. Ἀρχὴ δὲ ἡδονῆς μὲν οὐ τὸ πάθος, ἀλλ' ἄλογος ὁρμὴ αἰσθήσεως διὰ νοῦ. Ἀπὸ γὰρ τούτου καθάπερ τινὸς πηγῆς, αἱ αἰσθητικαὶ τείνονται δυνάμεις, μάλιστα κατὰ τὸν ἱερώτατον Μωϋσῆν, ὃς ἐκ τοῦ Ἀδὰμ πεπλάσθαι φησὶ τὴν γυναῖκα, τὴν αἴσθησιν ἐκ τοῦ νοῦ. Ὅπερ οὖν ἡδονὴ πρὸς αἴσθησιν, τοῦτο πάθος πρὸς νοῦν. Ὥςτε ἐπειδὴ ἐκεῖνα ἐχθρὰ, καὶ ταῦτ' ἂν εἴη πολέμια.

§. 66. Καὶ περιφανής ἐστιν ὁ τῶνδε πόλεμος. Κατὰ γοῦν τὰς ἐπικρατείας τοῦ νοῦ, ὅτε τοῖς νοητοῖς καὶ ἀσωμάτοις παραβάλλει, φυγαδεύεται τὸ πάθος. Καὶ ἔμπαλιν ὅταν τοῦτο νικήσῃ νίκην κακὴν, εἴκει ὁ νοῦς, κωλυόμενος προςέχειν ἑαυτῷ καὶ τοῖς ἑαυτοῦ πᾶσιν ἔργοις. Φησὶ γοῦν ἐν ἑτέροις, ὅτι "Ὅταν μὲν ἐπῆρε τὰς χεῖρας Μωϋσῆς, κατίσχυεν Ἰσραὴλ, ὅταν δὲ καθῆκε, κατίσχυεν Ἀμαλήκ." *) Τοῦτο παριστῶν, ὅτι ὁ νοῦς ἐπειδὰν μὲν ἐξάρῃ αὐτὸν ἀπὸ τῶν θνητῶν, καὶ μετεωρισθῇ, ῥώννυται

*) Exod. 17, 11.

τῷ ὁρᾶν τὸν θεὸν, ὅπερ ἐστὶν Ἰσραήλ. Ἐπειδὰν δὲ καθῇ τοὺς ἰδίους τόνους, καὶ ἐξασθενήσῃ, αὐτίκα τὸ πάθος ἰσχύσει ὁ Ἀμαλὴκ, ὃς ἑρμηνεύεται λαὸς ἐκλείχων. Ὄντως γὰρ διεσθίει τὴν ὅλην ψυχὴν καὶ ἐκλιχμᾶται, μηδὲν ἐν αὐτῇ σπέρμα ἢ ζώπυρον ἀρετῆς ὑπολείπων. Παρ' ὃ καὶ λέγεται, "Ἀρχὴ ἐθνῶν Ἀμαλὴκ," ὅτι τῶν μιγάδων καὶ συγκλύδων καὶ πεφυρμένων ἀβουλὶ τὸ πάθος ἄρχει καὶ κυριεύει. Διὰ τοῦτον πᾶς ὁ ψυχῆς ἀναῤῥιπίζεται πόλεμος. Αἷς γοῦν χαρίζεται διανοίαις ὁ θεὸς εἰρήνην, ταύταις ὁμολογεῖ ἀπαλείψειν τὸ μνημόσυνον Ἀμαλὴκ ἐκ τῆς ὑπ' οὐρανόν.—

§. 67. *Τὸ δὲ "Αὐτός σου τηρήσει κεφαλὴν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν"* *) *τῇ μὲν φωνῇ βαρβαρισμός ἐστι, τῷ δὲ σημαινομένῳ κατόρθωμα. Τί* 96
γάρ; Ὀφείλεται περὶ τῆς γυναικὸς, ἡ δὲ γυνὴ "αὐ- P.
τὸς" οὐκ ἔστιν ἀλλ' "αὐτή." Τί οὖν λεκτέον; Ἀπὸ τοῦ περὶ τῆς γυναικὸς λόγου μετελήλυθεν ἐπὶ τὸ σπέρμα καὶ τὴν ἀρχὴν αὐτῆς. Ἀρχὴ δὲ ἦν αἰσθή-
125 *σεως ὁ νοῦς. Οὗτος δὲ ἄῤῥην, ἐφ' οὗ χρὴ λέγειν,*
M. *αὐτὸς καὶ αὐτοῦ, καὶ τὰ τοιαῦτα. Ὀρθῶς οὖν τῇ ἡδονῇ λέγεται, ὅτι ὁ νοῦς σου τηρήσει τὸ κεφάλαιον καὶ ἡγεμονικὸν δόγμα, καὶ σὺ τηρήσεις αὐτοῦ τοῦ νοῦ· τὰς ἐπιβάσεις καὶ ἐφιδρύσεις τῶν ἀρεσκόντων, αἷς αἱ πτέρναι κατὰ λόγον εἰκάσθησαν.*

§. 68. *Τὸ δὲ "τηρήσει" δύο δηλοῖ· ἓν μὲν τὸ οἷον διαφυλάξει καὶ διασώσει, ἕτερον δὲ τὸ ἴσον τῷ ἐπιτηρήσει πρὸς ἀναίρεσιν. Ἀνάγκη δὲ τὸν νοῦν ἢ φαῦλον ἢ σπουδαῖον εἶναι. Ὁ μὲν οὖν ἄφρων φύλαξ καὶ ταμίας ἂν γένοιτο τῆς ἡδονῆς, χαίρει γὰρ αὐτῇ, ὁ δὲ σπουδαῖος ἐχθρὸς, καραδοκῶν ὅτε ἐπιθέμενος ἰσχύσει καθελεῖν αὐτὴν εἰςάπαν. Καὶ μὴν ἔμπαλιν ἡ ἡδονὴ τοῦ μὲν ἄφρονος διατηρεῖ τὴν ἐπίβασιν, τοῦ δὲ σοφοῦ λύειν καὶ ἀναιρεῖν ἐπιχειρεῖ τὴν ἔνστασιν,*

---

*) Gen. 3, 15.

ἡγουμένη τὸν μὲν κατάλυσιν αὐτῆς μελετᾶν, τὸν δὲ ἄφρονα, δι᾽ ὧν μάλιστα σωθήσεται. Ἀλλ᾽ ὅμως πτερνίζειν δοκοῦσα καὶ ἀπατᾶν τὸν ἀστεῖον, αὐτὴ πτερνισθήσεται πρὸς τοῦ πάλην ἠσκηκότος Ἰακὼβ, — πάλην δὲ οὐ τὴν τοῦ σώματος, ἀλλ᾽ ἣν παλαίει ψυχὴ πρὸς τοὺς ἀνταγωνιστὰς τρόπους αὐτῆς, πάθεσι καὶ κακίαις μαχομένους, — καὶ οὐ πρότερον ἀνήσει πτέρναν τοῦ ἀνταγωνιστοῦ πάθους, πρὶν ἀπειπεῖν αὐτὸ, καὶ ὁμολογῆσαι ὅτι ἐπτέρνισται καὶ νενίκηται δὶς, ἔν τε τοῖς πρωτοτοκίοις, καὶ ἐν τῷ εὐλογιστεῖν. "Δικαίως γὰρ," φησὶν, "ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰακώβ. Ἐπτέρνικέ με γὰρ ἤδη δεύτερον. Τότε τὰ πρωτοτόκιά μου εἴληφε, καὶ νῦν εἴληφε τὴν εὐλογίαν μου." *) Πρεσβύτερα δὲ ὁ μὲν φαῦλος ἡγεῖται τὰ σώματος, ὁ δὲ ἀστεῖος τὰ ψυχῆς, ἃ καὶ πρὸς ἀλήθειάν ἐστιν, οὐ χρόνῳ, ἀλλὰ δυνάμει καὶ ἀξιώματι πρεσβύτερα καὶ πρῶτα ὄντως, ὡς καὶ ἄρχων ἐν πόλει· ἡγεμονὶς δὲ τοῦ συγκρίματος ἡ ψυχή.

§. 69. Εἴληφεν οὖν τὰ πρῶτα ὁ πρῶτος κατ᾽ ἀρετὴν, ἃ καὶ ἐπέβαλεν αὐτῷ· εἴληφε γὰρ καὶ εὐλογιστεῖν σὺν εὐχαῖς τελείαις. Μάταιος δὲ καὶ οἰησίσοφος ὁ λέγων, "τὰς ἐμὰς εὐλογίας καὶ τὰ ἐμὰ πρωτοτόκια εἴληφεν." **) Οὐ γὰρ τὰ σὰ, ὦ οὗτος, λαμβάνει, ἀλλὰ τοῖς σοῖς τὰ ἐναντία. Τὰ μὲν γὰρ σὰ δουλείας, τὰ δὲ ἐκείνου δεσποτείας ἠξίωται. Καὶ εἰ ἀγαπήσεις δοῦλος γενέσθαι τοῦ σοφοῦ, νουθεσίας καὶ σωφρονισμοῦ κοινωνήσεις, ἀμαθίαν καὶ ἀπαιδευσίαν κῆρας ψυχῆς ἀποβαλών. Εὐχόμενος γὰρ ὁ πατήρ σοί φησιν, ὅτι "τῷ ἀδελφῷ σου δουλεύσεις," ***) ἀλλ᾽ οὐχὶ νῦν, — οὐ γὰρ ἀνέξεταί σε ἀφηνιάζοντα, — ἀλλ᾽ ὅταν ἐκλύσῃς τὸν ζυγὸν ἀπὸ τοῦ τραχήλου 97 σοῦ, τὸ αὔχημα καὶ φρύαγμα ἀποβαλὼν ὃ ἐκτήσω, P.

---

*) Gen. 27, 36.

**) Ibid.

***) Gen. 27, 40.

126 ὑποζεύξας ἑαυτὸν ὀχήματι παθῶν, ἡνιοχούσης M. ἀφροσύνης. Νυνὶ μὲν δοῦλος εἶ χαλεπῶν καὶ ἀφορήτων τῶν ἐν ἑαυτῷ δεσποτῶν, οἷς νόμος ἐστὶ, μηδένα ἐλεύθερον ποιεῖν. Ἐὰν δὲ τούτους δρασμῷ χρησάμενος καταλίπῃς, ὑποδέξεταί σε φιλόδουλος δεσπότης ἐπ' ἐλπίσι χρησταῖς ἐλευθερίας, καὶ οὐκ ἐκδώσει ἔτι τοῖς προτέροις δεσπόταις, μαθὼν παρὰ Μωϋσέως δίδαγμα καὶ δόγμα ἀναγκαῖον, "μὴ παραδιδόναι παῖδα τῷ κυρίῳ ὃς προστέθειται αὐτῷ παρὰ τοῦ κυρίου· μετὰ γὰρ αὐτοῦ κατοικήσει ἐν παντὶ τόπῳ, ᾧ ἂν ἀρέσκῃ αὐτῷ." *)

§. 70. Ἀλλ' ἕως οὐκ ἀποδέδρακας, ἔτι δ' ἐγκεχαλίνωσαι ταῖς ἐκείνων τῶν δεσποτῶν ἡνίαις, ἀναξίαις δουλεύειν σοφῷ, τεκμήριον μέγιστον ἤθους ἀνελευθέρου καὶ δουλοπρεποῦς παρέχεις, ὅταν λέγῃς, "τὰ ἐμὰ πρωτοτόκια καὶ τὰς ἐμὰς εὐλογίας." **) Εἰς ἄμετρον γὰρ ἀμαθίαν κεχωρηκότων αἵδε αἱ φωναὶ, ἐπειδὴ μόνῳ ἁρμόττει θεῷ λέγειν τὸ ἐμόν· αὐτοῦ γὰρ ὄντως κτήματα μόνου τὰ πάντα. Διὸ καὶ μαρτυρήσει ὅταν φῇ, "Τὰ δῶρά μου, δόματά μου, καρπώματά μου." ***) Διατηρήσεις ὅτι δῶρα δομάτων διαφέρουσι. Τὰ μὲν γὰρ ἔμφασιν μεγέθους τελείων ἀγαθῶν δηλοῦσιν, ἃ τοῖς τελείοις χαρίζεται ὁ θεὸς, τὰ δὲ εἰς βραχύτατον ἔσταλται, ὧν μετέχουσιν οἱ εὐφυεῖς ἀσκηταὶ οἱ προκόπτοντες. Οὗ χάριν καὶ Ἀβραὰμ ἀκολουθῶν τῷ θεοῦ θελήματι, τὰ μὲν ὑπάρχοντα ἅπερ ἦν αὐτῷ ἐκ θεοῦ, κατέχει, "ἀποπέμπεται δὲ τὴν ἵππον τοῦ βασιλέως Σοδόμων," ****) ὡς καὶ τὰ ὑπαρκτὰ τῶν παλλακῶν. Καὶ Μωϋσῆς μέντοι τὰ μέγιστα δικαιονομεῖν ἀξιοῖ, καὶ περὶ τῶν μεγίστων· τὰ δὲ βραχέα

---

*) Deut. 23, 16.
**) Gen. 27, 36.
***) Num. 28, 2.
****) Gen. 14, 21.

τῶν κριμάτων ἐπιτρέπει τοῖς δευτερεύουσι σκοπεῖν. Ὅςτις δὲ τολμᾷ λέγειν ἑαυτοῦ τι εἶναι, δοῦλος τὸν πάντα αἰῶνα γεγράψεται· ὥςπερ ὁ λέγων, "Ἠγάπηκα τὸν κύριόν μου, καὶ τὴν γυναῖκά μου, καὶ τὰ παιδία μου· οὐκ ἀποτρέχω ἐλεύθερος." *) Εὖγε τὸ ἑαυτῷ ὁμολογῆσαι δουλείαν. Πῶς γὰρ ὁ λέγων, οὐ δοῦλος, ἐμὸς ὁ κύριος νοῦς ἐστι, κύριος ἑαυτοῦ καὶ αὐτοκράτωρ· ἐμὴ καὶ ἡ αἴσθησις, αὔταρκες τῶν σωμάτων κριτήριον· ἐμὰ καὶ τὰ τούτων ἔκγονα, τοῦ μὲν νοῦ τὰ νοητὰ, τῆς δὲ αἰσθήσεως τὰ αἰσθητά· ἐπ᾽ ἐμοὶ γὰρ τὸ νοεῖν, τὸ αἰσθάνεσθαι. Ἀλλὰ μὴ μόνον ἑαυτοῦ καταμαρτυρείτω, ἀλλὰ καὶ ὑπὸ τοῦ θεοῦ καταδικασθεὶς, αἰωνίαν καὶ βεβαιοτάτην ὑπομενέτω δουλείαν κελεύοντος· τό τε οὖς τρυπάσθω, ἵνα μὴ παραδέξηται λόγους ἀρετῆς, καὶ δουλεύῃ τὸν αἰῶνα τῷ νῷ καὶ τῇ αἰσθήσει, κακοῖς καὶ ἀνηλεέσι δεσπόταις. —

§. 71. "Καὶ τῇ γυναικὶ εἶπε, πληθύνων πληθυ- 98
νῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου." **) Τῆς P.
γυναικὸς, ἥτις αἴσθησις ἦν, ἴδιόν ἐστιν ἀλγηδὼν πά-
127 θος, ἡ λύπη καλεῖται. Περὶ ὃ γὰρ γίνεται τὸ ἥ-
M. δεσθαι, περὶ τοῦτο καὶ τὸ ἀλγεῖν. Ἡδόμεθα δὲ διὰ τῶν αἰσθήσεων, ὥςτε ἐξ ἀνάγκης καὶ ἀλγοῦμεν δι᾽ αὐτῶν. Ἀλλ᾽ ὁ μὲν σπουδαῖος καὶ κεκαθαρμένος νοῦς ἐλάχιστα ἀλγεῖ· ἥκιστα γὰρ ἐπιτίθενται αὐτῷ αἱ αἰσθήσεις. Τῷ δὲ ἄφρονι περιττεύει τὸ πάθος, οὐδὲν ἔχοντι ἀλεξιφάρμακον ἐν τῇ ψυχῇ, ᾧ τὰς ἀπὸ τῶν αἰσθήσεων καὶ αἰσθητῶν κῆρας ἀμυνεῖται. Ὥςπερ γὰρ ἑτέρως τύπτεται ὁ ἀθλητὴς, καὶ ὁ δοῦλος, — ὁ μὲν καθ᾽ ὑπόπτωσιν ἐνδιδοὺς πρὸς τὰς αἰκίας καὶ ὑπείκων, ὁ δὲ ἀθλητὴς ἀντέχων καὶ ἀντιστατῶν, καὶ τὰς ἐπιφερομένας ἀποσειόμενος, καὶ κείρεις ἑτέρως μὲν ἄνθρωπον, ἑτέρως δὲ τὸ κώδιον,

*) Gen. 21, 5.
**) Gen. 3, 16.

τὸ μὲν γὰρ ἐν τῷ πάσχειν μόνον ἐξετάζεται, ὁ δὲ ἄνθρωπος καὶ ἀντιδρᾷ, καὶ ὥςπερ ἀντιπέπονθε, σχηματίζων ἑαυτὸν πρὸς τὸ κείρεσθαι, — οὕτως ὁ μὲν ἀλόγιστος, ἀνδραπόδων δίκην, ἑτέρῳ ὑπείκει, καὶ ὑποπίπτει ταῖς ἀλγηδόσιν ὡς ἀφορήτοις δεσποίναις, ἀντιβλέψαι πρὸς αὐτὰς ἀδυνατῶν, ἄῤῥενας καὶ ἐλευθέρους σπᾶν μὴ δυνάμενος λογισμούς. Παρὸ δὴ καὶ πλῆθος ἄπειρόν διὰ τῶν αἰσθήσεων αὐτῷ τῶν ὀδυνηρῶν ἐπαντλεῖται. Ὁ δὲ ἐπιστήμων ἀθλητοῦ τρόπον μετὰ δυνάμεως καὶ ῥώμης καρτερῶς ἀντιβὰς, πρὸς τὰ ἀλγεινὰ πάντα ἀντιπνεῖ, ὡς μὴ τιτρώσκεσθαι πρὸς αὐτῶν, ἀλλ' ἔξω διαφορεῖν ἕκαστον. Καί μοι δοκεῖ νεανιευσάμενος ἂν ἐπιφωνῆσαι τὸ τραγικὸν πρὸς τὴν ἀλγηδόνα οὕτως·

Πίμπρα κάταιθε σάρκας, ἐμπλήσθητί μου
Πίνουσα κέλαινον αἷμα· πρόσθε γὰρ κάτω
Γῆς εἶσιν ἄστρα, γῆ δ' ἄνω εἰς αἰθέρα,
Πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον. *)

§. 72. Ὥςπερ δὲ τῇ αἰσθήσει τὰ ἀλγεινὰ πάντα παραυξήσας τέθεικεν ὁ θεὸς, οὕτω τῇ σπουδαίᾳ ψυχῇ πλῆθος ἄφθονον ἀγαθῶν δεδώρηται. Φησὶ γοῦν ἐπὶ τοῦ τελείου Ἀβραὰμ τὸν τρόπον τοῦτον, "Κατ' ἐμαυτοῦ ὤμοσα, λέγει κύριος, οὗ ἕνεκα ἐποίησας τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμὲ, ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σου, ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης." **) Εὖ καὶ τῷ ὅρκῳ βεβαιώσας τὴν ὑπόσχεσιν, καὶ ὅρκῳ θεοπρεπεῖ. Ὁρᾷς γὰρ ὅτι οὐ καθ' ἑτέρου ὀμνύει θεὸς, οὐδὲν γὰρ αὐτοῦ κρεῖττον, ἀλλὰ καθ' ἑαυτοῦ, ὅς ἐστι πάντων ἄριστος. Ἔφασαν δέ τινες, ὡς ἀνοίκειον ἦν ὀμνύναι. Ὁ ὅρκος

*) Verba sunt Herculis in Euripidis Syleo; vide infra p. 537. 869. 880. ed. Par.

**) Gen. 22, 16.

128 γὰρ πίστεως ἕνεκα παραλαμβάνεται· πιστὸς δὲ μό-
M. νος ὁ θεὸς, καὶ εἴ τις θεῷ φίλος, καθάπερ Μωϋ-
σῆς λέγεται "πιστὸς ἐν παντὶ τῷ οἴκῳ γεγενῆσθαι." *)
Ἄλλως τε καὶ οἱ λόγοι τοῦ θεοῦ εἰσιν ὅρκοι καὶ 99
νόμοι τοῦ θεοῦ καὶ θεσμοὶ ἱεροπρέστατοι. Τεκμή- P.
ριον δὲ τῆς ἰσχυρότητος αὐτοῦ, ὃ ἂν εἴπῃ γίνεται,
ὅπερ ἦν οἰκειότατον ὅρκῳ. Ὥςτε ἀκόλουθον ἂν εἴη
λέγειν, ὅτι πάντες οἱ τοῦ θεοῦ λόγοι εἰσὶν ὅρκοι
βεβαιούμενοι ἔργων ἀποτελέσμασι.

§. 73. Φασί γε μὴν, ὅρκον εἶναι μαρτυρίαν θεοῦ περὶ πράγματος ἀμφισβητουμένου· εἰ δὲ ὄμνυσιν ὁ θεὸς, ἑαυτῷ μαρτυρεῖ, ὅπερ ἐστὶν ἄτοπον· ἕτερον γὰρ δεῖ εἶναι τὸν ποιούμενον τὴν μαρτυρίαν καὶ τὸν ὑπὲρ οὗ γίνεται. Τί οὖν λεκτέον; Πρῶτον μὲν, ὡς οὐκ ἔστιν ὑπαίτιον ἑαυτῷ μαρτυρεῖν τὸν θεόν. Τίς γὰρ ἂν ἄλλος γένοιτο ἱκανὸς αὐτῷ μαρτυρῆσαι; Ἔπειτα, πάντ' ἔστιν αὐτὸς ἑαυτῷ τὰ τιμιώτατα, συγγενὴς, οἰκεῖος, φίλος, ἀρετὴ, εὐδαιμονία, μακαριότης, ἐπιστήμη, σύνεσις, ἀρχὴ, τέλος, ὅλον, πᾶν, δικαστὴς, γνώμη, βουλὴ, νόμος, πρᾶξις, ἡγεμονία. Ἄλλως τε ἂν τὸ "κατ' ἐμαυτοῦ ὤμοσα" ὃν χρὴ τρόπον ἐκδεξώμεθα, παυσόμεθα τῆς ἄγαν σοφιστείας. Μήποτ' οὖν ἐστι τοιοῦτον, οὐδὲν τῶν δυναμένων πιστεύειν δύναται παγίως περὶ θεοῦ πιστεῦσαι· οὐδενὶ γὰρ ἔδειξεν αὑτοῦ τὴν φύσιν, ἀλλ' ἀόρατον αὐτὴν παντὶ τῷ γένει παρεσκεύασεν. Τίς ἂν ἰσχύσῃ ἢ ὅτι σῶμα, ἢ ὅτι ἀσώματον, ἢ ὅτι ποιὸν, ἢ ὅτι ἄποιον, τὸ αἴτιον εἰπεῖν, ἢ συνόλως περὶ οὐσίας, ἢ ποιότητος, ἢ σχέσεως, ἢ κινήσεως αὐτοῦ, βεβαίως ἀποφήνασθαι; Ἀλλὰ περί γε ἑαυτοῦ μόνου ἰσχυριεῖται, ἐπεὶ καὶ μόνος ἀψευδῶς τὴν ἑαυτοῦ φύσιν ἠκρίβωσε. Βεβαιότης οὖν εὐχάριστος ἑαυτοῦ τὸ πρῶτον, ἔπειτα καὶ τῶν ἔργων αὑτοῦ μόνος ὁ θεὸς, ὥςτε εἰκότως ὤμνυε καθ' ἑαυτοῦ, πι-

*) Num. 12, 7.

στούμενος ἑαυτὸν, ὃ μὴ δυνατὸν ἦν ἄλλῳ. Διὸ καὶ ἀσεβεῖς ἂν νομισθεῖεν οἱ φάσκοντες ὀμνύναι κατὰ θεοῦ. Εἰκότως γὰρ οὐδεὶς ὄμνυσι καθ᾽ ἑαυτοῦ, ὅτι γε οὐ περὶ τῆς φύσεως αὐτοῦ διαγνῶναι δύναται, ἀλλ᾽ ἀγαπητὸν, ἐὰν τοῦ ὀνόματος αὐτοῦ δυνηθῶμεν, ὅπερ ἦν, τοῦ ἑρμηνέως λόγου. Οὗτος γὰρ ἡμῶν τῶν ἀτελῶν ἂν εἴη θεὸς, τῶν δὲ σοφῶν καὶ τελείων, ὁ πρῶτος. Καὶ Μωϋσῆς μέντοι τὴν ὑπερβολὴν θαυμάσας τοῦ ἀγεννήτου, φησὶν, "Καὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ," *) οὐχὶ αὐτῷ. Ἱκανὸν γὰρ τῷ γεννητῷ πιστοῦσθαι, καὶ μαρτυρεῖσθαι λόγῳ θείῳ. Ὁ δὲ θεὸς αὐτοῦ πίστις ἔστω καὶ μαρτυρία
129 βεβαιοτάτη.

M. §. 74. Τὸ δὲ "Οὗ εἵνεκα ἐποίησας τὸ ῥῆμα τοῦτο" **) σύμβολόν ἐστιν εὐσεβείας. Τὸ γὰρ ἕνεκα θεοῦ μόνου πάντα πράττειν, εὐθές. Παρ᾽ ὃ καὶ ἀφειδοῦμεν τοῦ ἀγαπητοῦ τέκνου τῆς ἀρετῆς, τοῦ εὐδαιμονῆσαι, παραχωροῦντες αὐτῷ τῷ δημιουργῷ, ἄξιον τὸ γέννημα κρίνοντες κτῆμα θεοῦ νομίζεσθαι, ἀλλὰ μὴ γεννητοῦ τινος. Εὖ δὲ τὸ φάναι, "Εὐ- 100
λογῶν εὐλογήσω." Πολλὰ γὰρ εὐλόγιστα δρῶσί τινες, P.
ἀλλ᾽ οὐκ ἐπ᾽ εὐλογίαις. Ἐπεὶ καὶ ὁ φαῦλος ἔνια δρᾷ τῶν καθηκόντων, οὐκ ἀφ᾽ ἕξεως καθηκούσης· καὶ ὁ μεθύων μέντοι καὶ μεμηνὼς ἔστιν ὅτε νηφάλια φθέγγεταί τε καὶ ποιεῖ, ἀλλ᾽ οὐκ ἀπὸ νηφούσης διανοίας· καὶ οἱ ἔτι κομιδῇ νήπιοι παῖδες οὐκ ἀπὸ λογικῆς ἕξεως, οὔπω γὰρ αὐτοὺς ἡ φύσις λογικοὺς πεπαίδευκε, πολλὰ πράττουσι καὶ λέγουσιν ὧν οἱ λογικοί. Βούλεται δὲ ὁ νομοθέτης τὸν σοφὸν μὴ σχετικῶς, καὶ εὐαλώτως καὶ ὡς ἂν ἐκ τύχης, εὐλόγιστον δοκεῖν εἶναι, ἀλλ᾽ ἀπὸ ἕξεως καὶ διαθέσεως εὐλογίστου. —

---

*) Deut. 6, 13.
**) Gen. 22, 16 sqq.

§. 75. Οὐκ ἐξήρκεσεν οὖν τῇ βαρυδαίμονι αἰσθήσει χρῆσθαι πλουσίως ταῖς λύπαις, ἀλλὰ καὶ "τῷ στεναγμῷ." Ἔστι δὲ στεναγμὸς σφοδρὰ καὶ ἐπιτεταμένη λύπη. Πολλάκις γὰρ ἀλγοῦμεν οὐχὶ στένοντες· ὅταν δὲ στένωμεν, ἀνιαρῶς καὶ πάνυ ὀμβρηρῶς χρώμεθα ταῖς λύπαις. Τὸ δὲ στένειν ἐστὶ διττόν· ἓν μέν, ὃ γίνεται περὶ τοὺς ἐπιθυμοῦντας καὶ ὀρεγομένους τῶν ἀδικιῶν καὶ μὴ τυγχάνοντας, ὃ δὴ καὶ φαῦλόν ἐστιν· ἕτερον δέ, ὃ γίνεται περὶ τοὺς μετανοοῦντας καὶ ἀχθομένους ἐπὶ τῇ πάλαι τροπῇ, καὶ λέγοντας, κακοδαίμονες ἡμεῖς, ὅσον ἄρα χρόνον ἐληλύθειμεν νοσοῦντες ἀφροσύνης νόσον, καὶ ἀνοίας καὶ ἀδικίας ἐπιτηδευμάτων; Τοῦτο δὲ οὐ γίνεται, ἐὰν μὴ τελευτήσῃ καὶ ἀποθάνῃ ἐκ τῆς ψυχῆς ὁ βασιλεὺς τῆς Αἰγύπτου, ὁ ἄθεος καὶ φιλήδονος τρόπος, "μετὰ γὰρ τὰς ἡμέρας τὰς πολλὰς ἐκείνας ἐτελεύτησεν ὁ βασιλεὺς τῆς Αἰγύπτου." *). Εἶτ' εὐθὺς ἀποθανούσης κακίας στενάζει ὁ ὁρῶν τὸν θεόν, καὶ τὴν ἑαυτοῦ τροπήν, "κατεστέναξαν γὰρ οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν σωματικῶν καὶ Αἰγυπτιακῶν ἔργων." Ἐπεὶ ζῶν γε ὁ βασιλεὺς καὶ φιλήδονος τρόπος ἐν ἡμῖν, γεγηθέναι τὴν ψυχὴν ἀναπείθει, ἐφ' οἷς ἁμαρτάνει· ὅταν δὲ τελευτήσῃ, στένει· Διὸ καὶ ἐκβοᾷ πρὸς τὸν δεσπότην ἱκετεύουσα μηκέτι τραπῆναι, μηδὲ ἀτελῆ τὴν τελείωσιν λαβεῖν. Πολλαῖς γὰρ ψυχαῖς μετανοίᾳ χρῆσθαι βουληθείσαις οὐκ ἐπέτρεψεν ὁ θεός, ἀλλ' ὥςπερ ὑπὸ παλιῤῥοίας εἰς τὸ ἔμπα-
130 λιν ἀνεχώρησαν· τρόπον τινὰ τῆς Λὼτ **) γυναι-
M. κὸς τῆς λιθουμένης διὰ τὸ Σοδόμων ἐρᾶν, καὶ εἰς τὰς κατεστραμμένας ὑπὸ τοῦ θεοῦ φύσεις ἀνατρέχειν.

§. 76. Ἀλλὰ νυνί γε φησίν, ὅτι "ἀνέβη ἡ βοὴ

---

*) Exod. 2, 23.

**) Exod. 19, 26.

αὐτῶν πρὸς τὸν θεὸν,*) μαρτυρῶν τῇ τοῦ ὄντος χάριτι. Εἰ γὰρ μὴ δυνατῶς πρὸς ἑαυτὸν ἐκάλεσε τὸν ἱκέτην λόγον, οὐκ ἂν ἀνέβη· τουτέστιν οὐκ ἂν ἀνεβιβάσθη καὶ ηὐξήθη καὶ μετεωρεῖν ἤρξατο, φυγὼν τὴν ταπεινότητα τῶν γηΐνων. Διὸ καὶ ἐν τοῖς
ἑξῆς φησιν, "Ἰδοὺ κραυγὴ τῶν υἱῶν Ἰσραὴλ ἥκει 101
πρός με."**) Πάνυ καλῶς τὸ φθάσαι μέχρι θεοῦ P.
τὴν ἱκεσίαν· οὐκ ἂν δὲ ἔφθασεν, εἰ μὴ ὁ καλῶν χρηστὸς ἦν. Ἐνίαις δὲ ψυχαῖς προαπαντᾷ, "Ἥξω πρός σε καὶ εὐλογήσω σε." Ὁρᾷς ὅση τοῦ αἰτίου ἡ χάρις, φθάνοντος τὴν ἡμετέραν μέλλησιν καὶ προαπαντῶντος εἰς εὐεργεσίαν παντελῆ τῆς ψυχῆς. Καὶ χρησμός ἐστι δογματικὸς τὸ λεγόμενον· ἐὰν γὰρ ἔλθῃ εἰς τὴν διάνοιαν ἔννοια θεοῦ, εὐλογιστεῖ τε εὐθὺς, καὶ πάσας τὰς νόσους αὐτῆς ἰᾶται. Ἡ δέ γε αἴσθησις ἀεὶ λυπεῖται καὶ στένει καὶ τίκτει μετ' ὀδύνης καὶ ἀλγηδόνων ἀνηκέστων τὸ αἰσθάνεσθαι· ὡς καὶ αὐτός φησιν, "Ἐν λύπαις τέξῃ τέκνα." Τίκτει δὲ ἡ μὲν ὅρασις τὸ ὁρᾶν, ἡ δὲ ἀκοὴ τὸ ἀκούειν, ἡ δὲ γεῦσις τὸ γεύεσθαι, καὶ συνόλως ἡ αἴσθησις τὸ αἰσθάνεσθαι, ἀλλ' οὐκ ἄνευ χαλεπῆς ἀνίας τῷ ἄφρονι ἕκαστον τούτων ποιεῖται. Ἐπιλύπως γὰρ οὗτος καὶ ὁρᾷ, καὶ ἀκούει, καὶ γεύεται, καὶ ὀσφραίνεται, καὶ κοινῶς αἰσθάνεται.

§. 77. Ἔμπαλιν δὲ τὴν ἀρετὴν εὑρήσεις μετὰ χαρᾶς ὑπερβαλλούσης καὶ κυοφοροῦσαν, καὶ τὸ σπουδαῖον σὺν γέλωτι καὶ εὐθυμίᾳ γεννῶσαν, καὶ τὸ γέννημα ἀμφοῖν αὐτὸ γέλως ὄν. Ὡς μὲν οὖν ὁ σοφὸς χαίρων ἀλλ' οὐ λυπούμενος γεννᾷ, μαρτυρήσει λέγων οὕτως ὁ θεῖος λόγος, "Καὶ εἶπεν ὁ θεὸς τῷ Ἀβραὰμ, Σάρα ἡ γυνή σου οὐ κληθήσεται Σάρα, ἀλλὰ Σάῤῥα αὐτῆς ἔσται τὸ ὄνομα. Εὐλογήσω αὐ-

*) Exod. 2, 23.

**) Exod. 3, 9.

τὴν, καὶ δώσω σοι ἐξ αὐτῆς τέκνον." *) Εἶτ' ἐπι-
λέγει, "Καὶ ἔπεσεν Ἀβραὰμ ἐπὶ πρόσωπον, καὶ ἐγέ-
λασε καὶ εἶπεν, εἰ τῷ ἑκατονταετεῖ γενήσεται υἱὸς,
καὶ ἡ Σάῤῥα ἐννενήκοντα ἐτῶν οὖσα τέξεται;" Οὗ-
τος μὲν δὴ φαίνεται γεγηθὼς καὶ γελᾶν, ὅτι μέλλει
γεννᾶν τὸ εὐδαιμονεῖν τὸν Ἰσαὰκ, γελᾷ δὲ καὶ ἡ
ἀρετὴ Σάῤῥα. Μαρτυρήσει δὲ ὁ αὐτὸς λέγων ὧδε,
"Ἐξέλιπε Σάῤῥα γίνεσθαι τὰ γυναικεῖα, καὶ ἐγέλασε
τῇ διανοίᾳ, καὶ εἶπεν, οὔπω μοι γέγονε τὸ εὐδαιμο-
νεῖν, ἕως τοῦ νῦν· ὁ δὲ κύριός μου," θεῖος λόγος,
"πρεσβύτερός ἐστιν," ᾧ προσεῖναι τοῦτο ἀνάγκη,
καὶ πιστεύειν καλὸν ὑπισχνουμένῳ. Καὶ τὸ γέννημα
δέ ἐστι γέλως καὶ χαρά· τοῦτο γὰρ καὶ Ἰσαὰκ ἑρ-
131 μηνεύεται. Λυπείσθω τοιγαροῦν αἴσθησις, ἀρετὴ
M. δὲ ἀεὶ χαιρέτω. Καὶ γὰρ γεννηθέντος τοῦ εὐδαι-
μονεῖν, φησὶ σεμνυνομένη, "Γέλωτα ἐποίησέ μοι ὁ
κύριος· ὃς γὰρ ἂν ἀκούσῃ, συγχαρεῖταί μοι." **)
Ἀναπετάσαντες οὖν ὦτα, οἱ μύσται, παραδέξασθε
τελετὰς ἱερωτάτας. Ὁ γέλως ἐστὶν ἡ χαρὰ, τὸ δὲ
"ἐποίησεν" ἴσον τῷ ἐγέννησεν. ὥστε εἶναι τὸ λεγόμε-
νον τοιοῦτον, Ἰσαὰκ ἐγέννησεν ὁ κύριος· αὐτὸς γὰρ
πατήρ ἐστι τῆς τελείας φύσεως, σπείρων ἐν ταῖς ψυ-
χαῖς καὶ γεννῶν τὸ εὐδαιμονεῖν. —

§. 78. "Καὶ πρὸς τὸν ἄνδρα σου," φησὶν, "ἡ 102
ἀποστροφή σου." ***) Δύο αἰσθήσεων ἄνδρες εἰσὶν, P.
ὁ μὲν νόμιμος, ὁ δὲ φθορεύς. Ἀνδρὸς μὲν γὰρ
τρόπον τὸ μὲν ὁρατὸν κινεῖ τὴν ὅρασιν, ἡ δὲ φωνὴ
τὴν ἀκοὴν, ὁ δὲ χυλὸς τὴν γεῦσιν, καὶ τῶν ἄλλων
ἕκαστον. Ταῦτα δ' ἀποστρέφει καὶ καλεῖ τὴν ἄλο-
γον αἴσθησιν πρὸς ἑαυτὴν, καὶ κατακρατεῖ καὶ κυ-
ριεύει. Τό τε γὰρ κάλλος τὴν ὅρασιν ἐδουλώσατο,
ὅ τε ἡδὺς χυλὸς τὴν γεῦσιν, καὶ τῶν ἄλλων ἕκαστον

*) Gen. 17, 15 sqq.
**) Gen. 21, 7.
***) Gen. 3, 16.

αἰσθητῶν τὴν κατ' αὐτὸ αἴσθησιν. Ἴδε δέ τοι τὸν λίχνον, ὡς δουλεύει ταῖς παρασκευαῖς τῶν ὅσα ὀψαρτυταὶ καὶ σιτοπόνοι τεχνιτεύουσι· καὶ τὸν σεσοβημένον περὶ μέλος, πῶς ἐπικρατεῖται ὑπὸ κιθάρας, ἢ αὐλοῦ, ἢ καὶ ᾄδειν ἐπισταμένου. Τῇ δέ γε πρὸς τὸν νόμιμον ἄνδρα, τὸν νοῦν, ἀποστραφείσῃ μεγίστη ἐστὶν ὠφέλεια αἰσθήσει.

§. 79. Ἴδωμεν οὖν ἑξῆς τίνα καὶ περὶ τοῦ νοῦ διεξέρχεται παρὰ τὸν ὀρθὸν λόγον κινουμένου. Τῷ δὲ Ἀδὰμ εἶπεν ὁ θεὸς, „Ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου, καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου οὗ ἐνετειλάμην σοι μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου." *) Ἀλυσιτελέστατόν ἐστιν ἀκούειν αἰσθήσεως νοῦν, ἀλλὰ μὴ αἴσθησιν νοῦ. Ἀεὶ γὰρ τὸ κρεῖττον ἄρχειν, τὸ δὲ χεῖρον ἄρχεσθαι δεῖ. Νοῦς δὲ κρείττων αἰσθήσεως. Ὥςπερ οὖν ἄρχοντος μὲν ἡνιόχου καὶ ταῖς ἡνίαις τὰ ζῶα ἄγοντος ᾗ βούλεται ἄγεται τὸ ἅρμα, ἀφηνιασάντων δὲ ἐκείνων καὶ κρατησάντων ὅ τε ἡνίοχος κατεσύρη, πολλάκις, τά τε ζῶα ἔστιν ὅτε τῇ ῥύμῃ τῆς φορᾶς εἰς βόθρον κατηνέχθη, πλημμελῶς τε πάντα φέρεται, καὶ ναῦς εὐθυδρομεῖ μὲν, ἡνίκα τῶν οἰάκων λαβόμενος ὁ κυβερνήτης ἀκολούθως πηδαλιουχεῖ, περιτρέπεται δὲ, ὅτε πνεύματος ἐναντίου περιπνεύσαντος τῇ θαλάττῃ ὁ κλύδων ἐνῴκησεν· οὕτως, ἐπειδὰν μὲν ὁ τῆς ψυ-
132 χῆς ἡνίοχος ἢ κυβερνήτης ὁ νοῦς ἄρχῃ τοῦ ζώου
M. ὅλου, καθάπερ ἡγεμὼν πόλεως, εὐθύνεται ὁ βίος. Ὅταν δὲ ἡ ἄλογος αἴσθησις φέρηται τὰ πρωτεῖα, σύγχυσις καταλαμβάνει δεινὴ, οἷα δούλων δεσπόταις ἐπιτεθειμένων. Τότε γὰρ, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, ἐμπίμπραται φλεγόμενος ὁ νοῦς, τῶν αἰσθήσεων, τὴν φλόγα ἐγειρουσῶν, τὰ αἰσθητὰ ὑποβεβλημένων.

§. 80. Καὶ Μωϋσῆς μέντοι δηλοῖ περὶ τῆς τοιαύτης ἐμπρήσεως, ἣ γίνεται διὰ τῶν αἰσθήσεων,

*) Gen. 3, 17.

τοῦ νοῦ, ὅταν λέγῃ, „Καὶ αἱ γυναῖκες ἔτι προςεξέκαυσαν πῦρ ἐν Μωάβ·"*) ἑρμηνεύεται γὰρ ἐκ πατρὸς, ὅτι ὁ πατὴρ ἡμῶν ὁ νοῦς ἐστι. „Τότε γὰρ," φησὶν, „ἐροῦσιν οἱ αἰνιγματισταὶ, ἔλθετε εἰς Ἐσεβὼν, ἵν' οἰκοδομηθῇ καὶ κατασκευασθῇ πόλις Σηών. Ὅτι πῦρ ἐξῆλθεν ἐξ Ἐσεβὼν, φλὸξ ἐκ πόλεως Σηών· καὶ κατέφαγεν ἕως Μωὰβ, καὶ κατέπαυσε 103
στήλας Ἀρνῶν. Οὐαί σοι Μωὰβ, ἀπόλωλε Χαμώς. P.
Ἀπεδόθησαν υἱοὶ αὐτῶν σώζεσθαι, καὶ αἱ θυγατέρες αὐτῶν αἰχμάλωτοι τῷ βασιλεῖ Ἀμοῤῥαίων Σηών· καὶ τὸ σπέρμα αὐτῶν ἀπολεῖται Ἐσεβὼν ἕως Δεβών. Καὶ γυναῖκες ἔτι προςεξέκαυσαν πῦρ ἐπὶ Μωάβ." Ἐσεβὼν ἑρμηνεύεται λογισμοὶ, οὗτοι δ' εἰσὶν αἰνίγματα ἀσαφείας γέμοντα. Ἴδε λογισμὸν ἰατροῦ, κενώσω τὸν κάμνοντα, θρέψω, φαρμάκοις ἰάσομαι καὶ διαίτῃ, τεμῶ, καύσω. Ἀλλὰ πολλάκις ἡ φύσις καὶ ἄνευ τούτων ἰάσατο, καὶ μετὰ τούτων ἀπώλεσεν, ὡς τοὺς ἰατροῦ πάντως ἐπιλογισμοὺς ἐνύπνια εὑρεθῆναι, ἀσαφείας καὶ αἰνιγμάτων πλήρη. Πάλιν ὁ γεηπόνος φησὶ, σπέρματα βαλοῦμαι, φυτεύσω, αὐξήσει τὰ φυτὰ, καρποὺς ταῦτα οἴσει, οἳ οὐ μόνον εἰς ἀπόλαυσιν ἔσονται χρήσιμοι τὴν ἀναγκαίαν, ἀλλὰ καὶ πρὸς περιουσίαν ἀρκήσουσιν. Εἶτ' ἐξαίφνης φλὸξ, ἢ ζάλη, ἢ ἐπομβρίαι συνεχεῖς διέφθειραν πάντα. Ἔστι δὲ ὅτε τὰ μὲν ἐτελεσιούργησεν, ὁ δὲ ταῦτα λογισάμενος οὐκ ὤνατο, ἀλλὰ προαπέθανε, καὶ ἐπὶ τοῖς τῶν πονηθέντων καρποῖς μάτην ἀπόλαυσιν ἐμαντεύσατο.

§. 81. Ἄριστον οὖν τῷ θεῷ πεπιστευκέναι, καὶ μὴ τοῖς ἀσαφέσι λογισμοῖς, καὶ ταῖς ἀβεβαίοις εἰκασίαις. „Ἀβραάμ γέ τοι ἐπίστευσε τῷ θεῷ, καὶ δίκαιος ἐνομίσθη." **) Καὶ Μωϋσῆς ἄρχει μαρτυ-

---

*) Num. 21, 27 sqq.

**) Gen. 15, 6.

ρούμενος ὅτι ἐστὶ "πιστὸς ὅλῳ τῷ οἴκῳ·" *) ἐὰν
δὲ ἀποπιστεύσωμεν τοῖς ἰδίοις λογισμοῖς, κατασκευάσομεν καὶ οἰκοδομήσομεν τὴν πόλιν τοῦ διαφθείροντος τὴν ἀλήθειαν νοῦ. Σηὼν γὰρ ἑρμηνεύεται διαφθείρων. Παρ' ὃ καὶ ἀναστὰς, παρ' ᾧ ἦν ἐνύπνια,
133 εὗρεν ὅτι αἱ κινήσεις ἅπασαι καὶ αἱ διαστάσεις τοῦ
M. ἄφρονός εἰσιν ἐνύπνια ἀληθείας ἀμέτοχα, — αὐτὸς
γὰρ ὁ νοῦς ἐνύπνιον εὑρέθη, — ὅτι ἀληθὲς μέν ἐστι δόγμα τὸ πιστεύειν θεῷ, ψεῦδος δὲ τὸ πιστεύειν τοῖς κενοῖς λογισμοῖς. Ἄλογος δὲ ὁρμὴ ἐξέρχεται καὶ φοιτᾷ ἐφ' ἑκάτερά τε, τῶν λογισμῶν καὶ τοῦ νοῦ τοῦ διαφθείροντος τὴν ἀλήθειαν. Διὸ καί φησιν, ὅτι "πῦρ ἐξῆλθεν ἐξ Ἐσεβὼν, φλὸξ ἐκ πόλεως Σηών." **) Οὕτω γὰρ ἄλογον τὸ πιστεύειν ἢ λογισμοῖς πιθανοῖς, ἢ νῷ διαφθείροντι τὸ ἀληθές.

§. 82. "Κατεσθίει γέ τοι καὶ ἕως Μωὰβ," τουτέστιν ἕως τοῦ νοῦ. Τίνα γὰρ ἄλλον ἢ τὸν ἄθλιον νοῦν ἡ ψευδὴς δόξα ἀπατᾷ; Κατεσθίει καὶ βιβρώσκει, καὶ μέντοι καὶ καταπίνει τὰς ἐν αὐτῷ στήλας, τουτέστι τὰ κατὰ μέρος ἐνθυμήματα, ἃ καθάπερ ἐν στήλῃ τετύπωται καὶ ἐγκεχάρακται. Ἀρνῶν δ' εἰσὶν αἱ στῆλαι, ὅπερ ἑρμηνεύεται φῶς αὐτῶν, ἐπεὶ τῶν πραγμάτων ἕκαστον ἐν λογισμῷ σαφηνίζεται. Ἄρχεται
μὲν οὖν θρηνεῖν τὸν αὐθάδη καὶ φίλαυτον νοῦν 104
οὕτως, "Οὐαί σοι Μωὰβ πόλις." Εἰ γὰρ αἰ- P.
νίγμασι προσέχεις τοῖς κατὰ τὴν τῶν εἰκότων ἐπιβολὴν, ἀπολώλεκας ἀλήθειαν. "Λαὸς Χαμὼς," τουτέστιν ὁ λαός σου καὶ ἡ δύναμις εὕρηται πηρὸς καὶ τετυφλωμένος. Χαμὼς γὰρ ἑρμηνεύεται, ὡς ψηλάφημα. Ἴδιον δὲ τοῦ μὴ ὁρῶντος τὸ ἔργον τοῦτο. Τούτοις οἱ μὲν υἱοὶ κατὰ μέρος λογισμοὶ, φυγάδες, αἱ δὲ γνῶμαι θυγατέρων ἔχουσαι δύναμιν, αἰχμάλωτοι τῷ βασιλεῖ τῶν Ἀμορραίων, τουτέστι τῷ

*) Num. 12, 7.

**) Num. 21, 27 sqq.

σοφιστῇ λαλούντων. Οἱ γὰρ Ἀμοῤῥαῖοι ἑρμηνεύονται λαλοῦντες, τοῦ γεγονότος λαοῦ σύμβολον ὄντες. Ὁ δὲ τούτων ἡγεμὼν ὁ σοφιστής ἐστι καὶ δεινὸς λόγων ἀνερευνᾶν τέχνας, ὑφ' οὗ κατασοφίζονται οἱ τὸν ὅρον τῆς ἀληθείας ὑπερβαίνοντες.

§. 83. Σηὼν οὖν ὁ διαφθείρων τὸν ὑγιῆ κανόνα τῆς ἀληθείας, καὶ τὸ σπέρμα αὐτοῦ ἀπολεῖται, καὶ Ἐσεβὼν τὰ αἰνίγματα τὰ σοφιστικὰ ἕως Δεβὼν, ὃ καλεῖται δικασμός· πάνυ προσφυῶς. Τὰ γὰρ εἰκότα καὶ πιθανὰ οὐκ ἔχει περὶ ἀληθείας ἐπιστήμην, ἀλλὰ δίκην καὶ ἀμφισβήτησιν, καὶ ἐριστικὴν ἅμιλλαν καὶ φιλονεικίαν, καὶ πάντα τὰ τοιαῦτα. Ἀλλ' οὐκ ἐξήρκεσε τῷ νῷ τὰς ἰδίας καὶ νοητὰς ἔχειν κῆρας, ἀλλ' ἔτι καὶ αἱ γυναῖκες προσέκαυσαν πῦρ, αἱ αἰσθήσεις πυρκαϊὰν πολλὴν ἐπ' αὐτόν. Ἴδε μέντοι τὸ λεγόμενον οἷόν ἐστι. Πολλάκις νύκτωρ οὐδεμιᾷ τῶν αἰσθήσεων
ἐνεργοῦντες, ἀτόπους περὶ πολλῶν καὶ διαφερόντων
134 λαμβάνομεν ἐννοίας, τῆς ψυχῆς ἀεικινήτου ὑπαρ-
M. χούσης, καὶ μυρίας τροπὰς ἐνδεχομένης. Ἦν οὖν
ἱκανὰ πρὸς διαφθορὰν αὐτῇ, ὅσα αὐτὴ ἐξ ἑαυτῆς ἐγέννησε. Νυνὶ δὲ καὶ ὁ τῶν αἰσθήσεων ὄχλος ἐπεισωδίωσεν αὐτῇ κηρῶν ἀμήχανον πλῆθος, τοῦτο μὲν ἐκ τῶν ὁρατῶν, τοῦτο δὲ ἐκ τῶν φωνῶν, εἶτα χυλῶν, καὶ ἀτμῶν τῶν κατὰ τὴν ὀσμήν. Καὶ σχεδὸν ἡ ἀπ' αὐτῶν φλὸξ χαλεπώτερον τὴν ψυχὴν διατίθησι τῆς ἐγγινομένης ὑπ' αὐτῆς τῆς ψυχῆς ἄνευ συμπαραλήψεως αἰσθητηρίων.

§. 84. Τούτων μία τῶν γυναικῶν ἐστιν ἡ Πεντεφρῆ τοῦ Φαραὼ ἀρχιμαγείρου. *) Ὅπως δὲ ἔχει γυναῖκα εὐνοῦχος ὢν ἐπισκεπτέον· τοῖς γὰρ τὰ ῥήματα τοῦ νόμου μὴ πραγματευομένοις πρὸς ἀλληγορίαν, ἀκολουθήσει τὸ δοκοῦν ἀπορεῖσθαι. Ὁ γὰρ εὐνοῦχος καὶ ἀρχιμάγειρος ὄντως νοῦς, μὴ ταῖς ἁπλαῖς μόνον ἀλλὰ καὶ ταῖς περιτταῖς χρώμενος ἡδο-

*) Gen. 39, 1 sqq.

ναῖς, εὐνοῦχος κέκληται καὶ ἄγονος σοφίας, ὧν εὐνοῦχος οὐκ ἄλλου τινὸς ἢ τοῦ σκεδαστοῦ τῶν καλῶν Φαραώ. Ἐπεί τοι κατ᾽ ἄλλον τὸν λόγον ἄριστον ἂν εἴη τὸ εὐνοῦχον γενέσθαι, εἰ δυνήσεται ἡμῶν ἡ ψυχὴ κακίαν ἐκφυγοῦσα ἀπομαθεῖν τὸ πάθος. Διὸ καὶ Ἰωσὴφ ὁ ἐγκρατὴς τρόπος τῇ λεγούσῃ ἡδονῇ, "κοιμήθητι μετ᾽ ἐμοῦ, καὶ ἄνθρωπος ὢν, ἀνθρω- 105
ποπάθησον καὶ ἀπόλαυσον τῶν κατὰ τὸν βίον τερ- P.
πνῶν," ἐναντιοῦται φάσκων, "Ἁμαρτήσομαι εἰς τὸν θεὸν τὸν φιλάρετον, εἰ γενοίμην φιλήδονος· πονηρὸν γὰρ τοῦτ᾽ ἔργον."

§. 85. *Καὶ νῦν μὲν ἀκροβολίζεται, ἤδη δὲ καὶ καρτερῶς ἀπομάχεται, ὅταν εἰς τὸν ἑαυτῆς εἰςέλθῃ οἶκον ἡ ψυχὴ, καὶ ἀναδραμοῦσα ἐπὶ τοὺς ἑαυτῆς τόνους ἀποτάξηται τοῖς κατὰ τὸ σῶμα, καὶ τὰ ἴδια ὡς ψυχῆς ἔργα ἐργάσηται, οὔτ᾽ εἰς τὸν οἶκον Ἰωσὴφ, οὔτε Πεντεφρῆ, ἀλλ᾽ εἰς τὴν οἰκίαν. Καὶ οὐ προςτίθησι τὴν τίνος, ἵνα σκεπτικῶς ἀλληγορῇς, "ποιεῖν τὰ ἔργα αὐτοῦ." Ἡ μὲν οὖν οἰκία ἐστὶν ἡ ψυχὴ, εἰς ἣν ἀνατρέχει καταλιπὼν τὰ ἐκτὸς, ἵνα τὸ λεγόμενον ἔνθεν αὐτῷ γένηται. Τὰ δὲ τοῦ ἐγκρατοῦς ἔργα μήποτε θεοῦ βουλήματί ἐστι; Καὶ γὰρ οὐδεὶς ἦν ἀλλότριος λογισμὸς τῶν εἰωθότων ἐν τῇ ψυχῇ κατοικεῖν εἴσω. Πλὴν οὐκ ἀφίσταται ζυγομαχοῦσα ἡ ἡδονὴ, ἀλλὰ τῶν ἱματίων λαβομένη, φησὶ, "κοιμήθητι μετ᾽ ἐμοῦ." Σκεπάσματα δὲ ὥςπερ σώματος τὰ ἐσθήματά ἐστιν, οὕτω τοῦ ζώου σιτία καὶ ποτά. Τοῦτο δέ φησι, "Τί παραιτῇ τὴν ἡδονὴν, ἧς ἄνευ οὐ δύνασαι ζῆν; Ἰδοὺ ἐκλαμβάνομαι τῶν ποιητικῶν αὐτῆς, καί φημί σε μὴ ἂν δυνηθῆναι ὑποστῆναι, εἰ μή τινι τῶν ποιητικῶν χρήσαιο." Τί οὖν ὁ ἐγκρατής; "Εἰ μέλλω," φησὶ,*
135 *"δουλεύειν πάθει διὰ τὴν ποιητικὴν ὕλην, καὶ ἐξε-*
M. *λεύσομαι ἀπὸ τοῦ πάθους ἔξω." Καταλιπὼν γὰρ τὰ ἱμάτια ἐν ταῖς χερσὶν αὐτῆς, ἔφυγε καὶ ἐξῆλθεν ἔξω.*

§. 86. Τίς δὲ ἔνδον, φαίη τις ἄν, ἐξέρχεται; Οὐ πολλοί; Ἢ οὐ φυγόντες τινὲς τὸ ἱεροσυλεῖν ἐξ ἰδιωτικῆς ἔκλεψαν οἰκίας, καὶ οὐκ ὄντες πατροτύπται ἀλλότριον ὕβρισαν; Οὗτοι ἐξέρχονται μὲν ἀπὸ τῶν ἁμαρτημάτων, εἰς ἕτερα δὲ εἰςέρχονται. Τὸν δὲ τελείως ἐγκρατῆ δεῖ πάντα φεύγειν τὰ ἁμαρτήματα, καὶ τὰ μείζω καὶ τὰ ἐλάττω, καὶ ἐν μηδενὶ ἐξετάζεσθαι τὸ παράπαν. Ἀλλ' ὁ μὲν Ἰωσὴφ, νέος τε γάρ ἐστι, καὶ τῷ αἰγυπτίῳ σώματι οὐκ ἴσχυσεν ἀγωνίσασθαι καὶ νικῆσαι τὴν ἡδονὴν, ἀποδιδράσκει. Φινεὲς δὲ ὁ ἱερεὺς ὁ ζηλώσας τὸν ὑπὲρ θεοῦ ζῆλον, οὐ φυγῇ τὴν ἰδίαν σωτηρίαν πεπόρισται, ἀλλὰ τὸν "σειρομάστην," τουτέστι τὸν ζηλωτικὸν λόγον λαβὼν, οὐκ ἀποστήσεται, πρὶν ἢ "ἐκκεντῆσαι τὴν Μαδιανῖτιν," τὴν ἐγκεκρυμμένην θείῳ χορῷ φύσιν, "διὰ τῆς μήτρας αὐτῆς,"*) ἵνα μηδέποτε ἰσχύσῃ φυτὸν ἢ σπέρμα κακίας ἀνατεῖλαι.

§. 87. Οὗ χάριν ἐκκοπείσης ἀφροσύνης ἆθλον καὶ κλῆρον ἡ ψυχὴ λαμβάνει διττὸν, εἰρήνην καὶ ἱερωσύνην, συγγενεῖς καὶ ἀδελφὰς ἀρετάς. Τοιαύτης μὲν οὖν γυναικὸς οὐκ ἀκουστέον, αἰσθήσεως μοχθηρᾶς λέγω, ἐπεὶ καὶ "τὰς μαίας εὖ ἐποίει ὁ
θεὸς,"**) ὅτι τῶν προστάξεων τοῦ σκεδαστοῦ Φα- 106
ραὼ ἠλέγουν "τὰ ἄῤῥενα τῆς ψυχῆς ζωογονοῦσαι," P.
ἃ ἐκεῖνος ἤθελε διαφθείρειν, τῆς θηλείας ὅλης ἐραστὴς ὢν, τὸ δ' αἴτιον ἀγνοῶν, καὶ λέγων, ὅτι "οὐκ οἶδα αὐτόν." Ἑτέρᾳ δὲ πειστέον γυναικὶ, οἵαν συμβέβηκε Σάῤῥαν εἶναι, τὴν ἄρχουσαν ἀρετήν. Καὶ "πείθεταί γε ὁ σοφὸς Ἀβραὰμ αὐτῇ παραινούσῃ ἃ δεῖ."***) Πρότερον μὲν γὰρ ὅτε οὔπω τέλειος ἐγεγένητο, ἀλλ' ἔτι πρὶν μετονομασθῆναι, τὰ μετέωρα ἐφιλοσόφει· ἐπισταμένη ὅτι οὐκ ἂν δύναιτο γεννᾶν

*) Num. 25, 7.
**) Exod. 1, 20.
***) Gen. 21, 12.

ἐξ ἀρετῆς τελείας, συμβουλεύει ἐκ τῆς παιδίσκης, τουτέστι παιδείας τῆς ἐγκυκλίου, παιδοποιεῖσθαι, τῆς Ἄγαρ, *) ὃ λέγεται παροίκησις. Ὁ γὰρ μελετῶν ἐν ἀρετῇ τελείᾳ κατοικεῖν, πρὶν ἐγγραφῆναι τῇ πόλει αὐτῆς, τοῖς ἐγκυκλίοις μαθήμασι παροικεῖ, ἵνα διὰ τούτων πρὸς τελείαν ἀρετὴν ἀφέτως ὁρμήσῃ. Ἔπειτα ὅταν ἴδῃ τετελειωμένον αὐτὸν, καὶ ἤδη δυνάμενον σπείρειν, καὶ ἂν ἐκεῖνος εὐχάριστος ὢν πρὸς τὰ παιδεύματα τὰ δι᾽ ὧν ἀρετῇ συνεστάθη, χαλεπὸν ἡγῆται παραιτήσασθαι αὐτὰ, χρησμῷ πραϋνθήσεται θεοῦ τῷ κελεύοντι, "Πάντα ἂν ὅσα εἴποι Σάῤῥα, ἄκουε τῆς φωνῆς αὐτῆς." **) Νόμος ἡμῶν ἔστω
136 ἑκάστῳ, τὸ δοκοῦν ἀρετῇ. Εἰ γὰρ πάντων ὅσα
M παραινεῖ ἡ ἀρετὴ βουλόμεθα ἀκούειν, εὐδαιμονήσομεν. —

§. 88. Τὸ δὲ, "Καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν," ***) ἴσον ἐστὶ τῷ, συγκατέθου κακίᾳ, ἣν χρή σε ἀνὰ κράτος ἀπείργειν· διὰ τοῦτο "ἐπικατάρατος σὺ," οὐχὶ ἡ γῆ, "ἐν τοῖς ἔργοις σοῦ." Τίς οὖν ἡ αἰτία τούτων; Ὁ ὄφις ἦν, ἡ ἡδονὴ ἔπαρσις ἄλογος ψυχῆς. Αὕτη κατάρατος ἐξ ἑαυτῆς, μόνῳ γέ τοι τῷ φαύλῳ προσγίνεται, σπουδαίῳ δὲ οὐδενί. Ὁ Ἀδὰμ δὲ ὁ μέσος ἐστὶ νοῦς, ὃς τοτὲ μὲν ἀμείνων τοτὲ δὲ χείρων ἐξετάζεται· ᾗ γὰρ νοῦς ἐστιν, οὔτε φαῦλος οὔτε σπουδαῖος εἶναι πέφυκεν, ἀρετῇ δὲ καὶ κακίᾳ πρός τε τὸ εὖ καὶ πρὸς τὸ χεῖρον εἴωθε μεταβάλλειν. Εἰκότως οὖν οὐκ ἔστιν ἐπικατάρατος ἐξ ἑαυτοῦ, ὡς οὔτε κακία ὢν οὔτε κατὰ κακίαν πρᾶξις, ἀλλ᾽ ἐν τοῖς ἔργοις αὐτοῦ ἡ γῆ κατάρατος. Αἱ γὰρ πράξεις αἱ διὰ τῆς ὅλης ψυχῆς, ἣν κέκληκε γῆν, ἐπίληπτοι καὶ ὑπαίτιοι κατὰ κακίαν ἕκαστα δρῶντός εἰσι. Παρ᾽ ὃ καὶ ἐπιφέρει, ὅτι

*) Gen. 16, 2.
**) Gen. 21, 11.
***) Gen. 3, 17 sqq.

"ἐν λύπῃ φάγεσαι αὐτὴν," ὅπερ ἐστὶν ἴσον τῷ, ἀπο-
λαύσῃ τῆς ψυχῆς ἐπιλύπως. Ἐπωδύνως γὰρ ὁ φαῦ-
λος πάντα τὸν βίον χρῆται τῇ ἑαυτοῦ ψυχῇ, μηδὲν
ἔχων χαρᾶς αἴτιον, ὃ πέφυκε γεννᾶν δικαιοσύνη καὶ
φρόνησις, καὶ αἱ σύνθρονοι ταύτης ἀρεταί. —

§. 89. "Ἀκάνθας οὖν καὶ τριβόλους ἀνατελεῖ
σοι." Ἀλλὰ τί φύεται καὶ βλαστάνει ἐν ἄφρονος
ψυχῇ, πλὴν τὰ κεντοῦντα καὶ τιτρώσκοντα αὐτὴν
πάθη; Ἃ διὰ συμβόλων ἀκάνθας κέκληκεν, οἷς ἡ 107
ἄλογος ὁρμὴ πρὸς τὸν τρόπον πρώτοις ἐντυγχάνει, P.
μεθ' ὧν ταχθεῖσα πάντα τὰ αὐτῆς καταφλέγει καὶ
διαφθείρει. Λέγει γὰρ οὕτως, "Ἐὰν δὲ ἐξελθὸν πῦρ
εὕρῃ ἀκάνθας, καὶ προσεμπρήσῃ ἅλωνα ἢ στάχυας
ἢ πεδίον, ἀποτίσει ὁ τὸ πῦρ ἐκκαύσας." *) Ὁρᾷς
ὅτι τὸ πῦρ ἐξελθὸν, ἡ ἄλογος ὁρμὴ, οὐκ ἐμπίπρησι
τὰς ἀκάνθας, ἀλλὰ εὑρίσκει; Ζητητικὴ γὰρ τῶν πα-
θῶν οὖσα ἃ ἐπόθει λαβεῖν εὗρεν. Ὅταν δὲ εὕρῃ,
καταφλέγει τρία ταῦτα, ἀρετὴν τελείαν, προκοπὴν,
εὐφυΐαν. Ἀρετὴν μὲν οὖν παραβέβληκε τῇ "ἅλῳ·"
συγκεκόμισται γὰρ ὡς ἐνταῦθα ὁ καρπὸς, οὕτω καὶ
ἐν τῇ τοῦ σοφοῦ ψυχῇ τὰ καλά. Στάχυσι δὲ τὴν
προκοπὴν, ἐπεὶ καὶ ἑκάτερον ἀτελὲς, ἐφιέμενον τοῦ
τέλους. Πεδίῳ δὲ τὴν εὐφυΐαν, ὅτι εὐπαράδεκτος
137 σπερμάτων ἀρετῆς ἐστιν. Ἕκαστον δὲ τῶν παθῶν
M. τριβόλια εἴρηκεν· ἐπειδὴ τριττά ἐστιν, αὐτό τε, καὶ
τὸ ποιητικὸν, καὶ τὸ ἐκ τούτων ἀποτέλεσμα, οἷον
ἡδονὴ, ἡδὺ, ἥδεσθαι· ἐπιθυμία, ἐπιθυμητὸν, ἐπι-
θυμεῖν· λύπη, λυπηρὸν, λυπεῖσθαι· φόβος, φοβερὸν,
φοβεῖσθαι.

§. 90. "Καὶ φάγεσαι τὸν χόρτον τοῦ ἀγροῦ, ἐν
ἱδρῶτι τοῦ προσώπου σου φάγεσαι τὸν ἄρτον σου."
Χόρτον καὶ ἄρτον καλεῖ συνωνύμως, πρᾶγμα ταὐ-
τόν. Χόρτος ἀλόγου τροφή ἐστιν· ἄλογον δὲ φαῦ-
λος ἐκτετμημένος τὸν ὀρθὸν λόγον. Ἄλογοι δὲ καὶ

*) Exod. 22, 6.

αἱ αἰσθήσεις τῆς ψυχῆς οὖσαι μέρος· ὁ δὲ νοῦς ἐφιέμενος τῶν αἰσθητῶν, διὰ τῶν ἀλόγων αἰσθήσεων, οὐκ ἄνευ πόνου καὶ ἱδρῶτος ἐφίεται. Σφόδρα γὰρ ὀδυνηρὸς καὶ ἐπαχθὴς ὁ τοῦ ἄφρονος βίος, μετιόντος καὶ ἐπιλιχνεύοντος τὰ ποιητικὰ τῶν ἡδονῶν, καὶ τῶν ὅσα κακία ἀπεργάζεσθαι φιλεῖ. Καὶ μέχρι τίνος; "Μέχρι," φησὶν, "ἀποστρέψεις εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθης." Νῦν γὰρ οὐκ ἐν τοῖς γεώδεσι καὶ ἀσυστάτοις ἐξετάζεται, τὴν οὐράνιον σοφίαν καταλιπών; Πῇ οὖν ἔτι ἀποστρέφεται, σκεπτέον. Ἀλλὰ μήποτε ὃ λέγει τοιοῦτόν ἐστιν, ὅτι ὁ ἄφρων νοῦς ἀπέστραπται μὲν ἀεὶ τὸν ὀρθὸν λόγον, εἴληπται δὲ οὐκ ἀπὸ τῆς μεταρσίου φύσεως, ἀλλ' ἀπὸ τῆς γεωδεστέρας ὕλης. Καὶ μένων δὲ καὶ κινούμενος ὁ αὐτός ἐστιν, ἐφιέμενός τε τῶν αὐτῶν. Διὸ καὶ ἐπιφέρει, ὅτι "γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ," ὅπερ ἴσον ἐστὶ τῷ προειρημένῳ. Δηλοῖ δὲ καὶ τοῦτο, ἡ ἀρχή σου καὶ τὸ τέλος ἓν καὶ ταὐτόν ἐστιν. Ἤρξω τε γὰρ ἀπὸ τῶν φθειρομένων γῆς σωμάτων, τελευτήσεις δὲ πάλιν εἰς ἐκεῖνα, τὴν μεταξὺ τοῦ βίου τρίψας ὁδὸν, οὐ λεωφόρον, ἀλλὰ τραχεῖαν, βάτων καὶ τριβόλων κεντεῖν τε καὶ τιτρώσκειν πεφυκότων μεστήν.

ΠΕΡΙ ΤΩΝ
ΧΕΡΟΥΒΙΜ
ΚΑΙ ΤΗΣ
ΦΛΟΓΙΝΗΣ ΡΟΜΦΑΙΑΣ
ΚΑΙ ΤΟΥ ΚΤΙΣΘΕΝΤΟΣ
ΠΡΩΤΟΥ ΕΞ ΑΝΘΡΩΠΟΥ
ΚΑΙΝ.

ARGUMENTUM LIBRI
DE
CHERUBIM
ET
FLAMMEO GLADIO
ET DE
CAIN
QUI PRIMUS EX HOMINE PROCREATUS EST.

(Cf. Gen. 3, 24. 4, 1.)

Adam eiicitur paradiso, i. e. intellectus imprudentia corruptus virtutum regione prohibetur. Ita et Agar, quae est institutio encyclica, et Ismael, qui significat artem sophisticam, expelluntur (1—3). Flammeus gladius et Cherubim collocantur ad

paradisum, i. e. animam esse quasi ponendam coram deo, ut hunc videre sinamus, utrum illa vitii expers sit necne (4 -- 6). Illa vero sunt vel orbes coelestes stellarum fixarum et erraticarum, vel bonitas et potentia (Cherubim) dei, quarum conciliator l. mediator est ratio divina (gladius flammeus), ut et in homine ratio ceteras animi facultates gubernat (7 - 11). Mens fecunda reddita a deo parit recte facta, non deo quidem, sed hominibus. Hoc sentiendum de coitu Abrami cum Sara, quae est princeps et dux, Isaaci cum Rebecca, quae est constantia in honestis etc. Sed mens, quae sine deo gignere vult, parit Cainum, i. e. possessionem non possidendam, qua indicatur arrogantia, cuncta non dei sed hominum esse putans (12 -- 15). Hominis enim animus sensu pellectus omnia, quae extra se percipit, se solum possidere credit, non alium (16 — 20). Ridiculum igitur, quod Laban, qui qualitatibus addictus (*ποιοτήτων ἠρτημένος*) dixit: filiae meae et filii mei et pecora mea; nam et filiae, quae sunt artes scientiaeque animae, et filii, qui sunt particulares ratiocinationes animae, et pecora, quae sunt sensus, non ab homine processerunt, sed a deo, quamobrem huius sunt, non hominum (21). Deus enim, ut omnia ita et hominis mentem regit, et creati se regi pati debent; nam dei omnia (22 — 24). Huic igitur pia fides est offerenda, non ea quidem, quam Graeci et barbari diebus festis exhibent (25), sed qua sabbato a Iudaeis colitur (26). Illorum enim festa rebus deo indignis polluuntur (27 et 28); solum enim deo dignum domicilium est mens pia splendore virtutum ornata, non templum lapideum etc. (29 et 30). Illâ solâ deus, omnium dominus, a nobis, inquilinis civitatis dei, recte colitur (31 -- 36).

---

138 §. 1. "Καὶ ἐξέβαλε τὸν Ἀδὰμ, καὶ κατῴκισεν 108
M ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς. Καὶ ἔταξε P.
τὰ Χερουβὶμ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην, φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς." *)

Νῦν μὲν "ἐξέβαλε" φησὶ, πρότερον δ' εἶπεν "ἐξαπέστειλεν," οὐ παρέργως τὰ ὀνόματα τιθεὶς, ἀλλ'

---

*) Gen. 3, 24.

139 εἰδὼς ἐφ᾽ ὧν κυρίως καὶ εὐθυβόλως πραγμάτων
M. αὐτὰ τάττει. Ὁ μὲν οὖν ἀποστελλόμενος ἐπανόδου
τυχεῖν οὐ κεκώλυται, ὁ δὲ ἐκβληθεὶς ὑπὸ θεοῦ τὴν
ἀΐδιον φυγὴν ὑπομένει. Τῷ μὲν γὰρ μήπω κρα-
ταιῶς ὑπὸ κακίας καταληφθέντι δέδοται μετανοή-
σαντι, καθάπερ εἰς πατρίδα τὴν ἀρετήν, ἀφ᾽
ἧς ἐξέπεσεν, ἀνελθεῖν· τὸν δὲ πιεσθέντα καὶ ὑπο-
βεβλημένον σφοδρᾷ καὶ ἀνιάτῳ νόσῳ, φέρειν
ἀνάγκη τὰ δεινά, μέχρι τοῦ παντὸς αἰῶνος ἀ-
θάνατα σκορακισθέντα εἰς ἀσεβῶν χῶρον, ἵνα
ἄκρατον καὶ συνεχῆ βαρυδαιμονίαν ὑπομένῃ. *)
Ἐπεὶ καὶ τὴν μέσην παιδείαν τὴν τοῖς ἐγκυκλίοις
χορεύουσαν ὁρῶμεν Ἄγαρ, **) δὶς μὲν ἐξιοῦσαν ἀπὸ
τῆς ἀρχούσης ἀρετῆς Σάῤῥας, ἅπαξ δὲ τὴν προ-
τέραν ὁδὸν ὑποστρέφουσαν· ἣ τοτὲ μὲν ἀποδρᾶσα,
οὐ φυγαδευθεῖσα, κατάγεται, ὑπαντήσαντος ἀγγέ-
λου, ὅς ἐστι θεῖος λόγος, εἰς τὸν δεσποτικὸν οἶκον,
αὖθις δὲ κατὰ τὸ παντελὲς ἀνέπακτος ἐκβάλλεται.

§. 2. Τὰς δὲ αἰτίας καὶ τοῦ προτέρου δρασμοῦ,
καὶ τῆς αὖθις ἀϊδίου φυγῆς, λεκτέον. Μέχρι μὲν
οὔπω μετωνομάσθησαν, ὅπερ ἦν, μετεχαράχθησαν
τοὺς ψυχῆς πρὸς τὸ ἄμεινον βελτιούμενοι χαρακτῆ-
ρας, ἀλλ᾽ ἔτι ἦν ὁ μὲν Ἄβραμ πατὴρ μετέωρος, τὴν
μετάρσιον τῶν κατὰ τὸν ἀέρα συμβαινόντων, καὶ
τὴν μετέωρον τῶν κατὰ τὸν οὐρανὸν ὑπαρχόντων
φιλοσοφίαν μετιών, — ἣν φυσιολογίας τὸ κράτιστον
εἶδος ἀποτέτμηται μαθηματική, — Σάρα δὲ σύμ- 109
βολον ἀρχῆς ἐμῆς, — καλεῖται γὰρ ἀρχή μου, — P.
γενικὴ μὲν οὐκ ἔφθη μεταβαλοῦσα ἀρετὴ γενέσθαι,
— γένος δὲ πᾶν ἄφθαρτον, — ταῖς δὲ ἐν μέρει καὶ
κατ᾽ εἶδος ἐξητάζετο, αἳ δὴ αὗται, φρόνησίς τε ἡ
ἐν ἐμοὶ καὶ σωφροσύνη καὶ ἀνδρία καὶ δικαιοσύνη
τὸν αὐτὸν τρόπον, — φθαρταὶ δὲ αὗται, ὅτι καὶ
τὸ δεξάμενον αὐτὰς χωρίον ἐγὼ φθαρτός· — Ἄγαρ

*) Gen. 16, 9. — **) Gen. 21, 14 sqq.

ἡ μέση καὶ ἐγκύκλιος παιδεία, καὶ ἂν τὸν αὐστηρὸν
καὶ σκυθρωπὸν τῶν φιλαρέτων ἀποδρᾶναι βίον σπου-
δάσῃ, πάλιν ὑποστρέψει πρὸς τὸν αὐτὸν, μήπω τὰς
γενικὰς καὶ ἀφθάρτους ἀκρότητας ἔχειν δυνάμενον,
ἀλλ᾿ ἔτι τῶν ἐν μέρει καὶ κατ᾿ εἶδος ἐφαπτόμενον,
ἐν οἷς πρὸ τῶν ἄκρων τὰ μέσα αἱρετά. Ὅταν δὲ
ἤδη ὁ μὲν Ἄβραμ ἀντὶ φυσιολογικοῦ γένηται σοφὸς
καὶ φιλόθεος, μετονομασθεὶς Ἀβραὰμ, ὃς ἑρμηνεύε-
140 ται πατὴρ ἐκλεκτὸς ἤχου, — ἠχεῖ μὲν γὰρ γεγωνὸς
M. λόγος, πατὴρ δὲ τούτου ὁ νοῦς, ἐπειλημμένος τοῦ
σπουδαίου, — Σάρα δὲ ἀντὶ τῆς ἀρχῆς μου γένη-
ται Σάῤῥα, ἧς ἐστιν ἡ κλῆσις ἄρχουσα, — ὅπερ
ἐστὶν ἴσον τῷ, ἀντὶ εἰδικῆς καὶ φθαρτῆς ἀρετῆς γε-
νικὴν καὶ ἄφθαρτον γενέσθαι, — ἐπιλάμψῃ δὲ καὶ
τὸ εὐδαιμονίας γένος, ὁ Ἰσαὰκ, ἐκλιπόντων τὰ γυ-
ναικεῖα, καὶ ἀποθανόντων τὰ πάθη χαρᾶς καὶ εὐ-
φροσύνης, καὶ παιδιὰς οὐ τὰς παίδων, ἀλλὰ τὰς
θείας, οὐκ ἄνευ σπουδῆς μεταδιώκων· ἐκβληθήσε-
ται μὲν τὰ ἐπώνυμα τῆς Ἄγαρ προπαιδεύματα, ἐκ-
βληθήσεται δὲ καὶ ὁ σοφιστὴς αὐτῶν υἱὸς, ἐπίκλη-
σιν Ἰσμαήλ.

§. 3. Ἐνδύσονται δὲ τὴν φυγὴν ἀΐδιον, βεβαιοῦντος τοῦ θεοῦ τὴν ἔλασιν αὐτοῖς, ὅταν κελεύῃ τῷ σοφῷ "ὑπακούειν τῶν λεγομένων ὑπὸ Σάῤῥας." *) Λέγει δὲ ἄντικρυς "ἐκβαλεῖν τὴν παιδίσκην καὶ τὸν υἱόν." Ἀρετῇ δὲ πείθεσθαι καλὸν, καὶ μάλιστα τοιοῦτον εἰσηγουμένῃ δόγμα, ὅτι αἱ τελειόταται φύσεις τῶν μέσων ἕξεων πάμπολυ διεστᾶσι, καὶ ὅτι σοφία σοφιστείας ἀλλότριον. Ἡ μὲν γὰρ τὰ πιθανὰ ἐπὶ κατασκευῇ ψευδοῦς δόξης, ἥτις λυμαίνεται ψυχὴν, ἐκπεπόνηκε· σοφία δὲ διὰ μελέτης τῶν ἀληθῶν, τὸ μετὰ διανοίας ὄφελος ἐπιστήμῃ ὀρθοῦ λόγου πεπόρισται. Τί οὖν θαυμάζομεν, εἰ καὶ τὸν Ἀδὰμ, τὸν νοῦν, ἀφροσύνην, ἀνίατον νόσον, κτη-

*) Gen. 21, 10 sqq.

σάμενον, ἐκβέβληκεν εἰςάπαν ὁ θεὸς ἐκ τοῦ τῶν
ἀρετῶν χωρίου, μὴ ἐπιτρέψας ἔτι κατελθεῖν αὐτῷ;
Ὁπότε καὶ πάντα σοφιστὴν καὶ μητέρα αὐτοῦ, τὴν
τῶν προπαιδευμάτων διδασκαλίαν, ἐλαύνει καὶ φυ-
γαδεύει ἀπὸ σοφίας καὶ σοφοῦ, ὧν ὀνόματα Ἀβραὰμ
τε καὶ Σάῤῥαν καλεῖ;

§. 4. Τότε καὶ "ἡ φλογίνη ῥομφαία καὶ τὰ
Χερουβὶμ ἀντικρὺ τοῦ παραδείσου τὴν οἴκησιν
ἴσχει." Λέγεται δὲ "ἀντικρὺ," τὸ μὲν ὡς ἐχθρὸν
ἀντιστατοῦν, τὸ δὲ ἁρμόττον εἰς ἐπίκρισιν, ὡς ὁ 110
κρινόμενος τῷ δικαστῇ, τὸ δὲ ὡς φίλον, τοῦ κατα- P.
νοηθῆναι χάριν, καὶ ἐκ τῆς ἀκριβεστέρας προςόψεως
μᾶλλον οἰκειωθῆναι, ὡς γραφαί τε καὶ ἀνδριάντες
ἀρχέτυποι γραφεῦσι καὶ πλάσταις. Τοῦ μὲν οὖν ἀν-
τιτεταγμένου παράδειγμα τὸ ἐπὶ τοῦ Κάϊν εἰρημένον,
ὅτι "ἐξῆλθεν ἀπὸ προςώπου τοῦ θεοῦ, καὶ ᾤκησεν
ἐν γῇ Ναῒδ κατέναντι Ἐδέμ." *) Ἑρμηνεύεται δὲ
Ναῒδ μὲν σάλος, Ἐδὲμ δὲ τρυφή. Τὸ μὲν κακίας
141 κλονούσης ψυχὴν σύμβολον, τὸ δὲ ἀρετῆς εὐπά-
M. θειαν αὐτῇ περιποιούσης καὶ τρυφὴν, οὐχὶ τὴν δι'
ἀλόγου πάθους ἡδονῆς θρύψιν, ἀλλὰ τὴν μετὰ πολ-
λῆς εὐμαρείας ἄπονον χαρὰν καὶ ἀταλαίπωρον.
Ἀνάγκη δὲ ὅταν ἀπὸ τῆς τοῦ θεοῦ φαντασίας ἐξέλ-
θῃ διάνοια, ᾗ καλὸν καὶ συμφέρον ἦν ἐπηρεῖσθαι,
νεὼς αὐτίκα θαλαττευούσης τρόπον, ἀντιστατούν-
των βιαίως πνευμάτων, ὧδε καὶ ἐκεῖσε φέρεσθαι,
πατρίδα καὶ οἰκίαν λαχοῦσαν κλόνον, ἅπερ ἐναντιώ-
τατά ἐστι βεβαιότητι ψυχῆς, ἣν περιποιεῖ χαρὰ συν-
ώνυμος Ἐδέμ.

§. 5. Τοῦ δὲ εἰς ἐπίκρισιν ἐναντίον παράδειγμα
τὸ τῆς ζηλοτυπουμένης μεμοιχεῦσθαι. "Στήσει" γὰρ,
φησὶν, "ὁ ἱερεὺς τὴν γυναῖκα ἐναντίον κυρίου, καὶ
ἀποκαλύψει τὴν κεφαλὴν αὐτῆς." **) Τί δὲ βοί-
λεται διὰ τούτου παριστάνειν, ἐρευνήσωμεν. Τὸ

*) Gen. 4, 16. — **) Num. 5, 18.

δέον πολλάκις δεόντως οὐκ ἐνεργεῖται, καὶ τὸ μὴ
καθῆκον ἔστιν ὅτε δρᾶται καθηκόντως. Οἷον, ἡ
μὲν τῆς παρακαταθήκης ἀπόδοσις ὅταν μὴ ἀπὸ γνώ-
μης ὑγιοῦς γένηται, ἀλλ' ἢ ἐπὶ βλάβῃ τοῦ λαμβά-
νοντος, ἢ ἐπ' ἐνέδρᾳ τῆς περὶ μείζονα πίστιν ἀρνή-
σεως, καθῆκον ἔργον οὐ δεόντως ἐπιτελεῖται. Τὸ δὲ
τῷ κάμνοντι μὴ ἀληθεῦσαι τὸν ἰατρὸν, κενοῦν ἢ τέ-
μνειν ἢ καίειν διεγνωκότα ἐπ' ὠφελείᾳ τοῦ νοσοῦντος,
ἵνα μὴ προλαβὼν τὰ δεινὰ φύγῃ τὴν θεραπείαν, ἢ
ἐξασθενήσας ἀπείπῃ πρὸς αὐτὴν, ἢ πρὸς τοὺς πο-
λεμίους τὸν σοφὸν ψεύσασθαι ἐπὶ τῇ τῆς πατρίδος
σωτηρίᾳ, δείσαντα μὴ ἐκ τοῦ ἀληθεῦσαι ῥωσθῇ τὰ
τῶν ἀντιπάλων· οὐ καθῆκον ἔργον δεόντως ἐνεργεῖ-
ται. Παρ' ὃ καί φησι Μωϋσῆς, "δικαίως τὸ δί-
καιον διώκειν," *) ὡς καὶ ἀδίκως ἐνὸν, ὅταν μὴ ἀπὸ
γνώμης ὑγιοῦς ὁ δικάζων προσέχῃ. Ἐπειδὴ τοίνυν
τὸ μὲν λεγόμενον ἢ πραττόμενον φανερῶς γνώριμον
πᾶσιν, ἡ δὲ διάνοια οὐ γνώριμος, ἀφ' ἧς καὶ τὰ
λεγόμενα λέγεται, καὶ τὰ πραττόμενα πράττεται, ἀλλ'
ἄδηλον εἴτε ὑγιαίνει καὶ καθαρεύει, εἴτε νοσεῖ μιά-
σμασι κεχρωσμένη πολλοῖς, — γεννητὸς δὲ οὐδεὶς ἱκα-
νὸς γνώμης ἀφανοῦς κατιδεῖν ἐνθύμημα, μόνος δὲ ὁ
θεός· παρ' ὃ καὶ λέγει Μωϋσῆς, "Ὅτι τὰ κρυπτὰ
κυρίῳ τῷ θεῷ, τὰ δὲ φανερὰ γενέσει γνώριμα·" — 111
προστέτακται τῷ ἱερεῖ καὶ προφήτῃ λόγῳ, τὴν ψυ- P.
χὴν "ἐναντίον τοῦ θεοῦ στῆσαι, ἀποκαλύφῳ τῇ κε-
φαλῇ," **) τουτέστι τὸ κεφάλαιον δόγμα γυμνω-
θεῖσαν, καὶ τὴν γνώμην ἣ κέχρηται ἀπαμφιασθεῖ-
σαν, ἵνα ὄψεσι ταῖς ἀκριβεστάταις ἐπικριθεῖσα τοῦ
142 ἀδεκάστου θεοῦ, ἢ τὴν ὑποτυφομένην εἰρωνείαν,
M. κίβδηλον νόμισμα, διελεγχθῇ, ἢ πάσης οὖσα κακίας
ἀμέτοχος, ἐκνίψηται τὰς καθ' αὐτῆς διαβολὰς, μάρ-
τυρι χρησαμένῃ τῷ μόνῳ γυμνὴν ψυχὴν ἰδεῖν δυνα-
μένῳ.

*) Deut. 16, 20. — **) Num. 5, 14 sqq.

§. 6. Τὸ μὲν οὖν εἰς ἐπίκρισιν ἐναντίον, τοιοῦτόν ἐστι· τὸ δ' εἰς οἰκείωσιν, ὃ ἐπὶ τοῦ πανσόφου λέλεκται Ἀβραάμ. "Ἔτι" γὰρ, φησὶν, "ἦν ἑστηκὼς ἐναντίον κυρίου." *) Καὶ τεκμήριον τῆς οἰκειώσεως τὸ ἐπιλεγόμενον, ὅτι "ἐγγίσας εἶπεν." Ἀλλοτριουμένῳ γὰρ, ἀφίστασθαι καὶ διαζεύγνυσθαι, οἰκειουμένῳ δὲ συνεγγίζειν ἁρμόττει. Τὸ δὲ στῆναι καὶ ἄτρεπτον κτήσασθαι διάνοιαν, ἐγγὺς ἐπιβαίνει θεοῦ δυνάμεως, ἐπειδὴ τὸ μὲν θεῖον ἄτρεπτον, τὸ δὲ γενόμενον φύσει μεταβλητόν. Εἴ τις οὖν τὴν γενέσεως οἰκείαν φορὰν ἔρωτι ἐπιστήμης ἐγχαλινωσάμενος, ἐβιάσατο στῆναι ποιῆσαι, μὴ λανθανέτω θείας εὐδαιμονίας ἐγγὺς ὤν. Τοῖς δὲ Χερουβὶμ καὶ τῇ φλογίνῃ ῥομφαίᾳ τὴν ἀντικρὺ τοῦ παραδείσου πόλιν οἰκείως δίδωσιν, οὐχ ὡς ἐχθροῖς μέλλουσιν ἀντιστατεῖν καὶ διαμάχεσθαι, ἀλλ' ὡς οἰκειοτάτοις καὶ φιλτάτοις, ἵνα ἐκ τῆς προσόψεως καὶ συνεχοῦς περιαθρήσεως, πόθον αἱ δυνάμεις ἴσχωσιν ἀλλήλων, καταπνέοντος εἰς αὐτὰς τὸν πτηνὸν ἔρωτα καὶ οὐράνιον τοῦ φιλοδώρου θεοῦ.

§. 7. Τίνα δέ ἐστιν ἃ διὰ τῶν Χερουβὶμ καὶ τῆς στρεφομένης ῥομφαίας φλογίνης αἰνίττεται, νῦν ἐπισκεπτέον. Μήποτε οὖν τὴν τοῦ παντὸς οὐρανοῦ περιφορὰν δι' ὑπονοιῶν εἰςάγει; Κίνησιν γὰρ αἱ κατ' οὐρανὸν σφαῖραι τὴν ἐναντίαν ἔλαχον ἀλλήλαις, ἡ μὲν τὴν ἀπλανῆ αὐτοῦ κατὰ δεξιὰ, ἡ δὲ τὴν πεπλανημένην θατέρου κατὰ εὐώνυμα. Ἡ μὲν οὖν ἐξωτάτω τῶν λεγομένων ἀπλανῶν, μία, ἣ καὶ τὴν ἀπὸ τῶν ἑῴων ἐπὶ τὰ ἑσπέρια εἱλεῖται περίοδον. Αἱ δὲ ἐντὸς ἑπτὰ, τῶν πλανήτων, ἐθελούσιόν τε καὶ βεβιασμένην, ὑπεναντίους ἅμα καὶ διττὰς ἴσχουσι κινήσεις. Καί ἐστιν αὐταῖς ἡ μὲν ἀκούσιος, ὁμοία τῇ τῶν ἀπλανῶν· φαίνονται γὰρ καθ' ἑκάστην ἡμέραν ἀπ' ἀνατολῆς ἐπὶ δύσιν ἰοῦσαι. Ἡ δὲ οἰκεία ἀπὸ

*) Gen. 18, 22.

τῶν ἑσπερίων ἐπὶ τὰ ἑῷα, καθ᾽ ἣν συμβέβηκε τὰς περιόδους τῶν ἑπτὰ ἀστέρων, καὶ μήκη χρόνων προσειληφέναι, τὰς μὲν ἰσοδρόμους ἴσα, ἡλίου καὶ ἑωςφόρου καὶ στίλβοντος ἐπίκλησιν. Τρεῖς γὰρ τῶν
143 πλανήτων ἰσοταχεῖς οὗτοι. Τὰς δὲ ἀνισοδρόμους,
M. ἄνισα μὲν, ἀναλογίαν δ᾽ ἔχοντα πρός τε ἀλλήλας 412
καὶ τὰς τρεῖς ἐκείνας. Γίνεται οὖν τὸ μὲν ἕτερον P.
τῶν Χερουβὶμ ἡ ἐξωτάτω τοῦ παντὸς οὐρανοῦ ἐσχάτη ἁψὶς, ἐν ᾗ τὴν κατὰ τὰ αὐτὰ καὶ ὡςαύτως ἔχουσαν οἱ ἀπλανεῖς θείαν ὡς ἀληθῶς χορείαν χορεύουσι, τάξιν οὐ λείποντες ἣν ὁ γεννήσας αὐτοὺς πατὴρ ἔταξεν ἐν κόσμῳ. Θάτερον δὲ ἡ ἐντὸς περιεχομένη σφαῖρα, ἣν ἐξ ἀρχῆς σχίσας, ἑπτὰ κύκλους ἀναλογοῦντας ἐφ᾽ ἑαυτοῖς εἰργάζετο, τῶν πλανήτων ἕκαστον εἰς αὐτοὺς ἁρμοσάμενος· καὶ καθάπερ ἔποχον ἐν ὀχήματι ἀστέρα ἐν οἰκείῳ κύκλῳ θεὶς, τὰς ἡνίας ἐπίστευσε τῶν ἐπόχων οὐδενὶ, πλημμελῆ δείσας ἐπίστασιν, ἁπάσας δ᾽ ἐξήρτησεν ἑαυτοῦ, νομίσας ἐναρμόνιον τῆς κινήσεως μάλιστα οὕτω τάξιν γενήσεσθαι. Τὸ γὰρ σὺν θεῷ πᾶν ἐπαινετὸν, τὸ δ᾽ ἄνευ θεοῦ ψεκτόν.

§. 8. Τὰ μὲν δὴ Χερουβὶμ καθ᾽ ἕνα τρόπον οὕτως ἀλληγορεῖται. Ῥομφαίαν δὲ φλογίνην καὶ στρεφομένην, τὴν κίνησιν αὐτῶν καὶ τοῦ παντὸς οὐρανοῦ τὴν ἀΐδιον φορὰν ὑποτοπητέον λέγεσθαι. Μήποτε δὲ καθ᾽ ἑτέραν ἐκδοχὴν τὰ μὲν Χερουβὶμ δηλοῖ τῶν ἡμισφαιρίων ἑκάτερον; Καὶ γὰρ ἀντιπρόςωπά φασιν εἶναι, νεύοντα πρὸς τὸ ἱλαστήριον, ἑτέροις· ἐπειδὴ καὶ ταῦτα ἀντικρὺ μέν ἐστιν ἀλλήλων, νένευκε δ᾽ ἐπὶ γῆν τὸ μέσον τοῦ παντὸς, ᾧ καὶ διακρίνεται. Ἡ δὲ μόνη τῶν τοῦ κόσμου μερῶν ἑστῶσα παγίως, Ἑστία πρὸς τῶν παλαιῶν εὐθυβόλως ὠνόμασται, ἵνα περί τι βεβαίως ἱδρυμένον ἡ ἑκατέρων τῶν ἡμισφαιρίων ἐμμελεστάτη γίνηται περιπόλησις. Ἡ δὲ φλογίνη ῥομφαία σύμβολον ἡλίου· φλογὸς γὰρ ὢν πίλημα πολλῆς, ὠκυδρομώτατος γέγονε τῶν ὄν-

των, ὡς ἡμέρᾳ μιᾷ τὸν σύμπαντα περιδινεῖσθαι κό-
σμον.

§. 9. Ἤκουσα δέ ποτε καὶ σπουδαιοτέρου λό-
γου παρὰ ψυχῆς ἐμῆς εἰωθυίας τὰ πολλὰ θεοληπτεῖ-
σθαι, καὶ περὶ ὧν οὐκ οἶδε μαντεύεσθαι· ὃν ἐὰν
δύνωμαι ἀπομνημονεύσας ἐρῶ. Ἔλεγε δέ μοι, κατὰ
τὸν ἕνα ὄντως ὄντα θεὸν δύο τὰς ἀνωτάτω εἶναι καὶ
144 πρώτας δυνάμεις, ἀγαθότητα καὶ ἐξουσίαν. Καὶ
M. ἀγαθότητι μὲν τὸ πᾶν γεγεννηκέναι, ἐξουσίᾳ δὲ τοῦ
γεννηθέντος ἄρχειν. Τρίτον δὲ συναγωγὸν ἀμφοῖν
μέσον εἶναι λόγον· λόγῳ γὰρ καὶ ἄρχοντα καὶ ἀγα-
θὸν εἶναι τὸν θεόν. Ἀρχῆς μὲν οὖν καὶ ἀγαθότη-
τος, τῶν δυεῖν δυνάμεων, τὰ Χερουβὶμ εἶναι σύμ-
βολα, λόγου δὲ τὴν φλογίνην ῥομφαίαν. Ὀξυκινη-
τότατον γὰρ καὶ θερμὸν λόγος, καὶ μάλιστα ὁ τοῦ
αἰτίου, ὅτι καὶ αὐτὸ πάντα φθάσαν παρημείψατο,
καὶ πρὸ πάντων νοούμενον, καὶ ἐπὶ πάντων φαι- 113
νόμενον. Ἑκατέρου δὴ τῶν Χερουβὶμ, ὦ διάνοια, P.
δέξαι τύπον ἀκιβδήλευτον, ἵνα περί τε ἀρχῆς τοῦ
αἰτίου καὶ ἀγαθότητος ἐναργῶς ἀναδιδαχθεῖσα καρ-
πώσῃ κλῆρον εὐδαίμονα. Γνώσῃ γὰρ εὐθὺς καὶ
τὴν τῶν ἀκηράτων δυνάμεων σύνοδόν τε καὶ κρᾶσιν,
ἐν οἷς ἀγαθὸς μὲν ὁ θεὸς, ἐμφαινομένου τοῦ ἀπὸ
τῆς ἀρχῆς ἀξιώματος, ἐν ᾧ δὲ ἄρχων, ἐμφαινομένης
τῆς ἀγαθότητος· ἵνα τὰς ἐκ τούτων ἀπογεννωμένας
ἀρετὰς, φιλοφροσύνην καὶ εὐλάβειαν θεοῦ κτήσῃ,
μήτε ἐν οἷς εὖ πάσχεις ὑψηγοροῦσα, διὰ τὸ τῆς ἡγε-
μονίας τοῦ βασιλέως μέγεθος, μήτε ἐν οἷς ὑπομένεις
τι τῶν ἀβουλήτων, ἀπογινώσκουσα τὰς ἀμείνους ἐλ-
πίδας, διὰ ἡμερότητα τοῦ μεγάλου καὶ φιλοδώρου
θεοῦ. Φλογίνη δὲ ῥομφαία, διότι χρὴ τούτοις πα-
ρακολουθεῖν τὸν μετὰ τῶν πραγμάτων ἔνθερμον καὶ
πυρώδη λόγον, ὃς οὐδέποτε λήγει κινούμενος σπουδῇ
πάσῃ, πρὸς αἵρεσιν μὲν τῶν καλῶν, φυγὴν δὲ τῶν
ἐναντίων.

§. 10. Οὐχ ὁρᾷς ὅτι καὶ Ἀβραὰμ ὁ σοφὸς, ἡνί-

κα ἤρξατο κατὰ θεὸν μετρεῖν πάντα, καὶ μηδὲν ἀπολείπειν τῷ γεννητῷ, λαμβάνει τῆς φλογίνης ῥομφαίας μίμημα, "πῦρ καὶ μάχαιραν," *) διελεῖν καὶ καταφλέξαι τὸ θνητὸν ἀφ' ἑαυτοῦ γλιχόμενος, ἵνα γυμνῇ τῇ διανοίᾳ μετάρσιος πρὸς τὸν θεὸν ἀναπτῇ; Τὸν δέ γε Βαλαὰμ, μάταιον λαὸν ὄντα, ἐξωπλισμένον εἰσάγει Μωϋσῆς ἀστράτευτον καὶ λειποτάκτην, εἰδὼς πόλεμον ὃν ἁρμόζει ψυχῇ περὶ ἐπιστήμης ποιεῖσθαι. Λέγει γὰρ ὄνῳ, τῇ ἀλόγῳ προαιρέσει τοῦ βίου, ᾗ πᾶς ἄφρων ἐπιβέβηκεν, ὅτι "εἰ μάχαιραν εἶχον, ἤδη ἂν ἐξεκέντησά σε." **) Καὶ μεγίστη χάρις τῷ τεχνίτῃ, ὅτι τὴν ἀφροσύνης λύτταν εἰδὼς, οὐκ ἐνέδωκεν αὐτῇ, καθάπερ ξίφος μεμηνότι, δύναμιν λόγων, ἵνα μὴ πολλὴν καὶ ἄδικον ἅπασι τοῖς ἐν-
145 τυγχάνουσιν ἐνεργάσηται φθοράν. Ἃ δὲ Βαλαὰμ,
M. ταῦτ' ἕκαστος τῶν μὴ κεκαθαρμένων ἀεὶ ματαιάζων αἰτιᾶταί πως, ἐμπορικὸν, ἢ γεωργικὸν, ἤ τιν' ἄλλον τῶν ποριστικῶν ἐπιτηδεύσας βίον· ἕως μὲν αἴσια πάντα τὰ ἀφ' ἑκάστου, γεγηθὼς ἐπιβέβηκε καὶ ἐποχεῖται, καὶ ἐνειλημμένος ἀπρὶξ ἔχεται, μεθέσθαι τὸ παράπαν οὐ δικαιῶν. Ἀλλὰ καὶ τοῖς ἀφίστασθαι λέγουσι, καὶ μέτρα τῆς ἐπιθυμίας περιθεῖναι, διὰ τὸ τοῦ μέλλοντος ἀτέκμαρτον, βασκανίαν ὀνειδίζει καὶ φθόνον, οὐκ ἀπ' εὐνοίας εἰσηγεῖσθαι ταῦτα φάσκων. Ἐπειδὰν δὲ ἀβούλητος κακοπραγία συμβῇ, τοὺς μὲν ὡς ἀγαθοὺς μάντεις ἀποδέχεται καὶ προφυλάξασθαι δυνατωτάτους τὰ μέλλοντα· τὰ δ' οὐδενὸς αἴτια κακοῦ τὸ παράπαν αἰτιᾶται, τὴν γεωργίαν, τὴν ἐμπορίαν, τὰς ἄλλας ἐπιτηδεύσεις, αἷς πρὸς ἀργυρισμὸν ἠξίου χρῆσθαι.

§. 11. Αἱ δὲ, καίτοι φωνητηρίων ὀργάνων ἀμοιροῦσαι, τὴν δι' αὐτῶν τῶν πραγμάτων ῥήξουσι 114
φωνὴν ἐναργεστέραν οὖσαν τῆς διὰ γλώττης, "Ἀρά P.
γε, ὦ συκοφάντα, οὐχ ἡμεῖς ἐσμεν ἐκεῖναι," λέγου-

*) Gen. 22, 6. — **) Num. 22, 29.

σαι, "αἷς καθάπερ ὑποζυγίοις ὑψαυχενῶν ἐπεβεβήκεις; Μὴ καθ᾽ ὑπεροψίαν ἄλλως εἰργάσμεθά σοι κακοπραγίαν; Ἴδε τὸν ἀνθεστῶτα ἐξ ἐναντίας θεοῦ λόγον ἐνωπλισμένον, παρ᾽ ὃν τό τε εὖ καὶ τὸ μὴ συμβέβηκε τελειοῦσθαι. Οὐχ ὁρᾷς; Τί οὖν νῦν ἡμᾶς αἰτιᾷ, πρότερον ὅτε εὐώδει σοι τὰ πράγματα, οὐχὶ μεμψάμενος; Ἐσμὲν γὰρ αἱ αὐταὶ μηδὲν τῆς ἑαυτῶν φύσεως μεταβαλοῦσαι, τὸ παράπαν στιγμήν· σὺ δὲ κριτηρίοις χρώμενος οὐχ ὑγιέσιν, ἀλόγως σφαδάζεις. Εἰ γὰρ ἐξ ἀρχῆς ἔμαθες, ὅτι οὐχ ἅττ᾽ ἂν ἐπιτηδεύῃς, ἀγαθῶν μετουσίας ἢ κακῶν ἐστιν αἰτία, ἀλλ᾽ ὁ πηδαλιοῦχος καὶ κυβερνήτης τοῦ παντὸς λόγος θεῖος, ῥᾷον ἂν ἔφερες τὰ συμπίπτοντα, παυσάμενος τοῦ συκοφαντεῖν καὶ ἐπιγράφειν ἡμῖν ἃ μὴ δυνάμεθα. Ἐὰν οὖν πάλιν καθελὼν ἐκεῖνος τὸν πόλεμον, καὶ τὰς ἐπ᾽ αὐτῷ ἐννοίας καὶ κατηφείας σκεδάσας, εἰρήνην ἐπικηρυκεύσηται βίου, φαιδρὸς καὶ γεγηθὼς τὴν δεξιὰν ἐμβαλεῖ γ᾽ ἡμῖν ταῖς ἐν ὁμοίῳ μενούσαις. Ἡμεῖς δ᾽ οὔτ᾽ εὐμενείᾳ τῇ σῇ φυσιώμεθα, οὔτ᾽ ἐὰν δυσμεναίνῃς, ἐπιστρεφόμεθα. Ἴσμεν γὰρ ἑαυτὰς μήτ᾽ ἀγαθῶν μήτε κακῶν αἰτίας οὔσας, καὶ ἂν σὺ περὶ ἡμῶν τοιαῦτα δοξάζῃς· εἰ μὴ καὶ τὴν θάλατταν εὐπλοίας ἢ τῶν συμβαινόντων ναυαγίων, ἀλλ᾽ οὐχὶ τὰς τῶν πνευμάτων διαφορὰς, τοτὲ μὲν ἐπιεικῶς, τοτὲ δὲ μετὰ βιαιοτάτου συρμοῦ καταπνεόντων, αἰτιατέον. Φύσει γὰρ παν-
146 τὸς ὕδατος ἠρεμίαν ἐξ αὐτοῦ λαχόντος, ὅταν μὲν
M. πνεῦμα οὔριον κατ᾽ οἰάκων ἐπιγένηται, παντὸς καὶ ἀνασεισθέντος κάλου, πλησίστιοι μέχρι λιμένων αἱ νῆες κατάγουσιν. Ὅταν δὲ αἰφνίδιον κατὰ πρώρας ἐξ ἐναντίας κατασκήψῃ, πολὺν σάλον καὶ κλόνον ἐγείρει, καὶ ἀνατρέπει. Καὶ τοῦ συμβαίνοντος ἡ μηδὲν αἰτία θάλασσα τὴν πρόφασιν ἴσχει, φανερῶς ταῖς ἀνέσεσι καὶ σφοδρότησι τῶν ἀνέμων ἢ γαληνιάζουσα ἢ κυμαίνουσα." Διὰ τούτων οὖν ἁπάντων ἱκανῶς οἶμαι δεδηλῶσθαι, ὅτι λόγον ἡ φύσις δυνατώτατον

σύμμαχον ἀνθρώπῳ δημιουργήσασα, τὸν μὲν αὐτῷ χρῆσθαι δυνάμενον ὀρθῶς ἀπέδειξεν εὐδαίμονα καὶ λογικὸν ὄντως, τὸν δὲ μὴ δυνάμενον ἄλογόν τε καὶ κακοδαίμονα. —

§. 12. „Ἀδὰμ δὲ ἔγνω τὴν γυναῖκα αὐτοῦ. Καὶ συνέλαβε καὶ ἔτεκε τὸν Κάϊν. Καὶ εἶπεν, ἐκτησάμην ἄνθρωπον διὰ τοῦ θεοῦ. Καὶ προσέθηκε τεκεῖν τὸν Ἀβὲλ τὸν ἀδελφὸν αὐτοῦ." *) Οἷς ἀρετὴν μεμαρτύρηκεν ὁ νομοθέτης, τούτους γνωρίζοντας γυ-
ναῖκας οὐκ εἰσάγει, τὸν Ἀβραὰμ, τὸν Ἰσαὰκ, τὸν 115
Ἰακὼβ, τὸν Μωϋσῆν, καὶ εἴ τις αὐτοῖς ὁμόζηλος. P.
Ἐπειδὴ γάρ φαμεν εἶναι γυναῖκα τροπικῶς αἴσθησιν, ἀλλοτριώσει δὲ αἰσθήσεως καὶ σώματος ἐπιστήμη συνίσταται, τοὺς σοφίας ἐραστὰς αἴσθησιν ἀποδοκιμάζοντας μᾶλλον ἢ αἱρουμένους ἐπιδείξεται. Καὶ μήποτ᾽ εἰκότως. Αἱ γὰρ τούτοις συνοικοῦσαι, λόγῳ μέν εἰσι γυναῖκες, ἔργῳ δὲ ἀρεταί. Σάῤῥα μὲν ἄρχουσα καὶ ἡγεμονίς. Ῥεβέκκα δὲ ἐπιμονὴ τῶν καλῶν. Λεία δὲ ἀνανευομένη καὶ κοπιῶσα ἐπὶ τῇ συνεχείᾳ τῆς ἀσκήσεως, ἣν ἐκνένευκε καὶ ἀποστρέφεται πᾶς ἄφρων ἀρνούμενος. Σεπφώρα δὲ ἡ Μωϋσέως, ἀπὸ γῆς εἰς οὐρανὸν ἀνατρέχουσα, καὶ τὰς ἐκεῖ θείας καὶ εὐδαίμονας φύσεις κατανοοῦσα· καλεῖται δὲ ὀρνίθιον. Ἵνα δὲ τὴν ἀρετῶν κύησιν καὶ ὠδῖνα εἴπωμεν, ἀκοὰς ἐπιφραξάτωσαν δεισιδαίμονες τὰς ἑαυτῶν ἢ μεταστήτωσαν. Τελετὰς γὰρ ἀναδιδάσκομεν θείας τοὺς τελετῶν ἀξίους τῶν ἱερωτάτων μύστας. Οὗτοι δ᾽ εἰσὶν οἱ τὴν ἀληθῆ καὶ οὖσαν ὄντως ἀκαλλώπιστον εὐσέβειαν μετὰ ἀτυφίας ἀσκοῦντες. Ἐκείνοις δὲ οὐχ ἱεροφαντήσομεν κατεσχημένοις ἀνιάτῳ κακῷ, τύφῳ ῥημάτων, καὶ ὀνομάτων γλισχρότητι, καὶ τερθρείαις ἐθῶν, ἄλλῳ δὲ οὐδενὶ τὸ εὐαγὲς καὶ
147 ὅσιον παραμετροῦσιν.
M.

---

*) Gen. 4, 1.

§. 13. Ἀρκτέον οὖν τῆς τελετῆς ὧδε. Ἀνὴρ μὲν γυναικὶ, ἄνθρωπος δ' ἄῤῥην ἀνθρώπῳ θηλείᾳ τὰς ἐπὶ γενέσει παίδων ὁμιλίας, ἐπακολουθῶν τῇ φύσει, συνέρχεται ποιησόμενος. Ἀρεταῖς δὲ πολλὰ καὶ τέλεια τικτούσαις θέμις οὐκ ἔστιν ἀνδρὸς ἐπιλαχεῖν θνητοῦ. Μὴ δεξάμεναι δὲ παρά τινος ἑτέρου ἐπιγονὴν, ἐξ ἑαυτῶν μὲν μόνων οὐδέποτε κυήσουσι. Τίς οὖν ὁ σπείρων ἐν αὐταῖς τὰ καλὰ, πλὴν ὁ τῶν ὅλων πατὴρ, ὁ ἀγέννητος θεὸς, καὶ τὰ σύμπαντα γεννῶν; Σπείρει μὲν οὖν οὗτος, τὸ δὲ γέννημα τὸ ἴδιον ὃ ἔσπειρε, δωρεῖται. Γεννᾷ γὰρ ὁ θεὸς οὐδὲν αὑτῷ, χρεῖος ἅτε ὢν οὐδενὸς, πάντα δὲ τῷ λαβεῖν δεομένῳ. Παρέξω δὲ τῶν λεγομένων ἐγγυητὴν ἀξιόχρεων τὸν ἱερώτατον Μωϋσῆν.*) Τὴν γὰρ Σάῤῥαν εἰςάγει τότε κύουσαν, ὅτε ὁ θεὸς αὐτὴν μονωθεῖσαν ἐπισκοπεῖ· τίκτουσαν δ' οὐκέτι τῷ τὴν ἐπίσκεψιν πεποιημένῳ, ἀλλὰ τῷ σοφίας τυχεῖν γλιχομένῳ, οὗτος δὲ Ἀβραὰμ ὀνομάζεται. Γνωριμώτερον δ' ἐπὶ τῆς Λείας ἐκδιδάσκει, λέγων, ὅτι "τὴν μήτραν ἀνέῳξεν αὐτῆς ὁ θεός." **) Ἀνοιγνύναι δὲ μήτραν, ἀνδρὸς ἴδιον. Ἡ δὲ συλλαβοῦσα ἔτεκεν, οὐ θεῷ, — ἱκανὸς γὰρ μόνος καὶ αὐταρκέστατος ἑαυτῷ, — ἀλλὰ τῷ κάματον ἀναδεχομένῳ ὑπὲρ τοῦ καλοῦ, Ἰακὼβ, ὥςτε τὴν ἀρετὴν δέχεσθαι μὲν παρὰ τοῦ αἰτίου τὰ θεῖα σπέρματα, τίκτειν δέ τινι τῶν ἑαυτῆς ἐραστῶν,
ὃς ἂν τῶν μνηστήρων ἁπάντων προκριθῇ. ***) 116
Πάλιν Ἰσαὰκ τοῦ πανσόφου θεὸν ἱκετεύσαντος, ἐκ P.
τοῦ ἱκετευθέντος ἔγκυος ἡ ἐπιμονὴ Ῥεβέκκα γίνεται· χωρὶς δὲ ἱκετείας καὶ δεήσεως τὴν πτηνὴν καὶ μετάρσιον ἀρετὴν Σεπφώραν ****) Μωϋσῆς λαβὼν, εὑρίσκει κύουσαν ἐξ οὐδενὸς θνητοῦ.

§. 14. Ταῦτα, ὦ μύσται, κεκαθαρμένοι τὰ ὦτα, ὡς ἱερὰ ὄντως μυστήρια ψυχαῖς ταῖς ἑαυτῶν παρα-

*) Gen. 21, 1. — **) Gen. 29, 13. — ***) Gen. 25, 21.
****) Exod. 2, 21 sq.

δέχεσθε, καὶ μηδενὶ τῶν ἀμυήτων ἐκλαλήσατε, ταμιευσάμενοι δὲ παρ' ἑαυτοῖς φυλάττετε θησαυρὸν, οὐκ ἐν ᾧ χρυσὸς καὶ ἄργυρος, οὐσίαι φθαρταὶ, κατάκεινται, ἀλλὰ τῶν ὄντων κτημάτων τὸ καλλιστεῖον, ἡ περὶ τοῦ αἰτίου καὶ ἀρετῆς, καὶ τρίτου, τοῦ γεννήματος ἀμφοῖν, ἐπιστήμη. Ἐὰν δέ τινι τῶν τετελεσμένων ἐντυγχάνητε, λιπαρῶς ἐγκείμενοι περιέχεσθε, μή τινα ἄρα καινοτέραν εἰδὼς τελετὴν ἐπικρύπτηται, μέχρις ἂν αὐτὴν σαφῶς ἀναδιδαχθῆτε. Καὶ γὰρ ἐγὼ παρὰ Μωϋσεῖ τῷ θεοφιλεῖ μυηθεὶς τὰ μεγάλα μυστήρια, ὅμως αὖθις Ἱερεμίαν τὸν
148 *προφήτην ἰδὼν, καὶ γνοὺς ὅτι οὐ μόνον μύστης*
M. *ἐστὶν, ἀλλὰ καὶ ἱεροφάντης ἱκανὸς, οὐκ ὤκνησα φοιτῆσαι πρὸς αὐτόν. Ὁ δὲ, ἅτε τὰ πολλὰ ἐνθουσιῶν, χρησμόν τινα ἐξεῖπεν ἐκ προσώπου τοῦ θεοῦ λέγοντα πρὸς τὴν εἰρηνικωτάτην ἀρετὴν ταῦτα, "Οὐχ ὡς οἶκόν με ἐκάλεσας, καὶ πατέρα, καὶ ἄνδρα τῆς παρθενίας σου;" *) Ἐμφαντικώτατα παριστὰς, ὅτι ὁ θεὸς καὶ οἶκός ἐστιν, ἀσωμάτων ἰδεῶν ἀσώματος χώρα· καὶ τῶν συμπάντων πατὴρ, ἅτε γεγεννηκὼς αὐτά· καὶ σοφίας ἀνὴρ, σπέρμα τῷ θνητῷ γένει καταβαλλόμενος εὐδαιμονίας εἰς ἀγαθὴν καὶ παρθένον γῆν. Ἀμιάντῳ γὰρ καὶ ἀψαύστῳ καὶ καθαρᾷ φύσει, τῇ πρὸς ἀλήθειαν παρθένῳ, διαλέγεσθαι πρεπῶδες θεὸν, ἐναντίως ἡμῖν. Ἀνθρώπων μὲν γὰρ ἡ ἐπὶ γεννήσει τέκνων σύνοδος τὰς παρθένους γυναῖκας ἀποφαίνει· ὅταν δὲ ὁμιλεῖν ἄρξηται ψυχῇ θεὸς, πρότερον οὖσαν γυναῖκα παρθένον αὖθις ἀποδείκνυσιν. Ἐπειδὴ τὰς ἀγεννεῖς καὶ ἀνάνδρους ἐπιθυμίας αἷς ἐθηλύνετο, ἐκποδὼν ἀνελὼν, τὰς αὐθιγενεῖς καὶ ἀκηράτους ἀρετὰς ἀντεισάγει. Σάῤῥα γοῦν οὐ διαλέξεται, πρὶν "ἐκλιπεῖν ἐκείνην τὰ γυναικεῖα πάντα," **) καὶ ἀναδραμεῖν εἰς ἁγνευούσης παρθένου τάξιν.*

---

*) Ier. 3, 4. — **) Gen. 18, 11.

§. 15. Ἀλλ᾽ ἐνδέχεται τάχα που καὶ παρθένον ψυχὴν πάθεσιν ἀκολάστοις μιανθεῖσαν αἰσχυνθῆναι. Διόπερ ὁ χρησμὸς πεφύλακται θεὸν ἄνδρα εἰπὼν, οὐ παρθένου, — τρεπτὴ γὰρ ἥδε καὶ θνητή, — ἀλλὰ "παρθενίας,"*) τῆς ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡςαύτως ἐχούσης ἰδέας. Γένεσιν γὰρ καὶ φθορὰν ἐνδεχομένων φύσει τῶν ποιῶν, ἄφθαρτον αἱ τυποῦσαι δυνάμεις τὸν ἐν μέρει κλῆρον εἰλήφασι. Τὸν οὖν ἀγέννητον καὶ ἄτρεπτον θεὸν, ἀθανάτων καὶ παρ- 117
θένων ἀρετῶν σπείρειν ἰδέας, μήποτε εἰς γυναικὸς P.
μεταβαλλούσης σχῆμα παρθενίας, πρεπῶδες; Τί οὖν, ὦ ψυχὴ, δέον ἐν οἴκῳ θεοῦ παρθενεύεσθαι, καὶ ἐπιστήμης περιέχεσθαι, τούτων μὲν ἀποστατεῖς, αἴσθησιν δὲ ἀσπάζῃ τὴν ἐκθηλύνουσάν σε καὶ μιαίνουσαν; Τοιγάρτοι γέννημα πάμφυρτον καὶ πανώλεθρον ἀποτέξῃ τὸν ἀδελφοκτόνον καὶ ἐπάρατον Κάϊν, κτῆσιν οὐ κτητήν. Λέγεται γὰρ ὁ Κάϊν κτῆσις.

§. 16. Θαυμάσαι δ᾽ ἄν τις τὸν τῆς ἑρμηνείας τρόπον, ᾧ πολλάκις ἐπὶ πολλῶν ὁ νομοθέτης χρῆ-
149 ται, τὸ σύνηθες ἐξαλλάττων. Μετὰ γὰρ τοὺς φύντας ἐκ γῆς, ἀρχόμενος δηλοῦν τὸν γεννηθέντα πρῶτον ἐξ ἀνθρώπων, περὶ οὗ τὸ παράπαν οὐδὲν εἴρηκεν, ὡς ἤδη πολλάκις τὸ ὄνομα αὐτοῦ προειπὼν, ἀλλὰ μὴ νῦν αὐτὸ κατατάττων εἰς τὴν ἐν λόγῳ χρῆσιν, φησὶν ὅτι ἔτεκε τὸν Κάϊν. Ποῖον, ὦ τεχνῖτα, περὶ οὗ τί μικρὸν, ἢ μέγα πάλαι δεδήλωκας; Καὶ μὴν οὐκ ἀγνοεῖς τὴν οἰκείαν θέσιν τῶν ὀνομάτων. Ἤδη γοῦν προελθὼν ἐπὶ τοῦ αὐτοῦ δηλώσεις προςώπου φάσκων, ὅτι "ἔγνω Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ· καὶ συλλαβοῦσα ἔτεκεν υἱὸν, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ."**) Οὐκοῦν πολὺ μᾶλλον ἐχρῆν ἐπὶ τοῦ πρωτοτόκου, ὃς ἦν ἀρχὴ τῆς ἐξ ἀλλήλων γενέσεως ἀνθρώποις, τήν τε φύσιν τοῦ

---

*) Ier. 3, 4. — **) Gen. 4, 25.

ἀποκυηθέντος δηλῶσαι, πρῶτον ὅτι ἄῤῥεν, εἶτα τὸ οἰκεῖον ὄνομα θέσθαι, Καῒν εἰ τύχοι; Ἐπειδὴ τοίνυν οὐκ ἀπειρίᾳ τρόπων, καθ᾽ οὓς ὀνόματα δεῖ τίθεσθαι, φαίνεται τὴν συνήθη χρῆσιν ἐπὶ τῶν περὶ Καῒν ἀνελὼν, σκεπτέον ἂν εἴη τίνος αἰτίας ἕνεκα οὕτως ἐκάλεσε τοὺς ἐκ τῶν πρώτων, παραδιηγήσεως μᾶλλον ἢ θέσεως ὀνομάτων τύπῳ χρησάμενος. Ἔστι δὲ, ὡς ἔμοιγε στοχαζομένῳ φαίνεται, ἡ αἰτία ἥδε.

§. 17. Ὁ μὲν ἄλλος ἅπας ἀνθρώπων ὅμιλος ὀνόματα τίθεται πράγμασι διαφέροντα τῶν πραγμάτων, ὡς ἕτερα μὲν εἶναι τὰ τυγχάνοντα, ἑτέρας δὲ κλήσεις τὰς ἐπ᾽ αὐτοῖς. Παρὰ Μωϋσεῖ δὲ αἱ τῶν ὀνομάτων θέσεις ἐνάργειαι πραγμάτων εἰσὶν ἐμφαντικώταται, ὡς αὐτὸ τὸ πρᾶγμα ἐξ ἀνάγκης εὐθὺς εἶναι τὸ ὄνομα, καὶ καθ᾽ οὗ τίθεται διαφέρειν μηδέν. Μάθοις δ᾽ ἂν σαφέστερον καὶ ἐκ τοῦ προτεθέντος ὃ λέγω. Ὅταν ὁ ἐν ἡμῖν νοῦς — κεκλήσθω δὲ Ἀδὰμ — ἐντυχὼν αἰσθήσει, παρ᾽ ἣν ζῆν δοκεῖ τὰ ἔμψυχα, — καλεῖται δὲ Εὔα — συνουσίας ὀρεχθεὶς πλησιάσῃ, ἥδε συλλαμβάνει καθάπερ δικτύῳ καὶ θηρεύει φυσικῶς τὸ ἐκτὸς αἰσθητὸν, — διὰ μὲν ὀφθαλμῶν τὸ χρῶμα, διὰ δὲ ὤτων φωνὴν, διὰ δὲ μυκτήρων ἀτμὸν, χυμόν γε μὴν διὰ τῶν γεύσεως ὀργάνων, καὶ διὰ τῶν ἁφῆς ἅπαν σῶμα, — συλλαβὼν ἐγκύμων τε γίνεται, καὶ εὐθὺς ὠδίνει καὶ τίκτει κακῶν ψυχῆς τὸ μέγιστον, οἴησιν. Ὠιήθη γὰρ 118
αὐτοῦ πάντ᾽ εἶναι κτήματα, ὅσα εἶδεν, ὧν ἤκουσεν, P.
ὧν ἐγεύσατο, ὧν ὠσφρήσατο, ὧν ἥψατο, καὶ πάντων ὑπέλαβεν εὑρέτην καὶ τεχνίτην ἑαυτόν.

§. 18. Ἔπαθε δὲ τοῦτο οὐκ ἀλόγως. Ἦν γάρ ποτε χρόνος, ὅτε νοῦς οὐ διελέγετο αἰσθήσει, οὐδ᾽ εἶχεν αἴσθησιν, πάμπολυ διεστὼς τῶν συννόμων καὶ ἀγε-
150 λαίων, ἐοικὼς τοῖς μονοτρόποις καὶ μονωτικοῖς ζώ-
M. οις. Τότε δὴ καθ᾽ ἑαυτὸν ἐξεταζόμενος, σώματος οὐκ ἐφήπτετο, ἄθρουν ἔχων ὄργανον περὶ ἑαυτὸν, ᾧ θηρεύσει τὸ ἐκτὸς, ἀλλ᾽ ἦν τυφλὸς καὶ ἀδύνατος,

οὐχ ὃν οἱ πολλοὶ λέγουσιν, ὅταν πηρωθέντα τὰς ὄψεις θεάσωνται· μίαν γὰρ οὗτος αἴσθησιν ἀφαιρεθεὶς, τῶν ἄλλων ἄγει πολλὴν περιουσίαν. Ἐκεῖνος δὲ πάσας τὰς αἰσθητικὰς δυνάμεις περικεκομμένος, ἀδύνατος ὄντως, ἥμισυ ψυχῆς τελείας, ἐνδέων δυνάμεως, ᾗ καταλαμβάνεσθαι σώματα πέφυκε, τμῆμα καθ' ἑαυτὸν στερόμενον τοῦ συμφυοῦς οὐκ εὐτυχὲς, ἄνευ βάκτρων τῶν αἰσθητικῶν ὀργάνων τυγχάνει, οἷς ἱκανὸς ἦν σκηρίπτεσθαι κραδαινόμενος. Παρ' ἣν αἰτίαν καὶ πολὺ σκότος πάντων κατεκέχυτο τῶν σωμάτων, οὐδενὸς φανῆναι δυναμένου· ᾧ γὰρ γνωρίζεσθαι ἔμελλεν, αἴσθησις οὐκ ἦν. Βουληθεὶς οὖν ὁ θεὸς μὴ μόνον τῶν ἀσωμάτων, ἀλλὰ καὶ στερεῶν σωμάτων κατάληψιν αὐτῷ παρασχεῖν, ἐξεπλήρου τὴν ὅλην ψυχὴν, τὸ ἕτερον τῷ προειργασμένῳ τμῆμα συνυφαίνων, ὃ κέκληκε προσηγορικῶς μὲν γυναῖκα, ὀνομαστικῶς δὲ Εὔαν, αἰνιττόμενος αἴσθησιν.

§. 19. Ἡ δὲ εὐθὺς γενομένη, δι' ἑκάστου τῶν μερῶν αὐτῆς ὥσπερ διά τινων ὀπῶν, ἄθροον φῶς εἰς τὸν νοῦν ἐπεισέχεεν, καὶ τὴν ἀχλὺν ἀποσκεδάσασα, τηλαυγῶς καὶ σφόδρα ἐκδήλως τὰς φύσεις τῶν σωμάτων ἰδεῖν, καθάπερ δεσπότην, παρεσκεύασεν. Ὁ δὲ ὥσπερ ἐκ νυκτὸς ἡλιακῷ φέγγει καταυγασθεὶς ἀπαστράπτοντι, ἢ ἐκ βαθέος ὕπνου περιαναστὰς, ἢ οἷα τυφλὸς ἐξαίφνης ἀναβλέψας, ἐνετύγχανε πᾶσιν ἀθρόως ὧν γένεσίς ἐστιν, οὐρανῷ, γῇ, ὕδατι, ἀέρι, φυτοῖς, ζώοις, σχέσεσιν αὐτῶν, ποιότησι, δυνάμεσιν, ἕξεσι, κινήσεσιν, ἐνεργείαις, πράξεσι, μεταβολαῖς, φθοραῖς, καὶ τὰ μὲν ἑώρα, τῶν δὲ ἤκουε, τῶν δὲ ἐγεύετο, τῶν δὲ ὠσφραίνετο, τῶν δὲ ἥπτετο· καὶ πρὸς ἃ μὲν ἐπικλινῶς εἶχεν ἡδονὰς ἐργαζόμενα, τῶν δὲ ἀπεστρέφετο ἐμποιούντων ἀλγηδόνας. Περιβλεψάμενος οὖν ὧδε καὶ ἐκεῖσε, καὶ περιαθρήσας ἑαυτόν τε καὶ τὰς δυνάμεις, ἐτόλμησε ταὐτὸν αὔχημα αὐχῆσαι τῷ βασιλεῖ Μακεδόνων Ἀλε-

ξάνδρῳ. Καὶ γὰρ ἐκεῖνόν φασιν, ἡνίκα Εὐρώπης
καὶ Ἀσίας ἔδοξεν ἀνάψασθαι τὸ κράτος, ἐν ἐπικαί-
ρῳ χωρίῳ στάντα καὶ πάντα περιαθρήσαντα εἰπεῖν, 119
ὅτι "καὶ τὰ τῇδε καὶ τὰ τῇδε ἐμά," μειρακιώδους P.
καὶ νηπίας καὶ ἰδιωτικῆς τῷ ὄντι ψυχῆς οὐ βασιλι-
κῆς ἐπιδειξάμενον κουφότητα. Πρότερος δὲ ὁ νοῦς
τὴν αἰσθητικὴν δύναμιν ἐξαψάμενος καὶ δι' αὐτῆς
πᾶσαν ἰδέαν θηρεύσας σώματος, ὑποπλησθεὶς ἀλό-
151 γου φρονήματος, ἐφυσήθη, ὡς τὰ πάντα ἑαυτοῦ νο-
M. μίσαι κτήματα, καὶ μηδενὸς ἄλλου τὸ παράπαν μηδέν.

§. 20. Οὗτός ἐστιν ὃν χαρακτηρίσας Μωϋσῆς τρόπον ἐν ἡμῖν, ἐπεφήμισε Κάϊν, ἑρμηνευόμενον κτῆσιν, εὐηθείας, μᾶλλον δὲ ἀσεβείας μεστὸν ὄντα. Ἀντὶ γὰρ τοῦ νομίσαι θεοῦ πάντα κτήματα, ὑπέλαβεν ἑαυτοῦ, μήθ' αὑτὸν ἔχειν βεβαίως δυνάμενος, ἀλλὰ μήθ' ὅςτις ἐστὶ τὴν οὐσίαν εἰδώς. Ἀλλ' ὅμως ἐμπεπίστευκε ταῖς αἰσθήσεσιν, ὡς ἱκαναῖς θηρεῦσαι τὸ ἐκτὸς αἰσθητόν. Εἰπάτω, πῶς παρορᾶν, ἢ παρακούειν, ἢ κατά τινα ἄλλην αἴσθησιν μὴ ἁμαρτάνειν ἔτι δυνήσεται. Καὶ μὴν τοὺς ὀλίσθους ἀνάγκη τούτους περὶ ἕκαστον ἡμῶν ἀεὶ συμβαίνειν, καὶ ἂν τὰ μάλισθ' ἡμεῖς ἠκριβωμένοις τοῖς ὀργάνοις χρώμενοι τυγχάνωμεν. Τὰς γὰρ φυσικὰς κῆρας καὶ τὸν ἀκούσιον πλάνον εἰς ἅπαν ἐκδῦναι, χαλεπὸν, μᾶλλον δ' ἀμήχανον, ἀπείρων ὅσων ψευδοῦς δόξης ποιητικῶν ἔν τε ἡμῖν καὶ περὶ ἡμᾶς καὶ ἐκτὸς ἡμῶν, ἐν ἅπαντι τῷ θνητῷ γένει ὑπαρχόντων. Οὐκ ἄρα ὑγιῶς κτήμαθ' ἑαυτοῦ ὑπέλαβε τὰ πάντα, καὶ ἂν φρυαττόμενος ὑψαυχενῇ.

§. 21. Γέλωτά μοι πλατὺν καὶ Λάβαν ὁ τῶν ποιοτήτων ἠρτημένος ἐδόκει παρασχεῖν Ἰακὼβ, τῷ πρὸ τούτων τὴν ἄποιον φύσιν ὁρῶντι, ἡνίκα ἐτόλμα πρὸς αὐτὸν λέγειν, ὅτι "αἱ θυγατέρες μου καὶ υἱοί μου καὶ τὰ κτήνη μου καὶ πάνθ' ὅσα σὺ ὁρᾷς, ἐμά

ἐστι καὶ τῶν θυγατέρων μου." *) Ἐφ' ἑκάστου γὰρ
οὗτος τὸ Ἐμὸν προστιθεὶς, περὶ αὑτοῦ λέγων ἅμα
καὶ σεμνομυθῶν οὐ παύεται. Τὰς θυγατέρας, εἰπέ
μοι, — τέχναι δέ εἰσι καὶ ἐπιστῆμαι ψυχῆς, — θυ-
γατέρας σαυτοῦ λέγεις εἶναι; Τίνα τρόπον; Οὐ πρῶ-
τον μὲν παρὰ τοῦ διδάξαντος αὐτὰς νοῦ παραλα-
βὼν ἔχεις; Εἶτα καὶ πέφυκας ἀποβάλλειν ὥςπερ ἄλλ'
ἄττα καὶ ταῦτα, ἢ διὰ μέγεθος ἑτέρων φροντίδων
ἐκλαθόμενος, ἢ διὰ χαλεπὰς καὶ μηκίστας ἀῤῥω-
στίας σώματος, ἢ διὰ τὴν ὡρισμένην τοῖς πρεσβύ-
ταις ἀθεράπευτον νόσον, γῆρας, ἢ δι' ἄλλα μυρία,
ὧν ἀριθμὸν ἄπορον εὑρεῖν. Τί δὲ, τοὺς υἱοὺς —
υἱοὶ δέ εἰσιν οἱ κατὰ μέρος τῆς ψυχῆς λογισμοὶ —
φάσκων εἶναι σαυτοῦ, σωφρονεῖς, ἢ μέμηνας τοιαῦτα
δοξάζων; Αἱ γὰρ μελαγχολίαι καὶ παράνοιαι καὶ
φρενῶν ἐκστάσεις καὶ εἰκασίαι ἀβέβαιοι, καὶ φαν-
τασίαι πραγμάτων ψευδεῖς, καὶ κενοί τινες φρονη-
μάτων ὀνείροις ἐοικότες ἑλκυσμοὶ, καὶ σπασμοὺς ἐν-
διδόντες ἐξ ἑαυτῶν, καὶ ἡ σύντροφος ψυχῆς νόσος, 120
λήθη, καὶ ἄλλα τῶν εἰρημένων πλείω, τὸ ἐχυρόν P.
σου τῆς δεσποτείας ἀφαιρεῖται, καὶ ἐπιδείκνυται
ταῦτα ἑτέρου τινὸς, οὐχὶ σὰ κτήματα. Πῶς δὲ
τὰ κτήνη — κτήνη δέ εἰσιν αἱ αἰσθήσεις, ἄλογον
152 γὰρ καὶ κτηνῶδες αἴσθησις — σαυτοῦ λέγειν εἶναι
M. τολμᾷς; Παρορῶν εἰπέ μοι, παρακούων ἀεὶ, τοὺς
γλυκεῖς χυλοὺς ἁλμυροὺς ἔστιν ὅτε, καὶ ἔμπαλιν τοὺς
πικροὺς γλυκεῖς ἡγούμενος, καὶ κατὰ πᾶσαν αἴσθη-
σιν πλείω τῶν κατορθουμένων εἰωθὼς διαμαρτάνειν,
οὐκ ἐρυθριᾷς; Ἀλλ' ὥςπερ ἀπταίσταις κεχρημένος
ταῖς περὶ ψυχὴν ἁπάσαις δυνάμεσί τε καὶ ἐνεργείαις
γαυριᾷς καὶ πεφύσησαι;

§. 22. Ἀλλ' ἐὰν μεταβάλῃς, καὶ ὧν χρὴ φρενῶν μοιραθῇς, ἐρεῖς πάντα τοῦ θεοῦ κτήματα, οὐχὶ σαυτοῦ, τὰς διανοήσεις, τὰς ἐπιστήμας, τὰς τέχνας,

*) Gen. 31, 43.

τὰ θεωρήματα, τοὺς ἐν μέρει λογισμοὺς, τὰς αἰσθήσεις, τὰς διὰ τούτων καὶ ἄνευ αὐτῶν ψυχῆς ἐνεργείας. Ἐὰν δὲ μέχρι παντὸς ἀπαιδαγώγητον καὶ ἀδίδακτον ἐάσῃς σεαυτὸν, δουλεύσεις τὸν αἰῶνα χαλεπαῖς δεσποίναις, οἰήσεσιν, ἐπιθυμίαις, ἡδοναῖς, ἀδικίαις, ἀφροσύναις, ψευδέσι δόξαις. „Εἰ γὰρ" φησὶν, „ἀποκριθεὶς εἴποι ὁ παῖς, ἠγάπηκα τὸν κύριόν μου καὶ τὴν γυναῖκά μου καὶ τὰ παιδία, οὐκ ἐξελεύσομαι ἐλεύθερος· ἀχθεὶς πρὸς τὸ κριτήριον τοῦ θεοῦ," καὶ δικαστοῦ τυχὼν αὐτοῦ, βέβαιον σχήσει ὃ ᾐτήσατο, „πρότερον τρυπηθεὶς τὸ οὖς,"*) ἵνα μὴ δέξηται θείαν ἀκοὴν ὑπὲρ ἐλευθερίας ψυχῆς. Ἐκκεκριμένου γάρ ἐστιν ὥςπερ ἐξ ἀγῶνος ἱεροῦ καὶ ἀποδεδοκιμασμένου, παιδὸς ὄντως νηπίου τε κομιδῇ λογισμοῦ, σεμνολογεῖν ἐπὶ τῷ τὸν νοῦν ἠγαπηκέναι, καὶ τὸν νοῦν νομίζειν ἑαυτοῦ κύριον εἶναι καὶ εὐεργέτην, καὶ ἐπὶ τῷ τὴν αἴσθησιν σφόδρα στέργειν, καὶ κτῆμα ἴδιον αὐτὴν καὶ ἀγαθῶν τὸ μέγιστον ἡγεῖσθαι, καὶ τὰ τούτων ἀμφοῖν παιδία, τοῦ μὲν τὸ νοεῖν, τὸ λογίζεσθαι, τὸ διανοεῖσθαι, τὸ βουλεύεσθαι, τὸ στοχάζεσθαι· τῆς δὲ τὸ ὁρᾷν, τὸ ἀκούειν, τὸ γεύεσθαι, τὸ ὀσφραίνεσθαι, τὸ ἅπτεσθαι, κοινῶς τὸ αἰσθάνεσθαι.

§. 23. Ἀνάγκῃ μέντοι τὸν τούτοις οἰκειούμενον μηδ᾽ ὄναρ ἐλευθερίας ἐπῃσθῆσθαι· φυγῇ γὰρ αὐτῶν καὶ ἀλλοτριώσει μεταποιούμεθα ἀδείας. Ἄλλος δέ τις πρὸς τῷ φιλαύτῳ καὶ τὸ μανιῶδες ἐπιδεικνύμενος, φησὶν, ὅτι καὶ ἂν ἀφαιρῆταί τις, ὡς περὶ οἰκείων ἀγωνισάμενος, οἴσομαι τὸ κράτος. „Διώξας γὰρ," φησὶν, „καταλήψομαι, μεριῶ σκῦλα, ἐμπλήσω ψυχήν μου· καὶ ἀνελῶ τῇ μαχαίρᾳ μου, κυριεύσει ἡ χείρ μου." **) Πρὸς ὃν εἴποιμι ἄν· λέληθέ σε, ὦ μωρὲ, ὅτι πᾶς ὁ δοκῶν ἐν γενέσει διώκειν, διώκεται. Νόσοι γὰρ καὶ γῆρας καὶ θάνατος μετὰ

*) Exod. 21, 6. — **) Exod. 15, 9.

τῆς ἄλλης τῶν ἑκουσίων καὶ ἀκουσίων πληθύος, ἕκαστον ἡμῶν ἐλαύνουσι καὶ στροβοῦσι καὶ διώκουσι. Καὶ ὁ νομίζων καταλαμβάνειν ἢ κρατεῖν 121
καταλαμβάνεται καὶ κρατεῖται. Καί τις λαφυραγω- P.
γήσειν ἐλπίσας, καὶ μοίρας λείας διατιθεὶς, ἡττη-
153 θεὶς ὑπὸ κεκρατηκόσιν ἐχθροῖς ἐγένετο, κένωσιν
M. ἀντὶ πλησμονῆς, καὶ δουλείαν ἀντὶ δεσποτείας ψυχῇ δεξάμενος τῇ ἑαυτοῦ, καὶ ἀντὶ τοῦ ἀνελεῖν αναιρεθεὶς, καὶ πάνθ' ὅσα δράσειν ἐνενόησε, παθὼν ἀνὰ κράτος. Ἦν μὲν γὰρ ὡς ἀληθῶς ἐχθρὸς οὗτος αἱροῦντος λόγου καὶ φύσεως αὐτῆς, τὰ ἐν τῷ ποιεῖν ἅπαντα περιάπτων αὑτῷ, καὶ μηδενὸς τῶν ἐν τῷ πάσχειν ἔτι μεμνημένος, ὡς τὰς ἀφ' ἑκάστου κῆρας ἀθρόας ἐκδεδυκώς.

§. 24. Εἶπε γὰρ, φησὶν, ὁ ἐχθρὸς, "διώξας καταλήψομαι." Τίς οὖν ἂν γένοιτο δυσμενέστερος ψυχῇ πολέμιος τοῦ διὰ μεγαλαυχίας τὸ ἴδιον θεοῦ προσκληροῦντος ἑαυτῷ; Ἴδιον μὲν δὴ θεοῦ τὸ ποιεῖν, ὃ οὐ θέμις ἐπιγράψασθαι γεννητῷ, ἴδιον δὲ γεννητοῦ τὸ πάσχειν· Ὅπερ προλαβὼν μέν τις ὡς οἰκεῖον καὶ ἀναγκαῖόν ἐστι, ῥᾳδίως οἴσει τὰ προσπίπτοντα, κἂν ᾖ βαρύτατα. Νομίσας δὲ ἀλλότριον εἶναι, ἀνηνύτῳ πιεζόμενος ἄχθει, Σισύφειον τιμωρίαν ἀναδέξεται, μηδ' ὅσον ἀνακῦψαι δυνάμενος, ἀλλὰ πᾶσι τοῖς ἐπιτρέχουσι καὶ τραχηλίζουσι δεινοῖς ὑποβεβλημένος, καὶ προστιθεὶς ἑκάστῳ τὸ ὑπεῖκον καὶ εὐένδοτον, ἀγεννοῦς καὶ ἀνάνδρου ψυχῆς πάθη. Τλῆναι γὰρ ἔδει καὶ ἀντιτάξασθαι καὶ ἀντερείσασθαι, γνώμην ἐχυρωσάμενον καὶ ἀναφραξάμενον τῇ ἑαυτοῦ καρτερίᾳ καὶ ὑπομονῇ, δυνατωτάταις ἀρεταῖς. Ὥςπερ γὰρ τὸ κείρεσθαι διττὸν, τὸ μὲν ὡς ἀντιπεπονθὸς κατὰ ἀντέρεισιν, τὸ δὲ ὡς ὑπεῖκον καθ' ὑπόπτωσιν, — πρόβατον μὲν γὰρ ἢ δέρμα ἢ τὸ λεγόμενον κώδιον, οὐδὲν ἐνεργοῦν ἐξ αὑτοῦ, πάσχον δὲ μόνον ὑφ' ἑτέρου κείρεται, ὁ δ' ἄνθρωπος συνδρῶν καὶ σχηματίζων καὶ ἐπιτήδειον παρέχων

ἑαυτὸν, ἀνακιρνὰς τῷ πάσχειν τὸ ποιεῖν· — οὕτω καὶ τὸ τύπτεσθαι, τὸ μὲν συμβέβηκε πληγῶν ἄξια ἠδικηκότι οἰκέτῃ, ἢ ἐλευθέρῳ διὰ ῥᾳδιουργίαν ἐπὶ τροχοῦ κατατεινομένῳ, ἢ τινι τῶν ἀψύχων. Τύπτονται γὰρ λίθοι καὶ ξύλα, καὶ χρυσὸς καὶ ἄργυρος, καὶ ὅσαι ἐν χαλκοτυπείῳ ἐλαυνόμεναι ὗλαι, ἢ διαιρούμεναι. Τὸ δὲ συμβέβηκεν ἀθλητῇ πυγμὴν ἢ παγκράτιον περὶ νίκης καὶ στεφάνων ἀγωνιζομένῳ. Οὗτος μὲν οὖν τὰς ἐπιφερομένας πληγὰς ἑκατέρᾳ τῶν χειρῶν ἀποσείεται, καὶ τὸν αὐχένα περιάγων ὧδε καὶ ἐκεῖσε, τὸ μὴ τυφθῆναι φυλάσσεται. Πολλάκις δὲ καὶ δακτύλοις ποδῶν ἄκροις ἐπιβεβηκὼς, πρὸς ὕψος αὑτὸν ἐξάρας, ἢ στείλας καὶ συναγαγὼν ἔμπαλιν, κατὰ κενοῦ φέρειν τὰς χεῖρας τὸν ἀντίπαλον ἠνάγκασε, σκιαμαχίᾳ τινὶ παραπλήσιον δρῶντα. Ὁ δὲ οἰκέτης ἢ ὁ χαλκὸς μηδὲν ἀντιδρῶν, ὑπέῤῥιπται πάντα πεισόμενος, ὅσα ἂν ὁ διατιθεὶς ἐργάσασθαι διανοῆται· τοῦτο μὲν οὖν τὸ πάθος μήτε 122
σώματι μήτε πολὺ μᾶλλον ψυχῇ δεξώμεθά ποτε, P.
τὸ δ' ἀντιπεπονθὸς ἐκεῖνο, ἐπειδὴ πάσχειν ἀνάγκη τὸ θνητόν· ἵνα μὴ καθάπερ οἱ θηλυδρίαι κεκλα-
154 σμένοι καὶ παρειμένοι καὶ προαναπίπτοντες μετ'
M. ἐκλύσεως ψυχικῶν δυνάμεων ἐξασθενῶμεν, ἀλλ' ἐῤῥωμένοι τοῖς τῆς διανοίας τόνοις, ἐπελαφρίζειν καὶ ἐπικουφίζειν ἰσχύωμεν τὴν φορὰν τῶν ἐπαρτωμένων δεινῶν. Ἐπειδὴ τοίνυν θνητὸς οὐδεὶς οὐδενὸς ἐπιδέδεικται παγίως καὶ βεβαίως κύριος, — οἱ δὲ λεγόμενοι δεσπόται δόξῃ μόνον, οὐ πρὸς ἀλήθειαν ὀνομάζονται, — ἀνάγκη δὲ ὡς ὑπήκοον καὶ δοῦλον οὕτως ἡγεμόνα ἐν τῷ παντὶ εἶναι καὶ κύριον· γένοιτ' ἂν ὁ τῷ ὄντι ἄρχων καὶ ἡγεμὼν εἷς ὁ θεὸς, ᾧ λέγειν ἦν πρεπῶδες, "Ὅτι πάντα αὐτοῦ κτήματα."

§. 25. Καὶ ὡς μεγαλοπρεπῶς ἅμα καὶ θεοπρεπῶς διεξέρχεται περὶ τούτων, κατανοήσωμεν τὸ, "Ὅλα μου," φησὶν, "ἔστιν." Ὅλα δ' ἔστιν, ἃ φησι "δῶρα καὶ δόματα καὶ καρπώματα, ἃ διατη-

ροῦντες προςοίσετε ἐν ταῖς ἐμαῖς ἑορταῖς ἐμοί,"*) πάνυ ἐκδήλως παριστὰς, ὅτι τῶν ὄντων τὰ μὲν χάριτος μέσης ἠξίωται, ἣ καλεῖται δόσις, τὰ δὲ ἀμείνονος, ἧς ὄνομα οἰκεῖον δωρεά. Τὰ δὲ τοιαῦτα γέγονεν, ὡς μὴ μόνον δύνασθαι καρποφορεῖν ἀρετὰς, ἀλλὰ καὶ δι' ὅλων ἤδη πεφυκέναι καρπὸς ἐδώδιμος, ᾧ μόνῳ ψυχὴ τοῦ φιλοθεάμονος τρέφεται. Ὁ δὲ ταῦτα διδαχθεὶς, καὶ διατηρεῖν καὶ διαφυλάττειν ἐν διανοίᾳ δυνάμενος, ἄμωμον καὶ κάλλιστον ἱερεῖον οἴσει θεῷ, πίστιν, ἐν οὐ θνητῶν ἑορταῖς. Ἑαυτῷ γὰρ καὶ τὰς ἑορτὰς προςκεκλήρωκε, δόγμα τιθεὶς ἀναγκαιότατον τοῖς φιλοσοφίας θιασώταις. Τὸ δὲ δόγμα τοῦτ' ἐστι· μόνος ὁ θεὸς ἀψευδῶς ἑορτάζει. Καὶ γὰρ μόνος γήθει, καὶ μόνος χαίρει, καὶ μόνος εὐφραίνεται, καὶ μόνῳ τὴν ἀμιγῆ πολέμου συμβέβηκεν εἰρήνην ἄγειν. Ἄλυπός ἐστι καὶ ἄφοβος, καὶ ἀκοινώνητος κακῶν, ἀνένδοτος, ἀνώδυνος, ἀκμὴς, εὐδαιμονίας ἀκράτου μεστός. Τελειοτάτη ἡ τούτου φύσις. Μᾶλλον δὲ αὐτὸς ἄκρα καὶ τέλος καὶ ὅρος εὐδαιμονίας ὁ θεὸς, μετέχων μὲν οὐδενὸς ἑτέρου πρὸς βελτίωσιν, τὸ δὲ ἴδιον μεταδεδωκὼς ἅπασι τοῖς ἐν μέρει τῆς τοῦ καλοῦ πηγῆς, ἑαυτοῦ. Τὰ γὰρ ἐν κόσμῳ καλὰ οὔποτ' ἂν ἐγένοντο τοιαῦτα, μὴ πρὸς ἀρχέτυπον τὸ πρὸς ἀλήθειαν καλὸν, τὸ ἀγέννητον καὶ μακάριον καὶ ἄφθαρτον ἀπεικονισθέντα.

§. 26. Καὶ διὰ τοῦτο καὶ τὸ "Σάββατον," ἑρμηνεύεται δ' ἀνάπαυσις, "θεοῦ" φησιν εἶναι Μωϋσῆς,**) πολλαχοῦ τῆς νομοθεσίας, οὐχὶ ἀνθρώπων, ὑπτόμενος φυσιολογίας ἀναγκαίας. Τὸ γὰρ ἐν τοῖς
155 οὖσιν ἀναπαυόμενον, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, ἕν
M. ἐστιν ὁ θεός. Ἀνάπαυλαν δὲ οὐ τὴν ἀπραξίαν καλῶ, — ἐπειδὴ φύσει δραστήριον τὸ τῶν ὅλων αἴ- 123
τιον, οὐδέποτε ἴσχον τοῦ ποιεῖν τὰ κάλλιστα, — ἀλ- P.
λὰ τὴν ἄνευ κακοπαθείας μετὰ πολλῆς εὐμαρείας

---

*) Num. 28, 2. — **) Lev. 23, 2 sqq.

ἀπονωτάτην ἐνέργειαν. Ἥλιον μὲν γὰρ καὶ σελήνην καὶ τὸν σύμπαντα οὐρανόν τε καὶ κόσμον, ἅτε καὶ οὐκ ὄντα αὐτεξούσια, καὶ κινούμενα καὶ φερόμενα συνεχῶς, θέμις εἰπεῖν κακοπαθεῖν· καὶ τοῦ καμάτου μαρτύριον ἐναργέστατον, αἱ ἐτήσιοι ὧραι. Τά τε γὰρ συνεκτικώτατα τῶν ἐν οὐρανῷ, τὰς κινήσεις ἐναλλάττει, τοτὲ μὲν βορείους, τοτὲ δὲ νοτείους, τοτὲ δ' ἀλλοίας ποιούμενα τὰς περιφοράς. Ὅ τε ἀὴρ ἀλεαινόμενος καὶ ψυχόμενος, καὶ πάσας τρεπόμενος τροπὰς, ἐκ τῶν ἰδίων παθημάτων ἐλέγχεται κάμνων, ἐπεὶ τὸ συνεκτικώτατον μεταβολῆς αἴτιον, κάματος. Εὔηθες δ' ἐστι περὶ τῶν χερσαίων, ἢ καθ' ὕδατος μακρηγορεῖν, τὰς καθόλου καὶ κατὰ μέρη τροπὰς αὐτῶν ἐπὶ μήκιστον διεξιόντα. Ταῦτα γὰρ πολὺ πλείω τῶν μεταρσίων κατὰ τὸ εἰκὸς ἀσθένειαν ἐνδέχεται, ἅτε πλεῖστον μετέχοντα τῆς ὑστάτης καὶ γεώδους οὐσίας. Ἐπειδὴ τοίνυν τὰ μὲν τρεπόμενα καμάτῳ πέφυκε μεταβάλλειν, ἄτρεπτος δὲ καὶ ἀμετάβλητος ὁ θεὸς, ἀκμὴς ἂν εἴη φύσει· τὸ δ' ἀσθενείας ἀμέτοχον, καὶ ἂν πάντα ποιῇ, δι' αἰῶνος ἀναπαυόμενον οὔποτε λήξει. Ὥστε οἰκειότατον μόνῳ θεῷ τὸ ἀναπαύεσθαι.

§. 27. Ἐδείχθη δὲ καὶ τὸ ἑορτάζειν ἐπιβάλλειν αὐτῷ. Μόνου ἄρα καὶ ἕβδομαι καὶ ἑορταὶ τοῦ αἰτίου, ἀνθρώπων δὲ συνόλως οὐδενός. Ἴθι γὰρ, εἰ θέλεις, συνεπισκέψαι τὰς ἀοιδίμους πανηγύρεις ἡμῶν. Ὅσαι μὲν δὴ κατ' ἔθνη βαρβαρικά τε καὶ ἑλληνικὰ ἐκ μυθικῶν πλασμάτων συνέστησαν, ἄλλαι παρ' ἄλλοις κενὸν τῦφον ἔχουσαι τὸ τέλος, ἀφείσθωσαν. Καὶ γὰρ οὐδ' ὁ σύμπας ἀνθρώπων βίος ἐξαρκέσει πρὸς τὸ τὰς ἐνυπαρχούσας ἀτοπίας ἑκάστοις ἀκριβῶσαι· ἃς δ' ἀντὶ πολλῶν εἴποι τις ἐφ' ἁπάσας ὀλίγα στοχαζόμενος τοῦ καιροῦ, λεκτέον. Πάσης ἑορτῆς τε καὶ πανηγύρεως τῶν παρ' ἡμῖν τὰ θαυμαστὰ καὶ περιμάχητα ἔργα ταῦτα· ἄδεια, ἄνεσις, ἐκεχειρία, μέθη, παροινία, κῶμοι, χλιδὴ, θρύψις, θυραυλίαι,

παννυχίδες, ἀπρεπεῖς ἡδοναὶ, μεθημερινοὶ γάμοι, βιαιόταται ὕβρεις, ἀσκήσεις ἀκρασίας, ἀφροσύνης μελέται, ἐπιτηδεύσεις αἰσχρῶν, φθορὰ παντελὴς τοῦ
156 καλοῦ, νυκτεγερσίαι πρὸς ἀπλήστους ἐπιθυμίας, ὕπνος ἐν ἡμέρᾳ, ὁπότε καιρὸς ἐγρηγόρσεως, φύσεως ἔργων ἐναλλαγή. Τότε ἀρετὴ μὲν ὡς βλαβερὸν γελᾶται, κακία δὲ ὡς ὠφέλιμον ἁρπάζεται. Τότε τὰ μὲν πρακτέα ἄτιμα, τὰ δὲ μὴ πρακτέα ἐπίτιμα. Τότε μουσικὴ μὲν καὶ φιλοσοφία καὶ πᾶσα παίδευ- 124
σις, τὰ τῆς θείας ψυχῆς θεῖα ὡς ἀληθῶς ἀγάλματα, P.
ἀφωνίαν ἴσχει, αἱ δὲ μαστροπεύουσαι καὶ προξενοῦσαι τὰς ἡδονὰς γαστρὶ καὶ τοῖς μετὰ γαστέρα ῥητορεύουσι.

§. 28. Τοιαῦται τῶν λεγομένων εὐδαιμόνων αἱ ἑορταί. Καὶ μέχρι μὲν οἰκίαις ἢ χωρίοις βεβήλοις ἐνασχημονοῦσι, ἧττον ἁμαρτάνειν μοι δοκοῦσιν. Ἐπειδὰν δὲ ὥςπερ χειμάῤῥου φορὰ πάντη νεμηθεῖσα καὶ ἱερῶν τοῖς ἁγιωτάτοις προςπελάσασα βιάσηται, τὰ ἐν τούτοις εὐαγῆ πάντα εὐθὺς ἔῤῥιψεν, ὡς ἀπεργάσασθαι θυσίας ἀνιέρους, ἱερεῖα ἄθυτα, εὐχὰς ἀτελεῖς, ἀμυήτους μυήσεις, ἀνοργιάστους τελετὰς, νόθον εὐσέβειαν, κεκιβδηλευμένην ὁσιότητα, ἁγνείαν ἄναγνον, κατεψευσμένην ἀλήθειαν, βωμολόχον θεραπείαν θεοῦ. Καὶ πρὸς τούτοις ἔτι τὰ μὲν σώματα λουτροῖς καὶ καθαρσίοις ἀποῤῥύπτονται, τὰ δὲ ψυχῆς ἐκνίψασθαι πάθη, οἷς καταῤῥυπαίνεται ὁ βίος, οὔτε βούλονται, οὔτε ἐπιτηδεύουσι. Καὶ λευχειμονοῦντες μὲν εἰς τὰ ἱερὰ βαδίζειν σπουδάζουσιν, ἀκηλιδώτους ἐσθῆτας ἀμπεχόμενοι, διάνοιαν δὲ κεκηλιδωμένην ἄχρι τῶν ἀδύτων εἰςάγοντες οὐκ αἰδοῦνται. Καὶ ἂν μὲν τι τῶν θρεμμάτων μὴ παντελὲς καὶ ὁλόκληρον εὑρίσκηται, ἔξω περιῤῥαντηρίων ἀπελαύνεται, βωμοῖς οὐκ ἐώμενον προςαχθῆναι, καὶ ἂν τοιαύταις σωματικαῖς λώβαις ἁπάσαις ἀκουσίοις κεχρημένον. Κατατετρωμένοι δὲ τὰς ψυχὰς ἐκ νοσημάτων χαλεπῶν, ἃ κακίας ἀμήχανος δύναμις προέ-

βαλε, μᾶλλον δὲ ἠκρωτηριασμένοι καὶ ἐκτετμημένοι τὰ κάλλιστα, φρόνησιν, καρτερίαν, δικαιοσύνην τε, εὐσέβειαν, τὰς ἄλλας ὅσας τὸ ἀνθρώπειον γένος χωρεῖν πέφυκεν ἀρετὰς, καὶ καθ' ἑκούσιον γνώμην ἐκδεδεγμένοι τὰς λύμας, ὅμως ἱερουργεῖν τολμῶσι, νομίζοντες τὸν τοῦ θεοῦ ὀφθαλμὸν τὰ ἐκτὸς μόνα ὁρᾶν ἡλίου συνεργοῦντος ἀλλ' οὐχὶ πρὸ τῶν ἐμφανῶν τὰ ἀφανῆ καταθεᾶσθαι, φωτὶ χρώμενον ἑαυτῷ. Ὁ γὰρ τοῦ ὄντος ὀφθαλμὸς φωτὸς ἑτέρου πρὸς κατάληψιν οὐ δεῖται, αὐτὸς δὲ ὢν ἀρχέτυπος αὐγὴ μυρίας ἀκτῖνας ἐκβάλλει, ὧν οὐδεμία ἐστὶν αἰσθητὴ, νοηταὶ δὲ αἱ ἅπασαι. Παρ' ὃ καὶ μόνος ὁ νοητὸς θεὸς αὐταῖς χρῆται, τῶν δὲ γενέσεως μεμοιραμένων οὐδείς. Αἰσθητὸν γὰρ τὸ γενόμενον, αἰσθήσει δὲ ἀκατάληπτον ἡ νοητὴ φύσις.

157 §. 29. Ἐπειδὴ τοίνυν ἀοράτως τόδε τῆς ψυχῆς
M. χωρίον εἰσδύεται, παρασκευάζωμεν τὸν τόπον ἐκεῖνον, ὡς ἔνεστι κάλλιστον, ἀξιόχρεων ἐνδιαίτημα θεοῦ γενησόμενον· εἰ δὲ μὴ, λήσεται μεταναστὰς εἰς ἕτερον οἶκον ὃν ἂν ἄμεινον αὐτῷ δοκῇ δεδημιουργῆσθαι. Εἰ γὰρ βασιλεῖς ὑποδέχεσθαι μέλλοντες λαμπροτέρας κατασκευάζομεν τὰς ἰδίας οἰκίας, μηδενὸς τῶν εἰς κόσμον ὀλιγωροῦντες, ἀλλὰ πᾶσιν 125
ἀδεῶς καὶ ἀφθόνως χρώμεθα, τοῦ τὴν καταγω- P.
γὴν ἡδίστην ἅμα καὶ μετὰ τοῦ πρέποντος ἀξιώματος αὐτοῖς γενέσθαι στοχαζόμενοι· τῷ βασιλέων βασιλεῖ καὶ τῶν συμπάντων ἡγεμόνι θεῷ δι' ἡμερότητα καὶ φιλανθρωπίαν ἀξιώσαντι τὸ γενητὸν ἐπισκέψεως, καὶ ἀπ' οὐρανοῦ περάτων μέχρι γῆς ἐσχάτων ἐπ' εὐεργεσίᾳ τοῦ γένους ἡμῶν κατελθόντι, ποταπὸν οἶκον ἄρα χρὴ κατασκευάζεσθαι; Λίθων μὲν, ἢ ξυλίνης ὕλης; Ἄπαγε, ἀλλ' οὐδ' εἰπεῖν εὐαγές. Οὐδὲ γὰρ, εἰ πᾶσα γῆ χρυσὸς ἢ τι χρυσοῦ τιμαλφέστερον μεταβαλοῦσα ἐξαίφνης γένοιτο, καὶ ἔπειτα δημιουργῶν τέχναις στοὰς καὶ προπύλαια καὶ ἀνδρῶνας καὶ προτεμενίσματα καὶ νεὼς κατασκευαζόντων ἀναλω-

θείη, γένοιτ᾽ ἂν βάσις αὐτοῦ τοῖς ποσίν. Ἀξιόχρεως μέντοι γε οἶκος ψυχὴ ἐπιτήδειος

§. 30. Οἶκον οὖν ἐπίγειον τὴν ἀόρατον ψυχὴν τοῦ ἀοράτου θεοῦ λέγοντες, ἐνδίκως καὶ κατὰ νόμον φήσομεν. Ἵνα δὲ βέβαιος καὶ περικαλλέστατος εἴη ὁ οἶκος, θεμέλιοι μὲν ὑποβεβλήσθωσαν εὐφυΐα καὶ διδασκαλία· ἀρεταὶ δὲ μετὰ καλῶν πράξεων ἐποικοδομείσθωσαν αὐτῷ. Τὰ δὲ προκοσμήματα ἔστω ἡ ἀνάληψις τῶν ἐγκυκλίων προπαιδευμάτων. Ἐκ μὲν γὰρ εὐφυΐας, εὐθιξία, ἐπιμονή, μνήμη· ἐκ δὲ διδασκαλίας, εὐμάθεια, προσοχή, καθάπερ τινὸς ῥίζαι δένδρου μέλλοντος ἡμέρους καρποὺς ἀποκυΐσκειν, συνίστανται, ὧν ἄνευ τελεσιουργηθῆναι διάνοιαν ἀμήχανον. Ἐκ δὲ ἀρετῶν καὶ τῶν κατ᾽ αὐτὰς πράξεων τὸ ἐχυρὸν καὶ βέβαιον τῆς ἀσφαλοῦς ἱδρύσεως περιγίνεται, τοῦ διαστῆσαι καὶ φυγαδεῦσαι καὶ μετανάστιν ἀπεργάσασθαι τοῦ καλοῦ ψυχὴν ἐγνωκότος, πρὸς οὕτω καρτερὰν ἰσχὺν ἐξασθενοῦντος. Ἐκ δὲ τῆς ἐγκυκλίου τῶν προπαιδευμάτων μελέτης τὰ πρὸς κόσμον τῆς ψυχῆς ἤρτηται. Καθάπερ γὰρ κονιάματα καὶ γραφαὶ καὶ πινάκια καὶ λίθων πολυτελῶν
158 διαθέσεις, αἷς οὐ μόνον τοίχους, ἀλλὰ καὶ τὰ
M. ἐδάφη ποικίλλουσι, καὶ ὅσα ἄλλα τοιαῦτα, πρὸς μὲν ἰσχὺν οὐ συμβάλλεται, τέρψιν δὲ περιποιεῖ μόνον τοῖς ἐνοικοῦσιν· οὕτως ἡ τῶν ἐγκυκλίων ἐπιστήμη τὸν ψυχικὸν οἶκον ἅπαντα διακοσμεῖ, γραμματικὴ μὲν ποιητικὴν ἐρευνῶσα, καὶ παλαιῶν πράξεων ἱστορίαν μεταδιώκουσα, γεωμετρία δὲ τὴν κατ᾽ ἀναλογίαν ἰσότητα περιποιοῦσα, τὸ δὲ ἐν ἡμῖν ἄῤῥυθμον καὶ ἄμετρον καὶ ἐκμελὲς ῥυθμῷ καὶ μέτρῳ καὶ μέλει διὰ μουσικῆς ἀστείου θεραπεύουσα, ῥητορικὴ δὲ τάς τε ἐν ἑκάστοις δεινότητας ἐξετάζουσα, καὶ πᾶσαν τὴν πρέπουσαν ἑρμηνείαν ἐφαρμόζουσα, τονώσεις καὶ περιπαθήσεις, καὶ ἔμπαλιν ἀνέσεις καὶ ἡδο- 126
νάς, μετὰ στωμυλίας καὶ τῆς περὶ γλῶτταν καὶ τὰ P.
φωνητήρια ὄργανα εὐπραγίας, περιποιοῦσα.

§. 31. Τοιούτου κατασκευασθέντος οἴκου παρὰ
τῷ θνητῷ γένει, χρηστῶν ἐλπίδων τὰ ἐπίγεια πάντα
ἀναπλησθήσεται, κάθοδον δυνάμεων θεοῦ προςδο-
κήσαντα. Αἱ δὲ νόμους ἀπ᾽ οὐρανοῦ καὶ δεσμοὺς
ἐπιφερόμεναι τοῦ καθαγιάσαι καὶ καθιερῶσαι χάριν
ἀφίξονται, κατὰ τὴν τοῦ πατρὸς αὐτῶν ἐπικέλευσιν.
Εἶθ᾽ ὁμοδίαιτοι καὶ ὁμοτράπεζοι ταῖς φιλαρέτοις γε-
νόμεναι ψυχαῖς, σπείρουσιν ἐν αὐταῖς γένος τὸ εὔ-
δαιμον· καθὰ καὶ Ἀβραὰμ τῷ σοφῷ τῆς παρ᾽ αὐ-
τῷ καταγωγῆς, τὸν Ἰσαὰκ, τελειοτάτην χάριν δεδώ-
ρηνται. Χαίρει δ᾽ ἐπ᾽ οὐδενὶ μᾶλλον ἡ κεκαθαρμένη
διάνοια, ἢ τῷ δεσπότην ἔχειν τὸν ἡγεμόνα πάντων
ὁμολογεῖν. Τὸ γὰρ δουλεύειν θεῷ μέγιστον αὔχημα,
καὶ οὐ μόνον ἐλευθερίας, ἀλλὰ καὶ πλούτου καὶ ἀρ-
χῆς, καὶ πάντων ὅσα τὸ θνητὸν γένος ἀσπάζεται,
τιμιώτερον. Τῆς δὲ τοῦ ὄντος ἡγεμονίας ὁ χρησμὸς
ἀληθὴς μάρτυς, λέγων ὧδε, „Καὶ ἡ γῆ οὐ πραθή-
σεται εἰς βεβαίωσιν· ἐμὴ γάρ ἐστι πᾶσα ἡ γῆ, διότι
προςήλυτοι καὶ πάροικοι ὑμεῖς ἐστὲ ἐναντίον ἐμοῦ·"*)
Ἆρ᾽ οὐκ ἐναργέστατα παρίστησιν, ὅτι κτήσει μὲν τὰ
πάντα θεοῦ, χρήσει δὲ μόνον γενέσεως ἐστι; Βεβαίως
γὰρ, φησὶν, οὐδὲν οὐδενὶ πεπράσεται τῶν ἐν γενέσει,
ὡς ἂν ἑνὸς ὄντος, οὗ κυρίως βεβαία ἡ τῶν ὅλων
159 κτῆσις. Κέχρηκε γὰρ ὁ θεὸς τὰ γενητὰ πάντα πᾶ-
M. σιν, οὐδὲν τῶν κατὰ μέρος τέλειον ἐργασάμενος, ὃ
μὴ πάντως χρεῖον ἄλλου· ἵν᾽ οὗ δεῖται τυχεῖν γλιχό-
μενον, ἐξ ἀνάγκης τῷ παρασχεῖν δυναμένῳ πλησιά-
ζοι, καὶ ἐκεῖνο τούτῳ, καὶ ἀμφότερα ἀλλήλοις. Οὕ-
τως γὰρ ἐπαλλάττοντα καὶ ἐπιμιγνύμενα, λύρας τρό-
πον ἐξ ἀνομοίων ἡρμοσμένης φθόγγων, εἰς κοινωνίαν
καὶ συμφωνίαν ἐλθόντα, συνηχήσειν ἔμελλεν, ἀντίδο-
σίν τινα καὶ ἀντέκτισιν πάντα διὰ πάντων ὑπομένον-
τα, πρὸς τὴν τοῦ κόσμου παντὸς ἐκπλήρωσιν. Ταύτῃ
καὶ ἄψυχα ἐμψύχων, καὶ ἄλογα λογικῶν, καὶ δένδρα

*) Lev. 25, 23.

ἀνθρώπων, καὶ ἄνθρωποι φυτῶν, καὶ ἡμέρων ἀτίθασσα, καὶ ἀγρίων χειροήθη, καὶ ἄῤῥεν θήλεος, καὶ θῆλυ ἄῤῥενος, καὶ συνελόντι φράσαι, χερσαῖα ἐνύδρων, καὶ ἔνυδρα ἀεροπόρων, καὶ πτηνὰ τῶν προειρημένων· καὶ πρὸς τούτοις ἔτι, γῆ μὲν οὐρανοῦ, οὐρανὸς δὲ γῆς, ἀὴρ δὲ ὕδατος, ὕδωρ δὲ πνεύματος· καὶ πάλιν αἱ μεταξὺ φύσεις ἀλλήλων τε καὶ τῶν ἄκρων, καὶ αἱ ἄκραι τῶν μέσων καὶ ἑαυτῶν ἐρῶσι. Χειμών γε μὴν θέρους, καὶ θέρος χειμῶνος, καὶ ἔαρ ἀμφοῖν, καὶ μετόπωρον ἔαρος, καὶ ἕκαστον ἑκάστου, καὶ ὡς
ἔπος εἰπεῖν, πάντα πάντων ἐπιδεᾶ τε καὶ χρεῖα· ἵνα 127
τὸ ὅλον οὗ μέρη ταῦτα, παντελὲς ἔργον ἄξιόν τε εἴη P.
τοῦ δημιουργοῦ, ὅδε ὁ κόσμος.

§. 32. Οὕτως οὖν αὐτὰ συνθεὶς, τὸ μὲν κράτος ἁπάντων ἀνῆψεν ἑαυτῷ, τὴν δὲ χρῆσιν καὶ ἀπόλαυσιν ἔνειμε τοῖς ὑπηκόοις ἑαυτῶν τε καὶ ἀλλήλων. Καὶ γὰρ ἑαυτοὺς καὶ ὅσα περὶ ἡμᾶς χρῆσιν ἔχομεν· ἔγωγ᾽ οὖν ἐκ ψυχῆς καὶ σώματος συνεστὼς, νοῦν, λόγον, αἴσθησιν ἔχειν δοκῶν, οὐδὲν αὐτῶν ἴδιον εὑρίσκω. Ποῦ γάρ μου τὸ σῶμα πρὸ γενέσεως ἦν; Ποῦ δὲ καὶ χωρήσει, μεταστάντος; Ποῦ δὲ καὶ τοῦ δοκοῦντος ὑφεστάναι τῶν ἡλικιῶν αἱ διαφοραί; Ποῦ τὸ βρέφος, ποῦ ὁ παῖς, ποῦ ὁ ἀντίπαις, ποῦ ὁ ἄρτι ἡβῶν, ποῦ τὸ μειράκιον, ὁ πρωτογένειος, ὁ νεανίας, ὁ τέλειος ἀνήρ; Πόθεν ἦλθεν ἡ ψυχὴ, ποῖ δὲ χωρήσει, πόσον δὲ χρόνον ἡμῖν ὁμοδίαιτος ἔσται; Τίς δὲ ἐστί τὴν οὐσίαν ἔχομεν εἰπεῖν; Πότε δὲ καὶ ἐκτησάμεθα αὐτήν; Πρὸ γενέσεως; Ἀλλ᾽ οὐχ ὑπήρχομεν. Μετὰ τὸν θάνατον; Ἀλλ᾽ οὐκ ἐσόμεθα, οἱ μετὰ σωμάτων σύγκριτοι ποιοὶ, ἀλλ᾽ εἰς παλιγγενεσίαν ὁρμήσομεν, οἱ μετὰ ἀσωμάτων σύγκριτοι. Ἀλλὰ νῦν ὅτε
160 ζῶμεν κρατούμεθα μᾶλλον ἢ ἄρχομεν, καὶ γνωρι-
M. ζόμεθα μᾶλλον ἢ γνωρίζομεν. Οἶδε γὰρ ἡμᾶς οὐ γνωριζομένη πρὸς ἡμῶν, καὶ ἐπιτάγματα ἐπιτάττει, οἷς ἐξ ἀνάγκης ὑπηρετοῦμεν, ὡς οἰκέται δεσποίνῃ· ὑπόλειψίν τε ὅταν ἐθέλῃ πρὸς τὸν ἄρχοντα χρημα-

τίσουσα, μεταναστήσεται, ἔρημον καταλιποῦσα ζωῆς τὸν ἡμέτερον οἶκον· καὶ ἂν ἐπιμένειν βιαζώμεθα, διαλύσεται. Λεπτομερὴς γὰρ ἡ φύσις αὐτῆς, ὡς μηδεμίαν ἐμπαρέχειν λαβὴν σώματι.

§. 33. Ὁ δὲ νοῦς ἐμόν ἐστιν ἐνδιαίτημα; Ὁ ψευδῶν εἰκαστικὸς, ὁ πλάνης οἰητικὸς, ὁ παρανοῶν, ὁ μωραίνων, ὁ εὑρισκόμενος ἄνους ἐν ἐκστάσει, καὶ μελαγχολίᾳ, καὶ μακρῷ γήρᾳ; Ἀλλ' ὁ λόγος κτῆμα ἐμὸν, ἢ τὰ φωνῆς ὄργανα; Μικρὰ νόσου πρόφασις οὐ τὴν γλῶτταν ἐπήρωσεν; Οὐ τὸ στόμα καὶ τῶν πάνυ λογίων ἀπέῤῥαψεν; Οὐχὶ δεινοῦ προςδοκία καταπλήξασα, μυρίους ἀχανεῖς ἐποίησε; Καὶ μὴν οὐδὲ τῆς αἰσθήσεως ἡγεμὼν εὑρίσκομαι, τάχα δή που καὶ δοῦλος, ἀκολουθῶν ᾗ ἀνάγει, πρὸς χρώματα, πρὸς σχήματα, πρὸς φωνὰς, πρὸς ὀσμὰς, πρὸς χυλοὺς, πρὸς τὰ ἄλλα σώματα. Δι' ὧν ἁπάντων δεδηλῶσθαι νομίζω, ὅτι τοῖς ἀλλοτρίοις κτήμασι χρώμεθα, καὶ οὔτε δόξαν, οὔτε πλοῦτον, οὔτε τιμὰς, οὔτε ἀρχὰς, οὔθ' ὅσα περὶ σῶμα ἢ ψυχὴν, ἴδια κεκτήμεθα, ἀλλ' οὐδ' αὐτὸ τὸ ζῆν. Χρῆσιν δὲ ἔχοντες, ἐὰν μὲν εὐγνωμονῶμεν, ἐπιμελησόμεθα ὡς θεοῦ κτημάτων, προλαβόντες ὅτι τῷ δεσπότῃ νόμος, ὅταν θέλῃ, τὰ ἑαυτοῦ κομίζεσθαι. Οὕτω γὰρ τὰς ἐπὶ ταῖς ἀφαιρέ- 128
σεσιν ἀνίας ἐπικουφιοῦμεν. Νυνὶ δὲ οἱ πολλοὶ νομί- P.
ζοντες ἑαυτῶν πάντα κτήματα, κατὰ τήν τινος ἀπουσίαν καὶ ἔνδειαν, εὐθὺς περιπαθοῦσι. Γίνεται οὖν οὐ μόνον ἀληθὲς, ἀλλὰ καὶ τῶν μάλιστα συντεινόντων εἰς παρηγορίαν, τὸ τὸν κόσμον καὶ τὰ ἐν κόσμῳ τοῦ γεννήσαντος ἔργα τε εἶναι καὶ κτήματα. Τὸ δὲ ἔργον τὸ ἴδιον ὁ κεκτημένος δεδώρηται, ὅτι οὐδὲ δεῖται. Ὁ δὲ χρώμενος οὐχὶ κέκτηται, ὅτι κύριος εἷς ἁπάντων καὶ δεσπότης ἐστὶν, ὃς ὀρθότατα ἐρεῖ, "Ἐμὴ πᾶσά ἐστιν ἡ γῆ," ἴσον τῷ, τὸ γεννητὸν ἅπαν ἐμὸν, "ὑμεῖς δὲ προσήλυτοι καὶ πάροικοι ἐναντίον ἐμοῦ." *)

*) Lev. 25, 23 sqq.

§. 34. Πρὸς μὲν γὰρ ἀλλήλους οἱ γενόμενοι πάν-
τες αὐτοχθόνων καὶ εὐπατριδῶν ἔχουσι λόγον, πάν-
τες ἰσοτιμίαν καὶ ἰσοτέλειαν καρπούμενοι, πρὸς δὲ
θεὸν, ἐπηλύτων καὶ παροίκων. Ἕκαστος γὰρ ἡμῶν,
161 ὥςπερ εἰς καινὴν πόλιν ἀφῖκται τόνδε τὸν κόσμον,
M. ἧς πρὸ γενέσεως οὐ μετεῖχε, καὶ ἀφικόμενος παροι-
κεῖ, μέχρις ἂν τὸν ἀπονεμηθέντα τοῦ βίου χρόνον
διαντλήσῃ. Ἅμα μέντοι καὶ δόγμα εἰςηγεῖται πάνσο-
φον, ὅτι μόνος κύριος ὁ θεὸς πολίτης ἐστὶ, πάροι-
κον δὲ καὶ ἐπήλυτον τὸ γενητὸν ἅπαν. Οἱ δὲ λεγό-
μενοι πολῖται, καταχρήσει μᾶλλον ὀνόματος, ἢ ἀλη-
θείᾳ προςαγορεύονται. Δωρεὰ δὲ ἀποχρῶσα σόφοις
ἀνδράσι πρὸς τὸν μόνον πολίτην θεὸν ἀντεξετασθεῖ-
σιν, ἐπηλύτων καὶ παροίκων λαβεῖν τάξιν. Ἐπὶ δὴ
τῶν ἀφρόνων ἔπηλυς μὲν ἢ πάροικος ἁπλῶς οὐδεὶς
ἐν τῇ τοῦ θεοῦ πόλει γίνεται, φυγὰς δὲ πάντως
ἀνευρίσκεται. Οἷον δὴ καὶ προςανεφθέγξατο ὡς δο-
γματικώτατον, "Πράσει," φησὶν, "οὐ πραθήσεται
ἡ γῆ." Καὶ ὑπὸ τίνος ἡσύχασεν, ἵν' ἐκ τοῦ παρα-
σιωπηθέντος ὁ μὴ φυσιολογίας ἀμύητος εἰς ἐπιστή-
μην ὠφελῆται. Εὑρήσεις τοίνυν σκοπῶν ἅπαντας
καὶ τοὺς λεγομένους χαρίζεσθαι, πιπράσκοντας μᾶλ-
λον ἢ δωρουμένους, καὶ οὓς οἰόμεθα λαμβάνειν χά-
ριτας, πρὸς ἀλήθειαν ὠνουμένους. Οἱ μὲν γὰρ δι-
δόντες, ἀμοιβὴν, ἔπαινον ἢ τιμὴν θηρώμενοι, ζη-
τοῦντες χάριτος ἀντίδοσιν, εὐπρεπεῖ δωρεᾶς ὀνόματι
κυρίως πρᾶσιν ἐργάζονται· ἐπεὶ καὶ τοῖς πωλοῦσιν
ἀνθ' ὧν ἂν παράσχωσιν ἔθος λαμβάνειν ἐστίν. Οἱ
δὲ προςιέμενοι τὰς δωρεὰς, μελετῶντες ἀποδοῦναι,
καὶ ἐπὶ καιρῶν ἀποδιδόντες, ἔργον ὠνουμένων δρῶσι.
Καὶ γὰρ ἐκεῖνοι ὥςπερ λαβεῖν ἴσασι καὶ ἀποδοῦναι.
Ὁ δὲ θεὸς οὐ πωλητὴρ ἐπευωνίζων τὰ ἑαυτοῦ κτή-
ματα, δωρητικὸς δὲ τῶν ἁπάντων, ἀεννάους χαρί-
των πηγὰς ἀναχέων, ἀμοιβῆς οὐκ ἐφιέμενος. Οὔτε
γὰρ ἐπιδεὴς αὐτὸς, οὔτε τις τῶν γεγονότων ἱκανὸς
ἀντιδοῦναι δωρεάν.

§. 35. Πάντων οὖν ἀνωμολογημένων θεοῦ κτημάτων λόγοις τε ἀληθέσι καὶ μαρτυρίαις, ἃς οὐ θέμις ψευδομαρτυριῶν ἁλῶναι, — χρησμοὶ γὰρ οὓς ἐν ἱεραῖς βίβλοις Μωϋσῆς ἀνέγραψεν, οἱ μαρτυροῦντές εἰσι, — παραιτητέον τὸν νοῦν, ὃς τὸ γεννηθὲν κατὰ τὴν πρὸς αἴσθησιν σύνοδον, κτῆμα ἴδιον ᾠήθη τε, καὶ ἐκάλεσε τὸν Κάϊν, καὶ εἶπεν, "Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ θεοῦ," καὶ κατὰ τοῦτο διαμαρτών. Τί δή ποτε; Ὅτι ὁ θεὸς αἴτιον, οὐκ ὄργανον· τὸ δὲ γινόμενον, δι' ὀργάνου μὲν, ὑπὸ δὲ αἰτίου πάντως γίνεται. Πρὸς γὰρ τήν τινος γένεσιν πολλὰ
162 δεῖ συνελθεῖν, τὸ ὑφ' οὗ, τὸ ἐξ οὗ, τὸ δι' οὗ,
M. τὸ δι' ὅ. Καὶ ἔστι μὲν τὸ ὑφ' οὗ, τὸ αἴτιον· ἐξ οὗ δὲ, ἡ ὕλη· δι' οὗ δὲ, τὸ ἐργαλεῖον· δι' ὃ δὲ, ἡ αἰτία. Φέρε γὰρ, εἴ τις ἂν ἔροιτο, οἰκία καὶ πόλις πᾶσα ἵνα κατασκευασθῇ, τίνα συνεισελθεῖν δεῖ; Ἆρ' οὐ δημιουργὸν, καὶ λίθους, καὶ ξύλα, καὶ ὄργανα; Τί οὖν ἐστι δημιουργὸς, πλὴν τὸ αἴτιον ὑφ' οὗ; Τί δὲ λίθοι καὶ ξύλα, πλὴν ἡ ὕλη, ἐξ ἧς ἡ κατασκευή; Τί δὲ τὰ ὄργανα, πλὴν τὰ δι' ὧν; Τίνος δὲ ἕνεκα, πλὴν σκέπης καὶ ἀσφαλείας, δι' ὃ τοῦτό ἐστι; Μετελθὼν οὖν ἀπὸ τῶν ἐν μέρει κατασκευῶν, ἴδε τὴν μεγίστην οἰκίαν ἢ πόλιν, τόνδε τὸν κόσμον. Εὑρήσεις γὰρ αἴτιον μὲν αὐτοῦ τὸν θεὸν, ὑφ' οὗ γέγονεν· ὕλην δὲ τὰ τέσσαρα στοιχεῖα, ἐξ ὧν συνεκράθη· ὄργανον δὲ λόγον θεοῦ, δι' οὗ κατεσκευάσθη· τῆς δὲ κατασκευῆς αἰτίαν τὴν ἀγαθότητα τοῦ δημιουργοῦ. Φιλαληθῶν ἥδε διάκρισις ἐπιστήμης ἀληθοῦς καὶ ὑγιοῦς ἐφιεμένων· οἱ δὲ φάσκοντες διὰ τοῦ θεοῦ κεκτῆσθαί τι, τὸ μὲν αἴτιον ὄργανον, τὸν δημιουργὸν, τὸ δὲ ὄργανον αἴτιον, τὸν ἀνθρώπινον νοῦν, ὑπολαμβάνουσιν. Αἰτιάσαιτο δ' ἂν ἅπας ὀρθὸς λόγος καὶ Ἰωσὴφ εἰπόντα, "διὰ τοῦ θεοῦ τὴν σαφήνειαν εὑρεθήσεσθαι τῶν ἐνυπνίων." *) Ἐχρῆν

*) Gen. 40, 8.

γὰρ εἰπεῖν, ὑπ᾽ αὐτοῦ ὡς αἰτίου τὴν τῶν ἀφανῶν
ἀνάπτυξίν τε καὶ ἀκρίβειαν ὄντως ἔσεσθαι· ὄργανα
γὰρ ἡμεῖς δι᾽ ὧν αἱ κατὰ μέρος ἐνέργειαι, ἐπιτεινό-
μενα καὶ ἀνιέμενα· τεχνίτης δὲ ὁ τὴν πλῆξιν ἐργα-
ζόμενος τῶν σώματός τε καὶ ψυχῆς δυνάμεων, ὑφ᾽
οὗ πάντα κινεῖται. Τοὺς μὲν οὖν πραγμάτων δια-
φορὰς ἀδυνατοῦντας διαστέλλειν, ὡς ἀμαθεῖς, ἀνα-
διδακτέον· τοὺς δὲ ὑπὸ φιλονεικίας τὰς τῶν σημαι-
νομένων τάξεις ἐναλλάττοντας, ὡς ἐριστικοὺς, φευ-
κτέον· τοὺς δὲ μετὰ τῆς τῶν ἐμφερομένων ἀκριβοῦς
ἐρεύνης, ἑκάστῳ τῶν εὑρεθέντων τὴν οἰκείαν χώραν
προςνέμοντας, ὡς ἀψευδῆ φιλοσοφίαν μετιόντας,
ἐπαινετέον. Μωϋσῆς γοῦν τοῖς δεδιόσι μήποτε πρὸς
τοῦ φαύλου πανστρατιᾷ διώκοντος ἀπόλωνται, φησὶ,
"Στῆτε καὶ ὁρᾶτε τὴν σωτηρίαν τὴν παρὰ τοῦ κυ- 130
ρίου, ἣν ποιήσει ὑμῖν," ἐκδιδάσκων, ὅτι οὐ διὰ τοῦ P.
θεοῦ, ἀλλὰ παρ᾽ αὐτοῦ ὡς αἰτίου τὸ σώζεσθαι.

163 M. ΠΕΡΙ ῾ΩΝ

῾ΙΕΡΟΥΡΓΟΥΣΙΝ

ΑΒΕΛ ΤΕ ΚΑΙ ΚΑΙΝ.

ARGUMENTUM LIBRI

DE

SACRIFICIIS

ABELIS ET CAINI.

(Cf. Gen. 4, 2. 3.)

Cainus et Abel, quos Eva peperit, symbola sunt duarum opinionum, quarum altera, Cain, menti, tanquam omnium auctori, omnia tribuit, altera, Abel, cuncta pie refert ad deum (1). Ita et gemini fetus, quos Rebecca in utero gessit, symbola sunt cogitationum bonarum et malarum, quae sunt separandae. Mala vero opinio exstinguitur additâ bonâ; quam ob rem Abel Caino appositus fuisse dicitur (2). Morituri, cum boni fuerint, porro malis non adduntur, sed per verbum Dei ad numen supremum evehuntur, in quod, ut perfectissimum, neque subtractio cadit, neque appositio (3). Abeli vitae ratio prius a Moyse exponitur, quam Caini; virtus enim malignitati praecedat necesse est. Hanc ob rem ab Esau primogenitura translata in Iacobum refertur (4), et duae uxores, voluptas et virtus, nobiscum habitare dicuntur, quarum altera diligenda, altera fugienda (5). — Virtus tamen, quae nobis prae ceteris paranda, non nisi labore acquiritur, qui initio quidem nobis est infestus, consuetudine vero carus redditur (6 et 7). Hic est, quoad eius fieri potest, adamandus; nam deus solos virtutem strenuo labore sectantes beatos reddit (8);

quam ob rem labor animo idem, quod cibus vitae (9). Abel pascens pecora symbolice docet affectus brutos compescendos esse (10 — 12). — Si quis bonum opus perpetrare vult, is id faciat non cunctanter, ut Cain, qui post aliquot dies demum fructus deo obtulit, sed cito (13 et 14), ut Abramus, qui Saram in conficiendis subcinericiis festinare iussit (15 - 17). Deus cum maxime imitandus, qui non cunctanter, sed verbo, i. e. celerrime creavit universum (18). Male igitur agit Pharao, qui cras demum Moysen preces facere voluit (19). Male egit Cain quoque, quod de fructibus, non de primis fructibus, i. e. non primitias, obtulit deo (20), quarum optimae sunt cogitationes piae, neque tamen fabulosae et superstitiosae, sed ratione sana recens formatae (21 — 23) accurate examinatae (24), admodum concinnae (25) et accommodate inventae (26); hoc docetur ratione, qua Abel primitias deo obtulisse dicitur (27). Moyses, Deum iuramento interposito promisisse se bonos, primitias offerentes prae ceteris dilecturum esse, dicit (28), ut solaretur genus hominum infirmum, cui simplex verbum dei omnino non sufficit (29). In offerendis primitiis mittendum, quidquid est genitum et mortale, sed adhibenda sunt tantum immortalia (30). Hoc innuitur eo, quod lex divina viriles partus deo sacros esse vult (31); vir enim symbolum boni et recti (32); et Deus non gaudet nisi iis, quae sunt vere bona et perfecta (33). Labor in artibus quoque discendis et exercendis sustinendus, ut in his profectus faciamus; quos si nos non fecisse senserimus, desistendum potius a labore; nam durum adversari naturae (34 et 35), et sufficit labore vere bona parare voluisse (36). Praeterea omnis sapiens redemptor est stulti, i. e. liberare, quantum fieri licet, hunc studet a stultitia, aeque ut medicus aegrotum a morbo (37); item vir bonus redemptor mali. Hinc pulsi patria profugiunt ad Levitas, i. e. indocti edoceri cupiunt a doctis (38 — 40).

---

§. 1. "*Καὶ προςέθηκε τεκεῖν τὸν ἀδελφὸν αὐτοῦ.*" *) *Ἡ τινος πρόςθεσις ἀφαίρεσίς ἐστιν ἑτέρου, ὡς ἀριθμητικῆς μορίων, καὶ ψυχῆς λογισμῶν. Εἰ δὲ*

---

*) Gen. 4, 2.

τὸν Ἄβελ προςτίθεσθαι φατέον, Κάϊν ἀφαιρεῖσθαι
νομιστέον. Ἵνα δὲ μὴ τὸ τῶν ὀνομάτων ἀσύνηθες
ἐπισκοτῇ πολλοῖς, τὴν ἐμφαινομένην φιλοσοφίαν ἀ-
κριβοῦν, ὡς ἂν οἷόν τε ᾖ, πειρασόμεθα. Δύο τοί-
νυν δόξας εἶναι συμβέβηκεν ἐναντίας καὶ μαχομένας
ἀλλήλαις, τὴν μὲν τῷ νῷ πάντα ἐπιτρέπουσαν, ὡς
ἡγεμόνι τῶν ἐν τῷ λογίζεσθαι, ἢ αἰσθάνεσθαι, ἢ
κινεῖσθαι, ἢ ἴσχεσθαι· τὴν δὲ τῷ θεῷ ἑπομένην δη-
μιουργίαν οὖσαν αὐτοῦ. Τῆς μὲν οὖν προτέρας ἐκ-
τύπωσίς ἐστι Κάϊν ἐπικαλούμενος κτῆσις, παρὰ τὸ
τὰ πάντα κεκτῆσθαι δοκεῖν· τῆς δὲ ἑτέρας ὁ Ἄβελ·
164 ἑρμηνεύεται γὰρ ἀναφέρων ἐπὶ θεόν. Ἀμφοτέρας
M. μὲν οὖν τὰς δόξας ὠδίνει μία ψυχή. Ἀνάγκη δὲ
αὐτὰς ὅταν ἀποκυηθῶσι διακριθῆναι, συνοικεῖν γὰρ
πολεμίοις ἄχρι παντὸς ἀμήχανον. Ἕως μὲν οὖν οὐκ
ἔτεκεν ἡ ψυχὴ τὸ φιλόθεον δόγμα τὸν Ἄβελ, ἐνδιῃ-
τᾶτο ὁ φίλαυτος Κάϊν αὐτῇ. Ὁπότε δὲ τὴν πρὸς
τὸ αἴτιον ὁμολογίαν ἐγέννησε, τὴν πρὸς τὸν δοκη-
σίσοφον νοῦν ἐξέλιπε.

§. 2. Δηλώσει δὲ ἐναργέστερον ταῦτα καὶ τὸ
τῇ ὑπομονῇ χρησμωδηθὲν Ῥεβέκκα. *) Καὶ γὰρ τὰς
μαχομένας δύο φύσεις ἀγαθοῦ καὶ κακοῦ συλλαβοῦ-
σα, καὶ ἑκατέραν ἄκρως φαντασιωθεῖσα κατὰ τὴν
τῆς φρονήσεως ἐπικέλευσιν, ἀνασκιρτώσας αὐτὰς
ἰδοῦσα, καί τινα τοῦ μέλλοντος πολέμου δι᾽ ἀκρο-
βολισμῶν προαγῶνα ποιουμένας, ἱκετεύει τὸν θεὸν,
τί τέ ἐστι τὸ πάθος αὐτῇ παραστῆσαι, καὶ τίς ἂν
ἴασις αὐτοῦ γένοιτο. Ὁ δὲ πυνθανομένῃ φησὶ, 131
"Δύο ἔθνη ἐν τῇ γαστέρι σοῦ ἐστι," τὸ μὲν πάθος P.
τοῦτο, ἀγαθοῦ καὶ κακοῦ γένεσις. "Ἀλλὰ καὶ δύο
λαοὶ ἐκ τῆς κοιλίας σοῦ διασταλήσονται." Ἴασις ἥδε,
διασταλῆναι καὶ χωρισθῆναι ταῦτ᾽ ἀπ᾽ ἀλλήλων, καὶ
μηκέτι τὸν αὐτὸν χῶρον οἰκῆσαι. Προςθεὶς οὖν ὁ
θεὸς τῇ ψυχῇ καλὸν δόγμα, τὸν Ἄβελ, ἀφεῖλεν αὐ-

*) Gen. 25, 21.

τῆς δόξαν ἄτοπον, τὸν Κάϊν. Καὶ γὰρ Ἀβραὰμ ἐκλιπὼν τὰ θνητὰ "προςτίθεται τῷ θεοῦ λαῷ," *) καρπούμενος ἀφθαρσίαν, ἴσος ἀγγέλοις γεγονώς· ἄγγελοι γὰρ στρατός εἰσι θεοῦ, ἀσώματοι καὶ εὐδαίμονες ψυχαί. Ὅ τε ἀσκητὴς τὸν αὐτὸν τρόπον Ἰακὼβ προςτίθεται τῷ βελτίονι, **) ὅτι ἐξέλιπε τὸ χεῖρον. Ὁ δὲ αὐτομαθοῦς ἐπιστήμης ἀξιωθεὶς Ἰσαακ ἐκλείπει μὲν καὶ αὐτὸς, ὅσον σωματοειδὲς αὐτοῦ τῇ ψυχῇ συνύφαστο, προςτίθεται δὲ καὶ προςκληροῦται, οὐκέθ᾽ ὡς οἱ πρότεροι λαῷ, "γένει" δὲ, καθάπερ φησὶ Μωϋσῆς.***) Γένος μὲν γὰρ ἓν τὸ ἀνωτάτω, λαὸς δὲ ὄνομα πλειόνων. Ὅσοι μὲν οὖν μαθήσει καὶ διδασκαλίᾳ προκόψαντες ἐτελειώθησαν, προςκληροῦνται πλείοσιν· οὐδὲ γὰρ ὀλίγος ἐστὶν ἀριθμὸς τῶν ἐξ ἀκοῆς καὶ ὑφηγήσεως μανθανόντων, οὓς λαὸν ὠνόμασεν. Οἱ δὲ ἀνθρώπων μὲν ὑφηγήσεις ἀπολελοιπότες, μαθηταὶ δὲ θεοῦ εὐφυεῖς γεγονότες, τὴν ἄπονον ἐπιστήμην ἀνειληφότες, εἰς τὸ ἄφθαρτον καὶ τελειώτατον γένος μετανίστανται, κλῆρον ἀμείνω
165 προτέρων τῶν ἐν γενέσει βίων ἐνδεδεγμένοι, ὧν ὁ
P. Ἰσαὰκ θιασώτης ἀνωμολόγηται.

§. 3. Δηλοῖ δὲ καὶ ἕτερον τοιοῦτον, νοῦν ἀθάνατον. Εἰσὶ δὲ οὓς ἀνωτέρω προάγων εἴδη μὲν καὶ γένη πάντα ὑπερπτῆναι παρεσκεύασεν, ἱδρύσας πλησίον ἑαυτοῦ, καθὰ καὶ Μωϋσῇ φησι, Σὺ δὲ αὐτοῦ στῆθι μετ᾽ ἐμοῦ." ****) Ἡνίκα γοῦν τελευτᾶν ἔμελλεν οὐχ ἐκλείπων προςτίθεται, ὥςπερ οἱ πρότεροι, μήτε "πρόςθεσιν" μήτε "ἀφαίρεσιν" κεχωρηκώς, ἀλλὰ "διὰ ῥήματος τοῦ αἰτίου" μετανίσταται, †) δι᾽ οὗ καὶ ὁ σύμπας κόσμος ἐδημιουργεῖτο· ἵνα μάθῃς ὅτι τὸν σοφὸν ἰσότιμον κόσμῳ ὁ θεὸς ἤγαγε, τῷ αὐτῷ λόγῳ καὶ τὸ πᾶν ἐργαζόμενος, καὶ τὸν τέλειον ἀπὸ τῶν περιγείων ἀνάγων ὡς ἑαυτόν. Οὐ μὴν οὐ-

*) Gen. 25, 8. — **) Gen. 49, 33. — ***) Gen. 35, 29.
****) Deut. 5, 31. — †) Deut. 34, 5.

δὲ, ὅτε τοῖς περιγείοις χρήσας αὐτὸν εἴασεν ἐνομι-
λεῖν, ἄρχοντος ἢ βασιλέως κοινήν τινα ἀρετὴν ἀνῆ-
πτεν αὐτῷ, καθ᾽ ἣν ἀνὰ κράτος ἡγεμονεύσει τῶν τῆς
ψυχῆς παθῶν, ἀλλ᾽ εἰς θεὸν αὐτὸν ἐχειροτόνει, πᾶ-
σαν τὴν περὶ τὸ σῶμα χώραν καὶ τὸν ἡγεμόνα αὐ-
τῆς νοῦν ὑπήκοα καὶ δοῦλα ἀποφήνας. "Δίδωμι
γάρ σε," φησὶ, "θεὸν Φαραώ." *) Θεὸς δὲ ἔλ-
λειψιν ἢ πρόςθεσιν οὐκ ἀνέχεται, πλήρης καὶ ἰσαί-
τατος ὢν ἑαυτῷ. Παρ᾽ ὃ καὶ "τὴν ταφὴν λέγεται
μηδὲ εἷς εἰδέναι τούτου." **) Τίς γὰρ ἂν γένοιτο 132
ἱκανὸς τὴν πρὸς τὸν ὄντα μετανάστασιν ψυχῆς τε- P.
λείας κατανοῆσαι; Οὐδὲ αὐτὴν οἶμαι τὴν τοῦτο
ὑπομένουσαν εἰδέναι τὴν βελτίωσιν αὐτῆς, ἅτε κατ᾽
ἐκεῖνον τὸν χρόνον ἐπιθειάζουσαν. Τῷ γὰρ εὖ πά-
σχοντι συμβούλῳ ὁ θεὸς περὶ ὧν μέλλει χαρίζεσθαι
οὐ χρῆται, μὴ προλαβόντι δὲ τὰς εὐεργεσίας εἴωθεν
ἀφθόνους ὀρέγειν. Τοιοῦτόν ἐστι τὸ προςθεῖναι θεὸν
γένεσιν ἀγαθοῦ τελείᾳ διανοίᾳ· τὸ δὲ ἀγαθὸν ὁσιό-
της ἐστὶν, ἧς ὄνομα Ἄβελ. —

§. 4. "Καὶ ἐγένετο Ἄβελ ποιμὴν προβάτων, Κάϊν δὲ ἦν ἐργαζόμενος τὴν γῆν." Τί δή ποτε πρεσβύτερον εἰςαγαγὼν τοῦ Ἄβελ τὸν Κάϊν νῦν τῇ τάξει μετατέθεικεν, ὡς τοῦ νεωτέρου μεμνῆσθαι πρότερον κατὰ τὴν τῶν βίων αἵρεσιν; Εἰκὸς γὰρ ἦν τὸν μὲν πρεσβύτερον πρότερον εἰς γεωργίαν ἐλθεῖν, τὸν δὲ νεώτερον αὖθις ἐπὶ τὴν τῶν θρεμμάτων ἐπιμέλειαν. Ἀλλὰ γὰρ οὐ τὰ εἰκότα καὶ πιθανὰ Μωϋσῆς ἀσπάζεται, τὴν δὲ ἀλήθειαν ἀκραιφνῆ μεταδιώκει. Καὶ ὅταν γε μόνος ἰδίᾳ τῷ θεῷ προςέρχηται, μετὰ παῤῥησίας φησὶ "μὴ εἶναι εὔλογος," ἴσον τῷ, μὴ τῶν εὐλόγων καὶ πιθανῶν ἐφίεσθαι, πεπονθέναι δὲ τοῦτο "πρὸ τῆς χθὲς ἢ τρίτης, ἀφ᾽ οὗ τὸν θεὸν ἄρξασθαι διαλέγεσθαι, ὡς θεράποντι, αὐτῷ." ***) Τοῖς μὲν γὰρ εἰς τὸν τοῦ βίου σάλον καὶ κλύδωνα πα-

*) Exod. 7, 1. — **) Deut. 34, 6. — ***) Exod. 4, 10.

ρεληλυθόσιν, ἐπινηχομένοις ἀνάγκη φορεῖσθαι, μηδενὸς ὀχυροῦ τῶν ἐντὸς ἐπιστήμης ἐνειλημμένοις, εἰκότων δὲ καὶ πιθανῶν ἠρτημένοις. Τῷ δὲ θεοῦ θεραπευτῇ πρεπῶδες ἀληθείας περιέχεσθαι, τὴν τῶν εὐλόγων εἰκαστικὴν καὶ ἀβέβαιον μυθοποιΐαν χαίρειν ἐῶντι. Τί οὖν καὶ τὸ ἐν τούτοις ἀληθές; Κακίαν ἀρετῆς χρόνῳ μὲν εἶναι πρεσβυτέραν, δυνάμει δὲ καὶ ἀξιώματι νεωτέραν. Ὅταν μὲν οὖν ἡ γένεσις ἀμφοῖν εἰςάγηται, προεκτρεχέτω ὁ Κάϊν· ὅταν δὲ ἐπιτηδεύσεων σύγκρισις ἐξετάζηται, φθανέτω ὁ Ἄβελ. Γενομένῳ γὰρ τῷ ζώῳ συμβέβηκεν εὐθὺς ἔτ' ἐκ σπαργάνων, ἄχρις ἂν ἡ νεωτεροποιὸς ἀκμῆς ἡλικία τὸν ζέοντα φλογμὸν τῶν παθῶν σβέσειε, συντρόφους ἔχειν ἀφροσύνην, ἀκολασίαν, ἀδικίαν, φόβον, δειλίαν, τὰς ἄλλας συγγενεῖς κῆρας, ὧν ἑκάστην ἀνατρέφουσι καὶ συναυξάνουσι τιτθοὶ καὶ παιδαγωγοί, δι' ἐθῶν καὶ νομίμων εὐσέβειαν μὲν ἐλαυνόντων, δεισιδαιμονίαν δὲ, πρᾶγμα ἀδελφὸν ἀσεβείᾳ, κατασκευαζόντων εἰςηγήσεσιν. Ὅταν δὲ ἤδη παρηβήσῃ, καὶ ἡ τῶν παθῶν παλμώδης νόσος χαλάσῃ, καθάπερ νηνεμίας ἐπιγενομένης, ἄρχεταί τις γαλήνην ἄγειν, ὀψὲ καὶ μόλις βεβαιότητι ἀρετῆς ἱδρυνθεὶς, ἣ τὸν ἐπάλληλον καὶ συνεχῆ σεισμὸν, βαρύτατον κακὸν ψυχῆς, ἐπράϋνεν. Οὕτω μὲν δὴ τὰ χρόνου πρε- 133
σβεῖα οἴσεται κακία· τὰ δὲ ἀξιώματος καὶ τιμῆς καὶ P.
εὐκλείας ἡ ἀρετή. Πιστὸς δὲ τούτου μάρτυς ὁ νομοθέτης αὐτός. Τὸν γὰρ ἀφροσύνης ἐπώνυμον Ἡσαῦ εἰςαγαγὼν χρόνῳ πρεσβύτερον, τῷ γενέσει μὲν νεωτέρῳ, ἐπωνύμῳ δὲ ἀσκήσεως τῶν καλῶν Ἰακὼβ χαρίζεται τὰ πρεσβεῖα. Ὁ δὲ οὐ πρότερον αὐτὰ φέρε-
167 σθαι διαγνώσεται, ἢ καθάπερ ἐν ἀγῶνι τὸν ἀντί-
M. παλον ἀπειπεῖν, χεῖρας ὑπ' ἀσθενείας καταθέντα, καὶ τὰ βραβεῖα καὶ τὸν στέφανον παραχωρῆσαι τῷ πόλεμον ἄσπονδον καὶ ἀκήρυκτον πρὸς τὰ πάθη πεποιημένῳ. "Ἀπέδοτο" γάρ, φησί, "τὰ πρωτοτόκια

τῷ Ἰακὼβ," *) ὁμολογήσας ἄντικρυς, ὅτι τὰ δυνάμει πρῶτα, καὶ κατ' ἀρετὴν τίμια, φαύλου μὲν οὐδενὸς, μόνου δὲ τοῦ σοφίας ἐραστοῦ, καθάπερ αὐλὸς καὶ λύρα καὶ τὰ ἄλλα μουσικῆς ὄργανα μόνου τοῦ μουσικοῦ.

§. 5. Περὶ δὲ τοῦ δόγματος τούτου καὶ νόμον ἀναγράφει, πάνυ καλῶς καὶ συμφερόντως τιθείς. Ἔχει δὲ ὧδε. "Ἐὰν δὲ γένωνται τῷ ἀνθρώπῳ δύο γυναῖκες, ἡ μία αὐτῶν ἠγαπημένη, καὶ ἡ μία μισουμένη, καὶ τέκωσιν αὐτῷ ἡ ἠγαπημένη καὶ ἡ μισουμένη, καὶ γένηται ὁ υἱὸς τῆς μισουμένης πρωτότοκος· καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ᾗ ἂν κληροδοτῇ τὰ ὑπάρχοντα τοῖς υἱοῖς αὐτοῦ, οὐ δυνήσεται πρωτοτοκεῦσαι τῷ υἱῷ τῆς ἠγαπημένης, ὑπεριδὼν τὸν υἱὸν τῆς μισουμένης τὸν πρωτότοκον, ἀλλὰ τὸν υἱὸν τῆς μισουμένης τὸν πρωτότοκον ἐπιγνώσεται, δοῦναι αὐτῷ διπλᾶ, ἀπὸ πάντων ὧν ἂν εὑρεθῇ αὐτῷ, ὅτι οὗτός ἐστιν ἀρχὴ τέκνων αὐτοῦ, καὶ τούτῳ καθήκει τὰ πρωτοτόκια." **) Ἐπίγνωθι, ὦ ψυχή, καὶ γνώρισον τίς ἐστιν ἡ μισουμένη, καὶ τίς ὁ τῆς μισουμένης υἱὸς, καὶ εὐθὺς αἰσθήσῃ, ὅτι ἄλλῳ μὲν οὐδενὶ, μόνῳ δὲ τούτῳ καθήκει τὰ πρεσβεῖα. Δύο γὰρ ἡμῶν ἑκάστῳ συνοικοῦσι γυναῖκες, ἐχθραὶ καὶ δυσμενεῖς ἀλλήλαις, τῶν ζηλοτυπίας τὸν ψυχικὸν οἶκον ἀναπιμπλᾶσαι φιλονεικιῶν. Τούτων τὴν μὲν ἑτέραν ἀγαπῶμεν, χειροήθη καὶ τιθασσὸν, καὶ φιλτάτην καὶ οἰκειοτάτην αὐτοῖς νομίζοντες, καλεῖται δὲ ἡδονή. Τὴν δὲ ἑτέραν ἐχθραίνομεν, ἀτίθασσον, ἀνήμερον, ἐξηγριωμένην, πολεμιωτάτην ἡγούμενοι, ὄνομα δὲ καὶ ταύτης ἐστὶν ἀρετή. Τῆς μὲν οὖν περικαλλοῦς καὶ περιμαχήτου ἡδονῆς τὰ μεγάλα μυστήρια τίς ἀγνοεῖ τῶν βροτῶν; Τῶν δὲ παρὰ τῇ ἀρετῇ θησαυριζομένων ἀγαθῶν τὸ πλῆθος ἢ μέγεθος τίς ἂν ἀξίως εἰπεῖν δυνηθείη; Ἴσασιν οἱ κεκοινωνηκότες ἤδη, καὶ

*) Gen. 25, 33. — **) Deut. 21, 15—17.

οἷς ἡ φύσις ἵλεως πάλιν γνώσονται, κληθέντες εἰς
μετουσίαν θοίνης, οὐκ ἐξ ἧς αἱ γαστρὸς ἡδοναὶ πιμ-
πλαμένης τὸ σῶμα πιαίνουσιν, ἀλλ' ἀφ' ἧς διάνοια
ἐντρεφομένη καὶ ἐγχορεύουσα ἀρεταῖς γηθεῖ τε καὶ
εὐφραίνεται.

§. 6. Διὰ μὲν δὴ ταῦτα, καὶ τὸ πάλαι λεχθὲν, 134
ὅτι πέφυκεν ἐξ αὐτῶν φωνὴν ἀφιέναι, καὶ ἂν ἡσυ- P.
χάζηται, τά ὅσιά τε ὄντως ἀγαθὰ, τόν τε περὶ αὐ-
168 τῶν λόγον ἐῶ. Οὔτε γὰρ ἥλιος, οὔτε σελήνη χρή-
M. ζουσιν ἑρμηνέως, ὅτι τὸν σύμπαντα κόσμον, ὁ μὲν
ἡμέρας, ἡ δὲ νυκτὸς, ἀνίσχοντες φωτὸς ἐμπιπλᾶσιν·
ἀλλ' ἔστιν αὐτοῖς ἡ ἐπίλαμψις ἀμάρτυρος πίστις,
ὀφθαλμοῖς ὤτων ἐναργεστέρῳ κριτηρίῳ βεβαιουμένη.
Τὸ δὲ δοκοῦν τῶν παρ' αὐτῇ μάλιστα δυςκολίαν
ἔχειν καὶ χαλεπότητα, μετὰ παῤῥησίας λέξω. Καὶ
γὰρ τοῦτό που φαντασίᾳ μὲν, κατὰ τὴν πρόχειρον
ἔντευξιν, ἀργαλέον εἶναι δοκεῖ, μελέτῃ δὲ ἥδιστον,
καὶ ἐξ ἐπιλογισμοῦ συμφέρον. Ἔστι δὲ ὁ ῥᾳστώνης
ἐχθρὸς πόνος, πρῶτον καὶ μέγιστον ἀγαθὸν, προς-
φερόμενος τὸν ἀκήρυκτον πρὸς ἡδονὴν πόλεμον. Ἀρ-
χὴν γὰρ, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, παντὸς ἀγαθοῦ καὶ
ἀρετῆς πάσης ὁ θεὸς ἀνέδειξεν ἀνθρώποις πόνον, οὗ
χωρὶς τῶν καλῶν παρὰ τῷ θνητῷ γένει συνιστάμε-
νον οὐδὲν εὑρήσεις. Καθάπερ γὰρ φωτὸς ἄνευ ἀμή-
χανον ἰδεῖν, μήτε χρωμάτων, μήτε ὀμμάτων ἱκανῶν
ὄντων πρὸς τὴν δι' ὄψεως ἀντίληψιν, — δεσμὸν
γὰρ ἀμφοῖν προὔπειργάσατο τὸ φῶς ἡ φύσις, ᾧ συν-
άγεται καὶ ἁρμόζεται πρὸς χρῶμα ὀφθαλμός· ἐπὶ
σκότους γὰρ ἡ δύναμις ἀνωφελὴς ἑκατέρου, — τὸν
αὐτὸν τρόπον καὶ τὸ τῆς ψυχῆς ὄμμα, τῶν κατ'
ἀρετὴν πράξεων ὁτιοῦν ἀντιλαμβάνεσθαι ἀδυνατεῖ,
μὴ προςχρησάμενον, ὥςπερ φωτὶ, συνεργῷ τῷ πό-
νῳ. Μέσος γὰρ διανοίας ἱδρυνθεὶς, καὶ οὗ διάνοια
ὀρέγεται καλοῦ, τὸ μὲν ἔνθεν, τὴν δὲ ἔνθεν ἐπισπα-
σάμενος, ἑκατέρᾳ χειρὶ φιλίαν καὶ συμφωνίαν αὐτὸς,
ἀγαθὰ τέλεια, ἐργάζεται.

§. 7. Ὁποῖον γὰρ ἂν ἐθέλῃς ἑλοῦ τῶν ἀγαθῶν, καὶ τοῦθ' εὑρήσεις πόνῳ περιγινόμενόν τε καὶ βεβαιούμενον. Εὐσέβεια δὲ καὶ ὁσιότης ἀγαθὰ, ἀλλ' οὐκ ἄνευ θεραπείας θεοῦ τυχεῖν αὐτῶν δυνάμεθα· θεραπεία δὲ ταῖς ἐν πόνοις φιλοτιμίαις συνέζευκται. Φρόνησις καὶ ἀνδρία καὶ δικαιοσύνη καλαὶ πᾶσαι καὶ τέλεια ἀγαθὰ, ἀλλ' οὐ τῇ ῥαστώνῃ ταῦτα ληπτὰ, ἀγαπητὸν δὲ εἰ συνεχέσι ταῖς ἐπιμελείαις ἐξευμενισθήσονται. Τὴν πρὸς θεὸν καὶ ἀρετὴν ἀρεσκείαν, ὥςπερ τινὰ σύντονον καὶ σφοδρὰν ἁρμονίαν, οὐ δυνηθὲν τὸ πάσης ψυχῆς ὄργανον ἐνεγκεῖν, ἀνείθη καὶ ἐχαλάσθη πολλάκις, ὡς ἀπὸ τῶν ἄκρων ἐπὶ τὰς μέσας καταβῆναι τέχνας· ἀλλ' ὅμως καὶ ἐν ταῖς μέσαις πολὺς ὁ κάματος. Ἴδε τοὺς τῶν ἐγκυκλίων καὶ τῶν λεγομένων προπαιδευμάτων ἀσκητὰς ἅπαντας· ἴδε τοὺς γεηπόνους, καὶ ὅσοι τὸν βίον ἔκ τινων ἐπιτηδευμάτων πορίζουσιν, οὗτοι τῶν φροντίδων οὐ μεθ' ἡμέ-
ραν οὐ νύκτωρ ἀφίστανται, ἀλλ' ἀεὶ καὶ πανταχοῦ, 135
169 τὸ λεγόμενον δὴ τοῦτο, χειρὶ καὶ ποδὶ καὶ πάσῃ P.
M. δυνάμει κακοπαθοῦντες οὐ παύονται, ὡς καὶ θάνα-
τον ἀντικαταλλάττεσθαι πολλάκις.

§. 8. Ἀλλ' ὥςπερ τοῖς ψυχὴν τὴν ἑαυτῶν ἵλεω σπουδάζουσι λαβεῖν θεραπευτέον ἐξ ἀνάγκης τὰς τῆς ψυχῆς ἀρετὰς, οὕτω καὶ τοῖς ἵλεων τὸ σῶμα ἔχειν προαιρουμένοις θεραπευτέον ὑγείαν καὶ τὰς συγγενεῖς αὐτῇ δυνάμεις, ἃς δῆτα θεραπεύουσι μετ' ἀνηνύτων καὶ ἀπαύστων πόνων, οἷς φροντὶς εἰςέρχεται τῶν ἐν αὐτοῖς δυνάμεων ἐξ ὧν συνεκρίθησαν. Πάντα οὖν ὁρᾷς τὰ ἀγαθὰ ἐκ πόνου καθάπερ ἐκ μιᾶς ῥίζης ἐκπεφυκότα καὶ βλαστάνοντα, ὃν μήποτε ὑπομείνῃς μεθέσθαι. Λήσῃ γὰρ ἅμ' αὐτῷ καὶ σωρὸν ἀθρόον ἀγαθῶν μεθέμενος. Ὁ μὲν γὰρ τοῦ σύμπαντος ἡγεμὼν οὐρανοῦ τε καὶ κόσμου καὶ ἔχει καὶ παρέχει, οἷς ἂν ἐθέλῃ, τὰ ἀγαθὰ μετὰ πάσης εὐμαρείας. Ἐπεὶ καὶ τὸν τοσοῦτον κόσμον ἄνευ πόνων πάλαι μὲν εἰργάζετο, νυνὶ δὲ καὶ εἰςαεὶ συνέχων οὐδέποτε λήγει.

Θεῷ δὲ τὸ ἀκάματον ἁρμοδιώτατον, θνητῷ δὲ οὐδενὶ κτῆσιν ἀγαθῶν δίχα πόνων ἡ φύσις δεδώρηται, ἵνα καὶ ἂν ταύτῃ τὸ μακάριον ἐν τοῖς οὖσι μόνος ὁ θεὸς εὐδαιμονίζηται.

§. 9. Δοκεῖ γάρ μοι πόνος τὴν αὐτὴν προςφέρεσθαι δύναμιν τροφῇ. Καθάπερ οὖν αὕτη τὸ ζῆν ἐξήρτηκεν ἑαυτῆς, συναρτήσασα καὶ τὰ ἐν τῷ ζῆν ἅπαντα ἔργα καὶ πάθη, οὕτω καὶ πόνος ἐκκεκρέμακεν ἑαυτοῦ τὰ ἀγαθά. Ὥςπερ οὖν τοῖς γλιχομένοις τοῦ ζῆν τροφῆς οὐκ ἀμελητέον, οὕτω τοῖς ἀγαθῶν κτήσεως ἐφιεμένοις πόνου προνοητέον· ὃ γὰρ πρὸς τὸ ζῆν τροφή, τοῦτο πρὸς τὸ καλὸν ὁ πόνος. Ἑνὸς οὖν ὄντος αὐτοῦ μηδέποτε ὀλιγωρήσῃς, ἵνα πάντα τὰ ἀγαθὰ ἀθρόα καρπώσῃ. Οὕτω καὶ γενέσει νεώτερος ὤν, πρεσβύτερος ὀνομασθήσῃ, καὶ τῶν πρεσβείων ἀξιωθήσῃ. Ἐὰν δὲ βελτιούμενος ἀεὶ πρὸς τὸ τέλος ἀφίκῃ, οὐ μόνον σοι τὰ πρεσβεῖα ὁ πατὴρ ἀλλὰ καὶ τὰ πατρῷα χαριεῖται πάντα, καθάπερ καὶ τῷ τὰς ἕδρας τοῦ πάθους καὶ βάσεις πτερνίζοντι Ἰακώβ, ὃς ὡμολόγησεν ὃ ἔπαθεν, εἰπών, "ὅτι ἠλέησέ με ὁ θεός, καί ἐστί μοι πάντα·" *) δογματικῶς ἅμα καὶ παιδευτικῶς. Ἐν γὰρ τῷ τοῦ θεοῦ ἐλέῳ τὰ πάντα ὁρμεῖ.

§. 10. Μεμάθηκε δὲ ταῦτα παρὰ τῷ πάππῳ τῆς ἑαυτοῦ παιδείας Ἀβραάμ, ὃς τῷ πανσόφῳ "Ἰσαὰκ δίδωσι τὰ ὑπάρχοντα πάντα," **) οὐδὲν ὑπολειπόμενος τῶν ὑπαρχόντων "τοῖς νόθοις" καὶ πλαγίοις τῶν παλλακῶν λογισμοῖς, ἀλλὰ "μικρὰ" χαρίζεται καὶ μικροῖς ἐκείνοις. Τὰ μὲν γὰρ ὑπαρκτά, αἱ τέλειοι ἀρεταί, μόνου τοῦ τελείου καὶ γνησίου κτήματα· τὰ δὲ μέσα τῶν καθηκόντων ἐφαρ- 136
170 μόττει καὶ τοῖς ἀτελέσι, τοῖς μέχρι τῶν ἐγκυκλίων P.
M. προπαιδευμάτων ἐλθοῦσιν, ὧν Ἄγαρ καὶ Χεττοῦρα

*) Gen. 33, 11. — **) Gen. 25, 5 sq.

μετέχουσιν, ἡ μὲν Ἄγαρ παροίκησις, ἡ δὲ Χετοῦρα θυμιῶσα. Ὁ γὰρ τοῖς ἐγκυκλίοις μόνοις ἐπανέχων παροικεῖ σοφίᾳ, οὐ κατοικεῖ, καθάπερ τινὰ ὀδμὴν ἡδεῖαν ἐκ τῆς περὶ τὴν θεωρίαν γλαφυρότητος ἐπιπέμπων τῇ ψυχῇ. Τροφῶν δὲ οὗτος, οὐκ ὀσμῶν, δεῖται πρὸς τὸ ὑγιαίνειν. Ὄσφρησιν δὲ ὑπηρέτιν γεύσεως, καθάπερ βασιλίδος προγευστρίδα ὑπήκοον, λέγεται ἡ φύσις εὐμηχάνως δημιουργῆσαι· τὰς δὲ ἡγεμονίδας πρὸ τῶν ἀρχομένων ἀεὶ θεραπευτέον, καὶ τὰς αὐτόχθονας πρὸ τῶν παροίκων ἐπιστήμας. Ταῦτα ἀκούσας ὁ νοῦς, ἀποστρέφεται μὲν ἡδονὴν, ἁρμόζεται δὲ ἀρετῇ, τὸ κάλλος ἄπλαστον καὶ γνήσιον καὶ ἱεροπρεπέστατον αὐτῆς κατανοήσας. Τότε καὶ γίνεται ποιμὴν προβάτων, τῶν κατὰ ψυχὴν ἀλόγων δυνάμεων ἡνίοχός τε καὶ κυβερνήτης, "οὐκ ἐῶν αὐτὰς ἀτάκτως φέρεσθαι καὶ πλημμελῶς, δίχα ἐπιστάτου καὶ ἡγεμόνος," *) ἵνα μὴ καθάπερ τινὰ ἀπροστασίαστον καὶ ἀνεπιτρόπευτον ὀρφανίαν ὑποστάντες ἐρημίᾳ συμμάχων, οἱ ἀφηνιασταὶ τρόποι προςαπόλλωνται.

§. 11. Οἰκειότατον γοῦν ὁ ἀσκητὴς ὑπολαβὼν ἀρετῇ τὸ ἔργον ὑπομένει "ποιμαίνειν τὰ πρόβατα Λάβαν," **) τοῦ χρώμασι καὶ σχήμασι καὶ συνόλως ἀψύχοις σώμασιν ἐγκειμένου, καὶ οὐχ ἅπαντα, ἀλλὰ τὰ ὑπολειφθέντα. Τί δὲ τοῦτ' ἔστι; Διττὸν εἶναι πέφυκε τὸ ἄλογον, τὸ μὲν παρὰ τὸν αἱροῦντα λόγον, ὃν ἄφρονά φασί τινες, τὸ δὲ κατ' ἐκτομὴν λόγου, ὡς τῶν ζώων τὰ μὴ λογικά. Τὰς μὲν οὖν ἀλόγους αὐτοῦ φορὰς, λέγω δὲ τὰς παρὰ τὸν αἱροῦντα λόγον δυνάμεις, οἱ υἱοὶ Λάβαν "τριῶν ἡμερῶν ὁδὸν ἀποστάντες" ***) τημελοῦσι, συμβολικῶς ἅπαντα χωρισθέντες τὸν αἰῶνα τοῦ σπουδαίου. Τριμερὴς γὰρ ὁ χρόνος, ἐκ παρεληλυθότος καὶ ἐνεστῶτος καὶ μέλλοντος συνεστώς. Τὰς δὲ καθ' ἑτέραν

*) Num. 27, 17. — **) Gen. 30, 36. — ***) Ibid.

ἐκδοχὴν ἀλόγους, οὐχ αἳ παρὰ τὸν ὀρθὸν λόγον εἰσὶν, ἀλλ᾽ ὅσαι μὴ λογικαὶ, ὧν καὶ τὰ ἄλογα ζῶα κοινωνεῖ, ὁ ἀσκητὴς ἐπιμελείας ἀξιώσει, τὰ σφάλματ᾽ αὐταῖς οὐκ ἀπὸ κακίας πανούργου μᾶλλον, ἢ ἀπὸ ἀμαθίας ἀναγώγου προςγεγενῆσθαι νομίζων. Ἀμαθία μὲν οὖν ἀκούσιον ὂν καὶ κοῦφον πάθος, θεράπειαν οὐ δύςεργον ἔχει, διδασκαλίαν· πανουργία δὲ, ἑκούσιον ψυχῆς ἀῤῥώστημα, χαλεπὴν δὴ καὶ πάντως ἀνίατον ἐργάζεται τὴν ἀποτροπήν. Ἅτε οὖν
171 παρὰ πανσόφῳ πατρὶ παιδευθέντες οἱ τοῦδε υἱεῖς,
M. καὶ ἂν εἰς τὸ Αἰγύπτιον φιλοπαθὲς σῶμα καταβῶσι,
καὶ τῷ διασκεδαστῇ τῶν καλῶν ἐντύχωσι Φαραὼ, 137
ὃς βασιλεὺς εἶναι δοκεῖ τοῦ συγκριτικοῦ ζώου, μηδὲν P.
καταπλαγέντες τῆς ἀφθόνου παρασκευῆς, ὁμολογοῦσιν ὅτι "ποιμένες προβάτων εἰσὶν, οὐ μόνον αὐτοὶ, ἀλλὰ καὶ οἱ πατέρες αὐτῶν." *)

§. 12. Καίτοι γε οὐκ ἄν τις ἐπ᾽ ἀρχῇ καὶ δυναστείᾳ τοσοῦτον αὔχημα αὐχῆσαι ποτὲ, ὅσον ἐπὶ τῷ ποιμένες εἶναι οἱ ἄνδρες οὗτοι. Τοῖς μέντοι δυναμένοις λογίζεσθαι σεμνότερον βασιλείας ἐστὶ τὸ ἔργον ἰσχῦσαι, καθάπερ πόλεως ἢ χώρας, σώματός τε καὶ αἰσθήσεων καὶ γαστρὸς, καὶ ἡδονῶν τῶν μετὰ γαστέρα, καὶ παθῶν τῶν ἄλλων, καὶ γλώττης, καὶ συνόλως ἅπαντος τοῦ συγκρίματος, εὐτόνως καὶ σφόδρα ἐῤῥωμένως, καὶ πάλιν ἐπιεικῶς ἀφηγήσασθαι. Πῇ μὲν γὰρ ὑπανιέναι δεῖ καθάπερ ἡνίοχον τοῖς ὑπεζευγμένοις ταῖς ἡνίαις, πῇ δὲ ἀντισπᾶν καὶ ἀναχαιτίζειν ὅπως μὴ πλείων ἡ πρὸς τὰ ἐκτὸς ὁρμὴ καὶ φορὰ σὺν ἀφηνιασμῷ γίγνοιτο. Ἄγαμαι δὲ καὶ τοῦ θεσμοφύλακος Μωϋσέως, ὃς μέγα καὶ λαμπρὸν ἡγούμενος τὸ ποιμαίνειν, περιῆψεν ἑαυτῷ τὸ ἔργον. Τῶν γὰρ περὶ τὸν Ἰοθὸρ ἐπιστατεῖ καὶ ἀφηγεῖται δογμάτων, ἄγων αὐτὰ ἀπὸ τῶν ὀχλικῶν τῆς πολιτείας σπουδασμάτων εἰς ἐρημίαν τοῦ μὴ ἀδικεῖν.

*) Gen. 47, 3.

"Ἦγε γὰρ τὰ πρόβατα ὑπὸ τὴν ἔρημον," *) παρ' ὃ καὶ ἀκολουθεῖ "βδέλυγμα Αἰγυπτίων εἶναι πάντα προβάτων ποιμένα." **) Τὸν γὰρ κυβερνήτην καὶ ὑφηγητὴν τῶν καλῶν ὀρθὸν λόγον βδελύττεται πᾶς φιλοπαθής, καθάπερ οἱ τῶν παίδων ἀφρονέστατοι τοὺς διδασκάλους καὶ παιδαγωγούς, καὶ πάντα νουθετητὴν καὶ σωφρονιστὴν ἀγαθόν. Μωϋσῆς δὲ "τὰ βδελύγματα Αἰγύπτου θύσειν τῷ θεῷ," ***) φησί, τὰς ἀρετάς, ἄμωμα καὶ πρεπωδέστατα ἱερεῖα, ἃ βδελύσσεται πᾶς ἄφρων. Ὥστε εἰκότως ὁ τὰ ἄριστα ἐπὶ τὸν θεὸν ἀναφέρων Ἄβελ ποιμὴν κέκληται, ὁ δὲ ἐφ' ἑαυτὸν καὶ τὸν ἴδιον νοῦν γῆς ἐργάτης ὁ Κάϊν. Τί δέ ἐστι τὸ 'τὴν γῆν ἐργάζεσθαι', ****) διὰ τῶν προτέρων βίβλων ἐδηλώσαμεν.

§. 13. "Καὶ ἐγένετο μεθ' ἡμέρας, ἤνεγκε Κάϊν ἀπὸ τοῦ καρποῦ τῆς γῆς δῶρον τῷ κυρίῳ." †) Δύο ἐγκλήματα τοῦ φιλαύτου. Ἓν μὲν τὸ μεθ' ἡμέρας, ἀλλ' οὐκ εὐθὺς εὐχαριστῆσαι τῷ θεῷ· ἕτερον δὲ, τὸ ἀπὸ τῶν καρπῶν, ἀλλὰ μὴ ἀπὸ τῶν
172 πρώτων καρπῶν, ὧν σύνθετον ὄνομα πρωτογεννή-
M. ματα. Ἑκατέραν δὲ τῶν αἰτιῶν ἐρευνήσωμεν, καὶ πρότερόν γε τὴν προτέραν τῇ τάξει. Φθάνοντας καὶ προεκτρέχοντας δεῖ πράττειν τὰ καλὰ τῶν ἔργων, βραδυτῆτα καὶ μέλλησιν ἐκποδὼν ποιουμένους. Ἔργον δὲ ἄριστον, ἡ πρὸς τὸ πρῶτον καλὸν ἀνυπέρθετος ἀρεσκεία. Διὸ καὶ προστέτακται, "Ἐὰν εὔξῃ εὐχήν, οὐ χρονίσεις ἀποδοῦναι αὐτήν." ††) 138
Εὐχὴ μὲν οὖν ἐστιν αἴτησις ἀγαθῶν παρὰ τοῦ θεοῦ· P.
ἡ δὲ πρόσταξις, ἐπιτυχόντα τῶν ἐλπισθέντων στεφανῶσαι θεὸν, μὴ ἑαυτὸν καὶ, εἰ οἷόν τε, ἀχρόνως καὶ ἀμελλητὶ στεφανῶσαι. Τῶν δὲ μὴ κατορθούντων ἐν τούτῳ οἱ μὲν διὰ λήθην, ὧν εὖ πεπόνθασι, μεγάλου καὶ καλοῦ κτήματος εὐχαριστίας ἐσφάλησαν, οἱ

*) Exod. 3, 1. — **) Gen. 46, 34. — ***) Exod. 8, 26.
****) Gen. 4, 2. — †) Gen. 4, 3. — ††) Deut. 23, 21.

δὲ ὑπὸ σφοδρᾶς οἰήσεως ἑαυτοὺς τῶν συμβεβηκότων ἀγαθῶν αἰτίους ἐνόμισαν, ἀλλ᾽ οὐ τὸ ὄντως αἴτιον. Τρίτοι δέ εἰσιν, οἳ τούτων μὲν κουφότερον ἁμάρτημα, τῶν δὲ προτέρων βαρύτερον δρῶσιν. Ἀναγράφοντες γὰρ αἴτιον τῶν καλῶν τὸν ἡγεμόνα, φασὶν εἰκότως τυχεῖν αὐτῶν· εἶναι γὰρ φρόνιμοι καὶ ἀνδρεῖοι, καὶ σώφρονες καὶ δικαῖοι, ὥςτε ἄξιοι διὰ ταῦτα καὶ παρὰ θεῷ χαρίτων νομισθῆναι.

§. 14. Πρὸς ἕκαστον οὖν ὁ ἱερὸς λόγος ἀντιταχθεὶς, φησὶ τῷ πρώτῳ μνήμην μὲν ἀνῃρηκότι, λήθην δὲ ζωπυροῦντι, "Μὴ φαγὼν, ὦ οὗτος, καὶ ἐμπλησθεὶς, καὶ οἰκίας καλὰς οἰκοδομήσας καὶ κατοικήσας, καὶ τῶν προβάτων σου καὶ βοῶν αὐξηθέντων, καὶ ἀργυρίου καὶ χρυσίου, καὶ πάντων ὅσα σοί ἐστι πληθυνθέντων, ὑψωθῇς τῇ καρδίᾳ, καὶ ἐπιλάθῃ κυρίου τοῦ θεοῦ σου." *) Πότε οὖν οὐκ ἐπιλήσῃ θεοῦ; Ὅταν μὴ ἐπιλάθῃ σεαυτοῦ. Μεμνημένος γὰρ τῆς ἰδίας περὶ πάντα οὐδενείας, μεμνήσῃ καὶ τῆς τοῦ θεοῦ περὶ πάντα ὑπερβολῆς. Τὸν δὲ ἑαυτὸν νομίζοντα τῶν συμβαινόντων ἀγαθῶν αἴτιον σωφρονίζει τὸν τρόπον τοῦτον. "Μὴ εἴπῃς," φησὶν, **) ἡ ἰσχύς μου ἢ τὸ κράτος τῆς χειρός μου ἐποίησέ μοι πᾶσαν τὴν δύναμιν ταύτην· ἀλλὰ μνείᾳ μνησθήσῃ κυρίου τοῦ θεοῦ σου, τοῦ διδόντος σοι ἰσχὺν ποιῆσαι δύναμιν." Ὁ δὲ ἀξιόχρεων ἑαυτὸν ὑπολαμβάνων κτήσεως καὶ ἀπολαύσεως ἀγαθῶν, χρησμῷ μεταδιδαχθήτω λέγοντι," "Οὐχὶ διὰ τὴν δικαιοσύνην σου, οὐδὲ τὴν ὁσιότητα τῆς καρδίας σου, εἰςέρχῃ εἰς τὴν γῆν κληρονομῆσαι αὐτήν· ἀλλὰ πρῶτον μὲν διὰ τὴν ἀνομίαν τῶν ἐθνῶν τούτων, ὄλεθρον κακίας ἐπάγοντος τοῦ θεοῦ· ἔπειτα ἵνα στήσῃ τὴν διαθήκην ἣν ὤμοσε τοῖς πατράσιν ἡμῶν." ***) Διαθήκη δέ ἐστι
173 θεοῦ συμβολικῶς αἱ χάριτες αὐτοῦ, — θέμις δὲ
M. οὐδὲν ἀτελὲς αὐτῷ χαρίζεσθαι, — ὥςθ᾽ ὁλόκληροι

*) Deut. 8, 12 sqq. — **) Deut. 8, 17. — ***) Deut. 9, 5.

καὶ παντελεῖς αἱ τοῦ ἀγεννήτου δωρεαὶ πᾶσαι· ὁλόκληρον δὲ ἐν τοῖς οὖσιν ἀρετὴ, καὶ ἡ κατ' αὐτὴν πρᾶξις. Ἐὰν οὖν λήθην καὶ ἀχαριστίαν καὶ φιλαυτίαν καὶ τὴν γεννητικὴν τούτων κακίαν ἀνέλωμεν οἴησιν, οὐκέτι διαμέλλοντες ὑστεριοῦμεν γνησίου θεραπείας, ἀλλ' ὑπερτροχάζοντες καὶ ὑπερπηδῶντες τὰ ἐν γενέσει, πρὶν ἀσπάσασθαί τι τῶν θνητῶν, ἐντευξόμεθα τῷ δεσπότῃ, παρεσκευακότες ἑαυτοὺς ἑτοίμους τὰ κελευ-
όμενα ποιεῖν. 139

§. 15. *Καὶ γὰρ Ἀβραὰμ μετὰ σπουδῆς καὶ τά-* P.
χους καὶ προθυμίας πάσης ἐλθὼν, παρακελεύεται τῇ ἀρετῇ, Σάρρα, "σπεῦσαι καὶ φυρᾶσαι τρία μέτρα σεμιδάλεως, καὶ ποιῆσαι ἐγκρυφίας," *) *ἡνίκα ὁ θεὸς δορυφορούμενος ὑπὸ δυεῖν τῶν ἀνωτάτω δυνάμεων, ἀρχῆς τε αὖ καὶ ἀγαθότητος, εἷς ὢν ὁ μέσος, τριττὰς φαντασίας ἐνειργάζετο τῇ ὁρατικῇ ψυχῇ, ὧν ἑκάστη μεμέτρηται μὲν οὐδαμῶς, — ἀπερίγραφος γὰρ ὁ θεος, ἀπερίγραφοι καὶ αἱ δυνάμεις αὐτοῦ, — μεμέτρηκε δὲ τὰ ὅλα. Ἡ μὲν οὖν ἀγαθότης αὐτοῦ μέτρον ἀγαθῶν ἐστιν, ἡ δὲ ἐξουσία μέτρον ὑπηκόων, ὁ δὲ ἡγεμὼν αὐτὸς ἁπάντων καὶ σωμάτων καὶ ἀσωμάτων. Διὸ καὶ αἱ δυνάμεις κανόνων καὶ παραγγελμάτων λαβοῦσαι λόγον, τὰ μετὰ ταύτας ἐσταθμήσαντο. Τὰ μὲν δὴ τρία μέτρα ταῦτα καλὸν ἐν ψυχῇ ὥςπερ φυραθῆναί τε καὶ συνενεγχθῆναι, ἵνα πεισθεῖσα τὸν ἀνωτάτω εἶναι θεὸν, ὃς ὑπερκέκυφε τὰς δυνάμεις αὐτοῦ, καὶ χωρὶς αὐτῶν ὁρώμενος καὶ ἐν ταύταις ἐμφαινόμενος, δέξηται χαρακτῆρας ἐξουσίας τε καὶ εὐεργεσίας αὐτοῦ, καὶ τῶν τελείων μύστις γενομένη τελετῶν, μηδενὶ προχείρως ἐκλαλῇ τὰ θεῖα μυστήρια, ταμιευομένη δὲ αὐτὰ καὶ ἐχεμυθοῦσα ἐν ἀποῤῥήτῳ φυλάττῃ. Γέ-*
174 *γραπται γὰρ "ἐγκρυφίας ποιεῖν," ὅτι κεκρύφθαι δεῖ*
M.

*) Gen. 18, 6.

τὸν ἱερὸν περὶ τοῦ ἀγεννήτου καὶ τῶν δυνάμεων αὐτοῦ μύστην λόγον, ἐπεὶ θείων παρακαταθήκην ὀργίων οὐ παντός ἐστι φυλάξαι.

§. 16. Τὸ γὰρ τῆς ἀκράτορος ψυχῆς νᾶμα ἔξω ῥέον διὰ στόματός τε καὶ γλώττης, πάσαις ἀκοαῖς ἐπαντλεῖται. Ὧν αἱ μὲν εὐρυχώρους δεξαμενὰς ἔχουσαι, τὸ ἐπιχεόμενον φυλάττουσιν ἀρεσκείᾳ· αἱ δὲ διὰ στενότητα πόρων ἀδυνατοῦσιν ἄρδεσθαι. Τὸ δὲ ὑπερβλύζον ἀκατασχέτως ἐκχεόμενον σκίδναται πάντη, ὡς ἐπαναπλεῖν καὶ ἐπινήχεσθαι τὰ κεχρυμμένα, καὶ φορυτοῦ τρόπον εἰκαίου, τὰ πάσης ἄξια σπουδῆς μετὰ συρμοῦ καταφέρεσθαι. Παρ᾽ ὅ μοι δοκοῦσιν ὀρθῶς βεβουλεῦσθαι, οἱ πρὸ τῶν μεγάλων τούτων τὰ μικρὰ μυστήρια μυηθέντες. "Ἔπεψαν γὰρ τὸ σταῖς αὐτῶν, ὃ ἐξήνεγκαν ἀπ᾽ Αἰγύπτου, ἐγκρυφίας ἀζύμους," *) τουτέστι, τὸ ἀτίθασσον καὶ ὠμὸν πάθος κατειργάσαντο, ὥσπερ τροφὴν λόγῳ πεπαίνοντες. Καὶ τὸν τρόπον τῆς πεπάνσεως καὶ βελτιώσεως ἔκ τινος θείας κατακωχῆς γεγεννημένον οὐκ ἐξελάλησαν, ἀλλ᾽ ἐν ἀποκρύφοις αὐτῶν ἐθησαύρισαν, οὐκ ἐπαρθέντες τῇ τελετῇ, ὑπενδόντες δὲ καὶ ταπεινωθέντες τὸ αὔχημα.

§. 17. Πρὸς οὖν εὐχαριστίαν καὶ τιμὴν τοῦ παντοκράτορος εὔζωνοι καὶ εὐτρεπεῖς γινώμεθα, μέλλησιν παραιτούμενοι. Καὶ γὰρ τὸ πάσχα τοῖς ἐκ παθῶν εἰς ἄσκησιν ἀρετῆς διαβᾶσι προστέτακται 140 P. ποιεῖσθαι τὰς ὀσφῦς περιεζωσμένους, ἑτοίμως πρὸς ὑπηρεσίαν ἔχοντας· καὶ τὸν σάρκινον ὄγκον, τὰ ὑποδήματα λόγῳ περιειληφότας, "ἀκλινῶς καὶ παγίως ἑστῶσι τοῖς ποσὶ," καὶ τὴν παιδείαν "διὰ χειρὸς ἔχοντας ῥάβδον," **) πρὸς τὴν τῶν ἐν τῷ βίῳ πραγμάτων ἄπταιστον κατόρθωσιν, καὶ τὸ τελευταῖον "μετὰ σπουδῆς ἐντραφῆναι," διάβασις

*) Exod. 12, 34. — **) Exod. 12, 11.

γὰρ ἐπὶ θεὸν τοῦ γεννητοῦ καὶ φθαρτοῦ τὸ πάσχα εἴρηται. Καὶ σφόδρα προςηκόντως· οὐδὲν γάρ ἐστι τῶν καλῶν, ὃ μὴ θεοῦ τε καὶ θεῖον. Ταχέως οὖν αὐτὸ ἀναζήτησον, ὦ ψυχή, καθάπερ καὶ ὁ ἀσκητὴς Ἰακὼβ, ὃς πυθομένου τοῦ πατρὸς — "Τί τοῦτο ὃ ταχὺ εὗρες, ὦ τέκνον;" *) — δογματικῶς ἀποκρίνεται, "Ὃ παρέδωκε κύριος ὁ θεὸς ἐναντίον μου."
175 Πολλῶν γὰρ ἔμπειρος πραγμάτων γεγονὼς ἠπίστα-
M. το, ὅτι ἃ μὲν ἂν διδῷ γένεσις ψυχῇ, χρόνῳ μακρῷ βεβαιοῦται, ὥςπερ οἱ τὰς τέχνας καὶ τὰ τῶν τεχνῶν παραγγέλματα τοῖς μανθάνουσι παραδιδόντες. Οὐ γὰρ εὐθὺς, ὥςπερ οἱ προχέοντες εἰς ἄγγος, ἰσχύουσιν ἀποπληρῶσαι τὴν τῶν εἰςαγομένων διάνοιαν. Ἐπειδὰν δὲ ἡ πηγὴ τῆς σοφίας, ὁ θεὸς, παραδιδῷ τὰς ἐπιστήμας τῷ θνητῷ γένει, παραδίδωσιν ἀχρόνως· οἱ δὲ, ἅτε τοῦ μόνου σοφοῦ γεγονότες μαθηταὶ, εὐφυεῖς ταχέως τὰς εὑρέσεις ὧν ἐζήτησαν ἔλαβον.

§. 18. Πρώτη δὲ τῶν εἰςαγομένων ἀρετὴ, τὸ διδάσκαλον τέλειον, ὡς ἔνεστι τέλειον ἀτελεῖς, μιμεῖσθαι γλίχεσθαι. Ὁ δὲ διδάσκαλος φθάνει καὶ τὸν χρόνον, οὐδ᾽ ὅτε τὸ πᾶν ἐγέννα συνεργήσαντα, ἐπειδὴ καὶ ὁ χρόνος δηλονότι αὐτὸς γινομένῳ τῷ κόσμῳ συνυφίστατο. Ὁ γὰρ θεὸς λέγων ἅμα ἐποίει, μηδὲν μεταξὺ ἀμφοῖν τιθείς· εἰ δὲ χρὴ δόγμα κινεῖν ἀληθέστερον, ὁ λόγος ἔργον αὐτοῦ. Λόγου δὲ εὐκινητότερον οὐδὲν καὶ παρὰ τῷ θνητῷ γένει· παραμείβεται γὰρ τῇ ῥύμῃ τῶν ὀνομάτων καὶ ῥημάτων τὴν ἐπ᾽ αὐτοὺς φθάνουσαν κατάληψιν. Ὥςπερ οὖν τὰ διὰ κρουνῶν ἐκχεόμενα ἀένναα νάματα ἄληκτον ἔχει τὴν φορὰν, ἐπικαταλαμβάνοντος ἀεὶ τὴν λῆξιν τοῦ ἐπιόντος ῥεύματος· οὕτως ἡ τοῦ λόγου πλήμμυρα, ὅταν ἄρξηται φέρεσθαι, τῶν ἐν ἡμῖν τῇ ὀξυκινητοτάτῳ διανοίᾳ, ἣ καὶ τὰς πτηνὰς παραμείβε-

*) Gen. 27, 20.

ται φύσεις, συντρέχει. Καθάπερ οὖν ὁ ἀγέννητος φθάνει πᾶσαν γένεσιν, οὕτω καὶ ὁ τοῦ ἀγεννήτου λόγος παραθεῖ τὸν γενέσεως, καὶ ὀξύτατα ἐπὶ νεφῶν καταφέρεται, διὸ καὶ παῤῥησιάζεται φάσκων, "Ἤδη ὄψει, ἐπεὶ καταλήψεταί σε ὁ λόγος μου," *) ὡς πάντα ἐφθακότος καὶ κατειληφότος τοῦ θείου λόγου. Εἰ δὲ ὁ λόγος ἔφθακε, πολλῷ μᾶλλον ὁ λέγων αὐτὸς καθάπερ ἐν ἑτέροις μαρτυρεῖ λέγων, "Ὅδε ἐγὼ 141
ἕστηκα ἐκεῖ πρὸ τοῦ σέ." **) Δηλοῖ γὰρ ὅτι πρὸ P.
παντὸς ὑφέστηκε τοῦ γενομένου, καὶ ὁ ἐνθάδε ὢν καὶ ἐκεῖ, καὶ ἀλλαχόθι καὶ πανταχοῦ, πεπληρωκὼς πάντα διὰ πάντων, καὶ οὐδὲν ἔρημον ἑαυτοῦ καταλελοιπὼς ὑπάρχει. Οὐ γάρ φησιν, "ὧδε ἐγὼ ἕστηκα καὶ ἐκεῖθι, ἀλλὰ καὶ νῦν ὅτε πάρειμι, ἕστηκα καὶ ἐκεῖ
176 κατὰ τὸν αὐτὸν χρόνον· οὐ μεταβατικῶς κινούμε-
M νος, ὡς τὸν μὲν ἐπιλαμβάνειν, τὸν δὲ ἀπολείπειν τόπον, ἀλλὰ τονικῇ χρώμενος τῇ κινήσει. Δεόντως οὖν μιμούμενοι τὴν τοῦ πατρὸς φύσιν οἱ ὑπήκοοι παῖδες, ἀμελλητὶ μετὰ πάσης σπουδῆς τὰ καλὰ δρῶσιν, ὧν ἔργον ἐστὶ κάλλιστον ἡ ἀνυπέρθετος θεοῦ τιμή.

§. 19. Φαραὼ δὲ σκεδαστής, τῶν ἀχρόνων δυνάμεων φαντασίαν οὐχ οἷός τε ὢν δέξασθαι, τὰ τῆς ψυχῆς ὄμματα πεπηρωμένος, οἷς μόνοις αἱ ἀσώματοι καταλαμβάνονται φύσεις, οὐδὲ ὠφεληθῆναι δι' ἀχρόνων ὑπέμεινεν· ἀλλὰ ταῖς ἀψύχοις δόξαις, λέγω δὲ "βατράχοις" πεισθείς, ἦχον καὶ ψόφον ἔρημον καὶ κενὸν πραγμάτων ἀποτελοῦσιν, εἰπόντος Μωϋσέως, "Τάξαι πρός μέ ποτε ἵνα εὔξομαι περὶ σοῦ καὶ τῶν θεραπόντων σου ἀφανίσαι τοὺς βατράχους," ***) δέον ἐν ἀνάγκαις σφοδραῖς ὄντα εἰπεῖν, εὐθὺς εὔχου· ὁ δὲ ὑπερτίθεται λέγων, "Εἰς αὔριον," ἵνα διὰ παντὸς τὴν ἀπαλότητα τῆς ἀθεότητος διαφυλάξῃ. Τοῦτο σχεδὸν ἅπασι παρακολουθεῖ τοῖς

*) Num. 11, 23. — **) Exod. 17, 6. — ***) Exod. 8, 9.

ἐπαμφοτερισταῖς, καὶ ἂν μὴ διὰ τῶν ὀνομάτων καὶ ῥημάτων ὁμολογῶσιν. Ἐπειδὰν γὰρ συμβῇ τι τῶν ἀβουλήτων, ἅτε μὴ πεπιστευκότες παγίως τῷ σωτῆρι θεῷ καὶ πρότερον, καταφεύγουσιν ἐπὶ τὰς ἐν γενέσει βοηθείας, ἰατρούς, βοτάνας, φαρμάκων συνθέσεις, δίαιταν ἠκριβωμένην, πάνθ᾽ ὅσα παρὰ τῷ θνητῷ γένει βοηθήματα. Καὶ ἂν ἄρα εἴπῃ τις, καταφεύγετε, ὦ μογεροί, ἐπὶ τὸν μόνον ἰατρὸν ψυχῆς ἀῤῥωστημάτων, μεθέμενοι τὴν ἀπὸ γενέσεως τῆς παθητῆς ψευδώνυμον ὠφέλειαν· γελῶσι καὶ χλευάζουσιν ἐπιφωνοῦντες, ταῦτα "εἰς αὔριον," ὡς οὐδ᾽ ἂν εἴ τι γένοιτο, περὶ τῆς τῶν παρόντων κακῶν ἀποτροπῆς ἱκετεύσοντες τὸ θεῖον. Ἀλλ᾽ ὅταν γε τῶν ἀνθρώπων μηδὲν ἀρκῇ, πάντα δὲ εὑρίσκηται καὶ τὰ παιώνια βλαβερά, τηνικαῦτα ἐξ ἀμηχανίας πολλῆς τὴν ἀπὸ τῶν ἄλλων ὠφέλειαν ἀπογνόντες, ἄκοντες οἱ δείλαιοι καταφεύγουσιν ὀψὲ καὶ μόλις ἐπὶ τὸν μόνον σωτῆρα θεόν. Ὁ δέ, ἅτε εἰδὼς τὰ ἐν ἀνάγκαις ἄκυρα, οὐκ ἐπὶ πάντων χρῆται τῷ νόμῳ, ἀλλ᾽ ἐφ᾽ ὧν καλὸν καὶ συμφέρον χρῆσθαι. Πᾶς οὖν λογισμὸς κτήματα αὑτοῦ τὰ πάντα ἡγούμενος, καὶ αὑτὸν προτιμῶν θεοῦ, — τὸ γὰρ "μεθ᾽ ἡμέρας θύειν" 142
τοιοῦτον ὑποβάλλει νοῦν, — ἔνοχος ὢν ἀσεβείας ἴστω P.
γραφῇ. —

§. **20.** *Καὶ τὸ μὲν πρότερον ἔγκλημα τοῦ Κάϊν ἀποχρώντως ἐπεξήλθομεν. Τὸ δὲ δεύτερον τοιοῦτον ἦν. Τί δή ποτε ἀπὸ τῶν καρπῶν, ἀλλ᾽ οὐκ ἀπὸ*
177 *τῶν πρώτων καρπῶν φέρει τὴν ἀπαρχήν; Μήποτε*
M. *διὰ τὴν αὐτὴν αἰτίαν, ἵνα τὰ μὲν πρεσβεῖα γενέσει δῷ, τοῖς δὲ δευτερείοις ἀμείψηται τὸ θεῖον; Ὥςπερ γάρ εἰσί τινες οἳ ψυχῆς προκρίνουσι σῶμα, τῆς δεσποίνης τὸ δοῦλον, οὕτως εἰσὶν οἳ γένεσιν μᾶλλον θεοῦ προτετιμήκασι, πρόςταγμα τεθεικότος τοῦ νομοθέτου, ἵνα "τὰς ἀπαρχὰς τῶν πρωτογεννημάτων τῆς γῆς εἰςφέροιμεν εἰς τὸν οἶκον τοῦ θεοῦ,"* *) *ἀλλὰ*

*) Exod. 23, 19.

μὴ ἑαυτοῖς ἐπιγράφωμεν. Καὶ γὰρ δίκαιον, τῶν τῆς ψυχῆς κινημάτων ὅσα πρῶτα ἢ τάξει ἢ δυνάμει θεῷ ὁμολογεῖν. Τὰ μὲν οὖν τῇ τάξει πρῶτα τοιαῦτά ἐστιν, ὧν κατὰ τὴν πρώτην γένεσιν εὐθὺς ἐκοινωνήσαμεν, τροφή; αὔξησις, ὅρασις, ἀκοή, γεῦσις, ὄσφρησις, ἁφή, λόγος, νοῦς, μέρη ψυχῆς, μέρη σώματος, αἱ τούτων ἐνέργειαι, συνόλως κινήσεις καὶ σχέσεις αἱ κατὰ φύσιν. Τὰ δ' ἀξιώματι καὶ δυνάμει, τὰ κατορθώματα, αἱ ἀρεταὶ, αἱ κατ' ἀρετὰς πράξεις. Δίκαιον οὖν ἀπὸ τούτων ἀπάρχεσθαι. Αἱ δὲ ἀπαρχαὶ λόγος ἐστὶν ἐκ διανοίας ἀληθοῦς ἀναπεμπόμενος εὐχαριστικός. Τέμνει δὲ αὐτὸν κατὰ τὰς οἰκείας τομὰς, ὅνπερ τρόπον ἡ λύρα καὶ τὰ ἄλλα μουσικῆς ὄργανα τέτμηται. Τῶν γὰρ ἐν αὐτοῖς φθόγγων καὶ καθ' ἑαυτὸν ἕκαστος ἥρμοσται, καὶ πρὸς τὴν ἑτέραν συμφωνίαν μάλιστα ᾠκείωται, καθάπερ καὶ τῶν ἐν γραμματικῇ στοιχείων τὰ λεγόμενα φωνήεντα, ἃ καὶ καθ' ἑαυτὰ ἐκφωνεῖται, καὶ σὺν ἑτέροις ὁλόκληρον ἀποτελεῖ φωνήν. Πολλὰς δὲ δυνάμεις αἰσθητικάς τε καὶ λογικὰς νοητικὰς ἐν ἡμῖν αὐτοῖς ἡ φύσις δημιουργήσασα, καὶ πρός τι τῶν οἰκείων ἑκάστην τείνασα ἔργων· καὶ πάλιν πάσας ἁρμοσαμένη δι' ἀναλογίας κοινωνίᾳ καὶ συμφωνίᾳ τῇ πρὸς ἀλλήλας, ὀρθότατα ἂν καὶ ἐφ' ἑκάστῃ καὶ ἐπὶ πάσαις εὐδαιμονίζοιτο.

§. 21. Διόπερ "ἐὰν προσφέρῃς θυσίαν πρωτογεννημάτων," οὕτω διαίρει, ὡς ὑφηγεῖται ὁ ἱερὸς λόγος, "νέα" τὸ πρῶτον, εἶτα "πεφρυγμένα," ἔπειτα "χίδρα," καὶ ἐπὶ πᾶσιν "ἐρεικτά." "Νέα" μὲν οὖν, διὰ τόδε· τοὺς τὸν παλαιὸν καὶ γηραιὸν καὶ μυθώδη χρόνον ἀσπαζομένους ταχεῖαν δὲ καὶ ἄχρονον θεοῦ δύναμιν μὴ συνεωρακότας ἐκδιδάσκει; νέα καὶ ἐπακμάζοντα καὶ ἡβῶντα προτρέπων ἐνθύμια λαμ-
178 βάνειν, ἵνα μὴ παλαιαῖς ἐντρεφόμενοι μυθοποιΐαις,
M. ἃς ὁ μακρὸς αἰὼν ἐπὶ ἀπάτῃ τῶν θνητῶν παραδέδωκε, ψευδοδοξῶσιν· ἀλλὰ παρὰ τοῦ ἀεὶ ἀγήρω καὶ

νέου θεοῦ τὰ νέα καὶ καινὰ ἀγαθὰ μετὰ πάσης ἀφθονίας λαμβάνοντες, ἐκδιδάσκωνται μηδὲν ἡγεῖ- 143 σθαι παρ᾽ αὐτῷ παλαιὸν, ἢ συνόλως παρεληλυθὸς, P. ἀλλὰ γινόμενον ἀχρόνως καὶ ὑφεστηκός.

§. 22. Οὗ χάριν καὶ δι᾽ ἑτέρων φησὶν, "Ἀπὸ προςώπου πολιοῦ ἀναστήσῃ, καὶ τιμήσεις πρόσωπον πρεσβυτέρου," *) ὡς παμμεγέθους διαφορᾶς οὔσης. "Πολιὸς" μὲν γὰρ ὁ μηδὲν ἐνεργῶν ἐστι χρόνος, ἀφ᾽ οὗ μεταγίστασθαι καὶ ἀποδιδράσκειν δεῖ, τὴν μυρίους ἀπατῶσαν ἐκκλίνοντας ὑπόληψιν, ὡς ἄρα τι ποιεῖν οὗτος πέφυκε· "πρεσβύτερος" δὲ, ὁ τιμῆς καὶ γέρως καὶ πρεσβείων ἐπάξιος ὢν, ὃν Μωϋσεῖ τῷ θεοφιλεῖ δοκιμάζειν ἐπιτέτραπται. "Οὓς γὰρ σὺ οἶδας," φησὶν, "οὗτοι πρεσβύτεροί εἰσιν," **) ὡς μηδεμίαν ἀποδεχομένου νεωτεροποιΐαν, ἀλλὰ πρεσβυτέρων καὶ τῆς ἀνωτάτω τιμῆς ἀξίων δογμάτων εἰωθότος ἐρᾶν. Ὠφέλιμον μὲν οὖν, εἰ καὶ μὴ πρὸς ἀρετῆς κτῆσιν τελείας, ἀλλά τοι πρὸς πολιτείαν, καὶ τὸ παλαιαῖς καὶ ὠγυγίοις ἐντρέφεσθαι δόξαις, καὶ ἀρχαίαν ἀκοὴν ἔργων καλῶν μεταδιώκειν, ἅπερ ἱστορικοὶ καὶ σύμπαν τὸ ποιητικὸν γένος, τοῖς τε καθ᾽ ἑαυτοὺς καὶ τοῖς ἔπειτα μνήμῃ παραδεδώκασιν. Ἀλλ᾽ ὅταν γε μὴ προειδομένοις μηδὲ ἐλπίσασι φέγγος ἀφνίδιον ἐπιλάμψηται αὐτομαθοῦς σοφίας, ἣ δὴ τὸ μεμυκὸς ὄμμα ψυχῆς διοίξασα, ἀντὶ ἀκροατῶν θεατὰς ἐπιστήμης ἐργάζεται, τὴν ὠκυδρομωτάτην αἰσθήσεως ὄψιν πρὸ τῆς βραδυτέρας ἀκοῆς ἐν διανοίᾳ θεῖσα, μάταιόν ἐστι διὰ λόγων ὦτα γυμνάζειν.

§. 23. Διὸ καὶ λέγεται, "Φάγεσθε παλαιὰ καὶ παλαιὰ παλαιῶν, ἀλλὰ καὶ παλαιὰ ἐκ προςώπου νέων ἐξοίσετε." ***) Ὡς δέον παλαιὸν μὲν μάθημα χρόνῳ μηδὲν ἀρνεῖσθαι, πειρωμένους καὶ γράμμασι σοφῶν ἀνδρῶν ἐντυγχάνειν, καὶ γνώμαις καὶ διηγήσε-

*) Levit. 19, 32. — **) Num. 11, 16. — ***) Levit. 26, 10.

σιν ἀρχαιολογούντων παρεῖναι, καὶ φιλοπευστεῖν ἀεὶ περὶ τῶν προτέρων καὶ ἀνθρώπων καὶ πραγμάτων, τοῦ μηδὲν ἀγνοεῖν ὄντος ἡδίστου. Νέας δὲ ὅταν ἀνατείλῃ βλάστας αὐτοδιδάκτου σοφίας ὁ θεὸς ἐν ψυχῇ, τὰ ἐκ διδασκαλίας εὐθὺς περιγράφειν καὶ περισύρειν, ὑπονοστοῦντα καὶ ὑποῤῥέοντα ἐξ ἑαυτῶν. Τὸν γὰρ θεοῦ φοιτητὴν, ἢ γνώριμον, ἢ μαθητὴν, ἢ ὅ τί ποτε χρὴ θεμένους ὄνομα καλεῖν αὐτὸν, ἀμήχανόν ἐστι θνητῶν ὑφηγήσεων ἀνασχέσθαι.

§. 24. Ἔστω δὲ ἡ νέας ψυχῆς ἀκμὴ "πεφρυ-
179 γμένη," τουτέστιν ὡς πυρὶ χρυσὸς, λόγῳ δυνατῷ
M. βεβασανισμένη· τοῦ δὲ βεβασανίσθαι καὶ δεδοκιμάσθαι σημεῖον τὸ πεπηγέναι. Καθάπερ γὰρ ὁ τῶν τεθηλότων ἀσταχύων καρπὸς, ἵνα μηκέτι πλαδᾷ, φρύγεται, τοῦτο δ' οὐκ ἄνευ πυρὸς πέφυκε συμβαίνειν· οὕτω τὴν νέαν πρὸς ἀρετῆς ἀκμὴν ἀνάληψιν 144
δυνατῷ καὶ ἀκινήτῳ λόγῳ χρὴ πάγιον καὶ σταθερω- P.
τάτην ἀπεργάζεσθαι. Πέφυκε δὲ ὁ λόγος οὐ μόνον πέπτειν ἐν ψυχῇ τὰ θεωρήματα, διαῤῥεῖν αὐτὰ καλέων, ἀλλὰ καὶ τὴν τοῦ ἀλόγου πάθους ὁρμὴν εὐτόνως ἐκλύειν. Ἴδε γέ τοι τὸν ἀσκητὴν Ἰακὼβ ἕψοντα αὐτὴν, ὁπότε καὶ "Ἡσαῦ ἐκλείπων" *) εὐθὺς εὑρίσκεται. Θεμέλιος γὰρ τῶν φιλαύτων κακία καὶ πάθος, οἷς ἐπερηρεισμένος, ὅταν ἐξηττημένα καὶ παρειμένα ὑπὸ τοῦ αἵροντος αὐτὰ λόγου θεάσηται, κατὰ τὸ εἰκὸς καὶ ἐκλύεται τοὺς ἰσχύος δεσμούς. Ἔστω δὲ ὁ λόγος μὴ συγκεχυμένος, ἀλλ' εἰς οἰκείας τεμνέσθω τομάς. Τὸ "χίδρα ποιῆσαι" τοιοῦτόν ἐστιν· ἐν ἅπαντι μὲν γὰρ ἀταξίας ἀμείνων ἡ τάξις, μάλιστα δ' ἐν ὀξύτατα ῥεούσῃ φύσει, τῷ λόγῳ.

§. 25. Διαιρετέον οὖν αὐτὸν εἰς κεφάλαια προηγούμενα, τὰ λεγόμενα ἐμπίπτοντα, καὶ ἐφαρμοστέον ἑκάστῳ τὰς οἰκείας κατασκευάς· μιμουμένους τοὺς ἀγαθοὺς τῶν τοξοτῶν, οἳ σκοπόν τινα προθέμενοι,

---

*) Gen. 25, 29.

τὰ βέλη πάντα ἐπ' αὐτὸν ἀφιέναι πειρῶνται. Σκο-
πῷ μὲν γὰρ τὸ κεφάλαιον, βέλεσι δὲ ἔοικεν ἡ κατα-
σκευή· οὕτω τὸ πάντων ἄριστον μαθημάτων ὁ λό-
γος ἁρμονίως συνυφαίνεται. Καὶ γὰρ πέταλα χρυ-
σίου κατατέμνει ὁ νομοθέτης εἰς τρίχας, ὥςτε συνυ-
φᾶναι τὰ οἰκεῖα ἐπιμόνως· οὕτως ὁ τιμιώτερος χρυ-
σίου λόγος ἐκ ποικιλμάτων καὶ μυρίων ἰδεῶν ἐπαινε-
τῶς τελεσιουργεῖται, ὅταν ἄχρι τῶν λεπτοτάτων κε-
φαλαίων τμηθεὶς, τρόπον τινὰ νήματος, δέξηται κα-
θάπερ κρόκην ἀποδείξεις ἐναρμονίους. Προςτέτα-
κται μέντοι καὶ "τὸ ὁλοκαύτωμα δείραντας εἰς μέλη
διανέμειν," ὑπὲρ τοῦ πρῶτον μὲν γυμνὴν ἄνευ σκε-
πασμάτων, ὅσα περιποιοῦσιν αἱ κεναὶ καὶ ψευδεῖς
ὑπολήψεις, τὴν ψυχὴν φανῆναι· εἶτα δέξασθαι διαι-
ρέσεις ἐμμελεῖς. Τὸ γὰρ ὅλον καὶ ἕν ἐστιν ἡ ἀρετὴ,
ἣ κατὰ εἴδη τὰ προςεχῆ τέμνεται, φρόνησιν καὶ σω-
180 φροσύνην, δικαιοσύνην καὶ ἀνδρίαν, ἵνα τὰς καθ'
M. ἕκαστον εἰδότες διαφορὰς, ἑκούσιον ὑπομένωμεν λα-
τρείαν καὶ καθ' ὅλα καὶ κατὰ μέρη. Σκοπῶμεν δὲ
ὅπως τὴν ψυχὴν γυμνάσομεν, μὴ ὁλοσχερέσι καὶ
ἀτυπώτοις φαντασίαις ὑπὸ συγχύσεως ἀπατᾶσθαι·
τομὰς δὲ καὶ διαιρέσεις ποιουμένην τῶν πραγμάτων
διακύπτειν εἰς ἕκαστον, καὶ ἐρευνᾶν μετὰ πάσης
ἀκριβείας, ληψομένην τόν τε λόγον, ὃς οὐκ ἀτάκτῳ
ῥύμῃ φερόμενος, ἀσάφειαν ἐργάσεται, τμηθεὶς δὲ εἰς
τὰ οἰκεῖα κεφάλαια, καὶ τὰς εἰς ἕκαστον ἀποδείξεις,
ὥςπερ ζῶον, ἐκ τελείων μερῶν συμπαγεὶς, ἁρμοσθή-
σεται. Χρὴ δὲ εἰ μέλλει ταῦτα παρ' ἡμῖν αὐτοῖς
βεβαιοῦσθαι, μελέτην καὶ ἄσκησιν αὐτῶν ποιεῖσθαι 145
συνεχῆ· ὡς τό γε ἀψαμένους ἐπιστήμης μὴ ἐπιμεῖ- P.
ναι, ὅμοιόν ἐστι τῷ γεύσασθαι σιτίων καὶ ποτῶν, εἰς
κόρον δὲ κωλυθῆναι τραφῆναι.

§. 26. Μετὰ τὰ χίδρα οὖν ἁρμόττει ποιεῖν "ἐρει-
κτὰ," τουτέστι μετὰ τὴν διαίρεσιν ἐνδιατρίβειν καὶ
ἐνσχολάζειν τοῖς ἐπινοηθεῖσι· συνεχὴς γὰρ ἄσκησις
ἐπιστήμην πάγιον ἐργάζεται, ὡς ἀμαθίαν ἀμελητησία.

Μυρίοι οὖν ἀθλήσεως ὄκνῳ καὶ τὴν ἐκ φύσεως ἰσχὺν ἐξέλυσαν, οὓς οὐκ ἐμιμήσαντο οἱ προφητείᾳ τὴν ψυχὴν τραφέντες, τῷ λεγομένῳ μάννα. "Οὗτοι γὰρ ἤλουν καὶ ἔτριβον αὐτὸ ποιοῦντες ἐγκρυφίας," *) τὸν οὐράνιον ἀρετῆς λόγον ἀνατρίβειν καὶ ἐπιλεαίνειν ἕκαστος, ἕνεκα τοῦ τυπῶσαι βεβαιοτέραν διάνοιαν, ἐγνωκότες. Ὅταν οὖν "νέα," τὴν ἀκμὴν, καὶ "πεφρυγμένα," τὸν πεπυρωμένον καὶ ἀνίκητον λόγον, καὶ "χίδρα," τὴν τομὴν καὶ διαίρεσιν τῶν πραγμάτων, καὶ "ἐρεικτὰ," τὴν τριβὴν καὶ μελέτην τῶν ἐπινοηθέντων, ὁμολογῇς κατὰ θεὸν, πρωτογεννημάτων οἴσεις θυσίαν, ὧν πρῶτον καὶ ἄριστον ἐγέννησεν ἡ ψυχή. Καὶ ἂν ἡμεῖς μέντοι βραδύνωμεν, αὐτὸς οὐ βραδύνει τοὺς ἐπιτηδείους πρὸς θεραπείαν λαβεῖν ἑαυτῷ. "Λήψομαι" γὰρ, φησὶν, "ὑμᾶς ἐμαυτῷ λαὸν, καὶ ἔσομαι ὑμῶν θεὸς, καὶ ὑμεῖς ἔσεσθέ μοι λαός· ἐγώ εἰμι κύριος."

§. 27. Τὰ μὲν δὴ τοῦ Κάϊν μεθ' ἡμέρας φέροντος τὴν θυσίαν ἐγκλήματα τοιαῦτα ἦν. Ἄβελ δὲ ἤνεγκεν οὐ τὰ αὐτὰ, οὐδὲ τὸν αὐτὸν τρόπον, ἀλλὰ ἀντὶ ἀψύχων ἔμψυχα, ἀντὶ δὲ νεωτέρων καὶ δευτερείων πρεσβύτερα καὶ πρῶτα, ἀντὶ δὲ ἠσθενηκότων ἐῤῥωμένα καὶ πιότερα. "Ἀπὸ γὰρ τῶν πρωτοτόκων τῶν προβάτων αὐτοῦ καὶ ἀπὸ τῶν στεάτων αὐτῶν φησι τὴν θυσίαν ποιεῖσθαι," **) κατὰ τὸ ἱερώτατον διάταγμα.
181 Ἔστι δὲ τοιόνδε. "Καὶ ἔσται," φησὶν, "ὡς ἂν
M εἰσαγάγῃ σε ὁ θεὸς εἰς τὴν γῆν τῶν Χαναναίων, ὃν τρόπον ὤμοσε τοῖς πατράσι σου, καὶ δώσω σοὶ αὐτὴν, καὶ ἀφελεῖς πᾶν διανοῖγον μήτραν ἐκ τῶν βουκολίων ἐν τοῖς κτήνεσιν ὅσα ἂν γένηταί σοι, τὰ ἀρσενικὰ τῷ κυρίῳ. Πᾶν διανοῖγον μήτραν ὄνου, ἀλλάξεις προβάτου· ἐὰν δὲ μὴ ἀλλάξῃς, λυτρώσῃ αὐτό." ***). Τὸ γὰρ διανοῖγον μήτραν τὸ Ἄβελ δῶρόν ἐστι, τὸ πρωτότοκον, ὃ πότε καὶ πῶς δεῖ φέ-

*) Num. 11, 8. — **) Gen. 4, 3. — ***) Exod. 13, 11.

ρειν ἐρεύνησον. Καιρὸς μὲν δὴ ἐπιτηδειότατος, ὅταν εἰςάγῃ σε ὁ θεὸς εἰς τὸν σαλεύοντα λόγον, τὴν τῶν Χαναναίων γῆν, οὐχ ὃν τύχοι τρόπον, ἀλλ᾽ ὃν ὤμοσεν αὐτός· οὐχ ἵνα σάλον καὶ τροπὴν καὶ κλύδωνα ὧδε καὶ ἐκεῖσε φορούμενος ἀστάτως ὑπομένῃς, ἀλλ᾽ ἵνα τοῦ σάλου παυσάμενος αἰθρίαν καὶ γαλήνην ἄγῃς, καὶ ὥςπερ εἰς ὑπόδρομον ἢ ὕφορμον ἢ ναυλοχώτατον λιμένα τὴν ἀρετὴν ἀφικόμενος βεβαίως ἱδρυνθῇς.

§. 28. Ὅταν δὲ λέγῃ τὸν θεὸν ὀμνύναι, σκεπτέον εἰ πρὸς ἀλήθειαν ὡς ἐπιβάλλον αὐτῷ τοῦτο 146
ἀποφαίνεται, ἐπεὶ μυρίοις ἔδοξεν ἀνοίκειον εἶναι. Ὅρ- P.
κου γὰρ ἔννοιά ἐστι μαρτυρία θεοῦ περὶ πράγματος ἀμφισβητουμένου. Θεῷ δὲ οὐδὲν ἄδηλον, οὐδὲ ἀμφισβητούμενον, ὃς καὶ τοῖς ἄλλοις τὰ γνωρίσματα τῆς ἀληθείας ἐναργῶς ἐπιδέδειχε. Μάρτυρός γε μὴν οὐδενὸς δεῖται, οὐδὲ γάρ ἐστιν ἄλλος θεὸς ἰσότιμος αὐτῷ. Ἐῶ λέγειν ὅτι ὁ μαρτυρῶν, παρόσον μαρτυρεῖ, κρείττων ἐστὶ τοῦ μαρτυρουμένου. Ὁ μὲν γὰρ δεῖται, ὁ δὲ ὠφελεῖ· τὸ δὲ ὠφελοῦν ἀξιοπιστότερόν ἐστι τοῦ δεομένου. Ἄμεινον δὲ οὐδὲν ἐπινοῆσαι θέμις τοῦ αἰτίου, ὁπότε οὐδὲ ἴσον, ἀλλ᾽ οὐδὲ ὀλίγῳ καταδεέστερον, ἀλλ᾽ ὅλῳ γένει καταβεβηκὸς ἅπαν τὸ μετὰ θεὸν εὑρίσκεται. Τοῦ τε μὴν πιστευθῆναι χάριν ἀπιστούμενοι καταφεύγουσιν ἐφ᾽ ὅρκον ἄνθρωποι· ὁ δὲ θεὸς καὶ λέγων πιστός ἐστιν, ὥςτε καὶ τοὺς λόγους αὐτοῦ βεβαιότητος ἕνεκα μηδὲν ὅρκων διαφέρειν. Καὶ συμβέβηκε τὴν μὲν ἡμετέραν γνώμην ὅρκῳ, τὸν δὲ ὅρκον αὐτὸν θεῷ πεπιστῶσθαι. Οὐ γὰρ δι᾽ ὅρκον πιστὸς ὁ θεὸς, ἀλλὰ δι᾽ αὐτὸν καὶ ὁ ὅρκος βέβαιος.

§. 29. Τί οὖν ἔδοξε τῷ ἱεροφάντῃ παρειςαγαγεῖν αὐτὸν ὀμνύντα; Ἵνα τὴν ἀσθένειαν διελέγξῃ τοῦ γεννητοῦ, καὶ διελέγξας ἅμα παρηγορήσῃ. Οὐ γὰρ δυνάμεθα διηνεκῶς τὸ ἄξιον τοῦ αἰτίου κεφάλαιον ἐν ψυχῇ ταμιεῦσαι τῇ ἑαυτῶν, τὸ „οὐχ ὡς

ἄνθρωπος ὁ θεὸς,"*) ἵνα ἅπαντα τὰ ἀνθρωπολο-
γούμενα ὑπερκύψωμεν· ἀλλὰ πλεῖστον μετέχοντες τοῦ
182 θνητοῦ, καὶ χωρὶς αὐτῶν ἐπινοῆσαι μηδὲν δυνά-
M. μενοι, μήτε ἐκβῆναι τὰς ἰδίας κῆρας ἰσχύοντες, ἀλλ'
εἰς τὸ θνητὸν εἰςδυόμενοι καθάπερ οἱ κοχλίαι, καὶ
περὶ αὐτοὺς ὥςπερ ἐχῖνοι σφαιρηδὸν εἰλούμενοι, καὶ
περὶ τοῦ μακαρίου καὶ ἀφθάρτου καὶ περὶ αὐτῶν δο-
ξάζομεν, τὴν μὲν ἀτοπίαν τοῦ λόγου, ὅτι ἀνθρωπό-
μορφον τὸ θεῖον, ἀποδιδράσκοντες, τὴν δὲ ἐν τοῖς
ἔργοις ἀσέβειαν, ὅτι ἀνθρωποπαθὲς, ἐπανορθού-
μενοι· διὰ τοῦτο χεῖρας, πόδας, εἰςόδους, ἐξόδους,
ἔχθρας, ἀποστροφὰς, ἀλλοτριώσεις, ὀργὰς προςανα-
πλάττομεν, ἀνοίκεια μέρη καὶ πάθη τοῦ αἰτίου, ὧν
ἐστι καὶ ὁ ὅρκος τῆς ἡμετέρας ἀσθενείας ἐπίκουρος.
"Ἐὰν δώσῃ σοι ὁ θεὸς ἃ θέλεις," λέγει Μωϋσῆς
ὁριζόμενος· μὴ δόντος γὰρ οὐχ ἕξεις, ἐπεὶ πάντα
αὐτοῦ κτήματα καὶ τὰ ἐκτὸς, καὶ τὸ σῶμα καὶ ἡ
αἴσθησις, καὶ ὁ λόγος καὶ ὁ νοῦς, καὶ αἱ πάντων
ἐνέργειαι καὶ οὐσίαι· καὶ οὐ σὺ μόνος, ἀλλὰ καὶ ὅδε
ὁ κόσμος, καὶ ὅ τι ἂν ἀποτέμνῃ καὶ διαιρῇ, τοῦτο
ἀλλότριον εὑρήσεις. Καὶ γὰρ γῆν καὶ ὕδωρ καὶ πνεῦ-
μα, καὶ οὐρανὸν καὶ ἀστέρας, καὶ ζώων καὶ φυτῶν
ἀφθάρτων τε καὶ φθαρτῶν ἰδέας ἁπάσας οὐκ ἴδια 147
κέκτηται, ὥςτε, ὅ τι ἂν αὐτῶν ἱερείου τρόπον προς- P.
άγῃ, τὸ θεοῦ προςάξῃ κτῆμα, οὐ τὸ ἑαυτοῦ.

§. 30. Παρατήρει δὲ, ὡς πάνυ εὐαγῶς ἀπὸ τῶν
δοθέντων ἀφελεῖν διείρηται, οὐχ ὅλα προςάγειν τὰ
δοθέντα. Μυρία γὰρ ἡμῖν ἡ φύσις ἐπιβάλλοντα ἀν-
θρώπων γένει δεδώρηται, ὧν ἀμέτοχος ἁπάντων ἐστὶν
αὐτή· γέννησιν, ἀγέννητος οὖσα· τροφὴν, τροφῆς οὐ
δεομένη· αὔξησιν, ἐν ὁμοίῳ μένουσα· τὰς κατὰ χρό-
νον ἡλικίας, ἀφαίρεσιν ἢ πρόςθεσιν οὐκ ἐπιδεχομένη·
σῶμα ὀργανικὸν, ὃ λαβεῖν οὐ δύναται· προελθεῖν,
ἰδεῖν, ἀκοῦσαι, προςενέγκασθαι τροφὴν, τὴν ἐξι-

*) Num. 23, 19.

κμασθεῖσαν ἀποπέμψασθαι πάλιν, ἀτμῶν ἐπικρῖναι διαφορὰς, λόγῳ χρήσασθαι, γέλωτα. Πολλὰ καὶ ἄλλα τῶν εἰς ἀναγκαίας ἅμα καὶ ὠφελίμους ὑπηρεσίας ἔνεστιν· ἀλλὰ ταῦτα μὲν ἀδιάφορα ἄν τις εἴποι, τὰ δὲ ὁμολογούμενα ἀγαθὰ δεῖν ἀνῆφθαι τὴν φύσιν. Φέρε δ᾽ οὖν ἐξετάσωμεν καὶ τῶν πρὸς ἀλήθειαν ἀγαθῶν τὰ μάλιστα παρ᾽ ἡμῖν θαυμαζόμενα, ὧν ἁπάντων μὲν τυχεῖν κατὰ καιροὺς τοὺς ἁρμόζοντας εὐχόμεθα, τυχόντες δὲ εὐδαιμονέστατοι νομιζόμεθα. Τίς οὖν ἀγνοεῖ ὅτι εὐγηρία καὶ εὐθανασία μέγιστα τῶν ἀνθρωπίνων ἀγαθῶν ἐστιν; Ὧν οὐδετέρου κοινωνὸς ἡ φύσις, ἀγήρως τε καὶ ἀθάνατος
183 οὖσα. Καὶ τί παράδοξον, εἰ τὸ ἀγέννητον γεννη-
M. τῶν ἀγαθοῖς οὐκ ἀξιοῖ προσχρῆσθαι, ὁπότε καὶ τὸ γενόμενον αὐτὸ κατὰ τὰς τῶν ἰδεῶν εἰς ἃς τέμνεται διαφορὰς, ἀνομοίων μεταποιεῖται ἀρετῶν; Ἄνδρες γοῦν οὐ γυναιξὶν, οὐδὲ γυναῖκες ἀνδράσιν ἁμιλλήσαιντ᾽ ἂν, περὶ ὧν μόνοις τοῖς ἑτέροις ἁρμόττει προσεῖναι· ἀλλ᾽ αἱ μὲν γυνάνδρων εἰ ζηλώσαιεν τὰ ἀνδρῶν, οἱ δὲ ἀνδρογύνων, εἰ τοῖς γυναικῶν ἐπίθοιντο ἐπιτηδεύμασι, δύσκλειαν οἴσονται. Ἐνίας δὲ ἀρετὰς οὐχ ἡ φύσις οὕτω διακέκρικεν, ὡς μηδὲ ἐξ ἐπιτηδεύσεως εἰς κοινωνίαν ἀχθῆναι δύνασθαι; Τὸ γοῦν σπείρειν καὶ γεννᾶν κατὰ ἀρετὴν ἀνδρῶν ἴδιον, οὐκ ἂν εὕροι τοῦτό γε γυνή· καὶ μὴν ἀγαθὸν οὖσαν γυναικῶν εὐτοκίαν ἀνδρῶν οὐ δέχεται φύσις. Ὥςτε οὐδὲ τὰ ὅσα ἀνθρώποις ἐπὶ θεοῦ κυριολογεῖται, κατάχρησις δὲ ὀνομάτων ἐστὶ παρηγοροῦσα τὴν ἡμετέραν ἀσθένειαν. Ἀφελεῖς οὖν, ὦ ψυχὴ, πᾶν γεννητὸν, θνητὸν, μεταβλητὸν, βέβηλον, ἀπὸ ἐννοίας τῆς περὶ θεοῦ τοῦ ἀγεννήτου, καὶ ἀφθάρτου, καὶ ἀτρέπτου, καὶ ἁγίου, καὶ μόνου μακαρίου.

§. 31. Τὸ δὲ „παντὸς διανοίγοντος μήτραν τὰ ἀρσενικὰ τῷ κυρίῳ“ *) φυσικώτατον θύειν. Ὡς-

*) Exod. 13, 12 sq.

περ γὰρ ταῖς γυναιξὶ πρὸς ζώων γένεσιν οἰκειότατον μέρος ἡ φύσις ἔδωκε μήτραν, οὕτω πρὸς γένεσιν πραγμάτων ὥρισεν ἐν ψυχῇ δύναμιν, δι' ἧς κυοφο- 148
ρεῖ καὶ ὠδίνει καὶ ἀποτίκτει πολλὰ διάνοια. Τῶν δὲ P.
ἀποκυομένων νοημάτων τὰ μὲν ἄῤῥενα τὰ δὲ θήλεα, καθάπερ ἐπὶ ζώων, εἶναι συμβέβηκε. Θῆλυ μὲν οὖν ἔγγονον ψυχῆς ἐστι κακία καὶ πάθος, οἷς καθ' ἕκαστον τῶν ἐπιτηδευμάτων ἐκθηλυνόμεθα· ἄῤῥεν δὲ εὐπάθεια καὶ ἀρετὴ, ὑφ' ὧν ἐγειρόμεθα καὶ ῥωννύμεθα. Τούτων δὲ τὴν μὲν ἀνδρωνῖτιν ἅπασαν ἀνιερωτέον θεῷ, τὴν δὲ γυναικωνῖτιν ἀπονεμητέον ἑαυτοῖς. Διὸ καὶ προςτέτακται, "Πᾶν διανοῖγον μήτραν, τὰ ἀρσενικὰ τῷ κυρίῳ."

§. 32. Ἀλλὰ καὶ "Παντὸς," φησὶ, "διανοίγοντος μήτραν ἐκ τῶν βουκολίων ἐν τοῖς κτήνεσιν ὅσα ἂν γένηταί σοι τὰ ἀρσενικὰ τῷ κυρίῳ." *) Εἰπὼν περὶ τῶν τοῦ ἡγεμονικοῦ γεννημάτων, ἄρχεται διδάσκειν καὶ περὶ τῶν τοῦ ἀλόγου, ὅπερ αἱ αἰσθήσεις κεκλήρωνται, ἃς κτήνεσιν ἀπεικάζει θρεμμάτων, ὅσα ἐν βουκολίοις ἀνατρέφεται, τιθασσὰ καὶ χειροήθη, ἅτε ὑπὸ ἐπιστάτου φροντίδος ἀγόμενα, βουκόλου. Τὰ μὲν γὰρ ἄφετα καὶ ἀπελευθεριάζοντα ἐρεμίᾳ τοῦ πραΰναντος ἐξαγριαίνεται· ὧν δὲ ἡγεμόνες, αἰπόλοι, βουκόλοι, νομεῖς, τῶν καθ' ἕκαστον εἶδος ἐπιστάται ζώων, ταῦτ' ἐξ ἀνάγκης ἡμεροῦται. Πέ-
184 φυκεν οὖν καὶ τὸ αἰσθήσεων γένος τῇ μὲν ἀτίθασ-
M. σον, τῇ δὲ εἶναι χειρόηθες. Ἀτίθασσον μὲν οὖν, ὅταν ἀφηνιάσαν ὥςπερ βουκόλου τοῦ νοῦ, φέρηται πρὸς τὰ ἐκτὸς ἀλόγως αἰσθητά· ἥμερον δὲ, ὅταν ὑπείξαν πειθηνίως τῷ τοῦ συγκρίματος ἡγεμόνι λογισμῷ, κυβερνᾶταί τε καὶ ἡνιοχῆται πρὸς αὐτοῦ. Ὅσα μὲν οὖν ἂν ἴδῃ ἢ ἀκούσῃ, ἢ συνόλως αἴσθηται κατὰ τὴν ἐπικέλευσιν τοῦ νοῦ, πάντα ἐστὶν ἄῤῥενα, καὶ τέλεια, προςγίνεται γὰρ ἑκάστῳ τὸ εὖ· ὅσα δὲ χω-

---

*) Exod. 13, 12 sq.

ρὶς ἡγεμόνος, ὑπὸ ἀναρχίας, ὥςπερ πόλιν, τὸ σῶμα ἡμῶν διόλλυσι. Πάλιν οὖν καὶ τῶν αἰσθήσεων τὰς μὲν ἑπομένας τῷ νῷ κινήσεις, αἵπερ ἐξ ἀνάγκης ἀμείνους εἰσὶ, λογιστέον κατὰ θεὸν συμβαίνειν· τὰς δὲ ἀφηνιαζούσας ἀναθετέον αὐτοῖς, ἀλόγως ὑπὸ τῆς τῶν ἐκτὸς αἰσθήσεων φορᾶς ἀγομένοις.

§. 33. Ἀλλ᾽ οὐ μόνον ἀπὸ τούτων, ἀλλὰ καὶ ἀπὸ τοῦ φυράματος ὅλου προςτέταχεν ἀφαιρεῖν. Ἡ δὲ πρόςταξίς ἐστι τοιάδε, „Καὶ ἔσται ὅταν ἐσθίητε ἀπὸ τῶν καρπῶν τῆς γῆς, ἀφελεῖτε ἀφαίρεμα ἀφόρισμα κυρίῳ· ἀπαρχὴν φυράματος ὑμῶν ἄρτον, ἀφαίρεμα ἀφελεῖτε αὐτό· ὡς ἀφαίρεμα ἀπὸ ἅλωνος, οὕτως ἀφελεῖτε αὐτό." *) Τὸ τοίνυν φύραμα κυρίως, εἰ χρὴ τὸ ἀληθὲς λέγειν ἡμεῖς ἐσμεν αὐτοὶ, συμπεφορημένων καὶ συγκεκριμένων πλείστων οὐσιῶν, ἵνα ἀποτελεσθῶμεν. Ψυχρὸν γὰρ θερμῷ, καὶ ξηρὸν ὑγρῷ, δυνάμεις ἐναντίας, μίξας καὶ ἀνακερασάμενος ὁ ζωοπλάστης, ἓν ἐκ πασῶν ἕκαστον ἡμῶν ἀπειργάσατο συμφόρημα, ἀφ᾽ οὗ καὶ φύραμα εἴρηται. Τούτου 149 P. τοῦ συμφορήματος, ὃ ψυχὴ καὶ σῶμα, δύο τὰ ἀνωτάτω τμήματα, κεκλήρωται, ὧν τὰς ἀπαρχὰς ἀνιερωτέον. Ἀπαρχαὶ δέ εἰσιν, ἅγιαι κινήσεις αἱ κατ᾽ ἀρετὴν ἑκατέρου, διὸ καὶ ἅλῳ παραβέβληται. Καθάπερ οὖν ἐν τῇ ἅλῳ εἰσὶ πυροὶ καὶ κριθαὶ, καὶ ὅσα τοιαῦτα καθ᾽ ἑαυτὰ χωρίζεται, ἀθέρες δὲ καὶ ἄχυρα, καὶ εἴ τις ἄλλος φορυτὸς ἑτέρωσε σκίδναται· οὕτω καὶ παρ᾽ ἡμῖν τὰ μέν ἐστιν ἄριστα καὶ ὠφέλιμα καὶ τὰς ἀληθεῖς τροφὰς παρέχοντα, δι᾽ ὧν ὁ ὀρθὸς ἀποτελεῖται βίος, ἅπερ ἀναθετέον θεῷ· τὰ δ᾽ ἄλλα ὅσα μὴ θεῖα ὑπολειπτέον, ὥςπερ σκύβαλα, γένει τῷ θνητῷ. Ἀπὸ μὲν οὖν τῶν τοιούτων ἀφαιρετέον· εἰσὶ δὲ δυνάμεις ἀμιγεῖς κακίας ὅλαι δι᾽ ὅλων, ἃς οὐ θέμις ἀκρωτηριάζειν διαιροῦντας, ἐοικυῖαι ταῖς ἀμερίστοις θυσίαις, ὁλοκαυτώμασιν· ὧν ἐναργὲς πα-

---

*) Num. 15, 19.

ράδειγμα Ἰσαὰκ, ὃν ἱερείου τρόπον ἀνάγειν προστέ-
185 τακται, μηδενὸς πάθους φθοροποιοῦ μεμοιρασμέ-
M. νον. Λέγεται δὲ καὶ δι' ἑτέρων, „Τὰ δόματά μου, δῶρά μου, καρπώματά μου διατηρήσετε προςφέρειν ἐμοὶ ἐν ταῖς ἑορταῖς μου," οὐκ ἀφαιροῦντας, οὐδὲ διανέμοντας, ἀλλ' ἔμπλεα καὶ ὁλόκληρα καὶ τέλεια προςάγοντας. Ἑορτὴ γὰρ ψυχῆς ἡ ἐν ἀρεταῖς εὐφροσύνη τελείαις· τέλειαι δὲ αἱ κηλίδων ἀμέτοχοι ὅσας τὸ ἀνθρώπινον γένος χωρεῖ. Μόνος δὲ ἑορτάζει τὴν τοιαύτην ἑορτὴν ὁ σοφὸς, τῶν δ' ἄλλων οὐδείς· ἄγευστον γὰρ παθῶν ἢ κακιῶν ψυχὴν εὑρεῖν σπανιώτατον.

§. 34. Ἀποδοὺς οὖν τὸν περὶ τῶν μερῶν τῆς ψυχῆς ἡγεμονικοῦ τε καὶ ὑπηκόου λόγον, καὶ τί ἐστιν ἐν ἑκατέρῳ ἄῤῥεν ἢ θῆλυ, μετὰ ταῦτα περὶ σώματος ἀκολούθως ἐκδιδάσκει. Σαφῶς γὰρ εἰδὼς, ὅτι δίχα πόνου καὶ ἐπιμελείας οὐχ οἷόν τε γενεᾶς τῆς ἄῤῥενος ἐπιλαχεῖν, φησὶν ἑξῆς, „Πᾶν διανοῖγον μήτραν ὄνου, ἀλλάξεις προβάτῳ," *) ἴσον τῷ, πάντα πόνον ἀντικαταλλάττου προκοπῆς. Πόνου μὲν γὰρ ὄνος, τλητικὸν γὰρ τὸ ζῶον, προκοπῆς δὲ, πρόβατον, ὡς καὶ αὐτὸ δηλοῖ τὸ ὄνομα, σύμβολόν τι ὂν ἐπὶ τῆς τῶν τεχνῶν καὶ ἐπιτηδευμάτων καὶ τῶν ἄλλων ὅσα διδακτὰ μελέτης, μὴ ὀλιγώρως μηδὲ ῥαθύμως, ἀλλὰ μετὰ φροντίδος τῆς πάσης παρεσκευακότα τὴν σαυτοῦ διάνοιαν ὑποστῆναι καρτερῶς πάντα κάματον, καὶ σπουδάσαι μὴ ὑπὸ ἀμελοῦς κατασχεθῆναι πόνου, προκοπὴν δὲ καὶ βελτίωσιν ἐπὶ τὸ εὐκλεέστατον ἄγοντα τέλος εὑρέσθαι· προκοπῆς γὰρ χάριν οἰστὸς ὁ πόνος. Ἐὰν δὲ ἄρα σὺ μὲν ἀναδέχῃ
τὸν ἐκ τοῦ πονεῖν κάματον, ἡ δὲ φύσις μηδὲν ἐπι- 150
διδῷ πρὸς τὸ ἄμεινον, ἐναντιουμένη ταῖς ἐκ προκο- P.
πῆς βελτιώσεσι, μετατρεπόμενος ἠρέμει· χαλεπὸν γὰρ ἐναντιοῦσθαι φύσει. Διὸ καὶ προστίθησιν, „Ἐὰν δὲ,"

*) Exod. 13, 13.

φησὶ, "μὴ ἀλλάξῃς, λυτρώσῃ αὐτό."*) Ὅπερ ἐστὶν, ἐὰν δὲ μὴ δύνῃ προκοπὴν ἀλλάξασθαι τοῦ πονεῖν, μέθες καὶ τὸν πόνον· τὸ γὰρ λυτρώσασθαι τοιοῦτον ὑποβάλλει νοῦν, ἐλευθερῶσαι τὴν ψυχὴν ἀνηνύτου καὶ ἀτελοῦς φροντίδος.

§. 35. Λέγω δὲ ταῦτα οὐ περὶ τῶν ἀρετῶν, ἀλλὰ περὶ τῶν μέσων τεχνῶν καὶ τῶν ἄλλων ἀναγκαίων, περί τε σώματος ἐπιμέλειαν καὶ τὴν τῶν ἐκτὸς περιουσίαν ὅσα πραγματεύονται. Ἐπεὶ δὲ ὅ γε περὶ
186 ἀγαθῶν καὶ καλῶν τελείων πόνος, καὶ ἂν ὑστερίζῃ
M. τοῦ τέλους, ἱκανὸς ἐξ αὐτοῦ προωφελῆσαι τοὺς χρωμένους, τὰ δὲ ὅσα ἐκτὸς ἀρετῆς, ἐὰν μὴ προςγένηται τὸ πέρας, ἀνωφελῆ πάντα. Ὥςπερ ἐπὶ ζώων, ἐὰν ἀφέλῃς κεφαλὴν, οἴχεται τὰ πάντα· κεφαλὴ δὲ πραγμάτων ἐστὶ τὸ τέλος αὐτῶν, ἃ ζῇ μὲν τρόπον τινὰ ἐφαρμοζομένου, θνήσκει δὲ, ἐὰν ἐκτεμεῖν καὶ ἀκρωτηριάζειν ἐθελήσῃς. Ὥςτε καὶ ἀθληταὶ μὴ δυνάμενοι νικηφορεῖν, ἀεὶ δὲ ἡττώμενοι, καταλυέτωσαν· καὶ εἴ τις ἔμπορος ἢ ναύκληρος θαλαττεύων ἐπαλλήλοις κακοπραγίαις χρῆται, μετατρεπόμενος ἠρεμείτω. Ὅσοι τε τὰς μέσας ἐπιτηδεύσαντες τέχνας μηδὲν ἠδυνήθησαν διὰ σκληρότητα φύσεως μάθημα παραδέξασθαι, ἐπαινετοὶ καταλύοντες· οὐ γὰρ ἕνεκα ἀσκήσεως ἀσκεῖται τὰ τοιαῦτα, ἀλλὰ τοῦ πρὸς ὃν ἀναφέρεται σκοποῦ. Ἐὰν οὖν ἐμποδοστατῇ πρὸς ἀμείνους ἐπιδόσεις ἡ φύσις, μὴ ἀνόνητα ἀντιτείνωμεν, συμπραττούσης δὲ, ἀπαρχαῖς καὶ τιμαῖς γεραίρωμεν τὸ θεῖον, αἳ λύτρα τῆς ἡμετέρας ψυχῆς εἰσι, δεσποτῶν ἀνημέρων αὐτὴν ἀπαλλάττουσαι, καὶ εἰς ἐλευθερίαν ἐξαιρούμεναι.

§. 36. Καὶ γὰρ τοὺς Λευΐτας ὁμολογεῖ Μωϋσῆς τοὺς ἀντὶ τῶν πρωτοτόκων γενομένους θεραπευτὰς τοῦ μόνου ἀξίου θεραπεύεσθαι, λύτρα τῶν ἄλλων ἁπάντων εἶναι. "Καὶ ἐγὼ γὰρ," φησὶν, "ἰδοὺ

---

*) Exod. 13, 13.

εἴληφα τοὺς Λευΐτας ἐκ μέσου υἱῶν Ἰσραὴλ, ἀντὶ παντὸς πρωτοτόκου διανοίγοντος μήτραν παρὰ τῶν υἱῶν Ἰσραὴλ λύτρα αὐτῶν ἔσονται, καὶ ἔσονται ἐμοὶ οἱ Λευῖται· ἐμοὶ γὰρ πᾶν πρωτότοκον, ἐν ἡμέρᾳ ᾗ ἐπάταξα πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, ἡγίασα ἐμοὶ πᾶν πρωτότοκον Ἰσραήλ." *) Ὁ πεφευγὼς ἐπὶ τὸν θεὸν καὶ ἱκέτης αὐτοῦ γεγονὼς λόγος, ὀνομάζεται Λευΐτης, τοῦτον ἐκ τοῦ μεσαιτάτου καὶ ἡγεμονικωτάτου τῆς ψυχῆς λαβὼν, τουτέστι προςλαβόμενος καὶ προςκληρώσας ἑαυτῷ, τῆς τῶν πρεσβείων ἠξίωσε μερίδος· ὥςτε ἐνθένδε δῆλον εἶναι, ὅτι ὁ μὲν Ῥουβὶν τοῦ Ἰακὼβ, ὁ δὲ Λευῒ τοῦ Ἰσραὴλ πρωτότοκός ἐστιν, ὁ μὲν τὰ χρόνου, ὁ δὲ τὰ ἀξιώ- 151
ματος καὶ δυνάμεως φερόμενος πρεσβεῖα. Πόνου P.
μὲν γὰρ καὶ προκοπῆς ὢν Ἰακὼβ σύμβολον, τοῦ εὐφυοῦς ἀρχὴ, καθ' ὃ ὁ Ῥουβὶν νοεῖται· θεωρίας δὲ τῆς τοῦ μόνου σοφοῦ, καθ' ἣν Ἰσραὴλ τέτακται, πηγὴ, τὸ θεραπευτικῶς ἔχειν αὐτοῦ· θεραπείας δὲ ὁ Λευΐτης ἐστὶ σημεῖον. Καθάπερ οὖν τῶν Ἡσαῦ
187 πρωτοτοκίων κληρονόμος Ἰακὼβ ἀνευρίσκεται, τῆς
M. περὶ κακίας σπουδῆς ἡττωμένης πρὸς τοῦ καλοῦ πόνου· οὕτω καὶ τὰ Ῥουβὶν πρεσβεῖα, τοῦ εὐφυοῦς, ὁ κεχρημένος ἀρετῇ τελείᾳ Λευῒ οἴσεται. Τῆς δὲ τελειότητος δεῖγμα ἐναργέστερον, πρόςφυγα γενέσθαι θεοῦ, καταλιπόντα τὴν τῶν ἐν γενέσει πραγματείαν.

§. 37. Ταῦτά ἐστι τὰ, κυρίως εἰπεῖν, ψυχῆς ἐλευθερίας ἐφιεμένης σῶστρα καὶ λύτρα. Μήποτε δὲ καὶ δόγμα εἰςηγεῖται σφόδρα ἀναγκαῖον; Ὅτι πᾶς σοφὸς λύτρον ἐστὶ τοῦ φαύλου, μηδ' ἂν πρὸς ὀλίγον χρόνον ἐξαρκέσαντος, εἰ μὴ ἐλέῳ καὶ προμηθείᾳ χρώμενος ἐκεῖνος προενόει τῆς διαμονῆς αὐτοῦ. Καθάπερ ἰατρὸς τοῦ νοσοῦντος ἀντιτεταγμένος τοῖς ἀῤῥωστήμασι, καὶ ἢ πρᾳότερα κατασκευάζων αὐτὰ, ἢ

*) Lev. 3, 12.

συνόλως ἀναιρῶν, εἰ μήπου μετὰ φορᾶς ἀνεπισχέτου
βιασαμένης, καὶ τὴν τῆς θεραπείας ὑπερβάλλοι
φροντίδα. Οὕτω γὰρ ἂν καὶ Σόδομα φθείρεται,
μηδενὸς οἷα ἐπὶ πλάστιγγος ἀμυθήτῳ πλήθει κακῶν
ἀντιῤῥέψαι δυνηθέντος ἀγαθοῦ· ὡς εἴ γε ὁ πεντη-
κοστὸς λόγος εὑρέθη, καθ᾽ ὃν ἄφεσις ψυχικῆς δου-
λείας καὶ παντελὴς ἐλευθερία προκηρύττεται, ἢ τις
τῶν μετ᾽ αὐτὸν ἀριθμῶν, οὓς ὁ σοφὸς Ἀβραὰμ κα-
ταλέγει, μέχρι τῆς κατὰ παιδείαν ὁρίζων δεκάδος
τὴν ὕφεσιν, οὐκ ἂν οὕτως ἀκλεῶς ὁ νοῦς ἐφθάρη.
Πειρᾶσθαι μέντοι γε δεῖ καὶ τοὺς μὴ πάντως ὑπὸ
τῆς ἐν αὐτοῖς διαφθαρησομένους κακίας, ὡς οἷόν τε
διασώζειν· μιμουμένους τοὺς ἀγαθοὺς τῶν ἰατρῶν,
οἳ καὶ ἂν ὁρῶσιν ἀδύνατον τοῖς κάμνουσι τὸ σώζε-
σθαι, προςφέρουσι τὴν θεραπείαν ὅμως ἄσμενοι,
τοῦ μὴ τῇ παρ᾽ αὐτοὺς ὀλιγωρίᾳ δοκεῖν συμβῆναί
τι τῶν παρὰ γνώμην. Εἰ δέ τι καὶ μικρὸν ὅσον
ὑγείας σπέρμα ἐμφαίνοιτο, τοῦτο ὥςπερ ἐμπύρευμα
πάσαις ἐπιμελείαις ζωπυρητέον· ἐλπὶς γὰρ μηκυν-
θέντος καὶ αὐξηθέντος, ἀμείνονι καὶ ἀπταιστοτέρῳ
χρήσασθαι βίῳ. Ἔγωγ᾽ οὖν ὅταν τινὰ τῶν σπου-
δαίων διαιτώμενον κατ᾽ οἰκίαν, ἢ κατὰ πόλιν θεά-
σωμαι, τὴν οἰκίαν ἢ τὴν πόλιν ἐκείνην εὐδαιμονίζω,
καὶ οἴομαι τήν τε τῶν παρόντων ἀγαθῶν ἀπόλαυ-
σιν βέβαιον, καὶ τὴν ἀπόντων προςδοκίαν τελεςφο-
ρουμένην σχήσειν, τοῦ θεοῦ τὸν ἀπεριόριστον καὶ
ἀπερίγραφον πλοῦτον αὐτοῦ διὰ τοὺς ἀξίους καὶ τοῖς
ἀναξίοις δωρουμένου. Καὶ εὔχομαι ὡς πολυχρονιω- 152
τάτους αὐτοὺς, ἐπειδὴ ἀγήρως οὐκ ἔστι, γενέσθαι, P.
νομίζων ἐπὶ τοσοῦτον παραμένειν ἀνθρώποις τὰ ἀ-
188 γαθὰ, ἐφ᾽ ὅσον ἂν οὗτοι χρόνον ζῆν δυνηθῶσι τὰ
M. καλά. Ὅταν οὖν ἴδω ἢ ἀκούσω τινὰ αὐτῶν τεθνεῶ-
τα, σφόδρα κατηφῶ καὶ ἄχθομαι, καὶ οὐ μᾶλλον
αὐτοὺς, ἢ τοὺς ζῶντας ὀλοφύρομαι. Τοῖς μὲν γὰρ
ἀκολουθίᾳ φύσεως τὸ ἀναγκαῖον ἀποβῆναι τέλος,
βίον μὲν εὐδαίμονα, εὐκλεᾶ δὲ θάνατον ἐνδειξαμέ-

νοις· τοὺς δὲ ἐρήμους μεγάλης καὶ δυνατῆς χειρὸς δι' ἣν ἐσώζοντο, ἀπολειφθέντας, ταχὺ δὴ μάλα τῶν ἰδίων αἰσθήσεσθαι κακῶν, εἰ μὴ πάλιν ἀντὶ τῶν προτέρων ἡ φύσις, ὥςπερ δένδρῳ τοὺς ἤδη πεπανθέντας καρποὺς ἀποβαλόντι, νέους ἑτέρους ἀναβλαστῆσαι παρασκευάσει, πρὸς τροφὴν καὶ ἀπόλαυσιν τῶν χρῆσθαι δυναμένων. Ὥςπερ οὖν τῶν πόλεων τὸ ὀχυρώτατον εἰς διαμονὴν ἄνδρες εἰσὶν ἀγαθοὶ, οὕτω καὶ τῆς περὶ ἕκαστον ἡμῶν πόλεως, ἣ συνέστηκεν ἐκ ψυχῆς καὶ σώματος, τὸ βεβαιότατον εἰς ἵδρυσιν ἔλαχον οἱ φρονήσεως καὶ ἐπιστήμης ἐρασταὶ λόγοι· οὓς ὁ νομοθέτης μεταφορᾷ χρώμενος, λύτρα καὶ πρωτοτόκους καλεῖ, δι' ἃς εἶπον αἰτίας ἤδη. Ταύτῃ καὶ τὰς πόλεις τῶν Λευϊτῶν λυτρωτὰς διὰ παντὸς εἶναί φησιν, ὅτι ὁ θεοῦ θεραπευτὴς αἰώνιον ἐλευθερίαν κεκάρπωται, κατὰ τὰς συνεχεῖς τροπὰς τῆς ἀεικινήτου ψυχῆς, ἰάσεις δεχόμενος ἐπαλλήλους. Τὸ γὰρ λυτρωτὰς μὴ ἅπαξ, ἀλλὰ διὰ παντὸς, ὥς φησι, γενέσθαι, τοιοῦτον ὑποβάλλει νοῦν· ἀεὶ μὲν τρέπεσθαι, ἀεὶ δὲ ἐλευθεροῦσθαι· τῆς μὲν τροπῆς διὰ τὸ φύσει θνητὸν ἐγγινομένης, τῆς δὲ ἐλευθερίας διὰ τὴν τοῦ θεοῦ θεραπείαν ἐπιγινομένης.

§. 38. Ἄξιον δὲ μὴ παρέργως σκέψασθαι, τί δήποτε τὰς πόλεις τῶν Λευϊτῶν ἀνῆκε τοῖς φυγάσι, τοῖς ἱερωτάτοις καὶ τοὺς ἀνιέρους εἶναι δοκοῦντας συνοικεῖν ἀξιώσας. Οὗτοι δ' εἰσὶν οἱ τὸν ἀκούσιον φόνον δράσαντες. Λεκτέον οὖν πρῶτον μὲν τὸ ἀκόλουθον τῷ πάλαι ῥηθέντι, ὅτι σπουδαῖος τοῦ φαύλου λύτρον· ὥςτε εἰκότως πρὸς τοὺς ἱερωμένους οἱ διαμαρτόντες ἀφίξονται, τοῦ καθαρθῆναι χάριν. Ἐπειθ' ὅτι φυγάδας οἱ Λευῖται προςίενται, καὶ αὐτοὶ δυνάμει φυγάδες ὄντες. Ὡς γὰρ ἐκεῖνοι τῶν πατρίδων ἐλαύνονται, οὕτω καὶ οὗτοι καταλελοίπασι τέκνα, γονεῖς, ἀδελφοὺς, τὰ οἰκειότατα καὶ φίλτατα, ἵν' ἀντὶ θνητοῦ· τὸν ἀθάνατον κλῆρον εὕρωνται. Διαφέρουσι δὲ, ὅτι ἐκείνοις μὲν ἀβούλητος ἡ φυγὴ

δι᾽ ἔργον ἀκούσιον, τούτοις δὲ ὁ δρασμὸς ἑκούσιος
δι᾽ ἔρωτα τῶν ἀρίστων. Καὶ ὅτι τοῖς μὲν οἱ Λευΐ-
ται καταφυγὴ, τοῖς δὲ Λευΐταις ὁ πάντων ἡγεμὼν
189 ἐστιν, ἵν᾽ οἱ μὲν ἀτελεῖς νόμον ἔχωσι τὸν ἱερὸν λό- 153
M. γον, οὗτοι δὲ τὸν ᾧ ἱεροῦνται θεόν. Ἔτι γε μὴν οἱ P.
τὸν ἀκούσιον φόνον δράσαντες τὰς αὐτὰς τοῖς Λευΐ-
ταις πόλεις ἔλαχον οἰκεῖν, ὅτι καὶ οὗτοι διὰ φόνον
ὅσιον προνομίας ἠξιώθησαν. Ὅτε γοῦν ἡ ψυχὴ τρα-
πεῖσα τὸν Αἰγύπτιον θεὸν, τὸ σῶμα, ὡς χρυσὸν
ἐξετίμησε, τόθ᾽ οἱ ἱεροὶ λόγοι πάντες αὐτοκέλευστοι
μεθ᾽ ὅπλων ὁρμήσαντες ἀμυντηρίων, τῶν κατ᾽ ἐπι-
στήμην ἀποδείξεων, ἡγεμόνα προστησάμενοι καὶ στρα-
τηγὸν τὸν ἀρχιερέα καὶ προφήτην καὶ φίλον τοῦ θεοῦ
Μωϋσῆν, πόλεμον ἀκήρυκτον ὑπὲρ εὐσεβείας πολε-
μοῦσι, καὶ οὐ πρότερον ἀπηλλάγησαν, ἢ πάντα τὰ
τῶν ἐναντιουμένων δόγματα καταλῦσαι· ὥςτε εἰκό-
τως σύνοικοι γεγόνασιν οἱ τὰς ὁμοίας καὶ μὴ τὰς αὐ-
τὰς πράξεις ἐργασάμενοι.

§. 39. Ἄιδεται δέ τις καὶ τοιοῦτος ὡς ἐν ἀποῤ-
ῥήτοις λόγος, ὃν ἀκοαῖς πρεσβυτέρων παρακατατί-
θεσθαι χρὴ, νεωτέρων ὦτα ἐπιφράξαντας. Τῶν γὰρ
περὶ τὸν θεὸν δυνάμεων ἀρίστων πασῶν μία οὖσα
ταῖς ἄλλαις ὁμότιμος ἡ νομοθετική — νομοθέτης
γὰρ καὶ πηγὴ νόμων αὐτὸς, ὑφ᾽ οὗ πάντες οἱ κατὰ
μέρος νομοθέται — διχῇ πέφυκε τέμνεσθαι, τῇ μὲν
εἰς εὐεργεσίαν κατορθούντων, τῇ δὲ εἰς κόλασιν ἁμαρ-
τανόντων. Τοῦ μὲν οὖν προτέρου τμήματος ὑπη-
ρέτης ὁ Λευΐτης ἐστί· τὰς γὰρ λειτουργίας ἁπάσας
ἀναδέχεται, ὅσαι πρὸς ἱερωσύνην ἀναφέρονται τε-
λείαν, καθ᾽ ἣν διανίσταται καὶ γνωρίζεται τὸ θνη-
τὸν θεῷ, ἢ δι᾽ ὁλοκαυτωμάτων, ἢ διὰ σωτηρίων,
ἢ διὰ μετανοίας ἁμαρτημάτων. Τοῦ δὲ ἑτέρου καὶ
κολαστηρίου τμήματος οἱ τὸν ἀκούσιον φόνον δρῶν-
τες ὑπηρέται γεγόνασι. Καὶ μαρτυρεῖ Μωϋσῆς φά-
σκων, "Ὁ δὲ οὐχ ἑκὼν, ἀλλ᾽ ὁ θεὸς παρέδωκεν αὐ-

τὸν εἰς τὰς χεῖρας αὐτοῦ," *) ὥςτε τὰς μὲν τούτου χεῖρας ὀργάνων τρόπον παραλαμβάνεσθαι· τὸν δὲ διὰ τούτων ἀοράτως ἐνεργοῦντα, ἕτερον εἶναι τὸν ἀόρατον. Συνοικείτωσαν οὖν δύο θεράποντες τῶν νομοθετικῆς ὑπηρέται δύο εἰδῶν· τοῦ μὲν πρὸς εὐεργεσίαν ὁ Λευΐτης, τοῦ δὲ πρὸς κόλασιν ὁ ἀκουσίως ἀνελών. "Ἐν ᾗ δὲ," φησὶν, "ἡμέρᾳ ἐπάταξα πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, ἡγίασά μοι πᾶν πρωτότοκον Ἰσραήλ." **) Οὐχ ἵνα τοῦθ' ὑποτοπήσωμεν, ὅτι κατ' ἐκεῖνον τὸν χρόνον καθ' ὃν ἐπλήγη τὴν μεγάλην πληγὴν φθορᾷ τῶν πρωτοτόκων Αἴγυπτος, οἱ Ἰσραὴλ πρωτότοκοι ἐγένοντο ἅγιοι· ἀλλ' ὅτι καὶ πάλαι καὶ νῦν καὶ αὖθις καὶ ἀεὶ τοῦτο συμβαίνειν ἐπὶ ψυχῆς πέφυκεν, ὅταν τὰ τοῦ τυφλοῦ πάθους ἡγεμονικώτατα διαφθαρῇ, τηνικαῦτα τὰ τοῦ
190 θεοῦ ὀξυδερκῶς ὁρῶντος πρεσβύτερα καὶ τίμια
M ἔκγονα γίνεται ἅγια. Κακίας γὰρ ἔξοδος ἀρετῆς εἴςοδον ἐργάζεται, ὡς καὶ τὸ ἐναντίον, ὑπεκστάντος 154
ἀγαθοῦ τὸ ἐφεδρεῦον κακὸν ἐπειςέρχεται. Ὅσον γε P.
οὐδέπω γοῦν ἐξῆλθεν Ἰακὼβ, ***) καὶ πάρεστιν ἐπὶ τὴν πανδεχῆ διάνοιαν Ἡσαῦ, ἀντὶ τῶν ἀρετῆς τύπων ἐνσφραγιούμενος κακίας, ἣν δύνηται, χαρακτῆρας· ἀλλ' οὐκ ἂν ἴσχυσε τοῦτ' ἐργάσασθαι. Πτερνισθεὶς γὰρ καὶ κλιθεὶς ὑπὸ τοῦ σοφοῦ λήσεται, φθάσαντος πρὶν ἢ παθεῖν ἀμύνασθαι.

§. 40. Προςάγει δ' οὐ μόνον ἀπὸ τῶν πρωτοτόκων τὰς ἀπαρχὰς, ἀλλὰ καὶ ἀπὸ τῶν στεάτων, ἐμφαίνων, ὅτι τὰ τῆς ψυχῆς γεγηθότα καὶ πίονα καὶ φυλακτικὰ χαρτὰ πάντα, τῷ θεῷ παραχωρητέον. Ὁρῶ δ' ἔγωγε καὶ ἐν ταῖς τῶν θυσιῶν διατάξεσι τρία προςτεταγμένα ἀναφέρειν ἀπὸ τῶν ἱερείων τὰ πρῶτα, στέαρ, καὶ νεφροὺς, καὶ λοβὸν ἥπατος, περὶ ὧν κατ' ἰδίαν λέξομεν· οὐδαμοῦ δὲ ἐγκέφαλον ἢ καρδίαν, ἅπερ εἰκὸς ἦν πρὸ τῶν ἄλλων καθαγνί-

*) Exod. 21, 13. — **) Exod. 13, 15. — ***) Gen. 27, 1 sqq.

ζεσθαι, εἴ γε καὶ κατὰ τὸν νομοθέτην ἐν τῷ ἑτέρῳ τούτων τὸ ἡγεμονικὸν ἀνωμολόγηται. Ἀλλὰ μήποτε ὁσίως πάνυ καὶ ἐκ περισκέψεως ἀκριβοῦς εἰς τὸν πιστὸν τοῦ θεοῦ βωμὸν οὐκ ἀνήνεγκεν; Ὅτι τὸ ἡγεμονικὸν κατὰ ἀμερὲς χρόνου διάστημα, πρὸς ἑκάτερον τό τε εὖ καὶ χεῖρον τροπὰς λαμβάνον, ἀλλάττοντας ἀεὶ τύπους δέχεται· τοτὲ μὲν καθαροῦ καὶ δοκίμου, τοτὲ δὲ παρακεκομμένου καὶ κιβδήλου νομίσματος. Τὴν δεδεγμένην οὖν χώραν ἄμφω τὰ μαχόμενα, καλόν τε καὶ αἰσχρὸν, καὶ πρὸς ἑκάτερον ᾠκειωμένην καὶ τὴν ἴσην τιμὴν ἀμφοτέροις ἀπονέμουσαν, οὐχ ἧττον ἄναγνον ἢ εὐαγῆ κρίνας ὁ νομοθέτης, ἀπὸ τοῦ θείου βωμοῦ κατεβίβασε· τὸ γὰρ αἰσχρὸν βέβηλον, τὸ δὲ βέβηλον πάντως ἀνίερον. Τοῦτο δὲ τὸ ἡγεμονικὸν διακεχώρικεν· εἰ δ᾽ ἐπίκρισιν πάσχοι, τηνικαῦτα πάντων τῶν μερῶν καθαρμένων, ἀκηλίδωτον ἄχραντον ὁλοκαυτωθήσεται. Νόμος γὰρ ὁλοκαυτωμάτων οὗτος, μηδὲν ἔξω τροφῆς σκυβάλων καὶ δέρματος ἃ σωματικῆς ἀσθενείας δείγματα οὐ κακίας ἐστὶν, ὑπολείπεσθαι τῷ γεννητῷ· τὰ δ᾽ ἄλλα ὅσα ψυχὴν ὁλόκληρον κατὰ πάντα τὰ μέλη παρέχεται, ὁλοκαυτοῦν θεῷ.

ΠΕΡΙ ΤΟΥ
ΤΟ ΧΕΙΡΟΝ
ΤΩι ΚΡΕΙΤΤΟΝΙ
ΦΙΛΕΙΝ ΕΠΙΤΙΘΕΣΘΑΙ.

ARGUMENTUM LIBRI
DE EO,
QUOD DETERIUS POTIORI
INSIDIARI SOLEAT.

(Cf. Gen. 4, 8 — 16.)

Campus, in quem Cainus Abelum venire hortatur, est signum contentionum boni et mali (1 et 2), quae sunt compescendae, ut et fratres Iosephi greges cogentes pascunt (3), et honesta potius discenda et exercenda, quorum fons est mens virtutis amans. Huic cogitationes sacrae divinitus immittuntur (4 et 5), dummodo, ut Iosephus, recedit e valle tenebrosa sensuum, quam significat Chebron (6). Illa tamen arte sunt ediscenda, non inscienter et obiter tractanda; aliter errabimus ut Iosephus. A recta quoque ad virtutem via declinant, qui in rebus tantum asceticis virtutem ipsam et pietatem quaerunt (7). Tales sunt cohortandi, ut sanam rationem sequantur. Isti vero etiam a conscientia monentur, ne in falsas opiniones delabantur (8 et 9). Contentio Abeli et Caini est pugna opinionum contrariarum, quarum altera, pia, cuncta refert ad deum, altera, impia, omnia repetit a semet ipsa (10). Sed pii male agunt, qui cum impiis, quorum plerumque summa est calliditas, con-

tendere conantur, quam ob rem Moyses etiam Aegyptios illos sophistas sibi concertatores dari recusavit (11 et 12); id enim soli pio disserendi facultate bene exercitato licet, velut Aaroni (13), alioquin pius rectius agit, si tacet, et ut Iacobus loco cedit, donec adversarii rabies remiserit (14). Nam etsi pius, Abel, ab impio, Caino, interfici se patitur, vivere tamen in deo, et interfector Cain non alterum, sed ipsum se interemisse putandus est, quia a Deo propter male factum punitur (15. 16). Cave putes, te deum celare posse, quae scis vel habes, ut Cainus; deus enim cuncta videt (17. 18); servare contra decet, quae exercitatione acquisivimus, id quod perfectus quisque facit; quam ob rem recte Cainus quoque fecisset, si Abelum l. virtutem custodivisset (19). Perperam igitur potiori Abelo Cainus deterior insidias struxit; vano quoque labore id quilibet eius similis facit (20); nam deus male facta in benedictionem convertit (21). Animâ, quae pars est numinis supremi (22—24), clamante ad deum, elevatio mentis ad cognoscendas et edicendas res divinas innuitur (25): sed si deum Caino, antequam caedem patravit, maledixisse audimus, docemur, cogitationes etiam mentis pravas poenae reas esse (26). Cohibenda igitur sunt ora sensuum, ne ut terra sanguinem Abeli suscipiant (27); id qui non facit terrae, ut Cainus, operatur, i. e. solarum rerum terrestrium curam habet (28—31), quae poenitentiam et timorem poenae efficit. Contra qui aeterna amat, ut Abel, spem animo concipit, quae est alimentum animarum virtutis amantium (32), qua e terra in coelum tollimur, ut gaudio aeterno replemur (33—38). Qui vero malefactorum sibi conscius est, precetur deum, ut puniatur; melius enim hoc, quam malae conscientiae cruciatibus obnoxium esse (39. 40); eiusmodi enim homini infelicissimo nusquam locus patet, quo requiescere possit, cum neque ex hac terra aliorsum nos conferre, neque deum fugere (41 et 42), neque summum iudicem irridere liceat; omnes enim, etiam soluti corpore terreno, in dei conspectum veniemus (43—45). Quam ob rem septem irrationalia (46), quae insunt animae nostrae, ratione duce pura servemus (47), et potius, quando nos excitant ad mala facienda, exscindamus, ne nos a recta quae ducit ad virtutem via deducant (48).

---

191 §. 1. « Καὶ εἶπε Κάϊν πρὸς Ἄβελ τὸν ἀδελφὸν 155
M. αὐτοῦ, διέλθωμεν ἐπὶ τὸ πεδίον· καὶ ἐγένετο ἐν τῷ P.

εἶναι αὐτοὺς ἐν τῷ πεδίῳ, ἀνέστη Κάϊν ἐπὶ Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀπέκτεινεν αὐτόν." *) Ὁ βούλεται Κάϊν τοιοῦτόν ἐστιν, ἐκ προκλήσεως τὸν Ἄβελ εἰς συζήτησιν ἀγαγὼν, εἰκόσι καὶ πιθανοῖς σοφίσμασιν ἑλεῖν ἀνὰ κράτος. Τὸ γὰρ πεδίον εἰς ὃ προτρέπεται παραγενέσθαι, σημεῖον ἁμίλλης καὶ διαμάχης εἶναί φαμεν, ἀπὸ τῶν προφανῶν τεκμαιρόμενοι περὶ τῶν ἀδήλων. Ὁρῶμεν γὰρ τοὺς πλείστους τῶν ἀγώνων κατά τε πόλεμον καὶ κατὰ εἰρήνην ἐν πεδίοις συνισταμένους. Ἐν εἰρήνῃ μὲν οὖν, ὅσοι τοὺς γυμνικοὺς ἄθλους διαθλοῦσι, στάδια καὶ λεωφόρα πεδία μεταδιώκουσι· κατὰ δὲ τὸν πόλεμον τὰς πεζομαχίας καὶ ἱππομαχίας οὐκ ἐν γεωλόφοις ἔθος ἐστὶ ποιεῖσθαι. Πλείους γὰρ ἐκ τῆς ἀνεπιτηδειότητος τῶν χωρῶν αἱ βλάβαι, ὧν ἀντεπιφέρουσιν ἀλλήλοις οἱ ἐχθροὶ, γένοιντ' ἄν.

§. 2. Σημεῖον δὲ μέγιστον, ὁ ἀσκητὴς τῆς ἐπιστήμης τὴν ἐναντίαν διάθεσιν πολεμῶν ἀμαθίαν, ὅταν τὰς ἐν ψυχῇ δυνάμεις ἀλόγους τρόπον τινὰ ποιμαίνῃ νουθετῶν καὶ σωφρονίζων, ἐν πεδίῳ θεωρεῖται. "Ἀποστείλας γὰρ Ἰακὼβ ἐκάλεσε Λείαν καὶ Ῥαχὴλ εἰς τὸ πεδίον, οὗ τὰ ποίμνια," **) παριστὰς
192 ἐναργῶς, ὅτι φιλονεικίας σημεῖον τὸ πεδίον ἐστί.
M. Καλεῖ δὲ αὐτὰς, "Ὁρῶ τὸ πρόσωπον τοῦ πατρὸς ὑμῶν," ἔφη, "ὅτι οὐκ ἔστι πρὸς ἐμὲ ὡς χθὲς, καὶ ὡς τρίτην ἡμέραν. ***) Ὁ δὲ θεὸς τοῦ πατρός μου ἦν μετ' ἐμοῦ." Διὰ τοῦτο γὰρ εἴποιμ' ἂν, ὁ Λάβαν οὐκ ἔστι πρὸς σοῦ, ὅτι μετὰ σοῦ ὁ θεός. Ἐν ᾗ μὲν γὰρ ψυχῇ τὸ ἐκτὸς αἰσθητὸν ὡς μέγιστον ἀγαθὸν τετίμηται, ἐν ταύτῃ λόγος ἀστεῖος οὐχ εὑρίσκεται· ᾗ δ' ἐμπεριπατεῖ ὁ θεὸς, τὸ ἐκτὸς αἰσθητὸν ὡς μέγιστον ἀγαθὸν οὐχ ὑπείληπται, καθ' ὃ νενόη-

---

*) Gen. 4, 8. — **) Gen. 31, 4. — ***) Gen. 31, 5.

ται καὶ προσηγόρευται Λάβαν. Καὶ ὅσοι δ' ἐν μέ-
ρει λόγου τοῦ προκόπτοντος κατὰ τὸν πατέρα κο- 156
σμοῦνται, τὰς ψυχῆς ἀλόγους φορὰς μεταδιδάσκου- P.
σιν, ἐκλεξάμενοι ἐπιτήδειον τόπον τὸ πεδίον. Λέγε-
ται γὰρ τῷ Ἰωσήφ, "Οὐχ οἱ ἀδελφοί σου ποιμαί-
νουσιν ἐν Συχέμ; Δεῦρο ἀποστείλω σε πρὸς αὐτούς.
Ὁ δὲ εἶπεν, ἰδοὺ ἐγώ. Εἶπε δὲ αὐτῷ, πορευθεὶς
ἴδε, εἰ ὑγιαίνουσιν οἱ ἀδελφοί σου καὶ τὰ πρόβατα,
καὶ ἀνάγγειλόν μοι. Καὶ ἀπέστειλεν αὐτὸν ἐκ τῆς
κοιλάδος τῆς Χεβρών, καὶ ἦλθεν εἰς Συχέμ· καὶ
εὗρεν αὐτὸν ἄνθρωπος πλανώμενον ἐν τῷ πεδίῳ.
Ἠρώτησε δὲ αὐτὸν ὁ ἄνθρωπος, τί ζητεῖς; Ὁ δὲ εἶ-
πε, τοὺς ἀδελφούς μου ζητῶ· ἀνάγγειλόν μοι ποῦ
βόσκουσιν. Εἶπε δὲ αὐτῷ ὁ ἄνθρωπος, ἀπήρκασιν
ἐντεῦθεν· ἤκουσα γὰρ αὐτῶν λεγόντων, πορευθῶ-
μεν εἰς Δωθαείμ." *)

§. 3. Ὅτι μὲν οὖν ἐν πεδίῳ τῶν ἐν αὐτοῖς ἀλόγων δυνάμεων ποιοῦνται τὴν ἐπιστασίαν, δῆλόν ἐστιν ἐκ τῶν εἰρημένων. Ὁ δὲ Ἰωσὴφ πέμπεται πρὸς αὐτούς, ἐπεὶ τὴν τοῦ πατρὸς ἐπιστήμην αὐστηροτέραν οὖσαν ἀδυνατεῖ φέρειν, ἵνα μάθῃ παρὰ τιθασσοτέροις ὑφηγηταῖς τὰ πρακτέα καὶ συνοίσοντα. Κέχρηται γὰρ δόγματι ἐκ διαφερόντων συνυφασμένῳ, πάνυ ποικίλῳ καὶ πολυπλόκῳ· παρ' ὃ καὶ "χιτῶνα κατεσκευάσθαι ποικίλον" **) φησὶν ὁ νομοθέτης αὐτῷ δηλονότι λαβυρινθώδους καὶ δυσεκλύτου δόξης ἐστὶν εἰσηγητής. Πρὸς γὰρ πολιτείαν μᾶλλον ἢ πρὸς ἀλήθειαν φιλοσοφῶν, τὰ τρία γένη τῶν ἀγαθῶν, τά τε ἐκτὸς, καὶ περὶ σῶμα, καὶ ψυχὴν, ὅλαις φύσεσιν ἀλλήλων διηρτημένα, εἰς τὸ αὐτὸ ἄγει καὶ συνείρει, — χρεῖον ἕκαστον ἑκάστου καὶ πάντα πάντων ἀποφαίνειν ἀξιῶν, — καὶ τὸ ἐξ ἀθρόων συντεθὲν ἄρτιον καὶ πλή-

*) Gen. 37, 12 sq. — **) Gen. 37, 3.

ρες ὄντως ἀγαθὸν, τὰ δὲ, ἐξ ὧν τοῦτο ἐπάγη, μέρη
193 μὲν ἢ στοιχεῖα ἀγαθῶν, ἀγαθὰ δὲ οὐκ εἶναι τέλεια.
M Καθάπερ γὰρ μήτε πῦρ, μήτε γῆν, μήτε τι τῶν τεττάρων, ἐξ ὧν ἐδημιουργήθη τὸ πᾶν, κόσμον εἶναι, τὴν δὲ τῶν στοιχείων εἰς ταὐτὸν σύνοδόν τε καὶ κρᾶσιν· τὸν αὐτὸν τρόπον καὶ τὸ εὔδαιμον, μήτε ἐν τοῖς ἐκτὸς ἰδίᾳ, μήτε ἐν τοῖς περὶ σῶμα, μήτε ἐν τοῖς περὶ ψυχὴν καθ᾽ αὑτὰ ἐξετάζεσθαι, — τῶν γὰρ εἰρημένων ἕκαστον μερῶν τινα καὶ στοιχείων λόγον ἔχει, — ἀλλὰ κατὰ τὸ ἐκ πάντων ἄθροισμα.

§. 4. Ταύτην οὖν τὴν δόξαν πέμπεται μεταδιδαχθησόμενος πρὸς ἄνδρας μόνον τὸ καλὸν ἀγαθὸν νομίζοντας, ὃ ψυχῆς ὡς ψυχῆς ἐστιν ἴδιον· τὰ δ᾽ ἐκτὸς περὶ σῶμα λεγόμενα, πλεονεκτήματα μόνον, οὐ πρὸς ἀλήθειαν ὄντα ἀγαθὰ, πεπιστευκότας.
«Ἰδοὺ γὰρ,» φησὶν, «οἱ ἀδελφοί σου ποιμαίνουσι,» 157
καὶ ἄρχουσι παντὸς ἀλόγου μέρους τῶν ἐν αὐτοῖς, P.
«ἐν Συχέμ·» **) ὦμος δὲ ἑρμηνεύεται, τλητικοῦ σημεῖον πόνου. Βαστάζουσι γὰρ ἄχθος μέγιστον οἱ φιλάρετοι, τὴν πρὸς σῶμα καὶ τὴν σώματος ἡδονὴν, καὶ πάλιν αὖ τὴν πρὸς τὰ ἐκτὸς καὶ τὰς ἀπ᾽ αὐτῶν γινομένας τέρψεις ἀντιπαράταξιν. «Δεῦρο οὖν, ἀποστείλω σε πρὸς αὐτοὺς,» **) τουτέστι, μετακλήθητι καὶ πρόσελθε τῇ διανοίᾳ λαβὼν ὁρμὴν ἑκούσιον εἰς τὸ τὰ ἀμείνω μαθεῖν. Ἀλλ᾽ ἄχρι γε τοῦ παρόντος ἐπιμορφάζεις ὡς παιδείαν δεξάμενος τὴν ἀληθῆ. Μήπω γὰρ παρὰ σαυτῷ τοῦτο ὡμολογηκὼς ἕτοιμος εἶναι λέγεις ἀναδιδάσκεσθαι, ὅταν φῇς, «ἰδοὺ ἐγώ·» ἐξ οὗ μοι δοκεῖς εἰκαιότητα καὶ εὐχέρειαν ἀπελέγχειν σεαυτοῦ μᾶλλον, ἢ πρὸς τὸ μαθεῖν ἑτοιμότητα μηνύειν. Τεκμήριον δὲ, «Εὑρήσει σε μικρὸν ὕστερον ὁ ἀληθὴς ἄνθρωπος πλανώμενον ἐν τῇ ὁδῷ,» ***) οὐκ ἂν πλανηθέντα, εἰ ἀπὸ γνώ-

*) Gen. 37, 12. — **) Gen. 37, 13. — ***) Gen. 37, 15.

μης ὑγιοῦς ἐπὶ τὴν ἄσκησιν ἦλθες. Καὶ μὴν ὅ γε
προτρεπτικὸς λόγος τοῦ πατρὸς ἀνάγκην ἐπιτίθησιν
οὐδεμίαν, ἵνα ἐθελουργὸς καὶ αὐτοκέλευστος ἐπιτη-
δεύῃς τὰ βελτίω. Φησὶ γὰρ, "Πορευθεὶς ἴδε," θέα-
σαι, κατανόησον, καὶ πάνυ ἀκριβῶς περίσκεψαι τὸ
πρᾶγμα. Εἰδέναι γάρ σε δεῖ περὶ ὃ μέλλεις πονεῖ-
σθαι πρότερον, εἶτ᾽ αὖθις ἐπὶ τὴν ἐπιμέλειαν χωρεῖν
αὐτοῖ. Ὅταν μέντοι γε διακύψῃς καὶ περιαγαγὼν
ὄμμα ὅλον δι᾽ ὅλων καταθεάσῃ, προσεξέτασον καὶ
τοὺς ἐπιθεμένους ἤδη, καὶ ἀσκητὰς αὐτοῦ γεγονότας,
εἰ τοῦτο δρῶντες "ὑγιαίνουσιν," ἀλλὰ μὴ μεμήνασι,
καθάπερ οἱ φιλήδονοι διασύροντες καὶ ἐπιχλευάζον-
τες νομίζουσι. Μήτε δὲ τὴν θέαν τοῦ πράγματος,
μήτε τὴν περὶ τοῦ ὑγιαίνειν τοὺς ἀσκητὰς διάγνωσιν
βεβαιώσῃ παρὰ σεαυτῷ, πρὶν "ἀναγγεῖλαι καὶ ἀνε-
νεγκεῖν τῷ πατρί." Γνῶμαι γὰρ αἱ μὲν τῶν ἄρτι
μανθάνειν ἀρχομένων ἄστατοι καὶ ἀνίδρυτοι· πάγιοι
194 δὲ τῶν προκεκοφότων, ὑφ᾽ ὧν τὸ ἀκλινὲς ἐκείνους
M. λαμβάνειν ἀναγκαῖον.

§. 5. Τοῦτον, ὦ διάνοια, τὸν τρόπον ἐὰν ἐρευ-
νᾷς τοὺς ἱεροφαντηθέντας λογισμοὺς μὲν θεοῦ, νό-
μους δὲ ἀνθρώπων θεοφιλῶν, οὐδὲν ταπεινὸν οὐδ᾽
ἀνάξιον τοῦ μεγέθους αὐτῶν ἀναγκασθήσῃ παραδέχε-
σθαι. Αὐτὸ γὰρ τοῦτο περὶ οὗ νῦν ὁ λόγος ἐστὶ, πῶς
ἄν τις τῶν εὖ φρονούντων παραδέξαιτο; Ἆρα τοσαύ-
την σπάνιν οἰκετῶν ἢ ὑπηρετῶν εἰκὸς εἶναι τῷ βασι-
λέως ἔχοντι περιουσίαν Ἰακὼβ, ὡς υἱὸν ἐπὶ τὴν ξένην
ἐκπέμπειν, διαγγελοῦντα περὶ τῶν ἄλλων παίδων, εἰ
ὑγιαίνουσι καὶ προσέτι τῶν θρεμμάτων; Ὁ πάππος
αὐτοῦ χωρὶς τοῦ πλήθους τῶν αἰχμαλώτων, οὓς, ἐν-
νέα βασιλεῖς καθελὼν, ἀπήγαγεν, ὑπὲρ τριακοσίους
ἔσχεν οἰκότριβας· μεμείωται δὲ τῆς οἰκίας οὐδὲν, 158
ἀλλὰ χρόνου προϊόντος πάντα διὰ πάντων ἔλαβεν αὔ- P.
ξησιν. Οὐκ ἂν οὖν ἀφθόνου θεραπείας ὑπαρχούσης
υἱὸν ἠξίου πέμπειν, οὗ μάλιστα ἐκήδετο, ἐπὶ πρᾶξιν,
ἣν καὶ τῶν εὐτελεστάτων ἄν τις ῥᾳδίως κατώρθωσεν;

§. 6. Ἀλλ᾿ ὁρᾷς, ὅτι καὶ τὸ χωρίον ὅθεν αὐτὸν ἐκπέμπει περιττῶς ἀναγράφει, μόνον οὐκ ἐναργῶς προτρέπων ἀφίστασθαι τοῦ ῥητοῦ. "Ἐκ γὰρ τῆς κοιλάδος τῆς Χεβρὼν" *) συζυγὴ δὲ καὶ συνεταιρὶς καλεῖται Χεβρὼν, συμβολικῶς ἡμῶν τὸ σῶμα, ὅτι συνέζευκται, καὶ ὥςπερ ἑταιρίαν καὶ φιλίαν πρὸς ψυχὴν τέθειται. Κοιλάδας δὲ ἔχει τὰ αἰσθητήρια, μεγάλας δεξαμενὰς ἁπάντων ὅσα ἐκτὸς αἰσθητά. ἃ τὰς παμπληθεῖς ποιότητας ἐπαντλοῦντα, καὶ διὰ τῶν δεξαμενῶν ἐπειςχέοντα τῇ διανοίᾳ, κατακλύζει καὶ βύθιον αὐτὴν ἀπεργάζεται. Διὰ τοῦτο τῷ νόμῳ τῆς λέπρας, ὅταν "ἐν οἰκίᾳ κοιλάδες χλωρίζουσαι ἢ πυῤῥίζουσαι φανῶσι," διείρηται "τοὺς λίθους ἐν οἷς γεγόνασιν ἐξελόντας, ἑτέρους ἀντιτιθέναι," **) τουτέστιν, ὅταν διαφέρουσαι ποιότητες, ἃς ἐδημιούργησαν ἡδοναὶ καὶ ἐπιθυμίαι καὶ τὰ ἀδελφὰ τούτων πάθη, βαρύνασαι καὶ πιέσασαι τὴν ὅλην ψυχὴν, κοιλοτέραν καὶ ταπεινοτέραν αὐτὴν ἑαυτῆς ἐργάσωνται, τοὺς τῆς ἀσθενείας αἰτίους λόγους ἀνελεῖν, ὑγιεινοὺς δὲ δι᾿ ἀγωγῆς νομίμου, ἢ καὶ παιδεύσεως ὀρθῆς ἀντειςαγαγεῖν.

§. 7. Τὸν Ἰωσὴφ οὖν ὅλον εἰς τὰς τοῦ σώματος καὶ τῶν αἰσθήσεων κοιλότητας εἰςδεδυκότα ὁρῶν, προκαλεῖται τῶν φωλεῶν ἔξω προελθόντα, ἐλευθέρου σπᾶσαι τοῦ καρτερίας πνεύματος, φοιτήσαντα πρὸς αὐτοὺς πάλαι μὲν ἀσκητὰς νυνὶ δὲ διδασκάλους αὐτῆς. Ὁ δὲ προεληλυθέναι δόξας, πλανώμενος εὑρίσκεται. "Εὗρε γὰρ," φησὶν, "ἄνθρωπος αὐτὸν
195 πλανώμενον ἐν τῷ πεδίῳ," ***) δηλῶν ὅτι οὐχ
M ὁ πόνος καθ᾿ αὑτὸν, ἀλλ᾿ ὁ μετὰ τέχνης ἀγαθόν. Ὥςπερ γὰρ οὔτε μουσικὴν ἀμούσως, οὔτε γραμματικὴν ἀγραμμάτως, οὐδὲ, συνόλως φράσαι, τέχνην ἀτέχνως ἢ κακοτέχνως, ἀλλὰ τεχνικῶς ἑκάστην

*) Gen. 37, 14. — **) Lev. 14, 36 sq. — ***) Gen. 37, 15.

*ἐπιτηδεύειν προςῆκεν· οὕτως οὐδὲ φρόνησιν πανούρ-
γως, οὐδὲ σωφροσύνην φειδωλῶς καὶ ἀνελευθέρως,
οὐδὲ θρασέως ἀνδρίαν, οὐδὲ δεισιδαιμόνως εὐσέβειαν,
οὐδ' ἄλλην τινὰ κατ' ἀρετὴν ἐπιστήμην ἀνεπιστημό-
νως. Ἀνοδία γὰρ ὁμολογουμένως πάντα ταῦτα· παρ'
ὃ καὶ νόμος κεῖται "δικαίως τὸ δίκαιον διώκειν," *)
ἵνα δικαιοσύνην καὶ πᾶσαν ἀρετὴν τοῖς συγγενέσιν
ἔργοις αὐτῆς, ἀλλὰ μὴ τοῖς ἐναντίοις μετερχώμεθα.
Ἐὰν οὖν τινα θεάσῃ σῖτα καὶ ποτὰ μὴ ἐν καιρῷ
προσιέμενον, ἢ λουτρὰ καὶ ἀλείμματα παραιτούμε-* 159
νον, ἢ τῶν περὶ σῶμα σκεπασμάτων ἀμελοῦντα, ἢ P.
*χαμευνίαις καὶ δυςαυλίαις χρώμενον, εἶτ' ἐκ τούτων
ἐπιμορφάζοντα ἐγκράτειαν, οἶκτον λαβὼν τῆς περὶ
αὐτὸν πλάνης, τὴν ἀληθῆ τῆς ἐγκρατείας ὁδὸν δεῖ-
ξον. Ἃ γὰρ ἐπετήδευσεν, ἀνήνυτοι καὶ ἄτρυτοι πό-
νοι, λιμῷ καὶ ταῖς ἄλλαις κακώσεσι ψυχὴν καὶ σῶμα
ἐκτραχηλίζοντες. Μηδ' εἴ τις περιῤῥαντηρίοις ἢ κα-
θαρσίοις χρώμενος, διάνοιαν μὲν ῥυπαίνει τὴν
ἑαυτοῦ, τὸ δὲ σῶμα φαιδρύνει· μηδ' εἰ πάλιν ὑπὸ
περιουσίας νεὼν ἱδρύεται λαμπροτάταις χορηγίαις καὶ
δαπάναις χρώμενος, ἢ ἑκατόμβας ἀνάγει καὶ βουθυ-
τῶν οὐ παύεται, ἢ πολυτελέσιν ἀναθήμασι κοσμεῖ
τὸ ἱερὸν, ἀφθόνους μὲν ὕλας, τέχνας δὲ παντὸς ἀρ-
γύρου καὶ χρυσοῦ τιμιωτέρας εἰςάγων, μετ' εὐσεβῶν
ἀναγεγράφθω. Πεπλάνηται γὰρ καὶ οὗτος τῆς πρὸς
εὐσέβειαν ὁδοῦ, θρησκείαν ἀντὶ ὁσιότητος ἡγούμε-
μενος, καὶ δῶρα τῷ ἀδεκάστῳ διδοὺς, οὐδέ ποτε
ληψομένῳ τὰ τοιαῦτα, καὶ κολακεύων τὸν ἀκολάκευ-
τον, ὃς γνησίους μὲν θεραπείας ἀσπάζεται, — γνή-
σιοι δὲ εἰσὶν αἱ ψυχῆς ψιλὴν καὶ μόνην θυσίαν φε-
ρούσης ἀλήθειαν, — τὰς δὲ νόθους ἀποστρέφε-
ται· νόθοι δὲ ὅσαι διὰ τῶν ἐκτὸς ἀφθονιῶν ἐπι-
δείξεις.*

§. 8. *Τοῦ δὲ "εὑρόντος ἐν τῷ πεδίῳ πλανώμε-*

---

*) **Deut. 16, 20.**

νον αὐτὸν ἀνθρώπου" *) τὸ κύριον ὄνομα οὔ φασί
τινες δεδηλῶσθαι, καὶ αὐτοὶ τρόπον τινὰ πεπλανη-
μένοι, διὰ τὸ μὴ δύνασθαι τὴν ὀρθὴν ὁδὸν τῶν
πραγμάτων ἐναργῶς ὁρᾶν. Εἰ γὰρ μὴ τὸ ψυχῆς
ὄμμα ἐπεπήρωντο, ἔγνωσαν ἄν, ὅτι τοῦ πρὸς ἀλή-
θειαν ἀνθρώπου τὸ ἰδιαίτατον καὶ εὐθυβολώτατον
ὄνομά ἐστιν αὐτὸ τοῦτο ἄνθρωπος, ἡρθρωμένης καὶ
λογικῆς διανοίας οἰκειοτάτη πρόσρησις. Οὗτος ὁ ἄν-
196 θρωπος ἐν ἑκάστου τῇ ψυχῇ κατοικῶν, τοτὲ μὲν
M. ἄρχων καὶ βασιλεὺς εὑρίσκεται, τοτὲ δὲ δικαστὴς
καὶ βραβευτὴς τῶν κατὰ τὸν βίον ἀγώνων. Ἔστι
δὲ ὅτε μάρτυρος καὶ κατηγόρου λαβὼν τάξιν, ἀφα-
νῶς ἡμᾶς ἔνδοθεν ἐλέγχει, μηδὲ διᾶραι τὸ στόμα
ἐῶν, ἀναλαμβανόμενος δὲ καὶ ἐπιστομίζων ταῖς τοῦ
συνειδότος ἡνίαις τὸν αὐθάδη καὶ μετὰ ἀφηνιασμοῦ
δρόμον γλώττης ἐπέσχεν. Οὗτος ὁ ἔλεγχος ἐπύθετο
τῆς ψυχῆς, ἡνίκα τὴν πλάνην εἶδεν αὐτῆς, "Τί ζη-
τεῖς;" **) Ἀρά γε φρόνησιν; Τί οὖν ἐπὶ πανουρ-
γίας βαίνεις; Ἀλλὰ σωφροσύνην; Ἀλλ' ἐπὶ φειδω-
λίαν ἡ τρίβος ἄγει. Ἀλλὰ ἀνδρίαν; Θρασύτης προσ-
έρχεται ταύτῃ. Ἀλλ' εὐσέβειαν μετέρχῃ; Δεισιδαι-
μονίας ἡ ὁδός. Ἐὰν δὲ φάσκῃ ζητεῖν τοὺς ἐπιστή-
μης λόγους, καὶ ποθεῖν ὡς τοὺς ἐγγυτάτω γένους
ἀδελφούς, μὴ πάνυ πιστεύωμεν αὐτῇ· οὐ γὰρ ἀνεπυν-
θάνετο ποῦ βόσκουσιν, ἀλλὰ ποῦ ποιμαίνουσιν. Οἱ 160
μὲν γὰρ βόσκοντες, τροφάς, τὰ αἰσθητὰ πάντα, P.
παρέχουσι τῷ τῶν αἰσθήσεων ἀλόγῳ καὶ ἀπλήστῳ
θρέμματι, δι' ἃς ἀκράτορες ἑαυτῶν γενόμενοι καὶ
κακοδαιμονοῦμεν. Οἱ δὲ ποιμαίνοντες, ἀρχόντων
καὶ ἡγεμόνων ἔχοντες δύναμιν, τὰ ἐξηγριωμένα ἡμε-
ροῦσι, στέλλοντες τὸ τῶν ἐπιθυμιῶν μέγεθος. Εἴπερ
οὖν ἐζήτει τοὺς ἀρετῆς πρὸς ἀλήθειαν ἀσκητάς,
ἐσκέπτετ' ἂν αὐτοὺς ἐν βασιλεῦσιν, οὐχ ἐν οἰνοχόοις,
ἢ σιτοποιοῖς, ἢ μαγείροις. Οὗτοι μὲν γὰρ τὰ πρὸς

---

*) Gen. 37, 15. — **) Ibid.

τὰς ἡδονὰς εὐτρεπίζουσιν, ἐκεῖνοι δὲ ἡδονῶν ἄρχουσι.

§. 9. Δι' ὃ καὶ ἀποκρίνεται ὀρθῶς ὁ τὴν ἀπάτην ἰδὼν ἄνθρωπος, "Ἀπήρκασιν ἐντεῦθεν." *) Δεικνῦσι δὲ τὸν σωματικὸν ὄγκον, δηλῶν ὅτι πάντες οἷς ὑπὲρ κτήσεως ἀρετῆς πόνος διαθλεῖται, τὸν περίγειον καταλελοιπότες χῶρον, μετεωροπολεῖν ἐγνώκασιν, οὐδεμίαν τῶν σωματικῶν ἐφελκόμενοι κηρῶν. Καὶ γὰρ λεγόντων ἀκηκοέναι φησὶν αὐτῶν, "Εἰς Δωθαεὶμ πορευθῶμεν" **) — ἑρμηνεύεται δὲ ἔκλειψις ἱκανή — παριστάντων, ὅτι οὐ μέσως, ἀλλ' ἄκρως ἀπόλειψιν καὶ ἔκλειψιν τῶν ἃ μὴ πρὸς ἀρετὴν συνεργεῖ μεμελετήκασι, καθὼς καὶ "Σάῤῥᾳ ἔτι γίγνεσθαι τὰ γυναικεῖα ἐξέλιπε," ***) θήλεα δὲ φύσει τὰ πάθη, ὧν ἔκλειψιν ἐπιτηδευτέον, παρὰ τοὺς ἄῤῥενας τῶν εὐπαθειῶν χαρακτῆρας. Οὐκοῦν "ἐν πεδίῳ," τουτέστιν ἐν ἁμίλλῃ λόγων, εὑρίσκεται καὶ ὁ ποικίλου δόγματος εἰςηγητὴς, πρὸς πολιτείας μᾶλλον ἢ πρὸς ἀληθείας τύπον χρησίμου, πλανώμενος Ἰωσήφ. Εἰσὶ δέ τινες τῶν ἀνταγωνιστῶν, οἳ διὰ σώματος εὐεξίαν, ἀπειπόντων τῶν ἀντιπάλων, ἐστεφανώθησαν ἀμαχεὶ, μηδ' αὐτὸ μόνον κονισάμενοι, ἀσυγκρίτου
197 ῥώμης ἀράμενοι τὰ πρωτεῖα. Τοιαύτῃ δυνάμει
M χρησάμενος περὶ τὸ θειότατον τῶν ἐν ἡμῖν, τὴν διάνοιαν, Ἰσαὰκ "ἐξέρχεται μὲν εἰς τὸ πεδίον," †) ἁμιλλησόμενος δὲ οὐδενὶ, πάντων κατεπτηχότων τῶν ἀγωνιστῶν τὸ μεγαλεῖον καὶ ὑπερβάλλον ἐν ἅπασι τῆς φύσεως αὐτοῦ· μόνον δὲ ἰδιάσαι βουλόμενος καὶ ἰδιολογήσασθαι τῷ συνοδοιπόρῳ καὶ ἡγεμόνι τῆς τε ὁδοῦ καὶ τῆς ψυχῆς, θεῷ. Τεκμήριον δὲ ἐναργέστατον τοῦ μηδένα προσομιλοῦντα τῷ Ἰσαὰκ θνητὸν εἶναι. Ῥεβέκκα δὴ ὑπομονὴ, πεύσεται τοῦ παιδὸς, ἕνα ὁρῶσα καὶ ἑνὸς μόνου λαμβάνουσα φαντασίαν,

---

*) Gen. 37, 17. — **) Ibid. — ***) Gen. 18, 11.
†) Gen. 24, 63.

„Τίς ὁ ἄνθρωπος οὗτος ὁ πορευόμενος εἰς συνάντη-
σιν ἡμῖν;" *) Ἡ γὰρ ἐπιμένουσα τοῖς καλοῖς ψυχὴ
ἱκανὴ μέν ἐστι τὴν αὐτομαθῆ σοφίαν καταλαμβάνειν,
ἐπίκλησιν Ἰσαάκ· οὔπω δὲ δυνατὴ τὸν τῆς σοφίας
ἡγεμόνα θεὸν ἰδεῖν. Παρ᾽ ὃ καὶ ὁ παῖς ἐπισφραγι-
ζόμενος τὸ μὴ δύνασθαι καταλαβεῖν τὸν ἀειδῆ καὶ
προσομιλοῦντα ἀοράτως, φησὶν, „Οὗτος ὁ κύριός 161
μου," **) τὴν δεῖξιν φέρων ἐπὶ τὸν Ἰσαὰκ μόνον. P.
Οὐ γὰρ εἰκὸς προφανέντων δυοῖν ἕνα δεικνύναι, ἀλ-
λὰ τὸν ἄδεικτον οὐκ εἶδε, πᾶσι τοῖς μέσοις ἀόρατον
ὄντα. —

§. 10. Ὡς μὲν τοίνυν τὸ πεδίον εἰς ὃ προκαλεῖ-
ται τὸν Ἄβελ ὁ Κάϊν ἐλθεῖν, σύμβολον ἁμίλλης καὶ
διαμάχης ἐστὶν, ἱκανῶς δεδηλῶσθαι νομίζω. Δια-
πορητέον δὲ ἑξῆς, περὶ τίνων ποιοῦνται τὰς ζητήσεις
προελθόντες. Ἢ δῆλον, ὅτι περὶ ἐναντίων καὶ μα-
χομένων δοξῶν. Ὁ μὲν γὰρ Ἄβελ ἀναφέρων ἐπὶ
θεὸν πάντα, φιλόθεον δόγμα· ὁ δὲ Κάϊν ἐφ᾽ ἑαυ-
τὸν, κτῆσις γὰρ ἑρμηνεύεται, φίλαυτον. Φίλαυτοι
δὲ, ὅταν τοῖς ἀρετὴν τιμῶσιν ἐπαποδυσάμενοι κονί-
σωνται, καὶ παγκρατιάζοντες οὐ παύονται, πρὶν ἢ
ἀπειπεῖν βιάσασθαι, ἢ παντελῶς διαφθεῖραι. Πάν-
τα γὰρ, τὸ τοῦ λόγου δὴ τοῦτο, κινοῦσι λίθον, φά-
σκοντες, οὐκ οἰκία ψυχῆς τὸ σῶμα; Διὰ τί οὖν
οἰκίας, ὡς μὴ γένοιτο ἐρείπιος, οὐκ ἐπιμελησόμεθα;
Οὐκ ὀφθαλμὸς καὶ ὦτα καὶ ὁ τῶν ἄλλων χορὸς αἰ-
σθήσεων ψυχῆς ὥςπερ τινὲς δορυφόροι καὶ φίλοι;
Συμμάχους οὖν καὶ φίλους οὐκ ἐν ἴσῳ τιμητέον ἑαυ-
τοῖς; Ἡδονὰς δὲ καὶ ἀπολαύσεις καὶ τὰς παρὰ
198 πάντα τὸν βίον τέρψεις, τοῖς τεθνεῶσιν ἢ τοῖς μη-
M. δὲ γενομένοις τὸ παράπαν, ἀλλ᾽ οὐχὶ τοῖς ζῶσιν
ἡ φύσις ἐδημιούργει; Πλοῦτον δὲ καὶ δόξαν, καὶ
τιμὰς καὶ ἀρχὰς, καὶ τὰ ἄλλα ὅσα τοιαῦτα, τί πα-
θόντες οὐποριούμεθα, ἐξ ὧν οὐ μόνον τὸ ἀσφαλῶς,

---

*) Gen. 24, 65. — **) Ibid.

ἀλλὰ καὶ εὐδαιμόνως ζῆν περιγίνεται; Μάρτυς δὲ ὁ βίος τούτων. Οἱ μὲν γὰρ λεγόμενοι φιλάρετοι ἄδοξοι σχεδὸν ἅπαντες, εὐκαταφρόνητοι, ταπεινοὶ, τῶν ἀναγκαίων ἐνδεεῖς, ὑπηκόων μᾶλλον δὲ καὶ δούλων ἀτιμότεροι, ῥυπῶντες, ὠχροὶ κατεσκελετευμένοι, λιμὸν ὑπ' ἀσιτίας ἐμβλέποντες, νοσερώτατοι, μελετῶντες ἀποθνήσκειν. Οἱ δὲ αὐτῶν ἐπιμελόμενοι, ἔνδοξοι, πλούσιοι, ἡγεμόνες, ἐπαινούμενοι, τιμώμενοι· πάλιν ὑγιεινοὶ, πίονες, ἐῤῥωμένοι, ἁβροδίαιτοι, θρυπτόμενοι, πόνον οὐκ εἰδότες, ἡδοναῖς συζῶντες δια πασῶν τῶν αἰσθήσεων ἐπὶ τὴν πανδεχῆ ψυχὴν τα ἡδέα φερούσαις.

§. 11. Τοιοῦτόν τινα δόλιχον ἀπομηκύναντες λόγῳ, νικᾶν τοὺς οὐκ εἰωθότας σοφιστεύειν ἔδοξαν. Αἰτία δὲ τῆς νίκης οὐχ ἡ τῶν περιγεγενημένων ἰσχὺς, ἀλλ' ἡ περὶ ταῦτα τῶν ἀντιπάλων ἀσθένεια. Τῶν γὰρ ἐπιτηδευόντων ἀρετὴν οἱ μὲν ἐν ψυχῇ μόνῃ τὸ καλὸν ἐθησαυρίσαντο, πράξεων ἐπαινετῶν ἀσκηταὶ γενόμενοι, τερθρείας λόγων ἀλλ' οὐδ' ὄναρ ἐπησθημένοι. Οἷς δὲ ἀμφότερα ἐξεγένετο, τὴν μὲν διά- 162
νοιαν εὐβουλίᾳ καὶ ἀγαθοῖς ἔργοις, τοὺς δὲ λόγους P.
ταῖς περὶ αὐτοὺς τέχναις μάλιστα ὀχυρώσασθαι, τούτοις μὲν οὖν πρὸς τὰς ἐριστικὰς ἐνίων ἁμίλλας ἀπαντᾶν ἐμπρεπὲς, οἷς τοὺς ἐναντίους ἀμύνονται, πεπορισμένοις ἐξ ἑτοίμου. Τοῖς δὲ προτέροις οὐδεμία ἀσφάλεια. Γυμνοὶ γὰρ πρὸς ὡπλισμένους τίνες ἂν ἰσοκρατῶς ἀπομάχεσθαι δυνηθεῖεν, ὁπότε καὶ παρεσκευασμένοις ἀγὼν ἄνισος; Ὁ τοίνυν Ἄβελ τέχνας μὲν λόγων οὐκ ἔμαθε, διανοίᾳ δὲ μόνῃ τὸ καλὸν οἶδεν· οὗ χάριν τὴν εἰς τὸ πεδίον ἄφιξιν ἐχρῆν παραιτήσασθαι, καὶ τῆς τοῦ δυςμενοῦς προκλήσεως ἀλογῆσαι. Ἥττης γὰρ πᾶς ὄκνος ἀμείνων. Τὸν δὲ ὄκνον τοῦτον οἱ μὲν ἐχθροὶ δειλίαν, ἀσφάλειαν δὲ οἱ φίλοι προςαγορεύουσι· φίλοις δὲ πρὸ δυςμενῶν, ἅτε ἀψευδοῦσι, πιστευτέον.

§. 12. Οὗ χάριν ὁρᾷς, ὅτι Μωϋσῆς τοὺς ἐν

Αἰγύπτῳ τῷ σώματι σοφιστὰς, οὓς φαρμακέας ὀνομάζει, παραιτεῖται· σοφισμάτων γὰρ τέχναις καὶ ἀπάταις ἤθη χρηστὰ τρόπων φαρμακεύεται καὶ δια-
199 φθείρεται, φάσκων τὸ "μὴ εἶναι εὔλογος" *) ἴσον
M. τῷ, μήτε πεφυκέναι πρὸς τὴν τῶν λόγων καὶ πιθανῶν εἰκαστικὴν ῥητορείαν· ἔπειθ' ἑξῆς διαβεβαιούμενος, ὅτι οὐ μόνον οὐκ εὔλογος, ἀλλὰ καὶ παντελῶς "ἄλογός" *) ἐστιν· ἄλογος δὲ, οὐχ ὥς φαμεν τὰ μὴ λογικὰ τῶν ζώων, ἀλλ' ὁ μὴ δικαιῶν τῷ διὰ τοῦ φωνητηρίου ὀργάνου λόγῳ χρῆσθαι, μόνῃ δὲ σημειούμενος καὶ ἐνσφραγιζόμενος διανοίᾳ τὰ τῆς ἀληθοῦς σοφίας, ἥτις ἀντίθετός ἐστι ψευδεῖ σοφιστείᾳ, θεωρήματα. Καὶ οὐ βαδιεῖται πρότερον εἰς Αἴγυπτον, οὐδ' εἰς ἅμιλλαν ἀφίξεται τοῖς αὐτῆς σοφισταῖς, πρὶν ἢ τὸν προφορικὸν ἄκρως ἀσκηθῆναι λόγον· τὰς πρὸς ἑρμηνείαν ἁπάσας ἰδέας ἀναδείξαντος καὶ τελειώσαντος θεοῦ, διὰ τῆς Ἀαρὼν χειροτονίας, ὃν ἀδελφὸν Μωϋσέως ὄντα, στόμα καὶ ἑρμηνέα καὶ "προφήτην" ***) εἴωθε καλεῖν. Πάντα γὰρ ταῦτα τῷ λόγῳ συμβέβηκεν, ὃς ἀδελφός ἐστι διανοίας. Πηγὴ γὰρ λόγων διάνοια, καὶ στόμιον αὐτῆς λόγος, ὅτι τὰ ἐνθυμήματα πάντα διὰ τούτου καθάπερ νάματα ἀπὸ γῆς εἰς τὸ ἐμφανὲς ἐπιῤῥέοντα, ἀναχεῖται. Καὶ ἑρμηνεύς ἐστιν, ὧν ἐν τῷ ἑαυτῆς βουλευτηρίῳ βεβούλευκεν· ἔτι μέντοι καὶ προφήτης καὶ θεοπρόπος, ὧν ἐξ ἀδύτων καὶ ἀοράτων χρησμῳδοῦσα οὐ παύεται.

§. 13. Τοῦτον μὲν οὖν τὸν τρόπον ἐναντιοῦσθαι τοῖς περὶ τὰ δόγματα ἐριστικοῖς χρήσιμον. Γεγυμνασμένοι γὰρ περὶ τὰς τῶν λόγων ἰδέας, οὐκ ἔτ' ἐπ' 163
ἀπειρίᾳ σοφιστικῶν παλαισμάτων ὀκλάσομεν. Ἐξα- P.
ναστάντες δὲ καὶ διερεισάμενοι, τὰς ἐντέχνους αὐτῶν περιπλοκὰς εὐμαρῶς ἐκδυσόμεθα. Οἱ δὲ ἅπαξ εὑρεθέντες σκιαμάχων, ἀλλ' οὐκ ἀγωνιστῶν ἐπιδείκνυσθαι

*) Exod. 4, 10. — **) Exod. 6, 12. — ***) Exod. 7, 1.

δόξουσι δύναμιν. Καὶ γὰρ ἐκεῖνοι καθ' ἑαυτοὺς μὲν
χειρονομοῦντες εὐδοκιμοῦσι, πρὸς δὲ ἅμιλλαν ἐλθόν-
τες οὐ μετρίως ἀδοξοῦσιν. Εἰ δέ τις τὴν μὲν ψυ-
χὴν ἀρεταῖς ἁπάσαις κεκόσμηται, τέχνας δὲ λόγων
οὐκ ἐμελέτησεν, ἡσυχίᾳ χρώμενος ἀσφάλειαν γέρας
ἀκίνδυνον εὑρήσεται. Παρελθὼν δὲ, ὡς Ἄβελ, εἰς
σοφιστικὸν ἀγῶνα, πρὶν διερείσασθαι πεσεῖται. Κα-
θάπερ γὰρ ἐν ἰατρικῇ τινες μὲν θεραπεύειν εἰδότες
πάντα σχεδὸν πάθη καὶ νοσήματα καὶ ἀῤῥωστήματα,
λόγον οὐδενὸς αὐτῶν οὔτ' ἀληθῆ, οὔτ' εἰκότα ἀπο-
δοῦναι δύνανται. Οἱ δὲ ἔμπαλιν τὰ μὲν περὶ λόγους
εἰσὶ δεινοὶ, σημείων καὶ αἰτιῶν καὶ θεραπείας, ἐξ
ὧν ἡ τέχνη συνέστηκεν, ἑρμηνεῖς ἄριστοι· τὰ δὲ
πρὸς καμνόντων ἐπιμέλειαν σωμάτων φαυλότατοι,
200 τῶν εἰς ἴασιν ἀλλ' οὐδὲ τὸ μικρότατον παρασχεῖν
M. ἱκανοί. Τὸν αὐτὸν τρόπον οἱ μὲν τῆς δι' ἔργων
ἀσκηταὶ σοφίας πολλάκις λόγων ἠμέλησαν, οἱ δὲ τὰς
ἐν λόγῳ τέχνας ἀναδιδαχθέντες οὐδὲν ἐν ψυχῇ κα-
λὸν παίδευμα ἐθησαυρίσαντο. Τούτους μὲν οὖν
ἀχαλίνῳ κεχρημένους γλώττῃ μετ' αὐθαδείας θρα-
σύνεσθαι, παράδοξον οὐδὲν, ἀπόνοιαν ἣν ἐξ ἀρχῆς
ἐμελέτησαν ἐπιδεικνύντας. Ἐκείνοις δὲ ὥςπερ ἰατροῖς
τὸ ὑγιάζον τὰς ψυχῆς νόσους τε καὶ κῆρας ἀναδι-
δαχθεῖσι μέρος ἐπέχειν ἀναγκαῖον, μέχρις ἂν ὁ θεὸς
καὶ τὸν ἑρμηνέα ἄριστον κατασκευάσῃ, τὰς τοῦ λέ-
γειν πηγὰς ἀνομβρήσας καὶ ἀναδείξας αὐτῷ.

§. 14. Σύμφορον οὖν ἦν εὐλαβείᾳ, σωτηρίῳ ἀρετῇ, χρησάμενον τὸν Ἄβελ οἴκοι καταμεῖναι, τῆς εἰς τὸν ἐριστικὸν καὶ φιλόνεικον ἀγῶνα προκλήσεως ἀλογήσαντα, μιμησάμενον Ῥεβέκκαν, τὴν ὑπομονὴν, ἥτις, ἀπειλοῦντος Ἡσαῦ τοῦ κακίας θιασώτου, τὸν ἀρετῆς ἀσκητὴν Ἰακὼβ ἀναχωρῆσαι τῷ μέλλοντι ἐπιβουλεύεσθαι παραγγέλλει, μέχρις ἂν ἐκεῖνος τῆς ἐπ' αὐτῷ σχετλίου λύττης ἀνῇ. Καὶ γὰρ ἀφόρητόν τινα ἀπειλὴν ἐπανατείνεται, φάσκων, "Ἐγγισάτωσαν αἱ ἡμέραι τοῦ πένθους τοῦ πατρός μου, ἵνα ἀπο-

κτείνω Ἰακὼβ τὸν ἀδελφόν μου." *) Εὔχεται γὰρ
μόνον τὸ ἀπαθὲς εἶδος ἐν γενέσει, τὸν Ἰσαάκ, ᾧ
χρησμός ἐστι "μὴ καταβῆναι εἰς Αἴγυπτον," **) ἀλόγῳ
πάθει χρῆσθαι, ἵνα, δοκῶ, ἡδονῆς ἢ λύπης ἤ τινος
ἄλλου πάθους κέντροις τρωθήσηται· δηλῶν ὡς ὁ
ἀτελέστερος καὶ ἐπιπόνῳ προκοπῇ χρώμενος οὐ τραῦμα
μόνον, ἀλλὰ καὶ παντελῆ φθορὰν δέξεται. Ὁ μέν- 164
τοι χρηστὸς θεὸς οὔτε ἁλωτὸν πάθει τὸ ἄτρωτον P.
γένους εἶδος ἐργάσεται, οὔτε τὴν ἀρετῆς ἄσκησιν ἐπ'
ὀλέθρῳ φονῶντι καὶ δαιμονῶντι ἐκδώσει. Δι' ὃ καὶ
τὸ ἐπιφερόμενον, "Ἀνέστη Κάϊν ἐπὶ Ἄβελ τὸν ἀδελ-
φὸν αὐτοῦ, καὶ ἀπέκτεινεν αὐτὸν," ***) κατὰ μὲν
τὴν πρόχειρον φαντασίαν ὑποβάλλει, ὅτι Ἄβελ ἀνή-
ρηται· κατὰ δὲ τὴν ἀκριβεστάτην ἐξέτασιν, ὅτι αὐ-
τὸς ὁ Κάϊν ὑφ' ἑαυτοῦ. Ὥςθ' οὕτως ἀναγνωστέον,
"Ἀνέστη Κάϊν καὶ ἀπέκτεινεν ἑαυτὸν," ἀλλ' οὐχ ἕτε-
ρον· εἰκότως δὲ τοῦτο ἔπαθεν. Ἡ γὰρ ἐξ αὑτῆς
ἀνελοῦσα ψυχὴ τὸ φιλάρετον καὶ φιλόθεον δόγμα,
τὸν τῆς ἀρετῆς τέθνηκε βίον, ὥςθ' ὁ Ἄβελ, τὸ πα-
ραδοξότατον, ἀνήρηταί τε καὶ ζῇ. "Ἀνήρηται μὲν
ἐκ τῆς τοῦ ἄφρονος διανοίας, ζῇ δὲ τὴν ἐν θεῷ ζω-
ὴν εὐδαίμονα. Μαρτυρήσει δὲ τὸ χρησθὲν λόγιον,
ἐν ᾧ φωνῇ χρώμενος καὶ "βοῶν" †) ἃ πέπονθεν
ὑπὸ κακοῦ συνθέτου τηλαυγῶς εὑρίσκεται. Πῶς γὰρ
ὁ μηκέτ' ὢν διαλέγεσθαι δυνατός;

§. 15. Ὁ μὲν δὴ σοφὸς τεθνηκέναι δοκῶν τὸν
201 φθαρτὸν βίον, ζῇ τὸν ἄφθαρτον, ὁ δὲ φαῦλος ζῶν
M. τὸν ἐν κακίᾳ, τέθνηκε τὸν εὐδαίμονα. Ἐπὶ μὲν
γὰρ τῶν διεστηκότων ζώων τε καὶ κοινῶν σωμάτων
ἕτερα μὲν τὰ ποιοῦντα, ἕτερα δὲ εἶναι τὰ πάσχοντα
δυνατὸν καὶ ῥᾴδιον. Ὁπότε γὰρ πατὴρ υἱὸν τύπτει
σωφρονίζων, ἢ διδάσκαλος γνώριμον, ἕτερος ὁ τύ-
πτων, καὶ ἕτερος ὁ τυπτόμενός ἐστιν· ἐπὶ δὲ τῶν

*) Gen. 27, 41. — **) Gen. 26, 2. — ***) Gen. 4, 8.
†) Gen. 4, 10.

γινομένων περὶ ὃ τὸ ποιεῖν καὶ τὸ πάσχειν εὑρίσκεται, καὶ οὔτε ἐν ἑτέρῳ χρόνῳ, οὔτε ἕτερον, ἀλλὰ κατὰ τὸν αὐτὸν, καὶ τὸ αὐτό. Ἐπειδὰν γοῦν ἀθλητὴς ἑαυτὸν τοῦ γυμνάσασθαι χάριν ἀνατρίβῃ, πάντως τρίβεται, καὶ εἴ τις μέντοι παίει ἑαυτὸν, παίεται καὶ τιτρώσκεται, καὶ γὰρ ὁ πηρῶν καὶ κτείνων ἑαυτὸν, πηροῦται καὶ κτείνεται. Πρὸς τί δὴ ταῦτ' εἶπον; Ὅτι τὴν ψυχὴν οὐ τῶν διεστηκότων, ἀλλὰ τῶν γινομένων οὖσαν, ἀνάγκη πάσχειν ὃ ποιεῖν δοκεῖ, καθάπερ ἀμέλει καὶ νῦν· δόξασα γὰρ ἀνελεῖν τὸ θεοφιλέστατον δόγμα, ἑαυτὴν ἀνῄρηκε. Μάρτυς δὲ Λάμεχ, ὁ τῆς Κάϊν ἀσεβείας ἔκγονος, ὅς φησι γυναιξὶ ταῖς ἑαυτοῦ, δυσὶ γνώμαις ἀγνώμοσιν, „Ἄνδρα ἀπέκτεινα εἰς τραῦμα ἐμοὶ, καὶ νεανίσκον εἰς μώλωπα ἐμοί." *) Δῆλον γὰρ, ὅτι εἴ τις τὸν ἀνδρίας λόγον κτείνει, ἑαυτὸν ἐναντίᾳ νόσῳ τιτρώσκει δειλίας· καὶ εἴ τις τὴν ἀνηβῶσαν ἰσχὺν ἐν ἀσκήσει τῶν καλῶν ἀναιρεῖ, πληγὰς καὶ μεγάλας αἰκίας μετ' οὐ μετρίας αἰσχύνης ἐπιφέρει ἑαυτῷ. Λέγει μέντοι καὶ ἡ ὑπομονὴ, **) ὅτι ἐὰν ἄσκησις ἀναιρεθῇ καὶ προκοπὴ, οὐχ ἓν μόνον ἔκγονον, ἀλλὰ καὶ τὰ ἄλλα ἀποβάλλει, „ἀτεκνίαν" ἐνδειξαμένη παντελῆ.

§. 16. Ὥσπερ δὲ ὁ βλάπτων τὸν ἀστεῖον ἐπιδέδεικται ζημιῶν ἑαυτὸν, οὕτω καὶ ὁ προνομίας τοὺς
ἀμείνους ἀξιῶν λόγῳ μὲν ἐκείνοις, ἔργῳ δὲ αὑ- 165
τῷ περιποιεῖται ἀγαθόν. Μαρτυρεῖ δέ μου τῷ λόγῳ P.
ἡ φύσις, καὶ τὰ ἀκολούθως αὐτῇ νομοθετηθέντα. Διείρηται γὰρ ἄντικρυς καὶ σαφῶς οὕτω, „Τίμα τὸν πατέρα καὶ τὴν μητέρα, ἵνα εὖ σοι γένηται," ***) οὐχὶ τοῖς τιμωμένοις, φησὶν, ἀλλὰ σοί. Ἐάν τε γὰρ τὸν νοῦν ὡς πατέρα τοῦ συγκρίματος, ἐάν τε τὴν αἴσθησιν ὡς μητέρα διὰ τιμῆς ἔχωμεν, εὖ πρὸς ἐκεί-

*) Gen. 4, 23. — **) i. e. Rebecca, Gen. 27, 45. — ***) Exod. 20, 12.

νων αὐτοὶ πεισόμεθα. Τιμὴ δὲ τοῦ μὲν νοῦ διὰ τῶν συμφερόντων, ἀλλὰ μὴ διὰ τῶν ἡδέων θεραπεύεσθαι· πάντα δὲ τὰ ἀπ᾽ ἀρετῆς συμφέροντα. Τῆς δὲ αἰσθήσεως, τὸ μὴ ἀφεθῆναι ῥύμῃ μιᾷ φέρεσθαι πρὸς τὰ ἐκτὸς αἰσθητὰ, ἐγχαλινωθῆναι δὲ ὑπὸ νοῦ, κυβερνᾶν καὶ ἡνιοχεῖν τὰς ἀλόγους ἐν ἡμῖν δυνάμεις ἐπισταμένου. Ἐὰν μὲν οὖν ἧς εἶπον ἑκάτερον λάχῃ τιμῆς, αἴσθησίς τε καὶ νοῦς, ἀνάγκη τὸν κεχρημένον ἀμφοτέροις ἐμὲ εὐεργετεῖσθαι· ἐὰν δὲ πόῤῥω τὸν λόγον ἀπὸ νοῦ καὶ αἰσθήσεως ἀπαγαγὼν πατέρα μὲν
202 τὸν γεννήσαντα κόσμον, μητέρα δὲ τὴν σοφίαν, δι᾽
M. ἧς ἀπετελέσθη τὸ πᾶν, τιμῆς ἀξιώσῃς, αὐτὸς εὖ πείσῃ. Δεῖται γὰρ οὐδενὸς, οὔτε ὁ πλήρης θεὸς, οὔτε ἡ ἄκρα καὶ παντελὴς ἐπιστήμη· ὥςτε τὸν θεραπευτικὸν τούτων μὴ τοὺς θεραπευομένους ἀνενδεεῖς ὄντας, ἀλλ᾽ ἑαυτὸν μάλιστα ὠφελεῖν. Ἱππικὴ μὲν γὰρ καὶ σκυλακευτικὴ ἐπιστήμη, θεραπεία ἡ μὲν ἵππων ἡ δὲ σκυλάκων οὖσα, πορίζει τοῖς ζώοις τὰ ὠφέλιμα, ὧν ἐκεῖνα δεῖται· μὴ πορίζουσα δὲ ἀμελεῖν ἂν δοκοίη. Τὴν δὲ εὐσέβειαν, θεοῦ θεραπείαν ὑπάρχουσαν, οὐ θέμις ποριστικὴν εἰπεῖν τῶν ὠφελησόντων τὸ θεῖον. Ὠφελεῖται μὲν γὰρ ὑπ᾽ οὐδενὸς ἅτε μήτε ἐνδεὲς ὂν, μήτε τινὸς τὸ ἐν ἅπασιν αὐτοῦ κρεῖττον πεφυκότος ὀνῆσαι· τὸ ἐναντίον δὲ τὰ σύμπαντα συνεχῶς καὶ ἀπαύστως ὠφελεῖ. Ὥςτε ὅταν τὴν εὐσέβειαν λέγωμεν εἶναι θεοῦ θεραπείαν, ὑπηρεσίαν τινὰ τοιαύτην εἶναί φαμεν, ὁποίαν δοῦλοι δεσπόταις, τὸ κελευόμενον ἀόκνως ποιεῖν ἐγνωκότες, ὑπηρετοῦσι. Διοίσει δὲ πάλιν, ὅτι οἱ μὲν δεσπόται ὑπηρεσίας ἐνδεεῖς, ὁ δὲ θεὸς οὐ χρεῖος· ὥςτε ἐκείνοις μὲν τὰ ὠφελήσοντα αὐτοὺς ὑπηρετοῦσι, τῷ δὲ οὐδὲν ἔξω φιλοδεσπότου γνώμης παρέξουσι. Βελτιῶσαι μὲν γὰρ οὐδὲν εὑρήσουσι, τῶν δεσποτικῶν πάντων ἐξ ἀρχῆς ὄντων ἀρίστων· μεγάλα δὲ αὐτοὺς ὀνήσουσι, γνωρισθῆναι θεῷ προμηθούμενοι. —

§. 17. Ταῦτα μὲν οὖν ἱκανῶς εἰρῆσθαι νομίζω

πρὸς τοὺς εὖ ἢ κακῶς ἑτέρους ποιεῖν δοκοῦντας· εὑ-
ρέθησαν γὰρ ἑαυτοὺς ἑκάτερον δρῶντες. Τὰ δὲ ἑξῆς
ἐρευνήσωμεν. Ἔστι δὲ πεῦσις τοιαύτη, „Ποῦ Ἄβελ 166
ὁ ἀδελφός σου;" *) Πρὸς ἣν ἀποκρίνεται, „Οὐ γι- P.
νώσκω, μὴ φύλαξ τοῦ ἀδελφοῦ μου εἰμὶ ἐγώ;" Οὐκ-
οῦν ἄξιον διαπορῆσαι εἰ κυρίως ἐνδέχεται πυνθάνε-
σθαι θεόν. Ὁ γὰρ ἐρωτῶν ἢ πυνθανόμενος περὶ
ὧν ἀγνοεῖ ἐρωτᾷ τε καὶ πυνθάνεται, ζητῶν ἀπόκρι-
σιν ἐξ ἧς ὃ μὴ οἶδεν εἴσεται· πάντα δὲ θεῷ γνώριμα,
οὐ τὰ παρόντα μόνον καὶ παρεληλυθότα, ἀλλὰ καὶ
τὰ μέλλοντα. Τί οὖν καὶ ἀποκρίσεως ὄφελος μὴ μελ-
λούσης τινὰ περιποιεῖν τῷ πυνθανομένῳ κατάληψιν;
Ἀλλὰ ῥητέον, ὅτι τοιαῦτα οὐ πέφυκεν ὑπὸ τοῦ αἰ-
τίου κυριολογεῖσθαι, ἀλλ' ὥςπερ ψεῦδος λέγειν ἐστὶ
μὴ ψευδόμενον, οὕτω καὶ ἐρώτημα καὶ πύσμα προ-
φέρεσθαι μήτε ἐρωτῶντα, μήτε πυνθανόμενον. Τί-
νος οὖν ἕνεκα, φήσει τις ἴσως, λέγεται τοιαῦτα; Ἵνα
ἡ μέλλουσα τὰς ἀποκρίσεις ποιεῖσθαι ψυχὴ δι' ἑαυ-
τῆς ἐλέγχῃ τὰ περὶ ὧν εὖ ἢ κακῶς ἀποφαίνεται,
μήτε κατηγόρῳ, μήτε συναγωνιστῇ χρωμένη ἑτέρῳ.
203 Ἐπεὶ καὶ τὸν σοφὸν ὁπότε ἀνερωτᾷ, „Ποῦ ἐστί
M σοι ἡ ἀρετή;" **) — τὸν Ἀβραὰμ λέγω περὶ Σάῤ-
ῥας — οὐκ ἀγνοῶν ἐρωτᾷ, ἀλλὰ δεῖν οἰόμενος αὐ-
τὸν ἀποκρίνεσθαι, ἕνεκα τοῦ τὸν ἔπαινον τὸν ἐξ αὐ-
τοῦ τοῦ λέγοντός φησι παραστῆσαι. Φησὶ γοῦν,
ὅτε εἶπεν, „Ἰδοὺ ἐν τῇ σκηνῇ," τουτέστι, τῇ ψυχῇ.
Τί οὖν τὸ ἐκ τῆς ἀποκρίσεως ἐπαινετόν; Ἰδοὺ τὴν
ἀρετήν, φησίν, ἔχω παρ' ἐμαυτῷ, καθάπερ τι κει-
μήλιον, καὶ διὰ τοῦτ' εὐθὺς εὐδαιμονῶ. Χρῆσις
γὰρ καὶ ἀπόλαυσις ἀρετῆς, τὸ εὔδαιμον, οὐ ψιλὴ
μόνον κτῆσις. Χρῆσθαι δ' οὐκ ἂν δυναίμην, εἰ μὴ
σὺ καθεὶς ἐξ οὐρανοῦ τὰ σπέρματα ἀπεργάσαιο αὐ-
τὸς ἐγκύμονα, ἡ δὲ τὸ εὐδαιμονίας γένος ἀποτέκοι,
τὸν Ἰσαάκ. Εὐδαιμονίαν δὲ χρῆσιν ἀρετῆς τελείας

---

*) Gen. 4, 9. — **) Gen. 18, 9.

ἐν βίῳ τελείῳ νενόηκα. Παρʼ ὃ καὶ τῆς προαιρέσεως ἀγάμενος αὐτὸν, ὁμολογεῖ τελεσφορήσειν καιρίως ἃ ᾐτήσατο.

§. 18. Τούτῳ μὲν οὖν ἡ ἀπόκρισις ἔπαινον ἤνεγκεν, ὁμολογοῦντι μηδὲ τὴν ἀρετὴν, ἄνευ θείας ἐπιφροσύνης, ἱκανὴν ἐξ ἑαυτῆς ὠφελεῖν εἶναι· τῷ δὲ Κάϊν ἀκολούθως ψόγον, φάσκοντι μὴ εἰδέναι, ποῦ ὁ δολοφονηθείς ἐστι παρʼ αὐτοῦ. Δόξει γὰρ τὸν ἀκούοντα ἀπατῆσαι, ὡς οὐ πάντα διορῶντα, καὶ τὴν ἀπάτην ᾗ μέλλει χρῆσθαι οὐ προκατειληφότα. Ἔκθεσμος δὲ καὶ ἔκφυλος πᾶς ὁ τὸν τοῦ θεοῦ ὀφθαλμὸν οἰόμενός τι παρορᾶν. Ὁ δέ γε καὶ ἐπικανιεύεται φάσκων, „Μὴ φύλαξ τοῦ ἀδελφοῦ μου εἰμὶ ἐγώ;" *) Πάνυ γὰρ εἴποιμεν, ἀθλίως ἔμελλε βιώσεσθαι, εἴ σε φρουρὸν καὶ φύλακα ἡ φύσις ἀγαθοῦ τοσούτου κατέστησεν. Ἢ οὐχ ὁρᾷς ὅτι τὴν τῶν ἁγίων διατήρησίν τε καὶ φυλακὴν οὐ τοῖς ἐπιτυχοῦσιν ὁ νομοθέτης, ἀλλὰ τοῖς τὰς γνώμας ἱερωτάτοις Λευΐταις ἐπιτρέπει; Ὧν ἀνάξιος κλῆρος γῆ καὶ 167
ὕδωρ καὶ ἀὴρ, ἔτι δὲ οὐρανὸς καὶ πᾶς ὁ κόσμος P.
ἐνομίσθη· μόνος δὲ ἀξιόχρεως ὁ δημιουργὸς, ᾧ προςπεφεύγασιν, ἱκέται γνήσιοι καὶ θεράποντες ἑαυτοῦ γινόμενοι, τὸ φιλοδέσποτον διὰ τῆς συνεχοῦς ὑπηρεσίας καὶ τῆς τῶν ἐπιτραπέντων ἀοκνοτάτης ἐπιδεικνύμενοι φυλακῆς.

§. 19. Καὶ οὐδʼ ἅπασιν ἐξεγένετο τοῖς ἱκέταις γενέσθαι φύλαξιν ἱερῶν, ἀλλʼ οἵτινες ἀριθμὸν πεντηκοστὸν ἔλαχον, ἄφεσιν καὶ ἐλευθερίαν παντελῆ καὶ ἐπάνοδον εἰς τὰς ἀρχαίας λήξεις προκηρύττοντα. „Τοῦτο γὰρ," φησὶν, „ἐστὶ τὸ περὶ τῶν Λευΐτῶν.
204 „Ἀπὸ πέντε καὶ εἴκοσιν ἐτῶν εἰςελεύσεται ἐνερ-
M. γεῖν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, καὶ ἀπὸ πεντήκοντα ἐτῶν ἀποστήσεται τῆς λειτουργίας, καὶ οὐκ ἐργάσεται ἔτι, λειτουργήσει δὲ ἀδελφὸς αὐτοῦ· ὁ δὲ φυλάξει

*) Gen. 4, 9.

φυλακὰς, ἔργα δὲ οὐκ ἐργάσεται." *) Οὐκοῦν τῷ μὲν ἡμίσει τὴν τελειότητα — τέλειος γὰρ ὁ πεντηκοστὸς λόγος, ὁ δὲ τῶν πέντε καὶ εἴκοσιν ἥμισυ μέρος — ἐνεργεῖν ἐπιτρέπει, καὶ δρᾶν τὰ ἅγια τὴν δι' ἔργων ἀρεσκείαν ἐπιδεικνυμένῳ, — ἀρχὴ δέ, ὡς ἔφη τις τῶν πάλαι, τοῦ παντὸς ἥμισυ μέρος, — τῷ δὲ τελείῳ μηκέτι πονεῖν, τὰ δὲ ὅσα ἐκ μελέτης καὶ πόνου περιεποιήσατο φυλάττειν. Μὴ γὰρ γενοίμην ἀσκητὴς ὢν μὴ φύλαξ αὖθις. Ἡ μὲν οὖν ἄσκησις μέσον, οὐ τέλειον· γίνεται γὰρ ἐν οὐ τελείαις μέν, ἀκρότητος δὲ ἐφιεμέναις ψυχαῖς. Ἡ δὲ φυλακὴ παντελὲς μνήμῃ τὰ ἀσκητὰ παραδοῦναι θεωρήματα τῶν ἁγίων, ἐπιστήμης καλὴν παρακαταθήκην φύλακι πιστῇ, ἣ μόνη τῶν λήθης πολυμηχάνων δικτύων ἀλογεῖ. Ὥςτε τὸν μνήμονα ὧν ἔμαθεν, ὑγιῶς καὶ εὐθυβόλως καλεῖ φύλακα. Οὗτος δὲ πρότερον ἡ ἐγυμνάζετο, μαθητὴς ἦν, διδάσκοντος ἑτέρου· ὁπότε δὲ ἱκανὸς φυλάττειν ἐγένετο, διδασκάλου δύναμιν καὶ τάξιν ἔλαχε, τὸν ἀδελφὸν εἰς τὰς ὑπηρεσίας τῆς διδασκαλίας χειροτονήσας τὸν ἑαυτοῦ προφορικὸν λόγον. Λέγεται γάρ, ὅτι "λειτουργήσει ὁ ἀδελφὸς αὐτοῦ." **) Ὥςτε ὁ μὲν τοῦ ἀστείου νοῦς φύλαξ καὶ ταμίας τῶν ἀρετῆς ἔσται δογμάτων. Ὁ δὲ ἀδελφὸς αὐτοῦ λόγος λειτουργήσει, τοῖς παιδείαν μετιοῦσι διεξιὼν τῆς σοφίας δόγματά τε καὶ θεωρήματα. Δι' ὃ καὶ ὁ Μωϋσῆς ἐν ταῖς εὐλογίαις Λευΐ, πολλὰ καὶ θαυμάσια προειπών, ἐπιφέρει, "Ἐφύλαξε τὰ λόγιά σου, καὶ τὴν διαθήκην σου διετήρησεν·" ***) εἶθ' ἑξῆς, "Δηλώσουσι τὰ δικαιώματά σου Ἰακώβ, καὶ τὸν νόμον σου Ἰσραήλ." Οὐκοῦν ὅτι καὶ λόγων καὶ διαθήκης θεοῦ φύλαξ ὁ ἀστεῖός ἐστιν ἐναργῶς παρίστησι. Καὶ μὴν ὅτι δικαιωμάτων καὶ νόμων ἑρμηνεὺς καὶ ὑφηγητὴς ἄριστος πάλιν δεδήλωκε, τῆς μὲν ἑρμηνείας διὰ συγγενικοῦ ὀργάνου, τοῦ φωνητηρίου

*) Num. 8, 24 sqq. — **) Num. 8, 25. — ***) Deut. 33, 9. 10.

δήπου, συνισταμένης, τῆς δὲ φυλακῆς περὶ τὸν 168
νοῦν ἐξεταζομένης, ὃς μέγα ταμεῖον ὑπὸ φύσεως δη- P.
μιουργηθεὶς, τὰς ἁπάντων καὶ σωμάτων καὶ πραγμάτων ἐννοίας εὐμαρῶς κεχώρηκεν. Ἐλυσιτέλει δὴ τῷ φιλαύτῳ Κάϊν φυλάξαι τὸν Ἄβελ. Εἰ γὰρ διετήρησεν αὐτὸν, κεκριμένου καὶ μέσου βίου μετεποιήσατ᾽ ἂν, ἀλλ᾽ οὐκ ἀμιγοῦς καὶ ἀκράτου κακίας ἐνεφορήθη. —

205 §. 20. Καὶ εἶπεν ὁ θεὸς, "Τί ἐποίησας; Φωνὴ
M. αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ γῆς." *) Τὸ "τί ἐποίησας" καὶ ἀγανάκτησιν ἐμφαίνει ἐπὶ οὐκ εὐαγεῖ πράξει, καὶ χλευασμὸν ἐπὶ τῷ δολοφονῆσαι δοκοῦντι. Ἡ μὲν οὖν ἀγανάκτησις ἐπὶ τοῦ δεδρακότος γνώμῃ γίνεται, ὅτι τὸ καλὸν ἀνελεῖν ἐβούλευσεν· ἡ δὲ χλεύη διὰ τὸ οἴεσθαι μὲν ἐπιβεβουλευκέναι τῷ κρείττονι, ἐπιβεβουλευκέναι δὲ οὐκ ἐκείνῳ μᾶλλον ἢ ἑαυτῷ. Ζῇ μὲν γὰρ, ὡς καὶ πρότερον ἔφην, ὁ τεθνάναι δοκῶν, εἴ γε καὶ ἱκέτης ὢν θεοῦ καὶ φωνῇ χρώμενος εὑρίσκεται. Τέθνηκε δὲ ὁ περιεῖναι νομιζόμενος τὸν ψυχικὸν θάνατον, ἀρετῆς, καθ᾽ ἣν ἄξιος μόνην ἐστὶ ζῆν, ἀποσχοινισθείς. Ὥςτε καὶ τὸ "τί ἐποίησας" ἴσον εἶναι τῷ "οὐδὲν ἐποίησας," οὐδὲν ἤνυσας. Οὐδὲ γὰρ ὁ σοφιστὴς Βαλαὰμ, μάταιος ὢν ὄχλος ἐναντίων καὶ μαχομένων δοξῶν, βουληθεὶς ἀρὰς τίθεσθαι καὶ βλάπτειν τὸν ἀστεῖον, ἴσχυσε, "τοῦ θεοῦ τὰς κατάρας εἰς εὐλογίαν τρέποντος," **) ἵνα καὶ τῆς πανουργίας ἀπελέγξῃ τὸν ἄδικον, καὶ ἑαυτοῦ τὸ φιλάρετον παραστήσῃ.

§. 21. Πεφύκασι δὲ οἱ σοφισταὶ πολεμίοις χρῆσθαι ταῖς ἐν αὐτοῖς δυνάμεσι, καὶ λόγων ἐνθυμήμασι, καὶ βουλευμάτων λόγοις ἀντιστατούντων καὶ μηδαμῇ μηδαμῶς συναδόντων. Ἀποκναίουσι γοῦν ἡμῶν τὰ ὦτα, τὴν δικαιοσύνην κοινωνικὸν, τὴν σωφροσύνην συμφέρον, τὴν ἐγκράτειαν ἀστεῖον, τὴν

*) Gen. 4, 10. — **) Num. 23, 8.

εὐσέβειαν ὠφελιμώτατον, τὴν ἄλλην ἀρετὴν ὑγιει-
νότατόν τε καὶ σωτήριον ἀποφαίνοντες· καὶ πάλιν
τὴν ἀδικίαν ἄσπονδον, τὴν ἀκολασίαν νοσερὸν, τὴν
ἀσέβειαν ἔκθεσμον, τὴν ἄλλην κακίαν βλαβερώτατον
διεξιόντες. Καὶ ὅμως τὰ ἐναντία τοῖς λεγομένοις
φρονοῦντες οὐ παύονται. Ἀλλ' ὅταν φρόνησιν καὶ
σωφροσύνην καὶ δικαιοσύνην καὶ εὐσέβειαν ὑμνῶσι,
τότε μάλιστα ἀφραίνοντες, ἀκολασταίνοντες, ἀδι-
κοῦντες, ἀσεβοῦντες, πάνθ' ὡς ἔπος εἰπεῖν ἀνθρώ-
πεια καὶ θεῖα συγχέοντές τε καὶ ἀνατρέποντες εὑρί-
σκονται. Πρὸς οὓς ἂν εἴποι τις ὀρθῶς, ὅπερ καὶ
ὁ χρησμὸς ἔφη τῷ Κάϊν· "Τί ἐποιήσατε;" Τί εἰρ-
γάσασθε αὐτοὺς ἀγαθόν; Τί οἱ τοσοῦτοι περὶ ἀρε-
τῆς λόγοι τὴν ὑμετέραν ψυχὴν ὠφέλησαν; Τί τοῦ
βίου μικρὸν ἢ μέγα μέρος ἐπηνορθώσασθε; Τί δέ;
Οὐχὶ τὰ ἐναντία διαβολὰς καθ' ἑαυτῶν ἀληθεῖς 169
ἠρανίσατε, ὅτι συνθέντες τὰ καλὰ καὶ τῷ λόγῳ φι- P.
λοσοφοῦντες, ἑρμηνεῖς μὲν ἄριστοι γεγόνατε, τὰ δ'
αἴσχιστα καὶ φρονοῦντες καὶ ἐπιτηδεύοντες ἀεὶ ἁλί-
σκεσθε; Οὐ μὴν ἔτι γε ἐν ταῖς ὑμετέραις ψυχαῖς
τέθνηκε τὰ καλὰ, ζωπυρηθέντων κακῶν· διὰ τοῦτο
ἕκαστος ὑμῶν οὐ περίεστιν. Ὥσπερ γὰρ μουσικοῦ
206 τινος ἢ γραμματικοῦ τελευτήσαντος, ἡ μὲν ἐν τοῖς
M. ἀνδράσι μουσικὴ καὶ γραμματικὴ συνέφθαρται, αἱ
δὲ τούτων ἰδέαι μένουσι καὶ τρόπον τινὰ βιοῦσιν
ἰσοχρόνιοι τῷ κόσμῳ, καθ' ἃς οἵ τε ὄντες καὶ οἱ
μέλλοντες διαδοχαῖς ταῖς ἐς ἀεὶ μουσικοί τε καὶ γραμ-
ματικοὶ γενήσονται· οὕτω καὶ τὸ ἔν τινι φρόνιμον
ἢ σῶφρον ἢ ἀνδρεῖον ἢ δίκαιον ἢ συνόλως σοφὸν
ἂν ἀναιρεθῇ, οὐδὲν ἧττον ἐν τῇ τοῦ παντὸς ἀθα-
νάτου φύσει φρόνησις ἀθάνατος, καὶ ἀρετὴ σύμπα-
σα ἄφθαρτος ἐστηλίτευται, καθ' ἣν καὶ νῦν εἰσὶν
ἀστεῖοί τινες, καὶ αὖθις γενήσονται. Εἰ μὴ καὶ ἀν-
θρώπου τινὸς τῶν ἐν μέρει θάνατον φθορὰν ἐργά-
σασθαι φήσομεν ἀνθρωπότητι, ἣν εἴτε γένος, εἴτε
ἰδέαν, εἴτε ἐννόημα, εἴθ' ὅ τι ποτὲ χρὴ καλεῖν, οἱ

ζητητικοὶ τῶν κυρίων ὀνομάτων εἴσονται. Μία σφραγὶς πολλάκις μυρίας ὅσας ἀπείρους οὐσίας τυπώσασα, πάντων ἔστιν ὅτε τῶν τύπων ἐξιτήλων αὐταῖς οὐσίαις γινομένων, ἐν τῇ ἑαυτῆς φύσει μηδὲν βλαβεῖσα κατὰ χώραν ἔμεινεν. Εἶτ᾽ οὐκ οἰόμεθα τὰς ἀρετάς, καὶ ἂν πάντες οἱ χαρακτῆρες οὓς ἐσημήναντο ταῖς τῶν προςεληλυθότων ψυχαῖς, ὑπὸ μοχθηρᾶς διαίτης ἤ τινος ἑτέρας ἐξ αἰτίας ἐξίτηλοι γένωνται, τὴν ἀκήρατον ἑαυτῶν καὶ ἄφθαρτον φύσιν εἰςαεὶ σχήσειν; Οὐκ εἰδότες οὖν οἱ παιδείας ἀμύητοι διαφορὰς οὔθ᾽ ὅλων πρὸς μέρη, οὔτε γενῶν πρὸς εἴδη, οὔτε τὰς ἐν τούτοις ὁμωνυμίας, πάντα διὰ πάντων συγχέουσι καὶ φύρουσι. Διὸ πᾶς φίλαυτος, ἐπίκλησιν Κάϊν, διδαχθήτω ὅτι τὸ ὁμώνυμον τοῦ Ἄβελ ἀνῄρηκε, τὸ εἶδος, τὸ μέρος, τὸν ἀπεικονισθέντα τύπον, οὐ τὸ ἀρχέτυπον, οὐ τὸ γένος, οὐ τὴν ἰδέαν, ἅπερ οἴεται μετὰ ζώων ἄφθαρτα ὄντα συνεφθαρκέναι. Λεγέτω δή τις κατακερτομῶν αὐτῷ καὶ ἐπιχλευάζων, Τί πεποίηκας, ὦ κακόδαιμον; Οὐχ ἣν μὲν δοκεῖς ἀνῃρηκέναι φιλόθεον δόξαν, ζῇ παρὰ θεῷ; Σαυτοῦ δὲ γέγονας αὐθέντης, ᾧ μόνῳ βιοῦν ἀνυπαιτίως ἠδύνασο, ἐξ ἐνέδρας ἀνελών. —

§. 22. Πάνυ δὲ πεφώνηται, καὶ πρὸς κάλλος ἑρμηνείας καὶ πρὸς νοημάτων εὕρεσιν τὰ ἐπιλεγόμενα ταῦτα, "Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ τῆς γῆς."*) Ἡ μὲν οὖν κατὰ τὴν φράσιν ὑψηγορία πᾶσι τοῖς μὴ λόγων ἀμυήτοις γνώριμος.
Τὰ δὲ ἐμφαινόμενα νοήματα, ὡς ἂν οἷοί τε ὦμεν, 170
ἐπισκεψώμεθα· καὶ πρότερόν γε περὶ τοῦ αἵματος P.
Πολλαχοῦ μὲν γὰρ τῆς νομοθεσίας οὐσίαν τῆς ψυχῆς ἀποφαίνεται τὸ αἷμα, λέγων ἄντικρυς, "Ἡ γὰρ ψυχὴ πάσης σαρκὸς αἷμά ἐστιν."**) Ὁπότε δὲ πρῶτον μετὰ τὴν οὐρανοῦ καὶ γῆς καὶ τῶν μεταξὺ
207 γένεσιν ἐδημιούργει ἄνθρωπον ὁ ζωοπλάστης, φη-
M.

*) Gen. 4, 10. — **) Lev. 17, 11.

σὶν ὅτι "Ἐνεφύσησεν εἰς τὸ πρόςωπον αὐτοῦ πνεῦμα ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν," *) πάλαι διὰ τούτου παριστὰς, ὅτι πνεῦμά ἐστιν ἡ ψυχῆς οὐσία. Καὶ μὴν τῶν ἐξ ἀρχῆς ὑποθέσεων ἄκρως εἴωθε διαμεμνῆσθαι, τὰ ἀκόλουθα καὶ ὁμολογούμενα τοῖς προτέροις δικαιῶν ἐφαρμόττειν. Οὐκ ἂν οὖν πνεῦμα ψυχῆς οὐσίαν προειπὼν αἷμα διαφέρον σώματι αὖθις ἔλεγεν, εἰ μὴ πρός τι τῶν ἀναγκαιοτάτων καὶ συνεκτικωτάτων τὴν ἀναφορὰν ἐποιεῖτο. Τί οὖν λεκτέον; Ἕκαστον ἡμῶν κατὰ τὰς προςεχεῖς τιμὰς ἀριθμῶν, δύο εἶναι συμβέβηκε, ζῶόν τε καὶ ἄνθρωπον. Ἑκατέρῳ δὲ τούτων συγγενὴς δύναμις τῶν κατὰ ψυχὴν ἀποκεκλήρωται· τῷ μὲν ἡ ζωτικὴ, καθ' ἣν ζῶμεν, τῷ δὲ ἡ λογικὴ, καθ' ἣν λογικοὶ γεγόναμεν. Τῆς μὲν οὖν ζωτικῆς μετέχει καὶ τὰ ἄλογα, τῆς δὲ λογικῆς οὐ μετέχει μὲν, ἄρχει δὲ ὁ θεὸς, ἡ τοῦ πρεσβυτάτου λόγου πηγή.

§. 23. Ἡ μὲν οὖν κοινὴ πρὸς τὰ ἄλογα δύναμις οὐσίαν ἔλαχεν αἷμα. Ἡ δὲ ἐκ τῆς λογικῆς ἀποῤῥυεῖσα πηγῆς, τὸ πνεῦμα, οὐκ ἀέρα κινούμενον, ἀλλὰ τύπον τινὰ καὶ χαρακτῆρα θείας δυνάμεως, ἣν ὀνόματι κυρίῳ Μωϋσῆς εἰκόνα καλεῖ, δηλῶν ὅτι ἀρχέτυπον μὲν φύσεως λογικῆς ὁ θεός ἐστι, μίμημα δὲ καὶ ἀπεικόνισμα ἄνθρωπος· οὐ τὸ διφυὲς ζῶον, ἀλλὰ τὸ τῆς ψυχῆς ἄριστον εἶδος, ὃ νοῦς καὶ λόγος κέκληται. Διὰ τοῦτο σαρκὸς μὲν ψυχήν φησι τὸ αἷμα, **) εἰδὼς ὅτι ἡ σαρκῶν φύσις νοῦ μὲν οὐ μεμοίραται, ζωῆς δὲ, καθάπερ καὶ ὅλον ἡμῶν τὸ σῶμα, μετέχει. Ἀνθρώπου δὲ ψυχὴν ὀνομάζει πνεῦμα, ἄνθρωπον οὐ τὸ σύγκριμα καλῶν, ὡς ἔφην, ἀλλὰ τὸ θεοειδὲς ἐκεῖνο δημιούργημα, ᾧ λογιζόμεθα, οὗ τὰς ῥίζας εἰς οὐρανὸν ἔτεινε, καὶ τῆς ὑστάτης τῶν λεγομένων ἀπλανῶν ἁψῖδος ἐξῆψε. Μόνον γὰρ δὴ τῶν ἐπὶ γῆς φυτὸν οὐράνιον ὁ θεὸς ἄνθρωπον εἰρ-

---

*) Gen. 2, 7. — **) Deut. 12, 23.

γάσατο, τῶν μὲν ἄλλων τὰς κεφαλὰς πηξάμενος ἐν χέρσῳ, — κατωκάρα γὰρ πάντα, — ἀνθρώπου δὲ εἰς τὸ ἄνω προαγαγὼν, ἵνα τὰς τροφὰς ὀλυμπίους καὶ ἀφθάρτους, ἀλλὰ μὴ γεώδεις καὶ φθαρτὰς ἔχῃ. Παρ' ὃ καὶ τοῦ σώματος ἡμῶν, τὸ μὲν ὅσον ἀναισθητότατον πλεῖστον ἀποστήσας λογισμοῦ, τὰς βάσεις γῇ προσεῤῥίζου· τὰς δὲ νοῦ δορυφόρους αἰσθήσεις καὶ αὐτὸν ἐκεῖνον, ποῤῥωτάτω μὲν τῶν περὶ 171
208 γῆν ἐξῴκισε, ταῖς δὲ ἀέρος καὶ οὐρανοῦ περιόδοις, P.
M. ἀφθάρτοις οὔσαις, ἐνεδήσατο.

§. 24. Μηκέτ' οὖν ἀπορῶμεν, πῶς ἔννοιαν ἔλαβεν ἄνθρωπος θεοῦ τοῦ ἀειδοῦς, οἱ Μωϋσέως γνώριμοι· τὴν γὰρ αἰτίαν χρησμῷ μαθὼν αὐτὸς ἡμῖν ὑφηγήσατο. Ἔλεγε δὲ ὧδε. Ψυχὴν οὐδεμίαν τῷ σώματι ὁ ποιῶν εἰργάζετο ἱκανὴν ἐξ ἑαυτῆς τὸν ποιητὴν ἰδεῖν. Λογισάμενος δὲ μεγάλα ὀνήσειν τὸ δημιούργημα, εἰ λάβοι τοῦ δημιουργήσαντος ἔννοιαν — εὐδαιμονίας γὰρ καὶ μακαριότητος ὅρος οὗτος — ἄνωθεν ἐνέπνει τῆς ἰδίου θειότητος. Ἡ δὲ ἀοράτως ἀοράτῳ ψυχῇ τοὺς ἑαυτῆς τύπους ἐνεσφραγίζετο, ἵνα μηδ' ὁ περίγειος χῶρος εἰκόνος ἀμοιρήσῃ θεοῦ. Τὸ δ' ἀρχέτυπον οὕτως ἦν ἄρα ἀειδὲς, ὥστε καὶ ἡ εἰκὼν οὐχ ὁρατὴ, τυπωθεῖσα μέντοι κατὰ τὸ παράδειγμα, οὐκέτι θνητὰς ἀλλ' ἀθανάτους ἐννοίας ἐδέχετο. Πῶς γὰρ ἂν θνητὴ φύσις μένειν ἅμα καὶ ἀποδημεῖν ἠδύνατο, ἢ τὰ ἐνταῦθα καὶ τὰ ἑτέρωθι καθορᾶν, ἢ θάλατταν μὲν περιπλεῖν ἅπασαν, γῆν δὲ ἄχρι περάτων ἐπέρχεσθαι, ἢ νόμων καὶ ἐθῶν, ἢ συνόλως πραγμάτων καὶ σωμάτων ἐφάπτεσθαι; Ἢ δίχα τῶν ἐπιγείων καὶ τὰ μετάρσια καταλαμβάνειν, ἀέρα καὶ τροπὰς αὐτοῦ, καὶ καιρῶν ἰδιότητας, καὶ ὅσα ταῖς ἐτησίοις ὥραις καινουργούμενά τε καὶ ἐξ ἔθους ἀποτελεῖται; Ἢ πάλιν δι' ἀέρος εἰς οὐρανὸν ἀπὸ γῆς ἀνίπτασθαι, καὶ τὰς ἐν οὐρανῷ φύσεις ἐξετάζειν, ὡς ἔχουσιν, ὡς κινοῦνται, τίνες ὅροι τῆς κινήσεως ἀρχῆς καὶ τέλους αὐταῖς, πῶς ἀλλήλαις τε καὶ τῷ

παντὶ κατά τι συγγενείας δίκαιον ἁρμόζονται; Τέχνας τε καὶ ἐπιστήμας ἐπινοῆσαι, ὅσαι τά τε ἐκτὸς δημιουργοῦσι, καὶ τὰ περὶ σῶμα καὶ ψυχὴν, ὡς ἑκάτερον βελτιωθήσεται, πραγματεύονται, καὶ μυρία ἄλλα ὧν οὔτε ἀριθμὸν οὔτε φύσιν λόγῳ περιλαβεῖν εὔπορον; Μόνον γὰρ αὐτὰ τῶν παρ᾽ ἡμῖν ὁ νοῦς, ἅτε πάντων ὠκυδρομώτατος, καὶ τὸν χρόνον ἐν ᾧ γίνεσθαι δοκεῖ φθάνει καὶ παραμείβεται, κατὰ τὰς ἀοράτους δυνάμεις ἀχρόνως τοῦ τε παντὸς καὶ μερῶν, καὶ τῶν τούτων αἰτίων ἐπιψαύων. Ἤδη δὲ οὐ μόνον ἄχρι τῶν γῆς καὶ θαλάττης, ἀλλὰ καὶ ἀέρος καὶ οὐρανοῦ περάτων ἐλθὼν, οὐδ᾽ ἐνταῦθα ἔστη, βραχὺν ὅρον τοῦ συνεχοῦς καὶ ἀπαύστου δρόμου νομίσας τὸν κόσμον εἶναι. Προσωτέρω δὲ χωρῆσαι γλιχόμενος, καὶ τὴν ἀκατάληπτον θεοῦ φύσιν, ὅτι μὴ πρὸς τὸ εἶναι μόνον, καταλαβεῖν ἂν δύνηται. Πῶς οὖν εἰκὸς, βραχὺν οὕτως ὄντα τὸν ἀνθρώπινον νοῦν μήνιγγι ἢ καρδίᾳ, βραχέσιν ὄγκοις, ἐγκατει-
209 λημμένον, μέγεθος οὐρανοῦ καὶ κόσμου χωρῆσαι 172
M. τοσοῦτον, εἰ μὴ τῆς θείας καὶ εὐδαίμονος ψυχῆς P.
ἐκείνης ἀπόσπασμα ἦν οὐ διαιρετόν; Τέμνεται γὰρ οὐδὲν τοῦ θείου κατ᾽ ἀπάρτησιν, ἀλλὰ μόνον ἐκτείνεται. Διὸ μεμοιραμένος τῆς ἐν τῷ παντὶ τελειότητος, ὅταν ἐννοῇ κόσμον, τοῖς πέρασι τοῦ παντὸς συνευρύνεται, ῥῆξιν οὐ λαμβάνων. Ὁλκὸς γὰρ ἡ δύναμις αὐτοῦ. —

§. 25. Ταῦτα μὲν οὖν ὡς ἐν βραχέσιν εἰρήσθω περὶ οὐσίας ψυχῆς. Τὸ δὲ "φωνὴν αἵματος βοᾶν" *) κατ᾽ ἀκόλουθον οὕτως ἀποδώσομεν. Τῆς ἡμετέρας ψυχῆς τὸ μὲν ἄφωνόν ἐστι, τὸ δὲ φωνῆεν. Τὸ μὲν ἄλογον ἄφωνον, φωνῆεν δὲ ὅσον λογικὸν, ὃ δὴ μόνον ἔννοιαν εἴληφε θεοῦ. Τοῖς γὰρ ἄλλοις μέρεσιν, οὔτε θεὸν οὔτε τι νοητὸν καταλαβεῖν δυνάμεθα. Τῆς οὖν ζωτικῆς δυνάμεως, ἧς τὸ οὐσιῶδες αἷμα,

*) Gen. 4, 10.

μοῖρά τις ἐξαίρετον ἔσχε γέρας, φωνὴν καὶ λόγον, οὐ τὸ διὰ στόματος καὶ γλώττης ῥέον νᾶμα, ἀλλὰ τὴν πηγήν, ἀφ᾽ ἧς αἱ τοῦ προφορικοῦ δεξαμεναὶ πληροῦσθαι πεφύκασιν. Ἡ δὲ πηγὴ νοῦς ἐστι, δι᾽ οὗ τὰς πρὸς τὸν ὄντα ἐντεύξεις καὶ ἐκβοήσεις, τῇ μὲν ἑκόντες, τῇ δὲ καὶ ἄκοντες ἀναφθεγγόμεθα· ὁ δὲ ἅτε ἀγαθὸς ὢν καὶ ἵλεως, τοὺς ἱκέτας οὐκ ἀποστρέφεται, καὶ μάλισθ᾽ ὅταν ἐπὶ τοῖς Αἰγυπτίοις ἔργοις καὶ πάθεσι στενάζοντες ἀψευδῶς καὶ ἀπλάστως ἐκβοῶσι. Τότε γὰρ "ἀναβαίνειν φησὶ Μωϋσῆς τοὺς λόγους αὐτῶν πρὸς τὸν θεόν,"*) τὸν δὲ ὑπακούσαντα ῥύσασθαι τῶν παρεστώτων κακῶν. Ταῦτα δὲ πάντα γίνεσθαι, ὅταν ὁ βασιλεὺς Αἰγύπτου τελευτήσῃ, τὸ παραδοξότατον. Εἰκὸς γὰρ ἦν ἀποθανόντος τυράννου χαίρειν καὶ γεγηθέναι τοὺς τυραννουμένους, ἀλλὰ τότε λέγονται στενάζειν. "Μετὰ γὰρ τὰς ἡμέρας τὰς πολλὰς ἐκείνας ἐτελεύτησεν ὁ βασιλεὺς Αἰγύπτου, καὶ κατεστέναξαν οἱ υἱοὶ Ἰσραήλ."**) Πρὸς μὲν τὸ ῥητὸν ἡ λέξις τὰ εὔλογον οὐ περιέχει, πρὸς δὲ τὰς ἐν ψυχαῖς δυνάμεις, τὸ κατ᾽ αὐτὴν ἀκόλουθον εὑρίσκεται. Ὁ γὰρ ἀνασκιδνῶν καὶ ἀποῤῥίπτων τὰς περὶ τῶν καλῶν δόξας, ὅταν ἐν ἡμῖν ζωπυρῆται Φαραὼ καὶ ὑγιαίνειν δοκῇ, εἰ δή τινα τῶν φαύλων ὑγιαίνειν λεκτέον, τὴν ἡδονὴν ἀποδεχόμεθα, ἐγκράτειαν πέραν ὅρων ἐλαύνοντες· ὅταν δὲ ἀπόκρατος γένηται καὶ τρόπον τινὰ τελευτήσῃ ὁ τοῦ βδελυρῶς καὶ ἀσελγῶς ζῆν αἴτιος, τὸν σώφρονα ἐναυγασθέντες βίον, μετακλαίομεν καὶ μεταστένομεν τῆς παλαιᾶς διαίτης ἑαυτούς, ὅτι ἡδονὴν ἀρετῆς προτιμήσαντες, θνητὸν βίον ἀθανάτῳ ὑπεζεύξαμεν. Λαβὼν δὲ οἶκτον τῆς συνεχοῦς ἡμῶν
210 ὀλοφύρσεως ὁ νόμος, εὐμενῶς προσίεται ψυχὰς
M ἱκέτιδας, τὸν δὲ ἐπισεισθέντα τῶν παθῶν Αἰγύπτιον σκηπτὸν ῥᾳδίως ἀπωθεῖται. —

*) Exod. 2, 23. — **) Ibid.

§. 26. Τῷ δὲ μὴ δεχομένῳ μετάνοιαν Κάϊν δι' ὑπερβολὴν ἄγους ἀδελφοκτονίας, οἰκειοτάτας ἀρὰς 173
τίθεται. Πρῶτον μὲν γάρ φησιν αὐτῷ, "Καὶ νῦν P.
ἐπικατάρατος σὺ ἐπὶ τῆς γῆς,"*) δηλῶν πρῶτον ὅτι οὐχὶ νῦν ὅτε ἐδολοφόνησεν, ἐναγὴς καὶ ἐπάρατός ἐστιν, ἀλλὰ καὶ πρότερον ὅτε ἐβούλευσε τὸν φόνον, τῆς γνώμης ἴσον τῷ τελείῳ δυναμένης. Ἕως μὲν γὰρ τὰ αἰσχρὰ μόνον ἐννοοῦμεν κατὰ ψιλὴν τοῦ νοῦ φαντασίαν, τότε τῆς διανοίας ἐσμὲν ὕποχοι· δύναται γὰρ καὶ ἀκουσίως ἡ ψυχὴ τρέπεσθαι. Ὅταν δὲ προσγένηται τοῖς βουλευθεῖσιν ἡ πρᾶξις, ὑπαίτιον γίνεται καὶ τὸ βουλεύσασθαι. Τὸ γὰρ ἑκουσίως διαμαρτάνειν ταύτῃ μάλιστα διαγνωρίζεται. Κατάρατον δέ φησι τὸν νοῦν, οὐκ ἀπ' ἄλλου τινὸς, ἢ ἀπὸ τῆς γῆς ἔσεσθαι. Τῶν γὰρ χαλεπωτάτων αὐτοῦ συμφορῶν τὸ περὶ ἕκαστον ἡμῶν γεῶδες αἴτιον εὑρίσκεται. Τὸ γοῦν σῶμα ἢ νόσῳ χρησάμενον, τὰς ἀφ' ἑαυτοῦ προσβαλὸν κῆρας, ἄσης καὶ ἀδημονίας ἑαυτὸν ἐνέπλησεν, ἢ πιανθὲν ἀμέτρως ἀπολαύσει ἡδονῶν ἀμβλυτέρας τὰς εἰς τὸ καταλαμβάνειν ἀκμὰς ἀπειργάσατο. Καὶ μὲν δὴ ἑκάστη τῶν αἰσθήσεων δεκτικὴ βλάβης ἐστίν. Ἡ γὰρ κάλλος ἰδὼν ἔρωτος ἐτρώθη, δεινοῦ πάθους, βέλεσιν· ἢ θάνατον ἀκούσας γένει προσήκοντός τινος ὑπὸ λύπης ἐκάμφθη. Πολλάκις δὲ καὶ γεῦσις αὐτὸν κατέβαλεν, ἀηδέσι χυλοῖς αἰκισαμένη, ἢ πλήθει ἡδέων βαρύνασα. Τῶν μὲν γὰρ πρὸς συνουσίαν οἴστρων τί δεῖ μεμνῆσθαι; Πόλεις ὅλας καὶ χώρας καὶ κλίματα μεγάλα γῆς οὗτοι διέφθειραν, ὧν μάρτυς ἡ ποιητῶν καὶ συγγραφέων πληθὺς σχεδὸν ἅπασα.

§. 27. Τὸν δὲ τρόπον καθ' ὃν ἐπὶ τῆς γῆς κατάρατος ὁ νοῦς γίνεται, προσυπογράφει λέγων, "Ἣ ἔχανε τὸ στόμα αὐτῆς, δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου."**) Χαλεπὸν γὰρ διοιχθῆναί τε καὶ

---

*) Gen. 4, 11. — **) Ibid.

ἀνευρυνθῆναι τὰ τῶν αἰσθήσεων στομία, ὡς ἀχανέσιν αὐτοῖς τὴν τῶν αἰσθητῶν φορὰν ποταμοῦ πλημμύροντος δίκην, ἐπιχεῖσθαι, μηδενὸς τὴν βίαιον ὁρμὴν ἀνωθοῦντος. Τότε γὰρ ἐγκαταποθεὶς ὁ νοῦς τοσούτῳ κλύδωνι βύθιος εὑρίσκεται, μηδ' ὅσον ἀνανήξασθαι καὶ ὑπερκῦψαι δυνάμενος. Ἀλλὰ χρὴ τούτων ἑκάστῳ καταχρῆσθαι, μὴ πρὸς ἃ δύναται μᾶλλον, ἢ πρὸς τὰ βέλτιστα. Δύναται μὲν γὰρ πάνθ' ὁρᾶν χρώματα καὶ σχήματα ἡ ὄψις· ἀλλὰ ὁράτω τὰ φωτὸς μὴ σκότους ἄξια. Δύναται δὲ καὶ τὸ οὖς πασῶν ἀντιλαμβάνεσθαι φωνῶν· ἀλλ' ἐνίων παρακουέτω. Μυρία γὰρ τῶν λεγομένων αἰσχρά. Μηδ'
211 ὅτι γεύσεώς σοι μετέδωκεν ἡ φύσις, ὦ τετυφωμένε,
M. τρόπον αἰθύης πάντων ἀπλήστως ἐμφοροῦ. Πολλὰ γὰρ τῶν οὐ τροφίμων μόνον, ἀλλὰ καὶ περιττῶν νόσους μετὰ χαλεπῆς ὠδῖνος ἔτεκε. Μηδ' ὅτι με- 174
ρῶν τῶν πρὸς γονὰς ἠξιώθης ἕνεκα τῆς διαμονῆς P.
τοῦ παντός, φθορὰς καὶ μοιχείας καὶ τὰς ἄλλας οὐκ εὐαγεῖς μίξεις μετέρχου· ἀλλ' ὅσαι μετὰ νόμου τὸ ἀνθρώπων σπείρουσί τε καὶ φυτεύουσι γένος. Μηδ' ὅτι γλώττης καὶ στόματος καὶ φωνητηρίων ὀργάνων μεμοίρασαι, πάντ' ἐκλάλει καὶ τὰ ἄρρητα. Τὸ γὰρ ἐχεμυθεῖν ἔστιν ὅπου χρήσιμον. Καί μοι δοκοῦσιν οἱ μαθόντες λέγειν μεμαθηκέναι καὶ ἡσυχάζειν, τῆς αὐτῆς δυνάμεως περιποιούσης ἑκάτερον. Οἱ δὲ ὅσα μὴ προςῆκε διεξιόντες οὐ δύναμιν λόγων, ἀλλ' ἡσυχίαν ἀσθενῆ ἐπιδείκνυνται. Διὸ σπουδάζομεν ἕκαστον τῶν εἰρημένων στομίων καταδεῖν τοῖς ἀρρήκτοις ἐγκρατείας δεσμοῖς. „Ὅσα γὰρ οὐχὶ δεσμῷ καταδεῖται," φησὶ Μωϋσῆς ἐν ἑτέροις*) „ἀκάθαρτα εἶναι," ὡς ἂν τοῦ κεχαλάσθαι καὶ κεχηνέναι καὶ λελῦσθαι τὰ τῆς ψυχῆς μέρη, κακοδαιμονίας αἰτίου· τοῦ δὲ συνῆχθαι καὶ συνεσφίγχθαι, καὶ ὀρθὸν βίον καὶ λόγον ἐργαζομένου. Τὸν ἄθεον οὖν καὶ ἀσεβῆ

*) Num. 19, 15.

Κάϊν δεόντως καταρᾶται, ὅτι τοὺς φωλεοὺς τοῦ συγκρίματος διοίξας ἐπικέχηνε πᾶσι τοῖς ἐκτὸς, εὐχόμενος δι' ἀπληστίαν δέξασθαί τε αὐτὰ καὶ χωρῆσαι, ἐπ' ὀλέθρῳ τοῦ φιλοθέου δόγματος, Ἄβελ.

§. 28. "Ἐργάσεται διὰ τοῦτο τὴν γῆν," *) οὐ γεωργήσει· γεωργὸς μὲν γὰρ πᾶς τεχνίτης, ὅτι τέχνη καὶ ἡ γεωργική. Πολλοὶ δὲ τῶν ἰδιωτῶν γεωπόνοι, τὴν ἄνευ ἐμπειρίας ἕνεκα τῶν ἀναγκαίων μετιόντες ὑπηρεσίαν. Οὗτοι μὲν οὖν, ἐν οἷς δρῶσι, πολλὰ βλάπτουσιν, ἐπιστάτου μὴ τυχόντες· ἃ δ' ἂν καὶ εὖ ἐργάσωνται, κατὰ τύχην, οὐ σὺν λόγῳ κατορθοῦσι. Τῶν δὲ γεωργῶν τὰ μετ' ἐπιστήμης ἐνεργούμενα, πάντ' ἐστὶν ἐξ ἀνάγκης ὠφέλιμα. Τούτου χάριν ὁ νομοθέτης τῷ δικαίῳ Νῶε τὴν γεωργικὴν ἀνῆψε τέχνην, **) ἐκδιδάσκων ὅτι, καθάπερ γεωργὸς ἀγαθὸς, ὁ σπουδαῖος τῆς τε ἀγρίας ὕλης τὰ μὲν ὅσα βλαβερὰ ἔρνη πρὸς παθῶν ἢ κακιῶν φυτευθέντα ἐκκόπτει, τὰ δὲ ὅσα μὴ καρποτόκα μὲν, δύναται δὲ ἀντὶ τείχους φραγμὸς εἶναι ψυχῆς ὀχυρώτατος, ἐᾷ. Καὶ πάλιν αὖ τῆς ἡμέρου πάσης κατὰ διαφέροντας καὶ οὐχὶ τοὺς αὐτοὺς τρόπους ἐπιμελεῖται, τῶν μὲν ἀφαιρῶν, τοῖς δὲ προστιθεὶς, καὶ μὲν εἰς μέγεθος αὔξων, τὰ δὲ εἰς βραχύτητα συντέμνων. Ἤδη δὲ καὶ ἄμπελον ἰδὼν εὐθηνοῦσαν, τὰς κληματίδας ἐκκλίνει κατὰ γῆς, τάφρους ὀρυξάμενος, καὶ τὸν χοῦν αὖθις
212 ἐπενεγκών· αἱ δ' ἀντὶ μερῶν ὅλαι, καὶ ἀντὶ θυγα-
M τέρων μητέρες οὐκ εἰς μακρὰν ἐγένοντο, ἔτι καὶ τῆς
φύσει μητρὸς ἀποδύσασαι τὸ γῆρας. Παυσαμένη
γὰρ τοῦ διανέμειν καὶ κατακερματίζειν τὴν τροφὴν 175
πολλοῖς ἐγγόνοις, ἅτε ἱκανοῖς γεγονόσιν ἐξ ἑαυτῶν P.
τρέφεσθαι, παρ' ἣν αἰτίαν λιμώττουσα ἠσθένει, μόλις διακορὴς ἐγένετο, ὡς πιανθεῖσαν πάλιν ἀνηβῆσαι. Ἕτερον δὲ ἐθεασάμην, ὃς τῶν ἡμέρων δένδρων οὐκ εὐγενὲς ὃ μὲν ὑπερεῖχε τῆς γῆς ἔρνος ἔτεμε, μικρὸν

*) Gen. 4, 12. — **) Gen. 9, 20.

δὲ ὅσον πρὸς αὐταῖς ῥίζαις ἀνέχον εἴασε. Λαβὼν δ' ἀπ' εὐγενοῦς ἑτέρου κλάδον εὐφυᾶ, τὸν μὲν ἄχρι τῆς ἐντεριώνης καθ' ἓν μέρος ἀπέξεσε, τὸ δὲ πρὸς ταῖς ῥίζαις οὐ κατὰ πολλοῦ βάθους ἐκτεμὼν, ἀλλ' ὥστε διαστῆσαι μόνον τὴν ἕνωσιν, τὸ ἀπεξεσμένον ὑπενεγκὼν ἐνηρμόσατο τῷ διαστήματι. Ἐξ ὧν ἀμφοτέρων μία δένδρου φύσις ἡνωμένη γίνεται, ἑκατέρου μέρους ἀντίδοσιν τῆς ὠφελείας θατέρῳ ποιουμένου. Αἱ μὲν γὰρ ῥίζαι τὸν ἐφαρμοσθέντα τρέφουσι καὶ κωλύουσιν ἀφαυαίνεσθαι κλάδον, ὁ δὲ εὐκαρπίας ἀμοιβὴν τροφεῖα ἀντιχαρίζεται ταύταις. Ἔστι καὶ ἄλλα μυρία ἔργα τεχνικὰ τῶν κατὰ γεωργίαν, ὧν περιττὸν ἐν τῷ παρόντι μεμνῆσθαι· τοῦ γὰρ διαφορὰν ἐνδείξασθαι μόνον ἐργάτου γῆς καὶ γεωργοῦ χάριν ταῦτ' ἐμηκύναμεν.

§. 29. Ὁ μὲν δὴ φαῦλος τὸ γεῶδες σῶμα καὶ τὰς συγγενεῖς αἰσθήσεις αὐτῷ, καὶ ὅσα ἐκτὸς αἰσθητὰ ἐργαζόμενος ἀτέχνως οὐ παύεται· καὶ βλάπτει μὲν τὴν παναθλίαν ψυχὴν ἑαυτοῦ, βλάπτει δὲ καὶ ὃ δοκεῖ μάλιστα ὠφελεῖν, τὸ ἴδιον σῶμα. Τῷ δὲ σπουδαίῳ — τέχνης γὰρ ἐμπειρος γεωργικῆς ἐστιν — ἡ ὕλη πᾶσα τεχνικῶς καὶ σὺν λόγῳ μεθοδεύεται. Ὅταν μέν γε αἱ αἰσθήσεις ἐξυβρίσωσι, πρὸς τὰ ἐκτὸς αἰσθητὰ μετὰ ἀκαταγέτου ῥύμης ἐκφερόμεναι, μηχανῇ τινι ὧν ἡ τέχνη κατεσκευάσατο, ῥᾳδίως συστέλλονται· ὅταν δὲ παλμῶδες ἐν ψυχῇ πάθος ὠμὸν γένηται, κνησμοὺς ἢ γαργαλισμοὺς ἐξ ἡδονῆς ἢ ἐπιθυμίας, ἢ πάλιν δηγμούς τε καὶ πτοίας ἐκ φόβου καὶ λύπης ἐμποιοῦν, προευτρεπισθέντι σωτηρίῳ πεπαίνεται φαρμάκῳ. Καὶ μὴν εἴ τις ἐπινεμομένη κακία μηκύνεται, τῆς ἐν σώματι ἑρπηνώδους ἀδελφὴ νόσου, λόγῳ τομεῖ τῷ κατ' ἐπιστήμην τέμνεται. Τὸν μὲν δὴ τρόπον τοῦτον τὰ τῆς ἀγρίας ὕλης τιθασσεύεται· τῶν δὲ ἡμέρων καὶ καρποτόκων ἀρετῶν τὰ φυτὰ πάντα, βλαστὰ μὲν ἔχει τὰ ἐπιτηδεύματα, καρπὸν δὲ τὰς καλὰς πράξεις. Ὧν ἕκαστον ἡ γεωρ-

γικὴ ψυχῆς τέχνη συναύξει, καὶ τό γε ἐφ' ἑαυτὴν ἧκον μέρος ἀπαθανατίζεται ταῖς ἐπιμελείαις.

§. 30. Ἐναργῶς οὖν ἐπιδέδεικται γεωργὸς μὲν ὁ ἀστεῖος, γεωπόνος δὲ ὁ φαῦλος· καὶ εἴθε μέντοι γεωπονοῦντι αὐτῷ προςετίθει τὴν ἰσχὺν τὸ περὶ αὐ-
213 τὸν γεῶδες, ἀλλὰ μὴ καὶ τῆς οὔσης ὑφῄρει δυνά-
M μεως. Λέγεται γάρ, ὅτι "οὐ προςθήσει τὴν ἰσχὺν 176
αὐτῆς δοῦναί σοι." *) Ὁποῖός τις οὖν γένοιτο ἄν- P.
θρωπος, ἐσθίων μὲν ἢ πίνων ἀεὶ, ἐμπιπλάμενος δὲ μηδέποτε· ἢ ταῖς μετὰ γαστέρα χρώμενος ἐπαλλήλοις ἡδοναῖς, καὶ ἐπὶ ταῖς πρὸς συνουσίαν ὀρέξεσιν ἀκμάζων; Ἡ μὲν γὰρ ἔνδεια ἀσθένειαν, ἰσχὺν δὲ ἡ πλήρωσις ἀπεργάζεται· τὸ δὲ ἀκόρεστον ὃ μετ' ἀφθονίας τῶν ἐπιτηδείων σὺν ἀκρασίᾳ δεινῇ λιμός ἐστιν. Ἄθλιοι δὲ ὧν μεστοὶ μὲν οἱ ὄγκοι, κεναὶ δὲ ἐπιθυμίαι καὶ ἔτι διψῶσαι. Ἀλλὰ τοὺς ἐραστὰς ἐπιστήμης ἐν ᾠδῇ μεγάλῃ φησὶν, ὅτι "ἀνεβίβασεν ἐπὶ τὴν ἰσχὺν τῆς γῆς, καὶ ἐψώμισε γεννήματα ἀγρῶν." **) Δηλονότι ὁ μὲν ἄθεος ἀτυχεῖ τοῦ τέλους, ἵνα μᾶλλον ὀδυνᾶται, μὴ προςτιθεμένης ἰσχύος οἷς ἐνεργεῖ, τὸ ἐναντίον δὲ ὑφαιρουμένης. Οἱ δὲ μετιόντες ἀρετὴν, ὑπεράνω τῶν ὅσα γεώδη καὶ θνητὰ ἱστάμενοι, τοῦ κράτους αὐτῶν κατὰ πολλὴν περιουσίαν ἀλογοῦσιν, ἅτε ἡγεμόνι χρησάμενοι τῆς ἀνόδου θεῷ, ὃς καὶ τὰ γεννήματα τῶν ἀγρῶν εἰς ἀπόλαυσιν καὶ χρῆσιν ὠφελιμωτάτην αὐτοῖς ὀρέγει, τὰς μὲν ἀρετὰς ἀγροῖς, ἃ δ' ἀποκύουσι γεννήμασι παρὰ τὴν γένεσιν ἀπεικάζων. Γίνεται μὲν γὰρ ἐκ φρονήσεως τὸ φρονεῖν, ἐκ δὲ σωφροσύνης τὸ σωφρονεῖν, ἐκ δὲ εὐσεβείας τὸ εὐσεβεῖν, καὶ ἀφ' ἑκάστης τῶν ἄλλων τὸ κατ' αὐτὴν ἐνέργημα.

§. 31. Ταῦτα δὲ ψυχῆς τροφαὶ κυρίως εἰσὶ, τῆς θηλάζειν ἱκανῆς, ὡς ὁ νομοθέτης φησὶ, "Μέλι

*) Exod. 2, 12 (?). — **) Deut. 32, 13.

ἐκ πέτρας καὶ ἔλαιον ἐκ στερεᾶς πέτρας·" *) πέτραν τὴν στεῤῥὰν καὶ ἀδιάκοπον ἐμφαίνων σοφίαν θεοῦ, τὴν τροφὸν καὶ τιθηνοκόμον καὶ κουροτρόφον τῶν ἀφθάρτου διαίτης ἐφιεμένων. Αὕτη γὰρ, οἷα μήτηρ τῶν ἐν κόσμῳ γενομένη, τὰς τροφὰς ἐξ ἑαυτῆς εὐθὺς ἤνεγκε τοῖς ἀποκυηθεῖσιν· ἀλλ' οὐχ ἅπαντα τροφῆς θείας ἠξιώθη, τὰ δὲ ὅσα τῶν ἐκγόνων, ἐπάξια τῶν γεννησάντων εὑρίσκετο· πολλὰ γὰρ ἔσθ' ἃ λιμὸς ἀρετῆς, ὁ τοῦ περὶ τὰ σιτία καὶ ποτὰ σχετλιώτερος, διέφθειρε. Φέρεται δὲ ἡ τῆς θείας σοφίας πηγὴ, τοτὲ μὲν ἠρεμαιοτέρῳ καὶ πραοτέρῳ ῥεύματι, τοτὲ δὲ αὖ μετ' ὀξυτέρου τοῦ τάχους καὶ πλείονος φορᾶς τε καὶ ῥύμης. Ὅταν μὲν οὖν ἠρέμα κατέρχηται, μέλιτος γλυκαίνει τὸν τρόπον· ὅταν δὲ μετ' ὠκύτητος ἀθρόα ὕλη καθάπερ ἔλαιον ψυχικοῦ γίνεται φωτός. Τὴν πέτραν ταύτην ἑτέρωθι συνωνυμίᾳ χρώμενος καλεῖ Μάννα, τὸν πρε-
214 σβύτατον τῶν ὄντων λόγον θεῖον, ὃς ὀνομάζεται τὸ
M. γενικώτατόν τι, ἀφ' οὗ δύο ἐγκρίδες, ἡ μὲν ἐκ μέλιτος, ἡ δ' ἐξ ἐλαίου, γίνονται· τουτέστιν ἀγωγαὶ δύο σφόδρα ἀδιάκριτοι, καὶ σπουδῆς ἄξιαι, κατ' ἀρχὰς μὲν γλυκύτητα ἐμποιοῦσαι τῶν ἐπιστήμης θεωρημάτων, αὖθις δὲ καὶ φῶς τηλαυγέστατον ἀπα- 177
στράπτουσαι, τοῖς μὴ ἀψικόρως, κραταιῶς δὲ καὶ P.
παγίως, ἐξ ἀδιαστάτου καὶ συνεχοῦς ἐπιμονῆς ἐλλαβομένοις ὧν ἐρῶσιν. Οὗτοι μὲν οὖν, ὡς ἔφην, ἐπὶ "τὴν ἰσχὺν τῆς γῆς ἀναβιβάζονται." **)

§. 32. Τῷ δὲ ἀθλίῳ Κάϊν οὐδὲ ἡ γῆ τῶν εἰς εὐτονίαν προστίθησι, καίτοι μηδὲν ἔξω τῶν περὶ αὐτῆς πραγματευομένῳ. Διὸ καὶ κατ' ἀκόλουθον "στένων καὶ τρέμων ἐπὶ τῆς γῆς εὑρίσκεται," ***) τουτέστι λύπῃ καὶ φόβῳ χρώμενος. Τοιοῦτος δὲ ὁ φαῦλος κακοδαίμονος βίος, τῶν τεσσάρων παθῶν τὰ ὀδυ-

*) Deut. 23, 13. — **) Ibid. — ***) Gen. 4, 12.

νηρότερα ἀποκεκληρωμένος, φόβον τε καὶ λύπην, τὴν μὲν τοῦ στένειν, τὸν δὲ τοῦ τρέμειν συνώνυμον. Ἀνάγκη γὰρ ἢ παρεῖναί τι κακὸν, ἢ μέλλειν γε τῷ τοιούτῳ· τοῦ μὲν οὖν μέλλοντος ἡ προςδοκία φόβον, τοῦ δὲ παρόντος ἡ χρῆσις λύπην ἐγέννησεν. Ἀλλ' ὅ γε μετιὼν ἀρετὴν ἐν εὐπαθείαις ἀναλογούσαις ἐξετάζεται. Ἢ γὰρ περιπεποίηται τὸ ἀγαθὸν, ἢ περιποιήσεται. Τὸ μὲν οὖν ἔχειν, ἀποτελεῖ χαρὰν, κτημάτων τὸ κάλλιστον· τὸ δὲ σχήσειν προςδοκᾶν, τὴν τροφὴν φιλαρέτων ψυχῶν, ἐλπίδα, δι' ἣν ὄκνον μεθιέμενοι σὺν αὐτοκελεύστῳ ἑτοιμότητι πρὸς τὰ καλὰ τῶν ἔργων ἀπαντῶμεν. Ἧι μὲν οὖν ἀποκεκύηκε δικαιοσύνη ψυχῇ γενεὰν ἄῤῥενα, τὸν δίκαιον λογισμὸν, ταύτῃ τὰ λυπηρὰ πάντα ἐξῴκισται. Μαρτυρήσει δὲ ἡ Νῶε γένεσις, ὃ ἑρμηνεύεται δίκαιος, ἐφ' οὗ λέγεται, "Οὗτος διαναπαύσει ἡμᾶς ἀπὸ τῶν ἔργων ἡμῶν, καὶ ἀπὸ τῶν λυπῶν τῶν χειρῶν ἡμῶν, καὶ ἀπὸ τῆς γῆς ἧς κατηράσατο κύριος ὁ θεός." *) Πέφυκε γὰρ ἡ δικαιοσύνη πρῶτον μὲν ἀνάπαυλαν ποιεῖν ἀντὶ καμάτου, τὰ μεθόρια κακίας καὶ ἀρετῆς ἐξαδιαφοροῦσα, πλοῦτον καὶ δόξαν, καὶ ἀρχὰς καὶ τιμὰς, καὶ ὅσα τούτων ἀδελφὰ, περὶ ἃ πραγματεύεται τὸ πλεῖστον ἀνθρώπων γένος· ἔπειτα λύπας ἀναιρεῖν, αἳ συνίστανται κατὰ τὰς ἐξ ἡμῶν αὐτῶν ἐνεργείας. Οὐ γὰρ, ὡς ἔνιοι τῶν ἀσεβῶν, τὸν θεὸν αἴτιον κακῶν φησι Μωϋσῆς, ἀλλὰ τὰς ἡμετέρας χεῖρας, συμβολικῶς τὰ ἡμέτερα παριστὰς ἐγχειρήματα, καὶ τὰς ἑκουσίους τῆς διανοίας πρὸς τὸ χεῖρον τροπάς. —

§. 33. Ἐπὶ πᾶσι μέντοι "ἀπὸ τῆς γῆς ἧς κατηράσατο κύριος ὁ θεὸς διαναπαύειν." **). Αὕτη δέ
125 ἐστι κακία, ἣ ταῖς τῶν ἀφρόνων ἐνίδρυται ψυχαῖς,
M. ἧς καθάπερ νόσου βαρείας ἀποτροπὴ ὁ δίκαιος εὑρίσκεται, πανακείας τυχὼν δικαιοσύνης. Ὅταν μέντοι

*) Gen. 5, 29. — **) Ibid.

δηώσηται τὰ κακὰ, χαρᾶς ἀναπίμπλαται, ὥςπερ ἡ Σάῤῥα. Φησὶ γὰρ, "Γέλωτά μοι ἐποίησε κύριος," καὶ προςτίθησιν, "ὃς γὰρ ἂν ἀκούσῃ, συγχαρεῖταί μοι." *) Δημιουργὸς γὰρ ὁ θεὸς σπουδαίου γέλω- 178
τος καὶ χαρᾶς ἐστιν, ὥςτε οὐ γενέσεως πλάσμα τὸν P.
Ἰσαὰκ, ἔργον δὲ τοῦ ἀγεννήτου νομιστέον. Εἰ γὰρ γέλως μὲν Ἰσαὰκ ἑρμηνεύεται, γέλωτος δὲ ποιητὴς ὁ θεὸς κατὰ τὴν Σάῤῥας ἀψευδῆ μαρτυρίαν, καὶ τοῦ Ἰσαὰκ ὀρθότατα λέγοιτ' ἂν εἶναι πατήρ. Μεταδίδωσι δὲ καὶ τῷ σοφῷ τῆς ἰδίου κλήσεως Ἀβραὰμ, ᾧ καὶ τὸ χαίρειν ἐπιγέννημα σοφίας ἐκτεμὼν λύπην δεδώρηται. Εἴ τις οὖν ἱκανός ἐστιν ἀκοῦσαι τῆς θεοῦ ποιητικῆς, γέγηθε μὲν ἐξ ἀνάγκης αὐτὸς, συγχαίρει δὲ καὶ τοῖς ἀκροατικῶς πρότερον ἐσχηκόσιν. Ἐν δὲ τῇ τοῦ θεοῦ ποιητικῇ μύθου μὲν πλάσμα οὐδὲν εὑρήσεις, τοὺς δὲ ἀληθείας ἀσινεῖς κανόνας ἅπαντας ἐστηλιτευμένους· οὐδ' αὐτὰ φωνῆς μέτρα καὶ ῥυθμοὺς, καὶ μέλη ἀκοὰς διὰ μουσικῆς ψυχαγωγοῦντα, τὰ δὲ φύσεως αὐτῆς τελειότατα ἔργα, τὴν ἴδιον εὐαρμοστίαν κεκληρωμένα. Καθάπερ δὲ ὁ νοῦς ἀκροατικῶς ἔχων τῶν τοῦ θεοῦ ποιημάτων χαίρει, οὕτω καὶ ὁ λόγος, συνῳδὸς ὢν τοῖς διανοίας ἐνθυμήμασι καὶ τρόπον τινὰ προςέχων αὐτοῖς ἐξ ἀνάγκης γέγηθε.

§. 34. Δηλώσει δὲ ὁ τῷ πανσόφῳ Μωϋσεῖ δοθεὶς χρησμὸς, ἐν ᾧ περιέχεται ταῦτα, "Οὐκ ἰδοὺ Ἀαρὼν ὁ ἀδελφός σου, ὁ Λευΐτης; Ἐπίσταμαι ὅτι λαλήσει αὐτός σοι· καὶ ἰδοὺ αὐτὸς ἐξελεύσεται εἰς συνάντησίν σοι, καὶ ἰδών σε χαρήσεται ἐν ἑαυτῷ." **) Τὸν γὰρ προφορικὸν λόγον διανοίας ἀδελφὸν ὄντα ἐπίστασθαί φησιν ὁ δημιουργὸς ὅτι λαλεῖ· πεποίηκε γὰρ αὐτὸν ὥςπερ ὄργανον τοῦ συγκρίματος ἡμῶν παντὸς, ἔναρθρον ἠχήν. Οὗτος ὁ λόγος ἐμοί τε καὶ σοὶ καὶ πᾶσιν ἀνθρώποις φωνεῖ τε καὶ λαλεῖ καὶ ἑρμηνεύει

---

*) Gen. 21, 6. — **) Exod. 4, 14.

τὰ ἐνθυμήματα, καὶ προσεξέρχεταί γε ὑπαντησόμενος, οἷς ἡ διάνοια λελόγισται. Ἐπειδὰν γὰρ ὁ νοῦς ἐξαναστὰς πρός τι τῶν οἰκείων ὁρμὴν λάβῃ, ἢ κινηθεὶς ἔνδοθεν ἐξ ἑαυτοῦ, ἢ δεξάμενος ἀπὸ τῶν ἐκτὸς τύπους διαφέροντας, κυοφορεῖ τε καὶ ὠδίνει τὰ νοήματα· καὶ βουλόμενος ἀποτεκεῖν ἀδυνατεῖ, μέχρις ἂν ἡ διὰ γλώττης καὶ τῶν ἄλλων φωνητηρίων ὀργάνων ἠχὴ δεξαμένη, μαίας τρόπον, εἰς φῶς προα-
216 γάγῃ τὰ νοήματα. Φωνὴ δὲ τηλαυγεστάτη νοη-
M. μάτων ἐστὶν αὕτη. Καθάπερ γὰρ τὰ ἀποκείμενα ἐν σκότῳ κέκρυπται, ἕως ἂν ἐπιλάμψαν φῶς αὐτὰ δείξῃ· τὸν αὐτὸν τρόπον τὰ ἐνθυμήματα ἐν ἀοράτῳ χωρίῳ, διανοίᾳ, ταμιεύεται, μέχρις ἂν οἷα φῶς ἐναυγάσασα ἡ φωνὴ πάντα ἐκκαλύψῃ.

§. 35. Παγκάλως οὖν ὡς εἴρηται, ὅτι ἐξέρχεται ὁ λόγος τοῖς νοήμασιν ὑπαντησόμενος, καὶ ἐπιτρέχει σπουδάζων καταλαβεῖν αὐτὰ, διὰ τὸν τοῦ μηνῦσαι πόθον. Ἑκάστῳ γὰρ τὸ ἴδιον ἔργον ποθεινότατον· ἴδιον δὲ λόγου τὸ λέγειν, πρὸς ὃ οἰκειώσει φυσικῇ 178
τινι σπεύδει. Γέγηθε δὲ καὶ χαίρει, ὅταν, ὥσπερ R.
ἐναυγασθεὶς, ἴδῃ καὶ καταλάβῃ τὸν νοῦν τοῦ δηλουμένου πράγματος ἄκρως. Τότε γὰρ περιδραξάμενος ἄριστος ἑρμηνεὺς γίνεται. Τοὺς γοῦν μὴ πάνυ τῶν νοημάτων ἐν ταῖς τοῦ λέγειν διεξόδοις περικρατοῦντας ἀδολέσχους καὶ ἀπεραντολόγους ὄντας παραιτούμεθα, κενὰς καὶ μακρὰς ἔτι δὲ ἀψύχους, κυρίως εἰπεῖν, ῥήσεις συνείροντας. Ἀσχημονῶν οὖν ὁ τῶν τοιούτων λόγος δικαίως ἂν στένοι· ὥστε ἔμπαλιν χαίρειν ἀναγκαῖον τὸν ἐκ περισκέψεως τῶν ἐνθυμημάτων, ἱκανῶς ἐπὶ τὴν ὧν εἶδε καὶ ὧν δυνατῶς κατέλαβε μήνυσιν ἐλθόντα. Γνωρίζεται δὲ τοῦτο σχεδὸν ἅπασιν ἐκ τῆς καθ' ἑκάστην ἡμέραν πείρας· ὅταν μὲν γὰρ ἄκρως εἰδῶμεν ὃ λέγομεν, χαίρων καὶ γεγηθὼς ὁ λόγος, ἐμφαντικωτάτων καὶ κυρίων ὀνομάτων πλουτεῖ, οἷς κατὰ πολλὴν περιουσίαν εὐτρό-

χως καὶ ἀπταίστως, ἔτι δὲ ἐναργῶς καὶ ἀνυσίμως τὸ δηλούμενον παρίστησιν. Ὅταν δὲ τοῦ νοήματος ἐπαμφοτερίζῃ κατάληψις, ὑπὸ δεινῆς ἀπορίας προςεχῶν καὶ εὐθυβόλων ὀνομάτων παραπαίων ἀκυρολογεῖ. Διόπερ αὐτός τε ἐν ἀηδίᾳ καὶ ἄσῃ περιῤῥέεταί τε καὶ πλανώμενος γίνεται, τούς τε ἀκούοντας ἀντὶ τοῦ πείθειν τὰ ὦτα ἀλγεῖν ἀναγκάζει.

§. 36. Μήτε δὲ ὁ πᾶς λόγος ὑπαντάτω, μήτε πᾶσι τοῖς ἐνθυμήμασιν, ἀλλ᾽ ὁ τέλειος Ἀαρὼν τοῖς τοῦ τελειοτάτου Μωϋσέως. Ἐπεὶ τίνος ἕνεκα τῷ "Ἰδοὺ Ἀαρὼν ὁ ἀδελφός σου" προςέθηκεν "ὁ Λευΐτης," εἰ μὴ τοῦ διδάξαι χάριν, ὅτε μόνῳ τῷ Λευΐτῃ καὶ ἱερεῖ καὶ σπουδαίῳ λόγῳ προςήκει μηνύειν τὰ ἐνθυμήματα, ψυχῆς τελείας ὄντα βλαστήματα; Μὴ γάρ ποτε φαύλου λόγος ἑρμηνεὺς γένοιτο δογμάτων θείων, — τὸ γὰρ κάλλος αὐτῶν οἰκείοις μιάσμασιν αἰσχύνει, — μηδ᾽ ἔμπαλιν σπουδαίου προφορᾷ τὰ ἀκόλαστα καὶ αἰσχρὰ μηνύοιτο, ἀλλ᾽ ἀεὶ τὴν τῶν ἁγίων διήγησιν ἱεροὶ καὶ ἅγιοι ποιείσθωσαν λόγοι. Ἔν τινι
217 τῶν εὐνομωτάτων πόλεων ἔθος εἶναί φασι τοιοῦτον.
M. Ἐπειδάν τις ἢ βουλῇ ἢ δήμῳ τῶν μὴ βεβιωκότων ὀρθῶς ἐπιχειρῇ γνώμην εἰςηγεῖσθαι, κωλύεται μὲν αὐτὸς δι᾽ ἑαυτοῦ τοῦτο πράττειν, ἀναγκάζεται δὲ πρὸς τῶν ἀρχόντων ἀνενεγκεῖν τὴν γνώμην ἑνὶ τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν. Εἶτ᾽ ἐκεῖνος ἀναστὰς ἃ ἤκουσε διηγεῖται, ἀπεῤῥαμμένον τὸ στόμα τοῦ διδάξαντος, ὁ ἐξ ὑπογυίου μαθητὴς ἀναφανεὶς, καὶ ἀλλοτρίας εὑρέσεις ἐπιδείκνυται, οὐδ᾽ ἀκροατοῦ τάξιν ἢ θεατοῦ τὸν ἐπινενοηκότα λαχεῖν ἀξιώσας. Οὕτως οὐδὲ ὠφεληθῆναί τινες πρὸς ἀδίκων ἀξιοῦσιν, ἀλλὰ τῆς γενησομένης ὠφελείας μεῖζον τὸ ἐκ παρακολουθούσης βλα- 180
βερὸν αἰσχύνης νομίζουσι. P.

§. 37. Τοῦτο δίδαγμα Μωϋσῆς ὁ ἱερώτατος ἔοικεν ἀναδιδάξαι· τοιοῦτον γάρ ἐστι τὸ Ἀαρὼν τὸν

Λευΐτην ὑπαντᾶν τῷ ἀδελφῷ Μωϋσεῖ, καὶ „ἰδόντα χαίρειν ἐν ἑαυτῷ." *) Τὸ δὲ ἐν ἑαυτῷ χαίρειν ἐμφαίνει δίχα τοῦ λεχθέντος ἤδη καὶ πολιτικώτερον δόγμα, δηλοῦντος τοῦ νομοθέτου τὴν γνήσιον καὶ οἰκειοτάτην ἀνθρώπων χαράν. Κυρίως γὰρ οὔτε ἐπὶ χρημάτων ἢ κτημάτων περιουσίᾳ, ἢ δόξης λαμπρότητι, οὐδὲ συνόλως ἐπί τινι τῶν ἐκτὸς ἀψύχων τε ὄντων καὶ ἀβεβαίων, καὶ ἐξ αὑτῶν τὰς φθορὰς δεχομένων χαίρειν ἔνεστι· καὶ μὴν οὐδὲ ἐπὶ ῥώμῃ καὶ εὐτονίᾳ καὶ τοῖς ἄλλοις σώματος πλεονεκτήμασιν, ἃ καὶ τῶν φαυλοτάτων ἐστὶ κοινά, καὶ τοῖς ἔχουσι πολλάκις ὄλεθρον ἀπαραίτητον ἤνεγκεν. Ἐπεὶ οὖν ἐν τοῖς τῆς ψυχῆς μόνοις ἀγαθοῖς ἡ ἀνόθευτος χαρὰ καὶ ἀκιβδήλευτος εὑρίσκεται, ἐν ἑαυτῷ δὴ πᾶς σοφὸς χαίρει, οὐκ ἐν τοῖς περὶ αὑτόν. Τὰ μὲν γὰρ ἐν ἑαυτῷ διανοίας εἰσὶν ἀρεταί, ἐφ' αἷς ἄξιον σεμνύνεσθαι· τὰ δὲ περὶ αὐτόν, ἢ ἡ εὐπάθεια σώματος, ἢ ἡ τῶν ἐκτὸς ἀφθονία, ἐφ' οἷς οὐ μεγαλαυχητέον.

§. 38. Ἐπιδεδειχότες οὖν, ὡς ἐνῆν, διὰ μάρτυ-
ρος ἀψευδεστάτου Μωϋσέως, ὅτι σοφοῦ τὸ χαίρειν
ἴδιον, αὖθις ἐπιδείξομεν ὅτι καὶ τὸ ἐλπίζειν, οὐχ
ἑτέρῳ χρώμενοι μάρτυρι. Τὸν γὰρ τοῦ Σὴθ υἱὸν
218 ὄνομα Ἐνώς, ἑρμηνεύεται δὲ ἐλπίς. „Οὗτος ἤλπισε
M. πρῶτον," φησίν, „ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου τοῦ
θεοῦ," **) λέγων ὑγιῶς. Ἀνθρώπῳ γὰρ τῷ γε πρὸς
ἀλήθειαν τί ἂν γένοιτο οἰκειότερον ἐλπίδος καὶ προσ-
δοκίας κτήσεως ἀγαθῶν παρὰ τοῦ μόνου φιλοδώρου
θεοῦ; Τοῦτό ἐστιν, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, ἡ μόνη
κυρίως γένεσις ἀνθρώπων, ὡς τῶν μὴ ἐλπιζόντων
ἐπὶ θεὸν λογικῆς φύσεως οὐ μεμοιραμένων. Διὸ καὶ
προειπὼν ἐπὶ τοῦ Ἐνώς, ὅτι „οὗτος ἤλπισεν ἐπικα-
λεῖσθαι τὸ ὄνομα κυρίου τοῦ θεοῦ," ῥητῶς ἐπιφέ-

---

*) Exod. 4, 14. — **) Gen. 4, 26.

ρει, "Αὕτη βίβλος γενέσεως ἀνθρώπων," *) σπουδαιολογῶν. Ἐγγράφεται γὰρ τῇ θεοῦ βίβλῳ, ὅτι μόνος εὔελπις ἄνθρωπος· ὥςτε κατὰ τὰ ἐναντία ὁ δύςελπις οὐκ ἄνθρωπος. Ὅρος οὖν τοῦ μὲν συγκρίματος ἡμῶν ζῶον λογικὸν θνητόν ἐστι· τοῦ δὲ κατὰ Μωϋσῆν ἀνθρώπου, διάθεσις ψυχῆς ἐπὶ τὸν ὄντως ὄντα θεὸν ἐλπίζουσα. Ἀστεῖοι μὲν οὖν χαρὰν καὶ ἐλπίδα κλῆρον λαχόντες εὐδαίμονα ἢ ἐχέτωσαν ἢ προςδοκάτωσαν πάντως ἀγαθά· φαῦλοι δέ, ὧν Κάϊν ἐστὶ θιασώτης, ἐν λύπαις καὶ φόβοις ὄντες, ἢ μετουσίαν ἢ προςδοκίαν κακῶν, ἀργαλεωτάτην μερίδα, καρπούσθωσαν, ἐπὶ μὲν τοῖς ἐν χερσὶν ὀδυνηροῖς
στένοντες, ἐπὶ δὲ τοῖς προςδοκωμένοις φοβεροῖς τρέ- 181
μοντές τε καὶ φρίττοντες.**) — P.

§. 39. Ἀλλὰ ταῦτα μὲν ἀρκούντως λελέχθω· τὰ δὲ ἑξῆς ἐξερευνήσωμεν. "Καὶ εἶπε," φησί, "Κάϊν πρὸς κύριον, μείζων ἡ αἰτία μου τοῦ ἀφεθῆναι." ***) Τοῦθ' οἷόν ἐστιν ἀπὸ τῶν ὁμοίων φανεῖται. Εἰ θαλαττεύουσαν ναῦν ἀπολείποι κυβερνήτης, ἆρ' οὐκ ἀνάγκη τὰ περὶ πλοῦν τῇ νηῒ διαμαρτάνεσθαι; Τί δέ; Εἰ τέθριππον ἡνίοχος ἐν ἱπποδρομίας ἀγῶνι, οὐκ ἀναγκαῖον ἄτακτον καὶ πλημμελῆ τὸν δρόμον γίνεσθαι τῷ τεθρίππῳ; Τί δέ; Ὅταν ἀπολειφθῇ πόλις πρὸς ἀρχόντων ἢ νόμων — ἐν ἄρχουσι δὲ γράφονται δήπου καὶ νόμοι — οὐκ ἀναρχίᾳ καὶ ἀνομίᾳ, κακοῖς μεγίστοις, ἡ πόλις ἐκείνη διαφθείρεται; Καὶ μὴν σῶμα μὲν ἀπουσίᾳ ψυχῆς, ψυχὴ δὲ ἀπουσίᾳ λογισμοῦ, λογισμὸς δὲ ἐνδείᾳ ἀρετῆς πέφυκε παραπολέσθαι. Εἰ δὲ ἕκαστον ὧν εἶπον ζημία τοῖς ἀπολειφθεῖσι γίνεται παρ' αὐτῶν, πόσῃ τινι χρήσεσθαι κακοπραγίᾳ τοὺς ὑπὸ θεοῦ καταλειφθέντας γνωρίζομεν; Οὓς ἀποστραφείς, καθάπερ λειποτάκτας, ἱερω-

*) Gen. 5, 1. — **) Gen. 4, 14. — ***) Gen. 4, 13.

τάτων θεσμῶν ἐξώρισεν, ἀναξίους ἐπιστασίας καὶ ἀρχῆς τῆς ἑαυτοῦ δοκιμάσας. Συνόλως γὰρ εἰδέναι χρὴ, ὅτι ὁ πρὸς τοῦ κρείττονος καὶ ὠφελοῦντος ἀφεθεὶς, ἐν αἰτίαις καὶ ἐγκλήμασι μεγίστοις γίνεται. Πότε γὰρ εἴποις ἂν τὸν ἄτεχνον μάλιστα βλάπτεσθαι; Ἆρ' οὐχ ὅταν πρὸς ἐπιστήμης κατὰ τὸ παντελὲς ἐαθῇ; Πότε δὲ τὸν ἀμαθῆ καὶ λίαν ἀπαίδευτον; Οὐχ ὅταν ἀπόλειψιν τὴν ἐπ' αὐτῷ χρηματίσῃ
219 διδασκαλία καὶ μάθησις; Πότε δὲ τοὺς ἄφρονας
M. κακοδαιμονίζομεν μᾶλλον; Οὐχ ὅταν φρόνησις αὐτοὺς εἰς ἅπαν ἀπώσηται; Πότε δὲ τοὺς ἀκολάστους ἢ ἀδίκους; Οὐκ ἐπειδὰν σωφροσύνη καὶ δικαιοσύνη φυγὴν ἀΐδιον κατ' αὐτῶν ψηφίσωνται; Πότε δὲ τοὺς ἀσεβεῖς; Οὐχ ὅταν εὐσέβεια τῶν ἰδίων ὀργίων ἀποσχοινίσῃ; Διό μοι δοκοῦσιν οἱ μὴ τελείως δυςκάθαρτοι εὔξασθαι ἂν κολασθῆναι μᾶλλον ἢ ἀφεθῆναι. Ἡ μὲν γὰρ ἄφεσις αὐτοὺς, ὥςπερ ἀνερμάτιστα καὶ ἀκυβέρνητα πλοῖα, ῥᾷστα ἀνατρέψει· ἡ δὲ κόλασις ἐπανορθώσεται. Ἢ οὐκ ἀμείνους μὲν τῶν ἀπαιδαγωγήτων οἱ ὑπὸ παιδαγωγῶν ἐν οἷς ἁμαρτάνουσιν ἐπιπληττόμενοι; Ἀμείνους δὲ τῶν ἀνεπιτιμήτων, οἱ ὑπὸ διδασκάλων ἐν οἷς περὶ τὰς τέχνας οὐ κατορθοῦσιν ὀνειδιζόμενοι; Εὐτυχέστεροι δὲ καὶ κρείττους τῶν ἀνεπιτροπεύτων νέων, οἱ μάλιστα μὲν ἐπιστασίας καὶ ἀρχῆς ἀξιωθέντες φυσικῆς, ἣν οἱ γεννήσαντες ἐπὶ τέκνοις κεκλήρωνται; Εἰ δὲ μὴ, δευτέρων γοῦν ἡγεμόνων ἐπιλαχόντες, οὓς ὀρφανίας ἔλεος ἐπιτρόπους εἴωθε χειροτονεῖν, τὴν γονέων ἐν ἅπασι τοῖς συμφέρουσι τάξιν ἐκπλήσοντας.

§. 40. Ἱκετεύωμεν οὖν τὸν θεὸν, οἱ συνειδήσει 182
τῶν οἰκείων ἀδικημάτων ἐλεγχόμενοι, κολάσαι μᾶλ- P.
λον ἡμᾶς, ἢ παρεῖναι. Παρεὶς μὲν γὰρ οὐκέτι τοῦ ἵλεω δούλους ἑαυτοῦ, γενέσεως δὲ τῆς ἀνηλεοῦς ἀπεργάσεται. Κολάζων δὲ ἐπιεικῶς τε καὶ πρᾴως ἅτε χρηστὸς ὢν ἐπανορθώσεται τὰ ἁμαρτήματα, τὸν σω-

φροντιστὴν ἔλεγχον, τὸν ἑαυτοῦ λόγον, εἰς τὴν διάνοιαν ἐκπέμψας, δι᾽ οὗ δυςωπήσας καὶ ὀνειδίσας περὶ ὧν ἐπλημμέλησεν, αὐτὴν ἰάσεται. Διὰ τοῦτο „πάνθ᾽ ὅσα ἂν εὔξηται χήρα καὶ ἐκβεβλημένη κατὰ τῆς ψυχῆς αὐτῆς" φησιν ὁ νομοθέτης „μενεῖν αὐτῇ." *) Τὸν μὲν γὰρ θεὸν ἄνδρα καὶ πατέρα τῶν ὅλων, σπορὰν καὶ γένεσιν ἁπάντων παρεχόμενον ἐνδίκως φήσομεν· διάνοιαν δὲ ἐκβεβλῆσθαι τὴν χήραν θεοῦ, ἥτις ἢ γονὰς θείας οὐ παρεδέξατο, ἢ παραδεξαμένη ἑκουσίως αὖθις ἐξήμβλωσε. Τοιγαροῦν „ὅσα ἂν ὁρίσηται, καθ᾽ ἑαυτῆς ὁριεῖται," **) καὶ ταῦτα μενεῖ πάντως ἀνίατα. Πῶς γὰρ οὐ κακὸν ἄπευκτον, ὁρίζεσθαί τι καὶ παγίως ἀποφαίνεσθαι περὶ αὐτῆς γένεσιν τὴν ἄστατον πάντη καὶ φορητὴν, ἐπιγράφουσαν αὐτῇ τὰς τοῦ ποιοῦντος ἀρετάς; Ὧν μία ἐστὶ καθ᾽ ἣν ἀνενδοιάστως καὶ ἀκλινῶς ἕκαστα ὁρίζεται. Τοιγαροῦν οὐ χηρεύσει μόνον ἐπιστήμης, ἀλλὰ καὶ ἐκβεβλήσεται. Τοῦτο δέ ἐστι τοιοῦτον· ἡ χηρεύουσα μὲν, μήπω δὲ ἐκβεβλημένη τοῦ καλοῦ ψυχὴ, δύναταί πως ἐγκαρτερήσασα τὰς πρὸς τὸν ὀρθὸν λόγον τὸν νόμιμον συμβάσεις καὶ καταλλαγὰς
216 εὑρεῖν· ἡ δὲ ἅπαξ διαζευχθεῖσα καὶ διοικισθεῖσα,
M. ὡς ἄσπονδος μέχρι τοῦ παντὸς αἰῶνος ἐκτετόξευται, εἰς τὸν ἀρχαῖον οἶκον ἐπανελθεῖν ἀδυνατοῦσα.

§. 41. Περὶ μὲν οὖν τοῦ „μείζων ἡ αἰτία μου τοῦ ἀφεθῆναι" τοσαῦτα εἰρήσθω. Τὰ δ᾽ ἀκόλουθα σκεψώμεθα, „Εἰ ἐκβαλεῖς με," φησὶ, „σήμερον ἀπὸ τοῦ προςώπου τῆς γῆς, καὶ ἀπὸ τοῦ προςώπου σοῦ, κρυβήσομαι." ***) Τί λέγεις, ὦ γενναῖε; Ἐὰν ἐκβληθῇς ἐξ ἁπάσης τῆς γῆς ἔτι κρυβήσῃ; Τίνα τρόπον; Ζῆν γὰρ δύναιο ἄν; Ἢ τοῦτ᾽ ἠγνόησας, ὅτι

*) Num. 30, 10. — **) Num. 30, 13. — ***) Gen. 4, 14.

τοῖς ζώοις ἡ φύσις διαφέροντας καὶ οὐχὶ τοὺς αὐτοὺς τόπους πρὸς διαμονὴν ἐδωρήσατο; Θάλατταν μὲν ἰχθύσι καὶ παντὶ τῷ ἐνύδρῳ γένει, γῆν δὲ ἅπασι τοῖς χερσαίοις; Χερσαῖον δὲ, κατὰ γοῦν τὰς σώματος συγκρίσεις, ζῶον καὶ ἄνθρωπός ἐστι. Διὰ τοῦτο ἀμείψαντα τὰς οἰκείας χώρας ἕκαστα, καὶ ὥςπερ εἰς ἀλλοδαπὴν ἐλθόντα, ῥᾳδίως τελευτᾷ· τὰ μὲν χερσαῖα καθ᾿ ὕδατος δύντα, τὰ δ᾿ ἔνυδρα ἐπὶ χέρσον ἀναπλεύσαντα. Εἴπερ οὖν ἐκβληθείης ἀπὸ γῆς ἄνθρωπος ὤν, ποῖ τετράψῃ; Νήξῃ καθ᾿ ὕδατος, τὴν τῶν ἐνύδρων ἀπομιμούμενος φύσιν; Ἀλλ᾿ ὑποβρύχιος αὐτίκα τεθνήξῃ. Ἀλλὰ πτερώσας καὶ μετεωρίσας σαυτὸν, ἀεροβατεῖν ἐθελήσεις, τὸ χερσαῖον εἰς 183
πτηνοῦ γένος μεταβαλών; Ἀλλ᾿ εἰ δύνασαι, μετά- P.
πλαττε καὶ μεταχάραττε τὸ θεῖον νόμισμα. Ἀλλ᾿ οὐ δυνήσῃ. Ὅσῳ γὰρ ἂν μετεωρότερον σεαυτὸν ἐξάρῃς, τοσούτῳ θᾶττον ἀφ᾿ ὑψηλοτέρου μετὰ πλείονος φορᾶς ἐπὶ γῆν, τὸ οἰκεῖον χωρίον, ἐνεχθήσῃ.

§. 42. Ἄνθρωπος δ᾿ ἄν, ἤ τι τῶν γενομένων κρύπτεσθαι δυνηθείη θεόν; Ποῦ; Τὸν ἐφθακότα πάντη, τὸν ἄχρι περάτων ἀποβλέποντα, τὸν πεπληρωκότα τὸ πᾶν; οὗ τῶν ὄντων οὐδὲ τὸ βραχύτατον ἔρημον; Καὶ τί παράδοξον, εἰ μηδενὶ τῶν γενομένων ἐφικτὸν κρύπτεσθαι τὸ ὄν, ὁπότε οὐδὲ τὰς ὑλικὰς ἀρχὰς ἔνεστι διεκδῦναι, ἀλλ᾿ ἀνάγκη τῷ μίαν διαφυγόντι εἰς ἑτέραν μεταβῆναι; Εἰ γοῦν καθ᾿ ἣν τέχνην ἐποίει τὰ ἀμφίβια, κατὰ ταύτην καὶ ζῶον πανταχοῦ βιωσόμενον ἐβουλήθη καινουργῆσαι, τοῦτο τὸ ζῶον, εἰ μὲν τὰ βάρος ἔχοντα ἀπεδίδρασκε γῆν καὶ ὕδωρ, πρὸς τὰ τῇ φύσει κοῦφα ἀέρα καὶ πῦρ ἧκεν ἄν. Ἔμπαλιν δὲ ἐνομιλῆσαν τοῖς μεταρσίοις, εἰ μετανάστασιν ἐζήτει τὴν ἀπ᾿ αὐτῶν, τὸν ἐναντίον ἤμειψεν ἂν χῶρον. Ἔδει γὰρ αὐτὸ πάντως καθ᾿ ἓν τοῦ κόσμου μέρος προφαίνεσθαι, ἐπειδὴ παντὸς ἔξω

δραμεῖν ἦν ἀδύνατον· πρὸς τῷ μηδὲ ἐκτὸς ὑπολει-
φθῆναί τι, τοῦ δημιουργοῦ ὅλας δι' ὅλου τὰς τέτ-
ταρας ἀρχὰς εἰς τὴν τοῦ κόσμου σύστασιν ἀναλώ-
201 σαντος, ἵνα ἐκ μερῶν τελείων τελειότατον ἀπερ-
M. γάσηται τὸ πᾶν. Ὁπότ' οὖν ὅλον ἐκφυγεῖν τὸ τοῦ
θεοῦ ἔργον ἀμήχανον, πῶς οὐκ ἀδύνατον μᾶλλον
ἀποδρᾶναι τὸν ποιητὴν καὶ ἡγεμόνα τούτου; Μη-
δεὶς οὖν τὴν πρόχειρον ἐκδοχὴν τοῦ λόγου παραδε-
χόμενος ἀνεξετάστως, τῷ νόμῳ τὴν ἰδίαν εὐήθειαν
προσαρτάτω· περισκεψάμενος δὲ ὅπερ αἰνίττεται δι'
ὑπονοιῶν, τὸ σαφὲς διαγνώτω.

§. 43. Μήποτ' οὖν ὅπερ ἐμφαίνεται διὰ τοῦ
"Εἰ ἐκβαλεῖς με σήμερον ἀπὸ τοῦ προσώπου τῆς
γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου, κρυβήσομαι" τοῦτο
ἐστιν, εἰ μὴ παρέχεις μοι τὰ τῆς γῆς ἀγαθὰ, οὐδὲ
τὰ οὐρανοῦ δέχομαι· καὶ εἰ μή τις ἐστὶ χρῆσις καὶ
ἀπόλαυσις ἡδονῆς, καὶ ἀρετὴν παραιτοῦμαι· καὶ εἰ
τῶν ἀνθρωπίνων μὴ μεταδίδως ἀγαθῶν, ἔχε καὶ τὰ
θεῖα. Τὰ γὰρ παρ' ἡμῖν ἀναγκαῖα καὶ τίμια καὶ
γνήσια ὡς ἀληθῶς ἀγαθὰ, ταῦτα· φαγεῖν, πιεῖν,
περιβαλέσθαι ποικίλαις χρωμάτων ἰδέαις δι' ὄψε-
ως ἡδέως ἡσθῆναι, μελῳδίαις παντοδαπῶν ἤχων
δι' ἀκοῆς τερφθῆναι, ἀτμῶν ἀποφοραῖς εὐώδεσι διὰ
μυκτήρων γανωθῆναι, ταῖς γαστρὸς καὶ μετὰ γα-
στέρα ἡδοναῖς ἁπάσαις εἰς κόρον χρήσασθαι, τῆς
ἀργύρου καὶ χρυσοῦ κτήσεως μὴ ἀμελῆσαι, τιμὰς
καὶ ἀρχὰς καὶ ὅσα ἄλλα συντείνοντα πρὸς δόξαν 184
περιβαλέσθαι· φρόνησιν δὲ ἢ καρτερίαν ἢ δικαιοσύ- P.
νης αὐστηρᾶς διαθέσεις, ἐπίπονον παρασκευαζούσας
βίον, ἐῶμεν. Εἰ δ' ἄρα καὶ χρηστέον αὐταῖς, οὐχ
ὡς ἀγαθοῖς τελείοις χρηστέον, ἀλλὰ ὡς ποιητικοῖς
ἀγαθοῦ. Σὺ μὲν οὖν, ὦ καταγέλαστε, φῂς, ὅτι
τῶν σωματικῶν καὶ τῶν ἐκτὸς ἀφαιρεθεὶς πλεονεκτη-
μάτων, εἰς ὄψιν οὐκ ἀφίξῃ θεοῦ; Ἐγὼ δέ σοι λέγω,
ὅτι ἐὰν ἀφαιρεθῇς, πάντως ἀφίξῃ. Λυθεὶς γὰρ τῶν

ἀῤῥήτων σώματος καὶ περὶ σῶμα δεσμῶν, φαντασιώσῃ τὸν ἀγέννητον.

§. 44. Ἀβραὰμ οὐχ ὁρᾷς, ὅτι "γῆν καὶ συγγένειαν καὶ πατρὸς οἶκον," *) τὸ σῶμα, τὴν αἴσθησιν, τὸν λόγον, "καταλιπὼν," ἄρχεται ταῖς τοῦ ὄντος ἐντυγχάνειν δυνάμεσιν; Ὅταν γὰρ ὑπεξέλθῃ πᾶσαν τὴν οἰκίαν, λέγει ὁ νόμος ὅτι "ὤφθη ὁ θεὸς αὐτῷ," **) δηλῶν ὅτι ἐναργῶς φαίνεται τῷ τὰ θνητὰ ὑπεκδύντι, καὶ εἰς ἀσώματον τοῦδε τοῦ σώματος ψυχὴν ἀναδραμόντι. Διὸ καὶ Μωϋσῆς λαβὼν τὴν αὐτοῦ σκηνὴν "ἔξω πήττει τῆς παρεμβολῆς," ***) καὶ μακρὰν διοικίζει τοῦ σωματικοῦ στρατοπέδου, μόνως γὰρ ἂν οὕτως ἐλπίσας ἱκέτης καὶ θεραπευτὴς ἔσεσθαι τέλειος θεοῦ. Τὴν δὲ σκηνὴν ταύτην κεκλῆσθαί φησι μαρτυρίου, σφόδρα παρατετηρημένως,
222 ἵν' ᾖ τοῦ ὄντος ὑπάρχῃ, μὴ καλῆται μόνον. Τῶν
M. γὰρ ἀρετῶν ἡ μὲν θεοῦ πρὸς ἀλήθειάν ἐστι, κατὰ τὸ εἶναι συνεστῶσα· ἐπεὶ καὶ ὁ θεὸς μόνος ἐν τῷ εἶναι ὑφέστηκεν, οὗ χάριν ἀναγκαίως ἐρεῖ περὶ αὐτοῦ, "Ἐγώ εἰμι ὁ ὤν," †) ὡς τῶν μετ' αὐτὸν οὐκ ὄντων κατὰ τὸ εἶναι, δόξῃ δὲ μόνον ὑφεστάναι νομιζομένων. Ἡ δὲ Μωϋσέως σκηνὴ, συμβολικῶς οὖσα ἀνθρώπου ἀρετὴ, κλήσεως, οὐχ ὑπάρξεως ἀξιωθήσεται, μίμημα καὶ ἀπεικόνισμα τῆς θείας ἐκείνης ὑπάρχουσα. Τούτοις ἕπεται καὶ τὸ Μωϋσῆν, ὁπότε "χειροτονεῖται θεὸς τοῦ Φαραὼ," μὴ πρὸς ἀλήθειαν γεγενῆσθαι, δόξῃ δὲ μόνον ὑπολαμβάνεσθαι. Θεὸν γὰρ διδόντα μὲν οἶδα καὶ χαριζόμενον, διδόμενον δὲ οὐ δύναμαι νοῆσαι. Λέγεται δὲ ἐν ἱεραῖς βίβλοις, "Δίδωμί σε θεὸν Φαραὼ," τοῦ διδομένου πάσχοντος οὐ δρῶντος. Δραστήριον δὲ τὸ ὄντως

---

*) Gen. 12, 1. **) Gen. 12, 7. — ***) Exod. 33, 7.
†) Exod. 3, 14.

ὄν, οὐ πάσχον ἀναγκαίως εἶναι. Τί οὖν δὴ τούτων συνάγεται; ὅτι ὁ σοφὸς λέγεται μὲν θεὸς τοῦ ἄφρονος, πρὸς ἀλήθειαν δὲ οὐκ ἔστι θεός, ὥσπερ οὐδὲ τὸ ἀδόκιμον τετράδραχμόν ἐστι τετράδραχμον. Ἀλλ᾽ ὅταν μὲν τῷ ὄντι παραβάλληται, ἄνθρωπος εὑρεθήσεται θεοῦ· ὅταν δὲ ἄφρονι ἀνθρώπῳ, θεὸς πρὸς φαντασίαν καὶ δόκησιν, οὐ πρὸς ἀλήθειαν καὶ τὸ εἶναι νοούμενος.

§. 45. Τί οὖν ματαιάζεις λέγων, "Εἴ με ἐκβαλεῖς ἀπὸ τῆς γῆς, καὶ σοῦ κρυβήσομαι;" *) Τὸ
ἐναντίον γὰρ, εἴ σε τοῦ γεώδους ἀπελάσω, τὴν εἰ- 185
κόνα ἐμφανῶς δείξω τὴν ἑαυτοῦ. Τεκμήριον δὲ, σὺ P.
μὲν ἐκ προσώπου τοῦ θεοῦ μεταστήσῃ, μεταναστὰς δὲ τὸ γήϊνον σῶμα οὐδὲν ἧττον οἰκήσεις. Λέγει γὰρ αὖθις, "Ἐξῆλθε δὲ Κάϊν ἀπὸ προσώπου τοῦ θεοῦ καὶ ᾤκησεν ἐν γῇ," **) ὥστε οὐκ ἐκβληθεὶς ἀπὸ γῆς ἀποκέκρυψαι τὸν ὄντα, ἀλλ᾽ ἐκτραπεὶς αὐτὸν, εἰς γῆν καταπέφευγας, τὸ θνητὸν χωρίον. Καὶ μὴν οὐδὲ πᾶς ὁ εὑρίσκων σε ἀποκτενεῖ, καθάπερ σοφιζόμενος διεξῄεις. Τὸ γὰρ εὑρισκόμενον, ὑπὸ δυοῖν, ἢ ὁμοίου, ἢ ἀνομοίου, πάντως εὑρίσκεται· ὑπὸ μὲν οὖν τοῦ ὁμοίου καὶ συγγενοῦς, τὴν ἐν ἅπασιν οἰκειότητα καὶ κοινωνίαν· ὑπὸ δὲ τοῦ ἀνομοίου, τὴν ἀντίπαλον ἀλλοτριότητα. Τὸ μὲν οὖν ὅμοιόν ἐστι καὶ φιλακτικὸν τοῦ παραπλησίου, τὸ δ᾽ ἀνόμοιον καὶ φθαρτικὸν τοῦ διαλλάττοντος. Ἴστωσαν δὴ καὶ ὁ Κάϊν, καὶ εἴ τις ἕτερος πανοῦργος, ὅτι οὐχ ὑπὸ παντὸς τοῦ ἐντυγχάνοντος ἀναιρεθήσεται· ἀλλὰ ῥᾳδιουργοὶ μὲν ἀδελφὰς καὶ συγγενεῖς κακίας ἐζηλωκότες, φρουροὶ καὶ φύλακες αὐτοῦ γενήσονται· φρόνησιν δὲ ὅσοι καὶ ἄλλην ἀρετὴν ἐξεπόνησαν, ὡς ἄσπονδον ἐχθρὸν, ἣν δύνωνται, καθελοῦσι. Πάντα γὰρ,

*) Gen. 4, 13. — **) Gen. 4, 16.

223 ὡς ἔπος εἰπεῖν, καὶ σώματα καὶ πράγματα πρὸς
M. μὲν οἰκείων καὶ φίλων σώζεται, πρὸς ἀλλοτρίων δὲ καὶ δυςμενῶν διαφθείρεται. Διὰ τοῦτο καὶ ὁ χρησμὸς ἀντιμαρτυρῶν τῇ προςποιήτῳ εὐηθείᾳ τοῦ Κάϊν φησὶν, „Οὐχ οὕτω φρονεῖς ὡς λέγεις." *) Λέγεις μὲν γὰρ ὅτι πᾶς ὁ τὰ παλαίσματά σου τῆς τέχνης εὑρὼν ἀνελεῖ. Οἶδας δὲ, ὅτι οὐχὶ πᾶς, μυρίων ἐν τῇ σῇ τεταγμένων συμμαχίᾳ· ἀλλὰ μόνος ὁ ἀρετῇ μὲν φίλος, σοὶ δὲ ἐχθρὸς ἀσύμβατος.

§. 46. „Ὁ δὲ ἀποκτείνας," φησὶ, „Κάϊν ἑπτὰ ἐκδικούμενα παραλύσει." Καὶ τοῦτο τίνα ἔχει λόγον πρὸς τὰς ῥητὰς διερμηνεύσεις οὐκ οἶδα, ἑπτὰ ἐκδικούμενα παραλύσει. Οὔτε γὰρ τίνα ἐστὶ τὰ ἑπτὰ οὔτε πῶς ἐκδικούμενα, οὔτε ὃν τρόπον παρίεται καὶ ἐκλύεται, δεδήλωκεν. Ὥςτε τροπικώτερον καὶ δι᾽ ὑπονοιῶν ἀνάγκη πάντα τὰ τοιαῦτα λέγεσθαι νομίζειν. Μήποτ᾽ οὖν ὃ βούλεται παριστάνειν ἐστὶ τοιόνδε. Τὸ ἄλογον τῆς ψυχῆς εἰς ἑπτὰ διανέμεται μοίρας, ὅρασιν, ὄσφρησιν, ἀκοὴν, γεῦσιν, ἁφὴν, λόγον, γόνιμον. Εἰ δή τις τὸν ὄγδοον ἀνέλοι, νοῦν, τὸν ἡγεμόνα τούτων Κάϊν, παραλύσει καὶ τὰ ἑπτά· ῥώμῃ μὲν γὰρ τῆς διανοίας κραταιᾷ, πάντα συῤῥώννυται, ἀσθενείᾳ δὲ συγκάμνει, φθορᾷ δὲ ἣν ἐπάγει κακία παντελὴς, πάρεσίν τε καὶ ἔκλυσιν λαμβάνει παντελῆ. Τὰ δὲ ἑπτὰ ταῦτα ἐν μὲν σοφοῦ ψυχῇ ἀμίαντα καὶ καθαρὰ, ταύτῃ καὶ τιμῆς ἐπάξια εὑρίσκεται· ἐν δὲ ἄφρονος, ἀκάθαρτα καὶ μεμιασμένα, καὶ ὅπερ εἶπον, ἐκδικούμενα, ἴσον τῷ δίκης ἐπάξια καὶ τιμωρίας. Ὁπότε γοῦν τὴν γῆν ὕ- 186
δατι καθαίρειν ὁ δημιουργὸς διενοήθη, καὶ τὴν ψυ- P.
χὴν τῶν ἀμυθήτων ἀδικημάτων κάθαρσιν λαβεῖν,

---

*) Gen. 41, 5.

ἐκνιψαμένην καὶ ἀπολουσαμένην τὰ μιάσματα τρόπον ἁγνείας ἱερᾶς, παραινεῖ τῷ φανέντι δικαίῳ, ὃς οὐ παρεσύρη τῇ κατακλυσμοῦ φορᾷ εἰςάγαγεῖν εἰς τὴν κιβωτὸν, ὅπερ ἦν τὸ τῆς ψυχῆς ἀγγεῖον, τὸ σῶμα, ἀπὸ "τῶν κτηνῶν τῶν καθαρῶν ἑπτὰ, ἄῤῥεν καὶ θῆλυ," *) δικαιώσας τὸν ἀστεῖον λογισμὸν χρῆσθαι μέρεσι τοῖς τοῦ ἀλόγου πᾶσι καθαροῖς.

§. 47. Καὶ τοῦθ᾽ ὅπερ ὥρισεν ὁ νομοθέτης, ἐξ ἀνάγκης παρακολουθεῖ πᾶσι τοῖς σοφοῖς. Ἔχουσι γὰρ κεκαθαρμένην τὴν ὅρασιν, καὶ ἐξητασμένην ἀκοὴν, καὶ πᾶσαν αἴσθησιν· ἔχουσι μέντοι καὶ λόγον ἀκηλίδωτον, καὶ τὰς πρὸς συνουσίας οὐκ ἐκνόμους ὁρμάς· ἕκαστον δὲ τῶν ἑπτὰ τῇ μὲν ἄῤῥεν γίνεται, τῇ δὲ καὶ θῆλυ. Ἐπειδὴ γὰρ ἢ ἴσχεται ἢ κινεῖται, ἴσχεται μὲν κατὰ τοὺς ὕπνους ἠρεμοῦντα, κινεῖται δὲ ἐν ταῖς ἐγρηγόρσεσιν ἤδη ἐνεργοῦντα, τὸ μὲν καθ᾽ ἕξιν καὶ ἠρεμίαν, ἅτε πρὸς τὸ παθεῖν
224 ὑποβεβλημένον, καλεῖται θῆλυ· τὸ δὲ κατὰ κίνησίν
M. τε καὶ ἐνέργειαν, ἅτε ἐν τῷ δρᾶν ἐπινοούμενον, ἄῤῥεν ὀνομάζεται. Οὕτω μὲν ἐν τῷ σοφῷ τὰ ἑπτὰ φαίνεται καθαρὰ, κατὰ δὲ τὰ ἐναντία ἐν τῷ φαύλῳ πάντά ἐκδικούμενα. Πόσην γὰρ ὑπολαμβάνομεν πληθὺν καθ᾽ ἑκάστην ἡμέραν ὑπ᾽ ὀφθαλμῶν προδίδοσθαι, πρὸς τὰ χρώματα καὶ σχήματα, καὶ ἃ μὴ θέμις ὁρᾶν, αὐτομολούντων; Πόσην δὲ ὑπὸ ὤτων ἁπάσαις φωναῖς ὑπακολουθούντων; Πόσην δὲ πρὸς τῶν ὀσφρήσεως καὶ γεύσεως ὀργάνων ὑπό τε ἀτμῶν καὶ τῶν ἄλλων ἀπλέτοις ποικιλίαις ἀγομένων; Ἔτι τοίνυν σοι λέγω τὸ πλῆθος, ὧν ἀχαλίνου γλώττης ῥεῦμα ἀνεπίσχετον διέφθειρεν, ἢ ὁ περὶ τὰς μίξεις ὁ μετ᾽ ἐπιθυμίας ἀκρατοῦς ἀνίατος οἶστρος; Μεσταὶ

*) Gen. 7, 2.

μὲν αἱ πόλεις, μεστὴ δὲ ἀπὸ περάτων ἐπὶ πέρατα πᾶσα ἡ γῆ τῶν κακῶν τούτων, ἐξ ὧν ὁ συνεχὴς καὶ ἄπαυστος καὶ μέγιστος πολέμων ὁ κατ᾽ εἰρήνην ἀνθρώπων γένει καὶ ἰδίᾳ καὶ κοινῇ φύεται.

§. 48. Διόπερ ἑλέσθαι ἂν μοι δοκοῦσιν οἱ μὴ τελείως ἀπαίδευτοι πεπηρῶσθαι μᾶλλον, ἢ τὰ μὴ προσήκονθ᾽ ὁρᾶν· κεκωφῶσθαι μᾶλλον, ἢ βλαβερῶν ἀκούειν λόγων· καὶ ἐκτετμῆσθαι γλῶτταν, ὑπὲρ τοῦ μηδὲν τῶν ἀῤῥήτων ἐκλαλῆσαι. Φασὶ γοῦν ἤδη τινὰς τῶν σοφῶν τροχιζομένους ὑπὲρ τοῦ τὰ ἄῤῥητα μηνῦσαι, γλῶτταν ἀποτραγόντας τὴν ἑαυτῶν, ἀργαλεωτέραν κατὰ τῶν βασανιστῶν ἀντιτεχνήσασθαι βάσανον, οἱ. δυνηθέντων ἃ ἐπόθουν ἐπιγνῶναι. Ἐξευνουχισθῆναί γε μὴν ἄμεινον, ἢ πρὸς συνουσίας ἐκνόμους λυττᾶν. Ἅπαντα δὴ ταῦτα συμφοραῖς ἀνηκέστοις βαπτίζοντα τὴν ψυχήν, δίκης καὶ τιμωρίας εἰκότως ἂν τῆς ἀνωτάτω τυγχάνοι. Λέγει δὲ ἑξῆς,
ὅτι "Ἔθετο κύριος ὁ θεὸς σημεῖον τῷ Κάϊν, τοῦ 187
μὴ ἀνελεῖν αὐτὸν πάντα τὸν εὑρίσκοντα." *) Καὶ P.
τί τὸ σημεῖόν ἐστιν, οὐ δεδήλωκε, καίτοι γε εἰωθὼς τὴν ἑκάστου φύσιν διὰ σημείου δεικνύναι· ὥσπερ ἐπὶ τῶν ἐν Αἰγύπτῳ τὴν ῥάβδον μεταβαλὼν εἰς ὄφιν, καὶ τὴν χεῖρα Μωϋσέως εἰς χιόνος ἰδέαν, καὶ τὸν ποταμὸν εἰς αἷμα. Μήποτ᾽ οὖν αὐτὸ τοῦτο σημεῖόν ἐστι τῷ Κάϊν τοῦ μὴ φονευθῆναι, τὸ μηδέποτε ἀναιρεθῆναι; Οὐδὲ γὰρ θάνατον αὐτοῦ διὰ πάσης τῆς νομοθεσίας δεδήλωκεν· αἰνιττόμενος ὅτι, ὥσπερ ἡ μεμυθευμένη Σκύλλα, κακὸν ἀθάνατόν
225 ἐστιν ἀφροσύνη, τὴν μὲν κατὰ τὸ τεθνάναι τελευ-
M τὴν οὐχ ὑπομένουσα, τὴν δὲ κατὰ τὸ ἀποθνήσκειν

**) Gen. 4, 15.

πάντα ἐνδεχομένη τὸν αἰῶνα. Εἴθε μέντοι συμβαίνοι τὰ ἐναντία, ὡς ἐκποδὼν τὰ φαῦλα ἀναιρεῖσθαι, παντελῆ φθορὰν ὑπομένοντα· νῦν δ' ἀεὶ ζωπυρούμενα, τὴν ἀθάνατον ἐγκατασκήπτει νόσον τοῖς ἅπαξ πρὸς αὐτῶν ἁλοῦσιν.

LIPSIAE,
EX OFFICINA HIRSCHFELDII.

PHILONIS JUDAEI

OPERA OMNIA.

TEXTUS EDITUS

AD FIDEM OPTIMARUM EDITIONUM.

VOL. II.

CONTINENS LIBB. DE POSTERITATE CAINI, DE GIGANTIBUS, QUOD DEUS SIT IMMUTABILIS, DE AGRICULTURA NOE, DE PLANTATIONE NOE, DE EBRIETATE, DE HIS VERBIS: RESIPUIT NOE, DE CONFUSIONE LINGUARUM, DE MIGRATIONE ABRAHÂMI.

LIPSIAE

SUMTIBUS E. B. SCHWICKERTI.

1828.

BIBLIOTHECA SACRA

PATRUM ECCLESIAE GRAECORUM.

PARS II.

PHILONIS JUDAEI

OPERUM OMNIUM

TOM. II.

LIPSIAE
SUMTIBUS E. B. SCHWICKERTI.
1828.

ΦΙΛΩΝΟΣ ΙΟΥΔΑΙΟΥ

ΠΕΡΙ ΤΩΝ ΤΟΥ

ΔΟΚΗΣΙΣΟΦΟΥ

ΚΑΙΝ ΕΓΓΟΝΩΝ,

ΚΑΙ 'ΩΣ

ΜΕΤΑΝΑΣΤΗΣ ΓΙΝΕΤΑΙ.

223 ὡς ἔπος εἰπεῖν, καὶ σώματα καὶ πράγματα πρὸς
M. μὲν οἰκείων καὶ φίλων σώζεται, πρὸς ἀλλοτρίων δὲ καὶ δυςμενῶν διαφθείρεται. Διὰ τοῦτο καὶ ὁ χρησμὸς ἀντιμαρτυρῶν τῇ προςποιήτῳ εὐηθείᾳ τοῦ Κάϊν φησίν, "Οὐχ οὕτω φρονεῖς ὡς λέγεις."*) Λέγεις μὲν γὰρ ὅτι πᾶς ὁ τὰ παλαίσματά σου τῆς τέχνης εὑρὼν ἀνελεῖ. Οἶδας δὲ, ὅτι οὐχὶ πᾶς, μυρίων ἐν τῇ σῇ τεταγμένων συμμαχίᾳ· ἀλλὰ μόνος ὁ ἀρετῇ μὲν φίλος, σοὶ δὲ ἐχθρὸς ἀσύμβατος.

§. 46. "Ὁ δὲ ἀποκτείνας," φησί, "Κάϊν ἑπτὰ ἐκδικούμενα παραλύσει." Καὶ τοῦτο τίνα ἔχει λόγον πρὸς τὰς ῥητὰς διερμηνεύσεις οὐκ οἶδα, ἑπτὰ ἐκδικούμενα παραλύσει. Οὔτε γὰρ τίνα ἐστὶ τὰ ἑπτὰ οὔτε πῶς ἐκδικούμενα, οὔτε ὃν τρόπον παρίεται καὶ ἐκλύεται, δεδήλωκεν. Ὥςτε τροπικώτερον καὶ δι' ὑπονοιῶν ἀνάγκη πάντα τὰ τοιαῦτα λέγεσθαι νομίζειν. Μήποτ' οὖν ὃ βούλεται παριστάνειν ἐστὶ τοιόνδε. Τὸ ἄλογον τῆς ψυχῆς εἰς ἑπτὰ διανέμεται μοίρας, ὅρασιν, ὄσφρησιν, ἀκοὴν, γεῦσιν, ἀφὴν, λόγον, γόνιμον. Εἰ δή τις τὸν ὄγδοον ἀνέλοι, νοῦν, τὸν ἡγεμόνα τούτων Κάϊν, παραλύσει καὶ τὰ ἑπτά· ῥώμῃ μὲν γὰρ τῆς διανοίας κραταιᾷ, πάντα συῤῥώννυται, ἀσθενείᾳ δὲ συγκάμνει, φθορᾷ δὲ ἣν ἐπάγει κακία παντελὴς, πάρεσίν τε καὶ ἔκλυσιν λαμβάνει παντελῆ. Τὰ δὲ ἑπτὰ ταῦτα ἐν μὲν σοφοῦ ψυχῇ ἀμίαντα καὶ καθαρὰ, ταύτῃ καὶ τιμῆς ἐπάξια εὑρίσκεται· ἐν δὲ ἄφρονος, ἀκάθαρτα καὶ μεμιασμένα, καὶ ὅπερ εἶπον, ἐκδικούμενα, ἴσον τῷ δίκης ἐπάξια καὶ τιμωρίας. Ὁπότε γοῦν τὴν γῆν ὕ- 186
δατι καθαίρειν ὁ δημιουργὸς διενοήθη, καὶ τὴν ψυ- P.
χὴν τῶν ἀμυθήτων ἀδικημάτων κάθαρσιν λαβεῖν,

---

*) Gen. 41, 5.

ἐκνιψαμένην καὶ ἀπολουσαμένην τὰ μιάσματα τρόπον ἁγνείας ἱερᾶς, παραινεῖ τῷ φανέντι δικαίῳ, ὃς οὐ παρεσύρη τῇ κατακλυσμοῦ φορᾷ εἰςαγαγεῖν εἰς τὴν κιβωτὸν, ὅπερ ἦν τὸ τῆς ψυχῆς ἀγγεῖον, τὸ σῶμα, ἀπὸ "τῶν κτηνῶν τῶν καθαρῶν ἑπτὰ, ἄῤῥεν καὶ θῆλυ," *) δικαιώσας τὸν ἀστεῖον λογισμὸν χρῆσθαι μέρεσι τοῖς τοῦ ἀλόγου πᾶσι καθαροῖς.

§. 47. Καὶ τοῦθ' ὅπερ ὥρισεν ὁ νομοθέτης, ἐξ ἀνάγκης παρακολουθεῖ πᾶσι τοῖς σοφοῖς. Ἔχουσι γὰρ κεκαθαρμένην τὴν ὅρασιν, καὶ ἐξητασμένην ἀκοὴν, καὶ πᾶσαν αἴσθησιν· ἔχουσι μέντοι καὶ λόγον ἀκηλίδωτον, καὶ τὰς πρὸς συνουσίας οὐκ ἐκνόμους ὁρμάς· ἕκαστον δὲ τῶν ἑπτὰ τῇ μὲν ἄῤῥεν γίνεται, τῇ δὲ καὶ θῆλυ. Ἐπειδὴ γὰρ ἢ ἴσχεται ἢ κινεῖται, ἴσχεται μὲν κατὰ τοὺς ὕπνους ἠρεμοῦντα, κινεῖται δὲ ἐν ταῖς ἐγρηγόρσεσιν ἤδη ἐνεργοῦντα, τὸ μὲν καθ' ἕξιν καὶ ἠρεμίαν, ἅτε πρὸς τὸ παθεῖν
224 ὑποβεβλημένον, καλεῖται θῆλυ· τὸ δὲ κατὰ κίνησίν
M. τε καὶ ἐνέργειαν, ἅτε ἐν τῷ δρᾶν ἐπινοούμενον, ἄῤῥεν ὀνομάζεται. Οὕτω μὲν ἐν τῷ σοφῷ τὰ ἑπτὰ φαίνεται καθαρὰ, κατὰ δὲ τὰ ἐναντία ἐν τῷ φαύλῳ πάντα ἐκδικούμενα. Πόσην γὰρ ὑπολαμβάνομεν πληθὺν καθ' ἑκάστην ἡμέραν ὑπ' ὀφθαλμῶν προδίδοσθαι, πρὸς τὰ χρώματα καὶ σχήματα, καὶ ἃ μὴ θέμις ὁρᾶν, αὐτομολούντων; Πόσην δὲ ὑπὸ ὤτων ἁπάσαις φωναῖς ὑπακολουθούντων; Πόσην δὲ πρὸς τῶν ὀσφρήσεως καὶ γεύσεως ὀργάνων ὑπό τε ἀτμῶν καὶ τῶν ἄλλων ἀπλέτοις ποικιλίαις ἀγομένων; Ἔτι τοίνυν σοι λέγω τὸ πλῆθος, ὧν ἀχαλίνου γλώττης ῥεῦμα ἀνεπίσχετον διέφθειρεν, ἢ ὁ περὶ τὰς μίξεις ὁ μετ' ἐπιθυμίας ἀκρατοῦς ἀνίατος οἶστρος; Μεσταὶ

---

*) Gen. 7, 2.

μὲν αἱ πόλεις, μεστὴ δὲ ἀπὸ περάτων ἐπὶ πέρατα πᾶσα ἡ γῆ τῶν κακῶν τούτων, ἐξ ὧν ὁ συνεχὴς καὶ ἄπαυστος καὶ μέγιστος πολέμων ὁ κατ᾽ εἰρήνην ἀνθρώπων γένει καὶ ἰδίᾳ καὶ κοινῇ φύεται.

§. 48. Διόπερ ἑλέσθαι ἂν μοι δοκοῦσιν οἱ μὴ τελείως ἀπαίδευτοι πεπηρῶσθαι μᾶλλον, ἢ τὰ μὴ προσήκονθ᾽ ὁρᾷν· κεκωφῶσθαι μᾶλλον, ἢ βλαβερῶν ἀκούειν λόγων· καὶ ἐκτετμῆσθαι γλῶτταν, ὑπὲρ τοῦ μηδὲν τῶν ἀῤῥήτων ἐκλαλῆσαι. Φασὶ γοῦν ἤδη τινὰς τῶν σοφῶν τροχιζομένους ὑπὲρ τοῦ τὰ ἄῤῥητα μηνῦσαι, γλῶτταν ἀποτραγόντας τὴν ἑαυτῶν, ἀργαλεωτέραν κατὰ τῶν βασανιστῶν ἀντιτεχνήσασθαι βάσανον, οἱ. δυνηθέντων ἃ ἐπόθουν ἐπιγνῶναι. Ἐξευνουχισθῆναί γε μὴν ἄμεινον, ἢ πρὸς συνουσίας ἐκνόμους λυττᾷν. Ἅπαντα δὴ ταῦτα συμφοραῖς ἀνηκέστοις βαπτίζοντα τὴν ψυχήν, δίκης καὶ τιμωρίας εἰκότως ἂν τῆς ἀνωτάτω τυγχάνοι. Λέγει δὲ ἑξῆς,
ὅτι "Ἔθετο κύριος ὁ θεὸς σημεῖον τῷ Κάϊν, τοῦ 187
μὴ ἀνελεῖν αὐτὸν πάντα τὸν εὑρίσκοντα." *) Καὶ P.
τί τὸ σημεῖόν ἐστιν, οὐ δεδήλωκε, καίτοι γε εἰωθὼς τὴν ἑκάστου φύσιν διὰ σημείου δεικνύναι· ὥσπερ ἐπὶ τῶν ἐν Αἰγύπτῳ τὴν ῥάβδον μεταβαλὼν εἰς ὄφιν, καὶ τὴν χεῖρα Μωϋσέως εἰς χιόνος ἰδέαν, καὶ τὸν ποταμὸν εἰς αἷμα. Μήποτ᾽ οὖν αὐτὸ τοῦτο σημεῖόν ἐστι τῷ Κάϊν τοῦ μὴ φονευθῆναι, τὸ μηδέποτε ἀναιρεθῆναι; Οὐδὲ γὰρ θάνατον αὐτοῦ διὰ πάσης τῆς νομοθεσίας δεδήλωκεν· αἰνιττόμενος ὅτι, ὥσπερ ἡ μεμυθευμένη Σκύλλα, κακὸν ἀθάνατόν
225 ἐστιν ἀφροσύνη, τὴν μὲν κατὰ τὸ τεθνάναι τελευ-
M τὴν οὐχ ὑπομένουσα, τὴν δὲ κατὰ τὸ ἀποθνήσκειν

**) Gen. 4, 15.

πάντα ἐνδεχομένη τὸν αἰῶνα. Εἴθε μέντοι συμβαίνοι τὰ ἐναντία, ὡς ἐκποδὼν τὰ φαῦλα ἀναιρεῖσθαι, παντελῆ φθορὰν ὑπομένοντα· νῦν δ᾽ ἀεὶ ζωπυρούμενα, τὴν ἀθάνατον ἐγκατασκήπτει νόσον τοῖς ἅπαξ πρὸς αὐτῶν ἁλοῦσιν.

LIPSIAE,
EX OFFICINA HIRSCHFELDII.

PHILONIS JUDAEI

OPERA OMNIA.

TEXTUS EDITUS

AD FIDEM OPTIMARUM EDITIONUM.

VOL. II.

CONTINENS LIBB. DE POSTERITATE CAINI, DE GIGANTIBUS, QUOD DEUS SIT IMMUTABILIS, DE AGRICULTURA NOE, DE PLANTATIONE NOE, DE EBRIETATE, DE HIS VERBIS: RESIPUIT NOE, DE CONFUSIONE LINGUARUM, DE MIGRATIONE ABRAHAMI.

LIPSIAE

SUMTIBUS E. B. SCHWICKERTI.

1828.

BIBLIOTHECA SACRA

PATRUM ECCLESIAE GRAECORUM.

PARS II.

PHILONIS JUDAEI

OPERUM OMNIUM

TOM. II.

LIPSIAE

SUMTIBUS E. B. SCHWICKERTI.

1828.

ΦΙΛΩΝΟΣ ΙΟΥΔΑΙΟΥ

ΠΕΡΙ ΤΩΝ ΤΟΥ

ΔΟΚΗΣΙΣΟΦΟΥ

ΚΑΙΝ ΕΓΓΟΝΩΝ,

ΚΑΙ ʽΩΣ

ΜΕΤΑΝΑΣΤΗΣ ΓΙΝΕΤΑΙ.

ΠΕΡΙ ΤΩΝ ΤΟΥ ΔΟΚΗΣΙΣΟΦΟΥ ΚΑΙΝ ΕΓΓΟΝΩΝ, ΚΑΙ ὩΣ ΜΕΤΑΝΑΣΤΗΣ ΓΙΝΕΤΑΙ.

ARGUMENTUM LIBRI DE POSTERITATE CAINI SIBI VISI SAPIENTIS ET QUO PACTO SEDEM MUTAT.

(Cf. Gen. 4, 16—26.)

Cainus a facie dei recedens symbolum est hominis e consilio male agentis. Talis graviores poenas luet eo, qui involuntario divina mandata transgreditur (1—3). Deum enim qui diligit, quod summum est praeceptum, omni ratione ens divinum cognoscere, vel eius intuitu dignus fieri studet, ut Moyses et Abramus (4—6). Quod qui non faciet, ultro citroque ut navis in mari iactabitur, neque ut Cainus quietem inveniet; pius vero dei amans eius particeps redditur, et ea quidem dulcissima, quae cernitur in perpetua contemplatione rerum divinarum (7—10). Improbus eius generis mentem porro omnium rerum mensuram esse putat, nihilque refert ad deum, veluti Cainus cum uxore, i. e. prava sentiendi ratione Henoch, i. e. sui amantem generans (11 et 12). Talem excipiet mors et vitae ratio abiecta, ut Henochum exceperunt Mathusala et Lamech, qui sunt emissio mortis et humiliatio (13). Excogitat enim talis falsas opiniones artemque sophisticam, quibus alios impios, se ut sequantur, facile pellicit, — hoc enim significat Cainus civitatem exstruens —, bonos vero l. Israelitas sibi servire cogit (14—18). Quam ob rem Henochi filius dicitur Gaidad, i. e. grex; nam qui deum non recto-

μὲν αἱ πόλεις, μεστὴ δὲ ἀπὸ περάτων ἐπὶ πέρατα πᾶσα ἡ γῆ τῶν κακῶν τούτων, ἐξ ὧν ὁ συνεχὴς καὶ ἄπαυστος καὶ μέγιστος πολέμων ὁ κατ᾽ εἰρήνην ἀνθρώπων γένει καὶ ἰδίᾳ καὶ κοινῇ φύεται.

§. 48. Διόπερ ἑλέσθαι ἂν μοι δοκοῦσιν οἱ μὴ τελείως ἀπαίδευτοι πεπηρῶσθαι μᾶλλον, ἢ τὰ μὴ προσήκονθ᾽ ὁρᾶν· κεκωφῶσθαι μᾶλλον, ἢ βλαβερῶν ἀκούειν λόγων· καὶ ἐκτετμῆσθαι γλῶτταν, ὑπὲρ τοῦ μηδὲν τῶν ἀῤῥήτων ἐκλαλῆσαι. Φασὶ γοῦν ἤδη τινὰς τῶν σοφῶν τροχιζομένους ὑπὲρ τοῦ τὰ ἄῤῥητα μηνῦσαι, γλῶτταν ἀποτραγόντας τὴν ἑαυτῶν, ἀργαλεωτέραν κατὰ τῶν βασανιστῶν ἀντιτεχνήσασθαι βάσανον, οἱ δυνηθέντων ἃ ἐπόθουν ἐπιγνῶναι. Ἐξευνουχισθῆναί γε μὴν ἄμεινον, ἢ πρὸς συνουσίας ἐκνόμους λυττᾶν. Ἅπαντα δὴ ταῦτα συμφοραῖς ἀνηκέστοις βαπτίζοντα τὴν ψυχὴν, δίκης καὶ τιμωρίας εἰκότως ἂν τῆς ἀνωτάτω τυγχάνοι. Λέγει δὲ ἑξῆς,
ὅτι "Ἔθετο κύριος ὁ θεὸς σημεῖον τῷ Κάϊν, τοῦ 187
μὴ ἀνελεῖν αὐτὸν πάντα τὸν εὑρίσκοντα." **) Καὶ P.
τί τὸ σημεῖόν ἐστιν, οὐ δεδήλωκε, καίτοι γε εἰωθὼς τὴν ἑκάστου φύσιν διὰ σημείου δεικνύναι· ὥςπερ ἐπὶ τῶν ἐν Αἰγύπτῳ τὴν ῥάβδον μεταβαλὼν εἰς ὄφιν, καὶ τὴν χεῖρα Μωϋσέως εἰς χιόνος ἰδέαν, καὶ τὸν ποταμὸν εἰς αἷμα. Μήποτ᾽ οὖν αὐτὸ τοῦτο σημεῖόν ἐστι τῷ Κάϊν τοῦ μὴ φονευθῆναι, τὸ μηδέποτε ἀναιρεθῆναι; Οὐδὲ γὰρ θάνατον αὐτοῦ διὰ πάσης τῆς νομοθεσίας δεδήλωκεν· αἰνιττόμενος ὅτι, ὥςπερ ἡ μεμυθευμένη Σκύλλα, κακὸν ἀθάνατόν
225 ἐστιν ἀφροσύνη, τὴν μὲν κατὰ τὸ τεθνάναι τελευ-
M τὴν οὐχ ὑπομένουσα, τὴν δὲ κατὰ τὸ ἀποθνήσκειν

**) Gen. 4, 15.

πάντα ἐνδεχομένη τὸν αἰῶνα. Εἴθε μέντοι συμβαίνοι τὰ ἐναντία, ὡς ἐκποδὼν τὰ φαῦλα ἀναιρεῖσθαι, παντελῆ φθορὰν ὑπομένοντα· νῦν δ' ἀεὶ ζωπυρούμενα, τὴν ἀθάνατον ἐγκατασκήπτει νόσον τοῖς ἅπαξ πρὸς αὐτῶν ἁλοῦσιν.

LIPSIAE,
EX OFFICINA HIRSCHFELDII.

βουλον καὶ ῥᾳδιουργὸν καὶ πανοῦργον, καὶ κεχυμένον, παθῶν τε καὶ κακιῶν πλήρη βίον. Ὅσους γὰρ ὁ θεὸς εὐαρεστήσαντες αὐτῷ μετεβίβασε καὶ μετέθηκεν ἐκ φθαρτῶν εἰς ἀθάνατα γένη, παρὰ τοῖς πολλοῖς οὐκ ἔθ' εὑρίσκονται.

§. 13. Διεσταλκότες οὖν τὰ περὶ τὸν Ἐνὼχ σημαινόμενα, μέτιμεν ἑξῆς ἐπὶ τὸν "Μαθουσάλα", ὅς ἦν "ἐξαποστολὴ θανάτου". Δύο δ' ἐκ ταύτης παρίσταται φωνῆς, ἓν μὲν καθ' ὅ τινι ἐπιπέμπεται θάνατος, ἕτερον δὲ, καθ' ὃ ἀπό τινος ἀποστέλλεται. Ὅτῳ μὲν οὖν ἐπιπέμπεται, θνήσκει πάντως ἐκεῖνος, ἀφ' οὗ δὲ ἀποστέλλεται, ζῇ τε καὶ περίεστι. Τῷ μὲν δὴ Κάϊν, ὁ τὸν θάνατον δεχόμενος, ἐστὶν οἶκος, ἀεὶ τὸν πρὸς ἀρετὴν βίον θνήσκοντι· τῷ δὲ Σὴθ συγγενέστατος, ἀφ' οὗπερ ἀποστέλλεται καὶ διατειχίζεται τὸ ἀποθνήσκειν· τὴν γὰρ ἀληθῆ ζωὴν ὁ σπουδαῖος κεκάρπωται. Καὶ μὲν ὅ γε Λάμεχ ταπείνωσις ὤν, ἀμφίβολός ἐστιν· ἢ γὰρ ὑφιεμένων τῶν τῆς ψυχῆς τόνων, κατὰ τὰ ἐξ ἀλόγων παθῶν ἐγγενόμενα νοσήματά τε καὶ ἀῤῥωστήματα, ταπεινούμεθα· ἢ κατ' ἀρετῆς ζῆλον, στέλλοντες ἑαυτοὺς ἀπ' οἰδούσης οἰήσεως. Ἡ μὲν οὖν πρότερον γίνεται κατ' ἀσθένειαν, εἶδος τῆς πολυμόρφου καὶ πολυτρόπου λέπρας οὖσα. "Ὅτ' ἂν γὰρ ἡ ὄψις ταπεινοτέρα φαίνηται *)" τὴν ὁμαλὴν καὶ εὔψονον κλασθεῖσα φαντασίαν, τὴν χαλεπὴν νόσον, "λέπραν", ὁ νομοθέτης φησὶ γενέσθαι. Ἡ δὲ ἑτέρα ἀπὸ ἰσχύος συνίσταται καρτερίας, ᾗ καὶ ἱλασμὸς ἕπεται, κατὰ τὸν τῆς δεκάδος ἀριθμὸν τέλειον. Προστέτακται γὰρ τὰς ψυχὰς ταπεινοῦν δεκάτῃ τοῦ μηνὸς **), ὅπερ ἐστὶ μεγαλαυχίαν ἀποτίθεσθαι, ἧς ἡ ἀπόθεσις ἀδικημάτων ἑκουσίων καὶ ἀκουσίων ἐργάζεται παραίτησιν. Ὁ μὲν οὖν οὕτως ταπεινὸς Λάμεχ ἔκγονος μέν ἐστι Σὴθ, πατὴρ δὲ τοῦ δικαίου Νῶε, ὁ δὲ ἐκείνως ἐκβλάστημα Κάϊν.

*) Lev. 13, 3. **) Ibid. 23, 27.

§. 14. Ἑπόμενον δὲ ἂν εἴη σκέψασθαι, τίνος ἕνεκα κτίζων καὶ οἰκοδομῶν πόλιν αὐτὸς οὗτος εἰσάγεται· πλήθει γὰρ ἀνθρώπων μέγεθος δεῖ πόλεως πρὸς οἴκησιν, τρισὶ δὲ κατ' ἐκεῖνον οὖσι τὸν χρόνον ὑπόρειά τις ἢ μικρὸν ἄντρον αὐταρκέστατον ἦν δίαιτημα. Καὶ ἐγὼ μὲν εἶπον τρισὶ, τὸ δ' εἰκὸς ἑνὶ μόνῳ ἑαυτῷ. Οὐδὲ γὰρ οἱ γονεῖς δολοφονηθέντος τὴν αὐτὴν τῷ κτείναντι πόλιν ὑπέμειναν οἰκεῖν, μεῖζον
235 ἀνδροφονίας ἄγος ἀδελφοκτονίαν ἐργασαμένῳ. Τὸ
M. μὲν γὰρ οὐ παράδοξον μόνον ἀλλὰ καὶ παράλογον παντὶ τῷ δῆλον, ἕνα ἄνδρα πόλιν οἰκοδομεῖν. Τίνα ἐστὶ τρόπον; Ἀλλ' οὐδ' ἂν οἰκίας μέρος τὸ ἀφανέστατον, μὴ χρώμενον ὑπηρέταις ἑτέροις; Ἢ ὁ αὐτὸς ἐν τῷ αὐτῷ λιθοτομεῖν ἂν δύναιτο, ὑλοτομεῖν, σίδηρον, χαλκὸν ἐργάζεσθαι, τείχη, μέγαν κύκλον πόλεων, περιβάλλεσθαι· προπύλαια καὶ προτειχίσματα, ἱερὰ καὶ τεμένη καὶ στοὰς, καὶ νεωςοίκους, καὶ οἰκίας, καὶ ὅσα ἄλλα δημόσια καὶ ἴδια ἔθος οἰκοδομεῖσθαι. Καὶ ἔτι πρὸς τούτοις ἀχ *** καὶ γῆν ἀναστέλλειν, στενωποὺς ἀνευρύνειν, κρήνας καὶ ὑδρορρόας, καὶ ὅσων ἄλλων πόλει δεῖ κατασκευάζεσθαι. Μήποτ' οὖν, ἐπειδὴ ταῦτα τῆς ἀληθείας ἀπάδει, βέλτιον ἀλληγοροῦντας λέγειν ἐστὶν, ὅτι καθάπερ πόλιν τὸ αὐτοῦ δόγμα κατασκευάζειν ὁ Κάϊν ἔγνωκε.

§. 15. Ἐπειδὴ τοίνυν πᾶσα πόλις ἐξ οἰκοδομημάτων καὶ οἰκητόρων καὶ νόμων συνέστηκε, τὰ μὲν οἰκοδομήματά ἐστιν αὐτῷ λόγοι οἱ ἀποδεικνύντες, οἷς, καθάπερ ἀπὸ τείχους, πρὸς τὰς τῶν ἐναντίων ἀπομάχεται προςβολὰς πιθανὰς, εὑρέσεις κατὰ τῆς ἀληθείας μυθοπλαστῶν. Οἰκήτορες δὲ οἱ ἀσεβείας, ἀθεότητος, φιλαυτίας, μεγαλαυχίας, ψευδοῦς δόξης ἑταῖροι, δοκησίσοφοι, τὸ πρὸς ἀλήθειαν σοφὸν οὐκ εἰδότες, ἄγνοιαν καὶ ἀπαιδευσίαν καὶ ἀμαθίαν, καὶ τὰς ἄλλας ἀδελφὰς καὶ συγγενεῖς κῆρας συγκεκροτηκότες. Νόμοι δὲ, ἀνομίαι, ἀδικίαι, τὸ ἄνισον, τὸ ἀκόλαστον, θρασύτης, ἀπόνοια, αὐθάδεια, ἡδονῶν

ἀμετρίαι, τῶν περὶ φύσεως ἄλεκτοι ἐπιθυμίαι. Τοιαύτης πόλεως ἕκαστος τῶν ἀσεβῶν ἐξ ἑαυτοῦ τῇ παναθλίᾳ ψυχῇ δημιουργὸς εὑρίσκεται, μέχρις ἂν ὁ θεὸς ἐνθυμηθεὶς ταῖς σοφιστικαῖς αὐτῶν τέχναις ἀθρόαν καὶ μεγάλην ἐργάσηται σύγχυσιν *). *Τοῦτο δ' ἔσται, ὅταν μὴ μόνον "πόλιν καὶ πύργον οἰκοδομῶσιν, οὗ ἡ κεφαλὴ εἰς οὐρανὸν ἀφίξεται", τοῦτ' ἔστιν,* *** *ἢ λόγον ἑκάστου κατασκευαστικὸν, ὅνπερ εἰσηγοῦνται κεφαλὴν ἔχοντα τὸ οἰκεῖον νόημα, ὃ προσαγορεύεται συμβολικῶς οὐρανός· Ἀνάγκη γὰρ παντὸς λόγου κεφαλὴν καὶ τέλος εἶναι τὸν δηλούμενον νοῦν, οὗ χάριν αἱ μακραὶ διέξοδοί τε καὶ ῥήσεις ὑπὸ λογίων ἀνδρῶν εἰώθασι γίνεσθαι.*

§. 16. *Τοσοῦτον δὲ ἐπαράτου ἀσεβείας ἐπιβεβήκασιν, ὥστ' οὐ μόνον δι' ἑαυτῶν ἐγείρειν τὰς τοιαύτας πόλεις ἀξιοῦσιν, ἀλλὰ καὶ φιλάρετον πληθὺν Ἰσραὴλ ἀναγκάζουσιν, ἐπιστάτας καὶ διδασκάλους κακῶν ἔργων ἐπ' αὐτῆς χειροτονήσαντες. Λέγεται γὰρ* **), *ὅτι κακωθέντες ὑπὸ τῶν ἐπιστατῶν τῷ βασιλεῖ τῆς χώρας*
236 *τρεῖς πόλεις οἰκοδομοῦσι, Πειθὼ, Ῥαμεσσὴ, Ὢν, ἥ*
M. *ἐστιν Ἡλιούπολις. Αὗται δὲ τροπικώτερον, νοῦν, αἴσθησιν, λόγον, τὰ περὶ ἡμᾶς ὄντα δηλοῦσιν. Ἡ μὲν γὰρ Πειθὼ ὁ λόγος ἐστὶν, ὅτι περὶ τοῦτον τὸ πείθειν· ἔχει δὲ ἑρμηνείαν στόμα ἐκθλῖβον. Ἐπειδήπερ καὶ ὁ τοῦ φαύλου λόγος ἔξωθεν, καὶ ἀνατρέπειν τὰ σπουδαῖα μελετᾷ. Ῥαμεσσὴ δὲ ἡ αἴσθησις· καθάπερ γὰρ ὑπὸ σητὸς ὑφ' ἑκάστης τῶν αἰσθήσεων νοῦς ἐκβιβρώσκεται καὶ διεσθίεται, σειόμενος καὶ σπαραττόμενος. Αἱ γὰρ ἐπεισιοῦσαι μὴ καθ' ἡδονὴν φαντασίαι* ** *πηρὸν καὶ ἐπίπονον ἀποτίκτουσιν αὐτὸν βίον. Ἡ δὲ Ὢν καλεῖται μὲν βουνὸς, ἔστι δὲ συμβολικῶς ὁ νοῦς· ἐπὶ γὰρ τοῦτον οἱ πάντων θησαυρίζονται λόγοι. Μάρτυς δὲ καὶ ὁ νομοθέτης τὴν Ὢν ἡλίου πόλιν προσαγορεύσας· ὥσπερ γὰρ ἀνατείλας*

---

*) Gen. 11, 4 sqq. **) Exod. 1, 11.

ἥλιος τὰ κρυπτόμενα νυκτὶ ἐμφανῶς ἐπιδείκνυται, οὕτως ὁ νοῦς τὸ οἰκεῖον φῶς ἀποστέλλων, πάντα καὶ τὰ σώματα καὶ πράγματα τηλαυγῶς παρασκευάζει καταλαμβάνεσθαι. Διόπερ οὐκ ἄν τις εἰπὼν ἁμάρτοι τοῦ συγκρίματος εἶναι ἡμῶν τὸν νοῦν ἥλιον, ὃς ἐν ἀνθρώπῳ τῷ βραχεῖ κόσμῳ μὴ ἀνατείλας καὶ τὸ ἴδιον φέγγος ἐκλάμψας, πολὺ σκότος τῶν ὄντων καταχέας, οὐδὲν ἐᾷ προφέρεσθαι.

§. 17. Τὸν βουνὸν τοῦτον ὁ ἀσκητὴς Ἰακὼβ ἐν τοῖς πρὸς Λάβαν δικαίοις μάρτυρα καλεῖ, δογματικώτατα δηλῶν, ὅτι ὁ νοῦς ἑκάστῳ μάρτυς ἐστὶν, ὧν ἐν ἀφανεῖ βουλεύεται· καὶ τὸ συνειδὸς ἔλεγχος ἀδέκαστος καὶ πάντων ἀψευδέστατος, πρὸ τούτων τῶν πόλεων οἰκοδομεῖται. Φησὶ γὰρ "τοὺς κατασκόπους ἐλθεῖν εἰς Χεβρών· ἐκεῖ δ' εἶναι Ἀχειμὰν, καὶ Σεσεὶν, καὶ Θαλαμεὶν, γενεᾶς Ἐνώχ"· εἶτ' ἐπιφέρει, "καὶ Χεβρὼν ἑπτὰ ἔτεσιν ᾠκοδομήθη πρὸ τοῦ Τανὶν Αἰγύπτου *)." Φυσικωτάτως τὰς ὁμωνυμίας εἴδεσι διαστέλλεσθαι. Χεβρὼν ἑρμηνεύεται συζυγή· δισσὸν δὲ τοῦτο, ψυχῆς ἢ σώματι συνεζευγμένης, ἢ πρὸς ἀρετὴν ἡρμοσμένης. Ἡ μὲν οὖν σωματικαῖς συζυγίαις ὑποβάλλουσα αὐτὴν, οἰκήτορας ἔχει τοὺς λεχθέντας. Ἑρμηνεύεται δὲ ὁ μὲν Ἀχειμὰν ἀδελφός μου, ὁ δὲ Σεσεὶν ἐκτός μου, ὁ δὲ Θαλμεὶν κρεμάμενός τις. Ἀνάγκη γὰρ ψυχαῖς ταῖς φιλοσωμάτοις ἀδελφὸν μὲν νομίζεσθαι τὸ σῶμα, τὰ δὲ ἐκτὸς ἀγαθὰ διαφερόντως τετιμῆσθαι· ὅσαι δὲ τοῦτον διάκεινται τὸν τρόπον, ἀψύχων ἐκκρέμανται καὶ, κα-
237 θάπερ οἱ ἀνασκολοπισθέντες, ἄχρι θανάτου φθαρ-
M. ταῖς ὕλαις προσήλωνται. Ἡ δὲ τῷ καλῷ συνεζευγμένη διαφερόντων ταῖς ἀρεταῖς ἔλαχεν οἰκητόρων, οὓς τὸ διπλοῦν σπήλαιον ζυγάδην κεχώρηκεν, Ἀβραὰμ Σάῤῥαν, Ἰσαὰκ Ῥεβέκκαν, Λείαν Ἰακὼβ, ἀρετὰς καὶ τοὺς ἔχοντας. Χεβρὼν αὕτη μνήμας ἐπιστήμης

*) Num. 13, 23.

καὶ σοφίας θησαυροφυλακοῦσα, προτέρα καὶ τῆς Τανέως καὶ πάσης ἐστὶν Αἰγύπτου. Πρεσβύτερος γὰρ ἡ φύσις ψυχὴν μὲν σώματος, Αἰγυπτίου, ἀρετὴν δὲ κακίας, Τανέως — ἐντολὴ γὰρ ἀποκρίσεως ἑρμηνεύεται Τανὶς — εἰργάζετο, τὸ πρεσβύτερον ἀξιώματι μᾶλλον ἢ χρόνου μήκει δοκιμάσασα.

§. 18. Παρ' ὃ καὶ τὸν Ἰσραὴλ νεώτερον ὄντα χρόνῳ "πρωτόγονον υἱὸν" ἀξιώματι καλεῖ*)· διασυνιστὰς, ὅτι τὸν θεὸν ὁρᾶν ἀρχεγονώτατον ὂν, τετίμηται τοῦ ἀγεννήτου διασυνήτου γέννημα πρώτιστον, ἐκ τῆς παρὰ τοῖς θνητοῖς μισουμένης ἀρετῆς ἀποκυηθὲν, ᾧ ὁ νόμος ἐστὶν ὡς πρεσβυτάτῳ "διπλᾶ δίδοσθαι τὰ πρεσβεῖα" **). Διὰ τοῦτο καὶ ἡ ἑβδόμη τάξει μὲν ἐπιγέννημά ἐστιν ἑξάδος, δυνάμει δὲ πρεσβυτάτη παντὸς ἀριθμοῦ, μηδὲν διαφέρουσα μονάδος. Δηλώσει δὲ καὶ αὐτὸς ἐν τῷ τῆς κοσμοποιΐας ἐπιλόγῳ· φάσκων, "Καὶ κατέπαυσεν ὁ θεὸς ἐν τῇ ἡμέρᾳ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησε· καὶ εὐλόγησεν ὁ θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην· καὶ ἡγίασεν αὐτήν· ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἤρξατο ὁ θεὸς ποιῆσαι." Εἶτ' ἐπιλέγει, "Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς ὅτε ἐγένετο, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν" ***). Τῇ δὲ πρώτῃ ταῦτα γέγονεν, ὥστε τὴν ἑβδόμην εἰς μονάδα τὴν πρώτην καὶ ἀρχὴν τῶν ὅλων ἀναφέρεσθαι. Ταῦτ' ἐμηκύναμεν ὑπὲρ τοῦ δεῖξαι τηλαυγέστερον δόξαν, ἣν ὁ Κάϊν, ὥσπερ τινὰ πόλιν, οἴεται δεῖν κατασκευάζειν.

§. 19. Υἱὸς δὲ τοῦ Ἐνὼχ λέγεται Γαϊδὰδ †), ὃ ἑρμηνεύεται ποίμνιον, σφόδρα ἀκολούθως· τὸν γὰρ τῷ νῷ χαριζόμενον τὰ πάντα, τῷ μηδὲ τὴν αὐτοῦ φύσιν, ἥ τίς ἐστι, καταλαβεῖν δυναμένῳ, γεν-

*) Exod. 4, 22. **) Deut. 21, 17. ***) Gen. 2, 2—4.
†) Gen. 4, 18.

νῆσαι ἀλόγους ἥρμοττε δυνάμεις, ἀγειρομένας εἰς ποίμνιον· οὐ γὰρ λογικῶν ἀνδρῶν τὸ δόγμα. Ποίμνη δὲ πᾶσα τὸν ἐπιστάντα οὐκ ἔχουσα ποιμένα, μεγά-
238 λαις ἐξ ἀνάγκης κακοπραγίαις χρῆται, ἅτ' οὐ δυνα-
M. μένη δι' ἑαυτῆς ἀπωθεῖσθαι μὲν τὰ βλάπτοντα, αἱρεῖσθαι δὲ τὰ ὠφελήσοντα. Παρ' ὃ καὶ Μωϋσῆς εὐχόμενός φησιν, „Ἐπισκεψάσθω κύριος, ὁ θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκὸς, ἄνθρωπον ἐπὶ τῆς συναγωγῆς ταύτης· ὅςτις ἐξελεύσεται πρὸ προςώπου αὐτῶν, καὶ ὅστις εἰςελεύσεται· καὶ ὅςτις ἐξάξει αὐτοὺς, καὶ ὅςτις εἰςάξει, καὶ οὐκ ἔσται ἡ συναγωγὴ κυρίου, ὥςπερ πρόβατα οἷς οὐκ ἔστι ποιμήν *)." Ὅταν γὰρ ὁ προστὰς ἢ ὁ ἐπίτροπος ἢ πατὴρ, ἢ ὅ τι φίλον καλεῖν, τοῦ συγκρίματος ἡμῶν, ὁ ὀρθὸς λόγος, οἴχηται, καταλιπὼν τὸ ἐν ἡμῖν ποίμνιον, ἀτημέλητον ἐαθὲν διόλλυται μὲν αὐτὸ, μεγάλη δὲ τῷ δεσπότῃ ζημία γίνεται· τὸ δ' ἄλογον καὶ ἀποστασίαστον θρέμμα χηρεῦσαν ἀγελάρχου τοῦ νουθετήσοντός τε καὶ παιδεύσοντος, μακρὰν λογικῆς καὶ ἀθανάτου ζωῆς ἀπῴκισται.

§. 20. Δι' ὃ τοῦ Γαϊδὰδ υἱὸς εἶναι λέγεται Μεὴλ, οὗ τὸ ὄνομα μεταληφθέν ἐστιν, ἀπὸ ζωῆς θεοῦ. Ἐπεὶ γὰρ τὸ ποίμνιον ἄλογον, ὁ δὲ θεὸς πηγὴ λόγου, ἀνάγκη τὸν ἀλόγως βιοῦντα τῆς θεοῦ ζωῆς ἀπεσχοινίσθαι. Τὸ μὲν οὖν κατὰ θεὸν ζῆν ἐν τῷ ἀγαπᾶν αὐτὸν ὁρίζεται Μωϋσῆς. Λέγει γὰρ, ὅτι „Ἡ ζωή σου τὸ ἀγαπᾶν τὸν ὄντα **)." Τοῦ δ' ἐναντίου βίου παράδειγμα τίθεται τὸν ἀποτυχόντα τοῦ κλήρου τράγον. „Στήσει γὰρ αὐτὸν," φησί, „ζῶντα ἐναντίον κυρίου, τοῦ ἐξιλάσασθαι ἐπ' αὐτοῦ, ὥςτε ἐξαποστεῖλαι αὐτὸν εἰς τὴν ἀποπομπήν ***)." ἄγαν ἐξητασμένως. Ὡς γὰρ ἡδονῶν ἀπεχομένους πρεσβύτας εὖ φρονῶν οὐκ ἄν τις ἀποδέξαιτο· ὅτι τὸ γῆρας, ἡ μακρὰ καὶ ἀνίατος νόσος, τοὺς τῶν

*) Num. 27, 16. **) Deut. 30, 20. ***) Lev. 16, 10.

ὀρέξεων ἐχάλασέ τε καὶ ἔλυσε τόνους. Ἐπαίνου δ' ἂν ἀξιώσειε τοὺς ἡβῶντας, ὅτι φλεγούσης τῆς ἐπιθυμίας ὑπὸ τῆς κατὰ τὴν ἡλικίαν ἀκμῆς, ὅμως σφεστηρίων ὀργάνων, τῶν κατὰ παιδείαν λόγων, εὐπορήσαντες, τὸν πολὺν φλογμὸν ἀλλὰ καὶ βρασμὸν τῶν παθῶν ἐπεκούφισαν. Ὥςτε οἷς μὲν οὐδὲν νόσημα ἐκ πονηρᾶς φιλεῖ διαίτης ἐπανίστασθαι, ἐλάττων ἔπαινος ἕπεται, ὅτι κατὰ φύσεως εὐμοιρίαν ἀπροαιρέτως ἐχρήσαντο εὐτυχίᾳ. Οἷς δ' ἐξεγερθὲν ἀντιστατεῖ, μείζων· εἰ δὴ διερεισάμενοι καθελεῖν αὐτὸ βουληθεῖέν τε καὶ δυνηθεῖεν. Τὰ γὰρ ἡδονῆς ὁλκοῦ δελέαστρα αὐστηρῷ τόνῳ καθελεῖν ἰσχῦσαι, τὸν ἐφ' ἑκουσίοις ἔχει κατορθώμασιν ἔπαινον. Ἔτ' ἂν οὖν τούτων εὐδαίμονα κλῆρον ἀπολαχόντα μηδέν,** ζῇ δὲ ἐν ἡμῖν τὰ ἀποπομπαῖα νοσήματα καὶ ἀῤῥω-
239 στήματα, σπουδάζωμεν αὐτὰ ἀνατρέπειν καὶ κατα-
M. βάλλειν. Τὸ γὰρ ἐξιλάσασθαι ἐπ' αὐτῶν τοιοῦτόν ἐστιν ὁμολογῆσαι, ὅτι ἔχοντες αὐτὰ ἐν ψυχῇ ζῶντα καὶ περιόντα, οὐκ ἐνδίδομεν· ἀλλ' ἀντιβαίνοντες ἅπασι, καρτερῶς ἀπομαχόμεθα, μέχρις ἂν παντελῶς ἀποδιοπομπησώμεθα.

§. 21. Τί δὲ ἕπεται τῷ μὴ κατὰ βούλημα τὸ τοῦ θεοῦ ζῶντι, ἢ θάνατος ὁ ψυχῆς; Οὗτος δὲ ὀνομάζεται Μαθουσάλα, ὃς ἑρμηνευθεὶς ἦν ἐξαποστολὴ τοῦ θανάτου. Δι' ὃ τοῦ Μεὴλ υἱός ἐστι, τοῦ τὸν ἴδιον βίον ἀπολελοιπότος, ᾧ τὸ ἀποθνήσκειν ἐπιπέμπεται· ψυχῆς θάνατος, ὃς κατὰ πάθους ἄλογός ἐστιν αὐτῆς μεταβολή. Τοῦτο μέντοι τὸ πάθος ὅτ' ἂν κυοφορήσῃ, μετὰ χαλεπῶν ὠδίνων νοσήματα καὶ ἀῤῥωστήματα ἔτεκεν ἀνίατα, ὑφ' ὧν ἑλκυσπωμένη ταπεινοῦται καὶ κάμπτεται· πιέζει γὰρ αὐτὴν ἕκαστον, ἐπιφέρον ἄχθος ὀνήνυτον, ὡς μηδένα κῦψαι δύνασθαι. Τοῦθ' ἅπαν ὠνόμασται Λάμεχ, ἑρμηνείαν γὰρ ἔχει ταπείνωσιν, ἵν' εἰκότως τοῦ Μαθουσάλα γένηται. ὁ Λάμεχ υἱὸς, πάθος τοῦ περὶ ψυχὴν θα-

νάτου ταπεινὸν, ὕπεικον, ἀλόγου ὁρμῆς ἔκγονον ἀῤῥώστημα.

§. 22. "Ἔλαβε δὲ ἑαυτῷ Λάμεχ δύο γυναῖκας· ὄνομα τῇ μιᾷ δὲ Ἀδὰ, καὶ ὄνομα τῇ δευτέρᾳ Σέλλα." Πᾶν ὅ τι ἐὰν ἑαυτῷ λαμβάνῃ φαῦλος, πάντως ἐστὶν ἐπίληπτον, ἅτε γνώμῃ δυςκαθάρτῳ μιαινόμενον· καὶ γὰρ ἔμπαλιν αἱ τῶν σπουδαίων ἑκούσιοι πρᾶξεις ἐπαινεταὶ πᾶσαι. Δι' ὃ νῦν μὲν ὁ Λάμεχ ἑαυτῷ γυναῖκας αἱρούμενος, κακὰ μέγιστα αἱρεῖται. Αὖθις Ἀβραὰμ, Ἰακὼβ, Ἀαρὼν ἑαυτοῖς λαμβάνοντες, ἀγαθοῖς οἰκείοις συνέρχονται. Λέγει ἐπὶ μὲν Ἀβραὰμ οὕτως, "Καὶ ἔλαβον Ἀβραὰμ καὶ Ναχὼρ ἑαυτοῖς γυναῖκας· ὄνομα τῇ γυναικὶ Ἀβραὰμ, Σάῤῥα *)." Ἐπὶ τοῦ Ἰακὼβ, "Ἀναστὰς ἀπόδραθι εἰς τὴν Μεσοποταμίαν εἰς τὸν οἶκον Βαθουὴλ πατρὸς τῆς μητρός σου· καὶ λάβε σεαυτῷ ἐκεῖθεν γυναῖκα ἐκ τῶν θυγατέρων Λάβαν ἀδελφοῦ τῆς μητρός σου **)." Ἐπὶ δὲ τοῦ Ἀαρὼν, "Ἔλαβε δὲ Ἀαρὼν τὴν Ἐλιζαβὲτ, θυγατέρα Ἀμιναδὰμ, ἀδελφὴν Ναασσὼν ἑαυτῷ γυναῖκα ***)." Ἰσαὰκ δὲ καὶ Μωϋσῆς λαμβάνουσι μὲν, οὐ δι' ἑαυτῶν δὲ λαμβάνουσιν· ἀλλ' ὁ μὲν Ἰσαὰκ "Ὅτε εἰςῆλθεν εἰς τὸν οἶκον τῆς μητρὸς †)" λαμβάνειν λέγεται, Μωϋσεῖ δὲ "ὁ ἄνθρωπος," παρ' ᾧ κατῴκησε, "τὴν θυγατέρα Σέπφωραν ἐκδίδοται ††)."

§. 23. Τούτων δ' οὐ παρέργως αἱ διαφοραὶ παρὰ τῷ
230 νομοθέτῃ μεμήνυνται. Τοῖς μὲν γὰρ ἀσκηταῖς προ-
M. κόπτουσι καὶ βελτιουμένοις, ἡ ἑκούσιος αἵρεσις τοῦ ἀγαθοῦ μαρτυρεῖται, ἵνα μηδ' ὁ πόνος ἀστεφάνωτος ἀφεθῇ· τοῖς δ' αὐτοδιδάκτου καὶ αὐτομαθοῦς σοφίας ἀξιωθεῖσιν ἕπεται, τὸ μὴ δι' ἑαυτῶν παρὰ θεοῦ δὲ ἐγγυᾶσθαι λόγον, καὶ λαμβάνειν τῶν σοφῶν σύμβιον ἐπιστήμην. Ὁ δὲ τῶν ἀνθρωπίνων ἀποῤῥιφεὶς, ὁ

---

*) Gen. 11, 29. **) Gen. 28, 2. ***) Exod. 6, 23.
†) Gen. 24, 67. ††) Exod. 2, 21.

ταπεινὸς καὶ χαμαίζηλος Λάμεχ, προτέραν Ἀδὰ ἄγεται γυναῖκα ἥτις ἑρμηνεύεται μάρτυρα, προξενήσας ἑαυτῷ αὐτὸς τὸν γάμον. Οἴεται γὰρ, τὴν κατὰ τὰς εὐθήκτους ἐπιβουλὰς λείαν κίνησιν καὶ διέξοδον τοῦ νοῦ, μηδενὸς τῶν εἰς εὐμαρῆ κατάληψιν κωλυσιουργοῦντος, ἀγαθὸν εἶναι πρῶτον ἀνθρώπῳ. Τί γὰρ ἂν εἴη, φησὶ, κρεῖττον τοῦ τὰς ἐννοίας, τὰς διανοήσεις, τὰς εἰκασίας, τοὺς στοχασμοὺς, συνόλως τὰς βουλὰς, τὸ λεγόμενον, ἀρτίοις ποσὶ βαίνειν, ὡς ἐπὶ τὸ τέλος ἀπταίστως προσέρχεσθαι, μαρτυρουμένης ἐν ἅπασι λεχθεῖσι διανοίας; Ἐγὼ δὲ, εἰ μέν τις εὐθυβόλῳ καὶ εὐθήκτῳ γνώμῃ πρὸς μόνα χρῆται τὰ καλὰ, τοῦτον εὐδαίμονα γράφω, διδασκάλῳ τῷ νόμῳ χρώμενος. Καὶ γὰρ αὐτὸς "ἄνδρα ἐπιτυγχάνοντα" εἶπε τὸν Ἰωσὴφ *), οὐκ ἐν ἅπασιν, ἀλλ' "ἐν οἷς ὁ θεὸς τὸ εὐοδεῖν ἐχαρίζετο." Δωρεαὶ δὲ αἱ τοῦ θεοῦ καλαὶ πᾶσαι· εἰ δέ τις τῷ τῆς φύσεως εὐστόχῳ καὶ εὐτρόχῳ, μὴ πρὸς τὰ ἀστεῖα μόνον, ἀλλὰ καὶ πρὸς τὰ ἐναντία κέχρηται, εὐδιαφορᾷ ἀδιάφορος ὢν, κακοδαιμονιζέσθω. Ἐν γοῦν ἀρᾶς εἴδει λέγεται κατὰ τὸν τῆς συγχύσεως τόπον, ὅτι "Οὐκ ἐκλείψει ἐξ αὐτῶν πάνθ' ὅσα ἂν ἐπιθῶνται ποιεῖν **)." Ὄντως γὰρ ἀνήκεστός ἐστι συμφορὰ ψυχῇ εὐοδεῖν, οἷς ἂν ἐπιθῆται καὶ τὰ αἴσχιστα. Ἐγὼ δ' ἂν εὐξαίμην, εἴ ποτε διανοηθείην ἀδικεῖν, ἐπιλιπεῖν τὸ ἀδικεῖν· καὶ εἴπερ ζῆν ἀνάνδρως, ἐπιλιπεῖν τὸ ἀκολασταίνειν· καὶ εἰ θρασέως μέντοι καὶ πανούργως, ἔνδειαν θρασύτητος καὶ πανουργίας γενέσθαι παντελῆ. Εἰ μὴ καὶ τοῖς κλέπτειν ἢ μοιχεύειν ἢ ἀνδροφονεῖν ἐγνωκόσιν, οὐκ ἔστιν ἄμεινον ἐπιδεῖν τούτων ἕκαστον ἐκλελοιπὸς καὶ διεφθαρμένον.

§. 24. Τὴν οὖν Ἀδὰ παραίτησαι, ὦ διάνοια, τὴν μαρτυροῦσάν τε τοῖς φαύλοις, καὶ μαρτυρου-

---

*) Gen. 39, 3 sqq. **) Gen. 11, 6.

241 μένην ἐν ταῖς πρὸς ἕκαστα αὐτοῦ ἐπιβουλαῖς. Εἰ
M. δὲ κοινωνὸν αὐτὴν ἀξιώσεις ἔχειν, μέγιστον ἀποτέξεταί σοι κακὸν, τὸν Ἰωβὴλ *), ὃς ἑρμηνεύεται μεταλλοιῶν. Εἰ γὰρ τῇ μαρτυρίᾳ χαίρεις ὧν ἂν τύχῃ, στρέφειν καὶ ἀνακυκλεῖν ἕκαστα βουλήσῃ, τοὺς παγέντας ὑπὸ τῆς φύσεως τοῖς πράγμασιν ὅρους μετατιθείς. Σφόδρα καὶ Μωϋσῆς ἀχθόμενος τοῖς τοιούτοις καταρᾶται λέγων, "Ἐπικατάρατος ὁ μετατιθεὶς ὅρια τοῦ πλησίον **)." Καλεῖ δὲ πλησίον καὶ ἐγγὺς τὸ Ἀγαθόν· "Οὐ γὰρ ἂν ἀπεῖναι," φησὶν, "εἰς οὐρανὸν, οὐδὲ πέραν θαλάττης ἀφικέσθαι δεῖ ***)," κατὰ ζήτησιν τοῦ καλοῦ, "ἐγγὺς γὰρ καὶ πλησίον ἵστασθαι ἑκάστῳ." Καὶ τριχῇ αὐτὸ διαιρεῖ, φυσικώτατα. "Ἐν γὰρ τῷ στόματί σου," φησὶν, "ἐστὶν, καὶ ἐν τῇ καρδίᾳ, καὶ ἐν ταῖς χερσὶ," τοῦτο δὲ, ἐν λόγοις, ἐν βουλαῖς, ἐν πράξεσι. Μέρη γὰρ τοῦ ἀγαθοῦ ταῦτα, ἐξ ὧν πέφυκε πήγνυσθαι· ὡς ἤδε ἡ ἑνὸς ἔνδεια οὐκ ἀτελὲς μόνον ἀπεργάζεται τὸ πᾶν, ἀλλὰ καὶ συνόλως ἀναιρεῖ. Τί γὰρ ὄφελος λέγειν μὲν τὰ βέλτιστα, διανοεῖσθαι δὲ καὶ πράττειν τὰ αἴσχιστα; Σοφιστῶν οὗτος ὁ τρόπος. Τοὺς γὰρ περὶ φρονήσεως καὶ καρτερίας ἀπομηκύνοντες λόγους, τὰ ὦτα καὶ τῶν σφόδρα διψώντων ἀκοῆς ἀποκναίουσιν, ἐν δὲ ταῖς βουλαῖς καὶ ταῖς κατὰ τὸν βίον πράξεσιν εὑρίσκονται διαμαρτάνοντες. Τί δὲ ὄφελος ἃ μὲν χρὴ διανοεῖσθαι, ἔργοις δὲ ἀτόποις καὶ λόγοις χρῆσθαι, διὰ δὲ τῶν ἔργων τοὺς ὑπομένοντας ζημιοῦντας; Πράττειν δὲ μὲν τὰ ἄριστα, οὐ σὺν διανοίᾳ καὶ λόγῳ, πάλιν ὑπαίτιον· τὸ γὰρ ἄνευ τούτων τῆς ἀκουσίου μερίδος ὂν, οὐδαμῇ οὐδαμῶς ἐπαινετόν. Εἰ δέ τινι ἐξεγένετο, καθάπερ λύρας ἁρμόσασθαι τοὺς τοῦ ἀγαθοῦ πάντας ἤχους, καὶ συνῳδὸν ἀποφῆναι λόγων μὲν διανοίᾳ, διάνοιαν δὲ ἔργῳ, τέλειος καὶ πρὸς ἀλήθειαν εὐάρμοστος ὁ τοι-

*) Gen. 4, 20. **) Deut. 27, 17. ***) Deut. 30, 12 sqq.

βουλον καὶ ῥᾳδιουργὸν καὶ πανοῦργον, καὶ κεχυμένον, παθῶν τε καὶ κακιῶν πλήρη βίον. Ὅσους γὰρ ὁ θεὸς εὐαρεστήσαντες αὐτῷ μετεβίβασε καὶ μετέθηκεν ἐκ φθαρτῶν εἰς ἀθάνατα γένη, παρὰ τοῖς πολλοῖς οὐκ ἔθ᾽ εὑρίσκονται.

§. 13. Διεσταλκότες οὖν τὰ περὶ τὸν Ἐνὼχ σημαινόμενα, μέτιμεν ἑξῆς ἐπὶ τὸν "Μαθουσάλα", ὅς ἦν "ἐξαποστολὴ θανάτου". Δύο δ᾽ ἐκ ταύτης παρίσταται φωνῆς, ἓν μὲν καθ᾽ ὅ τινι ἐπιπέμπεται θάνατος, ἕτερον δὲ, καθ᾽ ὃ ἀπό τινος ἀποστέλλεται. Ὅτῳ μὲν οὖν ἐπιπέμπεται, θνήσκει πάντως ἐκεῖνος, ἀφ᾽ οὗ δὲ ἀποστέλλεται, ζῇ τε καὶ περίεστι. Τῷ μὲν δὴ Κάϊν, ὁ τὸν θάνατον δεχόμενος, ἐστὶν οἶκος, ἀεὶ τὸν πρὸς ἀρετὴν βίον θνήσκοντι· τῷ δὲ Σὴθ συγγενέστατος, ἀφ᾽ οὗπερ ἀποστέλλεται καὶ διατειχίζεται τὸ ἀποθνήσκειν· τὴν γὰρ ἀληθῆ ζωὴν ὁ σπουδαῖος κεκάρπωται. Καὶ μὲν ὅ γε Λάμεχ ταπείνωσις ὤν, ἀμφίβολός ἐστιν· ἢ γὰρ ὑφιεμένων τῶν τῆς ψυχῆς τόνων, κατὰ τὰ ἐξ ἀλόγων παθῶν ἐγγενόμενα νοσήματά τε καὶ ἀῤῥωστήματα, ταπεινούμεθα· ἢ κατ᾽ ἀρετῆς ζῆλον, στέλλοντες ἑαυτοὺς ἀπ᾽ οἰδούσης οἰήσεως. Ἡ μὲν οὖν πρότερον γίνεται κατ᾽ ἀσθένειαν, εἶδος τῆς πολυμόρφου καὶ πολυτρόπου λέπρας οὖσα. "Ὅτ᾽ ἂν γὰρ ἡ ὄψις ταπεινοτέρα φαίνηται*)" τὴν ὁμαλὴν καὶ εὔψοφον κλασθεῖσα φαντασίαν, τὴν χαλεπὴν νόσον, "λέπραν", ὁ νομοθέτης φησὶ γενέσθαι. Ἡ δὲ ἑτέρα ἀπὸ ἰσχύος συνίσταται καρτερίας, ᾗ καὶ ἱλασμὸς ἕπεται, κατὰ τὸν τῆς δεκάδος ἀριθμὸν τέλειον. Προςτέτακται γὰρ τὰς ψυχὰς ταπεινοῦν δεκάτῃ τοῦ μηνὸς**), ὅπερ ἐστὶ μεγαλαυχίαν ἀποτίθεσθαι, ἧς ἡ ἀπόθεσις ἀδικημάτων ἑκουσίων καὶ ἀκουσίων ἐργάζεται παραίτησιν. Ὁ μὲν οὖν οὕτως ταπεινὸς Λάμεχ ἔκγονος μέν ἐστι Σὴθ, πατὴρ δὲ τοῦ δικαίου Νωὲ, ὁ δὲ ἐκείνως ἐκβλάστημα Κάϊν.

---

*) Lev. 13, 3. **) Ibid. 23, 27.

§. 14. Ἑπόμενον δὲ ἂν εἴη σκέψασθαι, τίνος ἕνεκα κτίζων καὶ οἰκοδομῶν πόλιν αὐτὸς οὗτος εἰσάγεται· πλήθει γὰρ ἀνθρώπων μέγεθος δεῖ πόλεως πρὸς οἴκησιν, τρισὶ δὲ κατ' ἐκεῖνον οὖσι τὸν χρόνον ὑπόρειά τις ἢ μικρὸν ἄντρον αὐταρκέστατον ἦν διαίτημα. Καὶ ἐγὼ μὲν εἶπον τρισὶ, τὸ δ' εἰκὸς ἑνὶ μόνῳ ἑαυτῷ. Οὐδὲ γὰρ οἱ γονεῖς δολοφονηθέντος τὴν αὐτὴν τῷ κτείναντι πόλιν ὑπέμειναν οἰκεῖν, μεῖζον
235 ἀνδροφονίας ἄγος ἀδελφοκτονίαν ἐργασαμένῳ. Τὸ
M. μὲν γὰρ οὐ παράδοξον μόνον ἀλλὰ καὶ παράλογον
παντὶ τῷ δῆλον, ἕνα ἄνδρα πόλιν οἰκοδομεῖν. Τίνα ἐστὶ τρόπον; Ἀλλ' οὐδ' ἂν οἰκίας μέρος τὸ ἀφανέστατον, μὴ χρώμενον ὑπηρέταις ἑτέροις; Ἢ ὁ αὐτὸς ἐν τῷ αὐτῷ λιθοτομεῖν ἂν δύναιτο, ὑλοτομεῖν, σίδηρον, χαλκὸν ἐργάζεσθαι, τείχη, μέγαν κύκλον πόλεων, περιβάλλεσθαι· προπύλαια καὶ προτειχίσματα, ἱερὰ καὶ τεμένη καὶ στοὰς, καὶ νεωσοίκους, καὶ οἰκίας, καὶ ὅσα ἄλλα δημόσια καὶ ἴδια ἔθος οἰκοδομεῖσθαι. Καὶ ἔτι πρὸς τούτοις ἀχ *** καὶ γῆν ἀναστέλλειν, στενωποὺς ἀνευρύνειν, κρήνας καὶ ὑδρορρόας, καὶ ὅσων ἄλλων πόλει δεῖ κατασκευάζεσθαι. Μήποτ' οὖν, ἐπειδὴ ταῦτα τῆς ἀληθείας ἀπᾴδει, βέλτιον ἀλληγοροῦντας λέγειν ἐστὶν, ὅτι καθάπερ πόλιν τὸ αὐτοῦ δόγμα κατασκευάζειν ὁ Κάϊν ἔγνωκε.

§. 15. Ἐπειδὴ τοίνυν πᾶσα πόλις ἐξ οἰκοδομημάτων καὶ οἰκητόρων καὶ νόμων συνέστηκε, τὰ μὲν οἰκοδομήματά ἐστιν αὐτῷ λόγοι οἱ ἀποδεικνύντες, οἷς, καθάπερ ἀπὸ τείχους, πρὸς τὰς τῶν ἐναντίων ἀπομάχεται προσβολὰς πιθανὰς, εὑρέσεις κατὰ τῆς ἀληθείας μυθοπλαστῶν. Οἰκήτορες δὲ οἱ ἀσεβείας, ἀθεότητος, φιλαυτίας, μεγαλαυχίας, ψευδοῦς, δόξης ἑταῖραι, δοκησίσοφοι, τὸ πρὸς ἀλήθειαν σοφὸν οὐκ εἰδότες, ἄγνοιαν καὶ ἀπαιδευσίαν καὶ ἀμαθίαν, καὶ τὰς ἄλλας ἀδελφὰς καὶ συγγενεῖς κῆρας συγκεκροτηκότες. Νόμοι δὲ, ἀνομίαι, ἀδικίαι, τὸ ἄνισον, τὸ ἀκόλαστον, θρασύτης, ἀπόνοια, αὐθάδεια, ἡδονῶν

ἀμετρίαι, τῶν περὶ φύσεως ἄλεκτοι ἐπιθυμίαι. Τοιαύτης πόλεως ἕκαστος τῶν ἀσεβῶν ἐξ ἑαυτοῦ τῇ πανάθλίᾳ ψυχῇ δημιουργὸς εὑρίσκεται, μέχρις ἂν ὁ θεὸς ἐνθυμηθεὶς ταῖς σοφιστικαῖς αὐτῶν τέχναις ἀθρόαν καὶ μεγάλην ἐργάσηται σύγχυσιν *). Τοῦτο δ' ἔσται, ὅταν μὴ μόνον „πόλιν καὶ πύργον οἰκοδομῶσιν, οὗ ἡ κεφαλὴ εἰς οὐρανὸν ἀφίξεται", τοῦτ' ἔστιν, *** ἢ λόγον ἑκάστου κατασκευαστικὸν, ὅνπερ εἰςηγοῦνται κεφαλὴν ἔχοντα τὸ οἰκεῖον νόημα, ὃ προςαγορεύεται συμβολικῶς οὐρανός: Ἀνάγκη γὰρ παντὸς λόγου κεφαλὴν καὶ τέλος εἶναι τὸν δηλούμενον νοῦν, οὗ χάριν αἱ μακραὶ διέξοδοί τε καὶ ῥήσεις ὑπὸ λογίων ἀνδρῶν εἰώθασι γίνεσθαι.

§. 16. Τοσοῦτον δὲ ἐπαράτου ἀσεβείας ἐπιβεβήκασιν, ὥςτ' οὐ μόνον δι' ἑαυτῶν ἐγείρειν τὰς τοιαύτας πόλεις ἀξιοῦσιν, ἀλλὰ καὶ φιλάρετον πληθὺν Ἰσραὴλ ἀναγκάζουσιν, ἐπιστάτας καὶ διδασκάλους κακῶν ἔργων ἐπ' αὐτῆς χειροτονήσαντες. Λέγεται γὰρ **), ὅτι κακωθέντες ὑπὸ τῶν ἐπιστατῶν τῷ βασιλεῖ τῆς χώρας
236. τρεῖς πόλεις οἰκοδομοῦσι, Πειθὼ, Ῥαμεσσὴ, Ὢν, ἥ
M. ἐστιν Ἡλιούπολις. Αὗται δὲ τροπικώτερον, νοῦν, αἴσθησιν, λόγον, τὰ περὶ ἡμᾶς ὄντα δηλοῦσιν. Ἡ μὲν γὰρ Πειθὼ ὁ λόγος ἐστὶν, ὅτι περὶ τοῦτον τὸ πείθειν· ἔχει δὲ ἑρμηνείαν στόμα ἐκθλῖβον. Ἐπειδήπερ καὶ ὁ τοῦ φαύλου λόγος ἔξωθεν, καὶ ἀνατρέπειν τὰ σπουδαῖα μελετᾷ. Ῥαμεσσὴ δὲ ἡ αἴσθησις· καθάπερ γὰρ ὑπὸ σητὸς ὑφ' ἑκάστης τῶν αἰσθήσεων νοῦς ἐκβιβρώσκεται καὶ διεσθίεται, σειόμενος καὶ σπαραττόμενος. Αἱ γὰρ ἐπεισιοῦσαι μὴ καθ' ἡδονὴν φαντασίαι ** πηρὸν καὶ ἐπίπονον ἀποτίκτουσιν αὐτὸν βίον. Ἡ δὲ Ὢν καλεῖται μὲν βουνὸς, ἔστι δὲ συμβολικῶς ὁ νοῦς· ἐπὶ γὰρ τοῦτον οἱ πάντων θησαυρίζονται λόγοι. Μάρτυς δὲ καὶ ὁ νομοθέτης τὴν Ὢν ἡλίου πόλιν προςαγορεύσας· ὥςπερ γὰρ ἀνατείλας

*) Gen. 11, 4 sqq. **) Exod. 1, 11.

ἥλιος τὰ κρυπτόμενα νυκτὶ ἐμφανῶς ἐπιδείκνυται, οὕτως ὁ νοῦς τὸ οἰκεῖον φῶς ἀποστέλλων, πάντα καὶ τὰ σώματα καὶ πράγματα τηλαυγῶς παρασκευάζει καταλαμβάνεσθαι. Διόπερ οὐκ ἄν τις εἰπὼν ἁμάρτοι τοῦ συγκρίματος εἶναι ἡμῶν τὸν νοῦν ἥλιον, ὃς ἐν ἀνθρώπῳ τῷ βραχεῖ κόσμῳ μὴ ἀνατείλας καὶ τὸ ἴδιον φέγγος ἐκλάμψας, πολὺ σκότος τῶν ὄντων καταχέας, οὐδὲν ἐᾷ προφέρεσθαι.

§. 17. Τὸν βουνὸν τοῦτον ὁ ἀσκητὴς Ἰακὼβ ἐν τοῖς πρὸς Λάβαν δικαίοις μάρτυρα καλεῖ, δογματικώτατα δηλῶν, ὅτι ὁ νοῦς ἑκάστῳ μάρτυς ἐστὶν, ὧν ἐν ἀφανεῖ βουλεύεται· καὶ τὸ συνειδὸς ἔλεγχος ἀδέκαστος καὶ πάντων ἀψευδέστατος, πρὸ τούτων τῶν πόλεων οἰκοδομεῖται. Φησὶ γὰρ "τοὺς κατασκόπους ἐλθεῖν εἰς Χεβρών· ἐκεῖ δ' εἶναι Ἀχειμὰν, καὶ Σεσεὶν, καὶ Θαλαμεὶν, γενεὰς Ἐνώχ"· εἶτ' ἐπιφέρει, "καὶ Χεβρὼν ἑπτὰ ἔτεσιν ᾠκοδομήθη πρὸ τοῦ Τανὶν Αἰγύπτου *)." Φυσικωτάτως τὰς ὁμωνυμίας εἴδεσι διαστέλλεσθαι. Χεβρὼν ἑρμηνεύεται συζυγή· δισσὸν δὲ τοῦτο, ψυχῆς ἢ σώματι συνεζευγμένης, ἢ πρὸς ἀρετὴν ἡρμοσμένης. Ἡ μὲν οὖν σωματικαῖς συζυγίαις ὑποβάλλουσα αὐτὴν, οἰκήτορας ἔχει τοὺς λεχθέντας. Ἑρμηνεύεται δὲ ὁ μὲν Ἀχειμὰν ἀδελφός μου, ὁ δὲ Σεσεὶν ἐκτός μου, ὁ δὲ Θαλμεὶν κρεμάμενός τις. Ἀνάγκη γὰρ ψυχαῖς ταῖς φιλοσωμάτοις ἀδελφὸν μὲν νομίζεσθαι τὸ σῶμα, τὰ δὲ ἐκτὸς ἀγαθὰ διαφερόντως τετιμῆσθαι· ὅσαι δὲ τοῦτον διάκεινται τὸν τρόπον, ἀψύχων ἐκκρέμανται καὶ, κα-
237 θάπερ οἱ ἀνασκολοπισθέντες, ἄχρι θανάτου φθαρ-
M. ταῖς ὕλαις προσήλωνται. Ἡ δὲ τῷ καλῷ συνεζευγμένη διαφερόντων ταῖς ἀρεταῖς ἔλαχεν οἰκητόρων, οὓς τὸ διπλοῦν σπήλαιον ζυγάδην κεχώρηκεν, Ἀβραὰμ Σάῤῥαν, Ἰσαὰκ Ῥεβέκκαν, Λείαν Ἰακὼβ, ἀρετὰς καὶ τοὺς ἔχοντας. Χεβρὼν αὕτη μνήμης ἐπιστήμης

*) Num. 13, 23.

καὶ σοφίας θησαυροφυλακοῦσα, προτέρα καὶ τῆς Τανέως καὶ πάσης ἐστὶν Αἰγύπτου. Πρεσβύτερος γὰρ ἡ φύσις ψυχὴν μὲν σώματος, Αἰγυπτίου, ἀρετὴν δὲ κακίας, Τανέως — ἐντολὴ γὰρ ἀποκρίσεως ἑρμηνεύεται Τανὶς — εἰργάζετο, τὸ πρεσβύτερον ἀξιώματι μᾶλλον ἢ χρόνου μήκει δοκιμάσασα.

§. 18. Παρ' ὃ καὶ τὸν Ἰσραὴλ νεώτερον ὄντα χρόνῳ "πρωτόγονον υἱὸν" ἀξιώματι καλεῖ*)· διασυνιστάς, ὅτι τὸν θεὸν ὁρᾶν ἀρχεγονώτατον ὄν, τετίμηται τοῦ ἀγεννήτου διασυνήτου γέννημα πρώτιστον, ἐκ τῆς παρὰ τοῖς θνητοῖς μισουμένης ἀρετῆς ἀποκυηθέν, ᾧ ὁ νόμος ἐστὶν ὡς πρεσβυτάτῳ "διπλᾶ δίδοσθαι τὰ πρεσβεῖα" **). Διὰ τοῦτο καὶ ἡ ἑβδόμη τάξει μὲν ἐπιγέννημά ἐστιν ἑξάδος, δυνάμει δὲ πρεσβυτάτη παντὸς ἀριθμοῦ, μηδὲν διαφέρουσα μονάδος. Δηλώσει δὲ καὶ αὐτὸς ἐν τῷ τῆς κοσμοποιΐας ἐπιλόγῳ· φάσκων, "Καὶ κατέπαυσεν ὁ θεὸς ἐν τῇ ἡμέρᾳ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησε· καὶ εὐλόγησεν ὁ θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην· καὶ ἡγίασεν αὐτήν· ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἤρξατο ὁ θεὸς ποιῆσαι." Εἶτ' ἐπιλέγει, "Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς ὅτε ἐγένετο, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν" ***). Τῇ δὲ πρώτῃ ταῦτα γέγονεν, ὥςτε τὴν ἑβδόμην εἰς μονάδα τὴν πρώτην καὶ ἀρχὴν τῶν ὅλων ἀναφέρεσθαι. Ταῦτ' ἐμηκύναμεν ὑπὲρ τοῦ δεῖξαι τηλαυγέστερον δόξαν, ἣν ὁ Κάϊν, ὥςπερ τινὰ πόλιν, οἴεται δεῖν κατασκευάζειν.

§. 19. Υἱὸς δὲ τοῦ Ἐνὼχ λέγεται Γαϊδὰδ †), ὃ ἑρμηνεύεται ποίμνιον, σφόδρα ἀκολούθως· τὸν γὰρ τῷ νῷ χαριζόμενον τὰ πάντα, τῷ μηδὲ τὴν αὑτοῦ φύσιν, ἥ τίς ἐστι, καταλαβεῖν δυναμένῳ, γεν-

---

*) Exod. 4, 22. **) Deut. 21, 17. ***) Gen. 2, 2—4. †) Gen. 4, 18.

νῆσαι ἀλόγους ἥρμοττε δυνάμεις, ἀγειρομένας εἰς
ποίμνιον· οὐ γὰρ λογικῶν ἀνδρῶν τὸ δόγμα. Ποίμνη
δὲ πᾶσα τὸν ἐπιστάντα οὐκ ἔχουσα ποιμένα, μεγά-
238 λαις ἐξ ἀνάγκης κακοπραγίαις χρῆται, ἅτ' οὐ δυνα-
M. μένη δι' ἑαυτῆς ἀπωθεῖσθαι μὲν τὰ βλάπτοντα,
αἱρεῖσθαι δὲ τὰ ὠφελήσοντα. Παρ' ὃ καὶ Μωϋσῆς εὐ-
χόμενός φησιν, „Ἐπισκεψάσθω κύριος, ὁ θεὸς τῶν
πνευμάτων καὶ πάσης σαρκὸς, ἄνθρωπον ἐπὶ τῆς συν-
αγωγῆς ταύτης· ὅςτις ἐξελεύσεται πρὸ προςώπου
αὐτῶν, καὶ ὅστις εἰςελεύσεται· καὶ ὅςτις ἐξάξει αὐ-
τοὺς, καὶ ὅςτις εἰςάξει, καὶ οὐκ ἔσται ἡ συναγωγὴ
κυρίου, ὥςπερ πρόβατα οἷς οὐκ ἔστι ποιμήν *)." Ὅταν
γὰρ ὁ προστὰς ἢ ὁ ἐπίτροπος ἢ πατὴρ, ἢ ὅ τι φί-
λον καλεῖν, τοῦ συγκρίματος ἡμῶν, ὁ ὀρθὸς λόγος,
οἴχηται, καταλιπὼν τὸ ἐν ἡμῖν ποίμνιον, ἀτημέλητον
ἐαθὲν διόλλυται μὲν αὐτὸ, μεγάλη δὲ τῷ δεσπότῃ
ζημία γίνεται· τὸ δ' ἄλογον καὶ ἀποστασίαστον
θρέμμα χηρεῦσαν ἀγελάρχου τοῦ νουθετήσοντός τε
καὶ παιδεύσοντος, μακρὰν λογικῆς καὶ ἀθανάτου
ζωῆς ἀπῴκισται.

§. 20. Δι' ὃ τοῦ Γαϊδὰδ υἱὸς εἶναι λέγεται Μεὴλ,
οὗ τὸ ὄνομα μεταληφθέν ἐστιν, ἀπὸ ζωῆς θεοῦ.
Ἐπεὶ γὰρ τὸ ποίμνιον ἄλογον, ὁ δὲ θεὸς πηγὴ λό-
γου, ἀνάγκη τὸν ἀλόγως βιοῦντα τῆς θεοῦ ζωῆς ἀπε-
σχοινίσθαι. Τὸ μὲν οὖν κατὰ θεὸν ζῆν ἐν τῷ ἀγα-
πᾶν αὐτὸν ὁρίζεται Μωϋσῆς. Λέγει γὰρ, ὅτι „Ἡ
ζωή σου τὸ ἀγαπᾶν τὸν ὄντα **)." Τοῦ δ' ἐναν-
τίου βίου παράδειγμα τίθεται τὸν ἀποτυχόντα τοῦ
κλήρου τράγον. „Στήσει γὰρ αὐτὸν," φησὶ, „ζῶν-
τα ἐναντίον κυρίου, τοῦ ἐξιλάσασθαι ἐπ' αὐτοῦ,
ὥςτε ἐξαποστεῖλαι αὐτὸν εἰς τὴν ἀποπομπήν ***)."
ἄγαν ἐξητασμένως. Ὡς γὰρ ἡδονῶν ἀπεχομένους
πρεσβύτας εὖ φρονῶν οὐκ ἄν τις ἀποδέξαιτο· ὅτι
τὸ γῆρας, ἡ μακρὰ καὶ ἀνίατος νόσος, τοὺς τῶν

*) Num. 27, 16. **) Deut. 30, 20. ***) Lev. 16, 10.

ὀρέξεων ἐχάλασέ τε καὶ ἔλυσε τόνους. Ἐπαίνου δ' ἂν ἀξιώσειε τοὺς ἡβῶντας, ὅτι φλεγούσης τῆς ἐπιθυμίας ὑπὸ τῆς κατὰ τὴν ἡλικίαν ἀκμῆς, ὅμως σφεστηρίων ὀργάνων, τῶν κατὰ παιδείαν λόγων, εὐπορήσαντες, τὸν πολὺν φλογμὸν ἀλλὰ καὶ βρασμὸν τῶν παθῶν ἐπεκούφισαν. Ὥςτε οἷς μὲν οὐδὲν νόσημα ἐκ πονηρᾶς φιλεῖ διαίτης ἐπανίστασθαι, ἐλάττων ἔπαινος ἕπεται, ὅτι κατὰ φύσεως εὐμοιρίαν ἀπροαιρέτως ἐχρήσαντο εὐτυχίᾳ. Οἷς δ' ἐξεγερθὲν ἀντιστατεῖ, μείζων· εἴ δὴ διερεισάμενοι καθελεῖν αὐτὸ βουληθεῖέν τε καὶ δυνηθεῖεν. Τὰ γὰρ ἡδονῆς ὁλκοῦ δελέαστρα αὐστηρῷ τόνῳ καθελεῖν ἰσχῦσαι, τὸν ἐφ' ἑκουσίοις ἔχει κατορθώμασιν ἔπαινον. Ἔτ' ἂν οὖν τούτων εὐδαίμονα κλῆρον ἀπολαχόντα μηδέν,** ζῇ δὲ ἐν ἡμῖν τὰ ἀποπομπαῖα νοσήματα καὶ ἀῤῥω-
239 στήματα, σπουδάζωμεν αὐτὰ ἀνατρέπειν καὶ κατα-
M. βάλλειν. Τὸ γὰρ ἐξιλάσασθαι ἐπ' αὐτῶν τοιοῦτόν ἐστιν ὁμολογῆσαι, ὅτι ἔχοντες αὐτὰ ἐν ψυχῇ ζῶντα καὶ περιόντα, οὐκ ἐνδίδομεν· ἀλλ' ἀντιβαίνοντες ἅπασι, καρτερῶς ἀπομαχόμεθα, μέχρις ἂν παντελῶς ἀποδιοπομπησώμεθα.

§. 21. Τί δὲ ἕπεται τῷ μὴ κατὰ βούλημα τὸ τοῦ θεοῦ ζῶντι, ἢ θάνατος ὁ ψυχῆς; Οὗτος δὲ ὀνομάζεται Μαθουσάλα, ὃς ἑρμηνευθεὶς ἦν ἐξαποστολὴ τοῦ θανάτου. Δι' ὃ τοῦ Μεὴλ υἱός ἐστι, τοῦ τὸν ἴδιον βίον ἀπολελοιπότος, ᾧ τὸ ἀποθνήσκειν ἐπιπέμπεται· ψυχῆς θάνατος, ὅς κατὰ πάθους ἄλογός ἐστιν αὐτῆς μεταβολή. Τοῦτο μέντοι τὸ πάθος ὅτ' ἂν κυοφορήσῃ, μετὰ χαλεπῶν ὠδίνων νοσήματα καὶ ἀῤῥωστήματα ἔτεκεν ἀνίατα, ὑφ' ὧν ἰλυσπωμένη ταπεινοῦται καὶ κάμπτεται· πιέζει γὰρ αὐτὴν ἕκαστον, ἐπιφέρον ἄχθος ἀνήνυτον, ὡς μηδένα κῦψαι δύνασθαι. Τοῦθ' ἅπαν ὠνόμασται Λάμεχ, ἑρμηνείαν γὰρ ἔχει ταπείνωσιν, ἵν' εἰκότως τοῦ Μαθουσάλα γένηται. ὁ Λάμεχ υἱὸς, πάθος τοῦ περὶ ψυχὴν θα-

νάτου ταπεινὸν, ὑπεῖκον, ἀλόγου ὁρμῆς ἔκγονον ἀῤῥώστημα.

§. 22. „Ἔλαβε δὲ ἑαυτῷ Λάμεχ δύο γυναῖκας· ὄνομα τῇ μιᾷ δὲ Ἀδὰ, καὶ ὄνομα τῇ δευτέρᾳ Σέλλα." Πᾶν ὅ τι ἐὰν ἑαυτῷ λαμβάνῃ φαῦλος, πάντως ἐστὶν ἐπίληπτον, ἅτε γνώμῃ δυςκαθάρτῳ μιαινόμενον· καὶ γὰρ ἔμπαλιν αἱ τῶν σπουδαίων ἑκούσιοι πράξεις ἐπαινεταὶ πᾶσαι. Δι' ὃ νῦν μὲν ὁ Λάμεχ ἑαυτῷ γυναῖκας αἱρούμενος, κακὰ μέγιστα αἱρεῖται. Αὖθις Ἀβραὰμ, Ἰακὼβ, Ἀαρὼν ἑαυτοῖς λαμβάνοντες, ἀγαθοῖς οἰκείοις συνέρχονται. Λέγει ἐπὶ μὲν Ἀβραὰμ οὕτως, „Καὶ ἔλαβον Ἀβραὰμ καὶ Ναχὼρ ἑαυτοῖς γυναῖκας· ὄνομα τῇ γυναικὶ Ἀβραὰμ, Σάῤῥα *)." Ἐπὶ τοῦ Ἰακὼβ, „Ἀνάστὰς ἀπόδραθι εἰς τὴν Μεσοποταμίαν εἰς τὸν οἶκον Βαθουὴλ πατρὸς τῆς μητρός σου· καὶ λάβε σεαυτῷ ἐκεῖθεν γυναῖκα ἐκ τῶν θυγατέρων Λάβαν ἀδελφοῦ τῆς μητρός σου **)." Ἐπὶ δὲ τοῦ Ἀαρὼν, „Ἔλαβε δὲ Ἀαρὼν τὴν Ἐλιζαβὲτ, θυγατέρα Ἀμιναδὰμ, ἀδελφὴν Νααασὼν ἑαυτῷ γυναῖκα ***)." Ἰσαὰκ δὲ καὶ Μωϋσῆς λαμβάνουσι μὲν, οὐ δι' ἑαυτῶν δὲ λαμβάνουσιν· ἀλλ' ὁ μὲν Ἰσαὰκ „Ὅτε εἰςῆλθεν εἰς τὸν οἶκον τῆς μητρὸς †)" λαμβάνειν λέγεται, Μωϋσεῖ δὲ „ὁ ἄνθρωπος," παρ' ᾧ κατῴκησε, „τὴν θυγατέρα Σέπφωραν ἐκδίδοται ††)."

§. 23. Τούτων δ' οὐ παρέργως αἱ διαφοραὶ παρὰ τῷ
230 νομοθέτῃ μεμήνυνται. Τοῖς μὲν γὰρ ἀσκηταῖς προ-
M. κόπτουσι καὶ βελτιουμένοις, ἡ ἑκούσιος αἵρεσις τοῦ ἀγαθοῦ μαρτυρεῖται, ἵνα μηδ' ὁ πόνος ἀστεφάνωτος ἀφεθῇ· τοῖς δ' αὐτοδιδάκτου καὶ αὐτομαθοῦς σοφίας ἀξιωθεῖσιν ἕπεται, τὸ μὴ δι' ἑαυτῶν παρὰ θεοῦ δὲ ἐγγυᾶσθαι λόγον, καὶ λαμβάνειν τῶν σοφῶν σύμβιον ἐπιστήμην. Ὁ δὲ τῶν ἀνθρωπίνων ἀποῤῥιφεὶς, ὁ

*) Gen. 11, 29. **) Gen. 28, 2. ***) Exod. 6, 23.
†) Gen. 24, 67. ††) Exod. 2, 21.

σα ἔτεκε τὸν Ἐνώχ· καὶ ἦν οἰκοδομῶν πόλιν, καὶ
ἐπωνόμασε τὴν πόλιν ἐπὶ τῷ ὀνόματι τοῦ υἱοῦ αὐ-
τοῦ Ἐνώχ *)." Ἆρ' οὐκ εἰκὸς διαπορῆσαι, τί ἔγνω
γυναῖκα ὁ Κάϊν; Γένεσις γὰρ οὐδὲ μιᾶς ἄλλης, με-
τὰ τὴν ἐκ τῆς πλευρᾶς διαπλασθεῖσαν Εὔαν, ἄχρι
νῦν μεμήνυται γυναικός. Εἰ δέ φησί τις ἀδελφῇ
τὸν Κάϊν συνεληλυθέναι, χωρὶς τοῦ ἀνοσίου καὶ
ψεύσεται· τὰς γὰρ θυγατέρας Ἀδὰμ ὀψὲ γεγενημέ-
νας εἰσάγει. Τί οὖν χρὴ λέγειν; Γυναῖκα ἀσεβοῦς
λογισμοῦ, ὥς γε οἴομαι, καλεῖ δόξαν, ἣν περὶ τῶν
πραγμάτων τίθεται, καθάπερ μύριοι τῶν φιλοσοφη-
σάντων· οἱ μὲν τὰ αὐτὰ, οἱ δὲ καὶ διαφέροντα ἡγη-
σάμενοι τῷ βίῳ δόγματα. Τί οὖν ἐστιν ἀσεβοῦς
δόξα; Μέτρον εἶναι πάντων χρημάτων τὸν ἀνθρώ-
πινον νοῦν· ᾗ καὶ τῶν παλαιῶν τινα σοφιστῶν ὄνο-
μα Πρωταγόραν φησὶ χρήσασθαι, τῆς Κάϊν ἀπο-
νοίας ἔκγονον. Τεκμαίρομαι δὲ ἐνθένδε, ὅτι γνω-
ρισθεῖσα αὐτῷ ἡ γυνὴ τὸν Ἐνὼχ ἀπέτεκεν· ἑρμη-
νεύεται δὲ Ἐνὼχ χάρις σου. Εἰ γὰρ πάντων μέτρον
ἐστὶν ἄνθρωπος, χάρις ἐστὶ καὶ δωρεὰ τοῦ νοῦ τὰ
πάντα. Ὥςτε ὀφθαλμῷ μὲν κεχαρίσθαι τὸ βλέπειν,
ὠσὶ δὲ τὸ ἀκούειν, ἑκάστῃ τῶν ἄλλων αἰσθήσεων τὸ
αἰσθάνεσθαι, καὶ τῷ κατὰ τὴν προφορὰν μέντοι λό-
233 γῳ τὸ λέγειν. Εἰ δὲ καὶ ταῦτα, καὶ αὐτὸ δήπου
M. νοεῖν, ἐν ᾧ μυρία, ἐννοήματα, διανοήσεις, βουλαὶ,
προμήθειαι, καταλήψεις, ἐπιστῆμαι, τέχναι, διαθέ-
σεις, ἄλλων ἀριθμὸς δυνάμεων διεξιόντος. Τί οὖν
ἐστε, σεμνομυθούμενοι περὶ ὁσιότητος καὶ θεοῦ τι-
μῆς λέγειν τε καὶ ἀκούειν ἐγνώκασαν, εἰ δὲ ἔχετε
παρ' ἑαυτοῖς τὸν ἀντίθεον νοῦν, ὃς πάντα ἀνὰ κρά-
τος τὰ κατ' ἀνθρώπους ἀναψάμενος ἀγαθά τε καὶ
κακὰ τοῖς μὲν ἀμφότερα κερασαμένοις, τοῖς δὲ θά-
τερα ἄκρατα ἐπινέμει; Καὶ ἂν ἄρα τις γραφὴν ἀσε-
βείας ἐπενέγκῃ καθ' ὑμῶν, ἀπολογούμενοι θαῤῥεῖτε,

*) Gen. 4, 17.

φάσκοντες παρ' ὑφηγητῇ καὶ διδασκάλῳ πάνυ καλῶς πεπαιδεῦσθαι Κάϊν, ὃς τὸ πλησίον πρὸ τοῦ μακρὰν αἰτίου παρῄνει τιμᾶν. Ὧι διά τε ἄλλα προςεκτέον, καὶ μάλισθ' ὅτι σαφέσιν ἔργοις τὴν τοῦ δόγματος ἰσχὺν ἐπεδείξατο· νικήσας τὴν τῆς ἐναντίας δόξης εἰςηγητὴν Ἄβελ, καὶ ἅμ' αὐτῷ τὴν δόξαν ἐκποδὼν ἀνελών. Ἀλλὰ παρ' ἔμοιγε καὶ φίλοις τοῖς ἐμοῖς τῆς μετὰ ἀσεβῶν ζωῆς ὁ μετὰ εὐσεβῶν αἱρετώτερος ἂν εἴη θάνατος· τοὺς μὲν οὕτως ἀποθανόντας ἡ ἀθάνατος ἐκδέξεται ζωὴ, τοὺς δὲ ἐκείνως ζῶντας ὁ ἀΐδιος θάνατος.

§. 12. Ἐπεὶ δὲ ὁ Κάϊν τὸν Ἐνὼχ γεγέννηκε, καὶ αὖθις ἔκγονος τοῦ Σῆθ πάλιν Ἐνὼχ ὀνομάζεται· σκεπτέον ἂν εἴη, πότερον ἑτέρους ἢ τοὺς αὐτοὺς εἶναι συμβέβηκεν. Ἐρευνήσωμεν δὲ ἅμα τούτοις καὶ τῶν ἄλλων ὁμωνύμων διαφοράς. Ὥςπερ γὰρ Ἐνὼχ οὕτως καὶ Μαθουσάλεμ καὶ Λάμεχ ἀπόγονοι μὲν Κάϊν· ἀπόγονοι δὲ οὐδὲν ἧττον καὶ τοῦ Σῆθ εἰσι. Χρὴ τοίνυν εἰδέναι, ὅτι τῶν λεχθέντων ἕκαστον ὀνομάτων ἑρμηνευθὲν, διπλοῦν ἐστιν· ἑρμηνεύεται δὲ ὁ μὲν Ἐνὼχ, καθάπερ εἶπε, χάρις σου· Μαθουσάλεμ δὲ ἐξαποστολὴ θανάτου· ὁ δ' αὖ Λάμεχ ταπείνωσις. Τὸ μὲν οὖν "χάρις σου" λέγεται μὲν πρὸς τὸν ἐν ἡμῖν νοῦν ὑπ' ἐνίων, λέγεται δὲ καὶ πρὸς τὸν τῶν ἄλλων ὑπὸ τῶν ἀμεινόνων. Οἱ μὲν οὖν φάσκοντες δωρεὰν εἶναι τῆς ἑαυτῶν ψυχῆς πάνθ' ὅσα ἐν τῷ νοεῖν, ἢ αἰσθάνεσθαι, ἢ λέγειν, ἀσεβῆ καὶ ἄθεον εἰςηγούμενοι δόξαν, γένει τῷ Κάϊν προςκεκληρώθωσαν, ὃς μὴ δι' αὐτοῦ κρατεῖν ἱκανὸς ὢν, καὶ τῶν ἄλλων ἁπάντων ἀπετόλμησεν εἰπεῖν, ὡς ἔχοι τὴν παντελῆ κτῆσιν· οἱ δὲ ὅσα ἐν γενέσει καλὰ μὴ σφετεριζόμενοι, χάρισι δὲ ταῖς θείαις ἀναγράφοντες, εὐγενεῖς πρὸς ἀλήθειαν οὐκ ἐκ παλαιπλουσίων, ἀλλ' ἐκ φιλαρέτων καὶ * * φύντες, ὑπὸ
234 ἀρχηγέτῃ τῷ Σῆθ τετάχθωσαν. Δυςάρετον σφόδρα
M. τὸ τούτων ἐστὶ γένος, ἀποδιδρασκόντων τὸν ἐπι-

βουλον καὶ ῥᾳδιουργὸν καὶ πανοῦργον, καὶ κεχυμένον, παθῶν τε καὶ κακιῶν πλήρη βίον. Ὅσους γὰρ ὁ θεὸς εὐαρεστήσαντες αὐτῷ μετεβίβασε καὶ μετέθηκεν ἐκ φθαρτῶν εἰς ἀθάνατα γένη, παρὰ τοῖς πολλοῖς οὐκ ἔθ᾿ εὑρίσκονται.

§. 13. Διεσταλκότες οὖν τὰ περὶ τὸν Ἐνὼχ σημαινόμενα, μέτιμεν ἑξῆς ἐπὶ τὸν "Μαθουσάλα", ὅς ἦν "ἐξαποστολὴ θανάτου". Δύο δ᾿ ἐκ ταύτης παρίσταται φωνῆς, ἓν μὲν καθ᾿ ὅ τινι ἐπιπέμπεται θάνατος, ἕτερον δὲ, καθ᾿ ὃ ἀπό τινος ἀποστέλλεται. Ὅτῳ μὲν οὖν ἐπιπέμπεται, θνήσκει πάντως ἐκεῖνος, ἀφ᾿ οὗ δὲ ἀποστέλλεται, ζῇ τε καὶ περίεστι. Τῷ μὲν δὴ Κάϊν, ὁ τὸν θάνατον δεχόμενος, ἐστὶν οἶκος, ἀεὶ τὸν πρὸς ἀρετὴν βίον θνήσκοντι· τῷ δὲ Σὴθ συγγενέστατος, ἀφ᾿ οὗπερ ἀποστέλλεται καὶ διατειχίζεται τὸ ἀποθνήσκειν· τὴν γὰρ ἀληθῆ ζωὴν ὁ σπουδαῖος κεκάρπωται. Καὶ μὲν ὅ γε Λάμεχ ταπείνωσις ὢν, ἀμφίβολός ἐστιν· ἢ γὰρ ὑφιεμένων τῶν τῆς ψυχῆς τόνων, κατὰ τὰ ἐξ ἀλόγων παθῶν ἐγγενόμενα νοσήματά τε καὶ ἀῤῥωστήματα, ταπεινούμεθα· ἢ κατ᾿ ἀρετῆς ζῆλον, στέλλοντες ἑαυτοὺς ἀπ᾿ οἰδούσης οἰήσεως. Ἡ μὲν οὖν πρότερον γίνεται κατ᾿ ἀσθένειαν, εἶδος τῆς πολυμόρφου καὶ πολυτρόπου λέπρας οὖσα. "Ὅτ᾿ ἂν γὰρ ἡ ὄψις ταπεινοτέρα φαίνηται *)" τὴν ὁμαλὴν καὶ εὔψυχον κλασθεῖσα φαντασίαν, τὴν χαλεπὴν νόσον, "λέπραν", ὁ νομοθέτης φησὶ γενέσθαι. Ἡ δὲ ἑτέρα ἀπὸ ἰσχύος συνίσταται καρτερίας, ᾗ καὶ ἱλασμὸς ἕπεται, κατὰ τὸν τῆς δεκάδος ἀριθμὸν τέλειον. Προςτέτακται γὰρ τὰς ψυχὰς ταπεινοῦν δεκάτῃ τοῦ μηνὸς **), ὅπερ ἐστὶ μεγαλαυχίαν ἀποτίθεσθαι, ἧς ἡ ἀπόθεσις ἀδικημάτων ἑκουσίων καὶ ἀκουσίων ἐργάζεται παραίτησιν. Ὁ μὲν οὖν οὕτως ταπεινὸς Λάμεχ ἔκγονος μέν ἐστι Σὴθ, πατὴρ δὲ τοῦ δικαίου Νῶε, ὁ δὲ ἐκείνως ἐκβλάστημα Κάϊν.

---

*) Lev. 13, 3. **) Ibid. 23, 27.

§. 14. Ἑπόμενον δὲ ἂν εἴη σκέψασθαι, τίνος
ἕνεκα κτίζων καὶ οἰκοδομῶν πόλιν αὐτὸς οὗτος εἰς-
άγεται· πλήθει γὰρ ἀνθρώπων μέγεθος δεῖ πόλεως
πρὸς οἴκησιν, τρισὶ δὲ κατ᾽ ἐκεῖνον οὖσι τὸν χρόνον
ὑπόρειά τις ἢ μικρὸν ἄντρον αὐταρκέστατον ἦν διαί-
τημα. Καὶ ἐγὼ μὲν εἶπον τρισὶ, τὸ δ᾽ εἰκὸς ἑνὶ
μόνῳ ἑαυτῷ. Οὐδὲ γὰρ οἱ γονεῖς δολοφονηθέντος
τὴν αὐτὴν τῷ κτείναντι πόλιν ὑπέμειναν οἰκεῖν, μεῖζον
235 ἀνδροφονίας ἄγος ἀδελφοκτονίαν ἐργασαμένῳ. Τὸ
M. μὲν γὰρ οὐ παράδοξον μόνον ἀλλὰ καὶ παράλογον
παντὶ τῷ δῆλον, ἕνα ἄνδρα πόλιν οἰκοδομεῖν. Τίνα
ἐστὶ τρόπον; Ἀλλ᾽ οὐδ᾽ ἂν οἰκίας μέρος τὸ ἀφανέ-
στατον, μὴ χρώμενον ὑπηρέταις ἑτέροις; Ἢ ὁ αὐτὸς
ἐν τῷ αὐτῷ λιθοτομεῖν ἂν δύναιτο, ὑλοτομεῖν, σί-
δηρον, χαλκὸν ἐργάζεσθαι, τείχη, μέγαν κύκλον πό-
λεων, περιβάλλεσθαι· προπύλαια καὶ προτειχίσματα,
ἱερὰ καὶ τεμένη καὶ στοὰς, καὶ νεωσοίκους, καὶ οἰ-
κίας, καὶ ὅσα ἄλλα δημόσια καὶ ἴδια ἔθος οἰκοδο-
μεῖσθαι. Καὶ ἔτι πρὸς τούτοις ἀχ *** καὶ γῆν
ἀναστέλλειν, στενωποὺς ἀνευρύνειν, κρήνας καὶ ὑδρορ-
ρόας, καὶ ὅσων ἄλλων πόλει δεῖ κατασκευάζεσθαι.
Μήποτ᾽ οὖν, ἐπειδὴ ταῦτα τῆς ἀληθείας ἀπᾴδει,
βέλτιον ἀλληγοροῦντας λέγειν ἐστὶν, ὅτι καθάπερ
πόλιν τὸ αὐτοῦ δόγμα κατασκευάζειν ὁ Κάϊν ἔγνωκε.

§. 15. Ἐπειδὴ τοίνυν πᾶσα πόλις ἐξ οἰκοδομημάτων καὶ οἰκητόρων καὶ νόμων συνέστηκε, τὰ μὲν οἰκοδομήματά ἐστιν αὐτῷ λόγοι οἱ ἀποδεικνύντες, οἷς, καθάπερ ἀπὸ τείχους, πρὸς τὰς τῶν ἐναντίων ἀπομάχεται προσβολὰς πιθανὰς, εὑρέσεις κατὰ τῆς ἀληθείας μυθοπλαστῶν. Οἰκήτορες δὲ οἱ ἀσεβείας, ἀθεότητος, φιλαυτίας, μεγαλαυχίας, ψευδοῦς δόξης ἑταῖροι, δοκησίσοφοι, τὸ πρὸς ἀλήθειαν σοφὸν οὐκ εἰδότες, ἄγνοιαν καὶ ἀπαιδευσίαν καὶ ἀμαθίαν, καὶ τὰς ἄλλας ἀδελφὰς καὶ συγγενεῖς κῆρας συγκεκροτηκότες. Νόμοι δὲ, ἀνομίαι, ἀδικίαι, τὸ ἄνισον, τὸ ἀκόλαστον, θρασύτης, ἀπόνοια, αὐθάδεια, ἡδονῶν

ἀμετρίαι, τῶν περὶ φύσεως ἄλεκτοι ἐπιθυμίαι. Τοιαύτης πόλεως ἕκαστος τῶν ἀσεβῶν ἐξ ἑαυτοῦ τῇ παναθλίᾳ ψυχῇ δημιουργὸς εὑρίσκεται, μέχρις ἂν ὁ θεὸς ἐνθυμηθεὶς ταῖς σοφιστικαῖς αὐτῶν τέχναις ἀθρόαν καὶ μεγάλην ἐργάσηται σύγχυσιν *). Τοῦτο δ' ἔσται, ὅταν μὴ μόνον "πόλιν καὶ πύργον οἰκοδομῶσιν, οὗ ἡ κεφαλὴ εἰς οὐρανὸν ἀφίξεται", τοῦτ' ἔστιν, *** ἢ λόγον ἑκάστου κατασκευαστικὸν, ὅνπερ εἰςηγοῦνται κεφαλὴν ἔχοντα τὸ οἰκεῖον νόημα, ὃ προςαγορεύεται συμβολικῶς οὐρανός: Ἀνάγκη γὰρ παντὸς λόγου κεφαλὴν καὶ τέλος εἶναι τὸν δηλούμενον νοῦν, οὗ χάριν αἱ μακραὶ διέξοδοί τε καὶ ῥήσεις ὑπὸ λογίων ἀνδρῶν εἰώθασι γίνεσθαι.

§. 16. Τοσοῦτον δὲ ἐπαράτου ἀσεβείας ἐπιβεβήκασιν, ὥςτ' οὐ μόνον δι' ἑαυτῶν ἐγείρειν τὰς τοιαύτας πόλεις ἀξιοῦσιν, ἀλλὰ καὶ φιλάρετον πληθὺν Ἰσραὴλ ἀναγκάζουσιν, ἐπιστάτας καὶ διδασκάλους κακῶν ἔργων ἐπ' αὐτῆς χειροτονήσαντες. Λέγεται γὰρ **), ὅτι κακωθέντες ὑπὸ τῶν ἐπιστατῶν τῷ βασιλεῖ τῆς χώρας
236 τρεῖς πόλεις οἰκοδομοῦσι, Πειθὼ, Ῥαμεσσὴ, Ὢν, ἥ
M. ἐστιν Ἡλιούπολις. Αὗται δὲ τροπικώτερον, νοῦν, αἴσθησιν, λόγον, τὰ περὶ ἡμᾶς ὄντα δηλοῦσιν. Ἡ μὲν γὰρ Πειθὼ ὁ λόγος ἐστὶν, ὅτι περὶ τοῦτον τὸ πείθειν· ἔχει δὲ ἑρμηνείαν στόμα ἐκθλῖβον. Ἐπειδήπερ καὶ ὁ τοῦ φαύλου λόγος ἔξωθεν, καὶ ἀνατρέπειν τὰ σπουδαῖα μελετᾷ. Ῥαμεσσὴ δὲ ἡ αἴσθησις· καθάπερ γὰρ ὑπὸ σητὸς ὑφ' ἑκάστης τῶν αἰσθήσεων νοῦς ἐκβιβρώσκεται καὶ διεσθίεται, σειόμενος καὶ σπαραττόμενος. Αἱ γὰρ ἐπειςιοῦσαι μὴ καθ' ἡδονὴν φαντασίαι ** πηρὸν καὶ ἐπίπονον ἀποτίκτουσιν αὐτὸν βίον. Ἡ δὲ Ὢν καλεῖται μὲν βουνὸς, ἔστι δὲ συμβολικῶς ὁ νοῦς· ἐπὶ γὰρ τοῦτον οἱ πάντων θησαυρίζονται λόγοι. Μάρτυς δὲ καὶ ὁ νομοθέτης τὴν Ὢν ἡλίου πόλιν προςαγορεύσας· ὥςπερ γὰρ ἀνατείλας

*) Gen. 11, 4 sqq. **) Exod. 1, 11.

ἥλιος τὰ κρυπτόμενα νυκτὶ ἐμφανῶς ἐπιδείκνυται, οὕτως ὁ νοῦς τὸ οἰκεῖον φῶς ἀποστέλλων, πάντα καὶ τὰ σώματα καὶ πράγματα τηλαυγῶς παρασκευάζει καταλαμβάνεσθαι. Διόπερ οὐκ ἄν τις, εἰπὼν ἁμάρτοι τοῦ συγκρίματος εἶναι ἡμῶν τὸν νοῦν ἥλιον, ὃς ἐν ἀνθρώπῳ τῷ βραχεῖ κόσμῳ μὴ ἀνατείλας καὶ τὸ ἴδιον φέγγος ἐκλάμψας, πολὺ σκότος τῶν ὄντων καταχέας, οὐδὲν ἐᾷ προφέρεσθαι.

§. 17. *Τὸν βουνὸν τοῦτον ὁ ἀσκητὴς Ἰακὼβ ἐν τοῖς πρὸς Λάβαν δικαίοις μάρτυρα καλεῖ, δογματικώτατα δηλῶν, ὅτι ὁ νοῦς ἑκάστῳ μάρτυς ἐστὶν, ὧν ἐν ἀφανεῖ βουλεύεται· καὶ τὸ συνειδὸς ἔλεγχος ἀδέκαστος καὶ πάντων ἀψευδέστατος, πρὸ τούτων τῶν πόλεων οἰκοδομεῖται. Φησὶ γὰρ "τοὺς κατασκόπους ἐλθεῖν εἰς Χεβρών· ἐκεῖ δ' εἶναι Ἀχειμὰν, καὶ Σεσεὶν, καὶ Θαλαμεὶν, γενεᾶς Ἐνώχ"· εἶτ' ἐπιφέρει, "καὶ Χεβρὼν ἑπτὰ ἔτεσιν ᾠκοδομήθη πρὸ τοῦ Τανὶν Αἰγύπτου *)." Φυσικωτάτως τὰς ὁμωνυμίας εἴδεσι διαστέλλεσθαι. Χεβρὼν ἑρμηνεύεται συζυγή· δισσὸν δὲ τοῦτο, ψυχῆς ἢ σώματι συνεζευγμένης, ἢ πρὸς ἀρετὴν ἡρμοσμένης. Ἡ μὲν οὖν σωματικαῖς συζυγίαις ὑποβάλλουσα αὑτὴν, οἰκήτορας ἔχει τοὺς λεχθέντας. Ἑρμηνεύεται δὲ ὁ μὲν Ἀχειμὰν ἀδελφός μου, ὁ δὲ Σεσεὶν ἐκτός μου, ὁ δὲ Θαλμεὶν κρεμάμενός τις. Ἀνάγκη γὰρ ψυχαῖς ταῖς φιλοσωμάτοις ἀδελφὸν μὲν νομίζεσθαι τὸ σῶμα, τὰ δὲ ἐκτὸς ἀγαθὰ διαφερόντως τετιμῆσθαι· ὅσαι δὲ τοῦτον διάκεινται τὸν τρόπον, ἀψύχων ἐκκρέμανται καὶ, κα-*
237 *θάπερ οἱ ἀνασκολοπισθέντες, ἄχρι θανάτου φθαρ-*
M. *ταῖς ὕλαις προσήλωνται. Ἡ δὲ τῷ καλῷ συνεζευγμένη διαφερόντων ταῖς ἀρεταῖς ἔλαχεν οἰκητόρων, οὓς τὸ διπλοῦν σπήλαιον ζυγάδην κεχώρηκεν, Ἀβραὰμ Σάῤῥαν, Ἰσαὰκ Ῥεβέκκαν, Λείαν Ἰακὼβ, ἀρετὰς καὶ τοὺς ἔχοντας. Χεβρὼν αὕτη μνήμας ἐπιστήμης*

*) Num. 13, 23.

καὶ σοφίας θησαυροφυλακοῦσα, προτέρα καὶ τῆς Τανέως καὶ πάσης ἐστὶν Αἰγύπτου. Πρεσβύτερος γὰρ ἡ φύσις ψυχὴν μὲν σώματος, Αἰγυπτίου, ἀρετὴν δὲ κακίας, Τανέως — ἐντολὴ γὰρ ἀποκρίσεως ἑρμηνεύεται Τανὶς — εἰργάζετο, τὸ πρεσβύτερον ἀξιώματι μᾶλλον ἢ χρόνου μήκει δοκιμάσασα.

§. 18. Παρ' ὃ καὶ τὸν Ἰσραὴλ νεώτερον ὄντα χρόνῳ "πρωτόγονον υἱὸν" ἀξιώματι καλεῖ *)· διασυνιστὰς, ὅτι τὸν θεὸν ὁρᾶν ἀρχεγονώτατον ὂν, τετίμηται τοῦ ἀγεννήτου διασυνήτου γέννημα πρώτιστον, ἐκ τῆς παρὰ τοῖς θνητοῖς μισουμένης ἀρετῆς ἀποκυηθὲν, ᾧ ὁ νόμος ἐστὶν ὡς πρεσβυτάτῳ "διπλᾶ δίδοσθαι τὰ πρεσβεῖα" **). Διὰ τοῦτο καὶ ἡ ἑβδόμη τάξει μὲν ἐπιγέννημά ἐστιν ἑξάδος, δυνάμει δὲ πρεσβυτάτη παντὸς ἀριθμοῦ, μηδὲν διαφέρουσα μονάδος. Δηλώσει δὲ καὶ αὐτὸς ἐν τῷ τῆς κοσμοποιΐας ἐπιλόγῳ φάσκων, "Καὶ κατέπαυσεν ὁ θεὸς ἐν τῇ ἡμέρᾳ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησε· καὶ εὐλόγησεν ὁ θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην· καὶ ἡγίασεν αὐτήν· ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἤρξατο ὁ θεὸς ποιῆσαι." Εἶτ' ἐπιλέγει, "Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς ὅτε ἐγένετο, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν" ***). Τῇ δὲ πρώτῃ ταῦτα γέγονεν, ὥςτε τὴν ἑβδόμην εἰς μονάδα τὴν πρώτην καὶ ἀρχὴν τῶν ὅλων ἀναφέρεσθαι. Ταῦτ' ἐμηκύναμεν ὑπὲρ τοῦ δεῖξαι τηλαυγέστερον δόξαν, ἣν ὁ Κάϊν, ὥςπερ τινὰ πόλιν, οἴεται δεῖν κατασκευάζειν.

§. 19. Υἱὸς δὲ τοῦ Ἐνὼχ λέγεται Γαϊδὰδ †), ὃ ἑρμηνεύεται ποίμνιον, σφόδρα ἀκολούθως· τὸν γὰρ τῷ νῷ χαριζόμενον τὰ πάντα, τῷ μηδὲ τὴν αὑτοῦ φύσιν, ἥ τίς ἐστι, καταλαβεῖν δυναμένῳ, γεν-

*) Exod. 4, 22. **) Deut. 21, 17. ***) Gen. 2, 2—4. †) Gen. 4, 18.

νῆσαι ἀλόγους ἥρμοττε δυνάμεις, ἀγειρομένας εἰς
ποίμνιον· οὐ γὰρ λογικῶν ἀνδρῶν τὸ δόγμα. Ποίμνη
δὲ πᾶσα τὸν ἐπιστάντα οὐκ ἔχουσα ποιμένα, μεγά-
238 λαις ἐξ ἀνάγκης κακοπραγίαις χρῆται, ἅτ' οὐ δυνα-
M. μένη δι' ἑαυτῆς ἀπωθεῖσθαι μὲν τὰ βλάπτοντα,
αἱρεῖσθαι δὲ τὰ ὠφελήσοντα. Παρ' ὃ καὶ Μωϋσῆς εὐχόμενός φησιν, "Ἐπισκεψάσθω κύριος, ὁ θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκὸς, ἄνθρωπον ἐπὶ τῆς συναγωγῆς ταύτης· ὅςτις ἐξελεύσεται πρὸ προσώπου αὐτῶν, καὶ ὅστις εἰςελεύσεται· καὶ ὅςτις ἐξάξει αὐτοὺς, καὶ ὅςτις εἰςάξει, καὶ οὐκ ἔσται ἡ συναγωγὴ κυρίου, ὥςπερ πρόβατα οἷς οὐκ ἔστι ποιμήν *)." Ὅταν γὰρ ὁ προστὰς ἢ ὁ ἐπίτροπος ἢ πατὴρ, ἢ ὅ τι φίλον καλεῖν, τοῦ συγκρίματος ἡμῶν, ὁ ὀρθὸς λόγος, οἴχηται, καταλιπὼν τὸ ἐν ἡμῖν ποίμνιον, ἀτημέλητον ἐαθὲν διόλλυται μὲν αὐτὸ, μεγάλη δὲ τῷ δεσπότῃ ζημία γίνεται· τὸ δ' ἄλογον καὶ ἀποστασίαστον θρέμμα χηρεῦσαν ἀγελάρχου τοῦ νουθετήσοντός τε καὶ παιδεύσοντος, μακρὰν λογικῆς καὶ ἀθανάτου ζωῆς ἀπῴκισται.

§. 20. Δι' ὃ τοῦ Γαϊδὰδ υἱὸς εἶναι λέγεται Μεὴλ, οὗ τὸ ὄνομα μεταληφθέν ἐστιν, ἀπὸ ζωῆς θεοῦ. Ἐπεὶ γὰρ τὸ ποίμνιον ἄλογον, ὁ δὲ θεὸς πηγὴ λόγου, ἀνάγκη τὸν ἀλόγως βιοῦντα τῆς θεοῦ ζωῆς ἀπεσχοινίσθαι. Τὸ μὲν οὖν κατὰ θεὸν ζῆν ἐν τῷ ἀγαπᾷν αὐτὸν ὁρίζεται Μωϋσῆς. Λέγει γὰρ, ὅτι "Ἡ ζωή σου τὸ ἀγαπᾷν τὸν ὄντα **)." Τοῦ δ' ἐναντίου βίου παράδειγμα τίθεται τὸν ἀποτυχόντα τοῦ κλήρου τράγον. "Στήσει γὰρ αὐτὸν," φησὶ, "ζῶντα ἐναντίον κυρίου, τοῦ ἐξιλάσασθαι ἐπ' αὐτοῦ, ὥςτε ἐξαποστεῖλαι αὐτὸν εἰς τὴν ἀποπομπήν ***)·" ἄγαν ἐξητασμένως. Ὡς γὰρ ἡδονῶν ἀπεχομένους πρεσβύτας εὖ φρονῶν οὐκ ἂν τις ἀποδέξαιτο· ὅτι τὸ γῆρας, ἡ μακρὰ καὶ ἀνίατος νόσος, τοὺς τῶν

*) Num. 27, 16. **) Deut. 30, 20. ***) Lev. 16, 10.

ὀρέξεων ἐχάλασέ τε καὶ ἔλυσε τόνους. Ἐπαίνου δ᾽ ἂν ἀξιώσειε τοὺς ἡβῶντας, ὅτι φλεγούσης τῆς ἐπιθυμίας ὑπὸ τῆς κατὰ τὴν ἡλικίαν ἀκμῆς, ὅμως σφεστηρίων ὀργάνων, τῶν κατὰ παιδείαν λόγων, εὐπορήσαντες, τὸν πολὺν φλογμὸν ἀλλὰ καὶ βρασμὸν τῶν παθῶν ἐπεκούφισαν. Ὥςτε οἷς μὲν οὐδὲν νόσημα ἐκ πονηρᾶς φιλεῖ διαίτης ἐπανίστασθαι, ἐλάττων ἔπαινος ἕπεται, ὅτι κατὰ φύσεως εὐμοιρίαν ἀπροαιρέτως ἐχρήσαντο εὐτυχίᾳ. Οἷς δ᾽ ἐξεγερθὲν ἀντιστατεῖ, μείζων· εἰ δὴ διερεισάμενοι καθελεῖν αὐτὸ βουληθεῖέν τε καὶ δυνηθεῖεν. Τὰ γὰρ ἡδονῆς ὁλκοῦ δελέαστρα αὐστηρῷ τόνῳ καθελεῖν ἰσχῦσαι, τὸν ἐφ᾽ ἑκουσίοις ἔχει κατορθώμασιν ἔπαινον. Ἔτ᾽ ἂν οὖν τούτων εὐδαίμονα κλῆρον ἀπολαχόντα μηδὲν, ** ζῇ δὲ ἐν ἡμῖν τὰ ἀποπομπαῖα νοσήματα καὶ ἀῤῥω-
239 στήματα; σπουδάζωμεν αὐτὰ ἀνατρέπειν καὶ κατα-
M. βάλλειν. Τὸ γὰρ ἐξιλάσασθαι ἐπ᾽ αὐτῶν τοιοῦτόν ἐστιν ὁμολογῆσαι, ὅτι ἔχοντες αὐτὰ ἐν ψυχῇ ζῶντα καὶ περιόντα, οὐκ ἐνδίδομεν· ἀλλ᾽ ἀντιβαίνοντες ἅπασι, καρτερῶς ἀπομαχόμεθα, μέχρις ἂν παντελῶς ἀποδιοπομπησώμεθα.

§. 21. Τί δὲ ἕπεται τῷ μὴ κατὰ βούλημα τὸ τοῦ θεοῦ ζῶντι, ἢ θάνατος ὁ ψυχῆς; Οὗτος δὲ ὀνομάζεται Μαθουσάλα, ὃς ἑρμηνευθεὶς ἦν ἐξαποστολὴ τοῦ θανάτου. Δι᾽ ὃ τοῦ Μεὴλ υἱός ἐστι, τοῦ τὸν ἴδιον βίον ἀπολελοιπότος, ᾧ τὸ ἀποθνήσκειν ἐπιπέμπεται· ψυχῆς θάνατος, ὅς κατὰ πάθους ἄλογός ἐστιν αὐτῆς μεταβολή. Τοῦτο μέντοι τὸ πάθος ὅτ᾽ ἂν κυοφορήσῃ, μετὰ χαλεπῶν ὠδίνων νοσήματα καὶ ἀῤῥωστήματα ἔτεκεν ἀνίατα, ὑφ᾽ ὧν ἐλυσπωμένη ταπεινοῦται καὶ κάμπτεται· πιέζει γὰρ αὐτὴν ἕκαστον, ἐπιφέρον ἄχθος ὑνήνυτον, ὡς μηδένα κῦψαι δύνασθαι. Τοῦθ᾽ ἅπαν ὠνόμασται Λάμεχ, ἑρμηνείαν γὰρ ἔχει ταπείνωσιν, ἵν᾽ εἰκότως τοῦ Μαθουσάλα γένηται. ὁ Λάμεχ υἱὸς, πάθος τοῦ περὶ ψυχὴν θα-

νάτον ταπεινὸν, ὑπεῖκον, ἀλόγου ὁρμῆς ἔκγονον ἀῤῥώστημα.

§. 22. "Ἔλαβε δὲ ἑαυτῷ Λάμεχ δύο γυναῖκας· ὄνομα τῇ μιᾷ δὲ Ἀδὰ, καὶ ὄνομα τῇ δευτέρᾳ Σέλλα." Πᾶν ὅ τι ἐὰν ἑαυτῷ λαμβάνῃ φαῦλος, πάντως ἐστὶν ἐπίληπτον, ἅτε γνώμῃ δυςκαθάρτῳ μιαινόμενον· καὶ γὰρ ἔμπαλιν αἱ τῶν σπουδαίων ἑκούσιοι πράξεις ἐπαινεταὶ πᾶσαι. Δι' ὃ νῦν μὲν ὁ Λάμεχ ἑαυτῷ γυναῖκας αἱρούμενος, κακὰ μέγιστα αἱρεῖται. Αὖθις Ἀβραὰμ, Ἰακὼβ, Ἀαρὼν ἑαυτοῖς λαμβάνοντες, ἀγαθοῖς οἰκείοις συνέρχονται. Λέγει ἐπὶ μὲν Ἀβραὰμ οὕτως, "Καὶ ἔλαβον Ἀβραὰμ καὶ Ναχὼρ ἑαυτοῖς γυναῖκας· ὄνομα τῇ γυναικὶ Ἀβραὰμ, Σάῤῥα *)." Ἐπὶ τοῦ Ἰακὼβ, "Ἀναστὰς ἀπόδραθι εἰς τὴν Μεσοποταμίαν εἰς τὸν οἶκον Βαθουὴλ πατρὸς τῆς μητρός σου· καὶ λάβε σεαυτῷ ἐκεῖθεν γυναῖκα ἐκ τῶν θυγατέρων Λάβαν ἀδελφοῦ τῆς μητρός σου **)." Ἐπὶ δὲ τοῦ Ἀαρὼν, "Ἔλαβε δὲ Ἀαρὼν τὴν Ἐλιζαβὲτ, θυγατέρα Ἀμιναδὰμ, ἀδελφὴν Ναασσὼν ἑαυτῷ γυναῖκα ***)." Ἰσαὰκ δὲ καὶ Μωϋσῆς λαμβάνουσι μὲν, οὐ δι' ἑαυτῶν δὲ λαμβάνουσιν· ἀλλ' ὁ μὲν Ἰσαὰκ "Ὅτε εἰςῆλθεν εἰς τὸν οἶκον τῆς μητρὸς †)" λαμβάνειν λέγεται, Μωϋσεῖ δὲ "ὁ ἄνθρωπος," παρ' ᾧ κατῴκησε, "τὴν θυγατέρα Σέπφωραν ἐκδίδοται ††)."

§. 23. Τούτων δ' οὐ παρέργως αἱ διαφοραὶ παρὰ τῷ
230 νομοθέτῃ μεμήνυνται. Τοῖς μὲν γὰρ ἀσκηταῖς προ-
M. κόπτουσι καὶ βελτιουμένοις, ἡ ἑκούσιος αἵρεσις τοῦ ἀγαθοῦ μαρτυρεῖται, ἵνα μηδ' ὁ πόνος ἀστεφάνωτος ἀφεθῇ· τοῖς δ' αὐτοδιδάκτου καὶ αὐτομαθοῦς σοφίας ἀξιωθεῖσιν ἕπεται, τὸ μὴ δι' ἑαυτῶν παρὰ θεοῦ δὲ ἐγγυᾶσθαι λόγον, καὶ λαμβάνειν τῶν σοφῶν σύμβιον ἐπιστήμην. Ὁ δὲ τῶν ἀνθρωπίνων ἀποῤῥιφεὶς, ὁ

*) Gen. 11, 29. **) Gen. 28, 2. ***) Exod. 6, 23. †) Gen. 24, 67. ††) Exod. 2, 21.

ταπεινὸς καὶ χαμαίζηλος Λάμεχ, προτέραν Ἀδὰ ἄγεται γυναῖκα ἥτις ἑρμηνεύεται μάρτυρα, προξενήσας ἑαυτῷ αὐτὸς τὸν γάμον. Οἴεται γὰρ, τὴν κατὰ τὰς εὐθήκτους ἐπιβουλὰς λείαν κίνησιν καὶ διέξοδον τοῦ νοῦ, μηδενὸς τῶν εἰς εὐμαρῆ κατάληψιν κωλυσιουργοῦντος, ἀγαθὸν εἶναι πρῶτον ἀνθρώπῳ. Τί γὰρ ἂν εἴη, φησὶ, κρεῖττον τοῦ τὰς ἐννοίας, τὰς διανοήσεις, τὰς εἰκασίας, τοὺς στοχασμοὺς, συνόλως τὰς βουλὰς, τὸ λεγόμενον, ἀρτίοις ποσὶ βαίνειν, ὡς ἐπὶ τὸ τέλος ἀπταίστως πρόσέρχεσθαι, μαρτυρουμένης ἐν ἅπασι λεχθεῖσι διανοίας; Ἐγὼ δὲ, εἰ μέν τις εὐθυβόλῳ καὶ εὐθήκτῳ γνώμῃ πρὸς μόνα χρῆται τὰ καλὰ, τοῦτον εὐδαίμονα γράφω, διδασκάλῳ τῷ νόμῳ χρώμενος. Καὶ γὰρ αὐτὸς "ἄνδρα ἐπιτυγχάνοντα" εἶπε τὸν Ἰωσὴφ *), οὐκ ἐν ἅπασιν, ἀλλ' "ἐν οἷς ὁ θεὸς τὸ εὐοδεῖν ἐχαρίζετο." Δωρεαὶ δὲ αἱ τοῦ θεοῦ καλαὶ πᾶσαι· εἰ δέ τις τῷ τῆς φύσεως εὐστόχῳ καὶ εὐτρόχῳ, μὴ πρὸς τὰ ἀστεῖα μόνον, ἀλλὰ καὶ πρὸς τὰ ἐναντία κέχρηται, εὐδιαφορίᾳ ἀδιάφορος ὢν, κακοδαιμονιζέσθω. Ἐν γοῦν ἀρᾶς εἴδει λέγεται κατὰ τὸν τῆς συγχύσεως τόπον, ὅτι "Οὐκ ἐκλείψει ἐξ αὐτῶν πάνθ' ὅσα ἂν ἐπιθῶνται ποιεῖν **)." Ὄντως γὰρ ἀνήκεστός ἐστι συμφορὰ ψυχῇ εὐοδεῖν, οἷς ἂν ἐπιθῆται καὶ τὰ αἴσχιστα. Ἐγὼ δ' ἂν εὐξαίμην, εἴ ποτε διανοηθείην ἀδικεῖν, ἐπιλιπεῖν τὸ ἀδικεῖν· καὶ εἴπερ ζῆν ἀνάνδρως, ἐπιλιπεῖν τὸ ἀκολασταίνειν· καὶ εἰ θρασέως μέντοι καὶ πανούργως, ἔνδειαν θρασύτητος καὶ πανουργίας γενέσθαι παντελῆ. Εἰ μὴ καὶ τοῖς κλέπτειν ἢ μοιχεύειν ἢ ἀνδροφονεῖν ἐγνωκόσιν, οὐκ ἔστιν ἄμεινον ἐπιδεῖν τούτων ἕκαστον ἐκλελοιπὸς καὶ διεφθαρμένον.

§. 24. Τὴν οὖν Ἀδὰ παραίτησαι, ὦ διάνοια, τὴν μαρτυροῦσάν τε τοῖς φαύλοις, καὶ μαρτυρου-

*) Gen. 39, 3 sqq. **) Gen. 11, 6.

241 μένην ἐν ταῖς πρὸς ἕκαστα αὐτοῦ ἐπιβουλαῖς. Εἰ
M. δὲ κοινωνὸν αὐτὴν ἀξιώσεις ἔχειν, μέγιστον ἀποτέξεταί σοι κακὸν, τὸν Ἰωβὴλ *), ὃς ἑρμηνεύεται μεταλλοιῶν. Εἰ γὰρ τῇ μαρτυρίᾳ χαίρεις ὧν ἂν τύχῃ, στρέφειν καὶ ἀνακυλίειν ἕκαστα βουλήσῃ, τοὺς παγέντας ὑπὸ τῆς φύσεως τοῖς πράγμασιν ὅρους μετατιθείς. Σφόδρα καὶ Μωϋσῆς ἀχθόμενος τοῖς τοιούτοις καταρᾶται λέγων, "Ἐπικατάρατος ὁ μετατιθεὶς ὅρια τοῦ πλησίον **)." Καλεῖ δὲ πλησίον καὶ ἐγγὺς τὸ Ἀγαθόν· "Οὐ γὰρ ἂν ἀπεῖναι," φησὶν, "εἰς οὐρανὸν, οὐδὲ πέραν θαλάττης ἀφικέσθαι δεῖ ***)," κατὰ ζήτησιν τοῦ καλοῦ, "ἐγγὺς γὰρ καὶ πλησίον ἵστασθαι ἑκάστῳ." Καὶ τριχῇ αὐτὸ διαιρεῖ, φυσικώτατα. "Ἐν γὰρ τῷ στόματί σου," φησὶν, "ἐστὶν, καὶ ἐν τῇ καρδίᾳ, καὶ ἐν ταῖς χερσὶ," τοῦτο δὲ, ἐν λόγοις, ἐν βουλαῖς, ἐν πράξεσι. Μέρη γὰρ τοῦ ἀγαθοῦ ταῦτα, ἐξ ὧν πέφυκε πήγνυσθαι· ὡς ἤδε ἡ ἑνὸς ἔνδεια οὐκ ἀτελὲς μόνον ἀπεργάζεται τὸ πᾶν, ἀλλὰ καὶ συνόλως ἀναιρεῖ. Τί γὰρ ὄφελος λέγειν μὲν τὰ βέλτιστα, διανοεῖσθαι δὲ καὶ πράττειν τὰ αἴσχιστα; Σοφιστῶν οὗτος ὁ τρόπος. Τοὺς γὰρ περὶ φρονήσεως καὶ καρτερίας ἀπομηκύνοντες λόγους, τὰ ὦτα καὶ τῶν σφόδρα διψώντων ἀκοῆς ἀποκναίουσιν, ἐν δὲ ταῖς βουλαῖς καὶ ταῖς κατὰ τὸν βίον πράξεσιν εὑρίσκονται διαμαρτάνοντες. Τί δὲ ὄφελος ἃ μὲν χρὴ διανοεῖσθαι, ἔργοις δὲ ἀτόποις καὶ λόγοις χρῆσθαι, διὰ δὲ τῶν ἔργων τοὺς ὑπομένοντας ζημιοῦντας; Πράττειν δὲ μὲν τὰ ἄριστα, οὐ σὺν διανοίᾳ καὶ λόγῳ, πάλιν ὑπαίτιον· τὸ γὰρ ἄνευ τούτων τῆς ἀκουσίου μερίδος ὂν, οὐδαμῇ οὐδαμῶς ἐπαινετόν. Εἰ δέ τινι ἐξεγένετο, καθάπερ λύρας ἁρμόσασθαι τοὺς τοῦ ἀγαθοῦ πάντας ἤχους, καὶ σύνῳδον ἀποφῆναι λόγων μὲν διανοίᾳ, διάνοιαν δὲ ἔργῳ, τέλειος καὶ πρὸς ἀλήθειαν εὐάρμοστος ὁ τοι-

*) Gen. 4, 20. **) Deut. 27, 17. ***) Deut. 30, 12 sqq.

οὗτος ἂν νομίζοιτο. Ὥςθ' ὁ μετατιθεὶς ὅρους τοῦ καλοῦ δικαίως ἐπάρατός ἐστί τε καὶ λέγεται.

§. 25. Τοὺς δὲ ὅρους τούτους, οὐχ ἡ καθ' ἡμᾶς γένεσις ἔστησεν, ἀλλ' οἱ πρὸ ἡμῶν καὶ παντὸς τοῦ γεώδους πρεσβύτεροι λόγοι καὶ θεῖοι. Καθ' ἃ καὶ ὁ νόμος δεδήλωκεν, ἐπισκήπτων ἡμῶν ἑκάστῳ μὴ κιβδηλεύειν τὸ ἀρετῆς νόμισμα. Ἐν τούτοις, "Οὐ μετακινήσεις ὅρια τοῦ πλησίον, ἃ ἔστησαν οἱ πατέρες σου *)." Καὶ ἐν ἑτέροις, "Ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι, τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι· ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδὰμ, ἔστησεν ὅρια ἐθνῶν κατ' ἀριθμὸν ἀγγέλων θεοῦ· καὶ ἐγένετο μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐ-
242 τοῦ Ἰσραὴλ **)." Ἆρ' οὖν ἐὰν πύθωμαι τοῦ γεν-
M. νήσαντος καὶ θρέψαντός με πατρὸς, ἢ τῶν ἐκείνου μὲν ἡλικιωτῶν ἐμοῦ δὲ πρεσβυτέρων· ἢ διένειμεν ἔθνη ὁ θεὸς, ἢ ἔσπειρεν, ἢ ᾤκισεν, ἀποκρινοῦνταί μοι παγίως, ὥςπερ τῷ μερισμῷ παρηκολουθηκότες ἑκάστῳ; Οὐ μὲν οὖν· ἀλλὰ φήσουσιν, ὅτι καὶ ἡμεῖς ἐφ' ἡλικίας παρὰ τῶν γονέων καὶ ἔτι ἀρχαιοτέρων φιλοπευστήσαντες, οὐδὲν σαφὲς ἀνεμάθομεν· οὐδὲν γὰρ εἶχον ὅ τι διδάξουσιν ἡμᾶς, καὶ αὐτοὶ πάλιν ἄλλων ἀξιώσαντες γενέσθαι, ἐπιστημόνων ἀντιπιστήμονες, γνώριμοι.

§. 26. Μήποτ' οὖν "πατέρα" μὲν τῆς ψυχῆς ἡμῶν τὸν ὀρθὸν λόγον καλεῖ, "πρεσβυτέρους" δὲ τοὺς ἑταίρους αὐτῶν καὶ φίλους. Οὗτοι τῆς ἀρετῆς τοὺς ὅρους ἐπήξαντο πρῶτοι, πρὸς οὓς ἄξιον φοιτῆσαι, μαθήσεως καὶ διδασκαλίας ἕνεκα τῶν ἀναγκαίων. Τὰ δ' ἀναγκαῖα ταῦτα· ὁπότε ὁ θεὸς διένεμε καὶ διετείχιζε τὰ τῆς ψυχῆς ἔθνη, τὰ ὁμόφωνα τῶν ἀλλογλώττων διϊστάς· καὶ διοικίζων τε τοὺς γῆς παῖδας, ἔσπειρε καὶ ἐξετάξευσεν ἀφ' ἑαυτοῦ, οὓς Ἀδὰμ

*) Deut. 19, 14. **) Deut. 32, 7—9.

ὠνόμασεν υἱοὺς, τότε τῶν ἀρετῆς ἐγγόνων τοὺς ὅρους ἔστησεν ἰσαρίθμους ἀγγέλοις· ὅσοι γὰρ θεοῦ λόγοι, τοσαῦτα ἀρετῆς ἔθνη τε καὶ εἴδη. Τίνες αἱ τῶν ἀγγέλων αὐτοῦ λήξεις, καὶ τίς ἡ τοῦ παντάρχου καὶ ἡγεμόνος ἀποκεκληρωμένη μοῖρα; Τῶν μὲν οὖν ὑπηρετῶν αἱ ἐν εἴδει ἀρεταὶ, τοῦ δὲ ἡγεμόνος τὸ ἐπίλεκτον γένος Ἰσραήλ. Ὁ γὰρ ὁρῶν τὸν θεὸν, ὑπὸ ἐκπρεπεστάτου κάλλους ἀγόμενος, τῷ ὁρωμένῳ προςκεκλήρωταί τε καὶ μεμέρισται. Πῶς οὖν οὐκ ἐπιπληκτέος Ἰωβὴλ, ὃς ἑλλάδι γλώττῃ μεταλλοιῶν καλεῖται τὰς φύσεις τῶν πραγμάτων ἢ μεταποιῶν; Τὰ γὰρ φρονήσεως καὶ καρτερίας καὶ δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς κάλλη θεοειδέστατα, τύποις ἐναντίοις, ἀφροσύνης, καὶ ἀκρασίας, ἀδικίας, ἁπάσης κακίας, μετεχάραττεν, ἀφανίζων τὰ ἐνσημανθέντα πρότερα.

§. 27. Ἀεὶ γὰρ ἐπιτεθειμέναι δευτέραι σφραγῖδες τοὺς τῶν προτέρων τύπους διαφθείρουσιν· ὁ δὲ γενόμενος τοσούτων δεῖν κακὰ ἀγαθῶν ἐπιτρέπει ἀντικαταλλάττεσθαι, ὥςτ᾽ οὐδὲ καλὰ πονηρῶν ἐᾷ. — Πονηρὰ οὐ τὰ φαῦλα παραλαμβάνων, ἐπεὶ τοῦτο δὴ εὔηθες μὴ προΐεσθαι τὰ κακὰ ὑπὲρ κτήσεως τῶν
243 ἀμεινόνων· ἀλλὰ τὰ καματηρὰ καὶ ἐπίπονα, ἅπερ
M. Ἀττικοὶ τὴν πρώτην ὀξυτονοῦντες συλλαβὴν καλοῦσι πόνηρα. — Ἔστι δὲ τὸ διάταγμα τοιοῦτο· "Πᾶν ὃ ἂν ἔλθῃ ἐν τῷ ἀριθμῷ ὑπὸ τὴν ῥάβδον, τὸ δέκατον ἅγιον τῷ κυρίῳ· οὐκ ἀλλάξεις καλὸν πονηρῷ· ἐὰν δ᾽ ἀλλάξῃς, αὐτό τε καὶ τὸ ἄλλαγμα ἔσται ἅγια *)." Καίτοι πῶς τό γε πονηρὸν γένοιτ᾽ ἂν ἅγιον; Ἀλλ᾽ ὅπερ ἔφην, τὸ ἐπίπονον, ἀλλ᾽ οὐ φαῦλον παρείληπται. Ὥςτε τοιοῦτον εἶναι τὸ δηλούμενον· τέλειον μὲν ἀγαθόν ἐστι τὸ καλὸν, ἀτελὲς δὲ ὠφέλιμον πόνος. Ἐὰν οὖν τὸ παντελὲς κτήσῃ, μηκέτι ζήτει τὸ ἐνδέον. Εἰ δὲ προςυπερβάλλων ἐθελήσεις ἔτι πονεῖν,

*) Lev. 27, 32 sq.

ἴσθ' ὅτι δόξεις μὲν ἓν ἑνὶ καταλλάττειν, κτήσῃ δὲ πρὸς ἀλήθειαν ἀμφότερα· ἑκάτερον γὰρ εἰ καὶ ἰσότιμον, ἀλλ' οὐ τὸ πάντως ἅγιόν ἐστιν.

§. 28. Ἅγιον δὲ πρᾶγμα δοκιμάζεται διὰ τριῶν μαρτύρων, ἀριθμοῦ μέσου, παιδείας, ἀριθμοῦ τελείου. Διὸ λέγεται, "πᾶν ὃ ἂν ἔλθῃ ἐν τῷ ἀριθμῷ ὑπὸ τὴν ῥάβδον, τὸ δέκατον ἅγιον." Τὸ μὲν γὰρ ἀπαξιωθὲν ἀριθμοῦ, βέβηλον οὐχ ἅγιον. Τὸ δὲ κατ' ἀριθμὸν, ἅτε ἐγκεκριμένον ἤδη, δόκιμον. Τὸν γοῦν ὑπὸ Ἰωσὴφ ἐν Αἰγύπτῳ συναχθέντα σῖτόν φησιν ὁ νόμος "μὴ δυνηθῆναι ἀριθμηθῆναι*)," καὶ ἐπιφέρει, "οὐ γὰρ ἦν ἀριθμὸς," ἐπειδὴ τὰ τοῦ σώματος, καὶ τῶν Αἰγυπτίων παθῶν θρεπτικὰ, οὐκ ἄξια συνόλως ἀριθμεῖσθαι. Ἡ δὲ ῥάβδος παιδείας σύμβολον, ἄνευ γὰρ τοῦ δυσωπηθῆναι καὶ περὶ ἐνίων ἐπιπληχθῆναι, νουθεσίαν ἐνδέξασθαι καὶ σωφρονισμὸν ἀμήχανον. Δέκας δὲ τῆς κατὰ προκοπὴν τελειώσεως πίστις, ἀφ' ἧς ὅσιον ἀπάρχεσθαι τῷ τέξαντι, τῷ παιδεύσαντι, τῷ τὰ ἐλπισθέντα τελεσφορήσαντι.

§. 29. Ταῦτα ἀποχρώντως λελέχθω περὶ τοῦ μεταλλοιοῦντος, καὶ τὸ ἀρχαῖον νόμισμα κιβδηλεύοντος, ὃν καὶ πατέρα ὀνομάζει "κατοικούντων ἐν σκηναῖς κτηνοτρόφων." Κτήνη μὲν οὖν εἰσιν αἱ ἄλογοι αἰσθήσεις, κτηνοτρόφοι δ' οἱ φιλήδονοι καὶ φιλοπαθεῖς, τροφὰς παρέχοντες αὐταῖς τὰ ἐκτὸς αἰσθητὰ, μακρὰν διεστηκότες ποιμένων. Οἱ μὲν γὰρ, ἀρχόντων τρόπον, τὰ πλημμελῶς ζῶντα τῶν θρεμμά-
244 των κολάζουσιν, οἱ δὲ ἑστιατόρων, τροφὰς ἀφθόνους
M. παρασκευάζοντες, ἄδειαν ἁμαρτημάτων παρέχουσιν.
Ἀνάγκη γὰρ εὐθὺς τὴν ἀπληστίαν, καὶ κόρου θυγατέρα γεννᾶσθαι ὕβριν. Πατὴρ οὖν ἐστιν εἰκότως ἅπαντα μεταχαράττων καὶ μεταποιῶν τὰ καλὰ, τῶν τὸ αἰσθητὸν καὶ ἄψυχον ἅπαν ἐζηλωκότων. Εἰ γὰρ

*) Gen. 41, 49.

τὰς ἀσωμάτους νοητὰς φύσεις μετεδίωκε, τοὺς ὁρισθέντας ὑπὸ τῶν πρεσβυτέρων ὅρους ἐφύλαττεν ἄν, οὓς ὑπὲρ ἀρετῆς ὥρισαν, ἕκαστον αὐτῆς εἶδος οἰκείῳ τύπῳ χαράξαντες *).

§. 30. "Τοῦ δὲ Ἰωβὴλ ἀδελφὸν εἶναι" φησι "τὸν Ἰωβὰλ **)," — ἑρμηνεύεται δὲ καὶ οὗτος μετακλίνων, διὰ συμβόλου ὁ κατὰ προφορὰν λόγος, — φύσει γὰρ οὗτος διανοίας ἀδελφός ἐστι. Τὸν δὲ τοῦ μεταποιοῦντος νοῦ τὰ πράγματα λόγον, μετακλίνοντα σφοδρῶς δεόντως ὠνόμασε. Συμβαίνει γὰρ τρόπον τινὰ καὶ ἐπαμφοτερίζει, καθάπερ ἐπὶ πλάστιγγος ἀντιῤῥέπον, ἢ ὥσπερ θαλαττεῦον σκάφος, ὑπὸ πολλοῦ κλύδωνος πρὸς ἑκάτερον τοῖχον ἀποκλίνει· βέβαιον γὰρ ἢ σταθηρὸν οὐδὲν ὁ ἄφρων λέγειν ἔμαθε. Μωϋσῆς δὲ οὔτ' εἰς δεξιὰ, οὔτ' εἰς ἀριστερὰ, οὐδ' ὅλως εἰς μέρη τοῦ γηΐνου Ἔδωμ ἀποκλίνειν οἴεται δεῖν· τῇ δὲ μέσῃ ὁδῷ περιέρχεσθαι, ἣν κυριώτατον καλεῖ βασιλικὴν ***). Ἐπειδὴ γὰρ πρῶτος καὶ μόνος τῶν ὅλων βασιλεὺς ὁ θεός ἐστι, καὶ ἡ πρὸς αὐτὸν ὁδὸς, ἅτε βασιλέως οὖσα, εἰκότως ὠνόμασται βασιλική. Ταύτην δὲ ἡγοῦ φιλοσοφίαν, οὐχ ἣν μέτεισιν ὁ νῦν ἀνθρώπων σοφιστικὸς ὅμιλος, — λόγων γὰρ οὗτοι τέχνας μελετήσαντες κατὰ τῆς ἀληθείας τὴν πανουργίαν σοφίαν ἐκάλεσαν, ἔργῳ μοχθηρῷ θεῖον ἐπιφημίσαντες ὄνομα, — ἀλλ' ἣν ὁ ἀρχαῖος ἀσκητῶν θίασος διήθλει, τὰς πιθανοὺς τῆς ἡδονῆς γοητείας ἀποστρεφόμενος, ἀστείῳ καὶ αὐστηρῷ χρώμενος τῇ τοῦ καλοῦ μελέτῃ. Τὴν βασιλικὴν ταύτην ὁδὸν, ἣν ἀληθῆ καὶ γνήσιον ἔφαμεν εἶναι φιλοσοφίαν, ὁ νόμος καλεῖ θεοῦ ῥῆμα καὶ λόγον. Γέγραπται γὰρ, "Οὐκ ἐκκλινεῖς ἀπὸ τοῦ ῥήματος, οὗ ἐγὼ ἐντέλλομαί σοι σήμερον; δεξιὰ οὐδὲ ἀριστερά." Ὥστε ἐμφανῶς ἐπιδεδεῖχθαι, ὅτι ταὐτόν ἐστι τῇ βασιλικῇ ὁδῷ τὸ θεοῦ ῥῆμα, εἴγε προτρέπει, μήτ' ἀπὸ τῆς

*) Deut. 27, 2. **) Gen. 4, 21. ***) Num. 20, 17.

βασιλικῆς ὁδοῦ μήτ' ἀπὸ τοῦ ῥήματος, ὡς συνωνύμων ὄντων, ἀποκλίνοντας ὀρθῇ διανοίᾳ τὴν ἐπ' εὐθεῖαν ἄγουσαν ἀτραπὸν μέσην τε καὶ λεωφόρον βαδίζειν.

245 §. 31. "Ὁ δὲ Ἰωβὰλ οὗτος," φησὶν, "ἔστι πα-
M. τὴρ, ὁ καταδείξας ψαλτήριον καὶ κιθάραν *)." Πατέρα μουσικῆς καὶ τῶν κατὰ μουσικὴν πάντων ὀργάνων τὸν γεγωνὸν λόγον προσφυέστατα καλεῖ. Τὸ γὰρ φωνητήριον ὄργανον ζώοις ἡ φύσις πρῶτον καὶ τελειότατον ἐργασαμένη, πάσας αὐτῷ τὰς ἁρμονίας, καὶ τὰ γένη τῶν μελῳδιῶν εὐθὺς ἐχαρίζετο, ἵν' ᾖ τοῖς ἐκ τέχνης μέλλουσι δημιουργεῖσθαι προειργασμένον παράδειγμα. Καὶ καθάπερ γὰρ τὸ οὖς ἡμῶν κύκλους ἐν κύκλοις, ἐλάττους ἐν μείζοσι, γράφουσα σφαιρικὸν ἐτόρνευε, τοῦ τὴν προσιοῦσαν φωνὴν μὴ χεομένου ἔξω σκεδάννυσθαι, εἴσω δὲ ὑπὸ τὸν κύκλον συναγομένην καὶ σφιγγομένην, οἷα διαχεομένης τῆς ἀκοῆς εἰς τὰς τοῦ ἡγεμονικοῦ δεξαμενὰς ἐπαντλεῖσθαι, — καὶ τοῦτ' εὐθὺς ἦν παράδειγμα θεάτρων τῶν κατὰ πόλεις εὐδαίμονας· πρὸς τὸ ὤτων σχῆμα ἄκρως ἡ θεάτρων κατασκευὴ μερίμνεται, — οὕτως καὶ τὴν τραχεῖαν ἀρτηρίαν ἡ τὰ ζῶα φύσις διαπλάσασα, ὥςπερ μουσικὸν κανόνα τείνασα, τὰ ἐναρμόνια καὶ χρωματιστικὰ καὶ διατονικὰ γένη συνυφαίνουσα, κατὰ τὰς τῶν συνημμένων καὶ διεζευγμένων μελῳδιῶν παμπληθεῖς ποικιλίας, παντὸς ὀργάνου μουσικοῦ παράδειγμα ἱδρύετο.

§. 32. Ἴσως γοῦν αὐλοὶ καὶ λύραι, καὶ τὰ παραπλήσια, μελῳδοῦσι, τῆς ἀηδόνων ἢ κύκνων μουσικῆς τοσοῦτον ἀπολείπονται, ὅσον ἀπεικόνισμα καὶ μίμημα ἀρχετύπου παραδείγματος, φθαρτὸν εἶδος ἀφθάρτου γένους. Τὴν μὲν γὰρ ἀνθρώπων μουσικὴν οὐδενὶ τῶν ἄλλων συγκρίνειν ἄξιον, ἔχουσαν γέρας ἐξαίρετον, ᾧ τετίμηται, τὴν ἔναρθρον σαφη-

*) Gen. 4, 20. 21.

νίαν. Τὰ μὲν γὰρ ἄλλα τῇ περὶ τὴν φωνὴν κλάσει χρώμενα, καὶ τῇ ἐπαλλήλῳ τῶν τόνων μεταβολῇ, ἀκοὰς αὐτὸ μόνον ἡδύνει· ὁ δὲ ἄνθρωπος, ὥςπερ πρὸς τὸ λέγειν, οὕτως καὶ πρὸς τὸ ᾄδειν ἀρθρωθεὶς ὑπὸ φυ ** ἑκάτερον, ἀκοήν τε καὶ νοῦν, ἐπάγεται, τὴν μὲν τῷ μέλει κηλῶν, τὸν δὲ τοῖς νοήμασιν ἐπιστρέφων. Καθάπερ γὰρ ὄργανον, ἀμούσῳ μὲν παραδοθὲν ἀνάρμοστον, μουσικῷ δὲ, κατὰ τὴν ἐν αὐτῷ τέχνην εὐάρμοστον γίνεται· τὸν αὐτὸν τρόπον καὶ ὁ λόγος ὑπὸ μὲν φαύλου νοῦ κινούμενος ἀνάρμοστος, ὑπὸ δὲ σπουδαίου πάνυ εὐμελὴς εὑρίσκεται. Λύρα γε μὴν, ἢ εἴ τι τῶν ὁμοίων, εἰ μὴ πληχθείη πρός
246 τινος, ἠρεμεῖ· λόγος τε αὖ μὴ πληχθεὶς ὑφ' ἡγε-
M. μονικοῦ, κατα τὸ ἀναγκαῖον ἡσυχίαν ἄγει. Καὶ μὴν ὥςπερ ὄργανα κατὰ τὰς τοῦ μέλους ἀπείρους ὅσας κράσεις μεθαρμόττεται, οὕτως καὶ ὁ λόγος συνῳδός ἐστιν, ἑρμηνεὺς πραγμάτων γινόμενος, ἀμυθήτους λαμβάνει μεταβολάς. Τίς γὰρ ἂν ὁμοίως γονεῦσι καὶ τέκνοις διαλεχθείη, τῶν μὲν φύσει δοῦλος, τῶν δὲ γένει δεσπότης ὤν; Τίς δ' ἂν ἀδελφοῖς, ἢ ἀνεψιοῖς, ἢ συνόλως τοῖς ἐγγὺς γένους καὶ μακρὰν οὖσιν; Τίς δ' ἂν οἰκείοις, καὶ ἀλλοτρίοις, ἢ πολίταις, καὶ ξένοις, οὐ μικρὰς οὐδὲ τύχης ἢ φύσεως, ἢ ἡλικίας ἔχουσι διαφοράς; Πρεσβύτῃ γὰρ ἑτέρως ὁμιλητέον καὶ νέῳ· καὶ πάλιν ἐνδόξῳ καὶ ταπεινῷ, καὶ πλουσίῳ καὶ πένητι, καὶ ἄρχοντι καὶ ἰδιώτῃ, καὶ θεράποντι καὶ δεσπότῃ, γυναικί τε αὖ καὶ ἀνδρὶ, καὶ ἀτέχνῳ καὶ τεχνίτῃ. Καὶ τί δεῖ τὰς τῶν προςώπων ἀμυθήτους ἰδέας κατάγεσθαι, πρὸς ἃς ὁ λόγος τρεπόμενος ἄλλοτ' ἄλλα λαμβάνει σχήματα; Καὶ γὰρ ἢ μικρὰ, ἢ πολλὰ καὶ ὀλίγα, ἢ ἰδιωτικὰ καὶ δημόσια, ἢ ἱερὰ καὶ βέβηλα, ἢ ἀρχαῖα καὶ νέα, οὐ τὸν αὐτὸν ἂν ἑρμηνεῦσαι τρόπον, ἀλλὰ τὸν ἑκάστοις ἐφαρμόζοντα τῷ πλήθει καὶ ἀξιώματι καὶ μεγέθει, τοτὲ μὲν ** ὑψηλὸν αἴρων ἑαυτὸν, τοτὲ δ' ἔμπαλιν συνάγων τε καὶ διαστέλλων. Παρέχουσι δὲ ὥς-

περ τὰ πράγματα, καὶ τὰ πρόσωπα τῷ λόγῳ μεταβολὰς, οὕτως καὶ αἱ τῶν γινομένων αἰτίαι, καὶ οἱ τρόποι καθ᾽ οὓς γίνεται· προσέτι μέντοι, καὶ τὰ ὧν οὐκ ἂν ἅπαντα, χρόνοι καὶ τόποι. Παγκάλως οὖν ὁ μετακλίνων λόγους Ἰουβὰλ "πατὴρ εἴρηται ψαλτηρίου καὶ κιθάρας *)," ἀπὸ μέρους τῆς ὅλης μουσικῆς, ὡς ἐπιδέδεικται.

§. 33. Τὰ μὲν οὖν τῆς Ἀδᾶς ἔγγονα, καὶ αὕτη τίς ἐστι, δεδήλωται· τὴν δὲ ἑτέραν γυναῖκα τοῦ Λάμεχ, Σέλλαν, καὶ ἃ ἀποκύει, θεασώμεθα. Σέλλα τοίνυν ἑρμηνεύεται σκιὰ, τῶν περὶ σῶμα καὶ ἐκτὸς ἀγαθῶν, ἃ τῷ ὄντι σκιᾶς οὐδὲν διαφέρει, σύμβολον. Ἢ κάλλος οὔτε σκιὰ, ὃ πρὸς βραχὺν ἀνθῆσαν χρόνον ἀφαναίνεται; Ἰσχὺς δὲ καὶ εὐτονία σώματος, ἃς ἡ τυχοῦσα νόσος ἐξέλυσεν; Αἰσθητήρια δὲ, καὶ ἡ περὶ ταῦτα ἀκρίβεια, ἣν ῥεῦμα δυςῶδες ἐνέφραξεν, ἢ γῆρας, ἢ ἀναγκαῖα καὶ κοινὴ πάντων νόσος ἐπήρωσεν; Ὅτι δὲ, οὐχὶ πλοῦτοι καὶ δόξαι καὶ ἀρχαὶ καὶ τιμαὶ, καὶ ὅσα τῶν ἐκτὸς ἀγαθὰ νενόμι-
247 σται, σκιὰ πάντα; Χρὴ δὲ τὴν διάνοιαν ὅπως δι᾽
M. ἀναβαθμῶν ἐπὶ τὴν τοῦ παντὸς ἐπάγειν ἀρχήν. Εἰς Δελφοὺς γεγόνασιν ἄνθρωποι τῶν λεγομένων ἐνδόξων, οἱ τοὺς εὐδαίμονας βίους ἐκεῖσε ἀνατεθείκασι. Καθάπερ οὖν ἐξίτηλοι γραφαὶ οὐ χρόνου μήκει μόνον διεῤῥύησαν, ἀλλὰ καὶ καιρῶν ἐξ * * ἐς μεταβολαῖς ἐκπεπνεύκασιν. Εἰσὶ δὲ οὓς οἷα χειμάῤῥου φορὰ πλημμύροντος ἐξαίφνης ἐκκλύσασα ἠφάνισεν. Ἐκ τῶν οὖν τῆς σκιᾶς καὶ τῶν ἀβεβαίων ὀνειράτων ἀποχυεῖται υἱωνὸς, ὃν ὠνόμασε Θόβελ· ἑρμηνεύεται δὲ σύμπασα. Τῷ γὰρ ὄντι ὀντὸς παρὰ πολλοῖς ἀγόμενον ἀγαθεῖν συνετὸν πλουθυγείαν στησάμενοι, μικρὰ καὶ μεγάλα καὶ πάνθ᾽ ἁπλῶς ἀνῆφθαι δοκοῦσιν. Εἰ δὲ καὶ παρεγίνοιτό τις αὐτεξούσιος ἡγεμονία, φυσηθέντες καὶ μετεωρισθέντες ὑπὸ κούφης ἐν-

*) Gen. 4, 21.

νοίας, ἐκπληθόμενοι ἑαυτῶν, καὶ ὕλης φθαρτῆς ἐξ ἧς γεγόνασιν, μείζονος ἢ κατ᾽ ἀνθρωπίνην σύστασιν οἰηθέντες φύσεως ἐπιλαχεῖν, ταῖς τιμαῖς ἑαυτοὺς ὑπὸ μεγαλαυχίας ἀποσεμνύναντες ἐξεθείωσαν. Ἤδη γοῦν τινες ἐπετόλμησαν τὸν ἀληθῶς "θεὸν φάναι μὴ εἰδέναι *)," τῆς περὶ αὐτοὺς ἀνθρωπότητος ἐκλαθόμενοι, διὰ τὴν τῶν περὶ σῶμα καὶ ἐκτὸς ἀμετρίαν ἀφθόνως *** ἕκαστος χαρακτηρίζων.

§. 34. Εἶτά φησιν ὅτι "Οὗτος ἦν σφυροκόπος χαλκεὺς χαλκοῦ καὶ σιδήρου **)." Τοῦ γὰρ σεσοβημένου περὶ τὰς ἢ σωματικὰς ἡδονὰς ἢ τὰς ἐκτὸς ὕλας ἡ ψυχὴ καθάπερ ἐπ᾽ ἄκμονας σφυρηλατεῖται, κατὰ τὰς τῶν ἐπιθυμιῶν μακρὰς καὶ διωλυγίους ἐκστάσεις ἐλαυνομένη. Τοὺς μέν γε φιλοσωμάτους ἴδοις ἂν ἀεὶ καὶ πανταχοῦ λίνα καὶ πάγας πρὸς τῶν, ὧν ὀρέγονται θήραν τιθέντας· τοὺς δ᾽ αὖ φιλαργύρους, καὶ φιλοδόξους τὸν περὶ ταῦτα οἶστρον καὶ ἵμερον ἐπὶ τὰ πέρατα γῆς καὶ θαλάττης ἀποστέλλοντας, καὶ ὥςπερ δικτύοις ταῖς ἀορίστοις αὐτῶν ὀρέξεσιν, ἐπισπασμένους τὰ πανταχόθεν, μέχρι ἂν ὑπὸ βίας ἡ σφόδρα τάσις ῥῆξιν λαβοῦσα, καὶ τοὺς ἕλκοντας ἀντ᾽ ἐπισπασμένην πρηνεῖς καταβάλλῃ. Δημιουργοὶ δέ εἰσι πάντες οὗτοι πολέμου, παρ᾽ ὃ σίδηρον καὶ χαλκὸν ἐργάζεσθαι λέγονται, δι᾽ ὧν οἱ
248 πόλεμοι συνίστανται. Τὰς μὲν γὰρ μεγίστας καὶ
M. ἀνδρῶν ἰδίᾳ καὶ πόλεων κοινῇ διαφορὰς εὕροι τις ἂν σκόπου * καὶ πάλαι γεγενημένας, καὶ νῦν ὑπαρχούσας, καὶ ἐσομένας αὖθις ἢ εὐμορφίας γυναικὸς ἕνεκα ἢ χρημάτων ἢ συνόλως ὅσα σώματος καὶ τῶν ἐκτός ἐστι πλεονεκτήματα· παιδείας δὲ καὶ ἀρετῆς χάριν, ἃ τοῦ κρατίστου τῶν ἐν ἡμῖν, ἀγαθὰ διανοίας ἐστὶν, οὔτε ξενικὸς οὔτε ἐμφύλως πώποτε κατέσχε πόλεμος. Εἰρηναῖα γὰρ φύσει ταῦτα, ὑφ᾽ ὧν εὐνομία, καὶ εὐστάθεια, καὶ ὅσα περικαλλέστατα

*) Exod. 5, 2. **) Gen. 4, 22.

εἴδη τῆς ψυχῆς ὀξυδερκεστάτοις ὄμμασιν, οὐχὶ τοῖς σώματος ἀμυδροῖς θεωρεῖται. Ταῦτα μὲν γὰρ τὰ ἐκτὸς ἐπιφανείας μόνον ὁρᾷ, ὁ δὲ τῆς διανοίας ὀφθαλμὸς εἴσω προελθὼν, καὶ βαθύνας τὰ ἐν αὐτοῖς σπλάγχνα ἐγκεκρυμμένα κατεῖδε. Γίνονται δὲ αἱ ταραχαὶ, ἢ αἱ στάσεις πᾶσαι τοῖς ἀνθρώποις ἀεὶ σχεδὸν περὶ μὲν οὐδενὸς, ἀλλὰ περί γε τῆς πρὸς ἀλήθειαν σκιᾶς. Τὸν γὰρ δημιουργὸν τῶν πολεμιστηρίων ὅπλων χαλκοῦ καὶ σιδήρου Θόβελ υἱὸν Σέλλας, τῆς σκιᾶς, ὠνόμασεν, οὐ λόγων τέχναις, ἀλλ' ὀνομάτων ὑπερβάλλοντι κάλλει φιλοσοφῶν. Ἔγνω γὰρ ὅτι πᾶς ἢ ναυτικὸς, ἢ πεζὸς στρατὸς τοὺς μεγίστους αἱρεῖται κινδύνους, ἕνεκα σωματικῶν ἡδονῶν, ἢ χάριν περιουσίας τῶν ἐκτὸς, ὧν οὐδὲν βέβαιον, ἢ πάγιον, ὑπὸ τοῦ πάντα ἐξελέγχοντος αἰῶνος μαρτυρεῖται· σκιαγραφίαις γὰρ ἐπιπολαίοις ἐξ ἑαυτῶν δαρεούλαις ἔοικε.

§. 35. Τοῦ δὲ Θόβελ ἀδελφὴν εἶναί φησι Νοεμὰν *), ἧς ἑρμηνεία πιότης· ἀκολουθεῖ γὰρ τοῖς εὐπάθειαν σώματος καὶ ἃς εἶπον ὕλας μεταδιώκουσιν, ὅτ' ἂν τινος ὧν ὀρέγονται λάβωσι, πιαίνεσθαι. Τὴν δὲ τοιαύτην πιότητα οὐκ ἰσχὺν ἀλλ' ἀσθένειαν ἔγωγε τίθημι. Διδάσκει γὰρ ἀφίστασθαι θεοῦ τιμῆς, ἣ πρώτη καὶ ἀρίστη ψυχῆς ἐστι δύναμις. Μάρτυς δὲ ὁ νόμος ἐν ᾠδῇ μείζονι λέγων οὕτως, „Ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη, καὶ ἐγκατέλιπε θεὸν τὸν ποιήσαντα αὐτὸν, καὶ ἐπελάθετο θεοῦ σωτῆρος αὐτοῦ." Ὄντως γὰρ οὐκ ἔτι μέμνηνται τοῦ αἰωνίου, οἷς πρὸς καιρὸν ὁ βίος ἤνθησε· νομίζουσι γοῦν τὸν καιρὸν θεόν. Διὸ καὶ Μωϋσῆς μαρτυρεῖ προτρέπων πολεμεῖν ταῖς ἔναντι δόξαις. Λέγει γὰρ, „Ἀφέστηκεν ὁ καιρὸς ἀπ' αὐτῶν, ὁ δὲ κύριος ἐν
249 ἡμῖν **)." Ὥσθ' οἷς μὲν ὁ ψυχῆς βίος τετίμηται
M. λόγος θεῖος ἐνοικεῖ, καὶ ἐμπεριπατεῖ, οἷς δὲ ὁ τῶν

*) Gen. 4, 22. **) Num. 14, 9.

ἡδονῶν, ἐφήμερον καὶ κατεψευσμένην ἔχουσιν ἀκαιρίαν. Οὗτοι μὲν οὖν ὑπὸ διαῤῥεούσης πιότητός τε καὶ τέρψεως ἐπὶ πλέον οἰδήσαντες καὶ περιταθέντες ἐξεῤῥάγησαν· οἱ δὲ τῇ τρεφούσῃ τὰς φιλαρέτους ψυχὰς σοφίᾳ πιαινόμενοι, βέβαιον καὶ ἀκράδαντον ἴσχουσι δύναμιν, ἧς ὑπόδειγμα τὸ ὁλοκαυτούμενον ἀπὸ παντὸς ἱεροῦ στέαρ. Λέγει γὰρ Μωϋσῆς, "Πᾶν στέαρ τῷ κυρίῳ νόμιμον αἰώνιον *)," ὡς τῆς κατὰ μὲν διάνοιαν πιότητος ἀναφερομένης ἐπὶ θεὸν, καὶ οἰκειουμένης αὐτῶν, διόπερ ἀποθανατίζεται· τῆς δὲ κατὰ τὸ σῶμα καὶ τὰ ἐκτὸς, ἀναφερομένης ἐπὶ τὸν ἀντίθεον καιρὸν, δι᾽ ὃν καὶ τάχιστα παρηκένασεν. —

§. 36. Περὶ μὲν οὖν τῶν Λάμεχ γυναικῶν τε καὶ ἐκγόνων ἱκανῶς οἶμαι δεδηλῶσθαι. Τὴν δὲ ὥςπερ παλιγγενεσίαν Ἀβὲλ τοῦ δολοφονηθέντος σκέψωμεν. "Ἔγνω," φησὶν, "Ἀδὰμ τὴν γυναῖκα αὐτοῦ Εὕαν, καὶ συλλαβοῦσα ἔτεκεν υἱὸν, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σὴθ, ἐξανέστησε γάρ μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ Ἀβὲλ, ὃν ἀπέκτεινε Κάϊν **)." Σὴθ ἑρμηνεύεται ποτισμός· ὥςπερ οὖν τὰ κατὰ γῆν σπέρματα καὶ φυτὰ ποτιζόμενα αὔξεται καὶ βλαστάνει, καὶ πρὸς καρπῶν γενέσεις εὐτοκεῖ, στερόμενα δὲ ἐπιῤῥοῆς ἀφαναίνεται· οὕτως ἡ ψυχὴ, καθάπερ φαίνεται, ὅτ᾽ ἂν νάματι ποτίμῳ σοφίας ἄρδηται, βλαστάνει γὰρ καὶ ἐπιδίδωσι πρὸς τὸ βέλτιον. Ποτισμὸς δὲ ὁ μέν ἐστι ποτίζοντος, ὁ δὲ αὖ ποτιζομένου. Ἢ οὐκ ἂν εἴποι τις τῶν αἰσθήσεων ἑκάστην, ὥςπερ ἀπὸ πηγῆς τοῦ νοῦ ποτίζεσθαι, τὰς δυνάμεις, καθάπερ ὀχετοὺς, ἀνευρύνοντός τε καὶ τείνοντος; Οὐδείς γ᾽ οὖν εὐφρονῶν εἴποι ἂν ὀφθαλμοὺς ὁρᾶν, ἀλλὰ νοῦν δι᾽ ὀφθαλμῶν, οὐδ᾽ ὦτα ἀκούειν, ἀλλὰ δι᾽ ὤτων ἐκεῖνον, οὐδὲ μυκτῆρας ὀσφραίνεσθαι, ἀλλὰ διὰ μυκτήρων τὸ ἡγεμονικόν.

*) Lev. 3, 16. **) Gen. 4, 25.

§. 37. *Διὸ καὶ ἐν Γενέσει λέγεται,* „*Πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς, καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς* *)." *Ἐπεὶ γὰρ ὅλου τοῦ σώματος μέρος ἐξαίτερον ἔνειμεν ἡ φύσις τὸ πρόσωπον αἰσθήσεσιν, ἡ ἀνιοῦσα ἀφ' ἡγεμονικοῦ πηγὴ σχιζομένη πολλαχῆ, καθάπερ τινὰς ὑδροῤῥόας ἀναστείλασα μέχρι προσώπου, δι' αὐτῶν τὰς δυνάμεις ἐφ' ἕκαστον ἄγει τῶν αἰσθητικῶν ὀργάνων. Οὕτως μέντοι καὶ ὁ θεοῦ λό-*
250 *γος ποτίζει τὰς ἀρετάς· ἀρχὴ γὰρ καὶ πηγὴ καλῶν*
M. *πράξεων οὑτοσί. Δηλοῖ δὲ ὁ νομοθέτης φάσκων,* „*Ποταμὸς δὲ ἐκπορεύεται ἐξ Ἐδὲμ ποτίζειν τὸν παράδεισον, ἐκεῖθεν ἀφορίζεται εἰς τέσσαρας ἀρχάς* **)." *Γενικαὶ μὲν γάρ εἰσιν ἀρεταὶ τέσσαρες, φρόνησις, ἀνδρεία, σωφροσύνη, δικαιοσύνη· τούτων δὲ ἡγεμονὶς ἑκάστη καὶ βασιλίς ἐστι, καὶ ὁ κτησάμενος αὐτὰς ἄρχων καὶ βασιλεὺς εὐθέως, κἂν μηδεμιᾶς ὕλης εὐπορῇ. Τὸ γὰρ ἀφορίζεται εἰς τέσσαρας ἀρχὰς* **** *οὐθ' ἡ διάστασις, ἀλλ' ἀρετὴ ἡγεμονίαν ἐμφαίνει καὶ κράτος. Αὗται δὲ καθάπερ ἐκ μιᾶς ῥίζης ἐκπεφύκασι τοῦ θείου λόγου, ὃν εἰκάζει ποταμῷ διὰ τὴν ἀέναον καὶ συνεχῆ φορὰν ποτίμων λόγων καὶ δογμάτων, οἷς τὰς φιλοθέους τρέφει καὶ συναύξει ψυχάς.*

§. 38. *Ποῖαι δὲ αὗται, κατ' ὀλίγων ἐπάγων ἐκδιδάσκει, ποιούμενος ἀπὸ τῶν φύσει τὴν ὑφήγησιν τεχνῶν. Εἰςάγει γὰρ τὴν* „*Ἀγὰρ πληροῦσαν ἀσκὸν ὕδατος, καὶ τὸ παιδίον ποτίζουσαν* ***)." *Ἔστιν ἡ Ἀγὰρ θεραπαινὶς Σάῤῥας, τῆς τελείας ἀρετῆς, καὶ νέα παιδεία· φυσικώτατα. Ἐπειδὰν οὖν ἄχρι τοῦ βάθους ἐλθοῦσα τῆς ἐπιστήμης, ἣν ὀνομάζει φρέαρ, ἀρύσηται, ὥςπερ εἰς ἄγγος τὴν ψυχὴν, τά τε δόγματα καὶ θεωρήματα, ἃ μέτεισιν, οἷς τέθραπται τούτοις τρέφειν τὸ παιδίον ἄξιον. Παιδίον δὲ καλεῖ τὴν ἄρτι διδασκαλίας ὀρεγομένην ψυχὴν, καὶ*

---

*) Gen. 2, 6. **) Gen. 2, 10. ***) Gen. 21, 19 sqq.

πρὸς τὸ μαθεῖν νυνὶ τρόπον τινὰ γεγεννημένην· παρ' ὃ καὶ ἀνδρωθεὶς ὁ παῖς γίνεται σοφιστὴς, ὃν προςαγορεύει "τοξότην·" ἐφ' ὃ γὰρ ἂν προθῆται κεφάλαιον, ὥςπερ ὀϊστοὺς, ἀφίησι.

§. 39. Ῥεβέκκα δὲ οὐκ ἔτι προκοπαῖς ἀλλὰ τελειότητι ποτίζουσα τὸν μαθητὴν εὑρίσκεται. Πῶς δέ; Αὐτὸς διδάξει ὁ νόμος. "Ἡ γὰρ παρθένος," φησὶν, "ἦν καλὴ τῇ ὄψει σφοδρῶς, παρθένος ἦν, ἀνὴρ οὐκ ἔγνω αὐτήν. Καταβᾶσα δὲ ἐπὶ τὴν πηγὴν, ἔπλησε τὴν ὑδρίαν, καὶ ἀνέβη. Προςέδραμε δὲ ὁ παῖς εἰς συνάντησιν αὐτῇ καὶ εἶπε, πότισόν με δὴ μικρὸν ὕδωρ ἐκ τῆς ὑδρίας σου. Ἡ δὲ εἶπε, πίε κύριε. Καὶ σπεύσασα καθεῖλε τὴν ὑδρίαν ἐπὶ τὸν βραχίονα αὐτῆς, και ἐπότισεν αὐτὸν, ἕως ἐπαύ-
251 σατο πίνων, καὶ εἶπε, καὶ ταῖς καμήλοις σου ὑδρεύ-
M. σομαι, ἕως ἂν πᾶσαι πίωσι. Καὶ ἐσπεύσατο, ἐξεκένωσε τὴν ὑδρίαν εἰς τὸ ποτιστήριον, καὶ δραμοῦσα ἐπὶ τὸ φρέαρ ὑδρεύσατο ταῖς καμήλοις *)." Τίς οὐκ ἂν θαυμάσειε τὴν περὶ πάντα ἀκρίβειαν τοῦ νομοθέτου; Παρθένον εἶπε τὴν Ῥεβέκκαν, καὶ πάνυ καλὴν παρθένον, ὅτι ἀμιγὴς καὶ ἄδολος καὶ ἀμίαντος ἡ ἀρετῆς φύσις, καὶ μόνη τῶν ἐν γενέσει καλή τε καὶ ἀγαθή. Ἀφ' ἧς καὶ τὸ Στωϊκὸν ἐβλάστησε δόγμα, τὸ μόνον εἶναι τὸ καλὸν ἀγαθόν.

§. 40. Τῶν τεσσάρων ἀρετῶν αἱ εἰσὶν ἀεὶ παρθένοι, αἱ δὲ ἐκ γυναικῶν εἰς παρθένους μετέβαλον, ὥςπερ Σάῤῥα, "ἐξέλιπε γὰρ γίνεσθαι τὰ γυναικεῖα **)," ὁπότε ἄρχεται τὸ εὔδαιμον γένος κυοφορεῖν, Ἰσαάκ. Ἡ δὲ ἀεὶ παρθένος, "ὑπὸ ἀνδρὸς," ἤ φησι, συνόλως οὐ γινώσκεται ***)." Θνητῶν γὰρ πρὸς ἀλήθειαν οὐδενὶ τὴν ἀδιάφορον φύσιν μιαίνειν ἐφεῖται· ἀλλ' οὐδ' ἥτις ἐστὶν εἰλικρινῶς εἰδέναι· ἐὰν μέντοι καὶ γνῶναι δυνηθῇ, μισῶν καὶ προβεβλημένος οὐ παύεται. Διὸ καὶ Λείαν φυσικῶς εἰςάγει "μισου-

---

*) Gen. 24, 16—20. **) Gen. 18, 11. ***) Gen. 24, 16.

μένην*).“ Οὓς γὰρ τὰ φίλτρα τῶν κατὰ Ῥαχὴλ, τὴν αἴσθησιν, ἡδονῶν ἐπάγεται, τούτους οὐκ ἀνέχεται ἡ ἐκτὸς τῶν παθῶν Λεία. Διόπερ σκορακιζόμενοι μισοῦσιν αὐτήν· τῇ δὲ ἡ πρὸς τὸ γεννητὸν ἀλλοτρίωσις, πρὸς θεὸν οἰκείωσιν εἰργάσατο. Παρ' οὗ τὰ φρονήσεως παραδεξαμένη σπέρματα ὠδίνει, καὶ ἀποτίκτει καλὰς καὶ ἀξίας ἐννοίας τοῦ γεννήσαντος πατρός. Ἐὰν οὖν καὶ σὺ μιμησαμένη Λείαν, ὦ ψυχὴ, θνητὰ ἀποστραφῇς, ἐξ ἀνάγκης ἐπιστρέψῃ πρὸς τὸν ἄφθαρτον, ὃς ὅλας ἐπομβρήσει σοι τὰς τοῦ καλοῦ πηγάς.

§. 41. „Ἡ δὲ Ῥεβέκκα κατέβη,“ φησὶν, „ἐπὶ τὴν πηγὴν πλῆσαι τὴν ὑδρείαν, καὶ ἀνέβη.“ Πόθεν γὰρ τὴν φρονήσεως διψῶσαν διάνοιαν εἰκός ἐστι πληροῦσθαι πλὴν ἀπὸ σοφίας θεοῦ, τῆς ἀνελλιποῦς πηγῆς, εἰς ἣν κατιοῦσα ἀναβαίνει κατὰ τὸ συγγενὲς σπουδαῖον μαθητοῦ; Τοὺς γὰρ ἀπ' οἰήσεως χαύνου κατελθόντας ὁ ἀρετῆς ἐκδεξάμενος καὶ ὑπολαβὼν δι' εὐκλείας εἰς ὕψος αἴρει λόγος. Οὗ ἕνεκά μοι δοκεῖ καὶ Μωϋσῆς διαλέγεσθαι, „Βάδιζε, κατάβηθι, καὶ
252 ἀνάβηθι**),“ ὡς παντὸς τοῦ τὴν ἴδιον ταπεινότη-
M. τα μετροῦντος, ἐπικυδεστέρου παρὰ τοῖς ἀληθείας κριταῖς γενομένου. Παρατετηρημένως δὲ σφόδρα· ἡ μὲν γὰρ Ἄγαρ ἀσκὸν πρὸς τὴν ὑδρείαν, Ῥεβέκκα δὲ ὑδρίαν ἐπιφέρεται· ὅτι τῇ μὲν τοῖς παιδεύμασι, καὶ ἐγκυκλίους χορευούσῃ, δεῖ καθάπερ τινῶν ἀσωμάτων, τῶν αἰσθήσεων, ἀγγείων, ὀφθαλμῶν, ὤτων, πρὸς τὴν τῶν θεωρημάτων ἀνάληψιν. „Ἐκ γὰρ τοῦ πολλὰ μὲν ἰδεῖν, πολλῶν δὲ ἐπακοῦσαι περιγίνεται τοῖς φιλομαθέσιν ἡ ἐξ ἐπιστήμης ὠφέλεια. Τῇ δὲ ἀκράτου σοφίας πεπληρωμένῃ δερματίνου μὲν οἴκου, παρὰ οὐδενός. Ἔμαθε γὰρ ἡ ἀσωμάτων ἐρῶσα, ὅλον ἀποδύεσθαι λογισμῶν τὸν ἀσκὸν, τὸ σῶμα, ὑδρίας δὲ αὐτὸ μόνον· ἡ σύμβολόν ἐστιν ἀγγείου, τὸ πο-

*) Gen. 29, 31. **) Exod. 32, 7.

λύχνον, ὕδατος τρόπον, ἡγεμονικὸν κεχωρηκότος, ὅπερ εἴτε μήνιγγα, εἴτε καρδίαν εἶναι συντέτευχεν, οἱ περὶ ταῦτα δεινοὶ φιλοσοφείσθωσαν. Ὑδρευσομένους οὖν ἀπὸ σοφίας, τῆς θείας πηγῆς, τὰς ἐπιστήμας ὁ φιλομαθὴς ἰδὼν, ἐπιτρέχει, καὶ ὑπαντιάσας ἱκέτης γίνεται, ὅπως τὴν τοῦ μαθεῖν δίψαν ἀκέσηται. Ἡ δὲ τὸ πρεσβύτατον τῶν παιδευμάτων διδαχθεῖσα, τὸ ἀβάσκανον καὶ φιλόδωρον, εὐθὺς ὀρέγει τὸ σοφίας νᾶμα καὶ ἐμπιεῖν ἀθρόον παρακαλεῖ, μετὰ τοῦ καὶ κύριον ὀνομάζειν τὸν οἰκέτην. Τοῦτο δέ ἐστι τὸ δογματικώτατον, ὅτι ὁ σοφὸς μόνον ἐλεύθερός τε καὶ ἄρχων, καὶ ἂν μυρίους τοῦ σώματος ἔχῃ δεσπότας.

§. 42. Ὀρθότατα μέντοι, φαμένου "πότισόν με μικρὸν ὕδωρ," οὐκ ἀποκρίνεται τὸν ἀκόλουθον τρόπον, "ποτιῶ," ἀλλά φησι, "πίε." Τοῦτο μὲν γὰρ ἐπιδεικνυμένης τὸν θεῖον ἣν πλοῦτον, ὃς ἅπασι τοῖς ἀξίοις καὶ δυναμένοις χρῆσθαι προκέχυται· ἐκεῖνο δὲ ἐπαγγελλομένης διδάξειν, οὐδὲν δὲ τῶν ἐξ ἐπαγγέλματος οἰκεῖον ἀρετῇ. Τεχνικώτατον μέντοι χαρακτηρίζει τὴν τῆς διδασκούσης καὶ ὠφελούσης ὑφήγησιν. "Σπεύσασα γὰρ," φησὶ, "καθεῖλε τὴν ὑδρίαν ἐπὶ τὸν βραχίονα αὐτῆς." Διὰ μὲν τοῦ σπουδάσαι, τῆς πρὸς τὸ εὐεργετεῖν ἐμφανομένης ὀξύτητος, ἣ ἀπὸ γνώμης συνίσταται, ἧς ὑπερόριος ἐκτετόξευται φθόνος· διὰ δὲ τοῦ καθελεῖν ἐπὶ τὸν βραχίονα αὐτῆς, πρὸς τὸν μανθάνοντα τοῦ διδάσκοντος ἐπικλινοῦς καὶ προσεχοῦς οἰκειώσεως. Εὐήθεις γὰρ ὅσοι τῶν διδασκάλων μὴ πρὸς τὴν τῶν γνωρίμων δύνα-
253 μιν, ἀλλὰ πρὸς τὴν ἑαυτῶν ὑπερβάλλουσαν ἕξιν
M. ἐπιχειροῦσι ποιεῖσθαι τὰς ὑφηγήσεις, οὐκ εἰδότες ὡς διδασκαλίας ἐπίδειξις μακρῷ διενήνοχεν. Ὁ μὲν γὰρ ἐπιδεικνύμενος τῇ τῆς παρούσης ἕξεως εὐφορίᾳ καταχρώμενος, ἀνεμποδίστως τὰ ἐν μακρῷ χρόνῳ πονηθέντα οἶκον, καθάπερ γραφέων ἔργα ἢ πλαστῶν, εἰς τὸ ἐμφανὲς προφέρει, τὸν παρὰ τῶν πολλῶν θηρώμενος ἔπαινον· ὁ δ' αὖ διδάσκειν ἐπιχειρῶν,

οἷά τις ἰατρὸς ἀγαθὸς, οὐ πρὸς τὸ τῆς τέχνης μέγεθος ἀλλὰ πρὸς τὴν τοῦ θεραπευομένου δύναμιν ἀφορῶν, οὐχ ὅσους ἐκ τῆς ἐπιστήμης πεπόρικε, — ἀμύθητα γάρ ταῦτά γε, — ἀλλ' ὅσων τῷ κάμνοντι δεῖ, στοχαζόμενος τοῦ μετρίου, προφέρων ἐπιδίδωσι.

§. 43. Διὸ καὶ Μωϋσῆς ἐν ἑτέρῳ φησὶ, "Δάνειον δανειεῖς τῷ χρήζοντι, ὅσον δεῖται, καθ' ὃ δεῖται*)," διὰ μὲν τοῦ δευτέρου διδάσκων, ὅτι οὐ πάντα χαριστὰ, ἀλλὰ τὰ οἰκεῖα τῇ τῶν δεομένων χρείᾳ. Τὸ γὰρ ἄγκυραν ἢ πλάτην ἢ πηδάλιον γεωπόνῳ, ἢ ἄροτρα καὶ σκεπάρνην κυβερνήτῃ, ἢ λύραν μὲν ἰατρῷ, μουσικῷ δὲ τὰ κατὰ τὴν χειρουργίαν δωρεῖσθαι ὄργανα, καταγέλαστον· εἰ μὴ καὶ διψῶσι μὲν πολυτελῆ σιτία, πεινῶσι δὲ πολὺν ἄκρατον ἐπιφέρειν δεῖ, πρὸς ἐπίδειξιν εὐπορίας τε ἅμα καὶ μισανθρωπίας, χλεύην τὰς ἑταίρων ψυχὰς τιθεμένους. Τὸ πόσον ἐν ταῖς χάρισιν αὐτῷ παρείληπται διὰ συμμετρίαν, πράγματα ὠφελιμώτατα· μὴ γὰρ ὅσα δύναται, φησὶ, χαρίζου, ὁ ὀρθὸς λόγος, ἀλλ' ὅσον ἱκανῶς ὁ δεόμενός ἐστι δέξασθαι. Ἢ οὐχ ὁρᾷς, ὅτι καὶ ὁ θεὸς οὐκ ἀναλογοῦντας τῷ μεγέθει τῆς αὐτοῦ λογιότητος χρησμοὺς ἀναφθέγγεται, πρὸς δὲ τὴν τῶν ὠφεληθησομένων ἀεὶ δύναμιν; Ἐπεὶ καὶ τίς ἂν ἐχώρησε θεοῦ λόγων ἰσχὺν, τῶν ἁπάσης κρειττόνων ἀκοῆς; Ὁ ἀψευδέστατα δοκοῦσιν οἱ Μωϋσῇ λέγοντες, "Λάλησον σὺ ἡμῖν, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ θεὸς, μὴ ἀποθάνωμεν **)." Ἔγνωσαν γὰρ ὅτι οὐδὲν ἔχουσι παρ' ἑαυτοῖς ἀξιόχρεων ὄργανον θεοῦ νομοθετοῦντος ἐκκλησίαν· οὐδὲ γὰρ εἰ πλοῦτον ἐπιδείκνυσθαι βουληθείη τὸν ἑαυτοῦ, χωρῆσαι ἂν, ἠπειρωθείσης καὶ θαλάττης, ἡ σύμπασα γῆ. Εἰ μὴ νομίζομεν ὑετῶν τὴν τῶν ἄλλων ἐν κόσμῳ φορὰν, κατὰ τεταγμένας καιρῶν περιόδους, ἀλλὰ μὴ συνε-

*) Deut. 15, 8. **) Exod. 20, 19.

χῶς γίνεσθαι, διὰ σπάνιν καὶ ἔνδειαν αὐτῶν, ἀλλ' οὐχ ἕνεκα προμηθείας τῶν χρηζόντων· οὓς ἡ συνε-
254 χὴς τῶν ὁμοίων δωρεῶν ἀπόλαυσις βλάψειν μᾶλλον
M. ἔμελλεν τῇ ὠφελήσει. Διὸ τὰς πρώτας ἀεὶ χάριτας, πρὶν κορεσθὲν ἐξύβρισε τοὺς λαχόντας, ἐπισχὼν, καὶ ταμιευσάμενος εἰςαῦθις ἑτέρας ἀντὶ ἐκείνων, καὶ τρίτας ἀντὶ τῶν δευτέρων, καὶ ἀεὶ νέας ἀντὶ παλαιοτέρων, τοτὲ μὲν διαφορούσας, τοτὲ δ' αὖ καὶ τὰς αὐτὰς ἐπιδίδωσι. Τὸ γὰρ γεννητὸν οὐδέποτε μὲν ἀμοιρεῖ τῶν τοῦ θεοῦ χαρίτων, ἐπεὶ πάντως ἂν διέφθαρτο, φέρειν δὲ τὴν πολλὴν καὶ ἄφθονον αὐτῶν ῥύμην ἀδυνατεῖ. Διὸ βουλόμενος ὄνησιν ἡμᾶς ἔχειν ὧν ἐπιδίδωσι, πρὸς τὴν τῶν λαμβανόντων ἰσχὺν τὰ διδόμενα σταθμῶν.

§. 44. Ἐπαινετέον οὖν καὶ Ῥεβέκκαν, ἣ τοῖς τοῦ πατρὸς ἑπομένη διατάγμασιν, ἀφ' ὑψηλοτέρου χωρίου καθελοῦσα τὸ σοφίας ἀγγεῖον ἐπὶ τὸν βραχίονα, τὴν ὑδρίαν δὴ ὀρέγει τῷ μαθητῇ, ἃς ἱκανὸς ἐκεῖνός ἐστι δέξασθαι διδασκαλίας. Μετὰ δὲ τῶν ἄλλων καὶ τὸ ἄφθονον αὐτῆς καταπέπληγμαι. Μικρὸν γὰρ αἰτηθεῖσα πόμα πολὺ δίδωσι, ἕως ὅλην τὴν ψυχὴν τοῦ μανθάνοντος ποτίμων θεωρημάτων ἐπλήρωσεν. Λέγει γὰρ, "ἐπότισεν αὐτὸν ἕως ἐπαύσατο πίνων," πρὸς φιλανθρωπίαν δίδαγμα θαυμασιώτατον! Ἐὰν γάρ τις πλειόνων μὲν τυγχάνῃ χρεῖος ὢν, ὀλίγα δὲ ὑπ' αἰδοῦς προσιὼν αἰτῇ, μὴ ταῦθ' ἃ φησι μόνα παρέχωμεν, ἀλλὰ καὶ τὰ ἡσυχαζόμενα ἐκεῖνα, ὧν πρὸς ἀλήθειαν ἐνδεὴς ἐστιν. Ἀλλ' οὐκ ἀπόχρη μόνον πρὸς τελείαν ἀνάπαυσιν τῷ γνωρίμῳ καταλαμβάνειν, ὅσα ἂν ὁ διδάσκων ὑφηγῆται, εἰ μὴ προςγένοιτο καὶ μνήμη· διόπερ ἐπιδεικνυμένη τὸ φιλόδωρον, ὅτε αὐτὸν πληρῇ ποταμὸς, ἐπισχνεῖται καὶ ταῖς καμήλοις ὑδρεύσασθαι, ἃς συμβολικῶς μνήμας εἶναί φαμεν. Μηρυκᾶται γὰρ τὸ ζῶον τὴν τροφὴν ἐπιλεαῖνον, καὶ ὅτ' ἂν ὀκλάσαν δέξηται βαρύτατον φόρτον, μετὰ πολλῆς ἄγαν εὐτονίας ἐγείρεται κού-

φως. Οὕτως δὲ καὶ ἡ ψυχὴ τοῦ φιλομαθοῦς, ὅτ' ἂν ἐπιφορηθῇ τὸ τῶν θεωρημάτων ἄχθος, ταπεινοτέρα μὲν γίνεται, διαναστᾶσα δὲ γέγηθεν· ἐκ δὲ τῆς ἐπαναπολήσεως καὶ ὥςπερ ἐπιλεάνσεως τῆς πρῶτον καταβληθείσης τροφῆς, περιγίνεται μνήμη τῶν θεωρημάτων. Ἰδοῦσα δὲ εὐπαράδεκτον ἀρετῆς τοῦ παιδὸς φύσιν, ὅλην ἐξεκένωσε τὴν ὑδρίαν εἰς τὸ ποτιστήριον, τουτέστι τὴν τοῦ διδάσκοντος ἅπασαν ἐπιστήμην εἰς τὴν ψυχὴν τοῦ μανθάνοντος. Σοφισταὶ μὲν γὰρ ὑπὸ μισθαρνίας ἅμα καὶ φθόνου τὰς τῶν γνωρίμων ἀκολούοντες φύσεις, πολλὰ τί χρὴ λέγειν ἡσυχάζουσι, ταμιευόμενοι τὸν ἀργυρισμὸν εἰςαῦθις ἑαυτοῖς. Ἄφθονον δὲ, καὶ δωρητικὸν ἀρετὴ
255 πρᾶγμα, ὡς, τὸ λεγόμενον, χειρὶ καὶ ποδὶ, καὶ
M. πάσῃ δυνάμει μὴ ὀκνεῖν ὠφελεῖν. Ὅσα οὖν ἠπίστατο, καθάπερ εἰς δεξαμενὴν τὴν τοῦ γνωρίμου προχέουσα διάνοιαν, ἔρχεται πάλιν ἐπὶ τὸ φρέαρ ἀντλῆσαι, ἐπὶ τὴν ἀέναον τοῦ θεοῦ σοφίαν, ἵνα καὶ τὰ παγίως ὀχυρώσηται διὰ μνήμης, καὶ ἄλλων καινοτέρων ἐπιστήμαις ποτισθῇ. Ἀπερίγραφος γὰρ ὁ σοφίας θεοῦ πλοῦτος, καὶ νέα ἐπὶ παλαιοῖς ἐκφέρων βλαστήματα, ὡς ἀνηβῶν δὲ καὶ ἐπακμύρων μηδέποτε λήγειν. Διὸ καὶ πάνυ εὐήθεις, ὅσοι πρὸς τὸ πέρας ἧςτινος οὖν ἐπιστήμης ἀφικέσθαι διενοήθησαν. Τὸ γὰρ ἐγγὺς εἶναι δόξαν, μακρὰν ἄγαν τοῦ τέλους ἀφέστηκεν· ἐπεὶ τέλειος τῶν γεγονότων οὐδεὶς πρὸς οὐδὲν μάθημα, ἀλλὰ τοσοῦτον ἐνδεῖ, ὅσον κομιδῇ νήπιος παῖς, ἄρτι τοῦ μανθάνειν ἀρχόμενος, πρὸς τὸν ἤδη διὰ τὴν ἡλικίαν ἅμα καὶ τὴν τέχνην ὑφηγητήν.

§. 45. Ἐρευνητέον δὲ τὴν αἰτίαν, δι' ἣν τὸν μὲν παῖδα "ἀπὸ τῆς πηγῆς," τάς τε καμήλους "ἀπὸ τοῦ φρέατος" ποτίζει. Μήποτε οὖν τὸ μὲν νᾶμα αὐτὸς ὁ τὰς ἐπιστήμας ἄρδων ὁ ἱερὸς λόγος· τὸ δὲ φρέαρ συγγενὲς μνήμης. Ἃ γὰρ βύθια ἀπέφηνεν ἤδη, ταῦθ' ὥςπερ ἐκ φρέατος δι' ὑπομνήσεως ἄγεται. Τοὺς μὲν οὖν τοιούτους τῆς περὶ τὴν φύσιν

εὐμοιρίας ἀποδεκτέον· εἰσὶ δέ τινες τῶν ἀσκητῶν,
οἷς τὴν ἐπ᾽ ἀρετὴν ἄγουσαν ὁδὸν τραχεῖαν καὶ δυς-
αντῆ καὶ χαλεπὴν νομισθεῖσαν, τὸ πρῶτον, λεωφόρον
αὖθις ὁ τὰ πάντα εὐεργέτης ἀπέδειξε θεὸς, εἰς γλυ-
κύτητα τὸ πικρὸν τοῦ πόνου μεταβαλών. Ὃν δὲ
τρόπον μετέβαλε σημανοῦμεν. Ὅτε ἡμᾶς ἐκ τῆς
Αἰγύπτου, τῶν κατὰ τὸ σῶμα παθῶν, ἐξήγαγε,
τὴν „ἔρημον" ἡδονῆς ἀτραπὸν „ὁδεύοντες, ἐν
Μεῤῥᾷ ἐστρατοπεδευόμεθα χωρίῳ, πότιμον μὲν οὐκ
ἔχοντι νᾶμα, πικρὸν δὲ σύμπαν*)." Ἔτι γὰρ ὁ (αἱ)
δι᾽ ὀφθαλμῶν καὶ ὤτων, γαστρὸς αὖ, καὶ τῶν μετὰ
γαστέρα τέρψεις ἔναυλοί τε ἦσαν, καὶ σφόδρα ἐκή-
λουν ὑπηχοῦσαι. Ὁπότ᾽ οὖν διαποζεύγνυσθαι κατὰ
τὸ παντελὲς ἐθέλοιμεν, ἀνθεῖλκον ἐλαυνόμεναι, καὶ
περιπλεκόμεναι, καὶ λιπαρῶς καταγοητεύουσαι, ὥστε
πρὸς τὰς συνεχεῖς τιθασσείας αὐτῶν ἐνδόντες, πόνῳ
μὲν ἠλλοτριούμεθα, ὡς πικρῷ πάνυ καὶ δυσκόλῳ,
παλινδρομεῖν δὲ εἰς Αἴγυπτον ἐβουλευόμεθα, τὸν
ἀσελγοῦς καὶ ἀκολάστου βίου ὑπόδρομον, εἰ μὴ θᾶτ-
τον ὁ σωτὴρ οἶκτον λαβὼν, καθάπερ ἥδυσμα, „ξύ-
λον γλυκαῖνον**)" εἰς τὴν ψυχὴν ἐνέβαλε, φιλο-
πονίαν ἀντὶ μισοπονίας ἐργασάμενος. Ἤιδει γὰρ,
ἅτε δημιουργὸς ὢν, ὅτι τῶν ὄντων οὐδενὸς, εἰ μὴ
256 προςγένοιτο σφοδρὸς ἔρως, ἔνεστι περιγενέσθαι.
M. Ὅσα οὖν ἐπιτηδεύουσιν ἄνθρωποι δίχα μὲν οἰκειώ-
σεως τῆς πρὸς αὐτὸ τὸ ἁρμόττον, τέλος οὐ λαμ-
βάνει· προςγενομένης δὲ φιλίας, καὶ τῆς πρὸς τὸ
ποθούμενον συντήξεως, ἄκρως κατορθοῦται.

§. 46. Αὕτη τροφὴ ψυχῆς ἀσκητικῆς, ἥδιστον ἀντὶ πικροῦ τὸ πονεῖν ὑπολαβεῖν· ἧς οὐχ ἅπασι κοινωνῆσαι θέμις, ἀλλ᾽ οἷς ὁ χρυσὸς μόσχος, τὸ Αἰγυπτίων ἀφίδρυμα, τὸ σῶμα, πυρωθὲν καὶ λεανθὲν σπείρεται καθ᾽ ὕδατος. Λέγεται γὰρ ἐν ἱεραῖς βίβλοις, ὅτι „Λαβὼν Μωϋσῆς τὸν μόσχον κατέκαυσε

---

*) Exod. 15, 23. **) Ibid. 25.

πυρὶ, καὶ κατήλεσε λεπτὸν, καὶ ἔσπειρεν ἐπὶ τὸ ὕδωρ, καὶ ἐπότισε τοὺς υἱοὺς Ἰσραήλ *)." Ὁ γὰρ φιλάρετος ὑπὸ τῆς αὐγοειδοῦς τοῦ καλοῦ φαντασίας πυρωθεὶς, καταφλέγει τὰς σωματικὰς ἡδονὰς, εἶτα κατακόπτει καὶ ἐπιλεαίνει, τῷ ἀεὶ διαιρέτῳ λόγῳ χρώμενος, καὶ διδάσκει τὸν τρόπον τοῦτον, ὅτι τῶν σωματικῶν ἀγαθῶν ἐστιν ὑγιεία, ἢ κάλλος, ἢ ἡ τῶν αἰσθήσεων ἀκρίβεια, ἢ τὸ ὁλόκληρον μετὰ ἰσχύος καὶ ῥώμης κρατερᾶς, ἀλλά γε πάντα καὶ τῶν ἐπαράτων καὶ ἐξαγίστων ἐστὶ κοινὰ, ὧν εἴπερ ἦν ἀγαθὰ, φαῦλος οὐδενὸς οὐδεὶς ἂν μετέχει. Ἀλλ' οὗτοι μὲν, εἰ καὶ παντάπασι μοχθηροὶ, ἀλλ' ἄνθρωποι ὄντες, καὶ τῆς αὐτῆς φύσεως τοῖς ἀστείοις κεκοινωνηκότες, μετέχουσιν αὐτῶν. Νυνὶ δὲ καὶ τῶν θηρίων τὰ ἀτιθασσότατα μᾶλλον τοῖς ἀγαθοῖς τούτοις, εἰ δὴ ἀγαθὰ πρὸς ἀλήθειάν ἐστιν, ἢ οἱ λογικοὶ κέχρηνται. Τίς γὰρ ἂν ἀθλητὴς πρὸς ταύρου δύναμιν ἢ ἐλέφαντος ἀλκὴν ἐξισωθείη; Τίς δὲ αὖ δρομεὺς πρὸς σκύλακος ἢ λαγωδαρείου ποδώκειαν; Ὁ μὲν γὰρ ἀνθρώπων ὀξυδερκέστατος πρὸς δορκάδων ἢ ἀετῶν ὄψιν ἀμβλυωπέστατος. Ἀκοαῖς γε μὴν ἢ ὀσμαῖς πολλᾷ τῷ περιόντι τὰ ἄλλα κεκράτηκεν, ὡς καὶ ὄνος μὲν, τὸ δοκοῦν ἐν ζώοις εἶναι νωθέστατον, κωφὴν ἀναποδείξῃ τὴν ἡμετέραν ἀκοὴν, ἐλθὼν εἰς ἐπίκρισιν· κύων δὲ περιττὸν ἐν ἀνθρώπῳ μυκτῆρα μέρος, δι' ὑπερβολὴν τοῦ περὶ τὰς ὀσμὰς τάχους· ἐξικνοῦνται γὰρ ἐπὶ μήκιστον, ὡς ὀφθαλμῶν ἁμιλλᾶσθαι φορᾷ.

§. 47. Καὶ τί δεῖ περὶ ἑκάστου διεξιόντα μακρηγορεῖν; Ἤδη γὰρ τοῦτο παρὰ τοῖς δοκιμωτάτοις τῶν πάλαι λογίων ὡμολόγηται, οἳ τῶν μὲν ἀλόγων μητέρα τὴν φύσιν ἀνθρώπων δὲ μητρυιὰν
257 ἔφασαν εἶναι· τὴν κατὰ σώματα μὲν ἀσθένειαν,
M. τὴν δὲ ὑπερβάλλουσαν ἐν ἅπασιν ἰσχὺν καταινοήσαν-

*) Exod. 32, 20.

τες. Εἰκότως οὖν κατήλεσε τὸν μόσχον ὁ τεχνίτης· τουτέστιν εἰς μέρη διελὼν, τὰ οἷς σῶμα πλεονεκτεῖ πάντα, τοῦ πρὸς ἀλήθειαν ἐπέδειξεν ἀγαθοῦ μακρὰν διεστῶτα, καὶ μηδὲν τῶν ἐφ᾽ ὕδατος σπειρομένων διαφέροντα. Διὸ καὶ τὸν καταλεσθέντα μόσχον "ἐπὶ τὸ ὕδωρ" λόγος κατέχει σπαρῆναι, τοῦ μηδὲν γνήσιον ἀγαθοῦ φυτὸν ἐν ὕλῃ φθαρτῇ ποτε δύνασθαι βλαστάνειν σύμβολον. Ὡς γὰρ εἰς ποταμοῦ ῥεῖμα ἢ θαλάττης καταβληθὲν σπέρμα τὰς ἰδίας οὐκ ἂν ἐπιδείξαιτο δυνάμεις, — ἀμήχανον γὰρ, εἰ μὴ ῥίζαις ὥςπερ ἀγκύραις ἐχυροῦ τινος γῆς μέρους ἅπαξ λαβόμενον, ἱδρυθῆναι ἢ ἔρνος ἀναβλαστῆσαι καὶ οὐ μὴ περιμηκέστατον, ἀλλά τι χαμαίζηλον, ἢ καρποὺς καθ᾽ ὥρας τὰς ἐτησίους ἐνεγκεῖν· φθείρει γὰρ τοὺς σπερματικοὺς ἅπαντας τόνους ἡ τοῦ ὕδατος πολλὴ καὶ βίαιος προςκλύσασα φορὰ, — τὸν αὐτὸν τρόπον ὅσα τοῦ τῆς ψυχῆς ἀγγείου λέγεταί τε καὶ ᾄδεται πλεονεκτήματα, πρὶν ὑποστῆναι φθείρεται, τῆς σωματικῆς οὐσίας ἀεὶ ῥεούσης. Πῶς γὰρ νόσος, καὶ γῆρας, καὶ παντελεῖς ἐπιγίνοντο φθοραὶ, εἰ μὴ συνεχὴς ἦν λόγων θεωρητῶν ῥευμάτων ἀπάντλησις; Τούτοις οὖν ποτίζειν ἀπαξιοῖ ἱεροφάντης τὴν διάνοιαν ἡμῶν, τῷ καταφλέξαι τὰς ἡδονὰς, τῷ τὸ σύστημα τῶν σωματικῶν ἀγαθῶν εἰς λεπτὸν καὶ ἀνωφελῆ χοῦν καταλέσαντος ἀναλῦσαι, τῷ ὑπολαβεῖν, ὅτι ἐξ οὐδενὸς αὐτῶν ἐβλάστησέ ποτε καὶ ἤνθησε τὸ πρὸς ἀλήθειαν καλόν· ὥςπερ οὐκ ἐκ σπερμάτων ἃ σπείρεται καθ᾽ ὕδατος.

§. 48. Ταῦροι δὲ καὶ κριοὶ καὶ τράγοι, οὓς Αἴγυπτος διὰ τιμῆς ἔχει, καὶ ὅσα ἄλλα φθαρτῆς ὕλης ἀφιδρύμενα, ἀκοῇ μόνον νομίζονται θεοὶ, πρὸς ἀλήθειαν οὐκ ὄντες ψευδόμενοι πάντες. Ἀπαλαῖς γὰρ ἔτι ταῖς τῶν νέων ψυχαῖς, οἱ τραγῳδίαν τὸν βίον, ἐρώντων τύφων νομίζοντες, κεκιβδηλευμένους χαρακτῆρας ἐναπομάττοντες, διακόνοις ἀκοαῖς χρώμενοι, ὧν μυθικὸν λῆρον καταχέαντες, καὶ μέχρι

διανοίας αὐτὸν ἐντήξαντες, θεοπλαστεῖν τοὺς τὰ φρονήματα ἄνδρας μὲν μηδέποτε γινομένους, ἀεὶ θηλυδρίας ὄντας, ἠνάγκασαν. Ὁ γοῦν μόσχος οὐκ ἐξ ἅπαντος τοῦ γυναικείου κόσμου κατασκευάζεται,
258 ἀλλὰ ἐκ τῶν ἐνωτίων αὐτὸ μόνον· διδάσκοντος
M. ἡμᾶς τοῦ νομοθέτου, ὅτι χερόκμητος οὐδείς ἐστιν ὄψει καὶ πρὸς ἀλήθειαν θεός, ἀλλ' ἀκοῇ καὶ τῷ νομίζεσθαι, καὶ ἀκοῇ μέντοι γυναικὸς, οὐκ ἀνδρός. Ἐκνενευρισμένης γὰρ ἔργα, καὶ ἐκτεθηλυμένης τῷ ὄντι ψυχῆς τοὺς τοιούτους ὕθλους περιδέχεσθαι. Τὸ δὲ πρὸς ἀλήθειαν ὂν οὐ δι' ὤτων μόνον, ἀλλὰ τοῖς διανοίας ὄμμασιν ἐκ τῶν κατὰ τὸν κόσμον δυνάμεων, καὶ ἐκ τῆς φορᾶς κατανοεῖσθαί τε καὶ γνωρίζεσθαι συμβέβηκε. Διόπερ ἐν ᾠδῇ μείζονι λέγεται ἐκ προςώπου τοῦ θεοῦ, "Ἴδετε, ἴδετε, ὅτι ἐγὼ εἰμὶ*)," τοῦ ὄντως ὄντος ἐναργείᾳ μᾶλλον ἀντικαταλαμβανομένου, ἢ λόγων ἀποδείξει συνισταμένου. Τὸ δὲ ὁρατὸν εἶναι τὸ ὂν οὐ κυριολογεῖται, κατάχρησις δέ ἐστιν, ἐφ' ἑκάστην αὐτοῦ τῶν δυνάμεων ἀναφερομένου. Καὶ γὰρ νῦν οὔ φησιν "Ἴδετε ἐμὲ," ἀμήχανον γὰρ τὸν κατὰ τὸ εἶναι θεὸν ὑπὸ γενέσεως τὸ παράπαν κατανοητικὸν, ἀλλ' ὅτι "Ἐγώ εἰμι, ἴδετε," τουτέστι, τὴν ἐμὴν ὕπαρξιν θεάσασθε· ἀνθρώπου γὰρ ἐξαρκεῖ λογισμῷ, μέχρι τοῦ καταμαθεῖν, ὅτι ἔστι τι καὶ ὑπάρχει τὸ τῶν ὅλων αἴτιον, προελθεῖν. Περαιτέρω δὲ καὶ σπουδάζειν τρέπεσθαι, ὡς περὶ οὐσίας ἢ ποιότητος ζητεῖν, ὠγύγιός τις ἠλιθιότης. Οὐδὲ γὰρ Μωϋσῇ τῷ πανσόφῳ κατένευσεν ὁ θεὸς τοῦτό γε, καί τοι γε μυρίας ποιησαμένῳ δεήσεις, ἀλλὰ χρησμὸς ἐξέπεσεν αὐτῷ, ὅτι τὰ μὲν "ὀπίσω θεάσῃ, τὸ δὲ πρόςωπον οὐκ ὄψει**)." Τοῦτο δὲ ἦν πάνθ' ὅσα μετὰ τὸν θεὸν τῷ σπουδαίῳ κατάληπτα, αὐτὸς δὲ μόνος ἀκατάληπτος. Ἀκατάληπτος δὲ ἐκ τῆς ἄντικρυς καὶ κατ' εὐθυωρίαν προςβολῆς, — διὰ γὰρ

*) Deut. 32, 39. **) Exod. 33, 23.

ταύτης οἷος ἦν ἑρμηνεύεται ἄν, — ἐκ δὲ τῶν ἑπομένων καὶ ἀκολούθων δυνάμεων· αὗται γὰρ οὐ τὴν οὐσίαν, τὴν δὲ ὕπαρξιν ἐκ τῶν ἀποτελουμένων αὐτοῖς παριστᾶσι.

§. 49. Γεννήσας τοίνυν ὁ νοῦς ἀρχὴν σπουδαίας διὰ * * καὶ ἀρετῆς τινα πρῶτον τρόπον τὸν Σὴθ, τὸν ποτισμὸν, ἐπινεανιεύεται καλὴν καὶ ὁσίαν νεανιείαν. Φησὶ γὰρ, "Ἐξανέστησέ μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν*)." ἐξητασμένως γὰρ καὶ περιττῶς εἴρηται τὸ μηδὲν τῶν θείων σπερμάτων χαμαὶ πίπτειν, ἅπαντα δὲ εἰς τὸν ἄνω χωρεῖν ἀπὸ τῶν περιγείων ἐξανιστάμενα. Τὰ μὲν γὰρ ὑπὸ τῶν θνητῶν καταβαλλόμενα σπέρματα πρὸς ζώων ἢ φυτῶν γένεσιν οὐ πάντα τελεσιουργεῖται, — ἀγαπητὸν δὲ, εἰ μὴ τὰ φθειρόμενα πλείω τῶν διαμενόντων ἐστὶ, — σπείρει δὲ ὁ θεὸς ἐν ψυχαῖς ἀτελὲς οὐδὲν, ἀλλ' οὕτως καίρια, καὶ τέλεια, ὡς εὐθὺς ἐπιφέρεσθαι τὴν τῶν ἰδίων καρπῶν πληθὺν ἕκαστον.

§. 50. Τὸν δὲ Σὴθ σπέρμα ἕτερον εἰπὼν ἀναβλαστῆσαι, ὁποτέρου ἕτερον οὐ δεδήλωκεν. Ἆρά γε τοῦ δολοφονηθέντος Ἄβελ, ἢ τοῦ κτείναντος Κάϊν; Ἀλλὰ μήποτε ἑκατέρου διαφέρει τὸ γέννημα; Τοῦ μὲν Κάϊν ὡς ἐχθρόν· δίψα γὰρ ἀρετῆς αὐτομολούσῃ κακίᾳ πολεμιώτατον. Τοῦ δὲ Ἄβελ, ὡς φίλον καὶ συγγενές. Ἕτερον γὰρ οὐ μὴν ἀλλότριον τὸ ἄρτι ἀρχόμενον τοῦ τελείου, καὶ τὸ πρὸς γένεσιν τοῦ πρὸς τὸ ἀγεννητόν. Διὰ τοῦθ' ὁ μὲν Ἄβελ τὸ θνητὸν ἀπολιπὼν, πρὸς τὴν ἀμείνω φύσιν μεταναστὰς οἴχεται· ὁ δὲ Σὴθ ἅτε σπέρμα ὢν ἀνθρωπίνης ἀρετῆς, οὐδέποτε τὸ ἀνθρώπων ἀπολείψει γένος. Ἀλλὰ πρῶτον μὲν παραύξησιν ἄχρι δεκάδος, ἀριθμοῦ τελείου, λήψεται, καθ' ἣν ὁ δίκαιος Νῶε συνίσταται· δευτέραν δὲ καὶ ἀμείνω τὴν ἀπὸ

*) Gen. 4, 25.

μένην*)." Οὓς γὰρ τὰ φίλτρα τῶν κατὰ Ῥαχὴλ, τὴν αἴσθησιν, ἡδονῶν ἐπάγεται, τούτους οὐκ ἀνέχεται ἡ ἐκτὸς τῶν παθῶν Λεία. Διόπερ σκορακιζόμενοι μισοῦσιν αὐτήν· τῇ δὲ ἡ πρὸς τὸ γεννητὸν ἀλλοτρίωσις, πρὸς θεὸν οἰκείωσιν εἰργάσατο. Παρ' οὗ τὰ φρονήσεως παραδεξαμένη σπέρματα ὠδίνει, καὶ ἀποτίκτει καλὰς καὶ ἀξίας ἐννοίας τοῦ γεννήσαντος πατρός. Ἐὰν οὖν καὶ σὺ μιμησαμένη Λείαν, ὦ ψυχὴ, θνητὰ ἀποστραφῇς, ἐξ ἀνάγκης ἐπιστρέψῃ πρὸς τὸν ἄφθαρτον, ὃς ὅλας ἐπομβρήσει σοι τὰς τοῦ καλοῦ πηγάς.

§. 41. "Ἡ δὲ Ῥεβέκκα κατέβη," φησὶν, "ἐπὶ τὴν πηγὴν πλῆσαι τὴν ὑδρείαν, καὶ ἀνέβη." Πόθεν γὰρ τὴν φρονήσεως διψῶσαν διάνοιαν εἰκός ἐστι πληροῦσθαι πλὴν ἀπὸ σοφίας θεοῦ, τῆς ἀνελλιποῦς πηγῆς, εἰς ἣν κατιοῦσα ἀναβαίνει κατὰ τὸ συγγενὲς σπουδαῖον μαθητοῦ; Τοὺς γὰρ ἀπ' οἰήσεως χαύνου κατελθόντας ὁ ἀρετῆς ἐκδεξάμενος καὶ ὑπολαβὼν δι' εὐκλείας εἰς ὕψος αἴρει λόγος. Οὗ ἕνεκά μοι δοκεῖ καὶ Μωϋσῆς διαλέγεσθαι, "Βάδιζε, κατάβηθι, καὶ
252 ἀνάβηθι**)," ὡς παντὸς τοῦ τὴν ἴδιον ταπεινότη-
M. τα μετροῦντος, ἐπικυδεστέρου παρὰ τοῖς ἀληθείας κριταῖς γενομένου. Παρατετηρημένως δὲ σφόδρα· ἡ μὲν γὰρ Ἀγὰρ ἀσκὸν πρὸς τὴν ὑδρείαν, Ῥεβέκκα δὲ ὑδρίαν ἐπιφέρεται· ὅτι τῇ μὲν τοῖς παιδεύμασι, καὶ ἐγκυκλίους χορευούσῃ, δεῖ καθάπερ τινῶν ἀσωμάτων, τῶν αἰσθήσεων, ἀγγείων, ὀφθαλμῶν, ὤτων, πρὸς τὴν τῶν θεωρημάτων ἀνάληψιν. "Ἐκ γὰρ τοῦ πολλὰ μὲν ἰδεῖν, πολλῶν δὲ ἐπακοῦσαι περιγίνεται τοῖς φιλομαθέσιν ἡ ἐξ ἐπιστήμης ὠφέλεια. Τῇ δὲ ἀκράτου σοφίας πεπληρωμένῃ δερματίνου μὲν οἴκου, παρὰ οὐδενός. Ἔμαθε γὰρ ἡ ἀσωμάτων ἐρῶσα, ὅλον ἀποδύεσθαι λογισμῶν τὸν ἀσκὸν, τὸ σῶμα, ὑδρίας δὲ αὐτὸ μόνον· ἡ σύμβολόν ἐστιν ἀγγείου, τὸ πο-

*) Gen. 29, 31. **) Exod. 32, 7.

λύχνουν, ὕδατος τρόπον, ἡγεμονικὸν κεχωρηκότος, ὅπερ εἴτε μήνιγγα, εἴτε καρδίαν εἶναι συντέτευχεν, οἱ περὶ ταῦτα δεινοὶ φιλοσοφείσθωσαν. Ὑδρευσομένους οὖν ἀπὸ σοφίας, τῆς θείας πηγῆς, τὰς ἐπιστήμας ὁ φιλομαθὴς ἰδὼν, ἐπιτρέχει, καὶ ὑπαντιάσας ἱκέτης γίνεται, ὅπως τὴν τοῦ μαθεῖν δίψαν ἀκέσηται. Ἡ δὲ τὸ πρεσβύτατον τῶν παιδευμάτων διδαχθεῖσα, τὸ ἀβάσκανον καὶ φιλόδωρον, εὐθὺς ὀρέγει τὸ σοφίας νᾶμα καὶ ἐμπιεῖν ἀθρόον παρακαλεῖ, μετὰ τοῦ καὶ κύριον ὀνομάζειν τὸν οἰκέτην. Τοῦτο δέ ἐστι τὸ δογματικώτατον, ὅτι ὁ σοφὸς μόνον ἐλεύθερός τε καὶ ἄρχων, καὶ ἂν μυρίους τοῦ σώματος ἔχῃ δεσπότας.

§. 42. Ὀρθότατα μέντοι, φαμένου "πότισόν με μικρὸν ὕδωρ," οὐκ ἀποκρίνεται τὸν ἀκόλουθον τρόπον, "ποτιῶ," ἀλλά φησι, "πίε." Τοῦτο μὲν γὰρ ἐπιδεικνυμένης τὸν θεῖον ἦν πλοῦτον, ὃς ἅπασι τοῖς ἀξίοις καὶ δυναμένοις χρῆσθαι προκέχυται· ἐκεῖνο δὲ ἐπαγγελλομένης διδάξειν, οὐδὲν δὲ τῶν ἐξ ἐπαγγέλματος οἰκεῖον ἀρετῇ. Τεχνικώτατον μέντοι χαρακτηρίζει τὴν τῆς διδασκούσης καὶ ὠφελούσης ὑφήγησιν. "Σπεύσασα γὰρ," φησὶ, "καθεῖλε τὴν ὑδρίαν ἐπὶ τὸν βραχίονα αὐτῆς." Διὰ μὲν τοῦ σπουδάσαι, τῆς πρὸς τὸ εὐεργετεῖν ἐμφανομένης ὀξύτητος, ἣ ἀπὸ γνώμης συνίσταται, ἧς ὑπερόριος ἐκτετόξευται φθόνος· διὰ δὲ τοῦ καθελεῖν ἐπὶ τὸν βραχίονα αὐτῆς, πρὸς τὸν μανθάνοντα τοῦ διδάσκοντος ἐπικλινοῦς καὶ προσεχοῦς οἰκειώσεως. Εὐήθεις γὰρ ὅσοι τῶν διδασκάλων μὴ πρὸς τὴν τῶν γνωρίμων δύνα-
253 μιν, ἀλλὰ πρὸς τὴν ἑαυτῶν ὑπερβάλλουσαν ἕξιν
M. ἐπιχειροῦσι ποιεῖσθαι τὰς ὑφηγήσεις, οὐκ εἰδότες ὡς διδασκαλίας ἐπίδειξις μακρῷ διενήνοχεν. Ὁ μὲν γὰρ ἐπιδεικνύμενος τῇ τῆς παρούσης ἕξεως εὐφορίᾳ καταχρώμενος, ἀνεμποδίστως τὰ ἐν μακρῷ χρόνῳ πονηθέντα οἴκοι, καθάπερ γραφέων ἔργα ἢ πλαστῶν, εἰς τὸ ἐμφανὲς προφέρει, τὸν παρὰ τῶν πολλῶν θηρώμενος ἔπαινον· ὁ δ' αὖ διδάσκειν ἐπιχειρῶν,

οἷά τις ἰατρὸς ἀγαθὸς, οὐ πρὸς τὸ τῆς τέχνης μέγεθος ἀλλὰ πρὸς τὴν τοῦ θεραπευομένου δύναμιν ἀφορῶν, οὐχ ὅσους ἐκ τῆς ἐπιστήμης πεπόρικε, — ἀμύθητα γὰρ ταῦτά γε, — ἀλλ᾽ ὅσων τῷ κάμνοντι δεῖ, στοχαζόμενος τοῦ μετρίου, προφέρων ἐπιδίδωσι.

§. 43. Διὸ καὶ Μωϋσῆς ἐν ἑτέρῳ φησὶ, "Δάνειον δανειεῖς τῷ χρῄζοντι, ὅσον δεῖται, καθ᾽ ὃ δεῖται *)," διὰ μὲν τοῦ δευτέρου διδάσκων, ὅτι οὐ πάντα χαριστὰ, ἀλλὰ τὰ οἰκεῖα τῇ τῶν δεομένων χρείᾳ. Τὸ γὰρ ἄγκυραν ἢ πλάτην ἢ πηδάλιον γεωπόνῳ, ἢ ἄροτρα καὶ σκεπάρνην κυβερνήτῃ, ἢ λύραν μὲν ἰατρῷ, μουσικῷ δὲ τὰ κατὰ τὴν χειρουργίαν δωρεῖσθαι ὄργανα, καταγέλαστον· εἰ μὴ καὶ διψῶσι μὲν πολυτελῆ σιτία, πεινῶσι δὲ πολὺν ἄκρατον ἐπιφέρειν δεῖ, πρὸς ἐπίδειξιν εὐπορίας τε ἅμα καὶ μισανθρωπίας, χλεύην τὰς ἑταίρων ψυχὰς τιθεμένους. Τὸ πόσον ἐν ταῖς χάρισιν αὐτῷ παρείληπται διὰ συμμετρίαν, πράγματα ὠφελιμώτατα· μὴ γὰρ ὅσα δύναται, φησὶ, χαρίζου, ὁ ὀρθὸς λόγος, ἀλλ᾽ ὅσον ἱκανῶς ὁ δεόμενός ἐστι δέξασθαι. Ἢ οὐχ ὁρᾷς, ὅτι καὶ ὁ θεὸς οὐκ ἀναλογοῦντας τῷ μεγέθει τῆς αὐτοῦ λογιότητος χρησμοὺς ἀναφθέγγεται, πρὸς δὲ τὴν τῶν ὠφεληθησομένων ἀεὶ δύναμιν; Ἐπεὶ καὶ τίς ἂν ἐχώρησε θεοῦ λόγων ἰσχὺν, τῶν ἁπάσης κρεισσόνων ἀκοῆς; Ὁ ἀψευδέστατα δοκοῦσιν οἱ Μωϋσῇ λέγοντες, "Λάλησον σὺ ἡμῖν, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ θεὸς, μὴ ἀποθάνωμεν **)." Ἔγνωσαν γὰρ ὅτι οὐδὲν ἔχουσι παρ᾽ ἑαυτοῖς ἀξιόχρεων ὄργανον θεοῦ νομοθετοῦντος ἐκκλησίαν· οὐδὲ γὰρ εἰ πλοῦτον ἐπιδείκνυσθαι βουληθείη τὸν ἑαυτοῦ, χωρῆσαι ἂν, ἠπειρωθείσης καὶ θαλάττης, ἡ σύμπασα γῆ. Εἰ μὴ νομίζομεν ὑετῶν τὴν τῶν ἄλλων ἐν κόσμῳ φορὰν, κατὰ τεταγμένας καιρῶν περιόδους, ἀλλὰ μὴ συνε-

*) Deut. 15, 8. **) Exod. 20, 19.

χῶς γίνεσθαι, διὰ σπάνιν καὶ ἔνδειαν αὐτῶν, ἀλλ' οὐχ ἕνεκα προμηθείας τῶν χρῃζόντων· οὓς ἡ συνε-
254 χὴς τῶν ὁμοίων δωρεῶν ἀπόλαυσις βλάψειν μᾶλλον
M. ἔμελλεν τῇ ὠφελήσει. Διὸ τὰς πρώτας ἀεὶ χάριτας, πρὶν κορεσθὲν ἐξύβρισε τοὺς λαχόντας, ἐπισχὼν, καὶ ταμιευσάμενος εἰςαῦθις ἑτέρας ἀντὶ ἐκείνων, καὶ τρίτας ἀντὶ τῶν δευτέρων, καὶ ἀεὶ νέας ἀντὶ παλαιοτέρων, τοτὲ μὲν διαφορούσας, τοτὲ δ' αὖ καὶ τὰς αὐτὰς ἐπιδίδωσι. Τὸ γὰρ γεννητὸν οὐδέποτε μὲν ἀμοιρεῖ τῶν τοῦ θεοῦ χαρίτων, ἐπεὶ πάντως ἂν διέφθαρτο, φέρειν δὲ τὴν πολλὴν καὶ ἄφθονον αὐτῶν ῥύμην ἀδυνατεῖ. Διὸ βουλόμενος ὄνησιν ἡμᾶς ἔχειν ὧν ἐπιδίδωσι, πρὸς τὴν τῶν λαμβανόντων ἰσχὺν τὰ διδόμενα σταθμῶν.

§. 44. Ἐπαινετέον οὖν καὶ Ῥεβέκκαν, ἣ τοῖς τοῦ πατρὸς ἑπομένη διατάγμασιν, ἀφ' ὑψηλοτέρου χωρίου καθελοῦσα τὸ σοφίας ἀγγεῖον ἐπὶ τὸν βραχίονα, τὴν ὑδρίαν δὴ ὀρέγει τῷ μαθητῇ, ἅς ἱκανὸς ἐκεῖνός ἐστι δέξασθαι διδασκαλίας. Μετὰ δὲ τῶν ἄλλων καὶ τὸ ἄφθονον αὐτῆς καταπέπληγμαι. Μικρὸν γὰρ αἰτηθεῖσα πόμα πολὺ δίδωσι, ἕως ὅλην τὴν ψυχὴν τοῦ μανθάνοντος ποτίμων θεωρημάτων ἐπλήρωσεν. Λέγει γὰρ, "ἐπότισεν αὐτὸν ἕως ἐπαύσατο πίνων," πρὸς φιλανθρωπίαν δίδαγμα θαυμασιώτατον! Ἐὰν γάρ τις πλειόνων μὲν τυγχάνῃ χρεῖος ὤν, ὀλίγα δὲ ὑπ' αἰδοῦς προςιὼν αἰτῇ, μὴ ταῦθ' ἃ φησι μόνα παρέχωμεν, ἀλλὰ καὶ τὰ ἡσυχαζόμενα ἐκεῖνα, ὧν πρὸς ἀλήθειαν ἐνδεής ἐστιν. Ἀλλ' οὐκ ἀπόχρη μόνον πρὸς τελείαν ἀνάπαυσιν τῷ γνωρίμῳ καταλαμβάνειν, ὅσα ἂν ὁ διδάσκων ὑφηγῆται, εἰ μὴ προςγένοιτο καὶ μνήμη· διόπερ ἐπιδεικνυμένη τὸ φιλόδωρον, ὅτε αὐτὸν πληρῇ ποταμὸς, ἐπισχνεῖται καὶ ταῖς καμήλοις ὑδρεύσασθαι, ἃς συμβολικῶς μνήμας εἶναί φαμεν. Μηρυκᾶται γὰρ τὸ ζῶον τὴν τροφὴν ἐπιλεαῖνον, καὶ ὅτ' ἂν ὀκλάσαν δέξηται βαρύτατον φόρτον, μετὰ πολλῆς ἄγαν εὐτονίας ἐγείρεται κού-

φως. Οὕτως δὲ καὶ ἡ ψυχὴ τοῦ φιλομαθοῦς, ὅτ' ἂν ἐπιφορηθῇ τὸ τῶν θεωρημάτων ἄχθος, ταπεινοτέρα μὲν γίνεται, διαναστᾶσα δὲ γέγηθεν· ἐκ δὲ τῆς ἐπαναπολήσεως καὶ ὥςπερ ἐπιλεάνσεως τῆς πρῶτον καταβληθείσης τροφῆς, περιγίνεται μνήμη τῶν θεωρημάτων. Ἰδοῦσα δὲ εὐπαράδεκτον ἀρετῆς τοῦ παιδὸς φύσιν, ὅλην ἐξεκένωσε τὴν ὑδρίαν εἰς τὸ ποτιστήριον, τουτέστι τὴν τοῦ διδάσκοντος ἅπασαν ἐπιστήμην εἰς τὴν ψυχὴν τοῦ μανθάνοντος. Σοφισταὶ μὲν γὰρ ὑπὸ μισθαρνίας ἅμα καὶ φθόνου τὰς τῶν γνωρίμων ἀκολουθοῦντες φύσεις, πολλὰ τί χρὴ λέγειν ἡσυχάζουσι, ταμιευόμενοι τὸν ἀργυρισμὸν εἰςαῦθις ἑαυτοῖς. Ἄφθονον δὲ, καὶ δωρητικὸν ἀρετὴ
255 πρᾶγμα, ὡς, τὸ λεγόμενον, χειρὶ καὶ ποδὶ, καὶ
M. πάσῃ δυνάμει μὴ ὀκνεῖν ὠφελεῖν. Ὅσα οὖν ἠπίστατο, καθάπερ εἰς δεξαμενὴν τὴν τοῦ γνωρίμου προχέουσα διάνοιαν, ἔρχεται πάλιν ἐπὶ τὸ φρέαρ ἀντλῆσαι, ἐπὶ τὴν ἀέναον τοῦ θεοῦ σοφίαν, ἵνα καὶ τὰ παγίως ὀχυρώσηται διὰ μνήμης, καὶ ἄλλων καινοτέρων ἐπιστήμαις ποτισθῇ. Ἀπερίγραφος γὰρ ὁ σοφίας θεοῦ πλοῦτος, καὶ νέα ἐπὶ παλαιοῖς ἐκφέρων βλαστήματα, ὡς ἀνηβῶν δὲ καὶ ἐπακμάζων μηδέποτε λήγειν. Διὸ καὶ πάνυ εὐήθεις, ὅσοι πρὸς τὸ πέρας ἧςτινος οὖν ἐπιστήμης ἀφικέσθαι διενοήθησαν. Τὸ γὰρ ἐγγὺς εἶναι δόξαν, μακρὰν ἄγαν τοῦ τέλους ἀφέστηκεν· ἐπεὶ τέλειος τῶν γεγονότων οὐδεὶς πρὸς οὐδὲν μάθημα, ἀλλὰ τοσοῦτον ἐνδεῖ, ὅσον κομιδῇ νήπιος παῖς, ἄρτι τοῦ μανθάνειν ἀρχόμενος, πρὸς τὸν ἤδη διὰ τὴν ἡλικίαν ἅμα καὶ τὴν τέχνην ὑφηγητήν.

§. 45. Ἐρευνητέον δὲ τὴν αἰτίαν, δι' ἣν τὸν μὲν παῖδα "ἀπὸ τῆς πηγῆς," τάς τε καμήλους "ἀπὸ τοῦ φρέατος" ποτίζει. Μήποτε οὖν τὸ μὲν νᾶμα αὐτὸς ὁ τὰς ἐπιστήμας ἄρδων ὁ ἱερὸς λόγος· τὸ δὲ φρέαρ συγγενὲς μνήμης. Ἃ γὰρ βύθια ἀπέφηνεν ἤδη, ταῦθ' ὥςπερ ἐκ φρέατος δι' ὑπομνήσεως ἄγεται. Τοὺς μὲν οὖν τοιούτους τῆς περὶ τὴν φύσιν

εὐμοιρίας ἀποδεκτέον· εἰσὶ δέ τινες τῶν ἀσκητῶν, οἷς τὴν ἐπ' ἀρετὴν ἄγουσαν ὁδὸν τραχεῖαν καὶ δυςαντῆ καὶ χαλεπὴν νομισθεῖσαν τὸ πρῶτον, λεωφόρον αὖθις ὁ τὰ πάντα εὐεργέτης ἀπέδειξε θεὸς, εἰς γλυκύτητα τὸ πικρὸν τοῦ πόνου μεταβαλών. Ὃν δὲ τρόπον μετέβαλε σημανοῦμεν. Ὅτε ἡμᾶς ἐκ τῆς Αἰγύπτου, τῶν κατὰ τὸ σῶμα παθῶν, ἐξήγαγε, τὴν "ἔρημον" ἡδονῆς ἀτραπὸν "ὁδεύοντες, ἐν Μεῤῥᾷ ἐστρατοπεδευόμεθα χωρίῳ, πότιμον μὲν οὐκ ἔχοντι νᾶμα, πικρὸν δὲ σύμπαν*)." Ἔτι γὰρ ὁ (αἱ) δι' ὀφθαλμῶν καὶ ὤτων, γαστρὸς αὖ, καὶ τῶν μετὰ γαστέρα τέρψεις ἔναυλοί τε ἦσαν, καὶ σφόδρα ἐκήλουν ὑπηχοῦσαι. Ὁπότ' οὖν διαποζεύγνυσθαι κατὰ τὸ παντελὲς ἐθέλοιμεν, ἀνθεῖλκον ἐλαυνόμεναι, καὶ περιπλεκόμεναι, καὶ λιπαρῶς καταγοητεύουσαι, ὥςτε πρὸς τὰς συνεχεῖς τιθασσείας αὐτῶν ἐνδόντες, πόνῳ μὲν ἠλλοτριούμεθα, ὡς πικρῷ πάνυ καὶ δυςκόλῳ, παλινδρομεῖν δὲ εἰς Αἴγυπτον ἐβουλευόμεθα, τὸν ἀσελγοῦς καὶ ἀκολάστου βίον ὑπόδρομον, εἰ μὴ θᾶττον ὁ σωτὴρ οἶκτον λαβὼν, καθάπερ ἥδυσμα, "ξύλον γλυκαῖνον**)" εἰς τὴν ψυχὴν ἐνέβαλε, φιλοπονίαν ἀντὶ μισοπονίας ἐργασάμενος. Ἤιδει γὰρ, ἅτε δημιουργὸς ὢν, ὅτι τῶν ὄντων οὐδενὸς, εἰ μὴ
256 προςγένοιτο σφοδρὸς ἔρως, ἔνεστι περιγενέσθαι.
M. Ὅσα οὖν ἐπιτηδεύουσιν ἄνθρωποι δίχα μὲν οἰκειώσεως τῆς πρὸς αὐτὸ τὸ ἁρμόττον, τέλος οὐ λαμβάνει· προςγενομένης δὲ φιλίας, καὶ τῆς πρὸς τὸ ποθούμενον συντήξεως, ἄκρως κατορθοῦται.

§. 46. Αὕτη τροφὴ ψυχῆς ἀσκητικῆς, ἥδιστον ἀντὶ πικροῦ τὸ πονεῖν ὑπολαβεῖν· ἧς οὐχ ἅπασι κοινωνῆσαι θέμις, ἀλλ' οἷς ὁ χρυσὸς μόσχος, τὸ Αἰγυπτίων ἀφίδρυμα, τὸ σῶμα, πυρωθὲν καὶ λεανθὲν σπείρεται καθ' ὕδατος. Λέγεται γὰρ ἐν ἱεραῖς βίβλοις, ὅτι "Λαβὼν Μωϋσῆς τὸν μόσχον κατέκαυσε

---

*) Exod. 15, 23. **) Ibid. 25.

πυρὶ, καὶ κατήλεσε λεπτὸν, καὶ ἔσπειρεν ἐπὶ τὸ ὕδωρ, καὶ ἐπότισε τοὺς υἱοὺς Ἰσραὴλ *)." Ὁ γὰρ φιλάρετος ὑπὸ τῆς αὐγοειδοῦς τοῦ καλοῦ φαντασίας πυρωθεὶς, καταφλέγει τὰς σωματικὰς ἡδονὰς, εἶτα κατακόπτει καὶ ἐπιλεαίνει, τῷ ἀεὶ διαιρέτῳ λόγῳ χρώμενος, καὶ διδάσκει τὸν τρόπον τοῦτον, ὅτι τῶν σωματικῶν ἀγαθῶν ἐστιν ὑγιεία, ἢ κάλλος, ἢ ἡ τῶν αἰσθήσεων ἀκρίβεια, ἢ τὸ ὁλόκληρον μετὰ ἰσχύος καὶ ῥώμης κρατερᾶς, ἀλλά γε πάντα καὶ τῶν ἐπαράτων καὶ ἐξαγίστων ἐστὶ κοινὰ, ὧν εἴπερ ἦν ἀγαθὰ, φαῦλος οὐδενὸς οὐδεὶς ἂν μετέχει. Ἀλλ' οὗτοι μὲν, εἰ καὶ παντάπασι μοχθηροὶ, ἀλλ' ἄνθρωποι ὄντες, καὶ τῆς αὐτῆς φύσεως τοῖς ἀστείοις κεκοινωνηκότες, μετέχουσιν αὐτῶν. Νυνὶ δὲ καὶ τῶν θηρίων τὰ ἀτιθασσότατα μᾶλλον τοῖς ἀγαθοῖς τούτοις, εἰ δὴ ἀγαθὰ πρὸς ἀλήθειάν ἐστιν, ἢ οἱ λογικοὶ κέχρηνται. Τίς γὰρ ἂν ἀθλητὴς πρὸς ταύρου δύναμιν ἢ ἐλέφαντος ἀλκὴν ἐξισωθείη; Τίς δὲ αὖ δρομεὺς πρὸς σκύλακος ἢ λαγωδαρείου ποδώκειαν; Ὁ μὲν γὰρ ἀνθρώπων ὀξυδερκέστατος πρὸς δορκάδων ἢ ἀετῶν ὄψιν ἀμβλυωπέστατος. Ἀκοαῖς γε μὴν ἢ ὀσμαῖς πολλῷ τῷ περιόντι τὰ ἄλλα κεκράτηκεν, ὡς καὶ ὄνος μὲν, τὸ δοκοῦν ἐν ζώοις εἶναι νωθέστατον, κωφὴν ἀναποδείξῃ τὴν ἡμετέραν ἀκοὴν, ἐλθὼν εἰς ἐπίκρισιν· κύων δὲ περιττὸν ἐν ἀνθρώπῳ μυκτῆρα μέρος, δι' ὑπερβολὴν τοῦ περὶ τὰς ὀσμὰς τάχους· ἐξικνοῦνται γὰρ ἐπὶ μήκιστον, ὡς ὀφθαλμῶν ἁμιλλᾶσθαι φορᾷ.

§. 47. Καὶ τί δεῖ περὶ ἑκάστου διεξιόντα μακρηγορεῖν; Ἤδη γὰρ τοῦτο παρὰ τοῖς δοκιμωτάτοις τῶν πάλαι λογίων ὡμολόγηται, οἳ τῶν μὲν ἀλόγων μητέρα τὴν φύσιν ἀνθρώπων δὲ μητρυιὰν
257 ἔφασαν εἶναι· τὴν κατὰ σώματα μὲν ἀσθένειαν,
M. τὴν δὲ ὑπερβάλλουσαν ἐν ἅπασιν ἰσχὺν καταιγοήσαν-

---

*) Exod. 32, 20.

τες. Εἰκότως οὖν κατήλεσε τὸν μόσχον ὁ τεχνίτης· τουτέστιν εἰς μέρη διελὼν, τὰ οἷς σῶμα πλεονεκτεῖ πάντα, τοῦ πρὸς ἀλήθειαν ἐπέδειξεν ἀγαθοῦ μακρὰν διεστῶτα, καὶ μηδὲν τῶν ἐφ' ὕδατος σπειρομένων διαφέροντα. Διὸ καὶ τὸν καταλεσθέντα μόσχον "ἐπὶ τὸ ὕδωρ" λόγος κατέχει απαρῆναι, τοῦ μηδὲν γνήσιον ἀγαθοῦ φυτὸν ἐν ὕλῃ φθαρτῇ ποτε δύνασθαι βλαστάνειν σύμβολον. Ὡς γὰρ εἰς ποταμοῦ ῥεῖμα ἢ θαλάττης καταβληθὲν σπέρμα τὰς ἰδίας οὐκ ἂν ἐπιδείξαιτο δυνάμεις, — ἀμήχανον γὰρ, εἰ μὴ ῥίζαις ὥςπερ ἀγκύραις ἐχυροῦ τινος γῆς μέρους ἅπαξ λαβόμενον, ἱδρυθῆναι ἢ ἔρνος ἀναβλαστῆσαι καὶ οὐ μὴ περιμηκέστατον, ἀλλά τι χαμαίζηλον, ἢ καρποὺς καθ' ὥρας τὰς ἐτησίους ἐνεγκεῖν· φθείρει γὰρ τοὺς σπερματικοὺς ἅπαντας τόνους ἡ τοῦ ὕδατος πολλὴ καὶ βίαιος προςκλύσασα φορὰ, — τὸν αὐτὸν τρόπον ὅσα τοῦ τῆς ψυχῆς ἀγγείου λέγεταί τε καὶ ᾄδεται πλεονεκτήματα, πρὶν ὑποστῆναι φθείρεται, τῆς σωματικῆς οὐσίας ἀεὶ ῥεούσης. Πῶς γὰρ νόσος, καὶ γῆρας, καὶ παντελεῖς ἐπιγίνοντο φθοραὶ, εἰ μὴ συνεχὴς ἦν λόγων θεωρητῶν ῥευμάτων ἀπάντλησις; Τούτοις οὖν ποτίζειν ἀπαξιοῖ ἱεροφάντης τὴν διάνοιαν ἡμῶν, τῷ καταφλέξαι τὰς ἡδονὰς, τῷ τὸ σύστημα τῶν σωματικῶν ἀγαθῶν εἰς λεπτὸν καὶ ἀνωφελῆ χοῦν καταλέσαντος ἀναλῦσαι, τῷ ὑπολαβεῖν, ὅτι ἐξ οὐδενὸς αὐτῶν ἐβλάστησέ ποτε καὶ ἤνθησε τὸ πρὸς ἀλήθειαν καλόν· ὥςπερ οὐκ ἐκ σπερμάτων ἃ σπείρεται καθ' ὕδατος.

§. 48. Ταῦροι δὲ καὶ κριοὶ καὶ τράγοι, οὓς Αἴγυπτος διὰ τιμῆς ἔχει, καὶ ὅσα ἄλλα φθαρτῆς ὕλης ἀφιδρύμενα, ἀκοῇ μόνον νομίζονται θεοὶ, πρὸς ἀλήθειαν οὐκ ὄντες ψευδόμενοι πάντες. Ἀπαλαῖς γὰρ ἔτι ταῖς τῶν νέων ψυχαῖς, οἱ τραγῳδίαν τὸν βίον, ἐρώντων τύφων νομίζοντες, κεκιβδηλευμένους χαρακτῆρας ἐναπομάττοντες, διακόνοις ἀκοαῖς χρώμενοι, ὧν μυθικὸν λῆρον καταχέαντες, καὶ μέχρι

διανοίας αὐτὸν ἐντήξαντες, θεοπλαστεῖν τοὺς τὰ φρονήματα ἄνδρας μὲν μηδέποτε γινομένους, ἀεὶ θηλυδρίας ὄντας, ἠνάγκασαν. Ὁ γοῦν μόσχος οὐκ ἐξ ἅπαντος τοῦ γυναικείου κόσμου κατασκευάζεται,
258 ἀλλὰ ἐκ τῶν ἐνωτίων αὐτὸ μόνον· διδάσκοντος
M. ἡμᾶς τοῦ νομοθέτου, ὅτι χειρόκμητος οὐδείς ἐστιν ὄψει καὶ πρὸς ἀλήθειαν θεός, ἀλλ' ἀκοῇ καὶ τῷ νομίζεσθαι, καὶ ἀκοῇ μέντοι γυναικός, οὐκ ἀνδρός. Ἐκνενευρισμένης γὰρ ἔργα, καὶ ἐκτεθηλυμένης τῷ ὄντι ψυχῆς τοὺς τοιούτους ὕθλους περιδέχεσθαι. Τὸ δὲ πρὸς ἀλήθειαν ὂν οὐ δι' ὤτων μόνον, ἀλλὰ τοῖς διανοίας ὄμμασιν ἐκ τῶν κατὰ τὸν κόσμον δυνάμεων, καὶ ἐκ τῆς φορᾶς κατανοεῖσθαί τε καὶ γνωρίζεσθαι συμβέβηκε. Διόπερ ἐν ᾠδῇ μείζονι λέγεται ἐκ προςώπου τοῦ θεοῦ, "Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι*)," τοῦ ὄντως ὄντος ἐναργείᾳ μᾶλλον ἀντικαταλαμβανομένου, ἢ λόγων ἀποδείξει συνισταμένου. Τὸ δὲ ὁρατὸν εἶναι τὸ ὂν οὐ κυριολογεῖται, κατάχρησις δέ ἐστιν, ἐφ' ἑκάστην αὐτοῦ τῶν δυνάμεων ἀναφερομένου. Καὶ γὰρ νῦν οὔ φησιν "Ἴδετε ἐμέ," ἀμήχανον γὰρ τὸν κατὰ τὸ εἶναι θεὸν ὑπὸ γενέσεως τὸ παράπαν κατανοητικόν, ἀλλ' ὅτι "Ἐγώ εἰμι, ἴδετε," τουτέστι, τὴν ἐμὴν ὕπαρξιν θεάσασθε· ἀνθρώπου γὰρ ἐξαρκεῖ λογισμῷ, μέχρι τοῦ καταμαθεῖν, ὅτι ἔστι τι καὶ ὑπάρχει τὸ τῶν ὅλων αἴτιον, προελθεῖν. Περαιτέρω δὲ καὶ σπουδάζειν τρέπεσθαι, ὡς περὶ οὐσίας ἢ ποιότητος ζητεῖν, ὠγύγιός τις ἠλιθιότης. Οὐδὲ γὰρ Μωϋσῇ τῷ πανσόφῳ κατένευσεν ὁ θεὸς τοῦτό γε, καί τοι γε μυρίας ποιησαμένῳ δεήσεις, ἀλλὰ χρησμὸς ἐξέπεσεν αὐτῷ, ὅτι τὰ μὲν "ὀπίσω θεάσῃ, τὸ δὲ πρόςωπον οὐκ ὄψει**)." Τοῦτο δὲ ἦν πάνθ' ὅσα μετὰ τὸν θεὸν τῷ σπουδαίῳ κατάληπτα, αὐτὸς δὲ μόνος ἀκατάληπτος. Ἀκατάληπτος δὲ ἐκ τῆς ἄντικρυς καὶ κατ' εὐθυωρίαν προςβολῆς, — διὰ γὰρ

*) Deut. 32, 39. **) Exod. 33, 23.

ταύτης οἷος ἦν ἑρμηνεύεται ἄν, — ἐκ δὲ τῶν ἑπομένων καὶ ἀκολούθων δυνάμεων· αὗται γὰρ οὐ τὴν οὐσίαν, τὴν δὲ ὕπαρξιν ἐκ τῶν ἀποτελουμένων αὐτοῖς παριστᾶσι.

§. 49. Γεννήσας τοίνυν ὁ νοῦς ἀρχὴν σπουδαίας διὰ * * καὶ ἀρετῆς τινα πρῶτον τρόπον τὸν Σὴθ, τὸν ποτισμὸν, ἐπινεανιεύεται καλὴν καὶ ὁσίαν νεανείαν. Φησὶ γὰρ, "Ἐξανέστησέ μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν*)·" ἐξητασμένως γὰρ καὶ περιττῶς εἴρηται τὸ μηδὲν τῶν θείων σπερμάτων χαμαὶ πίπτειν, ἅπαντα δὲ εἰς τὸν ἄνω χωρεῖν ἀπὸ τῶν περιγείων ἐξανιστάμενα. Τὰ μὲν γὰρ ὑπὸ τῶν θνητῶν καταβαλλόμενα σπέρματα πρὸς ζώων ἢ φυτῶν γένεσιν οὐ πάντα τελεσιουργεῖται, — ἀγαπητὸν δὲ, εἰ μὴ τὰ φθειρόμενα πλείω τῶν διαμενόντων ἐστὶ, — σπείρει δὲ ὁ θεὸς ἐν ψυχαῖς ἀτελὲς οὐδὲν, ἀλλ' οὕτως καίρια, καὶ τέλεια, ὡς εὐθὺς ἐπιφέρεσθαι τὴν τῶν ἰδίων καρπῶν πληθὺν ἕκαστον.

§. 50. Τὸν δὲ Σὴθ σπέρμα ἕτερον εἰπὼν ἀναβλαστῆσαι, ὁποτέρου ἕτερον οὐ δεδήλωκεν. Ἆρά γε τοῦ δολοφονηθέντος Ἄβελ, ἢ τοῦ κτείναντος Κάϊν; Ἀλλὰ μήποτε ἑκατέρου διαφέρει τὸ γέννημα; Τοῦ μὲν Κάϊν ὡς ἐχθρόν· δίψα γὰρ ἀρετῆς αὐτομολούσῃ κακίᾳ πολεμιώτατον. Τοῦ δὲ Ἄβελ, ὡς φίλον καὶ συγγενές. Ἕτερον γὰρ οὐ μὴν ἀλλότριον τὸ ἄρτι ἀρχόμενον τοῦ τελείου, καὶ τὸ πρὸς γένεσιν τοῦ πρὸς τὸ ἀγεννητόν. Διὰ τοῦθ' ὁ μὲν Ἄβελ τὸ θνητὸν ἀπολιπὼν, πρὸς τὴν ἀμείνω φύσιν μεταναστὰς οἴχεται· ὁ δὲ Σὴθ ἅτε σπέρμα ὢν ἀνθρωπίνης ἀρετῆς, οὐδέποτε τὸ ἀνθρώπων ἀπολείψει γένος. Ἀλλὰ πρῶτον μὲν παραύξησιν ἄχρι δεκάδος, ἀριθμοῦ τελείου, λήψεται, καθ' ἣν ὁ δίκαιος Νῶε συνίσταται· δευτέραν δὲ καὶ ἀμείνω τὴν ἀπὸ

*) Gen. 4, 25.

τοῦ παιδὸς αὐτοῦ Σὴμ ἑτέραν δεκάδα τελευτῶσαν, ἧς Ἀβραὰμ ὁ πιστὸς ἐπώνυμος· τρίτην δὲ καὶ τελειοτέραν δεκάδος ἑβδομάδα ἀπὸ τούτου μέχρι Μωϋσῆ τοῦ πάντα σοφοῦ παρήκουσαν. Ἕβδομος γὰρ ἀπὸ Ἀβραὰμ οὗτός ἐστιν, οὐκ ἔτι κατὰ τὸν ἔξω τῶν ἁγίων κύκλον οἷα μύστης εἰλούμενος, ἀλλ' ὥςπερ ἱεροφάντης ἐν τοῖς ἀδύτοις ποιούμενος τὰς διατριβάς.

§. 51. Σκόπει δὲ τάς τε πρὸς βελτίωσιν ἐπιτάσεις τοῦ ἀπλήστου καὶ ἀκορέστου τῶν καλῶν ψυχῆς, καὶ τὸν ἀπερίγραφον τοῦ Θεοῦ πλοῦτον, ὃς ἄλλοις ἀρχὰς τὰ ἑτέρων δεδώρηται τέλη. Τὸ μὲν γὰρ πέρας τῆς κατὰ Σὴθ ἐπιστήμης ἀρχὴ τοῦ δικαίου γέγονε Νῶε· τὴν δὲ τούτου τελείωσιν Ἀβραὰμ ἄρχεται παιδεύεσθαι· ἡ δὲ ἀκροτάτη τοῦδε σοφία Μωϋσέως ἐστὶν ἄσκησις ἡ πρώτη. Τοῦ δὲ ἀνωσμένου καὶ κλιθέντος ὑπὸ ψυχῆς ἀσθενείας Λῶτ αἱ δύο θυγατέρες, βουλὴ καὶ συγκατάθεσις, ἐκ τοῦ νοῦ, τοῦ πατρὸς αὐτῶν, ἐθέλουσι παιδοποιεῖσθαι, μαχόμεναι τῷ λέγοντι, "Ἐξανέστησέ μοι ὁ θεός*)." Ὃ γὰρ ἐκείνῳ τὸ ὄν, τοῦτ' αὐταῖς φασι τὸν νοῦν περιποιεῖσθαι δύνασθαι, μεθυούσης καὶ παραφόρου ψυχῆς δόγμα εἰςηγούμεναι. Νήφοντος μὲν ἔργον λογισμοῦ, καὶ τὸν θεὸν ὁμολογεῖν ποιητὴν καὶ πατέρα τοῦ παντὸς, πίπτοντος δὲ ὑπὸ μέθης καὶ παροινίας, ἑαυτὸν ἑκάστου τῶν ἀνθρωπείων πραγμάτων εἶναι δημιουργόν. Πρότερον οὖν αἱ κακαὶ γνῶμαι εἰς ὁμιλίαν οὐκ ἀφίξονται τῷ πατρὶ, πρὶν ἐπιφορῆσαι τὸν ἀφροσύνης πολὺν ἄκρατον, καὶ εἴ τι
260 συνετὸν ἦν ἐν αὐτῷ καταλῦσαι. Γέγραπται γὰρ
M. ὅτι "Ἐπότισαν τὸν πατέρα οἶνον." Ὡςθ' ὁπότε μὴ
ποτίζουσιν, ὑπὸ νήφοντος οὐδέποτε δέξονται σπορὰν ἔννομον· ὅτ' ἂν δὲ ὑποβεβρεγμένος κραιπαλᾷ,

---

*) Gen. 19, 32 sq.

κυοφορήσουσι, καὶ ἐπιμέμπτοις μὲν ὠδῖσιν ἐπαράτοις δὲ ταῖς γοναῖς χρήσονται.

§. 52. Διὸ καὶ Μωϋσῆς τὴν ἀσεβῆ καὶ ἄναγνον αὐτοῦ σπορὰν συλλόγου θείου παντὸς ἀπεσχοίνισε. Λέγει γάρ, "Ἀμμονῖται καὶ Μωαβῖται οὐκ εἰςελεύσονται εἰς ἐκκλησίαν κυρίου*)·" οὗτοι δέ εἰσιν ἔγγονοι τῶν Λὼτ θυγατέρων, ὑπολαβόντες, ἐξ αἰσθήσεων καὶ νοῦ, ἄῤῥενός τε καὶ θήλεος, ὥςπερ ὑπὸ πατρὸς καὶ μητρὸς, πάντα γεννᾶσθαι, τοῦτο πρὸς ἀλήθειαν γενέσεως αἴτιον ὑπειληφότες. Ἡμεῖς μέντοι καὶ ἐὰν δεξώμεθα περιττὴν τροπὴν ταύτην, καὶ ὥςπερ ἐκ κλύδωνος ἀνανηξάμενοι, λαβώμεθα μετανοίας, ἐχυροῦ καὶ σωτηρίου πράγματος, καὶ μὴ πρότερον μεθώμεθα, ἢ κατὰ τὸ παντελὲς τὸ κυμαῖνον πέλαγος, τὴν φορὰν τῆς τροπῆς, διεκδῦναι. Καθὰ καὶ Ῥαχὴλ πρότερον αἰτησαμένη τὸν νοῦν, ὡς αἴτιον τοῦ ποιεῖν ἔκγονα καὶ ἀκούσασα "Μὴ ἀντὶ θεοῦ ἐγώ εἰμι**);" προςέσχε τε τῷ λεχθέντι, καὶ μαθοῦσα παλινῳδίαν ἱερωτάτην ἐποίησε. Γέγραπται γὰρ Ῥαχὴλ παλινῳδία, θεοφιλὴς εὐχὴ, "Προςθέτω μοι ὁ θεὸς υἱὸν ἕτερον***), ἣν οὐδενὶ τῶν ἀφρόνων ἔξεστι ποιήσασθαι, τὴν ἴδιον ἡδονὴν αὐτὸ μόνον τεθηρωμένων, τὰ δὲ ἄλλα πλατὺν γέλωτα καὶ χλεύην νομιζόντων.

§. 53. Χορηγὸς δέ ἐστι τούτου τοῦ δόγματος ὁ τοῦ δερματίνου Ἢρ συγγενὴς Αὐνάν. "Γνοὺς γὰρ," φησὶν, "οὗτος, ὅτι οὐκ αὐτῷ ἔσται τὸ σπέρμα, ὅταν εἰςῆλθε πρὸς τὴν γυναῖκα τοῦ ἀδελφοῦ, ἐξέχει τοῦτο ἐπὶ τὴν γῆν†)." Φιλαυτίας καὶ φιληδονίας ὑπερβέβηκε τοὺς ὅρους. Οὐκ ἂν ἔποιμ' ἂν αὐτῷ, εἰ τὸ ἴδιον πορίζεις λυσιτελὲς, πάνθ' ὅσα ἄριστα καταλύσεις, ἐὰν μηδὲν ἐξ αὐτῶν ὠφελῆται; Τιμὰς γονέων, ἐπιμέλειαν γυναικὸς, παίδων ἀγωγὰς, χρή-

*) Deut. 23, 3. **) Gen. 30, 2. ***) Gen. 30, 24.
†) Gen. 38, 9.

σεις ἀμέμπτους οἰκετῶν, ἐπιτροπὴν οἰκίας, πόλεως προστασίαν, βεβαίωσιν νόμων, φυλακὴν ἐθῶν, τὴν πρὸς πρεσβυτέρους αἰδῶ, τὴν πρὸς τοὺς τετελευτηκότας εὐφημίαν, τὴν πρὸς τοὺς ζῶντας κοινωνίαν, τὴν πρὸς τὸ θεῖον ἐν λόγοις καὶ ἔργοις εὐσέβειαν.
Ἀνατρέπεις γὰρ καὶ ἐκχεῖς πάντα ταῦτα, σπείρων
261 σεαυτῷ, καὶ τιθηνούμενος τὴν γάστριν καὶ ἀκό-
M. λαστον καὶ ἀρχὴν κακῶν ἁπάντων ἡδονήν.

§. 54. Ἀφ' ἧς ἐξαναστὰς ὁ ἱερεὺς καὶ θεραπευτὴς τοῦ μόνου καλοῦ Φινεὲς*), ὁ τῶν σωματικῶν στομίων καὶ ῥημάτων δίοπος, ὡς μηδὲν αὐτῶν διαμαρτάνον ἐξυβρίζειν, — ἑρμηνεύεται γὰρ στόματος φιμός, — λαβὼν τὸν σειρομάστην, τουτέστι μαστεύσας, καὶ ἀναζητήσας τὴν τῶν ὄντων φύσιν, καὶ μηδὲν σεμνότερον ἀρετῆς ἀνευρὼν, κατεκέντει, καὶ ἀνῄρει τῷ λόγῳ τὴν μισάρετον καὶ φιλήδονον γένεσιν, καὶ τοὺς τόπους ἐξ ὧν ἐβλάστησαν αἱ παράσημοι καὶ παράκοποι χλιδαί τε καὶ θρύψεις. Ὁ γὰρ νόμος φησὶν, ὅτι "διὰ τῆς μήτρας ἐξεκέντησε τὴν γυναῖκα." Οὕτως οὖν καταπαύσας μὲν τὴν ἐν αὐτῷ στάσιν, καὶ τὴν ἰδίαν ἀποστραφεὶς ἡδονὴν ζηλώσας τὸν θεοῦ τοῦ πρώτου καὶ μόνου ζῆλον, ἄθλων τοῖς μεγίστοις δυσὶ τετίμηται καὶ κατέστεπται, εἰρήνῃ καὶ ἱερωσύνῃ· τῇ μὲν, ὅτι ἀδελφόν ἐστιν εἰρήνῃ, καὶ ὄνομα καὶ ἔργον. Τὴν γὰρ ἱερωμένην διάνοιαν λειτουργὸν καὶ θεραπευτρίδα οὖσαν αὐτοῦ, πάνθ' οἷς ὁ δεσπότης χαίρει, πράττειν ἀνάγκη· χαίρει δὲ εὐνομίας καὶ εὐσταθείας βεβαιώσει, πολέμων δὲ καὶ ** ἀνατροπῇ, οὐχὶ τῶν μόνων, οὓς αἱ πόλεις ποιοῦνται πρὸς ἀλλήλας, ἀλλὰ καὶ τῶν κατὰ ψυχήν. Μείζονες δέ εἰσιν οὗτοι καὶ χαλεπώτεροι, ἅτε καὶ τὸ θειότερον τῶν ἐν ἡμῖν λογισμῶν αἰκιζόμενοι· τῶν μὲν ὅπλων ἄχρι τῶν σωμάτων καὶ χρημάτων ζημίας προερχομένων, ψυχὴν δὲ ὑγιαίνουσαν μηδέποτε

---

*) Num. 25, 11.

βλάψαι δυναμένων. Διόπερ ὀρθῶς ἂν αἱ πόλεις ἐποίησαν, πρὶν ὅπλα καὶ μηχανήματα ἀντεπιφέρειν ἀλλήλαις, ἐπ' ἀνδραποδισμῷ καὶ ἀναστάσει παντελεῖ, τῶν πολιτῶν ἕκαστον ἀναπείσασαι, τὴν ἐν ἑαυτῷ μεγάλην καὶ πολλὴν καὶ συνεχῆ στάσιν καταγησ**. Αὕτη μὲν γὰρ πολέμων, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, ἁπάντων ἀρχέτυπόν ἐστιν· ἧς ἀναιρεθείσης, οὐδὲ οἱ κατὰ μίμησιν ἔτι συνιστάμενοι γενήσονται. Βαθείας δὲ εἰρήνης χρῆσιν καὶ ἀπόλαυσιν σχήσει τὸ ἀνθρώπων γένος ὑπὸ νόμου φύσεως διδασκόμενον ἀρετῆς, θεὸν τιμῶν λειτουργίας αὐτοῦ περιέχεσθαι. Πηγὴ γὰρ εὐδαιμονίας καὶ βίου μακραίωνος ἥδε.

ΠΕΡΙ ΓΙΓΑΝΤΩΝ.

ARGUMENTUM LIBRI DE GIGANTIBUS.

(Cf. Gen. 6. 1—4.)

Qui post Noachum natum multiplicati fuisse dicuntur homines, isti pravi sunt; itemque filiae, quae illis natae esse traduntur, eorum malam prolem denotant (1). Omnino homines fiunt ita, ut animae (ψυχαί), quae aëre, cui animarum semina opifex mundi (δημιουργός) indidit, pariuntur, in quaedam corpora descendant; aliae enim in aëre remanent; et hae sunt, quas Graeci daemones, Moyses angelos dicunt (2). Illarum animarum aliae rebus corporeis tantopere delectantur, ut puriori natura, qua antea gaudebant, privatae, malae reddantur; aliae vero philosophando operam dant; quo fit, ut non pereant, sed vita aeterna dignae iudicatae redeant e terra in coelum (3). Angelis utriusque generis utitur opifex ad perferenda mandata sua ad homines ita, ut per malos mala mittat, bona per bonos (4). Bonis hominibus ab opifice spiritus divinus immittitur, at non in perpetuum, propter corpus, quod cum eorum anima coniunctum est (5—7). Manet tamen, etsi non permanet, in illis, qui carnis sunt contemtores, neque aliquod bonum potius ducunt summo bono, quod est deus, qui et mens universi et animae humanae (8—10). Hunc qui prae ceteris diligit, stabili per omnem vitam quiete gaudet; nam et ipse neque movetur, neque mutatur (11). Illa vero quies non contingit iis, qui voluptati dediti sunt, et vagi ultro citroque feruntur (12). Isti dicuntur Gigan-

tes, filii I. homines terrae, qui quidem, ut Nebrod, meliorem vitae ordinem deserentes, rebus solummodo, quae affectibus blandiuntur, indulgent, at non ut homines coeli, qui sunt rerum mathematicarum discendarum cupidi, et homines dei, qui sunt pii sacerdotes et prophetae, sublimioribus illis rebus mentem potius, quam corpus nutrientibus gaudent (13—15).

---

262 §. 1. "Καὶ δὴ ἐγένετο, ἡνίκα ἤρξαντο οἱ 284
M. ἄνθρωποι πολλοὶ γίνεσθαι ἐπὶ τῆς γῆς, καὶ θυγα- P.
τέρες ἐγεννήθησαν αὐτοῖς*)." Ἄξιον οἶμαι διαπορῆσαι, διὰ τί μετὰ τὴν Νῶε καὶ τῶν υἱῶν αὐτοῦ γένεσιν, εἰς πολυανθρωπίαν ἐπιδίδωσιν ἡμῶν τὸ γένος. Ἀλλ' ἴσως οὐ χαλεπὸν ἀποδοῦναι τὴν αἰτίαν· ἀεὶ γὰρ ἐπειδὰν τὸ σπάνιον φανῇ, πάμπολυ τὸ ἐναντίον εὑρίσκεται. Ἑνὸς οὖν εὐφυΐα τὴν περὶ μυρίους διαδείκνυσιν ἀφυΐαν, καὶ τὰ τεχνικὰ μέντοι καὶ ἐπιστημονικὰ καὶ ἀγαθὰ καὶ καλὰ ὄντα ὀλίγα, τὴν τῶν ἀτέχνων καὶ ἀνεπιστημόνων καὶ ἀδίκων καὶ συνόλως φαύλων ἄπειρον ὅσον πληθὺν ἐπεσκιασμένην ἀποφαίνει. Οὐχ ὁρᾷς ὅτι καὶ ἐν τῷ παντὶ ἥλιος εἷς ὢν, τὸ μυρίον καὶ βαθὺ σκότος κατὰ γῆν καὶ κατὰ θάλατταν κεχυμένον, ἐπιλάμψας ἀνασκίδνησιν; Εἰκότως οὖν καὶ ἡ τοῦ δικαίου Νῶε γένεσις καὶ τῶν υἱῶν αὐτοῦ τοὺς ἀδίκους πολλοὺς διασυνίστησι· τῷ γὰρ ἐναντίῳ τὰ ἐναντία πέφυκέ πως μάλιστα γνωρίζεσθαι. Ἄδικος δὲ οὐδεὶς ἄῤῥενα γενεὰν ἐν ψυχῇ σπείρει τὸ παράπαν, ἀλλὰ θηλυγονοῦσιν ἐκ φύσεως ἄνανδροι καὶ κατεαγότες καὶ θηλυδρίαι τὰ φρονήματα, δένδρον οὐδὲν ἀρετῆς, οὗ καλοὺς καὶ γενναίους ἐξ ἀνάγκης ἔδει τοὺς καρποὺς γενέσθαι, πάντα δὲ κακίας καὶ παθῶν, ὧν γυναικώδεις αἱ βλάσται, φυτεύσαντες. Οὗ χάριν θυγατέρας οἱ ἄνθρωποι οὗτοι γεννῆσαι λέγονται, υἱὸν δὲ οὐδεὶς αὐτῶν.

---

*) Gen. 6, 1.

πυρὶ, καὶ κατήλεσε λεπτὸν, καὶ ἔσπειρεν ἐπὶ τὸ ὕδωρ, καὶ ἐπότισε τοὺς υἱοὺς Ἰσραήλ *)." Ὁ γὰρ φιλάρετος ὑπὸ τῆς αὐγοειδοῦς τοῦ καλοῦ φαντασίας πυρωθεὶς, καταφλέγει τὰς σωματικὰς ἡδονὰς, εἶτα κατακόπτει καὶ ἐπιλεαίνει, τῷ ἀεὶ διαιρέτῳ λόγῳ χρώμενος, καὶ διδάσκει τὸν τρόπον τοῦτον, ὅτι τῶν σωματικῶν ἀγαθῶν ἐστιν ὑγιεία, ἢ κάλλος, ἢ ἡ τῶν αἰσθήσεων ἀκρίβεια, ἢ τὸ ὁλόκληρον μετὰ ἰσχύος καὶ ῥώμης κρατερᾶς, ἀλλά γε πάντα καὶ τῶν ἐπαράτων καὶ ἐξαγίστων ἐστὶ κοινὰ, ὧν εἴπερ ἦν ἀγαθὰ, φαῦλος οὐδενὸς οὐδεὶς ἂν μετέχει. Ἀλλ' οὗτοι μὲν, εἰ καὶ παντάπασι μοχθηροὶ, ἀλλ' ἄνθρωποι ὄντες, καὶ τῆς αὐτῆς φύσεως τοῖς ἀστείοις κεκοινωνηκότες, μετέχουσιν αὐτῶν. Νυνὶ δὲ καὶ τῶν θηρίων τὰ ἀτιθασσότατα μᾶλλον τοῖς ἀγαθοῖς τούτοις, εἰ δὴ ἀγαθὰ πρὸς ἀλήθειάν ἐστιν, ἢ οἱ λογικοὶ κέχρηνται. Τίς γὰρ ἂν ἀθλητὴς πρὸς ταύρου δύναμιν ἢ ἐλέφαντος ἀλκὴν ἐξισωθείη; Τίς δὲ αὖ δρομεὺς πρὸς σκύλακος ἢ λαγωδαρείου ποδώκειαν; Ὁ μὲν γὰρ ἀνθρώπων ὀξυδερκέστατος πρὸς δορκάδων ἢ ἀετῶν ὄψιν ἀμβλυωπέστατος. Ἀκοαῖς γε μὴν ἢ ὀσμαῖς πολλᾷ τῷ περιόντι τὰ ἄλλα κεκράτηκεν, ὡς καὶ ὄνος μὲν, τὸ δοκοῦν ἐν ζώοις εἶναι νωθέστατον, κωφὴν ἀναποδείξῃ τὴν ἡμετέραν ἀκοὴν, ἐλθὼν εἰς ἐπίκρισιν· κύων δὲ περιττὸν ἐν ἀνθρώπῳ μυκτῆρα μέρος, δι' ὑπερβολὴν τοῦ περὶ τὰς ὀσμὰς τάχους· ἐξικνοῦνται γὰρ ἐπὶ μήκιστον, ὡς ὀφθαλμῶν ἁμιλλᾶσθαι φορᾷ.

§. 47. Καὶ τί δεῖ περὶ ἑκάστου διεξιόντα μακρηγορεῖν; Ἤδη γὰρ τοῦτο παρὰ τοῖς δοκιμωτάτοις τῶν πάλαι λογίων ὡμολόγηται, οἳ τῶν μὲν ἀλόγων μητέρα τὴν φύσιν ἀνθρώπων δὲ μητρυιὰν
257 ἔφασαν εἶναι· τὴν κατὰ σώματα μὲν ἀσθένειαν,
M. τὴν δὲ ὑπερβάλλουσαν ἐν ἅπασιν ἰσχὺν καταινοήσαν-

*) Exod. 32, 20.

τες. Εἰκότως οὖν κατήλεσε τὸν μόσχον ὁ τεχνίτης· τουτέστιν εἰς μέρη διελὼν, τὰ οἷς σῶμα πλεονεκτεῖ πάντα, τοῦ πρὸς ἀλήθειαν ἐπέδειξεν ἀγαθοῦ μακρὰν διεστῶτα, καὶ μηδὲν τῶν ἐφ᾽ ὕδατος σπειρομένων διαφέροντα. Διὸ καὶ τὸν καταλεσθέντα μόσχον "ἐπὶ τὸ ὕδωρ" λόγος κατέχει σπαρῆναι, τοῦ μηδὲν γνήσιον ἀγαθοῦ φυτὸν ἐν ὕλῃ φθαρτῇ ποτε δύνασθαι βλαστάνειν σύμβολον. Ὡς γὰρ εἰς ποταμοῦ ῥεῦμα ἢ θαλάττης καταβληθὲν σπέρμα τὰς ἰδίας οὐκ ἂν ἐπιδείξαιτο δυνάμεις, — ἀμήχανον γὰρ, εἰ μὴ ῥίζαις ὥςπερ ἀγκύραις ἐχυροῦ τινος γῆς μέρους ἅπαξ λαβόμενον, ἱδρυθῆναι ἢ ἔρνος ἀναβλαστῆσαι καὶ οὐ μὴ περιμηκέστατον, ἀλλά τι χαμαίζηλον, ἢ καρποὺς καθ᾽ ὥρας τὰς ἐτησίους ἐνεγκεῖν· φθείρει γὰρ τοὺς σπερματικοὺς ἅπαντας τόνους ἡ τοῦ ὕδατος πολλὴ καὶ βίαιος προςκλύσασα φορὰ, — τὸν αὐτὸν τρόπον ὅσα τοῦ τῆς ψυχῆς ἀγγείου λέγεταί τε καὶ ᾄδεται πλεονεκτήματα, πρὶν ὑποστῆναι φθείρεται, τῆς σωματικῆς οὐσίας ἀεὶ ῥεούσης. Πῶς γὰρ νόσος, καὶ γῆρας, καὶ παντελεῖς ἐπιγίνοντο φθοραὶ, εἰ μὴ συνεχὴς ἦν λόγων θεωρητῶν ῥευμάτων ἀπάντλησις; Τούτοις οὖν ποτίζειν ἀπαξιοῖ ἱεροφάντης τὴν διάνοιαν ἡμῶν, τῷ καταφλέξαι τὰς ἡδονὰς, τῷ τὸ σύστημα τῶν σωματικῶν ἀγαθῶν εἰς λεπτὸν καὶ ἀνωφελῆ χοῦν καταλέσαντος ἀναλῦσαι, τῷ ὑπολαβεῖν, ὅτι ἐξ οὐδενὸς αὐτῶν ἐβλάστησέ ποτε καὶ ἤνθησε τὸ πρὸς ἀλήθειαν καλόν· ὥςπερ οὐκ ἐκ σπερμάτων ἃ σπείρεται καθ᾽ ὕδατος.

§. 48. Ταῦροι δὲ καὶ κριοὶ καὶ τράγοι, οὓς Αἴγυπτος διὰ τιμῆς ἔχει, καὶ ὅσα ἄλλα φθαρτῆς ὕλης ἀφιδρύμενα, ἀκοῇ μόνον νομίζονται θεοὶ, πρὸς ἀλήθειαν οὐκ ὄντες ψευδόμενοι πάντες. Ἁπαλαῖς γὰρ ἔτι ταῖς τῶν νέων ψυχαῖς, οἱ τραγῳδίαν τὸν βίον, ἐρώντων τύφων νομίζοντες, κεκιβδηλευμένους χαρακτῆρας ἐναπομάττοντες, διακόνοις ἀκοαῖς χρώμενοι, ὧν μυθικὸν λῆρον καταχέαντες, καὶ μέχρι

διανοίας αὐτὸν ἐντήξαντες, θεοπλαστεῖν τοὺς τὰ φρονήματα ἄνδρας μὲν μηδέποτε γινομένους, ἀεὶ θηλυδρίας ὄντας, ἠνάγκασαν. Ὁ γοῦν μόσχος οὐκ ἐξ ἅπαντος τοῦ γυναικείου κόσμου κατασκευάζεται,
258 ἀλλὰ ἐκ τῶν ἐνωτίων αὐτὸ μόνον· διδάσκοντος
M. ἡμᾶς τοῦ νομοθέτου, ὅτι χειρόκμητος οὐδείς ἐστιν ὄψει καὶ πρὸς ἀλήθειαν θεός, ἀλλ' ἀκοῇ καὶ τῷ νομίζεσθαι, καὶ ἀκοῇ μέντοι γυναικὸς, οὐκ ἀνδρός. Ἐκνενευρισμένης γὰρ ἔργα, καὶ ἐκτεθηλυμένης τῷ ὄντι ψυχῆς τοὺς τοιούτους ὕθλους περιδέχεσθαι. Τὸ δὲ πρὸς ἀλήθειαν ὂν οὐ δι' ὤτων μόνον, ἀλλὰ τοῖς διανοίας ὄμμασιν ἐκ τῶν κατὰ τὸν κόσμον δυνάμεων, καὶ ἐκ τῆς φορᾶς κατανοεῖσθαί τε καὶ γνωρίζεσθαι συμβέβηκε. Διόπερ ἐν ᾠδῇ μείζονι λέγεται ἐκ προςώπου τοῦ θεοῦ, "Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι*)," τοῦ ὄντως ὄντος ἐναργείᾳ μᾶλλον ἀντικαταλαμβανομένου, ἢ λόγων ἀποδείξει συνισταμένου. Τὸ δὲ ὁρατὸν εἶναι τὸ ὂν οὐ κυριολογεῖται, κατάχρησις δέ ἐστιν, ἐφ' ἑκάστην αὐτοῦ τῶν δυνάμεων ἀναφερομένου. Καὶ γὰρ νῦν οὔ φησιν "Ἴδετε ἐμὲ," ἀμήχανον γὰρ τὸν κατὰ τὸ εἶναι θεὸν ὑπὸ γενέσεως τὸ παράπαν κατανοητικὸν, ἀλλ' ὅτι "Ἐγώ εἰμι, ἴδετε," τουτέστι, τὴν ἐμὴν ὕπαρξιν θεάσασθε· ἀνθρώπου γὰρ ἐξαρκεῖ λογισμῷ, μέχρι τοῦ καταμαθεῖν, ὅτι ἔστι τι καὶ ὑπάρχει τὸ τῶν ὅλων αἴτιον, προελθεῖν. Περαιτέρω δὲ καὶ σπουδάζειν τρέπεσθαι, ὡς περὶ οὐσίας ἢ ποιότητος ζητεῖν, ὠγύγιός τις ἠλιθιότης. Οὐδὲ γὰρ Μωϋσῇ τῷ πανσόφῳ κατένευσεν ὁ θεὸς τοῦτό γε, καί τοι γε μυρίας ποιησαμένῳ δεήσεις, ἀλλὰ χρησμὸς ἐξέπεσεν αὐτῷ, ὅτι τὰ μὲν "ὀπίσω θεάσῃ, τὸ δὲ πρόσωπον οὐκ ὄψει**)." Τοῦτο δὲ ἦν πάνθ' ὅσα μετὰ τὸν θεὸν τῷ σπουδαίῳ κατάληπτα, αὐτὸς δὲ μόνος ἀκατάληπτος. Ἀκατάληπτος δὲ ἐκ τῆς ἄντικρυς καὶ κατ' εὐθυωρίαν προςβολῆς, — διὰ γὰρ

*) Deut. 32, 39. **) Exod. 33, 23.

ταύτης οἷος ἦν ἑρμηνεύεται ἄν, — ἐκ δὲ τῶν ἑπομένων καὶ ἀκολούθων δυνάμεων· αὗται γὰρ οὐ τὴν οὐσίαν, τὴν δὲ ὕπαρξιν ἐκ τῶν ἀποτελουμένων αὐτοῖς παριστᾶσι.

§. 49. Γεννήσας τοίνυν ὁ νοῦς ἀρχὴν σπουδαίας διὰ * * καὶ ἀρετῆς τινα πρῶτον τρόπον τὸν Σὴθ, τὸν ποτισμὸν, ἐπινεανιεύεται καλὴν καὶ ὁσίαν νεανείαν. Φησὶ γὰρ, "Ἐξανέστησέ μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν*)·" ἐξητασμένως γὰρ καὶ περιττῶς εἴρηται τὸ μηδὲν τῶν θείων σπερμάτων χαμαὶ πίπτειν, ἅπαντα δὲ εἰς τὸν ἄνω χωρεῖν ἀπὸ τῶν περιγείων ἐξανιστάμενα. Τὰ μὲν γὰρ ὑπὸ τῶν θνητῶν καταβαλλόμενα σπέρματα πρὸς ζώων ἢ φυτῶν γένεσιν οὐ πάντα τελεσιουργεῖται, — ἀγαπητὸν δὲ, εἰ μὴ τὰ φθειρόμενα πλείω τῶν διαμενόντων ἐστὶ, — σπείρει δὲ ὁ θεὸς ἐν ψυχαῖς ἀτελὲς οὐδὲν, ἀλλ' οὕτως καίρια, καὶ τέλεια, ὡς εὐθὺς ἐπιφέρεσθαι τὴν τῶν ἰδίων καρπῶν πληθὺν ἕκαστον.

§. 50. Τὸν δὲ Σὴθ σπέρμα ἕτερον εἰπὼν ἀναβλαστῆσαι, ὁποτέρου ἕτερον οὐ δεδήλωκεν. Ἆρά γε τοῦ δολοφονηθέντος Ἄβελ, ἢ τοῦ κτείναντος Κάϊν; Ἀλλὰ μήποτε ἑκατέρου διαφέρει τὸ γέννημα; Τοῦ μὲν Κάϊν ὡς ἐχθρόν· δίψα γὰρ ἀρετῆς αὐτομολούσῃ κακίᾳ πολεμιώτατον. Τοῦ δὲ Ἄβελ, ὡς φίλον καὶ συγγενές. Ἕτερον γὰρ οὐ μὴν ἀλλότριον τὸ ἄρτι ἀρχόμενον τοῦ τελείου, καὶ τὸ πρὸς γένεσιν τοῦ πρὸς τὸ ἀγέννητον. Διὰ τοῦθ' ὁ μὲν Ἄβελ τὸ θνητὸν ἀπολιπὼν, πρὸς τὴν ἀμείνω φύσιν μεταναστὰς οἴχεται· ὁ δὲ Σὴθ ἅτε σπέρμα ὢν ἀνθρωπίνης ἀρετῆς, οὐδέποτε τὸ ἀνθρώπων ἀπολείψει γένος. Ἀλλὰ πρῶτον μὲν παραύξησιν ἄχρι δεκάδος, ἀριθμοῦ τελείου, λήψεται, καθ' ἣν ὁ δίκαιος Νῶε συνίσταται· δευτέραν δὲ καὶ ἀμείνω τὴν ἀπὸ

*) Gen. 4, 25.

τοῦ παιδὸς αὐτοῦ Σὴμ ἑτέραν δεκάδα τελευτῶσαν, ἧς Ἀβραὰμ ὁ πιστὸς ἐπώνυμος· τρίτην δὲ καὶ τελειοτέραν δεκάδος ἑβδομάδα ἀπὸ τούτου μέχρι Μωϋσῆ τοῦ πάντα σοφοῦ παρήκουσαν. Ἕβδομος γὰρ ἀπὸ Ἀβραὰμ οὗτός ἐστιν, οὐκ ἔτι κατὰ τὸν ἔξω τῶν ἁγίων κύκλον οἷα μύστης εἱλούμενος, ἀλλ' ὥςπερ ἱεροφάντης ἐν τοῖς ἀδύτοις ποιούμενος τὰς διατριβάς.

§. 51. Σκόπει δὲ τάς τε πρὸς βελτίωσιν ἐπιτάσεις τοῦ ἀπλήστου καὶ ἀκορέστου τῶν καλῶν ψυχῆς, καὶ τὸν ἀπερίγραφον τοῦ θεοῦ πλοῦτον, ὃς ἄλλοις ἀρχὰς τὰ ἑτέρων δεδώρηται τέλη. Τὸ μὲν γὰρ πέρας τῆς κατὰ Σὴθ ἐπιστήμης ἀρχὴ τοῦ δικαίου γέγονε Νῶε· τὴν δὲ τούτου τελείωσιν Ἀβραὰμ ἄρχεται παιδεύεσθαι· ἡ δὲ ἀκροτάτη τοῦδε σοφία Μωϋσέως ἐστὶν ἄσκησις ἡ πρώτη. Τοῦ δὲ ἀνωσμένου καὶ κλιθέντος ὑπὸ ψυχῆς ἀσθενείας Λὼτ αἱ δύο θυγατέρες, βουλὴ καὶ συγκατάθεσις, ἐκ τοῦ νοῦ, τοῦ πατρὸς αὐτῶν, ἐθέλουσι παιδοποιεῖσθαι, μαχόμεναι τῷ λέγοντι, "Ἐξανέστησέ μοι ὁ θεός*)." Ὃ γὰρ ἐκείνῳ τὸ ὄν, τοῦτ' αὐταῖς φασι τὸν νοῦν περιποιεῖσθαι δύνασθαι, μεθυούσης καὶ παραφόρου ψυχῆς δόγμα εἰςηγούμεναι. Νήφοντος μὲν ἔργον λογισμοῦ, καὶ τὸν θεὸν ὁμολογεῖν ποιητὴν καὶ πατέρα τοῦ παντὸς, πίπτοντος δὲ ὑπὸ μέθης καὶ παροινίας, ἑαυτὸν ἑκάστου τῶν ἀνθρωπείων πραγμάτων εἶναι δημιουργόν. Πρότερον οὖν αἱ κακαὶ γνῶμαι εἰς ὁμιλίαν οὐκ ἀφίξονται τῷ πατρὶ, πρὶν ἐπιφορῆσαι τὸν ἀφροσύνης πολὺν ἄκρατον, καὶ εἴ τι
260 συνετὸν ἦν ἐν αὐτῷ καταλῦσαι. Γέγραπται γὰρ
M. ὅτι "Ἐπότισαν τὸν πατέρα οἶνον." Ὥςθ' ὁπότε μὴ ποτίζωσιν, ὑπὸ νήφοντος οὐδέποτε δέξονται σπορὰν ἔννομον· ὅτ' ἂν δὲ ὑποβεβρεγμένος κραιπαλᾷ,

---

*) Gen. 19, 32 sq.

κυοφορήσουσι, καὶ ἐπιμέμπτοις μὲν ὠδῖσιν ἐπαράτοις δὲ ταῖς γοναῖς χρήσονται.

§. 52. Διὸ καὶ Μωϋσῆς τὴν ἀσεβῆ καὶ ἄναγνον αὐτοῦ σπορὰν συλλόγου θείου παντὸς ἀπεσχοίνισε. Λέγει γὰρ, "Ἀμμονῖται καὶ Μωαβῖται οὐκ εἰςελεύσονται εἰς ἐκκλησίαν κυρίου*)·" οὗτοι δέ εἰσιν ἔγγονοι τῶν Λὼτ θυγατέρων, ὑπολαβόντες, ἐξ αἰσθήσεων καὶ νοῦ, ἄῤῥενός τε καὶ θήλεος, ὥςπερ ὑπὸ πατρὸς καὶ μητρὸς, πάντα γεννᾶσθαι, τοῦτο πρὸς ἀλήθειαν γενέσεως αἴτιον ὑπειληφότες. Ἡμεῖς μέντοι καὶ ἐὰν δεξώμεθα περιττὴν τροπὴν ταύτην, καὶ ὥςπερ ἐκ κλύδωνος ἀνανηξάμενοι, λαβώμεθα μετανοίας, ἐχυροῦ καὶ σωτηρίου πράγματος, καὶ μὴ πρότερον μεθώμεθα, ἢ κατὰ τὸ παντελὲς τὸ κυμαῖνον πέλαγος, τὴν φορὰν τῆς τροπῆς, διεκδῦναι. Καθὰ καὶ Ῥαχὴλ πρότερον αἰτησαμένη τὸν νοῦν, ὡς αἴτιον τοῦ ποιεῖν ἔκγονα καὶ ἀκούσασα "Μὴ ἀντὶ θεοῦ ἐγώ εἰμι**);" προςέσχε τε τῷ λεχθέντι, καὶ μαθοῦσα παλινῳδίαν ἱερωτάτην ἐποίησε. Γέγραπται γὰρ Ῥαχὴλ παλινῳδία, θεοφιλὴς εὐχὴ, "Προςθέτω μοι ὁ θεὸς υἱὸν ἕτερον***), ἣν οὐδενὶ τῶν ἀφρόνων ἔξεστι ποιήσασθαι, τὴν ἴδιον ἡδονὴν αὐτὸ μόνον τεθηρωμένων, τὰ δὲ ἄλλα πλατὺν γέλωτα καὶ χλεύην νομιζόντων.

§. 53. Χορηγὸς δέ ἐστι τούτου τοῦ δόγματος ὁ τοῦ δερματίνου Ἢρ συγγενὴς Αὐνάν. "Γνοὺς γὰρ," φησὶν, "οὗτος, ὅτι οὐκ αὐτῷ ἔσται τὸ σπέρμα, ὅταν εἰςῆλθε πρὸς τὴν γυναῖκα τοῦ ἀδελφοῦ, ἐξέχει τοῦτο ἐπὶ τὴν γῆν†)." Φιλαυτίας καὶ φιληδονίας ὑπερβέβηκε τοὺς ὅρους. Οὐκ ἂν ἔποιμ᾽ ἂν αὐτῷ, εἰ τὸ ἴδιον πορίζεις λυσιτελὲς, πάνθ᾽ ὅσα ἄριστα καταλύσεις, ἐὰν μηδὲν ἐξ αὐτῶν ὠφελῆται; Τιμὰς γονέων, ἐπιμέλειαν γυναικὸς, παίδων ἀγωγὰς, χρή-

*) Deut. 23, 3. **) Gen. 30, 2. ***) Gen. 30, 24. †) Gen. 38, 9.

σεις ἀμέμπτους οἰκετῶν, ἐπιτροπὴν οἰκίας, πόλεως
προστασίαν, βεβαίωσιν νόμων, φυλακὴν ἐθῶν, τὴν
πρὸς πρεσβυτέρους αἰδῶ, τὴν πρὸς τοὺς τετελευτη-
κότας εὐφημίαν, τὴν πρὸς τοὺς ζῶντας κοινωνίαν,
τὴν πρὸς τὸ θεῖον ἐν λόγοις καὶ ἔργοις εὐσέβειαν.
Ἀνατρέπεις γὰρ καὶ ἐκχεῖς πάντα ταῦτα, σπείρων
261 σεαυτῷ, καὶ τιθηνούμενος τὴν γάστριν καὶ ἀκό-
M. λαστον καὶ ἀρχὴν κακῶν ἁπάντων ἡδονήν.

§. 54. Ἀφ' ἧς ἐξαναστὰς ὁ ἱερεὺς καὶ θερα-
πευτὴς τοῦ μόνου καλοῦ Φινεὲς*), ὁ τῶν σωματι-
κῶν στομίων καὶ ῥημάτων δίοπος, ὡς μηδὲν αὐτῶν
διαμαρτάνον ἐξυβρίζειν, — ἑρμηνεύεται γὰρ στόμα-
τος φιμὸς, — λαβὼν τὸν σειρομάστην, τουτέστι
μαστεύσας, καὶ ἀναζητήσας τὴν τῶν ὄντων φύσιν,
καὶ μηδὲν σεμνότερον ἀρετῆς ἀνευρὼν, κατεκέντει,
καὶ ἀνῄρει τῷ λόγῳ τὴν μισάρετον καὶ φιλήδονον
γένεσιν, καὶ τοὺς τόπους ἐξ ὧν ἐβλάστησαν αἱ πα-
ράσημοι καὶ παράκοποι χλιδαί τε καὶ θρύψεις. Ὁ
γὰρ νόμος φησὶν, ὅτι "διὰ τῆς μήτρας ἐξεκέντησε
τὴν γυναῖκα." Οὕτως οὖν καταπαύσας μὲν τὴν ἐν
αὐτῷ στάσιν, καὶ τὴν ἰδίαν ἀποστραφεὶς ἡδονὴν ζη-
λώσας τὸν θεοῦ τοῦ πρώτου καὶ μόνου ζῆλον, ἄθλων
τοῖς μεγίστοις δυσὶ τετίμηται καὶ κατέστεπται, εἰρή-
νῃ καὶ ἱερωσύνῃ· τῇ μὲν, ὅτι ἀδελφόν ἐστιν εἰρήνῃ,
καὶ ὄνομα καὶ ἔργον. Τὴν γὰρ ἱερωμένην διάνοιαν
λειτουργὸν καὶ θεραπευτρίδα οὖσαν αὐτοῦ, πάνθ'
οἷς ὁ δεσπότης χαίρει, πράττειν ἀνάγκη· χαίρει δὲ
εὐνομίας καὶ εὐσταθείας βεβαιώσει, πολέμων δὲ καὶ
** ἀνατροπῇ, οὐχὶ τῶν μόνων, οὓς αἱ πόλεις ποι-
οῦνται πρὸς ἀλλήλας, ἀλλὰ καὶ τῶν κατὰ ψυχήν.
Μείζονες δέ εἰσιν οὗτοι καὶ χαλεπώτεροι, ἅτε καὶ τὸ
θειότερον τῶν ἐν ἡμῖν λογισμῶν αἰκιζόμενοι· τῶν
μὲν ὅπλων ἄχρι τῶν σωμάτων καὶ χρημάτων ζη-
μίας προερχομένων, ψυχὴν δὲ ὑγιαίνουσαν μηδέποτε

---

*) Num. 25, 11.

*βλάψαι δυναμένων. Διόπερ ὀρθῶς ἂν αἱ πόλεις ἐποίησαν, πρὶν ὅπλα καὶ μηχανήματα ἀντεπιφέρειν ἀλλήλαις, ἐπ' ἀνδραποδισμῷ καὶ ἀναστάσει παντελεῖ, τῶν πολιτῶν ἕκαστον ἀναπείσασαι, τὴν ἐν ἑαυτῷ μεγάλην καὶ πολλὴν καὶ συνεχῆ στάσιν καταγησ**. Αὕτη μὲν γὰρ πολέμων, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, ἁπάντων ἀρχέτυπόν ἐστιν· ἧς ἀναιρεθείσης, οὐδὲ οἱ κατὰ μίμησιν ἔτι συνιστάμενοι γενήσονται. Βαθείας δὲ εἰρήνης χρῆσιν καὶ ἀπόλαυσιν σχήσει τὸ ἀνθρώπων γένος ὑπὸ νόμου φύσεως διδασκόμενον ἀρετῆς, θεὸν τιμῶν λειτουργίας αὐτοῦ περιέχεσθαι. Πηγὴ γὰρ εὐδαιμονίας καὶ βίου μακραίωνος ἥδε.*

ΠΕΡΙ ΓΙΓΑΝΤΩΝ.

ARGUMENTUM LIBRI DE GIGANTIBUS.

(Cf. Gen. 6, 1—4.)

Qui post Noachum natum multiplicati fuisse dicuntur homines, isti pravi sunt; itemque filiae, quae illis natae esse traduntur, eorum malam prolem denotant (1). Omnino homines fiunt ita, ut animae (ψυχαί), quae aëre, cui animarum semina opifex mundi (δημιουργός) indidit, pariuntur, in quaedam corpora descendant; aliae enim in aëre remanent; et hae sunt, quas Graeci daemones, Moyses angelos dicunt (2). Illarum animarum aliae rebus corporeis tantopere delectantur, ut puriori natura, qua antea gaudebant, privatae, malae reddantur; aliae vero philosophando operam dant; quo fit, ut non pereant, sed vita aeterna dignae iudicatae redeant e terra in coelum (3). Angelis utriusque generis utitur opifex ad perferenda mandata sua ad homines ita, ut per malos mala mittat, bona per bonos (4). Bonis hominibus ab opifice spiritus divinus immittitur, at non in perpetuum, propter corpus, quod cum eorum anima coniunctum est (5—7). Manet tamen, etsi non permanet, in illis, qui carnis sunt contemtores, neque aliquod bonum potius ducunt summo bono, quod est deus, qui et mens universi et animae humanae (8—10). Hunc qui prae ceteris diligit, stabili per omnem vitam quiete gaudet; nam et ipse neque movetur, neque mutatur (11). Illa vero quies non contingit iis, qui voluptati dediti sunt, et vagi ultro citroque feruntur (12). Isti dicuntur Gigan-

tes, filii l. homines terrae, qui quidem, ut Nebrod, meliorem vitae ordinem deserentes, rebus solummodo, quae affectibus blandiuntur, indulgent, at non ut homines coeli, qui sunt rerum mathematicarum discendarum cupidi, et homines dei, qui sunt pii sacerdotes et prophetae, sublimioribus illis rebus mentem potius, quam corpus nutrientibus gaudent (13—15).

---

262 §. 1. "Καὶ δὴ ἐγένετο, ἡνίκα ἤρξαντο οἱ 284
M. ἄνθρωποι πολλοὶ γίνεσθαι ἐπὶ τῆς γῆς, καὶ θυγα- P.
τέρες ἐγεννήθησαν αὐτοῖς *)." Ἄξιον οἶμαι διαπορῆσαι, διὰ τί μετὰ τὴν Νῶε καὶ τῶν υἱῶν αὐτοῦ γένεσιν, εἰς πολυανθρωπίαν ἐπιδίδωσιν ἡμῶν τὸ γένος. Ἀλλ' ἴσως οὐ χαλεπὸν ἀποδοῦναι τὴν αἰτίαν· ἀεὶ γὰρ ἐπειδὰν τὸ σπάνιον φανῇ, πάμπολυ τὸ ἐναντίον εὑρίσκεται. Ἑνὸς οὖν εὐφυΐα τὴν περὶ μυρίους διαδείκνυσιν ἀφυΐαν, καὶ τὰ τεχνικὰ μέντοι καὶ ἐπιστημονικὰ καὶ ἀγαθὰ καὶ καλὰ ὄντα ὀλίγα, τὴν τῶν ἀτέχνων καὶ ἀνεπιστημόνων καὶ ἀδίκων καὶ συνόλως φαύλων ἄπειρον ὅσον πληθὺν ἐπεσκιασμένην ἀποφαίνει. Οὐχ ὁρᾷς ὅτι καὶ ἐν τῷ παντὶ ἥλιος εἷς ὢν, τὸ μυρίον καὶ βαθὺ σκότος κατὰ γῆν καὶ κατὰ θάλατταν κεχυμένον, ἐπιλάμψας ἀνασκίδνησιν; Εἰκότως οὖν καὶ ἡ τοῦ δικαίου Νῶε γένεσις καὶ τῶν υἱῶν αὐτοῦ τοὺς ἀδίκους πολλοὺς διασυνίστησι· τῷ γὰρ ἐναντίῳ τὰ ἐναντία πέφυκέ πως μάλιστα γνωρίζεσθαι. Ἄδικος δὲ οὐδεὶς ἄῤῥενα γενεὰν ἐν ψυχῇ σπείρει τὸ παράπαν, ἀλλὰ θηλυγονοῦσιν ἐκ φύσεως ἄνανδροι καὶ κατεαγότες καὶ θηλυδρίαι τὰ φρονήματα, δένδρον οὐδὲν ἀρετῆς, οὗ καλοὺς καὶ γενναίους ἐξ ἀνάγκης ἔδει τοὺς καρποὺς γενέσθαι, πάντα δὲ κακίας καὶ παθῶν, ὧν γυναικώδεις αἱ βλάσται, φυτεύσαντες. Οὗ χάριν θυγατέρας οἱ ἄνθρωποι οὗτοι γεννῆσαι λέγονται, υἱὸν δὲ οὐδεὶς αὐτῶν.

---

*) Gen. 6, 1.

Ἐπεὶ γὰρ ὁ δίκαιος ἀρρενογονεῖ Νῶε, τέλειον καὶ ὀρθὸν λόγον καὶ ἄρρενα ὄντως μετιὼν θηλυτόκος ἢ
263 κατὰ τοὺς πολλοὺς ἀδικία πάντως ἀναφαίνεται.
M. Ἀμήχανον γὰρ τὰ αὐτὰ πρὸς τῶν ἐναντίων, ἀλλὰ μὴ τὰ ἐναντία πάλιν γενέσθαι.

§. 2. „Ἰδόντες δὲ οἱ ἄγγελοι τοῦ θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο*)." 285
Οὓς ἄλλοι φιλόσοφοι δαίμονας, ἀγγέλους Μωϋσῆς P.
εἴωθεν ὀνομάζειν· ψυχαὶ δέ εἰσι κατὰ τὸν ἀέρα πετόμεναι. Καὶ μηδεὶς ὑπολάβῃ μῦθον εἶναι τὸ εἰρημένον· ἀνάγκη γὰρ ὅλον δι' ὅλων τὸν κόσμον ἐψυχῶσθαι, τῶν πρώτων καὶ στοιχειωδῶν μερῶν ἑκάστου τὰ οἰκεῖα καὶ πρόσφορα ζῶα περιέχοντος· γῆς μὲν τὰ χερσαῖα, θαλάττης δὲ καὶ ποταμῶν τὰ ἔνυδρα, πυρὸς δὲ τὰ πυρίγονα, — λόγος δὲ ἔχει ταῦτα κατὰ Μακεδονίαν μάλιστα γίνεσθαι, — οὐρανοῦ δὲ τοὺς ἀστέρας. Καὶ γὰρ οὗτοι ψυχαὶ ὅλαι δι' ὅλων ἀκήρατοί τε καὶ θεῖαι, παρ' ὃ καὶ κύκλῳ κινοῦνται, τὴν συγγενεστάτην νῷ κίνησιν· νοῦς γὰρ ἕκαστος αὐτῶν ἀκραιφνέστατος. Ἔστιν οὖν ἀναγκαῖον καὶ τὸν ἀέρα ζώων πεπληρῶσθαι· ταῦτα δὲ ἡμῖν ἐστιν ἀόρατα, ὅτιπερ καὶ αὐτὸς οὐχ ὁρατὸς αἰσθήσει. Ἀλλ' οὐ παρ' ὅσον ἀδύνατος ἡ ὄψις ψυχῶν φαντασιωθῆναι τύπους, διὰ τοῦτ' οὐκ εἰσὶν ἐν ἀέρι ψυχαί· καταλαμβάνεσθαι δὲ αὐτὰς ἀναγκαῖον ὑπὸ νοῦ, ἵνα πρὸς τῶν ὁμοίων τὸ ὅμοιον θεωρῆται. Ἐπεὶ τί φήσομεν; Πάνθ' ὅσα χερσαῖα καὶ ἔνυδρα οὐκ ἀέρι καὶ πνεύματι ζῇ; Τί δέ, οὐκ ἀέρος κακωθέντος τὰ λοιμικὰ συνίστασθαι παθήματα φιλεῖ, ὡς ἂν αἰτίου τῆς ψυχώσεως ἑκάστοις; Τί δέ, ὁπότε ἀπήμων καὶ ἀβλαβὴς εἴη, ὁποῖον ἐν ταῖς βορείοις μάλιστα αὔραις εἴωθε γίνεσθαι, οὐ καθαρωτέρου σπῶντα τοῦ πνεύματος, πρὸς πλείονα καὶ κραταιο-

*) Gen. 6, 2.

τέραν διαμονὴν ἐπιδίδωσιν; Ἆρ' οὖν εἰκὸς δι' οὗ
τὰ ἄλλα, ἔνυδρά τε καὶ χερσαῖα, ἐψύχωται, ἔρημον
εἶναι, ἢ ψυχῶν ἀμοιρεῖν; Τὸ ἐναντίον μὲν οὖν, εἰ
καὶ τὰ ἄλλα πάντα ζώων ἄγονα ἦν, μόνος ἀὴρ
ὤφειλε ζωοτοκῆσαι, τὰ ψυχῆς κατ' ἐξαίρετον χάριν
παρὰ τοῦ δημιουργοῦ σπέρματα λαβών.

§. 3. Τῶν οὖν ψυχῶν αἱ μὲν πρὸς σώματα
264 κατέβησαν, αἱ δὲ οὐδενὶ τῶν γῆς μορίων ἠξίωσάν
M. ποτε συνενεχθῆναι. Αἷς ἀφιερωθείσαις καὶ τῆς τοῦ
πατρὸς θεραπείας περιεχομέναις ὑπηρέτισι καὶ δια-
κόνοις ὁ δημιουργὸς εἴωθε χρῆσθαι πρὸς τὴν τῶν
θνητῶν ἐπίστασιν. Ἐκεῖναι δὲ ὥςπερ εἰς ποταμὸν
τὸ σῶμα καταβᾶσαι, τοτὲ μὲν ὑπὸ συρμοῦ δίνης
βιαιοτάτης ἁρπασθεῖσαι κατεπόθησαν, τοτὲ δὲ πρὸς
τὴν φορὰν ἀντισχεῖν δυνηθεῖσαι, τὸ μὲν πρῶτον
ἀνενήξαντο, εἶτα, ὅθεν ὡρμήθησαν, ἐκεῖσε πάλιν
ἀπέπτησαν. Αὗται μὲν οὖν εἰσι ψυχαὶ τῶν ἄνωθέν
πως φιλοσοφησάντων, ἐξ ἀρχῆς ἄχρι τέλους μελε-
τῶσαι τὸν μετὰ σωμάτων ἀποθνήσκειν βίον, ἵνα
τῆς ἀσωμάτου καὶ ἀφθάρτου παρὰ τῷ ἀγεννήτῳ καὶ
ἀφθάρτῳ ζωῆς μεταλάχωσιν. Αἱ δὲ καταποθεῖσαι,
τῶν ἄλλων ἀνθρώπων ὅσοι σοφίας ἠλόγησαν, ἐκ-
δόντες ἀστάτοις καὶ τυχηροῖς πράγμασιν ἑαυτούς,
ὧν οὐδὲν εἰς τὸ κράτιστον τῶν ἐν ἡμῖν, ψυχὴν 286
ἢ νοῦν, ἀναφέρεται, πάντα δὲ ἐπὶ τὸν συμφυᾶ νε- P.
κρὸν ἡμῶν, τὸ σῶμα, ἢ ἐπὶ τὰ ἀψυχότερα τούτου,
δόξαν λέγω καὶ χρήματα καὶ ἀρχὰς καὶ τιμὰς, καὶ
ὅσα ἄλλα ἀπὸ τῶν μὴ τεθεαμένων τὰ πρὸς ἀλή-
θειαν καλὰ ἀπάτῃ ψευδοῦς δόξης ἀναπλάττεται ἢ
ζωγραφεῖται.

§. 4. Ψυχὰς οὖν καὶ δαίμονας καὶ ἀγγέλους
ὀνόματα μὲν διαφέροντα, ἓν δὲ καὶ ταὐτὸν ὑποκεί-
μενον διανοηθεὶς, ἄχθος βαρύτατον ἀποθήσῃ δεισι-
δαιμονίαν. Ὥςπερ δὲ ἀγαθοὺς δαίμονας καὶ κακοὺς
λέγουσιν οἱ πολλοὶ, καὶ ψυχὰς ὁμοίως, οὕτω καὶ
ἀγγέλους τοὺς μὲν τῆς ἀγαθῆς προςρήσεως ἀξίους

πρεσβευτάς τινας ἀνθρώπων πρὸς θεὸν, καὶ θεοῦ πρὸς ἀνθρώπους, ἀσύλους καὶ ἱεροὺς διὰ τὴν ἀνυπαίτιον καὶ παγκάλην ταύτην ὑπηρεσίαν· τοὺς δ' ἔμπαλιν, ἀνιέρους καὶ ἀναξίους τῆς προσρήσεως καὶ αὐτὸς ὑπολαμβάνων οὐχ ἁμαρτήσεις. Μαρτυρεῖ δέ μου τῷ λόγῳ τὸ παρὰ τῷ ὑμνογράφῳ εἰρημένον ἐν ᾄσματι τούτῳ, "Ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν, ἀπο-
265 στολὴν δι' ἀγγέλων πονηρῶν*)." Οὗτοί εἰσιν οἱ
M. πονηροὶ, οἱ τὸ ἀγγέλων ὄνομα ὑποδυόμενοι τὰς μὲν
ὀρθοῦ λόγου θυγατέρας, ἐπιστήμας καὶ ἀρετὰς, οὐκ εἰδότες, τὰς δὲ θνητὰς τῶν ἀνθρώπων θνητῶν ἀπογόνους, ἡδονὰς, μετερχόμενοι, γνήσιον μὲν οὐδὲν ἐπιφερομένας κάλλος, ὃ διανοίᾳ μόνῃ θεωρεῖται, νόθον δὲ εὐμορφίαν, δι' ἧς ἡ αἴσθησις ἀπατᾶται. Λαμβάνουσι δὲ οὐ πάσας ἅπαντες τὰς θυγατέρας, ἀλλ' ἔνιοι ἐνίας ἐκ μυρίων ὅσων ἐξελέξαντο ἑαυτοῖς· οἱ μὲν τὰς δι' ὄψεως, ἕτεροι δὲ τὰς δι' ἀκοῆς, τὰς δ' αὖ διὰ γεύσεως καὶ γαστρὸς ἄλλοι, τινὲς δὲ τὰς μετὰ γαστέρα, πολλοὶ δὲ καὶ τῶν πορρωτάτω διῳκισμένων ἀνελάβοντο, τὰς ποικίλας ἐν ἑαυτοῖς τείναντες ἐπιθυμίας· ποικίλαι γὰρ ἐξ ἀνάγκης αἱ ποικίλων ἡδονῶν αἱρέσεις, ἄλλων ᾠκειωμένων ἄλλαις.

§. 5. Ἐν δὴ τοῖς τοιούτοις ἀμήχανον τὸ τοῦ θεοῦ καταμεῖναι καὶ διαιωνίσαι πνεῦμα, ὡς δηλοῖ καὶ αὐτὸς ὁ νομοθέτης. "Εἶπε γὰρ," φησὶ, "κύριος ὁ θεὸς, οὐ καταμενεῖ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις εἰς τὸν αἰῶνα, διὰ τὸ εἶναι αὐτοὺς σάρκας**)." Μένει μὲν γὰρ ἔστιν ὅτε, καταμένει δὲ οὐδ' εἰσάπαν παρὰ τοῖς πολλοῖς ἡμῖν. Τίς γὰρ οὕτως ἄλογος ἢ ἄψυχός ἐστιν, ὡς μηδέποτε ἔννοιαν τοῦ ἀρίστου μήθ' ἑκὼν μήτ' ἄκων λαβεῖν; Ἀλλὰ γὰρ καὶ τοῖς ἐξαγίστοις ἐπιποτᾶται πολλάκις αἰφνίδιος ἡ τοῦ καλοῦ φαντασία, συλλαβεῖν δὲ αὐτὴν καὶ

*) Psalm. 77, 49. **) Gen. 6, 3.

φυλάξαι παρ᾽ ἑαυτοῖς ἀδυνατοῦσιν. Οἴχεται γὰρ
εὐθέως μεταναστᾶσα, τοὺς προςεληλυθότας οἰκήτο-
ρας νόμον καὶ δίκην ἐκδεδιῃτημένους ἀποστραφεῖ- 287
σα, πρὸς οὓς οὐδ᾽ ἂν ποτε ἧκεν, εἰ μὴ τοῦ διε- P.
λέγξαι χάριν τοὺς ἀντὶ καλῶν αἰσχρὰ αἱρουμένους.
Λέγεται δὲ θεοῦ πνεῦμα καθ᾽ ἕνα μὲν τρόπον ὁ
ῥέων ἀὴρ ἐπὶ γῆς, τρίτον στοιχεῖον ἐποχούμενον
ὕδατι. Παρ᾽ ὅ φησιν ἐν τῇ κοσμοποιίᾳ, "Πνεῦμα
θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος*)." ἐπειδήπερ
ἐξαιρόμενος ὁ ἀὴρ κοῦφος ὢν ἄνω φέρεται, ὕδατι
βάσει χρώμενος. Καθ᾽ ἕτερον δὲ τρόπον ἡ ἀκήρα-
τος ἐπιστήμη, ἧς πᾶς ὁ σοφὸς εἰκότως μετέχει.
Δηλοῖ δὲ ἐπὶ τοῦ τῶν ἁγίων ἔργων δημιουργοῦ καὶ
τεχνίτου φάσκων, ὅτι "Ἀνεκάλεσεν ὁ θεὸς τὸν Βε-
σελεὴλ, καὶ ἐνέπλησεν αὐτὸν πνεύματος θείου, σο-
φίας, συνέσεως, ἐπιστήμης, ἐπὶ παντὶ ἔργῳ δια-
νοεῖσθαι **)." Ὥςτε τὸ τί ἐστι πνεῦμα θεῖον ὁρι-
κῶς διὰ τῶν λεχθέντων ὑπογράφεσθαι.

§. 6. Τοιοῦτόν ἐστι καὶ τὸ Μωϋσέως πνεῦμα,
ὃ ἐπεφοίτησε τοῖς ἑβδομήκοντα πρεσβυτέροις, τοῦ
266 διενεγκεῖν ἑτέρων καὶ βελτιωθῆναι χάριν· οἷς οὐδὲ
M. πρεσβυτέροις ἔνεστι γενέσθαι πρὸς ἀλήθειαν, μὴ
μεταλαβοῦσι τοῦ πανσόφου πνεύματος ἐκείνου. Λέ-
γεται γὰρ, ὅτι "Ἀφελῶ ἀπὸ τοῦ πνεύματος τοῦ ἐπὶ
σοὶ, καὶ ἐπιθήσω ἐπὶ τοὺς ἑβδομήκοντα πρεσβυτέ-
ρους***)." Ἀλλὰ μὴ νομίσῃς οὕτω τὴν ἀφαίρεσιν
κατὰ ἀποκοπὴν καὶ διάζευξιν γίνεσθαι, ἀλλ᾽ οἷα
γένοιτ᾽ ἂν ἀπὸ πυρὸς, ὃ καὶ ἂν μυρίας δᾷδας ἐξά-
ψῃ, μένει μηθ᾽ ὁτιοῦν ἐλαττωθὲν ἐν ὁμοίῳ. Τοι-
αύτη τίς ἐστι καὶ τῆς ἐπιστήμης ἡ φύσις· τοὺς γὰρ
φοιτητὰς καὶ γνωρίμους ἀποφήνασα ἐμπείρους πάν-
τας, κατ᾽ οὐδὲν μέρος ἐλαττοῦται, πολλάκις δὲ καὶ
πρὸς τὸ ἄμεινον ἐπιδίδωσιν, ὥςπερ φασὶ τὰς ἀπαν-
τλουμένας πηγάς· καὶ γὰρ ἐκείνας λόγος ἔχει τότε

---

*) Gen. 1, 2. **) Exod. 31, 1—3. ***) Num. 11, 17.

μᾶλλον γλυκαίνεσθαι. Αἱ γὰρ συνεχεῖς πρὸς ἑτέρους ὁμιλίαι μελέτην καὶ ἄσκησιν ἐμποιοῦσαι, ὁλόκληρον τελειότητα ἐργάζονται. Εἰ μὲν οὖν τὸ ἴδιον αὐτοῦ Μωϋσέως πνεῦμα, ἢ τινος ἄλλου γεννητοῦ, τοσούτῳ πλήθει γνωρίμῳ ἔμελλε διανέμεσθαι, καὶ ἂν κατακερματισθὲν εἰς μοίρας τοσαύτας ἐμειοῦτο. Νῦν δὲ τὸ ἐπ' αὐτῷ πνεῦμά ἐστι. τὸ σοφὸν, τὸ θεῖον, τὸ ἄτμητον, τὸ ἀδιαίρετον, τὸ ἀστεῖον, τὸ πάντη δι' ὅλων ἐκπεπληρωμένον· ὅπερ ὠφελοῦν οὐ βλάπτεται μεταδοθὲν ἑτέρῳ, οὐδ' αὖ προςτεθὲν ἐλαττοῦται τὴν σύνεσιν; καὶ ἐπιστήμην, καὶ σοφίαν.

§. 7. Διὸ δὴ πνεῦμα θεῖον μένειν μὲν δυνατὸν ἐν ψυχῇ, διαμένειν δὲ ἀδύνατον ὡς εἴπομεν. Καὶ τί θαυμάζομεν; Οὐδὲ γὰρ ἄλλου τὸ παράπαν οὐδενὸς ἐχυρὰ καὶ βέβαιος ἐγγίνεται κτῆσις, ἀντιῤῥεπόντων καὶ πρὸς ἑκάτερα ταλαντευόντων τῶν ἀνθρωπίνων πραγμάτων, καὶ ἄλλοτε ἀλλοίας ἐνδεχομένων μεταβολάς. Αἴτιον δὲ τῆς ἀνεπιστημοσύνης
μέγιστον ἡ σὰρξ καὶ ἡ πρὸς σάρκα οἰκείωσις· καὶ 288
αὐτὸς δὲ ὁμολογεῖ φάσκων, διὰ "τὸ εἶναι αὐτοὺς P.
σάρκας" μὴ δύνασθαι τὸ θεῖον πνεῦμα καταμεῖναι. Καίτοι καὶ γάμος, καὶ παιδοτροφία, καὶ πορισμὸς τῶν ἀναγκαίων, ἀδοξία τε μετὰ ἀχρηματίας, καὶ πραγματεῖαι, ὧν αἱ μὲν ἴδιαι αἱ δὲ κοιναὶ, καὶ μυρία ἄλλα, πρὶν σοφίαν ἀνθῆσαι, κατεμάραναν. Ἀλλ' οὐδὲν οὕτως ἐμπόδιον πρὸς αὔξησιν αὐτῆς, ὡς ἡ σαρκῶν φύσις. Αὕτη γὰρ, καθάπερ τις θεμέλιος ἀγνοίας καὶ ἀμαθίας πρῶτος καὶ μέγιστος, ὑποβέβληται, ᾧ τῶν εἰρημένων ἕκαστον ἐποικοδομεῖται. Ψυχαὶ μὲν γὰρ ἄσαρκοι καὶ ἀσώματοι ἐν τῷ τοῦ παντὸς θεάτρῳ διημερεύουσαι, θεαμάτων καὶ
267 ἀκουσμάτων θείων, ὧν ἄπληστος εἰς ταύτας εἰς-
M. ελήλυθεν ἔρως, μηδενὸς κωλυσιεργοῦντος ἀπολαύουσιν. Ὅσαι δὲ τὸν σαρκῶν φόρτον ἀχθοφοροῦσι, βαρυνόμεναι καὶ πιεζόμεναι, ἄνω μὲν βλέπειν εἰς τὰς οὐρανίους περιόδους ἀδυνατοῦσι, κάτω δὲ ἑλ-

κυσθεῖσαι τὸν αὐχένα βιαίως δίκην τετραπόδων γῇ προςερρίζωνται.

§. 8. Παρ' ὃ καὶ τὰς ἐκνόμους καὶ ἐκθέσμους ὁμιλίας τε καὶ μίξεις ἐγνωκὼς ὁ νομοθέτης ἀναιρεῖν, προοιμιάζεται τὸν τρόπον τοῦτον, "Ἄνθρωπος, ἄνθρωπος πρὸς πάντα οἰκεῖον σαρκὸς αὐτοῦ οὐ προςελεύσεται ἀποκαλύψαι ἀσχημοσύνην, ἐγὼ κύριος *)." Πῶς ἄν τις προτρέψαιτο μᾶλλον σαρκὸς καὶ τῶν σαρκὸς οἰκείων καταφρονεῖν, ἢ τοῦτον τὸν τρόπον; Καί τοι οὐκ ἀποτρέπει μόνον, ἀλλὰ καὶ παγίως ἀποφαίνεται, ὅτι ὁ πρὸς ἀλήθειαν ἄνθρωπος, οὐ προςελεύσεταί ποτε ἑκὼν ταῖς φίλαις καὶ συγγενέσι σώματος ἡδοναῖς, ἀλλοτριώσειν δὲ τὴν πρὸς αὐτὰς ἀεὶ μελετήσει. Τὸ μὲν οὖν μὴ ἅπαξ, ἀλλὰ δὶς φάναι, "Ἄνθρωπος, ἄνθρωπος," σημεῖόν ἐστι τοῦ μὴ τὸν ἐκ σώματος καὶ ψυχῆς, ἀλλὰ τὸν ἀρετῇ κεχρημένον δηλοῦσθαι. Ὄντως γὰρ ὁ ἀληθινὸς οὗτός ἐστιν, ὃν καὶ τῶν παλαιῶν λύχνον τις μεσημβρίας ἀψάμενος πρὸς τοὺς πυνθανομένους, "ἄνθρωπον" ἔφη "ζητεῖν." Τὸ δὲ μὴ πρὸς πάντα οἰκεῖον προςέρχεσθαι τῆς σαρκὸς, ἔχει λόγον ἀναγκαῖον. Ἔνια γὰρ προςετέον, οἷον αὐτὰ τὰ ἐπιτήδεια, οἷς χρώμενοι ζῆν ἀνόσως καὶ ὑγιεινῶς δυνησόμεθα· τὰ δὲ περιττὰ σκορακιστέον, ὑφ' ὧν ἐξαπτόμεναι αἱ ἐπιθυμίαι τὰ σπουδαῖα πάντα ῥύμῃ μιᾷ καταφλέγουσι. Μὴ πρὸς πάντα οὖν τὰ τῇ σαρκὶ φίλα αἱ ὀρέξεις ἀνερεθιζέσθωσαν· ἡδοναὶ γὰρ αἱ ἀτίθασσοι πολλάκις, ὅταν κυνῶν τρόπον προςσαίνωσιν, ἐξ ὑποστροφῆς ἀνίατα ἔδακον. Ὥςτε τὴν ἀρετῆς φίλην ὀλιγόδειαν πρὸ τῶν σώματος οἰκείων ἀσπαζόμενοι, τὸν πολὺν καὶ ἀνήνυτον ὄχλον ἀσπόνδων ἐχθρῶν καταλύομεν. Ἐὰν δέ πού τις 289 καιρὸς βιάζηται πλείω τῶν μετρίων καὶ ἱκανῶν λαμ- P. βάνειν, αὐτοὶ μὴ προςερχώμεθα· λέγει γὰρ, "Οὐ προςελεύσεται αὐτὸς ἀποκαλύψαι ἀσχημοσύνην."

*) Lev. 18, 6.

§. 9. *Τί δὲ τοῦτό ἐστιν, ἄξιον ἀναπτύξαι.* Πολ-
λάκις οὐ γενόμενοί τινες πορισταὶ τῶν χρημάτων,
ἄφθονον ἔσχον περιουσίαν· ἕτεροι δὲ δόξαν οὐκ
ἐπιτηδεύσαντες, ἐπαίνων δημοσίᾳ καὶ τιμῶν ἠξιώ-
θησαν· τοῖς δὲ οὐδὲ μικρὰν ἰσχὺν ἐλπίσασι μεγίστη
προςεγένετο εὐτονία. Μαθέτωσαν δὴ πάντες οὗτοι
μηδενὶ προςέρχεσθαι γνώμῃ τῶν εἰρημένων· τοῦτο
δέ ἐστι, μὴ θαυμάζειν αὐτὰ καὶ ἀποδέχεσθαι πλέον
268 τοῦ μετρίου· κρίνοντας ἕκαστον αὐτῶν οὐκ ἀγα-
M. θὸν μόνον, ἀλλὰ καὶ μέγιστον κακὸν, τὰ χρήματα,
τὴν δόξαν, τὴν σωμάτων δύναμιν. Φιλαργύροις μὲν
γὰρ ἡ πρὸς ἀργύριον, φιλοδόξοις δὲ ἡ πρὸς δόξαν,
φιλάθλοις δὲ καὶ φιλογυμνασταῖς ἡ πρὸς ἰσχὺν
πρόςοδος οἰκεία. Τὸ γὰρ ἄμεινον, τὴν ψυχὴν, τοῖς
χείροσιν ἐκδεδώκασιν, ἀψύχοις. Ὅσοι δὲ ἑαυτῶν
ἐντός εἰσι, τὰς λαμπρὰς καὶ περιμαχήτους εὐπρα-
γίας ὑπηκόους ἀποφαίνουσιν ὡς ἡγεμόνι τῷ νῷ,
προσιούσας μὲν δεχόμενοι πρὸς ἐπανόρθωσιν, μα-
κρὰν δὲ ἀφεστηκυίαις οὐ προςερχόμενοι, ὡς καὶ
δίχα αὐτῶν δυνηθέντες ἂν εὐδαιμονῆσαι. Ὁ δὲ
μετιὼν καὶ κατ' ἴχνος βαίνειν ἐθέλων, αἰσχρᾶς ἀνα-
πίμπλησι δόξης φιλοσοφίαν· οὗ χάριν λέγεται "ἀπο-
καλύψαι τὴν ἀσχημοσύνην." Πῶς γὰρ οὐκ ἐναργῆ
καὶ πρόδηλα τὰ ὀνείδη, τῶν λεγόντων μὲν εἶναι
σοφῶν, πωλούντων δὲ σοφίαν καὶ ἐπευωνιζόντων,
ὥςπερ φασὶ τοὺς ἐν ἀγορᾷ τὰ ὤνια προκηρύττοντας,
τοτὲ μὲν μικροῦ λήμματος, τοτὲ δὲ ἡδέος καὶ εὐ-
παραγώγου λόγου, τοτὲ δὲ ἀβεβαίου ἐλπίδος ἀπὸ
μηδενὸς ἠρτημένης ἐχυροῦ, ἔστι δὲ ὅτε καὶ ὑπο-
σχέσεων, αἳ διαφέρουσιν ὀνειράτων οὐδέν;

§. 10. Τὸ δὲ ἐπιφερόμενον, "Ἐγὼ κύριος," παγκάλως καὶ σφόδρα παιδευτικῶς εἴρηται. Ἀντίθες γὰρ, φησὶν, ὦ γενναῖε, τὸ σαρκὸς ἀγαθὸν τῷ τῆς ψυχῆς καὶ τῷ τοῦ παντὸς ἀγαθῷ· οὐκοῦν τὸ μὲν σαρκός ἐστιν ἄλογος ἡδονὴ, τὸ δὲ τῆς ψυχῆς καὶ τοῦ παντὸς ὁ νοῦς τῶν ὅλων, θεός. Ἐφάμιλλος

τε καὶ ἀσύγκριτος ἡ σύγκρισις, ὡς παρὰ τὴν ἐγγὺς ὁμοιότητα ἀπατηθῆναι· εἰ μὴ καὶ ἔμψυχα ἀψύχοις ἐρεῖ τις, καὶ λογικὰ ἀλόγοις, καὶ ἡρμοσμένα ἀναρμόστοις, καὶ περιττοῖς ἄρτια, καὶ φωτὶ σκότος, καὶ ἡμέραν νυκτὶ, καὶ πάντα τὰ ἐναντία τοῖς ἐναντίοις, τὰ αὐτὰ εἶναι πρὸς ἀλήθειαν. Καί τοι εἰ καὶ ταῦτα τῷ γένεσιν ἐνδεδέχθαι κοινωνίαν τινὰ ἔχει καὶ συγγένειαν, ἀλλά γε ὁ θεὸς οὐδὲ τῷ ἀρίστῳ τῶν φύντων ὅμοιος· ὅτιπερ τὸ μὲν γέγονέ τε καὶ πείσεται,
ὁ δέ ἐστιν ἀγέννητός τε καὶ ποιῶν ἀεί. Καλὸν 290
δὴ μὴ λειποτακτῆσαι μὲν τῆς τοῦ θεοῦ τάξεως, ἐν P.
ᾗ τοὺς τεταγμένους πάντας ἀριστεύειν ἀνάγκη, αὐτομολῆσαι δὲ πρὸς τὴν ἄνανδρον καὶ κεκλασμένην ἡδονὴν, ἣ βλάπτει μὲν τοὺς φίλους, ὠφελεῖ δὲ τοὺς ἐχθρούς. Καινοτάτη γάρ τις αὐτῆς ἡ φύσις. Οἷς μὲν ἂν ἐθελήσῃ τῶν οἰκείων ἀγαθῶν μεταδοῦναι, τούτους εὐθὺς ἐζημίωσεν· οὓς δ' ἂν ἀφελέσθαι, τὰ μέγιστα ὤνησε. Βλάπτει μὲν γάρ, ὅταν διδῷ, χαρίζεται δὲ ὅταν ἀφαιρῆται. Ἐὰν οὖν, ὦ ψυχὴ, προςκαλῆταί σέ τι τῶν τῆς ἡδονῆς φίλτρων, μετάκλινε σεαυτὴν, καὶ ἀντιπεριάγουσα τὴν ὄψιν κάτιδε τὸ γνήσιον ἀρετῆς κάλλος, καὶ ὁρῶσα ἐπίμεινον, ἄχρις ἂν ἵμερος ἐνταχῇ σοι, καὶ ὡς σιδηρίτης λίθος ἐπισπάσηταί σε, καὶ ἐγγὺς ἀγάγῃ καὶ ἐξαρτήσῃ τοῦ ποθουμένου.

269 §. 11. Τὸ δὲ "Ἐγὼ κύριος" ἀκουστέον οὐ μό-
M. νον ἐν ἴσῳ τῷ "ἐγὼ τὸ τέλειον καὶ ἄφθαρτον καὶ πρὸς ἀλήθειαν ἀγαθὸν," οὗ περιεχόμενός τις τὸ ἀτελὲς καὶ φθαρτὸν καὶ σαρκῶν ἠρτημένον ἀποστραφήσεται· ἀλλὰ καὶ ἀντὶ τοῦ "ἐγὼ ὁ ἄρχων καὶ ὁ βασιλεὺς καὶ δεσπότης." Οὔτε δὲ ὑπηκόοις, παρόντων ἡγεμόνων, οὔτε δούλοις δεσποτῶν, ἀδικεῖν ἀσφαλές. Ἐγγὺς γὰρ ὅταν ὦσιν οἱ κολασταὶ, φόβῳ σωφρονίζονται οἱ ἐξ αὐτῶν μὴ πεφυκότες νουθετεῖσθαι. Πάντα γὰρ πεπληρωκὼς ὁ θεὸς, ἐγγύς ἐστιν, ὥςτε ἐφορῶντος καὶ πλησίον ὄντος μάλιστα

μὲν αἰδεσθέντες, εἰ δὲ μὴ τοῦτο, εὐλαβηθέντες γοῦν τὸ ἀνίκητον κράτος τῆς ἀρχῆς αὐτοῦ, καὶ τὸ φοβερὸν καὶ ἀπαραίτητον ἐν ταῖς τιμωρίαις, ὁπότε τῇ κολαστηρίῳ χρῆσθαι δυνάμει διανοηθείη, ἠρεμήσαμεν ἀδικοῦντες· ἵνα καὶ τὸ σοφίας πνεῦμα θεῖον μὴ ῥᾳδίως μεταναστὰν οἰχήσηται, πάμπολυν δὲ χρόνον καταμείνῃ παρ᾽ ἡμῖν, ἐπεὶ καὶ παρὰ Μωϋσεῖ τῷ σοφῷ. Χρῆται γὰρ οὗτος ταῖς εἰρηνικωτάταις σχέσεσιν, ἢ ἑστὼς ἢ καθεζόμενος ἥκιστα τροπαῖς τε καὶ μεταβολαῖς χρῆσθαι πεφυκώς. Λέγει γὰρ, "Ὁ Μωϋσῆς καὶ ἡ κιβωτὸς οὐκ ἐκινήθησαν*)," ἤτοι παρ᾽ ὅσον ὁ σοφὸς ἀχώριστος ἀρετῆς, ἢ παρ᾽ ὅσον οὔτε ἀρετὴ κινητὸν, οὔτε σπουδαῖος μεταβλητὸν, ἀλλ᾽ ἑκάτερον ὀρθοῦ λόγου βεβαιότητι ἱδρυμένον. Καὶ πάλιν ἐν ἑτέροις, "Σὺ δὲ αὐτοῦ στῆθι μετ᾽ ἐμοῦ**)." Λόγιον γάρ ἐστι τοῦτο χρησθὲν τῷ προφήτῃ, στάσις τε καὶ ἠρεμία ἀκλινὴς ἡ παρὰ τὸν ἀκλινῶς ἑστῶτα ἀεὶ θεόν. Ἀνάγκη γὰρ ὑγιεῖ κανόνι τὰ παρατιθέμενα εὐθύνεσθαι. Διὰ τοῦτό μοι δοκεῖ καὶ ὁ περισσὸς τῦφος, ἐπίκλησιν Ἰοθὸρ, καταπλαγεὶς τὴν ἀῤῥεπῆ καὶ ἰσοτάτην, καὶ κατὰ τὰ αὐτὰ καὶ ὡςαύτως ἔχουσαν προαίρεσιν τοῦ σοφοῦ, σχετλιάζειν καὶ ἀναπυνθάνεσθαι τὸν τρόπον τοῦτον, "Διὰ τί σὺ κάθησαι μόνος***);" Ἰδὼν γάρ τις τὸν ἐν εἰρήνῃ συνεχῆ πόλεμον ἀνθρώπων οὐ κατὰ ἔθνη καὶ χώρας καὶ πόλεις αὐτὸ μόνον συνιστάμενον, 291
ἀλλὰ καὶ κατ᾽ οἰκίας, μᾶλλον δὲ καὶ καθ᾽ ἕνα ἄν- P.
δρα ἕκαστον, καὶ τὸν ἐν ταῖς ψυχαῖς ἄλεκτον καὶ βαρὺν χειμῶνα, ὃς ὑπὸ βιαιοτάτης φορᾶς τῶν κατὰ βίον πραγμάτων ἀναῤῥιπίζεται, τεθαύμακεν εἰκότως, εἴ τις ἐν χειμῶνι εὐδίαν, καὶ ἐν κλύδωνι κυμαινούσης θαλάσσης γαλήνην ἄγειν δύναται. Ὁρᾷς ὅτι οὐδὲ ὁ ἀρχιερεὺς λόγος ἐνδιατρίβειν ἀεὶ καὶ σχολάζειν ἐν τοῖς ἁγίοις δώμασι δυνάμενος, ἄδειαν ἔσχηκε

*) Num. 14, 44. **) Deut. 5, 31. ***) Exod. 18, 14.

270 κατὰ πάντα καιρὸν πρὸς αὐτὰ φοιτᾶν, ἀλλ' ἅπαξ
M. δι' ἐνιαυτοῦ μόλις; Τὸ μὲν γὰρ μετὰ λόγου τοῦ κατὰ
προφορὰν οὐ βέβαιον, ὅτι δυάς. Τὸ δὲ ἄνευ φωνῆς μόνῃ ψυχῇ τὸ ὂν θεωρεῖν, ἐχυρώτατον, ὅτι κατὰ τὴν ἀδιαίρετον ἵσταται μονάδα.

§. 12. Ὥςτε οὖν ἐν μὲν τοῖς πολλοῖς, τουτέστι τοῖς πολλὰ τοῦ βίου τέλη προτεθειμένοις, οὐ καταμένει τὸ θεῖον πνεῦμα, καὶ ἂν πρὸς ὀλίγον χρόνον ἀναστραφῇ, μόνῳ δὲ ἀνθρώπων εἴδει ἑνὶ παραγίνεται, ὃ πάντα ἀπαμφιασάμενον τὰ ἐν γενέσει, καὶ τὸ ἐσώτατον καταπέτασμα καὶ προκάλυμμα τῆς δόξης, ἀνειμένῃ καὶ γυμνῇ τῇ διανοίᾳ πρὸς θεὸν ἀφίξεται. Οὕτω καὶ Μωϋσῆς ἔξω τῆς παρεμβολῆς καὶ τοῦ σωματικοῦ παντὸς στρατοπέδου πήξας τὴν ἑαυτοῦ σκηνὴν *), τουτέστι τὴν γνώμην ἱδρυσάμενος ἀκλινῆ, προςκυνεῖν τὸν θεὸν ἄρχεται, καὶ εἰς τὸν γνόφον, τὸν ἀειδῆ χῶρον, εἰςελθὼν, αὐτοῦ καταμένει, τελούμενος τὰς ἱερωτάτας τελετάς. Γίνεται δὲ οὐ μόνον μύστης, ἀλλὰ καὶ ἱεροφάντης ὀργίων καὶ διδάσκαλος θείων, ἃ τοῖς ὦτα κεκαθαρμένοις ὑφηγήσεται. Τούτῳ μὲν οὖν τὸ θεῖον ἀεὶ παρίσταται πνεῦμα, πάσης ὀρθῆς ἀφηγούμενον ὁδοῦ· τῶν δὲ ἄλλων, ὡς ἔφην, τάχιστα διαζεύγνυται, ὧν καὶ τὸν βίον ἐν εἴκοσι καὶ ἑκατὸν ἐτῶν ἀριθμῷ πεπλήρωκε. Λέγει γὰρ, „Ἔσονται αἱ ἡμέραι αὐτῶν ἔτη ἑκατὸν εἴκοσιν**).“ Ἀλλὰ καὶ Μωϋσῆς τῶν ἴσων γενόμενος ἐτῶν τοῦ θνητοῦ βίου μετανίσταται. Πῶς οὖν εἰκὸς ἰσοχρονίους εἶναι τοὺς ὑπαιτίους τῷ πανσόφῳ προφήτῃ; Εἰς μὲν οὖν τὸ παρὸν ἀρκέσει τοῦτο εἰπεῖν, ὅτι τὰ ὁμώνυμα οὐ πάντως ἔσθ' ὅμοια, πολλάκις δὲ καὶ ὅλῳ γένει διέζευκται, καὶ ὅτι τὸ φαῦλον τῷ σπουδαίῳ δύναται μὲν καὶ ἀριθμοὺς καὶ χρόνους ἔχειν τοὺς ἴσους, ἐπεὶ καὶ δίδυμον εἰςάγεται, ἀπηρτημένας δὲ καὶ μακρὰν ἀλλήλων διῳκισμένας

*) Exod. 33, 7. **) Gen. 6, 4. Deut. 34, 7.

τὰς δυνάμεις. Τὸν δὲ ἀκριβῆ λόγον τῶν εἴκοσι καὶ ἑκατὸν ἐτῶν ὑπερθησόμεθα εἰς τὴν τοῦ προφητικοῦ βίου παντὸς ἐξέτασιν, ὅταν αὐτὸν ἱκανοὶ γενώμεθα μυεῖσθαι, νυνὶ δὲ τὰ ἑξῆς λέγωμεν.

§. 13. „Οἱ δὲ γίγαντες ἦσαν ἐπὶ τῆς γῆς ἐν
ταῖς ἡμέραις ἐκείναις.*)" Ἴσως τις τὰ παρὰ τοῖς 292
ποιηταῖς μεμυθευμένα περὶ τῶν γιγάντων οἴεται τὸν P.
νομοθέτην αἰνίττεσθαι, πλεῖστον ὅσον διεστηκότα τοῦ
μυθοπλαστεῖν, καὶ τοῖς τῆς ἀληθείας ἴχνεσιν αὐτῆς
ἐπιβαίνειν ἀξιοῦντα. Παρ' ὃ καὶ τὰς δοκίμους καὶ
γλαφυρὰς τέχνας, ζωγραφίαν καὶ ἀνδριαντοποιΐαν, ἐκ
271 τῆς καθ' αὑτὸν πολιτείας ἐξήλασεν, ὅτι τὴν τοῦ
M. ἀληθοῦς ψευδόμεναι φύσιν, ἀπάτας καὶ σοφίσματα
δι' ὀφθαλμῶν ψυχαῖς εὐπαραγώγοις τεχνιτεύουσι. Μῦθον μὲν οὖν οὐδένα περὶ γιγάντων εἰσηγεῖται τὸ παράπαν· βούλεται δὲ ἐκεῖνό σοι παραστῆσαι, ὅτι οἱ μὲν γῆς, οἱ δὲ οὐρανοῦ, οἱ δὲ θεοῦ γεγόνασιν ἄνθρωποι. Γῆς μέν, οἱ θηρευταὶ τῶν σώματος ἡδονῶν, ἀπόλαυσίν τε καὶ χρῆσιν ἐπιτηδεύοντες αὐτῶν, καὶ πορισταὶ τῶν συντεινόντων ἑκάστην. Οὐρανοῦ δέ, ὅσοι τεχνῖται καὶ ἐπιστήμονες καὶ φιλομαθεῖς· τὸ γὰρ οὐράνιον τῶν ἐν ἡμῖν, ὁ νοῦς· νοῦς δὲ καὶ τῶν κατ' οὐρανὸν ἑκάστων, τὰ ἐγκύκλια καὶ τὰς ἄλλας ἁπαξαπάσας ἐπιτηδεύει τέχνας, παραθήγων καὶ ἀκονῶν ἔτι τε γυμνάζων καὶ συγκροτῶν ἐν τοῖς νοητοῖς αὐτόν. Θεοῦ δὲ ἄνθρωποι ἱερεῖς καὶ προφῆται, οἵτινες οὐκ ἠξίωσαν πολιτείας τῆς παρὰ τῷ κόσμῳ τυχεῖν, καὶ κοσμοπολῖται γενέσθαι· τὸ δὲ αἰσθητὸν πᾶν ὑπερκύψαντες εἰς τὸν νοητὸν κόσμον μετανέστησαν, καὶ ἐκεῖθι ᾤκησαν, ἐγγραφέντες ἀφθάρτων ἀσωμάτων ἰδεῶν πολιτείᾳ.

§. 14. Ὁ γοῦν Ἀβραὰμ μέχρι μὲν διατρίβων ἦν ἐν τῇ Χαλδαίων γῇ τε καὶ δόξῃ, πρὶν ἂν μετονομασθῆναι καλούμενος Ἀβράμ, ἄνθρωπος οὐρανοῦ,

*) Gen. 6, 4.

τήν τε μετάρσιον καὶ τὴν αἰθέριον φύσιν διερευνῶν, καὶ τά τε συμβαίνοντα, καὶ τὰς αἰτίας, καὶ εἴ τι ἄλλο ὁμοιότροπον φιλοσοφῶν· οὗ χάριν καὶ προςρήσεως οἷς ἐπιτετήδευκε ἔτυχεν οἰκείας. Ἀβρὰμ γὰρ ἑρμηνευθεὶς πατήρ ἐστι μετέωρος, ὄνομα τοῦ τὰ μετέωρα καὶ ἐπουράνια περισκοπουμένου πάντα πάντη νοῦ πατρός· πατὴρ δὲ τοῦ συγκρίματος ὁ νοῦς ἐστιν, ὁ ἄχρις αἰθέρος καὶ ἔτι παραιτέρω μηκυνόμενος. Ὅταν δὲ βελτιωθεὶς μέλλῃ μετονομάζεσθαι, γίνεται ἄνθρωπος θεοῦ, κατὰ τὸ χρησθὲν αὐτῷ λόγιον, "Ἐγώ εἰμι ὁ θεός σου· εὐαρέστει ἐναντίον ἐμοῦ, καὶ γίνου ἄμεμπτος *)." Εἰ δὲ ὁ τοῦ κόσμου θεὸς καὶ μόνος αὖ θεὸς, καὶ αὐτοῦ κατὰ χάριν ἐξαίρετον ἰδίᾳ θεὸς, ἐξ ἀνάγκης δήπου καὶ αὐτὸς θεοῦ. Καλεῖται γὰρ πατὴρ ἐκλεκτὸς ἠχοῦς ἑρμηνευθεὶς Ἀβραὰμ, ὁ τοῦ σπουδαίου λογισμός· ἐξειλεγμένος τε γὰρ καὶ κεκαθαρμένος, καὶ πατὴρ φωνῆς ᾗ συνηχοῦμεν. Ὁ δὲ τοιοῦτος τῷ ἑνὶ μόνῳ προςκεκλήρωται θεῷ, οὗ γενόμενος ὀπαδὸς, εὐθύνει τὴν ἀτραπὸν τοῦ παντὸς βίου· βασιλικῇ τῷ ὄντι χρώμενος 293
ὁδῷ, τῇ τοῦ μόνου βασιλέως καὶ παντοκράτορος, P.
ἐπὶ μηδέτερα ἀποκλίνων καὶ ἐκτρεπόμενος.

§. 15. Οἱ δὲ γῆς παῖδες τὸν νοῦν ἐκβιβάσαντες
272 τοῦ λογίζεσθαι, καὶ μεταλλεύσαντες εἰς τὴν ἄψυχον
M. καὶ ἀκίνητον σαρκῶν φύσιν, — "ἐγένοντο γὰρ οἱ δύο εἰς σάρκα μίαν **)," ἤ φησιν ὁ νομοθέτης, — τὸ ἄριστον ἐκιβδήλευσαν νόμισμα, καὶ τὴν μὲν ἀμείνω καὶ οἰκείαν τάξιν ἔλιπον, πρὸς δὲ τὴν χείρω καὶ ἐναντίαν ηὐτομόλησαν, ἄρξαντος τοῦ ἔργου Νεβρώδ. Λέγει γὰρ ὁ νομοθέτης, "Ὅτι οὗτος ἤρξατο εἶναι γίγας ἐπὶ τῆς γῆς ***)." Ἑρμηνεύεται δὲ Νεβρὼδ αὐτομόλησις. Οὐ γὰρ ἐξήρκεσε τῇ παναθλίᾳ ψυχῇ μετὰ μηδετέρων στῆναι, ἀλλὰ προςχωρήσασα τοῖς ἐχθροῖς ὅπλα κατὰ τῶν φίλων ἤρατο, καὶ φανερῶς

---

*) Gen. 17, 1. **) Gen. 2, 24. ***) Gen. 10, 9 sq.

ἀνθεστῶσα αὐτοῖς ἐπολέμει. Παρ' ὃ καὶ τὴν ἀρχὴν τῷ Νεβρὼδ τῆς βασιλείας ὑπογράφει Βαβυλῶνα, μετάθεσις δὲ καλεῖται Βαβυλὼν, συγγενὴς αὐτομολίᾳ, καὶ ὄνομα ὀνόματι, καὶ ἔργον ἔργῳ. Παντὸς γὰρ αὐτομολοῦντος προοίμια γνώμης μεταβολὴ καὶ μετάθεσις. Ἀκόλουθον ἂν εἴη λέγειν, ὅτι κατὰ τὸν ἱερώτατον Μωϋσέα ὁ μὲν φαῦλος, ὥςπερ ἄοικος καὶ ἄπολις καὶ ἀνίδρυτος καὶ φυγὰς, οὕτω καὶ αὐτόμολος, ὁ δὲ σπουδαῖος βεβαιότατος σύμμαχος. Τοσαῦτα εἴς γε τὸ παρὸν ἀρκούντως περὶ τῶν γιγάντων εἰρηκότες, ἐπὶ τὰ ἀκόλουθα τοῦ λόγου τρεψώμεθα. Ἔστι δὲ ταῦτα.

ὍΤΙ ΑΤΡΕΠΤΟΝ ΤΟ ΘΕΙΟΝ.

ARGUMENTUM LIBRI QUOD DEUS SIT IMMUTABILIS.

(Cf. Gen. 6, 4 — 12.)

Quam diu spiritus divinus, i. e. mens sana, in homine manet, nullus mendax angelus eius animum subintrat. Quando vero lux illa evanuit, angeli eius generis coëunt cum filiabus, i. e. affectibus effeminatis et dissolutis, et gignere sibi incipiunt, non deo (1). Servanda igitur et nutrienda mens pura, ad exempla Abrami et Annae, qui natos suos non a semet ipsis repetierunt, sed a gratia dei (2). Huic enim, quum solus immutabilis sit, summa fides habenda, omniaque facere nos decet propter illum, non propter nos (3 et 4). Male putant quidam deum poenitere posse rei ab ipso creatae; deus enim praeter omnia immota illa et indeflexa constantia gaudet, quam sapientissimus quisque sectari studet et suadet. Immo poenitere et mutari in melius hominum est, idque his quidem convenientissimum (5 et 6). Homo enim ornatus est mente, dono divino, quae facultate praedita est libere cogitandi et agendi ita, ut pariter meliora eligere, et deteriora fugere possit. Inde sequitur, ut, qui illa sectatus fuerit, praemiis, at qui haec eler

gerit, poenis afficiatur, nisi poenitentiam egerit (7—10). Errant etiam, qui peccatis hominum iram in deo excitari posse credunt. Ipsa enim lex divina docet, deum non esse sicut hominem (11), non igitur indigere eum adminiculo sensuum et affectuum ad perficienda ea, quae vult (12); Moyses vero et multi poëtarum deum irascentem et minitantem dicunt, ut terrorem peccatoribus tardis ad poenitentiam incutiant (13 et 14). In deo etiam misericordia antiquior iustitia (15 et 16). Temperatis enim deus erga creatos a se potentiis utitur, quippe quorum natura meras capere non possit (17 et 18). Optimum tamen contingit nobis, quando idem, quod Noachus, invenimus, vel nulla vel summa cura id quaerentes, immortalem illam sapientiam, quae soli gratiae divinae debetur (19 — 21). Hac enim duce discimus, causam mundi creati esse dei benignitatem (22 et 23), propter quam deo esse exhibendum animum pietatis virtutisque amantem, non rerum turpium desiderio vincitum (24). Quod si didiceris, longa beneſactorum progenies ex te procedet, qualis erat Noachi (25). Non mirandum porro, quod post Noachum laudatum terra dicitur corrupta. Nam si singuli cuiusdam eximiae virtutes prolatae sunt, sequitur, ut ceterorum pravi indoles, malique mores statim appareant, quem ad modum caro viva leprae index est (26 — 29). Talium consortium, si quales sunt illa ratione apparuerit, vitandum, et regia potius sapientiae via ad huius terminos tendendum, qui sunt scientia et cognitio dei (30). Praetereunda omnia quoque, quae vere terrena dicere licet, divitiae, honores, alia, ut Israelitae agros Edomitarum transire aversati sunt (31 — 33). Vana enim illa sunt et cito peritura; aeterni vero illi thesauri, qui quem ad modum Moyses precatur piis apud deum adservantur (34). Via illa regia merito etiam dicitur media, quoniam qui hac incedunt, neque excessum neque defectum subeunt (35), sed omnes res mortales, quae, ut Graecia, Persia, Aegyptus, aliaeque regiones quondam florentes, nunc depressae docent, undarum more semper fluctuant, devitant, et ea tantum expetunt, quae sunt aeterna; hae autem solae sunt res divinae, earumque scientia (36 et 37).

---

§. 1. „*Καὶ μετ' ἐκεῖνο*", φησίν, „ὡς ἂν εἰςεπορεύοντο οἱ ἄγγελοι τοῦ θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων, καὶ ἐγέννων αὐτοῖς". Οὐκοῦν

ἄξιον σκέψασθαι, τίνα ἔχει λόγον τὸ μετ' ἐκεῖνο.
Ἔστι τοίνυν ἀναφορὰ δεικνῦσά τι τῶν προειρημένων
ἐναργέστερον. Προείρηται δὲ περὶ θείου πνεύματος, ὃ
καταμεῖναι μέχρι τοῦ παντὸς αἰῶνος ἐν πολυσχιδεῖ καὶ
πολυμόρφῳ ψυχῇ, σαρκῶν ὄχλον βαρύτατον ἄχθος
273 ἀνημμένῃ, δυσεργότατον εἶπεν εἶναι. Μετ' ἐκεῖνο δὴ
M. τὸ πνεῦμα οἱ ἄγγελοι πρὸς τὰς θυγατέρας τῶν ἀν- 294
θρώπων εἰσίασιν. Ἕως μὲν γὰρ ἐκλάμπουσι τῇ ψυχῇ P.
καθαραὶ φρονήσεως αὐγαί, δι' ὧν τὸν θεὸν καὶ τὰς
αὐτοῦ δυνάμεις ὁρᾷ ὁ σοφός, οὐδεὶς τῶν ψευδαγγε-
λούντων ἐπεισέρχεται τῷ λογισμῷ, ἀλλ' ἔξω περιῤ-
ῥαντηρίων ἅπαντες εἴργονται. Ὅταν δὲ ἀμυδρωθὲν
ἐπισκιασθῇ τὸ διανοίας φῶς, οἱ τοῦ σκότους ἑταῖροι
παρευημερήσαντες, πάθεσι τοῖς κατεαγόσι καὶ τεθη-
λυμμένοις, ἃς θυγατέρας εἴρηκεν ἀνθρώπων, συνέρ-
χονται καὶ γεννῶσιν ἑαυτοῖς, οὐ τῷ θεῷ. Τὰ μὲν
γὰρ οἰκεῖα τοῦ θεοῦ γεννήματα, αἱ ὁλόκληροι ἀρε-
ταί, τὰ δὲ συγγενῆ τῶν φαύλων αἱ ἀνάρμοστοι κα-
κίαι. Μάθε δέ, εἰ θέλεις, ὦ διάνοια, τὸ μὴ ἑαυ-
τῇ γεννᾶν, οἷόν ἐστι, παρὰ Ἀβραὰμ τοῦ τελείου, ὃς
τὸ "ἀγαπητὸν καὶ μόνον τῆς ψυχῆς ἔγγονον γνή-
σιον *)," τῆς αὐτομαθοῦς σοφίας εἰκόνα ἐναργεστά-
την, ἐπίκλησιν Ἰσαάκ, ἀνάγει θεῷ, καὶ ἀποδίδωσι
μετὰ πάσης εὐθυμίας ἀναγκαῖον καὶ ἁρμόττον χα-
ριστήριον· "συμποδίσας **)," ὥς φησιν ὁ νόμος,
τὸ καινουργηθὲν ἱερεῖον, ἤτοι παρ' ὅσον ἐπ' οὐδενὸς
θνητοῦ βαίνειν ἅπαξ ἐπιθειάσας ἠξίου, ἢ παρ' ὅσον
ἀνίδρυτον καὶ ἄστατον κατεῖδε τὴν γένεσιν, ὅτε τὴν
περὶ τὸ ὂν ἀνενδοίαστον ἔγνω βεβαιότητα, "ᾗ λέγεται
πεπιστευκέναι ***)."

§. 2. Τούτου γίνεται μαθητρὶς καὶ διάδοχος
Ἄννα, τῆς τοῦ θεοῦ δώρημα σοφίας· ἑρμηνεύεται
γὰρ χάρις αὐτῆς. Ἐπειδὴ γὰρ ἐγκύμων ἐγένετο, πα-
ραδεξαμένη θείας γονάς, καὶ ταῖς τελεσφόροις ἐχρή-

*) Gen. 22, 2. **) Ib. 9. ***) Gen. 15, 6.

σατο ὠδῖσι, τὸν τεταγμένον ἐν τῇ τοῦ θεοῦ τάξει τρόπον ἀποκυήσασα, ὃν ἐφήμισε Σαμουήλ· καλεῖται δὲ ἑρμηνευθεὶς "τεταγμένος θεῷ". Λαβοῦσα ἀνταποδίδωσι τῷ δόντι, μηδὲν ἴδιον ἑαυτῆς κρίνουσα ἀγαθὸν, ὃ μὴ χάρις ἐστὶ θεία. Λέγει γὰρ ἐν τῇ πρώτῃ τῆς βασιλειῶν *) αὕτη τὸν τρόπον τοῦτον, "Δίδωμί σοι αὐτὸν δοτὸν **)," ἐν ἴσῳ τῷ δοτὸν ὄντα, ὥστ' εἶναι "τὸν δεδομένον δίδωμι", κατὰ τὸ ἱερώτατον Μωϋσέως γράμμα τοῦτο, "Τὰ δῶρά μου, δόματά μου, καρπώματά μου διατηρήσετε προςφέρειν ἐμοί ***)." Τίνι γὰρ εὐχαριστητέον ἄλλῳ, πλὴν θεῷ; Διὰ τίνων δὲ, ὅτι μὴ διὰ τῶν ὑπ' αὐτοῦ δοθέντων; Οὐδὲ γὰρ ἄλλων εὐπορῆσαι δυνατόν. Χρεῖος δὲ οὐδενὸς ὢν κελεύει προςφέρειν αὐτῷ τὰ ἑαυτοῦ δι' ὑπερβολὴν τῆς πρὸς τὸ γένος ἡμῶν εὐεργεσίας. Μελετήσαντες γὰρ εὐχαριστικῶς ἔχειν καὶ τιμητικῶς αὐτοῦ, καθαρεύσωμεν ἀδικημάτων, ἐκνιψάμενοι τὰ καταρρυπαίνοντα τὸν βίον ἔν τε λόγοις καὶ εἴδεσι καὶ ἔργοις. Καὶ γὰρ εὔηθες, εἰς μὲν τὰ
274 ἱερὰ μὴ ἐξεῖναι βαδίζειν, ὃς ἂν μὴ πρότερον λου-
M. σάμενος φαιδρύνηται τὸ σῶμα, εὔχεσθαι δὲ καὶ θύειν ἐπιχειρεῖν ἔτι κεκηλιδωμένῃ καὶ πεφυρμένῃ διανοίᾳ. Καίτοι τὰ μὲν ἱερὰ λίθων καὶ ξύλων ἀψύχου τῆς
ὕλης πεποίηνται, καθ' αὑτὸ δὲ καὶ τὸ σῶμα ἄψυχον 295
ἀψύχων οὐ προσάψεται, μὴ περιρραντηρίοις καὶ κα- P.
θαρσίοις ἁγνευτικοῖς χρησάμενον, ὑπομενεῖ δέ τις τῷ θεῷ προςελθεῖν, ἀκάθαρτος ὢν ψυχὴν τὴν ἑαυτοῦ τῷ καθαρωτάτῳ καὶ ταῦτα μὴ μέλλων μετανοήσειν; Ὁ μὲν γὰρ πρὸς τῷ μηδὲν ἐπεξεργάσασθαι κακὸν, καὶ τὰ παλαιὰ ἐκνίψασθαι δικαιώσας, γεγηθὼς προςίτω· ὁ δ' ἄνευ τούτων δυςκάθαρτος ὢν, ἀφιστάσθω. Λήσεται γὰρ οὐδέποτε τὸν τὰ ἐν μυχοῖς τῆς διανοίας ὁρῶντα, καὶ τοῖς ἀδύτοις αὐτῆς ἐμπεριπατοῦντα.

---

*) 1 Sam. 1, 20. **) Ibid. 28. ***) Num. 28, 2.

§. 3. Τῆς μέντοι θεοφιλοῦς ψυχῆς δεῖγμα ἐναργέστατόν ἐστι καὶ τὸ ᾆσμα, ἐν ᾧ περιέχεται τὸ, "Στεῖρα ἔτεκεν ἑπτὰ, ἡ δὲ πολλὴ ἐν τέκνοις ἠσθένησε *)." Καί τοί γε ἑνός ἐστι μήτηρ τοῦ Σαμουὴλ ἡ λέγουσα. Πῶς οὖν ἑπτὰ τετοκέναι φησὶν, εἰ μή τις μονάδα ἑβδομάδι τὴν αὐτὴν φυσικώτατα νομίζοι, οὐ μόνον ἐν ἀριθμοῖς, ἀλλὰ καὶ ἐν τῇ τοῦ παντὸς ἁρμονίᾳ, καὶ ἐν τοῖς τῆς ἐναρέτου λόγοις ψυχῆς; Ὁ γὰρ τεταγμένος μόνῳ θεῷ, Σαμουὴλ, ἄλλῳ δὲ τὸ παράπαν συνιὼν μηδενὶ, κατὰ τὸ ἓν καὶ τὴν μονάδα τὸ ὄντως ὂν κεκόσμηται. Αὕτη δὲ ἡ κατάστασίς ἐστιν ἑβδομάδος, ἀναπαυομένης ἐν θεῷ ψυχῆς, καὶ περὶ μηδὲν τῶν θνητῶν ἔργων ἔτι πονουμένης, κατὰ ἀπόλειψιν ἑξάδος, ἣν ἀπένειμε τοῖς τὰ πρωτεῖα λαβεῖν μὴ δυνηθεῖσι, δευτερείων δ᾽ ἐξ ἀνάγκης μεταποιουμένοις. Τὴν μὲν οὖν στεῖραν οὐ τὴν ἄγονον, ἀλλὰ τὴν στεῤῥὰν καὶ ἔτι σφριγῶσαν, τοὺς διὰ καρτερίας καὶ ἀνδρείας καὶ ὑπομονῆς ἐπὶ κτήσει τοῦ ἀρίστου διαθλοῦσαν ἄθλους, ἑβδομάδα τὸν ἰσότιμον μονάδι τίκτειν εἰκὸς, ὧν εὔτεκνος καὶ εὔπαις ἡ φύσις. "Τὴν δὲ πολλὴν ἀσθενεῖν ἐν τέκνοις" εἶπεν, ἀψευδῶς καὶ σφόδρα ἐναργῶς. Ὅταν γὰρ μία οὖσα ψυχὴ πολλὰ ὠδίνῃ τοῦ ἑνὸς ἀποστᾶσα, μυρία κατὰ τὸ εἰκὸς γίνεται· καὶ ἔπειτα πλήθει τέκνων ἐξηρτημένων βαρυνομένη καὶ πιεζομένη, ἔστι δὲ ἠλιτόμηνα καὶ ἀμβλωθρίδια τὰ πλεῖστα αὐτῶν, ἐξασθενεῖ. Τίκτει μὲν γὰρ τὰς πρὸς σχήματα καὶ χρώματα δι᾽ ὀφθαλμῶν ἐπιθυμίας· τίκτει δὲ τὰς πρὸς φωνὰς, δι᾽ ὤτων· ἐγκύμων δέ ἐστι καὶ τῶν γαστρὸς καὶ τῶν ὑπ᾽ αὐτὴν, ὥςτε πολλῶν ἐκκρεμαμένων ἐγγόνων, βαρύτατον ἄχθος φέρουσα παρίεται, καὶ χεῖρας ὑπ᾽ ἀσθενείας καθεῖσα ἀπολέγεται. Τοῦτον μὲν δὴ τὸν τρόπον ἡττῆσθαι συμβαίνει πᾶσιν, ὅσοι φθαρτοῖς ἑαυτοῖς φθαρτὰ γεννῶσιν.

*) 1 Sam. 2, 5.

σάλον, ὃν καταῤῥαγὲν σφοδρὸν πνεῦμα τὸ κακίας
αἰφνίδιον ἤγειρεν ἐπιστήμης καὶ σοφίας αὔραις ἀπο-
τίθεται, καὶ τὸ κυμαῖνον καὶ παρῳδηκὸς ὑφεῖσα, νη-
νέμῳ εὐδίᾳ χρωμένη γαληνιάζει· εἶτ' ἐνδοιάζεις, ὅτι
ὁ ἄφθαρτος καὶ μακάριος καὶ τῶν ἀρετῶν καὶ αὐτῆς
τελειότητος καὶ εὐδαιμονίας ἀνημμένος τὸ κράτος οὐ
χρῆται γνώμης μεταβολῇ, μένει δὲ ἐφ' ὧν ἐξ ἀρχῆς
ἐβουλεύσατο, οὐδὲν αὐτῶν μετατιθείς; Ἀνθρώποις
μὲν οὖν τὸ εὐμετάβολον, ἢ διὰ τὴν ἐν αὐτοῖς ἢ διὰ
τὴν ἐκτὸς ἀβεβαιότητα συμβαίνειν ἀνάγκη. Οἷον
οὕτω· φίλους ἑλόμενοι πολλάκις, καὶ βραχύν τινα
αὐτοῖς συνδιατρίψαντες χρόνον, οὐδὲν ἐπεγκαλεῖν
ἔχοντες, ἀπεστράφημεν, ὥστ' εἰς ἐχθρῶν ἢ ἀγνοου-
μένων γοῦν τάξιν ἐμβιβάσαι. Τοῦτο τὸ ἔργον κού-
φην εὐχέρειαν ἡμῶν αὐτῶν ἐλέγχει, τὰς ἐξ ἀρχῆς
ὑποθέσεις ἀδυνατούντων κραταιῶς διαφυλάττειν· ὁ
δὲ Θεὸς οὐχ ἀψίκορος. Καὶ μὲν ἔστιν ὅτε διανοού-
μεθα μὲν ἐπιμένειν κριτηρίοις τοῖς αὐτοῖς· οἱ δὲ
προσελθόντες οὐκ ἔμειναν ἐν ὁμοίῳ, ὥστ' ἐξ ἀνάγκης
καὶ αἱ ἡμέτεραι γνῶμαι συμμετέβαλον. Προϊδέσθαι γὰρ
ἢ μελλόντων πραγμάτων συντυχίας, ἢ γνώμας ἑτέρων,
ἄνθρωπον ὄντα, ἀμήχανον· τῷ δὲ Θεῷ, ὡς ἐν αὐ-
γῇ καθαρᾷ, πάντα ἀρίδηλα. Καὶ γὰρ ἄχρι καὶ
277 ψυχῆς μυχῶν φθάσας, ἃ τοῖς ἄλλοις ἐστὶν ἀόρα-
M. τα, τηλαυγῶς πέφυκε καθορᾶν, καὶ προμηθείᾳ καὶ
προνοίᾳ χρώμενος, οἰκείαις ἀρεταῖς, οὐδὲν ἀπελευ-
θεριάζειν καὶ ἔξω τῆς ἑαυτοῦ καταλήψεως βαίνειν
ἐᾷ. Ἐπειδήπερ οὐδ' ἡ μελλόντων ἀδηλότης αὐτῷ
συμβατή· οὔτε γὰρ ἄδηλον, οὔτε μέλλον ἐστὶ Θεῷ
οὐδέν. Δῆλον μὲν οὖν, ὅτι καὶ τῶν γεννηθέντων
τὸν φυτεύσαντα, καὶ τῶν δημιουργηθέντων τὸν τεχνί- 298
την καὶ τὸν ἐπίτροπον τῶν ἐπιτροπευομένων, ἐπιστή- P.
μονα ἀναγκαῖον εἶναι δεῖ. Ὁ δὲ πατὴρ καὶ τεχνίτης
καὶ ἐπίτροπος τῶν ἐν οὐρανῷ τε καὶ κόσμῳ πρὸς
ἀλήθειάν ἐστι. Καὶ μὴν τά γε μέλλοντα συσκιάζε-
ται ὑπὸ τοῦ αὖθις χρόνου, τοτὲ μὲν βραχεῖ τοτὲ δὲ

μακρῷ διαστήματι. Δημιουργὸς δὲ καὶ χρόνου θεός· καὶ γὰρ τοῦ πατρὸς αὐτοῦ πατὴρ, πατὴρ δὲ χρόνου κόσμος, τὴν κίνησιν αὐτοῦ γένεσιν ἀποφήνας ἐκείνου· ὥςτε υἱωνοῦ τάξιν ἔχειν πρὸς θεὸν τὸν χρόνον. Ὁ μὲν γὰρ κόσμος οὗτος νεώτερος υἱὸς θεοῦ, ἅτε αἰσθητὸς ὤν. Τὸν γὰρ πρεσβύτερον τούτου οὐδένα εἶπε, νοητὸς δ' ἐκεῖνος. Πρεσβείων δὲ ἀξιώσας, παρ' ἑαυτῷ καταμένειν διενοήθη. Οὗτος οὖν ὁ νεώτερος υἱὸς ὁ αἰσθητὸς κινηθεὶς, τὴν χρόνου φύσιν ἀναλάμψαι καὶ ἀνασχεῖν ἐποίησεν, ὥςτε οὐδὲν παρὰ θεῷ μέλλον, τῷ καὶ τὰ τῶν χρόνων ὑπηγμένῳ πέρατα. Καὶ γὰρ οὐ χρόνος, ἀλλὰ τὸ ἀρχέτυπον τοῦ χρόνου καὶ παράδειγμα αἰὼν ὁ βίος ἐστὶν αὐτῶν· ἐν αἰῶνι δὲ, οὔτε παρελήλυθεν οὐδὲν, οὔτε μέλλει, ἀλλὰ μόνον ὑφέστηκεν.

§. 7. Ἱκανῶς οὖν διειλεγμένοι περὶ τοῦ μὴ χρῆσθαι μετανοίᾳ τὸ ὂν, ἀκολούθως ἀποδώσομεν τί ἐστι τὸ "Ἐνεθυμήθη ὁ θεὸς ὅτι ἐποίησε τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς, καὶ διενοήθη". Ἔννοιαν καὶ διανόησιν, τὴν μὲν ἐναποκειμένην οὖσαν νόησιν, τὴν δὲ νοήσεως διέξοδον, βεβαιοτάτας δυνάμεις ὁ ποιητὴς τῶν ὅλων κληρωσάμενος, καὶ χρώμενος ἀεὶ ταύταις, τὰ ἔργα ἑαυτοῦ καταθεᾶται· τὰ μὲν δὴ μὴ λιπόντα τὴν τάξιν, τῆς πειθαρχίας ἕνεκα ἐπαινεῖ, τὰ δὲ μεθιστάμενα, τῇ κατὰ λειποτακτῶν ὡρισμένῃ μετέρχεται δίκῃ. Τῶν γὰρ σωμάτων τὰ μὲν ἐνεδύσατο ἕξει, τὰ δὲ φύσει, τὰ δὲ ψυχῇ, τὰ δὲ καὶ λογικῇ ψυχῇ. Λίθων μὲν οὖν καὶ ξύλων, ἃ δὴ τῆς συμφυΐας ἀπέσπασται,
278 δεσμὸν κραταιότατον ἕξιν εἰργάσατο· ἡ δέ ἐστι
M. πνεῦμα ἀναστρέφον ἐφ' ἑαυτῷ. Ἄρχεται μὲν γὰρ ἀπὸ τῶν μέσων ἐπὶ τὰ πέρατα τείνεσθαι, ψαῦσαν δὲ ἄκρας ἐπιφανείας ἀνακάμπτει πάλιν, ἄχρις ἂν ἐπὶ τὸν αὐτὸν ἀφίκηται τόπον, ἀφ' οὗ τὸ πρῶτον ὡρμήθη. Ἕξεως ὁ συνεχὴς οὗτος δίαυλος ἄφθαρτος, ὃν οἱ δρομεῖς ἀπομιμούμενοι ταῖς τριετηρίσιν, ἐν τοῖς ἀνθρώπων ἁπάντων κοινοῖς θεάτροις, ὡς μέ-

γα δὴ καὶ λαμπρὸν καὶ περιμάχητον ἔργον ἐπιδείκνυνται.

§. 8. *Τὴν δὲ φύσιν ἀπένειμε τοῖς φυτοῖς, κεϱασάμενος αὐτὴν ἐκ πλείστων δυνάμεων, θρεπτικῆς τε καὶ μεταβλητικῆς καὶ αὐξητικῆς· καὶ γὰρ τρέφεται τροφῆς ὄντα χρεῖα. Τεκμήριον δὲ, ὅτι τὰ μὴ ἀρδόμενα φθίνει καὶ ἀφαναίνεται, ὥςπερ αὖ τὰ ποτιζόμενα ἐμφανῶς αὔξεται. Τὰ γὰρ τέως διὰ βρα-* 299
χύτητα χαμαίζηλα ἐξαίφνης ἀναδραμόντα, ἔρνη γίνεται P.
περιμηκέστατα. Τί χρὴ λέγειν περὶ μεταβολῆς αὐτῶν; Ταῖς μὲν γὰρ χειμεριναῖς τροπαῖς τὰ πέταλα μαρανθέντα εἰς τὸ ἔδαφος κεῖται· οἵ τε ἐν ταῖς κληματίσι λεγόμενοι πρὸς τῶν γεωπόνων ὀφθαλμοὶ, καθάπερ ἐν τοῖς ζώοις, καταμύουσι, τά τε πρὸς τὰς ἐκφύσεις στόμια πάντα ἔσφιγκται, τῆς φύσεως εἴσω τότε συνειλημμένης καὶ ἡσυχαζούσης, ἵνα διαπνεύσασα οἷά τις ἀθλητὴς προηγωνισμένος, καὶ συλλεξαμένη τὴν ἰδίαν ἰσχὺν, πρὸς τοὺς ἐθάδας ἄθλους ἐξ ὑπαρχῆς ὑπαντᾷ. Γίνεται δὲ τοῦτο ταῖς ἐαριναῖς καὶ κατὰ θέρος ὥραις· ὥςπερ γὰρ ἐκ βαθέος ὕπνου περιαναστᾶσα τούς τε ὀφθαλμοὺς διοίγνυσι, τά τε μεμυκότα τῶν στομίων ἀναστείλασα εὐρύνει. Ὧν δέ ἐστιν ἐγκύμων πάντα ἀποτίκτει, πέταλα, καὶ κληματίδας, ἕλικας, οἴναρα, καρπὸν ἐπὶ πᾶσιν· εἶθ' ὅταν τελεσθῇ, παρέχεται τὰς τροφὰς, οἷα μήτηρ τῷ γενομένῳ διά τινων ἀφανῶν πόρων, οἳ τοῖς ἐν γυναιξὶ μαστοῖς ἀναλογοῦσι. Καὶ οὐ πρότερον παύεται τρέφουσα, ἢ τὸν καρπὸν τελεςφορηθῆναι. Τελεςφορεῖται δὲ ὁ πεπανθεὶς ἄκρως, ἡνίκα, καὶ ἂν μηδεὶς δρέπηται, τῆς συμφυΐας αὐτὸς ἐπείγεται διαζεύγνυσθαι, ἅτε μηκέτι τροφῶν τῶν ἀπὸ τῆς τεκούσης δεόμενος· ἱκανὸς δ' ὢν, εἰ χώρας ἀγαθῆς ἐπιλάχοι, σπείρειν καὶ γεννᾶν ὅμοια τοῖς φυτεύσασι.

§. 9. *Ψυχὴν δὲ φύσεως τρισὶ διαλλάττουσαν ὁ ποιῶν ἐποίει, αἰσθήσει, φαντασίᾳ, ὁρμῇ. Τὰ μὲν γὰρ φυτὰ ἄορμητα, ἀφάντασα, αἰθήσεως ἀμέτοχα·*

τῶν δὲ ζώων ἕκαστον ἀθρόων μετέχει τῶν εἰρημέ-
νων. Αἴσθησις μὲν οὖν, ὡς αὐτό που δηλοῖ τὸ
ὄνομα, εἴςθεσίς τις οὖσα, τὰ φανέντα ἐπειςφέρει τῷ
νῷ. Τούτῳ γὰρ, ἐπειδὴ μέγιστόν ἐστι ταμεῖον καὶ παν
δεχὲς, πάνθ᾽ ὅσα δι᾽ ὁράσεως καὶ ἀκοῆς καὶ τῶν ἄλλων
αἰσθητικῶν ὀργάνων ἐντίθεται καὶ ἐναποθησαυρίζε-
279 ται. Φαντασία δέ ἐστι τύπωσις ἐν ψυχῇ· ἃ γὰρ
M. εἰςήγαγεν ἑκάστη τῶν αἰσθήσεων, ὥςπερ δακτύλιός
τις ἢ σφραγὶς, ἐναπεμάξατο τὸν οἰκεῖον χαρακτῆρα.
Κηρῷ δὲ ἐοικὼς ὁ νοῦς, τὸ ἐκμαγεῖον δεξάμενος,
ἄκρως παρ᾽ ἑαυτῷ φυλάττει, μέχρις ἂν τὸν τύπον
λειάνασα λήθη, ἡ ἀντίπαλος μνήμης, ἢ ἀμυδρὸς ἐρ-
γάσηται ἢ παντελῶς ἀφανίσῃ. Τὸ δὲ φανὲν καὶ τυ-
πωθὲν τοτὲ μὲν οἰκείως τοτὲ δὲ καὶ ὡς ἑτέρως διέ-
θηκε τὴν ψυχήν. Τοῦτο δὲ αὐτῆς τὸ πάθος ὁρμὴ
καλεῖται, ἣν ὁριζόμενοι πρώτην ἔφασαν εἶναι ψυχῆς
κίνησιν. Τοσούτοις μὲν δὴ ζῶα προέχει φυτῶν.
Ἴδωμεν δὲ τίνι τῶν ἄλλων ζώων ὑπερβέβηκεν ὁ ἄν-
θρωπος.

§. 10. Ἐξαίρετον οὗτος τοίνυν γέρας ἔλαχε, 300
διάνοιαν, ἣ τὰς ἁπάντων φύσεις σωμάτων τε ὁμοῦ P.
καὶ πραγμάτων εἴωθε καταλαμβάνειν. Καθάπερ γὰρ
ἐν μὲν τῷ σώματι τὸ ἡγεμονικὸν ὄψις ἐστὶν, ἐν δὲ
τῷ παντὶ ἡ τοῦ φωτὸς φύσις, τὸν αὐτὸν τρόπον
καὶ τῶν ἐν ἡμῖν τὸ κρατιστεῦον, ὁ νοῦς. Ψυχῆς
γὰρ ὄψις οὗτος, ταῖς οἰκείαις περιλαμπόμενος αὐ-
γαῖς, δι᾽ ὧν ὁ πολὺς καὶ βαθὺς ζόφος, ὃν κατέχεεν
ἄγνοια τῶν πραγμάτων, ἀνασκίδναται. Τοῦτο τῆς
ψυχῆς τὸ εἶδος, οὐκ ἐκ τῶν αὐτῶν στοιχείων, ἐξ ὧν
τὰ ἄλλα ἀπετελεῖτο, διεπλάσθη· καθαρωτέρας δὲ
καὶ ἀμείνονος ἔλαχε τῆς οὐσίας, ἐξ ἧς αἱ θεῖαι φύ-
σεις ἐδημιουργοῦντο. Παρ᾽ ὃ καὶ μόνον τῶν ἐν ἡμῖν
εἰκότως ἄφθαρτον ἔδοξεν εἶναι διάνοια. Μόνην γὰρ
αὐτὴν ὁ γεννήσας πατὴρ ἐλευθερίας ἠξίωσε, καὶ τὰ
τῆς ἀνάγκης ἀνεὶς δεσμὰ ἄφετον εἴασε, δωρησάμενος
αὐτῇ, τοῦ πρεπωδεστάτου καὶ οἰκείου κτήματος αὐτῷ

τοῦ ἑκουσίου μοῖραν, ἣν ἠδύνατο δέξασθαι. Τὰ μὲν γὰρ
ἄλογα ζῶα, ὧν ἐν ταῖς ψυχαῖς τὸ ἐξαιρούμενον εἰς ἐλευ-
θερίαν νοῦς οὐκ ἔστι, καὶ καταζευχθέντα καὶ ἐγχαλινω-
θέντα πρὸς ὑπηρεσίαν ἀνθρώποις παραδέδοται, ὥςπερ
οἰκέται δεσπόταις· ὁ δὲ ἄνθρωπος ἐθελουργοῦ καὶ
αὐτοκελεύστου γνώμης λαχὼν, καὶ προαιρετικαῖς
χρώμενος τὰ πολλὰ ταῖς ἐνεργείαις, εἰκότως ψόγον
μὲν ἔσχεν ἐφ᾽ οἷς ἐκ προνοίας ἀδικεῖ, ἔπαινον δὲ
ἐφ᾽ οἷς ἑκὼν κατορθοῖ. Τῶν μὲν γὰρ ἄλλων φυτῶν
τε καὶ ζώων, οὔτε αἱ εὐφορίαι ἐπαινεταὶ, οὔτε αἱ
κακοπραγίαι ψεκταί. Τὰς γὰρ ἐφ᾽ ἑκάτερα κινήσεις
καὶ μεταβολὰς ἀπροαιρέτους καὶ ἀκουσίους ἔλαβον·
μόνη δὲ ἡ ἀνθρώπου ψυχὴ δεξαμένη παρὰ θεοῦ τὴν
ἑκούσιον κίνησιν, καὶ κατὰ τοῦτο ὁμοιωθεῖσα αὐτῷ,
χαλεπῆς καὶ ἀργαλεωτάτης δεσποίνης, τῆς ἀνάγκης
280 ὡς οἷόν τε ἦν ἐλευθερωθεῖσα, κατηγορίας ἂν δεόν-
M. τως τυγχάνοι, ὅτι τὸν ἐλευθερώσαντα οὐ περιέπει.
Τοιγάρτοι τὴν κατὰ ἀπελευθέρων ἀχαρίστων ἀπα-
ραίτητον δίκην ὀρθότατα τίσει. Ὥςτε „ἐνεθυμήθη"
καὶ „ἐνενοήθη" ὁ θεὸς, οὐχὶ νῦν πρῶτον, ἀλλ᾽ ἔξέτι
πάλαι παγίως καὶ βεβαίως, ὅτι „ἐποίησε τὸν ἄνθρω-
πον *)," τουτέστιν ὁποῖον αὐτὸν εἰργάσατο. Εἰργάσατο
γὰρ αὐτὸν ἄφετον καὶ ἐλεύθερον, ἑκουσίοις καὶ προαι-
ρετικαῖς χρησάμενον ταῖς ἐνεργείαις, πρὸς τήνδε τὴν
χρείαν, ἵνα ἐπιστάμενος ἀγαθά τε αὖ καὶ κακὰ, καὶ
καλῶν καὶ αἰσχρῶν λαμβάνων ἔννοιαν, καὶ δικαίοις
καὶ ἀδίκοις καὶ ὅλως τοῖς ἀπ᾽ ἀρετῆς καὶ κακίας
καθαρῶς ἐπιβάλλων, αἱρέσει μὲν τῶν ἀμεινόνων,
φυγῇ δὲ τῶν ἐναντίων χρῆται. Παρ᾽ ὃ καὶ λόγιον
ἔστι τοιοῦτον ἀναγεγραμμένον ἐν Δευτερονομίῳ,
„Ἰδοὺ δέδωκα πρὸ προςώπου σου τὴν ζωὴν καὶ τὸν
θάνατον, τὸ ἀγαθὸν καὶ τὸ κακὸν, ἔκλεξαι τὴν 301
ζωήν **)." Οὐκοῦν ἀμφότερα διὰ τούτου παρίστα- P.
ται, ὅτι καὶ ἐπιστήμονες τῶν ἀγαθῶν καὶ τῶν ἐναν-

---

*) Gen. 6, 6. **) Deut. 30, 15.

τίων γεγόνασιν ἄνθρωποι, καὶ ὀφείλουσι πρὸ τῶν χειρόνων αἱρεῖσθαι τὰ κρείττω· λογισμὸν ἔχοντες ἐν ἑαυτοῖς ὥςπερ τινὰ δικαστὴν ἀδωροδόκητον, οἷς ἂν ὁ ὀρθὸς λόγος ὑποβάλλῃ, πεισθησόμενον, οἷς δ' ἂν ὁ ἐναντίος, ἀπειθήσοντα.

§. 11. Δεδηλωκότες οὖν ἀποχρώντως περὶ τούτων τὰ ἑξῆς ἴδωμεν. Ἔστι δὲ τοιαῦτα, „Ἀπαλείψω," φησὶ, „τὸν ἄνθρωπον ὃν ἐποίησα ἀπὸ προςώπου τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους, ἀπὶ ἑρπετῶν ἕως πετεινῶν τοῦ οὐρανοῦ, ὅτι ἐνεθυμήθην, ὅτι ἐποίησα αὐτόν." Πάλιν τινὲς τῶν εἰρημένων ἀκούσαντες, ὑπολαμβάνουσι θυμοῖς καὶ ὀργαῖς χρῆσθαι τὸ ὄν. Ἔστι δὲ οὐδενὶ ληπτὸν πάθει τὸ παράπαν. Ἀσθενείας γὰρ ἀνθρωπίνης τὸ κηραίνειν ἴδιον, θεῷ δὲ οὔτε τὰ ψυχῆς ἄλογα πάθη, οὔτε τὰ σώματος μέρη καὶ μέλη συνόλως ἐστὶν οἰκεῖα. Λέγεται δὲ οὐδὲν ἧττον παρὰ τῷ νομοθέτῃ μέχρι τινὸς εἰςαγωγῆς τὰ τοιαῦτα, τοῦ νουθετῆσαι χάριν τοὺς ἑτέρως μὴ δυναμένους σωφρονίζεσθαι. Τῶν γὰρ ἐν ταῖς προςτάξεσι καὶ ἀπαγορεύσεσι νόμων, οἳ δὴ κυρίως εἰσὶ νόμοι, δύο τὰ ἀνωτάτω πρόκειται κεφάλαια περὶ τοῦ αἰτίου· ἓν μὲν, ὅτι „οὐχ ὡς ἄνθρωπος ὁ θεὸς, ἕτερον δὲ, ὅτι ὡς ἄνθρωπος *)." Ἀλλὰ τὸ μὲν πρῶτον ἀληθείᾳ βεβαιοτάτῃ πεπίστωται, τὸ δὲ ὕστερον πρὸς τὴν τῶν πολλῶν διδασκαλίαν εἰς-
281 άγεται. Παρ' ὃ καὶ λέγεται ἐπ' αὐτοὺς, „ὡς ἄν-
M. θρωπος παιδεῦσαι τὸν υἱὸν αὐτοῦ **)." Ὥςτε παιδείας ἕνεκα καὶ νουθεσίας, ἀλλ' οὐχὶ τῷ πεφυκέναι τοιοῦτον εἶναι, λέλεκται. Τῶν γὰρ ἀνθρώπων οἱ μὲν ψυχῆς, οἱ δὲ σώματος γεγόνασι φίλοι. Οἱ μὲν οὖν ψυχῆς ἑταῖροι νοηταῖς καὶ ἀσωμάτοις φύσεσιν ἐνομιλεῖν δυνάμενοι, οὐδεμιᾷ τῶν γεγονότων ἰδέᾳ παραβάλλουσι τὸ ὄν· ἀλλ' ἐκβιβάσαντες αὐτὸ πάσης ποιότητος — ἓν γὰρ τῶν εἰς τὴν μακαριότητα αὐτοῦ

*) Num. 23, 19. **) Deut. 1, 31.

καὶ τὴν ἄκραν εὐδαιμονίαν ἦν, τὸ ψιλὴν ἄνευ χα-
ρακτῆρος τὴν ὕπαρξιν καταλαμβάνεσθαι — τὴν κατὰ
τὸ εἶναι μόνον φαντασίαν ἐνεδέξαντο, μὴ μορφώ-
σαντες αὐτό. Οἱ δὲ συμβάσεις καὶ σπονδὰς πρὸς
σῶμα θέμενοι, ἀδυνατοῦντες ἀπαμφιάσασθαι τὸ
σαρκῶν περίβλημα, καὶ μόνην καὶ καθ' ἑαυτὴν ἀπροσ-
δεᾶ, καὶ ἁπλῆν φύσιν ἰδεῖν, ἀμιγῆ καὶ ἀσύγκριτον,
ὁποῖα περὶ ἑαυτῶν τοιαῦτα καὶ περὶ τοῦ πάντων αἰ-
τίου διενοήθησαν· οὐ λογισάμενοι, ὅτι τῷ μὲν ἐκ
πλειόνων συνόδου δυνάμεων γενομένῳ, πλειόνων
ἔδει μερῶν πρὸς τὴν τῶν καθ' ἕκαστον χρειῶν ὑπη-
ρεσίαν.

§. 12. Ὁ δὲ θεὸς ἅτε ἀγέννητος ὤν, καὶ τὰ ἄλλα
ἀγαγὼν εἰς γένεσιν, οὐδενὸς ἐδεήθη τῶν τοῖς γεννή- 302
μασι προσόντων. Ἐπεὶ καὶ τί φῶμεν; Εἰ κέχρηται P.
τοῖς ὀργανικοῖς μέρεσι, βάσεις μὲν ἔχει τοῦ προέρ-
χεσθαι χάριν; Βαδιεῖται δὲ ποῖ πεπληρωκὼς τὰ πάν-
τα; Καὶ πρὸς τίνα, μηδενὸς ὄντος ἰσοτίμου; Καὶ
ἕνεκα τίνος; Οὐ γὰρ ὑγείας φροντίζων ὥσπερ καὶ
ἡμεῖς. Καὶ χεῖρας μέντοι πρὸς τὸ λαβεῖν τε καὶ
δοῦναι; Λαμβάνει μὲν δὴ παρ' οὐδενὸς οὐδέν. Πρὸς
γὰρ τῷ ἀνεπιδεεῖ καὶ τὰ σύμπαντα ἔχει κτήματα· δί-
δωσι δὲ λόγῳ χρώμενος ὑπηρέτῃ δωρεῶν, ᾧ καὶ τὸν
κόσμον εἰργάζετο. Ὀφθαλμῶν γε μὴν οὐκ ἐδεῖτο,
οἷς ἄνευ φωτὸς αἰσθητοῦ κατάληψις οὐ γίνεται. Τὸ
δὲ αἰσθητὸν φῶς γενητόν· ἑώρα δὲ ὁ θεὸς καὶ πρὸ
γενέσεως φωτὶ χρώμενος ἑαυτῷ. Τί δεῖ λέγειν περὶ
τῶν τῆς τροφῆς ὀργάνων; Εἰ γὰρ ταῦτ' ἔχει, καὶ
τρέφεται, καὶ πληρωθεὶς μὲν ἀποπαύεται, παυσάμε-
νος δὲ δεῖται πάλιν, καὶ τὰ ἄλλα ὅσα τούτοις ἀκό-
λουθα οὐκ ἂν εἴποιμι. Ἀσεβῶν αὗται γὰρ αἱ μυθο-
ποιΐαι λόγῳ μὲν ἀνθρωπόμορφον, ἔργῳ δὲ ἀνθρω-
ποπαθὲς εἰσαγόντων τὸ θεῖον.

§. 13. Τίνος οὖν ἕνεκα Μωϋσῆς βάσεις, χεῖρας,
282 εἰσόδους, ἐξόδους, φησὶν εἶναι περὶ τὸ ἀγέννητον;
M. Τίνος δὲ χάριν ὁπλίζει τοῦτον πρὸς ἐχθρῶν ἄμυναν;

Ξιφηφοροῦντα γὰρ καὶ βέλεσι χρώμενον καὶ πνεύμασι καὶ φθοροποιῷ πυρί; Καταιγίδα καὶ κεραυνὸν, ἑτέροις ὀνόμασι ταῦτα ποιηταὶ προσαγορεύοντες, ὅπλα τοῦ αἰτίου φασὶν εἶναι· πρὸς δὲ ἔτι ζῆλον, θυμὸν, ὀργὰς, ὅσα τούτοις ὅμοια, ἀνθρωπολογῶν διεξέρχεται. Ἀλλὰ τοῖς πυνθανομένοις ἀποκρίνεται, ὦ οὗτοι, τῷ ἄριστα νομοθετήσαντι τέλος ἓν δεῖ προκεῖσθαι, πάντας ὠφελῆσαι τοὺς ἐντυγχάνοντας. Οἱ μὲν οὖν εὐμοίρου φύσεως λαχόντες, καὶ ἀγωγῆς ἐν πᾶσιν ἀνυπαιτίου, τὴν μετὰ ταῦθ' ὁδὸν τοῦ βίου λεωφόρον καὶ εὐθεῖαν εὑρίσκοντες, ἀληθείᾳ συνοδοιπόρῳ χρῶνται· παρ' ἧς μυηθέντες τὰ περὶ τοῦ ὄντος ἀψευδῆ μυστήρια, τῶν γενέσεως οὐδὲν προσαναπλάττουσιν αὐτῷ. Τούτοις οἰκειότατον πρόκειται κεφάλαιον ἐν τοῖς ἱεροφαντηθεῖσι χρησμοῖς, ὅτι "οὐχ ὡς ἄνθρωπος ὁ θεός," ἀλλ' οὐθ' ὡς οὐρανὸς, οὐθ' ὡς κόσμος. Ποῖα γὰρ εἴδη ταῦτά γε καὶ εἰς αἴσθησιν ἐρχόμενα· ὁ δ' ἄρα οὐδὲ τῷ νῷ καταληπτὸς, ὅτι μὴ κατὰ τὸ εἶναι μόνον. Ὕπαρξις γάρ ἐσθ' ἣν ὃ καταλαμβάνομεν αὐτοῦ, τὸ δὲ χωρὶς ὑπάρξεως οὐδέν.

§. 14. Οἱ δέ γε νωθεστέρᾳ μὲν καὶ ἀμβλείᾳ κεχρημένοι τῇ φύσει, περὶ δὲ τὰς ἐν παισὶ τροφὰς πλημμεληθέντες, καὶ ὀξὺ καθορᾷν ἀδυνατοῦντες, ἰατρῶν δέονται νομοθετῶν, οἳ πρὸς τὸ παρὸν πάθος τὴν οἰκείαν ἐπινοήσουσι θεραπείαν. Ἐπεὶ καὶ ἀναγώγοις καὶ ἄφροσιν οἰκέταις φοβερὸς δεσπότης ὠφέλιμος· τὰς γὰρ ἐπανατάσεις καὶ ἀπειλὰς αὐτοῦ δεδιότες, ἄκοντες φόβῳ νουθετοῦνται. Μανθανέτω- 303
σαν οὖν πάντες οἱ τοιοῦτοι τὰ ψευδῆ, δι' ὧν ὠφε- P.
ληθήσονται, εἰ μὴ δύνανται διὰ ἀληθείας σωφρονίζεσθαι. Καὶ γὰρ τοῖς τὰ σώματα κάμνουσιν ἐπισφαλῶς οἱ νομιμώτατοι τῶν ἰατρῶν τὰ ἀληθῆ λαλεῖν οὐχ ὑπομένουσιν, εἰδότες ἀθυμοτέρους μὲν ἐκ τούτου γενησομένους, καὶ οὐ ῥωσθησομένην τὴν νόσον· ἐκ δὲ τῆς τῶν ἐναντίων παρηγορίας, πρᾳότερον τὰ ἐν χερσὶν οἴσοντας, καὶ τὸ ἀρρώστημα λωφῆσον.

Τίς γὰρ ἂν τῶν εὖ φρονούντων εἴποι τῷ θεραπευο-
μένῳ· ὦ οὗτος, τετμήσῃ, κεκαύσῃ, ἀκρωτηριασθή-
σῃ, καὶ ἂν εἰ μέλλοι ταῦτα ἐξ ἀνάγκης ὑπομένειν; Οὐ-
δὲ εἷς ἐρεῖ. Προαναπεσὼν γὰρ τὴν γνώμην ἐκεῖνος,
καὶ νόσον ἑτέραν τῇ ψυχῇ ἀργαλεωτέραν τῆς προϋ-
πούσης τοῦ σώματος προςλαβὼν, ἀπερεῖ πρὸς τὴν
283 θεραπείαν ἄσμενος· ἐκ δὲ τοῦ τὰ ἐναντία ἀπάτῃ
M. τοῦ θεραπεύοντος προςδοκῆσαι, τλητικῶς πάνθ' ὑπο-
στήσεται, καὶ ἂν ἀλγεινότατα ᾖ τὰ σώζοντα. Γε-
νόμενος οὖν τῶν τῆς ψυχῆς παθῶν καὶ νοσημάτων
ἄριστος ἰατρὸς ὁ νομοθέτης, ἓν ἔργον καὶ τέλος
προέθετο, αὐταῖς ῥίζαις τὰς τῆς διανοίας νόσους
ἐκτεμεῖν, ἵνα μή τις ὑπολειφθεῖσα βλάστην ἀῤῥω-
στήματος ἐνέγκῃ δυςιάτου. Τοῦτον δὴ τὸν τρόπον
ἤλπισεν ἐκκόψαι δυνήσεσθαι, εἰ χρώμενον ἀπειλαῖς
καὶ ἀγανακτήσεσι καὶ ἀπαραιτήτοις ὀργαῖς, ἔτι δὲ
ἀμυντηρίοις ὅπλοις πρὸς τὰς κατὰ τῶν ἀδικούντων
ἐπεξόδους, εἰςαγάγοι τὸ αἴτιον· μόνος γὰρ οὕτως ὁ
ἄφρων νουθετεῖται. Παρ' ὅ μοι δοκεῖ τοῖς προει-
ρημένοις δυσὶ κεφαλαίοις, τῷ τε „ὡς ἄνθρωπος καὶ
τῷ οὐχ ὡς ἄνθρωπος ὁ θεὸς", ἕτερα δύο συνυφῆ-
ναι ἀκόλουθα καὶ συγγενῆ, φόβον τε καὶ ἀγάπην.
Τὰς γὰρ διὰ τῶν νόμων εἰς εὐσέβειαν ὁρῶ παρακε-
λεύσεις ἁπάσας ἀναφερομένας, ἢ πρὸς τὸ ἀγαπᾶν, ἢ
πρὸς τὸ φοβεῖσθαι τὸν ὄντα. Τοῖς μὲν οὖν μήτε
μέρος, μήτε πάθος ἀνθρώπου περὶ τὸ ὂν νομίζου-
σιν, ἀλλὰ θεοπρεπῶς αὐτὸ δι' αὐτὸ μόνον τι-
μῶσι, τὸ ἀγαπᾶν οἰκειότατον, φοβεῖσθαι δὲ τοῖς
ἑτέροις.

§. 15. Ἃ μὲν οὖν προκαταστήσασθαι τῆς ζη-
τήσεως ἁρμόττον ἦν, τοιαῦτά ἐστιν. Ἐπανιτέον δὲ
ἐπὶ τὴν ἐξ ἀρχῆς σκέψιν, καθ' ἣν ἠποροῦμεν, τίνα
ὑπογράφει νοῦν τὸ „Ἐθυμώθην ὅτι ἐποίησα αὐ-
τούς*)." Ἴσως οὖν τοιοῦτόν τι βούλεται παραστῆσαι,

---

*) Gen. 6, 7.

ὅτι οἱ μὲν φαῦλοι θυμῷ γεγόνασι θεοῦ, οἱ δ᾽ ἀγα-
θοὶ χάριτι. Καὶ γὰρ ἑξῆς φησι, "Νῶε δὲ εὗρε
χάριν *)." Τὸ δὲ κυριολογούμενον ἐπ᾽ ἀνθρώπων
πάθος ὁ θυμὸς εὐθυβόλως εἴρηται, τροπικώτερον
δὲ ἐπὶ τοῦ ὄντος, εἰς τὴν ἀναγκαιοτάτην τοῦ πρά-
γματος δήλωσιν· ὅτι πάνθ᾽ ὅσα δι᾽ ὀργὴν ἢ φόβον 304
ἢ λύπην ἢ ἡδονὴν ἤ τι τῶν ἄλλων παθῶν πράτ- P.
τομεν, ὑπαίτια καὶ ἐπίληπτα ὁμολογουμένως ἐστὶν,
ὅσα δὲ μετ᾽ ὀρθότητος λόγου καὶ ἐπιστήμης, ἐπαι-
νετά. Ὁρᾷς ὅσῃ καὶ περὶ τὴν προφορὰν κέχρηται
προφυλακῇ, ὅτι "Ἐθυμώθην, ὅτι ἐποίησα αὐτοὺς"
εἰπὼν, ἀλλ᾽ οὐ κατὰ ἀντιστροφὴν, διότι ἐποίησα αὐ-
τοὺς, ἐθυμώθην. Τοῦτο μὲν γὰρ μετανοοῦντος ἦν,
ὅπερ ἡ τὰ πάντα προμηθουμένη θεοῦ φύσις οὐκ
ἀνέχεται· ἐκεῖνο δὲ δόγμα συνεκτικώτατον, εἰςηγου-
μένου ὅτι πηγὴ μὲν ἁμαρτημάτων θυμὸς, λογισμὸς
δὲ κατορθωμάτων. Μεμνημένος δὲ τῆς περὶ πάντα
τελείας ἀγαθότητος ἑαυτοῦ ὁ θεὸς, καὶ ἂν τὸ σύμ-
παν ἢ τὸ πλεῖστον ἀνθρώπων πλῆθος ἐξ ἑαυτοῦ δι᾽
ὑπερβολὰς ἁμαρτημάτων περιπίπτῃ, τὴν δεξιὰν καὶ
284 σωτήριον χεῖρα ὀρέγων, ὑπολαμβάνει καὶ ἐξανίστη-
M. σιν, οὐκ ἐῶν εἰς ἅπαν φθαρῆναι καὶ ἀφανισθῆναι τὸ
γένος.

§. 16. Διὸ νῦν φησι τὸν Νῶε χάριν εὑρεῖν παρ᾽ αὐτῷ, ὅτε οἱ ἄλλοι φανέντες ἀχάριστοι τίνειν μέλλουσι δίκας, ἵνα τὸν σωτήριον ἔλεον ἀνακεράσηται τῇ κατὰ ἁμαρτανόντων κρίσει· καθάπερ καὶ ὁ ὑμνῳδὸς εἶπέ που, "Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι **)". Εἰ γὰρ βουληθείη ὁ θεὸς δικάσαι τῷ θνητῷ γένει χωρὶς ἐλέου, τὴν καταδικάζουσαν ψῆφον οἴσει· μηδενὸς ἀνθρώπων τὸν ἀπὸ γενέσεως μέχρι τελευτῆς βίον ἄπταιστον ἐξ ἑαυτοῦ δραμόντος, ἀλλὰ τοῦ μὲν ἑκουσίοις, τοῦ δὲ ἀκουσίοις χρησαμένου τοῖς ἐν ποσὶν ὀλισθήμασιν. Ἵνα οὖν ὑπάρχῃ τὸ γένος, καὶ ἂν

*) Gen. 6, 7. **) Psalm. 101 (100), 1.

πολλὰ τῶν ἰδικῶν βύθια χωρῇ, τὸν ἔλεον ἀνακίρνησιν, ᾧ πρὸς εὐεργεσίας καὶ τῶν ἀναξίων χρῆται· καὶ οὐ μόνον δικάσας ἐλεεῖ, ἀλλ' ἐλεήσας δικάζει. Πρεσβύτερος γὰρ δίκης ὁ ἔλεος παρ' αὐτῷ ἐστιν, ἅτε τὸν κολάσεως ἄξιον οὐ μετὰ τὴν δίκην, ἀλλὰ πρὸ δίκης εἰδότι.

§. 17. Διὰ τοῦτο ἐν ἑτέροις εἴρηται, „Ποτήριον ἐν χειρὶ κυρίου, οἴνου ἀκράτου πλῆρες κεράσματος *)", καί τοι τὸ κεκραμένον οὐκ ἄκρατον· ἀλλ' ἔχει λόγον ταῦτα φυσικώτατον, καὶ τοῖς προειρημένοις ἀκόλουθον. Ὁ γὰρ θεὸς ταῖς δυνάμεσι πρὸς μὲν ἑαυτὸν ἀκράτοις χρῆται, κεκραμέναις δὲ πρὸς γένεσιν· τὰς γὰρ ἀμιγεῖς θνητὴν ἀμήχανον φύσιν χωρῆσαι. Ἢ νομίζεις ἄκρατον μὲν τὴν ἡλίου φλόγα μὴ δύνασθαι θεαθῆναι, — σβεσθήσεται γὰρ πρότερον ἡ ὄψις μαρμαρυγαῖς τῶν ἀκτίνων ἀμυδρωθεῖσα, ἢ προςβάλλουσα καταλήψεται, καί τοι καὶ ἥλιος ἓν ἦν ἔργον θεοῦ, μοῖρα οὐρανοῦ, πίλημα αἰθέριον, — τὰς δὲ ἀγεννήτους ἄρα δυνάμεις ἐκείνας, αἳ περὶ αὐτὸν οὖσαι λαμπρότατον φῶς ἀπαστράπτουσιν, ἀκράτους περι-
νοῆσαι δύνασθαι; Ὥςπερ οὖν τὰς ἡλιακὰς ἀκτῖνας 305
ἔτεινε μὲν ἀπ' οὐρανοῦ μέχρι γῆς τερμάτων, τὸ P.
σφοδρὸν τῆς ἐν αὐταῖς θερμότητος ἀνεὶς καὶ χαλάσας ἀέρι ψυχρῷ, — τούτῳ γὰρ αὐτὰς ἀνεκεράσατο, ὅπως τὸ αὐγοειδὲς ἀπὸ τοῦ φλογώδους πυρὸς ἀνασταλὲν, τὴν μὲν τοῦ καίειν μεθειμένον δύναμιν, τὴν δὲ τοῦ φωτίζειν περιέχον, τῷ ταμιευομένῳ ἐν ταῖς ὄψεσι συγγενεῖ αὐτοῦ καὶ φίλῳ ὑπαντιάσαν ἀσπάσηται· ἡ γὰρ τούτων ἐξ ἐναντίας εἰς ταὐτὸ σύνοδός τε καὶ δεξίωσις τὴν δι' ὁράσεως ἀντίληψιν ἐργάζεται, — οὕτως ἐπιστήμην θεοῦ καὶ σοφίαν καὶ φρόνησιν καὶ δικαιοσύνην καὶ τῶν ἄλλων ἑκάστην ἀρετῶν, τίς ἂν ἀκραιφνῆ δέξασθαι δύναιτο, θνητὸς ὢν, ἀλλ' οὐδ' ὁ σύμπας οὐρανός τε καὶ κόσμος; Εἰδὼς τοίνυν ὁ

*) Psalm. 75 (74), 9.

δημιουργὸς τὰς περὶ αὐτὸν ἐν ἅπασι τοῖς ἀρίστοις ὑπερβολάς, καὶ τὴν τῶν γεγονότων, εἰ καὶ σφόδρα
285 μεγαλαυχοῖεν, φυσικὴν ἀσθένειαν, οὔτε εὐεργετεῖν,
M. οὔτε κολάζειν ὡς δύναται βούλεται, ἀλλ' ὡς ἔχοντας ὁρᾷ δυνάμεως τοὺς ἑκατέρου μεθέξοντας. Εἰ δὴ τοῦ ἀνειμένου καὶ μεσότητα ἔχοντος τῶν δυνάμεων αὐτοῦ κράματος ἐμπιεῖν καὶ ἀπολαῦσαι δυνηθείημεν, ἀποχρῶσαν εὐφροσύνην καρπωσαίμεθα, ἧς τελειοτέραν μὴ ζητείτω λαβεῖν τὸ ἀνθρώπων γένος. Ἐδείχθησαν γὰρ αἱ μιγεῖς καὶ ἄκρατοι καὶ τῷ ὄντι ἀκρότητες περὶ τὸ ὂν μόνον ὑπάρχουσαι.

§. 18. Τοῖς δὲ εἰρημένοις ὅμοιόν ἐστι καὶ τὸ ἑτέρωθι λεχθέν, "Ἅπαξ κύριος ἐλάλησε, δύο ταῦτα ἤκουσα *)". Τὸ μὲν γὰρ ἅπαξ ἔοικε τῷ ἀκράτῳ· καὶ γὰρ τὸ ἄκρατον μονάς, καὶ ἡ μονὰς ἄκρατον. Τὸ δὲ δὶς τῷ κεκραμένῳ· ἑκάτερον γὰρ οὐχ ἁπλοῦν, ἅτε καὶ σύγκρισιν καὶ διάκρισιν ἐπιδεχόμενον. Μονάδας μὲν οὖν ἀκράτους ὁ θεὸς λαλεῖ· οὐ γάρ ἐστιν ὁ λόγος αὐτῷ γεγονὼς ἀέρος πλῆξις, ἀναμιγνύμενος ἄλλῳ τὸ παράπαν οὐδενί, ἀλλὰ καὶ ἀσώματός τε καὶ γυμνός, ἀδιαφορῶν μονάδος. Ἀκούομεν δὲ ἡμεῖς δυάδι. Τὸ γὰρ ἀφ' ἡγεμονικοῦ πνεῦμα διὰ τραχείας ἀναπεμπόμενον ἀρτηρίας, τυποῦται μὲν ἐν στόματι, ὥσπερ ὑπὸ δημιουργοῦ τινος, γλώττης· φερόμενον δ' ἔξω καὶ ἀναμιχθὲν ἀέρι συγγενεῖ, καὶ πλῆξαν αὐτὸν τὴν δυάδος κρᾶσιν ἁρμονίως ἀποτελεῖ. Τὸ γὰρ συνηχοῦν ἐκ φθόγγων διαφερόντων δυάδι μεριστῇ τὸ πρῶτον ἁρμόζεται, ὀξὺν καὶ βαρὺν τόνον ἐχούσῃ. Παγκάλως οὖν τῷ πλήθει τῶν ἀδίκων λογισμῶν ἀντέθηκεν ἕνα τὸν δίκαιον, ἀριθμῷ μὲν ἐλάττονα δυνάμει δὲ πλείονα, ἵνα μὴ ταλαντεῦσαν ὥσπερ ἐπὶ πλάστιγγος βρίσῃ τὸ χεῖρον, ἀλλὰ κράτει τῆς ἐναντίας περὶ τὸ βέλτιον ῥοπῆς ἀνακουφισθὲν ἀσθενήσῃ.

---

*) Psalm. 62 (61), 12.

γα δὴ καὶ λαμπρὸν καὶ περιμάχητον ἔργον ἐπιδείκνυνται.

§. 8. Τὴν δὲ φύσιν ἀπένειμε τοῖς φυτοῖς, κερασάμενος αὐτὴν ἐκ πλείστων δυνάμεων, θρεπτικῆς τε καὶ μεταβλητικῆς καὶ αὐξητικῆς· καὶ γὰρ τρέφεται τροφῆς ὄντα χρεῖα. Τεκμήριον δὲ, ὅτι τὰ μὴ ἀρδόμενα φθίνει καὶ ἀφαναίνεται, ὥςπερ αὖ τὰ ποτιζόμενα ἐμφανῶς αὔξεται. Τὰ γὰρ τέως διὰ βραχύτητα χαμαίζηλα ἐξαίφνης ἀναδραμόντα, ἔρνη γίνεται περιμηκέστατα. Τί χρὴ λέγειν περὶ μεταβολῆς αὐτῶν; Ταῖς μὲν γὰρ χειμεριναῖς τροπαῖς τὰ πέταλα μαρανθέντα εἰς τὸ ἔδαφος κεῖται· οἵ τε ἐν ταῖς κληματίσι λεγόμενοι πρὸς τῶν γεωπόνων ὀφθαλμοὶ, καθάπερ ἐν τοῖς ζώοις, καταμύουσι, τά τε πρὸς τὰς ἐκφύσεις στόμια πάντα ἔσφιγκται, τῆς φύσεως εἴσω τότε συνειλημμένης καὶ ἡσυχαζούσης, ἵνα διαπνεύσασα οἷά τις ἀθλητὴς προηγωνισμένος, καὶ συλλεξαμένη τὴν ἰδίαν ἰσχὺν, πρὸς τοὺς ἐθάδας ἄθλους ἐξ ὑπαρχῆς ὑπαντᾷ. Γίνεται δὲ τοῦτο ταῖς ἐαριναῖς καὶ κατὰ θέρος ὥραις· ὥςπερ γὰρ ἐκ βαθέος ὕπνου περιαναστᾶσα τούς τε ὀφθαλμοὺς διοίγνυσι, τά τε μεμυκότα τῶν στομίων ἀναστείλασα εὐρύνει. Ὧν δέ ἐστιν ἐγκύμων πάντα ἀποτίκτει, πέταλα, καὶ κληματίδας, ἕλικας, οἴναρα, καρπὸν ἐπὶ πᾶσιν· εἶθ᾽ ὅταν τελεσθῇ, παρέχεται τὰς τροφὰς, οἷα μήτηρ τῷ γενομένῳ διά τινων ἀφανῶν πόρων, οἳ τοῖς ἐν γυναιξὶ μαστοῖς ἀναλογοῦσι. Καὶ οὐ πρότερον παύεται τρέφουσα, ἢ τὸν καρπὸν τελεςφορηθῆναι. Τελεςφορεῖται δὲ ὁ πεπανθεὶς ἄκρως, ἡνίκα, καὶ ἂν μηδεὶς δρέπηται, τῆς συμφυΐας αὐτὸς ἐπείγεται διαζεύγνυσθαι, ἅτε μηκέτι τροφῶν τῶν ἀπὸ τῆς τεκούσης δεόμενος· ἱκανὸς δ᾽ ὢν, εἰ χώρας ἀγαθῆς ἐπιλάχοι, σπείρειν καὶ γεννᾶν ὅμοια τοῖς φυτεύσασι.

299 P.

§. 9. Ψυχὴν δὲ φύσεως τρισὶ διαλλάττουσαν ὁ ποιῶν ἐποίει, αἰσθήσει, φαντασίᾳ, ὁρμῇ. Τὰ μὲν γὰρ φυτὰ ἄορμητα, ἀφάντασια, αἰθήσεως ἀμέτοχα·

τῶν δὲ ζώων ἕκαστον ἀθρόων μετέχει τῶν εἰρημέ-
νων. Αἴσθησις μὲν οὖν, ὡς αὐτό που δηλοῖ τὸ
ὄνομα, εἴςθεσίς τις οὖσα, τὰ φανέντα ἐπειςφέρει τῷ
νῷ. Τούτῳ γὰρ, ἐπειδὴ μέγιστόν ἐστι ταμεῖον καὶ παν
δεχὲς, πάνθ' ὅσα δι' ὁράσεως καὶ ἀκοῆς καὶ τῶν ἄλλων
αἰσθητικῶν ὀργάνων ἐντίθεται καὶ ἐναποθησαυρίζε-
279 ται. Φαντασία δέ ἐστι τύπωσις ἐν ψυχῇ· ἃ γὰρ
M. εἰςήγαγεν ἑκάστη τῶν αἰσθήσεων, ὥςπερ δακτύλιός
τις ἢ σφραγὶς, ἐναπεμάξατο τὸν οἰκεῖον χαρακτῆρα.
Κηρῷ δὲ ἐοικὼς ὁ νοῦς, τὸ ἐκμαγεῖον δεξάμενος,
ἄκρως παρ' ἑαυτῷ φυλάττει, μέχρις ἂν τὸν τύπον
λεάνασα λήθη, ἡ ἀντίπαλος μνήμης, ἢ ἀμυδρὸς ἐρ-
γάσηται ἢ παντελῶς ἀφανίσῃ. Τὸ δὲ φανὲν καὶ τυ-
πωθὲν τοτὲ μὲν οἰκείως τοτὲ δὲ καὶ ὡς ἑτέρως διέ-
θηκε τὴν ψυχήν. Τοῦτο δὲ αὐτῆς τὸ πάθος ὁρμὴ
καλεῖται, ἣν ὁριζόμενοι πρώτην ἔφασαν εἶναι ψυχῆς
κίνησιν. Τοσούτοις μὲν δὴ ζῶα προέχει φυτῶν.
Ἴδωμεν δὲ τίνι τῶν ἄλλων ζώων ὑπερβέβηκεν ὁ ἄν-
θρωπος.

§. 10. Ἐξαίρετον οὗτος τοίνυν γέρας ἔλαχε, 300
διάνοιαν, ἣ τὰς ἁπάντων φύσεις σωμάτων τε ὁμοῦ P.
καὶ πραγμάτων εἴωθε καταλαμβάνειν. Καθάπερ γὰρ
ἐν μὲν τῷ σώματι τὸ ἡγεμονικὸν ὄψις ἐστὶν, ἐν δὲ
τῷ παντὶ ἡ τοῦ φωτὸς φύσις, τὸν αὐτὸν τρόπον
καὶ τῶν ἐν ἡμῖν τὸ κρατιστεῦον, ὁ νοῦς. Ψυχῆς
γὰρ ὄψις οὗτος, ταῖς οἰκείαις περιλαμπόμενος αὐ-
γαῖς, δι' ὧν ὁ πολὺς καὶ βαθὺς ζόφος, ὃν κατέχεεν
ἄγνοια τῶν πραγμάτων, ἀνασκίδναται. Τοῦτο τῆς
ψυχῆς τὸ εἶδος, οὐκ ἐκ τῶν αὐτῶν στοιχείων, ἐξ ὧν
τὰ ἄλλα ἀπετελεῖτο, διεπλάσθη· καθαρωτέρας δὲ
καὶ ἀμείνονος ἔλαχε τῆς οὐσίας, ἐξ ἧς αἱ θεῖαι φύ-
σεις ἐδημιουργοῦντο. Παρ' ὃ καὶ μόνον τῶν ἐν ἡμῖν
εἰκότως ἄφθαρτον ἔδοξεν εἶναι διάνοια. Μόνην γὰρ
αὐτὴν ὁ γεννήσας πατὴρ ἐλευθερίας ἠξίωσε, καὶ τὰ
τῆς ἀνάγκης ἀνεὶς δεσμὰ ἄφετον εἴασε, δωρησάμενος
αὐτῇ, τοῦ πρεπωδεστάτου καὶ οἰκείου κτήματος αὐτῷ

τοῦ ἑκουσίου μοῖραν, ἣν ἠδύνατο δέξασθαι. Τὰ μὲν γὰρ ἄλογα ζῷα, ὧν ἐν ταῖς ψυχαῖς τὸ ἐξαιρούμενον εἰς ἐλευθερίαν νοῦς οὐκ ἔστι, καὶ καταζευχθέντα καὶ ἐγχαλινωθέντα πρὸς ὑπηρεσίαν ἀνθρώποις παραδέδοται, ὥςπερ οἰκέται δεσπόταις· ὁ δὲ ἄνθρωπος ἐθελουργοῦ καὶ αὐτοκελεύστου γνώμης λαχὼν, καὶ προαιρετικαῖς χρώμενος τὰ πολλὰ ταῖς ἐνεργείαις, εἰκότως ψόγον μὲν ἔσχεν ἐφ' οἷς ἐκ προνοίας ἀδικεῖ, ἔπαινον δὲ ἐφ' οἷς ἑκὼν κατορθοῖ. Τῶν μὲν γὰρ ἄλλων φυτῶν τε καὶ ζώων, οὔτε αἱ εὐφορίαι ἐπαινεταὶ, οὔτε αἱ κακοπραγίαι ψεκταί. Τὰς γὰρ ἐφ' ἑκάτερα κινήσεις καὶ μεταβολὰς ἀπροαιρέτους καὶ ἀκουσίους ἔλαβον· μόνη δὲ ἡ ἀνθρώπου ψυχὴ δεξαμένη παρὰ θεοῦ τὴν ἑκούσιον κίνησιν, καὶ κατὰ τοῦτο ὁμοιωθεῖσα αὐτῷ, χαλεπῆς καὶ ἀργαλεωτάτης δεσποίνης, τῆς ἀνάγκης
280 ὡς οἷόν τε ἦν ἐλευθερωθεῖσα, κατηγορίας ἂν δεόν-
M. τως τυγχάνοι, ὅτι τὸν ἐλευθερώσαντα οὐ περιέπει. Τοιγάρτοι τὴν κατὰ ἀπελευθέρων ἀχαρίστων ἀπαραίτητον δίκην ὀρθότατα τίσει. Ὥςτε „ἐνεθυμήθη" καὶ „ἐνενοήθη" ὁ θεὸς, οὐχὶ νῦν πρῶτον, ἀλλ' ἐξέτι πάλαι παγίως καὶ βεβαίως, ὅτι „ἐποίησε τὸν ἄνθρωπον*)," τουτέστιν ὁποῖον αὐτὸν εἰργάσατο. Εἰργάσατο γὰρ αὐτὸν ἄφετον καὶ ἐλεύθερον, ἑκουσίοις καὶ προαιρετικαῖς χρησάμενον ταῖς ἐνεργείαις, πρὸς τήνδε τὴν χρείαν, ἵνα ἐπιστάμενος ἀγαθά τε αὖ καὶ κακὰ, καὶ καλῶν καὶ αἰσχρῶν λαμβάνων ἔννοιαν, καὶ δικαίοις καὶ ἀδίκοις καὶ ὅλως τοῖς ἀπ' ἀρετῆς καὶ κακίας καθαρῶς ἐπιβάλλων, αἱρέσει μὲν τῶν ἀμεινόνων, φυγῇ δὲ τῶν ἐναντίων χρῆται. Παρ' ὃ καὶ λόγιον ἔστι τοιοῦτον ἀναγεγραμμένον ἐν Δευτερονομίῳ, „Ἰδοὺ δέδωκα πρὸ προςώπου σοῦ τὴν ζωὴν καὶ τὸν θάνατον, τὸ ἀγαθὸν καὶ τὸ κακὸν, ἔκλεξαι τὴν 301
ζωήν **)." Οὐκοῦν ἀμφότερα διὰ τούτου παρίστα- P.
ται, ὅτι καὶ ἐπιστήμονες τῶν ἀγαθῶν καὶ τῶν ἐναν-

---

*) Gen. 6, 6. **) Deut. 30, 15.

τίων γεγόνασιν ἄνθρωποι, καὶ ὀφείλουσι πρὸ τῶν χειρόνων αἱρεῖσθαι τὰ κρείττω· λογισμὸν ἔχοντες ἐν ἑαυτοῖς ὥςπερ τινὰ δικαστὴν ἀδωροδόκητον, οἷς ἂν ὁ ὀρθὸς λόγος ὑποβάλλῃ, πεισθησόμενον, οἷς δ' ἂν ὁ ἐναντίος, ἀπειθήσοντα.

§. 11. Δεδηλωκότες οὖν ἀποχρώντως περὶ τούτων τὰ ἑξῆς ἴδωμεν. Ἔστι δὲ τοιαῦτα, "Ἀπαλείψω," φησὶ, "τὸν ἄνθρωπον ὃν ἐποίησα ἀπὸ προςώπου τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους, ἀπὸ ἑρπετῶν ἕως πετεινῶν τοῦ οὐρανοῦ, ὅτι ἐνεθυμήθην, ὅτι ἐποίησα αὐτόν." Πάλιν τινὲς τῶν εἰρημένων ἀκούσαντες, ὑπολαμβάνουσι θυμοῖς καὶ ὀργαῖς χρῆσθαι τὸ ὄν. Ἔστι δὲ οὐδενὶ ληπτὸν πάθει τὸ παράπαν. Ἀσθενείας γὰρ ἀνθρωπίνης τὸ κηραίνειν ἴδιον, θεῷ δὲ οὔτε τὰ ψυχῆς ἄλογα πάθη, οὔτε τὰ σώματος μέρη καὶ μέλη συνόλως ἐστὶν οἰκεῖα. Λέγεται δὲ οὐδὲν ἧττον παρὰ τῷ νομοθέτῃ μέχρι τινὸς εἰςαγωγῆς τὰ τοιαῦτα, τοῦ νουθετῆσαι χάριν τοὺς ἑτέρως μὴ δυναμένους σωφρονίζεσθαι. Τῶν γὰρ ἐν ταῖς προςτάξεσι καὶ ἀπαγορεύσεσι νόμων, οἳ δὴ κυρίως εἰσὶ νόμοι, δύο τὰ ἀνωτάτω πρόκειται κεφάλαια περὶ τοῦ αἰτίου· ἓν μὲν, ὅτι "οὐχ ὡς ἄνθρωπος ὁ θεὸς, ἕτερον δὲ, ὅτι ὡς ἄνθρωπος *)." Ἀλλὰ τὸ μὲν πρῶτον ἀληθείᾳ βεβαιοτάτῃ πεπίστωται, τὸ δὲ ὕστερον πρὸς τὴν τῶν πολλῶν διδασκαλίαν εἰς-
281 άγεται. Παρ' ὃ καὶ λέγεται ἐπ' αὐτοὺς, "ὡς ἄν-
M. θρωπος παιδεύσαι τὸν υἱὸν αὐτοῦ **)." Ὥςτε παιδείας ἕνεκα καὶ νουθεσίας, ἀλλ' οὐχὶ τῷ πεφυκέναι τοιοῦτον εἶναι, λέλεκται. Τῶν γὰρ ἀνθρώπων οἱ μὲν ψυχῆς, οἱ δὲ σώματος γεγόνασι φίλοι. Οἱ μὲν οὖν ψυχῆς ἑταῖροι νοηταῖς καὶ ἀσωμάτοις φύσεσιν ἐνομιλεῖν δυνάμενοι, οὐδεμιᾷ τῶν γεγονότων ἰδέᾳ παραβάλλουσι τὸ ὄν· ἀλλ' ἐκβιβάσαντες αὐτὸ πάσης ποιότητος — ἓν γὰρ τῶν εἰς τὴν μακαριότητα αὐτοῦ

*) Num. 23, 19. **) Deut. 1, 31.

καὶ τὴν ἄκραν εὐδαιμονίαν ἦν, τὸ ψιλὴν ἄνευ χαρακτῆρος τὴν ὕπαρξιν καταλαμβάνεσθαι — τὴν κατὰ τὸ εἶναι μόνον φαντασίαν ἐνεδέξαντο, μὴ μορφώσαντες αὐτό. Οἱ δὲ συμβάσεις καὶ σπονδὰς πρὸς σῶμα θέμενοι, ἀδυνατοῦντες ἀπαμφιάσασθαι τὸ σαρκῶν περίβλημα, καὶ μόνην καὶ καθ' ἑαυτὴν ἀπροςδεᾶ, καὶ ἁπλῆν φύσιν ἰδεῖν, ἀμιγῆ καὶ ἀσύγκριτον, ὁποῖα περὶ ἑαυτῶν τοιαῦτα καὶ περὶ τοῦ πάντων αἰτίου διενοήθησαν· οὐ λογισάμενοι, ὅτι τῷ μὲν ἐκ πλειόνων συνόδου δυνάμεων γενομένῳ, πλειόνων ἔδει μερῶν πρὸς τὴν τῶν καθ' ἕκαστον χρειῶν ὑπηρεσίαν.

§. 12. Ὁ δὲ θεὸς ἅτε ἀγέννητος ὤν, καὶ τὰ ἄλλα ἀγαγὼν εἰς γένεσιν, οὐδενὸς ἐδεήθη τῶν τοῖς γεννή- 302
μασι προςόντων. Ἐπεὶ καὶ τί φῶμεν; Εἰ κέχρηται P.
τοῖς ὀργανικοῖς μέρεσι, βάσεις μὲν ἔχει τοῦ προέρχεσθαι χάριν; Βαδιεῖται δὲ ποῖ πεπληρωκὼς τὰ πάντα; Καὶ πρὸς τίνα, μηδενὸς ὄντος ἰσοτίμου; Καὶ ἕνεκα τίνος; Οὐ γὰρ ὑγείας φροντίζων ὥςπερ καὶ ἡμεῖς. Καὶ χεῖρας μέντοι πρὸς τὸ λαβεῖν τε καὶ δοῦναι; Λαμβάνει μὲν δὴ παρ' οὐδενὸς οὐδέν. Πρὸς γὰρ τῷ ἀνεπιδεεῖ καὶ τὰ σύμπαντα ἔχει κτήματα· δίδωσι δὲ λόγῳ χρώμενος ὑπηρέτῃ δωρεῶν, ᾧ καὶ τὸν κόσμον εἰργάζετο. Ὀφθαλμῶν γε μὴν οὐκ ἐδεῖτο, οἷς ἄνευ φωτὸς αἰσθητοῦ κατάληψις οὐ γίνεται. Τὸ δὲ αἰσθητὸν φῶς γεννητόν· ἑώρα δὲ ὁ θεὸς καὶ πρὸ γενέσεως φωτὶ χρώμενος ἑαυτῷ. Τί δεῖ λέγειν περὶ τῶν τῆς τροφῆς ὀργάνων; Εἰ γὰρ ταῦτ' ἔχει, καὶ τρέφεται, καὶ πληρωθεὶς μὲν ἀποπαύεται, παυσάμενος δὲ δεῖται πάλιν, καὶ τὰ ἄλλα ὅσα τούτοις ἀκόλουθα οὐκ ἂν εἴποιμι. Ἀσεβῶν αὗται γὰρ αἱ μυθοποιΐαι λόγῳ μὲν ἀνθρωπόμορφον, ἔργῳ δὲ ἀνθρωποπαθὲς εἰςαγόντων τὸ θεῖον.

§. 13. Τίνος οὖν ἕνεκα Μωϋσῆς βάσεις, χεῖρας,
282 εἰςόδους, ἐξόδους, φησὶν εἶναι περὶ τὸ ἀγέννητον;
M. Τίνος δὲ χάριν ὁπλίζει τοῦτον πρὸς ἐχθρῶν ἄμυναν;

Ξιφηφοροῦντα γὰρ καὶ βέλεσι χρώμενον καὶ πνεύμασι καὶ φθοροποιῷ πυρί; Καταιγίδα καὶ κεραυνὸν, ἑτέροις ὀνόμασι ταῦτα ποιηταὶ προςαγορεύοντες, ὅπλα τοῦ αἰτίου φασὶν εἶναι· πρὸς δὲ ἔτι ζῆλον, θυμὸν, ὀργὰς, ὅσα τούτοις ὅμοια, ἀνθρωπολογῶν διεξέρχεται. Ἀλλὰ τοῖς πυνθανομένοις ἀποκρίνεται, ὦ οὗτοι, τῷ ἄριστα νομοθετήσαντι τέλος ἓν δεῖ προκεῖσθαι, πάντας ὠφελῆσαι τοὺς ἐντυγχάνοντας. Οἱ μὲν οὖν εὐμοίρου φύσεως λαχόντες, καὶ ἀγωγῆς ἐν πᾶσιν ἀνυπαιτίου, τὴν μετὰ ταῦθ᾽ ὁδὸν τοῦ βίου λεωφόρον καὶ εὐθεῖαν εὑρίσκοντες, ἀληθείᾳ συνοδοιπόρῳ χρῶνται· παρ᾽ ἧς μυηθέντες τὰ περὶ τοῦ ὄντος ἀψευδῆ μυστήρια, τῶν γενέσεως οὐδὲν προςαναπλάττουσιν αὐτῷ. Τούτοις οἰκειότατον πρόκειται κεφάλαιον ἐν τοῖς ἱεροφαντηθεῖσι χρησμοῖς, ὅτι "οὐχ ὡς ἄνθρωπος ὁ θεὸς," ἀλλ᾽ οὐθ᾽ ὡς οὐρανὸς, οὐθ᾽ ὡς κόσμος. Ποῖα γὰρ εἴδη ταῦτά γε καὶ εἰς αἴσθησιν ἐρχόμενα· ὁ δ᾽ ἄρα οὐδὲ τῷ νῷ καταληπτὸς, ὅτι μὴ κατὰ τὸ εἶναι μόνον. Ὕπαρξις γάρ ἐσθ᾽ ἣν ὃ καταλαμβάνομεν αὐτοῦ, τὸ δὲ χωρὶς ὑπάρξεως οὐδέν.

§. 14. Οἱ δέ γε νωθεστέρᾳ μὲν καὶ ἀμβλείᾳ κεχρημένοι τῇ φύσει, περὶ δὲ τὰς ἐν παισὶ τροφὰς πλημμεληθέντες, καὶ ὀξὺ καθορᾶν ἀδυνατοῦντες, ἰατρῶν δέονται νομοθετῶν, οἱ πρὸς τὸ παρὸν πάθος τὴν οἰκείαν ἐπινοήσουσι θεραπείαν. Ἐπεὶ καὶ ἀναγώγοις καὶ ἄφροσιν οἰκέταις φοβερὸς δεσπότης ὠφέλιμος· τὰς γὰρ ἐπανατάσεις καὶ ἀπειλὰς αὐτοῦ δεδιότες, ἄκοντες φόβῳ νουθετοῦνται. Μανθανέτωσαν οὖν πάντες οἱ τοιοῦτοι τὰ ψευδῆ, δι᾽ ὧν ὠφεληθήσονται, εἰ μὴ δύνανται δι᾽ ἀληθείας σωφρονίζεσθαι. Καὶ γὰρ τοῖς τὰ σώματα κάμνουσιν ἐπισφαλῶς οἱ νομιμώτατοι τῶν ἰατρῶν τὰ ἀληθῆ λαλεῖν οὐχ ὑπομένουσιν, εἰδότες ἀθυμοτέρους μὲν ἐκ τούτου γενησομένους, καὶ οὐ ῥωσθησομένην τὴν νόσον· ἐκ δὲ τῆς τῶν ἐναντίων παρηγορίας, πρᾳότερον τὰ ἐν χερσὶν οἴσοντας, καὶ τὸ ἀῤῥώστημα λωφῆσον. 303 P.

Τίς γὰρ ἂν τῶν εὖ φρονούντων εἴποι τῷ θεραπευομένῳ· ὦ οὗτος, τετμήσῃ, κεκαύσῃ, ἀκρωτηριασθήσῃ, καὶ ἂν εἰ μέλλοι ταῦτα ἐξ ἀνάγκης ὑπομένειν; Οὐδὲ εἷς ἐρεῖ. Προαναπεσὼν γὰρ τὴν γνώμην ἐκεῖνος, καὶ νόσον ἑτέραν τῇ ψυχῇ ἀργαλεωτέραν τῆς προϋπούσης τοῦ σώματος προςλαβὼν, ἀπερεῖ πρὸς τὴν
283 θεραπείαν ἄσμενος· ἐκ δὲ τοῦ τὰ ἐναντία ἀπάτῃ
M. τοῦ θεραπεύοντος προςδοκῆσαι, τλητικῶς πάνθ' ὑποστήσεται, καὶ ἂν ἀλγεινότατα ᾖ τὰ σώζοντα. Γενόμενος οὖν τῶν τῆς ψυχῆς παθῶν καὶ νοσημάτων ἄριστος ἰατρὸς ὁ νομοθέτης, ἓν ἔργον καὶ τέλος προέθετο, αὐταῖς ῥίζαις τὰς τῆς διανοίας νόσους ἐκτεμεῖν, ἵνα μή τις ὑπολειφθεῖσα βλάστην ἀῤῥωστήματος ἐνέγκῃ δυςιάτου. Τοῦτον δὴ τὸν τρόπον ἤλπισεν ἐκκόψαι δυνήσεσθαι, εἰ χρώμενον ἀπειλαῖς καὶ ἀγανακτήσεσι καὶ ἀπαραιτήτοις ὀργαῖς, ἔτι δὲ ἀμυντηρίοις ὅπλοις πρὸς τὰς κατὰ τῶν ἀδικούντων ἐπεξόδους, εἰςαγάγοι τὸ αἴτιον· μόνος γὰρ οὕτως ὁ ἄφρων νουθετεῖται. Παρ' ὅ μοι δοκεῖ τοῖς προειρημένοις δυσὶ κεφαλαίοις, τῷ τε "ὡς ἄνθρωπος καὶ τῷ οὐχ ὡς ἄνθρωπος ὁ θεὸς", ἕτερα δύο συνυφῆναι ἀκόλουθα καὶ συγγενῆ, φόβον τε καὶ ἀγάπην. Τὰς γὰρ διὰ τῶν νόμων εἰς εὐσέβειαν ὁρῶ παρακελεύσεις ἁπάσας ἀναφερομένας, ἢ πρὸς τὸ ἀγαπᾶν, ἢ πρὸς τὸ φοβεῖσθαι τὸν ὄντα. Τοῖς μὲν οὖν μήτε μέρος, μήτε πάθος ἀνθρώπου περὶ τὸ ὂν νομίζουσιν, ἀλλὰ θεοπρεπῶς αὐτὸ δι' αὐτὸ μόνον τιμῶσι, τὸ ἀγαπᾶν οἰκειότατον, φοβεῖσθαι δὲ τοῖς ἑτέροις.

§. 15. Ἃ μὲν οὖν προκαταστήσασθαι τῆς ζητήσεως ἁρμόττον ἦν, τοιαῦτά ἐστιν. Ἐπανιτέον δὲ ἐπὶ τὴν ἐξ ἀρχῆς σκέψιν, καθ' ἣν ἠποροῦμεν, τίνα ὑπογράφει νοῦν τὸ "Ἐθυμώθην ὅτι ἐποίησα αὐτούς*)." Ἴσως οὖν τοιοῦτόν τι βούλεται παραστῆσαι,

*) Gen. 6, 7.

ὅτι οἱ μὲν φαῦλοι θυμῷ γεγόνασι θεοῦ, οἱ δ' ἀγα-
θοὶ χάριτι. Καὶ γὰρ ἑξῆς φησι, "Νῶε δὲ εὗρε
χάριν *)." Τὸ δὲ κυριολογούμενον ἐπ' ἀνθρώπων
πάθος ὁ θυμὸς εὐθυβόλως εἴρηται, τροπικώτερον
δὲ ἐπὶ τοῦ ὄντος, εἰς τὴν ἀναγκαιοτάτην τοῦ πρά-
γματος δήλωσιν· ὅτι πάνθ' ὅσα δι' ὀργὴν ἢ φόβον 304
ἢ λύπην ἢ ἡδονὴν ἤ τι τῶν ἄλλων παθῶν πράτ- P.
τομεν, ὑπαίτια καὶ ἐπίληπτα ὁμολογουμένως ἐστὶν,
ὅσα δὲ μετ' ὀρθότητος λόγου καὶ ἐπιστήμης, ἐπαι-
νετά. Ὁρᾷς ὅσῃ καὶ περὶ τὴν προφορὰν κέχρηται
προφυλακῇ, ὅτι "Ἐθυμώθην, ὅτι ἐποίησα αὐτοὺς"
εἰπὼν, ἀλλ' οὐ κατὰ ἀντιστροφὴν, διότι ἐποίησα αὐ-
τοὺς, ἐθυμώθην. Τοῦτο μὲν γὰρ μετανοοῦντος ἦν,
ὅπερ ἡ τὰ πάντα προμηθουμένη θεοῦ φύσις οὐκ
ἀνέχεται· ἐκεῖνο δὲ δόγμα συνεκτικώτατον, εἰςηγου-
μένου ὅτι πηγὴ μὲν ἁμαρτημάτων θυμὸς, λογισμὸς
δὲ κατορθωμάτων. Μεμνημένος δὲ τῆς περὶ πάντα
τελείας ἀγαθότητος ἑαυτοῦ ὁ θεὸς, καὶ ἂν τὸ σύμ-
παν ἢ τὸ πλεῖστον ἀνθρώπων πλῆθος ἐξ ἑαυτοῦ δι'
ὑπερβολὰς ἁμαρτημάτων περιπίπτῃ, τὴν δεξιὰν καὶ
284 σωτήριον χεῖρα ὀρέγων, ὑπολαμβάνει καὶ ἐξανίστη-
M. σιν, οὐκ ἐῶν εἰς ἅπαν φθαρῆναι καὶ ἀφανισθῆναι τὸ
γένος.

§. 16. Διὸ νῦν φησι τὸν Νῶε χάριν εὑρεῖν παρ' αὐτῷ, ὅτε οἱ ἄλλοι φανέντες ἀχάριστοι τίνειν μέλλουσι δίκας, ἵνα τὸν σωτήριον ἔλεον ἀνακεράσηται τῇ κατὰ ἁμαρτανόντων κρίσει· καθάπερ καὶ ὁ ὑμνῳδὸς εἶπέ που, "Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι **)". Εἰ γὰρ βουληθείη ὁ θεὸς δικάσαι τῷ θνητῷ γένει χωρὶς ἐλέου, τὴν καταδικάζουσαν ψῆφον οἴσει· μηδενὸς ἀνθρώπων τὸν ἀπὸ γενέσεως μέχρι τελευτῆς βίον ἄπταιστον ἐξ ἑαυτοῦ δραμόντος, ἀλλὰ τοῦ μὲν ἑκουσίοις, τοῦ δὲ ἀκουσίοις χρησαμένου τοῖς ἐν ποσὶν ὀλισθήμασιν. Ἵνα οὖν ὑπάρχῃ τὸ γένος, καὶ ἂν

*) Gen. 6, 7. **) Psalm. 101 (100), 1.

πολλὰ τῶν ἰδικῶν βύθια χωρῇ, τὸν ἔλεον ἀνακίρνησιν, ᾧ πρὸς εὐεργεσίας καὶ τῶν ἀναξίων χρῆται· καὶ οὐ μόνον δικάσας ἐλεεῖ, ἀλλ' ἐλεήσας δικάζει. Πρεσβύτερος γὰρ δίκης ὁ ἔλεος παρ' αὐτῷ ἐστιν, ἅτε τὸν κολάσεως ἄξιον οὐ μετὰ τὴν δίκην, ἀλλὰ πρὸ δίκης εἰδότι.

§. 17. Διὰ τοῦτο ἐν ἑτέροις εἴρηται, "Ποτήριον ἐν χειρὶ κυρίου, οἴνου ἀκράτου πλῆρες κεράσματος *)", καί τοι τὸ κεκραμένον οὐκ ἄκρατον· ἀλλ' ἔχει λόγον ταῦτα φυσικώτατον, καὶ τοῖς προειρημένοις ἀκόλουθον. Ὁ γὰρ θεὸς ταῖς δυνάμεσι πρὸς μὲν ἑαυτὸν ἀκράτοις χρῆται, κεκραμέναις δὲ πρὸς γένεσιν· τὰς γὰρ ἀμιγεῖς θνητὴν ἀμήχανον φύσιν χωρῆσαι. Ἢ νομίζεις ἄκρατον μὲν τὴν ἡλίου φλόγα μὴ δύνασθαι θεαθῆναι, — σβεσθήσεται γὰρ πρότερον ἡ ὄψις μαρμαρυγαῖς τῶν ἀκτίνων ἀμυδρωθεῖσα, ἢ προςβάλλουσα καταλήψεται, καί τοι καὶ ἥλιος ἓν ἦν ἔργον θεοῦ, μοῖρα οὐρανοῦ, πίλημα αἰθέριον, — τὰς δὲ ἀγεννήτους ἄρα δυνάμεις ἐκείνας, αἳ περὶ αὐτὸν οὖσαι λαμπρότατον φῶς ἀπαστράπτουσιν, ἀκράτους περινοῆσαι δύνασθαι; Ὥςπερ οὖν τὰς ἡλιακὰς ἀκτῖνας 305
ἔτεινε μὲν ἀπ' οὐρανοῦ μέχρι γῆς τερμάτων, τὸ P.
σφοδρὸν τῆς ἐν αὐταῖς θερμότητος ἀνεὶς καὶ χαλάσας ἀέρι ψυχρῷ, — τούτῳ γὰρ αὐτὰς ἀνεκεράσατο, ὅπως τὸ αὐγοειδὲς ἀπὸ τοῦ φλογώδους πυρὸς ἀνασταλὲν, τὴν μὲν τοῦ καίειν μεθειμένον δύναμιν, τὴν δὲ τοῦ φωτίζειν περιέχον, τῷ ταμιευομένῳ ἐν ταῖς ὄψεσι συγγενεῖ αὐτοῦ καὶ φίλῳ ὑπαντιάσαν ἀσπάσηται· ἡ γὰρ τούτων ἐξ ἐναντίας εἰς ταὐτὸ σύνοδός τε καὶ δεξίωσις τὴν δι' ὁράσεως ἀντίληψιν ἐργάζεται, — οὕτως ἐπιστήμην θεοῦ καὶ σοφίαν καὶ φρόνησιν καὶ δικαιοσύνην καὶ τῶν ἄλλων ἑκάστην ἀρετῶν, τίς ἂν ἀκραιφνῆ δέξασθαι δύναιτο, θνητὸς ὤν, ἀλλ' οὐδ' ὁ σύμπας οὐρανός τε καὶ κόσμος; Εἰδὼς τοίνυν ὁ

*) Psalm. 75 (74), 9.

δημιουργὸς τὰς περὶ αὐτὸν ἐν ἅπασι τοῖς ἀρίστοις ὑπερβολάς, καὶ τὴν τῶν γεγονότων, εἰ καὶ σφόδρα
285 μεγαλαυχοῖεν, φυσικὴν ἀσθένειαν, οὔτε εὐεργετεῖν,
M. οὔτε κολάζειν ὡς δύναται βούλεται, ἀλλ' ὡς ἔχοντας ὁρᾷ δυνάμεως τοὺς ἑκατέρου μεθέξοντας. Εἰ δὴ τοῦ ἀνειμένου καὶ μεσότητα ἔχοντος τῶν δυνάμεων αὐτοῦ κράματος ἐμπιεῖν καὶ ἀπολαῦσαι δυνηθείημεν, ἀποχρῶσαν εὐφροσύνην καρπωσαίμεθα, ἧς τελειοτέραν μὴ ζητείτω λαβεῖν τὸ ἀνθρώπων γένος. Ἐδείχθησαν γὰρ αἱ μιγεῖς καὶ ἄκρατοι καὶ τῷ ὄντι ἀκρότητες περὶ τὸ ὂν μόνον ὑπάρχουσαι.

§. 18. Τοῖς δὲ εἰρημένοις ὅμοιόν ἐστι καὶ τὸ ἑτέρωθι λεχθὲν, "Ἅπαξ κύριος ἐλάλησε, δύο ταῦτα ἤκουσα*)". Τὸ μὲν γὰρ ἅπαξ ἔοικε τῷ ἀκράτῳ· καὶ γὰρ τὸ ἄκρατον μονὰς, καὶ ἡ μονὰς ἄκρατον. Τὸ δὲ δὶς τῷ κεκραμένῳ· ἑκάτερον γὰρ οὐχ ἁπλοῦν, ἅτε καὶ σύγκρισιν καὶ διάκρισιν ἐπιδεχόμενον. Μονάδας μὲν οὖν ἀκράτους ὁ θεὸς λαλεῖ· οὐ γάρ ἐστιν ὁ λόγος αὐτῷ γεγονὼς ἀέρος πλῆξις, ἀναμιγνύμενος ἄλλῳ τὸ παράπαν οὐδενὶ, ἀλλὰ καὶ ἀσώματός τε καὶ γυμνὸς, ἀδιαφορῶν μονάδος. Ἀκούομεν δὲ ἡμεῖς δυάδι. Τὸ γὰρ ἀφ' ἡγεμονικοῦ πνεῦμα διὰ τραχείας ἀναπεμπόμενον ἀρτηρίας, τυποῦται μὲν ἐν στόματι, ὥσπερ ὑπὸ δημιουργοῦ τινος, γλώττης· φερόμενον δ' ἔξω καὶ ἀναμιχθὲν ἀέρι συγγενεῖ, καὶ πλῆξαν αὐτὸν τὴν δυάδος κρᾶσιν ἁρμονίως ἀποτελεῖ. Τὸ γὰρ συνηχοῦν ἐκ φθόγγων διαφερόντων δυάδι μεριστῇ τὸ πρῶτον ἁρμόζεται, ὀξὺν καὶ βαρὺν τόνον ἐχούσῃ. Παγκάλως οὖν τῷ πλήθει τῶν ἀδίκων λογισμῶν ἀντέθηκεν ἕνα τὸν δίκαιον, ἀριθμῷ μὲν ἐλάττονα δυνάμει δὲ πλείονα, ἵνα μὴ ταλαντεῦσαν ὥσπερ ἐπὶ πλάστιγγος βρίσῃ τὸ χεῖρον, ἀλλὰ κράτει τῆς ἐναντίας περὶ τὸ βέλτιον ῥοπῆς ἀνακουφισθὲν ἀσθενήσῃ.

---

*) Psalm. 62 (61), 12.

§. 19. *Τί δέ ἐστι τὸ „Νῶε εὗρε χάριν ἐναντίον* 306
*κυρίου τοῦ θεοῦ *);" συνεπισκεψώμεθα. Τῶν εὑ-* P.
*ρισκόντων οἱ μὲν ἃ πρότερον ἔχοντες ἀπέβαλον αὖθις εὑρίσκουσιν, οἱ δὲ ἃ μὴ πάλαι νῦν δὲ πρῶτον περιεποιήσαντο. Τουτὶ μὲν οὖν τὸ ἔργον εὕρεσιν, ἐκεῖνο δὲ ἀνεύρεσιν οἱ ζητητικοὶ τῶν κυρίων ὀνομάτων καλεῖν εἰώθασι. Τοῦ μὲν οὖν προτέρου παράδειγμα ἐναργέστατον, τὰ περὶ τῆς „μεγάλης εὐχῆς **)" διατεταγμένα. Ἔστι δὲ εὐχὴ μὲν αἴτησις ἀγαθῶν παρὰ θεοῦ. Μεγάλη δὲ εὐχὴ, τὸ αὐτὸν τὸν θεὸν αἴτιον ἀγαθῶν ἀφ᾽ ἑαυτοῦ νομίζειν, μηδενὸς ἑτέρου τῶν εἰς τὸ δοκεῖν ὠφελεῖν συνεργοῦντος, μὴ γῆς ὡς καρποτόκου, μὴ ὑετῶν ὡς σπέρματα καὶ φυτὰ συναυξόντων, μὴ ἀέρος ὡς τρέφειν ἱκανοῦ, μὴ γεωργίας ὡς φορᾶς αἰτίας, μὴ ἰατρικῆς ὡς ὑγείας, μὴ γάμου ὡς γενέσεως παίδων. Πάντα γὰρ ταῦτα δυνάμει θεοῦ*
286 *μεταβολὰς δέχεται καὶ τροπὰς, ὡς τὰ ἐναντία πολ-*
M. *λάκις τοῖς ἐξ ἔθους ἀποτελεῖν. Τοῦτον οὖν φησι Μωϋσῆς „ἅγιον" εἶναι, „τρέφοντα κόμην τρίχα κεφαλῆς ***)." ὅπερ ἦν, τὰς ἐν τῷ ἡγεμονικῷ τῶν ἀρετῆς δογμάτων κεφαλαιώδεις ἀνατολὰς συναύξοντα, καὶ τρόπον τινὰ κομῶντα καὶ σεμνυνόμενον ἐπ᾽ αὐταῖς. Ἀλλ᾽ ἔστιν ὅτε ἀπέβαλεν αὐτὰς, αἰφνίδιον κατασκήψαντος οἷά τινος τυφῶνος εἰς τὴν ψυχὴν, καὶ τὰ καλὰ πάντα αὐτῆς ἐξαρπάσαντος. Ὁ δὲ τυφὼν οὗτος τροπή τίς ἐστιν ἀκούσιος, παραχρῆμα τὸν νοῦν μιαίνουσα, ἣν καλεῖ „θάνατον †)." Ἀλλ᾽ ὅμως ἀποβαλὼν αὖθις καὶ καθαρθεὶς, ἀναλαμβάνει καὶ ἀναμιμνήσκεται ὧν τέως ἐπελέληστο, καὶ ἅπερ ἀπέβαλεν εὑρίσκει, ὡς „τὰς προτέρας τῆς τροπῆς ἡμέρας ἀλόγους ἐξετάζεσθαι", ἢ διότι παράλογον ἡ τροπὴ πρᾶγμα, ἀπᾶδον ὀρθοῦ λόγου καὶ φρονήσεως ἀμέτοχον, ἢ παρ᾽ ὅσον οὐκ ἔστιν ἀξία κατα-*

---

*) Gen. 6, 8. **) Num. 6, 2. ***) Num. 6, 6. †) Ibid. 9.

ῥιθμεῖσθαι· „τῶν γὰρ τοιούτων", ἔφη τις, „οὐ λόγος, οὐδ' ἀριθμός".

§. 20. Πολλάκις δὲ ἐνετύχομεν τούτοις, ἃ μηδ' ὄναρ πρότερον εἴδομεν· ὥσπερ γεωπόνον φασί τινες ὑπὲρ τοῦ τι τῶν ἡμέρων δένδρων φυτεῦσαι σκάπτοντα χωρίον θησαυρῷ περιτυχεῖν, ἀνελπίστῳ χρησάμενον εὐτυχίᾳ. Ὁ γοῦν ἀσκητὴς πυθομένου τοῦ πατρὸς αὐτοῦ τῆς ἐπιστήμης τὸν τρόπον τοῦτον, „Τί τοῦτο ὃ ταχὺ εὗρες, τέκνον;" ἀποκρίνεται καί φησιν, „Ὃ παρέδωκε κύριος ὁ θεὸς ἐναντίον μου *)." Ὅταν γὰρ ὁ θεὸς παραδιδῷ τὰ τῆς ἰδίου σοφίας θεωρήματα, καμάτου χωρὶς καὶ πόνου, ταῦτα ἐξαίφνης οὐ προσδοκήσαντες, θησαυρὸν εὐδαιμονίας τελείας εὑρίσκομεν. Συμβαίνει δὲ πολλάκις τοῖς μὲν ἐπιπόνως ζητοῦσιν, ἀποτυγχάνειν τοῦ ζητουμένου, τοῖς δ' ἄνευ φροντίδος, ῥᾷστα καὶ ἃ μὴ διενοήθησαν εὑρίσκειν. Οἱ μὲν γὰρ νωθέστεροι καὶ βραδεῖς 307
τὰς ψυχὰς, ὥσπερ οἱ τὰ ὄμματα πεπηρωμένοι, τὸν P.
εἰς τὸ θεωρῆσαί τι τῶν κατ' ἐπιστήμην πόνον ἴσχουσιν ἀτελῆ· οἱ δὲ φύσεως εὐμοιρίᾳ δίχα ζητήσεως μυρίοις ἐνέτυχον, εὐθυβόλῳ καὶ εὐθίκτῳ χρησάμενοι προσβολῇ, ὡς δοκεῖν αὐτοὺς μὲν μὴ σπουδάσαι τοῖς πράγμασιν ἐντυχεῖν, ἐκεῖνα δὲ μεθ' ὁρμῆς προαπαντήσαντα εἰς ὄψιν ἐλθεῖν ἐπειχθῆναι, καὶ τὴν ἀπ' αὐτῶν ἀκριβεστάτην ἐμποιῆσαι κατάληψιν.

§. 21. Τούτοις ὁ νομοθέτης φησὶ δεδόσθαι „πόλεις μεγάλας καὶ καλὰς ἃς οὐκ ᾠκοδόμησαν· οἰκίας πλήρεις τῶν ἀγαθῶν, ἃς οὐκ ἐνέπλησαν· λάκκους
287 λελατομημένους, οὓς οὐκ ἐξελατόμησαν· ἀμπελῶ-
M. νας καὶ ἐλαιῶνας, οὓς οὐκ ἐφύτευσαν **)." Πόλεις μὲν οὖν καὶ οἰκίας συμβολικῶς τάς τε γενικὰς καὶ τὰς εἰδικὰς ἀρετὰς ὑπογράφει. Πόλει μὲν γὰρ ἔοικε τὸ γένος, ὅτι καὶ ἐν μείζοσιν ἐξετάζεται περιγραφαῖς, καὶ πλειόνων κοινόν ἐστιν· εἶδος δὲ οἰκίᾳ, τῷ συν-

*) Gen. 27, 20. **) Deut. 6, 11.

ἦχθαί τε μᾶλλον καὶ πεφευγέναι τὴν κοινότητα. Προητοιμασμένοι δὲ λάκκοι τὰ ἑτέροις τῶν πόνων, τούτοις πρόχειρα ἆθλα, οὐρανίων καὶ ποτίμων δεξαμεναὶ ναμάτων πρὸς φυλακὴν τῶν προειρημένων ἀρετῶν εὐτρεπεῖς θησαυροὶ, ἐξ ὧν εὐφροσύνη περιγίνεται ψυχῇ τελείᾳ, φῶς τὸ ἀληθείας ἀπαστράπτουσα. Τοὺς μὲν οὖν ἀμπελῶνας εὐφροσύνης, τοὺς δ' ἐλαιῶνας φωτὸς πεποίηται σύμβολον. Εὐδαίμονες μὲν οὖν οὗτοι, παραπλήσιόν τι πάσχοντες τοῖς ἐκ βαθέος ὕπνου διανισταμένοις, καὶ τὸν κόσμον ἐξαίφνης ἀπόνως καὶ χωρὶς πραγματείας ὁρῶσιν· ἄθλιοι δὲ οἷς πρὸς ἃ μὴ πεφύκασιν ἀντιφιλονεικεῖν συμβαίνῃ, ἔριδι, ἀργαλεωτάτῃ νόσῳ, ἐπαιρόμενοι. Πρὸς γὰρ τῷ τοῦ τέλους ἀποτυγχάνειν ἔτι μετ' οὐ μικρᾶς βλάβης μεγάλην αἰσχύνην ὑπομένουσιν, ὥςπερ αἱ πρὸς ἐναντία πνεύματα νῆες θαλαττεύουσαι· πρὸς γὰρ τῷ μὴ τυγχάνειν ὑποδρόμων ἐφ' οὓς ἐπείγονται, πολλάκις αὐτοῖς πλωτῆρσι καὶ φορτίοις ἀνατραπεῖσαι, λύπην φίλοις, ἡδονὴν δ' ἐχθροῖς ἐμπαρέσχον.

§. 22. Λέγει οὖν ὁ νόμος, ὅτι "παραβιασάμενοί τινες ἀνέβησαν ἐπὶ τὸ ὄρος, καὶ ἐξῆλθεν ὁ Ἀμοῤῥαῖος ὁ κατοικῶν ἐν τῷ ὄρει ἐκείνῳ, καὶ ἐτίτρωσκεν αὐτοὺς, ὡς ἂν ποιήσειαν αἱ μέλισσαι, καὶ ἐδίωξεν αὐτοὺς ἀπὸ Σηεὶρ ἕως Ἑρμᾶ *)." Ἀνάγκη γὰρ καὶ τοὺς ἀφυῶς ἔχοντας πρὸς τὰς τῶν τεχνῶν ἀναλήψεις, εἴ τι βιαζόμενοι πονοῖντο περὶ αὐτὰς, μὴ μόνον σφάλλεσθαι τοῦ τέλους, ἀλλὰ καὶ αἰσχύνην ὄφλειν· καὶ τοὺς ἄλλο τι τῶν δεόντων ἀσυγκαταθέτῳ γνώμῃ πράττοντας ἐθελουσίως, βιαζομένους δὲ τὸ παρ' αὐτοῖς ἑκούσιον, μὴ κατορθοῦν, ἀλλὰ πρὸς
τοῦ συνειδότος τιτρώσκεσθαι καὶ διώκεσθαι. Καὶ 308
τοὺς τὰς ὀλιγοχρημάτους παρακαταθήκας ἀποδιδόν- P.
τας ἐπὶ θήρᾳ στερήσεως μειζόνων, εἴποις ἂν πίστει

*) Deut. 1, 43. 44.

*διαφέρειν, οἱ καὶ ἅτε δὴ ἀπέδοσαν, πολλὰ τὴν ἔμφυτον ἀπιστίαν ἐβιάσαντο, ὑφ᾽ ἧς μήποτε παύσαιντο κατακεντούμενοι. Θεραπείαν δὲ ὅσοι τοῦ μόνου σοφοῦ νόθον ἐπετήδευσαν, ὥςπερ ἐπὶ σκηνῆς ἱεροπρεπεστάτης, ἄχρι τοῦ μόνον ἐπιδείξασθαι τοῖς συνεληλυθόσι θεαταῖς προαίρεσιν ἐνδῦντες βίου, βωμολοχίαν πρὸ εὐσεβείας ἐν τῇ ψυχῇ φέροντες, οὐχ αὑτοὺς ὥςπερ ἐπὶ τροχοῦ κατατείνουσι καὶ βασανί-
288 ζουσιν, ἀναγκάζοντες ἐπιμορφάζειν ψευδῶς ἀλή-
M. θειαν; Τοιγάρτοι βραχὺν χρόνον ἐπισκιασθέντες διὰ τῶν δεισιδαιμονίας συμβόλων, ἣ κόλασις μέν ἐστιν ὁσιότητος, μεγάλη δὲ καὶ τοῖς ἔχουσι καὶ τοῖς συνιοῦσι ζημία· εἶτ᾽ αὖθις ἀπαμφιασάμενοι τὰ περίαπτα, γυμνὴν ἐπιδείκνυνται τὴν ὑπόκρισιν. Καὶ τότε ὥςπερ οἱ ξενίας ἁλόντες νοθεύονται, τῇ μεγίστῃ πόλεων ἀρετῇ μηδὲν προςήκοντας ἑαυτοὺς παρεγγράψαντες. Τὸ γὰρ βίαιον ὀλιγοχρόνιον, ὡς καὶ αὐτό που δηλοῖ τὸ ὄνομα, παρὰ τὸ βαιὸν εἰρημένον. Βαιὸν δὲ τὸ ὀλιγοχρόνιον ἐκάλουν οἱ παλαιοί.*

§. 23. *Τί δέ ἐστι τὸ "Νῶε εὗρε χάριν παρὰ κυρίῳ τῷ θεῷ *)," διαπορητέον. Ἆρ᾽ οὖν τοιοῦτόν ἐστι τὸ δηλούμενον, ὅτι χάριτος ἔτυχεν, ἢ ὅτι χάριτος ἄξιος ἐνομίσθη; Ἀλλὰ τὸ μὲν πρότερον οὐκ εἰκὸς ὑπονοεῖν. Τί γὰρ αὐτῷ πλέον δεδώρηται πάντων, ὡς ἔπος εἰπεῖν, ὅσα οὐ συγκέκριται μόνον, ἀλλὰ καὶ στοιχειώδεις ἁπλαῖ φύσεις εἰσὶ χάριτος ἠξιωμέναι θείας; Τὸ δὲ ὕστερον ἔχει μέν τινα οὐκ ἀνάρμοστον λόγον, κρίνοντος τοῦ αἰτίου δωρεῶν ἀξίους τοὺς τὸ θεῖον ἐν ἑαυτοῖς νόμισμα, τὸν ἱερώτατον νοῦν, αἰσχροῖς ἐπιτηδεύμασι μὴ διαφθείροντας· ἴσως δὲ οὐκ ἀληθῆ. Πηλίκον γάρ τινα εἰκὸς γενέσθαι τὸν ἄξιον χάριτος κριθησόμενον παρὰ θεῷ; Ἐγὼ μὲν γὰρ ἡγοῦμαι μόλις ἂν καὶ σύμπαντα τὸν κόσμον τοῦτον*

*) Gen. 6, 8.

λαχεῖν, καί τοι τό γε πρῶτον καὶ μέγιστον καὶ τε-
λειότατον τῶν θείων ἔργων οὗτός ἐστιν. Μήποτ'
οὖν ἄμεινον ἂν εἴη ἐκδέχεσθαι τοῦτο, ὅτι ζητητικὸς
καὶ πολυμαθὴς γενόμενος ὁ ἀστεῖος, ἐν οἷς ἅπασιν
ἐζήτησε τοῦθ' εὗρεν ἀληθέστατον, χάριν ὄντα θεοῦ
τὰ πάντα, γῆν, ὕδωρ, ἀέρα, πῦρ, ἥλιον, ἀστέρας,
οὐρανὸν, ζῶα καὶ φυτὰ σύμπαντα. Κεχάρισται δὲ ὁ
θεὸς αὐτῷ μὲν οὐδὲν, οὐδὲ γὰρ δεῖται· κόσμον δὲ κόσμῳ,
καὶ τὰ μέρη ἑαυτοῖς τε καὶ ἀλλήλοις, ἔτι δὲ τῷ παν-
τί. Οὐδὲν δὲ κρίνας ἄξιον χάριτος, — ἄφθονα γὰρ 309
καὶ τῷ ὅλῳ καὶ τοῖς μέρεσι δεδώρηται τὰ ἀγαθά, — P.
ἀλλ' ἀπιδὼν εἰς τὴν ἀΐδιον ἀγαθότητα, καὶ νομίσας
ἐπιβάλλον τῇ μακαρίᾳ καὶ εὐδαίμονι φύσει ἑαυτοῦ
τὸ εὐεργετεῖν. Ὥςτε εἴ τίς μ' ἔροιτο, τίς αἰτία γε-
νέσεως κόσμου, μαθὼν παρὰ Μωϋσέως ἀποκρινοῦ-
289 μαι, ὅτι ἡ τοῦ ὄντος ἀγαθότης ἐστὶ πρεσβυτάτη τῶν
M. χαρίτων οὖσα ἑαυτῇ.

§. 24. Παρατηρητέον δὲ, ὅτι τὸν μὲν "Νῶε" φησὶν "εὐαρεστῆσαι" ταῖς τοῦ ὄντος δυνάμεσιν, "κυρίῳ τε καὶ θεῷ*)," Μωϋσῆν δὲ τῷ δορυφορουμένῳ πρὸς τῶν δυνάμεων, καὶ δίχα αὐτῶν κατὰ τὸ εἶναι μόνον νοουμένῳ. Λέγεται γὰρ ἐκ προςώπου θεοῦ, "Ὅτι εὕρηκας χάριν παρ' ἐμοὶ **)," δεικνὺς ἑαυτὸν, τὸν ἄνευ παντὸς ἑτέρου. Οὕτως ἄρα τὴν μὲν κατὰ Μωϋσῆν ἄκραν σοφίαν ἀξιοῖ χάριτος ὁ ὢν αὐτὸς δι' ἑαυτοῦ μόνου, τὴν δὲ ἀπεικονισθεῖσαν ἐκ ταύτης, δευτέραν καὶ εἰδικωτέραν οὖσαν, διὰ τῶν ὑπηκόων δυνάμεων, καθ' ἃς καὶ κύριος καὶ θεὸς ἄρχων τε καὶ εὐεργέτης ἐστίν. Ἕτερος δέ τις φιλοσώματος καὶ φιλοπαθὴς νοῦς, "πραθεὶς τῇ ἀρχιμαγείρῳ ***)" τοῦ συγκρίματος ἡμῶν ἡδονῇ, καὶ ἐξευνουχισθεὶς τὰ ἄῤῥενα καὶ γεννητικὰ τῆς ψυχῆς μέρη πάντα, σπάνει κεχρημένος καλῶν ἐπιτηδευμάτων, ἀκοὴν παραδέξασθαι θείαν ἀδυνατῶν, ἐκκλησίας τῆς

*) Gen. 6, 8. **) Exod. 33, 17. ***) Gen. 39, 1.

ἱερᾶς ἀπεσχοινισμένος, ἐν ᾗ σύλλογοι καὶ λόγοι περὶ ἀρετῆς ἀεὶ μελετῶνται, εἰς μὲν τὸ δεσμωτήριον τῶν παθῶν εἰςάγεται, "χάριν δὲ εὑρίσκει" τὴν ἀτιμίας ἀδοξοτέραν "παρὰ τῷ ἀρχιδεσμοφύλακι*)." Δεσμῶται μὲν γὰρ κυρίως εἰσὶν, οὐχ οὓς ἐν δικαστηρίῳ καταδικασθέντας ὑπὸ κλήρῳ ἀρχόντων, ἢ καὶ χειροτονηθέντων δικαστῶν, ἀπάγουσί τινες εἰς ἀποδεδειγμένον χῶρον κακούργων· ἀλλ' ὧν ἡ φύσις κατεδίκασε ψυχῆς τρόπων, οἵτινες ἀκολασίας καὶ δειλίας καὶ ἀδικίας καὶ ἀσεβείας καὶ ἄλλων ἀμυθήτων κηρῶν γέμουσιν. Ὁ δὲ ἐπίτροπος καὶ φύλαξ καὶ ταμίας τούτων "ὁ ἡγεμὼν τοῦ δεσμωτηρίου**)," σύστημα καὶ συμφόρημα κακιῶν ἀθρόων καὶ ποικίλων εἰς ἓν εἶδος συνυφασμένων ἐστὶν, ᾧ τὸ εὐαρεστῆσαι μεγίστη ζημία. Ἣν οὐχ ὁρῶντες ἔνιοι, ἀπατώμενοι δὲ περὶ τὸ βλάπτον ὡς ὠφελοῦν, προςίασί τε αὐτῷ μάλα γεγηθότες καὶ δορυφοροῦσιν, ἵν' ὕπαρχοι καὶ διάδοχοι φυλακῆς ἁμαρτημάτων ἀκουσίων τε καὶ ἑκουσίων πιστοὶ κριθέντες γένωνται. Ἀλλὰ σύ γε, ὦ ψυχὴ, τὴν δεσποτείαν καὶ ἡγεμονίαν ταύτην ἀργαλεωτέραν τῆς ἐπαχθοῦς δουλείας νομίσασα, μάλιστα μὲν ἀδέσμῳ καὶ λελυμένῃ καὶ ἐλευθέρᾳ χρῆσαι προαιρέσει τοῦ βίου. Ἂν δ' ἄρα ἀγκιστρευθῇς ὑπὸ πάθους, δεσμῶτις μᾶλλον ἢ εἱρκτοφύλαξ ὑπόμεινον γενέσθαι. Κακωθεῖσα μὲν γὰρ καὶ στενάξασα ἔλεον
290 εὑρήσεις· σπουδαρχίαις δὲ καὶ λιμοδοξίαις ὑποβα- 310
M. λοῦσα σαυτὴν, ἡδὺ κακὸν τὸ εἱρκτοφυλακεῖν καὶ μέ- P.
γιστον ἀναδέξῃ, ὑφ' οὗ γενήσῃ πάντα ἀγώγιμος τὸν αἰῶνα.

§. 25. Τὰς μὲν οὖν παρὰ τοῖς ἀρχιδεσμοφύλαξιν εὐαρεστήσεις ἀνὰ κράτος ἀπόθου, τῶν δὲ παρὰ τῷ αἰτίῳ διαφερόντως μετὰ πάσης σπουδῆς ἐφίεσο. Ἐὰν δ' ἄρα ἀδυνατῇς — ὑπερβάλλον γὰρ τὸ τοῦ ἀξιώματος μέγεθος — ἴθι ὁμεταστρεπτὶ πρὸς τὰς

*) Gen. 21. **) Ibid. 22.

δυνάμεις αὐτοῦ καὶ τούτων ἱκέτις γενοῦ, μέχρις ἂν ἀποδεξάμεναι τὸ συνεχὲς καὶ γνήσιον τῆς θεραπείας, ἐν τῇ τῶν εὐαρεστησάντων αὐταῖς κατατάξωσι χώρᾳ, καθάπερ καὶ τὸν Νῶε, οὗ τῶν ἐγγόνων θαυμαστότατον καὶ καινότατον πεποίηται τὸν κατάλογον. Φησὶ γὰρ, "Αὗται αἱ γενέσεις, Νῶε. Νῶε ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ, τῷ θεῷ εὐηρέστησε Νῶε *)." Τὰ μὲν γὰρ τοῦ συγκρίματος γεννήματα πέφυκεν εἶναι καὶ αὐτὰ συγκρίματα· ἵπποι γὰρ ἵππους, καὶ λέοντες λέοντας, καὶ βόες ταύρους, ὁμοίως δὲ καὶ ἄνθρωποι ἀνθρώπους ἐξ ἀνάγκης γεννῶσι. Διανοίας δὲ ἀγαθῆς οὐ τὰ τοιαῦτα οἰκεῖα ἔγγονα, ἀλλ' αἱ προειρημέναι ἀρεταὶ, τὸ ἄνθρωπον εἶναι, τὸ δίκαιον εἶναι, τὸ τέλειον εἶναι, τὸ θεῷ εὐαρεστῆσαι· ὅπερ ἐπειδὴ καὶ τελεώτατον ἦν, καὶ ὅρος τις ἄκρας εὐδαιμονίας, ἐφ' ἅπασιν εἴρηται. Γένεσις δὲ, ἡ μὲν ἀγωγὴ καὶ ὁδός τίς ἐστιν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι· ταύτῃ φυτά τε καὶ ζῶα ἐξ ἀνάγκης ἀεὶ χρῆσθαι πέφυκεν. Ἑτέρα δέ ἐστιν ἡ ἐκ βελτίονος γένους εἰς ἔλαττον εἶδος μεταβολή· ἧς μέμνηται ὅταν φῇ, "Αὗται δὲ αἱ γενέσεις Ἰακώβ. Ἰωσὴφ δέκα ἑπτὰ ἐτῶν, ἦν ποιμαίνων μετὰ τῶν ἀδελφῶν τὰ πρόβατα· ὢν νέος μετὰ τῶν υἱῶν Βάλλας, καὶ μετὰ τῶν υἱῶν Ζελφᾶς, τῶν γυναικῶν πατρὸς αὐτοῦ **)." Ὅταν γὰρ ὁ ἀσκητικὸς καὶ φιλομαθὴς οὗτος λόγος ἀπὸ τῶν θειοτέρων ἐννοημάτων εἰς ἀνθρωπίνας καὶ θνητὰς δόξας καταβιβασθῇ, ὁ τοῦ σώματος καὶ τῶν περὶ αὐτὸ χορευτὴς Ἰωσὴφ ἀπογεννᾶται, νέος ὢν ἔτι, καὶ ἂν μήκει χρόνου πολιὸς γένηται· πρεσβυτέρας οὔτε γνώμης οὔτε ἀκοῆς εἰςάπαν ἐπησθημένος, ἣν οἱ Μωϋσέως θιασῶται κατασταθέντες, κτῆμα καὶ ἀπόλαυσμα ὠφελιμώτατον ἑαυτοῖς τε καὶ τοῖς ἐντυγχάνουσιν εὕραντο. Διὰ τοῦτό μοι δοκεῖ, τὸν τύπον αὐτοῦ καὶ τὴν ἀκριβεστάτην τοῦ χαρακτῆρος ἰδέαν βουλόμενος

*) Gen. 6, 9. **) Gen. 37, 2.

ἐκδηλοτέραν ἐγγράψαι, ποιμαίνοντα εἰςάγειν, μετὰ γνησίου μὲν οὐδενὸς, μετὰ δὲ τῶν νόθων ἀδελφῶν, οἳ παλλακίδων ὄντες, ἀπὸ τοῦ χείρονος γένους, τοῦ πρὸς γυναικῶν, ἀλλ' οὐκ ἀπὸ τοῦ κρείττονος, τοῦ πρὸς ἀνδρῶν, χρηματίζουσιν. Υἱοὶ γὰρ τῶν γυναικῶν Βάλλας καὶ Ζελφᾶς, ἀλλ' οὐκ Ἰσραὴλ τοῦ πατρὸς, νυνὶ καλοῦνται.

291 §. 26. Ζητήσαι δ' ἄν τις προςηκόντως, τίνος 311
M. ἕνεκα μετὰ τὴν ἐν ταῖς ἀρεταῖς τοῦ Νῶε τελείωσιν P.
εὐθὺς εἴρηται, ὅτι "Ἐφθάρη ἡ γῆ ἐναντίον τοῦ θεοῦ, καὶ ἐπλήσθη ἀδικίας *)." Ἀλλ' ἴσως οὐ χαλεπὸν λύσεως εὐπορῆσαι, τῷ μὴ σφόδρα παιδείας ἀπείρῳ. Λεκτέον οὖν, ὅτι ἐπειδὰν ἐν ψυχῇ τὸ ἄφθαρτον εἶδος ἀνατείλῃ, τὸ θνητὸν εὐθέως φθείρεται· γένεσις γὰρ τῶν καλῶν, θάνατος αἰσχρῶν ἐπιτηδευμάτων ἐστὶν, ἐπεὶ καὶ φωτὸς ἐπιλάμψαντος ἀφανίζεται τὸ σκότος. Διὰ τοῦτο ἐν τῷ νόμῳ τῆς λέπρας ἀκριβέστατα διείρηται, ὅτι "Ἐὰν ἀνατείλῃ χρὼς ζῶν ἐν τῷ λεπρῷ, μιανθήσεται **)." Καὶ προςεπισφίγγων αὐτὸ τοῦτο καὶ ὥσπερ ἐναποσημαινόμενος ἐπιφέρει, "Καὶ μιανεῖ ὁ χρὼς ὁ ὑγιής", ἀντιταττόμενος τῷ εἰκότι καὶ συνήθει. Πάντες γὰρ οἱ ἄνθρωποι τὰ νοσοῦντα φθορὰς τῶν ὑγιαινόντων, καὶ τὰ νεκρὰ τῶν ζώντων, οὐκ ἔμπαλιν τὰ ὑγιαίνοντα καὶ ζῶντα τῶν ἐναντίων, ἀλλὰ σωτήρια νομίζουσι. Καινότατος δὲ ἐν ἅπασι τὴν σοφίαν ὁ νομοθέτης ὢν, καὶ τοῦτ' ἴδιον εἰςηγήσατο· διδάσκων ὅτι τὰ ὑγιαίνοντα καὶ ζῶντα τοῦ μὴ καθαρεύειν μιασμάτων αἴτια γίνεται. Τὸ γὰρ ὑγιαῖνον καὶ ζῶν ἐν ψυχῇ χρῶμα ὡς ἀληθῶς, φαινόμενος ἐπ' αὐτῆς ἔλεγχός ἐστιν. Οὗτος ὅταν ἀνάσχῃ, κατάλογον ποιεῖται τῶν ἁμαρτημάτων αὐτῆς ἁπάντων, καὶ ὀνειδίζων καὶ δυςωπῶν, καὶ ἐπιπλήττων μόλις παύεται· ἡ δ' ἐλεγχομένη γνωρίζει τὰ καθ' ἕκαστα, ὧν παρὰ τὸν ὀρθὸν λόγον ἐπε-

---

*) Gen. 6, 11. **) Lev. 13, 14.

τήδευε· καὶ τότε ἄφρονα καὶ ἀκόλαστον καὶ ἄδικον καὶ πλήρη μιασμάτων ἑαυτὴν καταλαμβάνει.

§. 27. Διὸ καὶ παραδοξότατον νόμον ἀναγράφει, ἐν ᾧ „τὸν μὲν ἐκ μέρους ὄντα λεπρὸν ἀκάθαρτον, τὸν δὲ ὅλον δι' ὅλων ἀπὸ ἄκρων ποδῶν μέχρι κεφαλῆς ἐσχάτης κατεσχημένον τῇ λέπρᾳ, καθαρόν φησιν εἶναι *)·" τάχα ἄν τινος τὸ ἐναντίον, ὅπερ εὔλογον ἦν ὑπολαβεῖν, εἰκάσαντος, τὴν μὲν ἐσταλμένην καὶ περί τι βραχὺ τοῦ σώματος λέπραν ἧττον ἀκάθαρτον, τὴν δὲ κεχυμένην, ὡς ἅπαν περιλαβεῖν αὐτό, μᾶλλον. Δηλοῖ δέ, ὡς ἔμοιγε φαίνεται, διὰ συμβόλων τούτων ἀληθέστατον ἐκεῖνο, ὅτι τὰ μὲν ἀκούσια τῶν ἀδικημάτων καὶ ἐπιμήκιστα ὄντα, ἀνυπαίτια καὶ καθαρά, τὸ συνειδὸς, βαρὺν κατήγορον, οὐκ ἔχοντα· τὰ δὲ ἑκούσια, καὶ ἂν μὴ ἐπὶ πλεῖστον ἀναχέηται, πρὸς τοῦ κατὰ ψυχὴν ἐλεγχόμενα δικαστοῦ, ἀνίερα καὶ μιαρὰ καὶ ἀκάθαρτα
292 δοκιμάζεται. Ἡ μὲν οὖν διφυὴς καὶ δύο ἐξαν-
M. θοῦσα χρώματα λέπρα, τὴν ἑκούσιον ἐμφαίνει κακίαν· ἔχουσα γὰρ ἡ ψυχὴ τὸν ὑγιαίνοντα καὶ ζωτικὸν καὶ ὀρθὸν ἐν αὐτῇ λόγον, τῷ μὲν οὐ χρῆται ὡς κυβερνήτῃ πρὸς τὴν τῶν καλῶν σωτηρίαν, ἐκ- 312
δοῦσα δὲ αὑτὴν τοῖς ναυτιλίας ἀπείροις, ὅλον τὸ P.
τοῦ βίου δὴ σκάφος, ἐν εὐδίᾳ καὶ γαλήνῃ δυνάμενον σώζεσθαι, περιέτρεψεν. Ἡ δὲ εἰς ἓν εἶδος λευκὸν μεταβαλοῦσα, τὴν ἀκούσιον διασυνίστησι τροπήν· ἐπειδὰν τὸ λογίζεσθαι ὁ νοῦς ἐκτμηθεὶς ὅλον δι' ὅλων, μηδενὸς τῶν εἰς τὸ συνιέναι σπέρματος ὑπολειφθέντος, ὥσπερ ὁ ἐν ἀχλύϊ καὶ σκότῳ βαθεῖ μηδὲν ὁρᾷ τῶν πρακτέων, ἀλλ' οἷα τυφλὸς ἀπροοράτως πᾶσιν ἐμπίπτων, συνεχεῖς ὀλίσθους καὶ ἐκπτώματα ἐπάλληλα καὶ ἀκούσια ὑπομένει.

§. 28. Τούτῳ ὅμοιόν ἐστι καὶ τὸ περὶ τῆς οἰκίας διάταγμα, ἐν ᾗ γίνεσθαι συμβαίνει λέπραν πολ-

*) Lev. 13, 11 sqq.

λάκις. Φησὶ γάρ, ὅτι "Ἐὰν γένηται ἁφὴ λέπρας ἐν οἰκίᾳ, ἀφίξεται ὁ κεκτημένος, καὶ ἀναγγελεῖ τῷ ἱερεῖ, λέγων· ὥςπερ ἁφὴ λέπρας ἑώραταί μοι ἐν τῇ οἰκίᾳ." Εἶτα ἐπιφέρει, "Καὶ προςτάξει ὁ ἱερεὺς ἀποσκευάσαι τὴν οἰκίαν, πρὸ τοῦ εἰςελθόντα τὸν ἱερέα εἰς τὴν οἰκίαν ἰδεῖν, καὶ οὐ γενήσεται ἀκάθαρτα ὅσα ἐν τῇ οἰκίᾳ. Καὶ μετὰ ταῦτα εἰςελεύσεται ὁ ἱερεὺς καταμαθεῖν *)." Οὐκοῦν πρὶν μὲν εἰςελθεῖν τὸν ἱερέα καθαρὰ τὰ ἐν τῇ οἰκίᾳ, ἀφ' οὗ δ' ἂν εἰςέλθῃ, πάντα ἀκάθαρτα. Καί τοι τὸ ἐναντίον εἰκὸς ἦν, ἀνδρὸς ἐκκεκαθαρμένου καὶ τελείου, ὃς τὰς ὑπὲρ ἁπάντων εὐχὰς, ἁγιστείας, ἱερουργίας εἴωθε ποιεῖσθαι, παρελθόντος εἴσω βελτιοῦσθαι τὰ ὄντα, καὶ ἐξ ἀκαθάρτων καθαρὰ γίνεσθαι. Νυνὶ δὲ οὔτε ἐπὶ τῆς αὐτῆς μένει χώρας, τρέπεται δὲ πρὸς μερίδα τὴν χείρω κατὰ τὴν εἴςοδον τὴν τοῦ ἱερέως. Ἀλλὰ ταῦτα μὲν εἰ συνᾴδει τῇ ῥητῇ καὶ προχείρῳ διατάξει, σκέψονται οἷς ἔθος καὶ φίλον· ἡμῖν δὲ ἄντικρυς λεκτέον, ὅτι συνῳδὸν οὕτως οὐδὲν ἄλλῳ, ὡς τὸ εἰςελθόντος τοῦ ἱερέως τὰ κατὰ τὴν οἰκίαν μιαίνεσθαι. Ἕως μὲν γὰρ ὁ θεῖος λόγος εἰς τὴν ψυχὴν ἡμῶν, καθάπερ τινὰ ἑστίαν, οὐκ ἀφῖκται, πάντα αὐτῆς τὰ ἔργα ἀνυπαίτια. Ὁ γὰρ ἐπίτροπος ἢ πατὴρ ἢ διδάσκαλος, ἢ ὅ τί ποτε χρὴ καλεῖν τὸν ἱερέα, ὑφ' οὗ νουθετηθῆναι καὶ σωφρονισθῆναι μόνον δυνατὸν, μακρὰν ἀφέστηκε. Συγγνώμη δὲ τοῖς δι' ἀμαθίαν ἀπειρίᾳ τῶν πρακτέων ἁμαρτάνουσιν. Οὐδὲ γὰρ ὡς ἁμαρτημάτων αὐτῶν ποιοῦνται κατάληψιν. Ἔστι δὲ ὅτε κατορθοῦν ἐν οἷς πταίουσι μεγάλα, νομίζουσιν. Ὅταν δὲ εἰςέλθῃ ὁ ἱερεὺς ὄντως, ἔλεγχος, εἰς ἡμᾶς,
298 ὥςπερ φωτός τις αὐγὴ καθαρωτάτη, τηνικαῦτα γνω-
M. ρίζομεν τὰ ἐναποκείμενα ἡμῖν οὐκ εὐαγῆ τῇ ψυχῇ
βουλεύματα καὶ τὰς ἐπιλήπτους καὶ ὑπαιτίους πράξεις, αἷς ἀγνοίᾳ τῶν συμφερόντων ἐνεχειροῦμεν.

---

*) Lev. 14, 35. 36.

Ταῦτ' οὖν ἅπαντα ὁ ἱερωμένος ἔλεγχος μιάνας, 313
„ἀποσκευασθῆναι" καὶ ἀποσυληθῆναι κελεύει, ὅπως P.
*αὐτὴν „καθαρὰν ἴδῃ" τὴν τῆς ψυχῆς „οἰκίαν *)," καί, ἐάν τινες ἐν αὐτῇ νόσοι γεγόνασιν, ἰάσηται.*

§. 29. *Μεμίμηται δὲ τοῦτο καὶ ἡ ἐν ταῖς βασιλείαις ἐντυγχάνουσα τῷ προφήτῃ γυνή **). Χήρα δ' ἐστιν, οὐχ ἣν φαμεν ἡμεῖς, ὅταν ἀνδρὸς ἐρήμη γένηται, ἀλλὰ τῷ χηρεύειν τῶν φθειρόντων καὶ λυμαινομένων τὴν διάνοιαν παθῶν, ὥςπερ καὶ ἡ παρὰ Μωϋσεῖ Θάμαρ. Καὶ γὰρ ταύτῃ προςτέτακται ***) χηρευούσῃ καθέζεσθαι ἐν τῷ τοῦ μόνου καὶ σωτῆρος οἴκῳ πατρός· δι' ὃν ἀεὶ καταλιποῦσα τὰς τῶν θνητῶν συνουσίας καὶ ὁμιλίας, ἠρήμωται μὲν καὶ κεχήρευκεν ἀνθρωπίνων ἡδονῶν, παραδέχεται δὲ θείαν γονήν, καὶ πληρουμένη τῶν τῆς ἀρετῆς σπερμάτων, κυοφορεῖ καὶ ὠδίνει καλὰς πράξεις. Ἃς ὅταν ἀποτέκῃ, τὰ κατὰ τῶν ἀντιπάλων αἴρεται βραβεῖα, καὶ νικηφόρος ἀναγράφεται, σύμβολον ἐπιφερομένη φοίνικα τῆς νίκης· Θάμαρ γὰρ ἑρμηνεύεται φοῖνιξ. Λέγει δὲ πρὸς τὸν προφήτην πᾶσα διάνοια, χήρα καὶ ἐρήμη κακῶν μέλλουσα γίνεσθαι, „Ἄνθρωπε τοῦ θεοῦ, εἰςῆλθες πρός με ἀναμνῆσαι τὸ ἀδίκημά μου καὶ τὸ ἁμάρτημά μου †)," Εἰςελθὼν γὰρ εἰς τὴν ψυχὴν ὁ ἔνθους οὗτος καὶ κατεσχημένος ἐξ ἔρωτος ὀλυμπίου, καὶ διηρεθισμένος τοῖς τῆς θεοφορήτου μανίας ἀκατασχέτοις οἴστροις, μνήμην ἀδικημάτων καὶ ἁμαρτημάτων ἀρχαίων ἐργάζεται· οὐχ ἵνα πάλιν αὐτοῖς χρήσηται, ἀλλ' ἵνα μέγα στενάξασα καὶ μέγα κλαύσασα τὴν παλαιὰν τροπήν, τὰ μὲν ἐκείνης ἔγγονα μισήσασα ἀποστραφῇ, οἷς δὲ ὑφηγεῖται ὁ ἑρμηνεὺς τοῦ θεοῦ λόγος καὶ προφήτης, ἕπηται. Τοὺς γὰρ προφήτας ἐκάλουν οἱ πρότερον τοτὲ μὲν ἀνθρώπους θεοῦ, τοτὲ δὲ „ὁρῶντας ††),"*

---

*) Lev. 14, 35. **) 1 Reg. 17, 10. ***) Gen. 38, 11. †) 1 Reg. 17, 18. ††) 1 Sam. 9, 9.

κύρια ὀνόματα καὶ ἐμπρεπῆ τῷ ἐπιθειασμῷ καὶ τῇ περιαθρήσει τῶν πραγμάτων ᾗ ἐκέχρηντο τιθέμενοι.

§. 30. Προςηκόντως οὖν ὁ ἱερώτατος Μωϋσῆς τότε φθείρεσθαι τὴν γῆν εἶπεν, ὅτε αἱ τοῦ δικαίου Νῶε ἀρεταὶ διεφάνησαν. „Ἦν δὲ", φησὶ, „κατεφθαρμένη ἡ γῆ, ὅτι κατέφθειρε πᾶσα σὰρξ τὴν ὁδὸν αὐτοῦ ἐπὶ τῆς γῆς *)." Δόξει μέν τισιν ἡ λέξις ἡμαρτῆσθαι, καὶ τὸ ἀκόλουθον τοῦ λόγου καὶ τὸ ἄπταιστον οὕτως ἔχειν, ὅτι κατέφθειρε πᾶσα σὰρξ
294 τὴν ὁδὸν αὐτῆς. Ἀνοίκειον γάρ ἐστι θηλυκῷ ὀνό-
M. ματι, τῇ σαρκὶ, ἀῤῥενικὴν ἐπιφέρεσθαι πτῶσιν, τὴν αὐτοῦ. Μήποτε δὲ οὐ περὶ μόνης σαρκός ἐστιν ὁ λόγος τὴν αὑτῆς φθειρούσης ὁδὸν, ἵνα εἰκότως ἡμαρτῆσθαι τὰ περὶ τὴν λέξιν δοκῇ, ἀλλὰ περὶ δυοῖν, σαρκός τε τῆς φθειρομένης, καὶ ἑτέρου οὗ τὴν ὁδὸν λυμαίνεσθαί τε καὶ φθείρειν ἐπιχειρεῖ. Ὥςθ' οὕτως 314
ἀποδοτέον· κατέφθειρε πᾶσα σὰρξ τὴν τοῦ αἰω- P.
νίου καὶ ἀφθάρτου τελείαν ὁδὸν τὴν πρὸς θεὸν ἄγουσαν. Ταύτην ἴσθι σοφίαν. Διὰ γὰρ ταύτης ὁ νοῦς ποδηγετούμενος, εὐθείας καὶ λεωφόρου ὑπαρχούσης, ἄχρι τῶν τερμάτων ἀφικνεῖται· τὰ δὲ τέρματα τῆς ὁδοῦ γνῶσίς ἐστι καὶ ἐπιστήμη θεοῦ. Ταύτην τὴν ἀτραπὸν μισεῖ καὶ προβέβληται καὶ φθείρειν ἐπιχειρεῖ πᾶς ὁ σαρκῶν ἑταῖρος. Οὐδενὶ γὰρ οὕτως οὐδὲν ἀντίπαλον, ὡς ἐπιστήμη σαρκὸς ἡδονῇ. Βουλομένοις γοῦν ταύτην πορεύεσθαι τὴν ὁδὸν βασιλικὴν οὖσαν τοῖς τοῦ ὁρατικοῦ γένους μετέχουσιν, ὅπερ Ἰσραὴλ κέκληται, διαμάχεται ὁ γήϊνος Ἐδώμ — τοῦτο γὰρ διερμηνευθεὶς ὀνομάζεται — μετὰ σπουδῆς καὶ παρασκευῆς πάσης εἴρξειν ἀπειλῶν τῆς ὁδοῦ, καὶ ἀτριβῆ καὶ ἀπόρευτον αὐτὴν κατασκευάσειν εἰς ἅπαν.

---

*) Gen. 6, 12.

§. 31. Οἱ μὲν οὖν πεμφθέντες πρέσβεις λέγουσι ταῦτα, „Παρελευσόμεθα διὰ τῆς γῆς σου· οὐ διελευσόμεθα δι' ἀγρῶν, οὐ δι' ἀμπελώνων· οὐ πιόμεθα ὕδωρ λάκκου σου· ὁδῷ βασιλικῇ πορευσόμεθα· οὐκ ἐκκλινοῦμεν δεξιὰ, οὐδὲ εὐώνυμα, ἕως ἂν παρέλθωμέν σου τὰ ὅρια. Ὁ δὲ Ἐδὼμ ἀποκρίνεται φάσκων, οὐ παρελεύσῃ δι' ἐμοῦ· εἰ δὲ μὴ, ἐν πολέμῳ διεξελεύσομαί σοι εἰς συνάντησιν. Καὶ λέγουσιν αὐτῷ οἱ υἱοὶ Ἰσραὴλ, παρὰ τὸ ὄρος παρελευσόμεθα· ἐὰν δὲ τοῦ ὕδατός σου πίω ἐγώ τε καὶ τὰ κτήνη, δώσω σοι τιμήν· ἀλλὰ τὸ πρᾶγμα οὐδέν ἐστι, παρὰ τὸ ὄρος διελευσόμεθα. Ὁ δὲ εἶπεν, οὐ διελεύσῃ δι' ἐμοῦ *)." Τῶν παλαιῶν τινα λόγος ἔχει θεασάμενον ἐσταλμένην πολυτελῆ πομπὴν, πρός τινας τῶν γνωρίμων ἀπιδόντα εἰπεῖν, „Ὦ ἑταῖροι, ἴδετε ὅσων χρείαν οὐκ ἔχω", διὰ βραχείας φωνῆς μέγιστον καὶ οὐράνιον ὡς ἀληθῶς ἐπάγγελμα αὐχήσαντα. Τί λέγεις; Τὸν ὀλυμπικὸν ἀγῶνα κατὰ τοῦ πλούτου παντὸς ἐστεφάνωσαι, καὶ τᾶν ἐν αὐτῷ κεκράτηκας οὕτως, ὡς μηδὲν εἰς ἀπόλαυσίν τε καὶ χρῆσιν τῶν ἀπ' αὐτοῦ παραδέχεσθαι; Θαυμάσιος μὲν ὁ λόγος, πολὺ δὲ ἡ γνώμη θαυμασιωτέρα, τοσοῦτον πρὸς ἰσχὺν ἐπιδεδωκυῖα, ὡς ἤδη καὶ ἀκονιτὶ δύνασθαι νικᾶν ἀνὰ κράτος.

§. 32. Ἀλλ' οὐχ ἑνὶ ἀνδρὶ ἔξεστι μόνον αὐχῆ-
σαι παρὰ Μωϋσεῖ τὰ πρωτέλεια τῆς σοφίας ἀναδι-
295 δαχθέντι, ἀλλὰ καὶ ὅλῳ ἔθνει πολυανθρωποτάτῳ.
M. Τεκμήριον δὲ, τεθάῤῥηκε καὶ ἐπιτετόλμηκεν ἡ ἑκά-
στου ψυχὴ τῶν γνωρίμων αὐτοῦ πρὸς τὸν βασιλέα
τῶν φαινομένων ἁπάντων ἀγαθῶν, τὸν γήϊνον
Ἐδὼμ, — ὄντως γὰρ τὰ τῷ δοκεῖν ἀγαθὰ πάντα
γήϊνα, — λέγειν, „Ἤδη παρελεύσομαι διὰ τῆς γῆς
σου." Ὦ ὑπερφυεστάτης καὶ μεγαλοπρεποῦς ὑπο-

*) Num. 20, 17 sqq.

σχέσεως! Πάντα, εἴπατέ μοι, ὑπερβῆναι, παρελθεῖν, παραδραμεῖν, τὰ φαινόμενα καὶ νομιζόμενα γῆς ὄν- 315
τα ἀγαθὰ δυνήσεσθε; Καὶ οὐδὲν ἄρα τὴν εἰς τὸ P.
πρόσω ὑμῶν ὁρμὴν ἀντιβιασάμενον ἐφέξει καὶ στήσει; Ἀλλὰ τοὺς μὲν τοῦ πλούτου θησαυροὺς ἅπαντας ἑξῆς πλήρεις ἰδόντες, ἀποστραφήσεσθε, καὶ ἀποκλινεῖτε τὰς ὄψεις; Τὰ δὲ τῶν προγόνων ἀξιώματα, τῶν πρὸς πατρὸς καὶ μητρὸς, καὶ τὰς ᾀδομένας παρὰ τοῖς πολλοῖς εὐγενείας ὑπερκύψετε; Δόξαν δὲ ἧς ἀντικαταλλάττονται πάντα ἄνθρωποι, κατόπιν ὥςπερ τι τῶν ἀτιμοτάτων, ἀπολείψετε; Τί δέ; Ὑγείαν σώματος, καὶ αἰσθήσεων ἀκρίβειαν, καὶ κάλλος περιμάχητον, καὶ ῥώμην ἀνανταγώνιστον; καὶ τὰ ἄλλα ὅσοις ὁ τῆς ψυχῆς οἶκος ἢ τύμβος, ἢ ὅτιοῦν χρὴ καλεῖν, κεκόσμηται, παραδραμεῖσθε, ὡς μηδὲν αὐτῶν κατατάξαι ἐν τῇ τῶν ἀγαθῶν μερίδι; Ὀλυμπίου καὶ οὐρανίου ταῦτα ψυχῆς τὰ μεγάλα τολμήματα, τὸν μὲν περίγειον χῶρον ἀπολελοιπυίας, ἀνειλκυσμένης δὲ καὶ μετὰ τῶν θείων φύσεων διαιτωμένης. Θέας γὰρ ἐμπιπλαμένη τῶν γνησίων καὶ ἀφθάρτων ἀγαθῶν, εἰκότως τοῖς ἐφημέροις καὶ νόθοις ἀποτάττεται.

§. 33. Τί οὖν ὄφελος παρελθεῖν πάντα τὰ θνητῶν θνητὰ ἀγαθὰ, παρελθεῖν δὲ μὴ σὺν ὀρθῷ λόγῳ, ἀλλ᾽ ὡς ἔνιοι δι᾽ ὄκνον, ἢ ῥαθυμίαν, ἢ ἀπειρίαν ἐκείνων; Οὐ γὰρ πανταχοῦ πάντα, ἄλλα δὲ παρ᾽ ἄλλοις τετίμηται. Τούτου χάριν βουλόμενος ἔτι μετ᾽ ὀρθότητος λόγου καταφρονητικοὺς τῶν εἰρημένων γενέσθαι παραστῆσαι, τῷ "παρελεύσομαι" προςτίθησι τὸ "διὰ τῆς γῆς σου." Τοῦτο γὰρ τὸ ἀναγκαιότατον, γενομένοις ἐν ἀφθόνοις τῶν φαινομένων ἀγαθῶν ὕλαις ἁπάσαις, ὑπὸ μηδενὸς τῶν προβληθέντων ὑφ᾽ ἑκάστης δικτύων ἁλῶναι· πρὸς μέντοι τὸν τρόπον ἰσχῦσαι ῥύμῃ μιᾷ τὰς ἐπαλλήλους καὶ συνεχεῖς φορὰς διακλάσαι. Διὰ μὲν δὴ τούτων φασὶ "παρελεύσεσθαι," διὰ δὲ "ἀγρῶν καὶ ἀμπελώνων"

λαχεῖν, καί τοι τό γε πρῶτον καὶ μέγιστον καὶ τελειότατον τῶν θείων ἔργων οὗτός ἐστιν. Μήποτ' οὖν ἄμεινον ἂν εἴη ἐκδέχεσθαι τοῦτο, ὅτι ζητητικὸς καὶ πολυμαθὴς γενόμενος ὁ ἀστεῖος, ἐν οἷς ἅπασιν ἐζήτησε τοῦθ' εὗρεν ἀληθέστατον, χάριν ὄντα θεοῦ τὰ πάντα, γῆν, ὕδωρ, ἀέρα, πῦρ, ἥλιον, ἀστέρας, οὐρανὸν, ζῶα καὶ φυτὰ σύμπαντα. Κεχάρισται δὲ ὁ θεὸς αὑτῷ μὲν οὐδὲν, οὐδὲ γὰρ δεῖται· κόσμον δὲ κόσμῳ, καὶ τὰ μέρη ἑαυτοῖς τε καὶ ἀλλήλοις, ἔτι δὲ τῷ παν-
τί. Οὐδὲν δὲ κρίνας ἄξιον χάριτος, — ἄφθονα γὰρ 309
καὶ τῷ ὅλῳ καὶ τοῖς μέρεσι δεδώρηται τὰ ἀγαθά, — P.
ἀλλ' ἀπιδὼν εἰς τὴν ἀΐδιον ἀγαθότητα, καὶ νομίσας ἐπιβάλλον τῇ μακαρίᾳ καὶ εὐδαίμονι φύσει ἑαυτοῦ τὸ εὐεργετεῖν. Ὥστε εἴ τίς μ' ἔροιτο, τίς αἰτία γενέσεως κόσμου, μαθὼν παρὰ Μωϋσέως ἀποκρινοῖ-
289 μαι, ὅτι ἡ τοῦ ὄντος ἀγαθότης ἐστὶ πρεσβυτάτη τῶν
M. χαρίτων οὖσα ἑαυτῇ.

§. 24. Παρατηρητέον δὲ, ὅτι τὸν μὲν "Νῶε" φησιν "εὐαρεστῆσαι" ταῖς τοῦ ὄντος δυνάμεσιν, "κυρίῳ τε καὶ θεῷ*)," Μωϋσῆν δὲ τῷ δορυφορουμένῳ πρὸς τῶν δυνάμεων, καὶ δίχα αὐτῶν κατὰ τὸ εἶναι μόνον νοουμένῳ. Λέγεται γὰρ ἐκ προσώπου θεοῦ, "Ὅτι εὕρηκας χάριν παρ' ἐμοὶ**)," δεικνὺς ἑαυτὸν, τὸν ἄνευ παντὸς ἑτέρου. Οὕτως ἄρα τὴν μὲν κατὰ Μωϋσῆν ἄκραν σοφίαν ἀξιοῖ χάριτος ὁ ὢν αὐτὸς δι' ἑαυτοῦ μόνου, τὴν δὲ ἀπεικονισθεῖσαν ἐκ ταύτης, δευτέραν καὶ εἰδικωτέραν οὖσαν, διὰ τῶν ὑπηκόων δυνάμεων, καθ' ἃς καὶ κύριος καὶ θεὸς ἄρχων τε καὶ εὐεργέτης ἐστίν. Ἕτερος δέ τις φιλοσώματος καὶ φιλοπαθὴς νοῦς, "πραθεὶς τῇ ἀρχιμαγείρῳ***)" τοῦ συγκρίματος ἡμῶν ἡδονῇ, καὶ ἐξευνουχισθεὶς τὰ ἄῤῥενα καὶ γεννητικὰ τῆς ψυχῆς μέρη πάντα, σπάνει κεχρημένος καλῶν ἐπιτηδευμάτων, ἀκοὴν παραδέξασθαι θείαν ἀδυνατῶν, ἐκκλησίας τῆς

---

*) Gen. 6, 8. **) Exod. 33, 17. ***) Gen. 39, 1.

ἱερᾶς ἀπεσχοινισμένος, ἐν ᾗ σύλλογοι καὶ λόγοι περὶ ἀρετῆς ἀεὶ μελετῶνται, εἰς μὲν τὸ δεσμωτήριον τῶν παθῶν εἰςάγεται, "χάριν δὲ εὑρίσκει" τὴν ἀτιμίας ἀδοξοτέραν "παρὰ τῷ ἀρχιδεσμοφύλακι*)." Δεσμῶται μὲν γὰρ κυρίως εἰσὶν, οὐχ οὓς ἐν δικαστηρίῳ καταδικασθέντας ὑπὸ κλήρῳ ἀρχόντων, ἢ καὶ χειροτονηθέντων δικαστῶν, ἀπάγουσί τινες εἰς ἀποδεδειγμένον χῶρον κακούργων· ἀλλ' ὧν ἡ φύσις κατεδίκασε ψυχῆς τρόπων, οἵτινες ἀκολασίας καὶ δειλίας καὶ ἀδικίας καὶ ἀσεβείας καὶ ἄλλων ἀμυθήτων κηρῶν γέμουσιν. Ὁ δὲ ἐπίτροπος καὶ φύλαξ καὶ ταμίας τούτων "ὁ ἡγεμὼν τοῦ δεσμωτηρίου**)," σύστημα καὶ συμφόρημα κακιῶν ἀθρόων καὶ ποικίλων εἰς ἓν εἶδος συνυφασμένων ἐστὶν, ᾧ τὸ εὐαρεστῆσαι μεγίστη ζημία. Ἣν οὐχ ὁρῶντες ἔνιοι, ἀπατώμενοι δὲ περὶ τὸ βλάπτον ὡς ὠφελοῦν, προςίασί τε αὐτῷ μάλα γεγηθότες καὶ δορυφοροῦσιν, ἵν' ὕπαρχοι καὶ διάδοχοι φυλακῆς ἁμαρτημάτων ἀκουσίων τε καὶ ἑκουσίων πιστοὶ κριθέντες γένωνται. Ἀλλὰ σύ γε, ὦ ψυχὴ, τὴν δεσποτείαν καὶ ἡγεμονίαν ταύτην ἀργαλεωτέραν τῆς ἐπαχθοῦς δουλείας νομίσασα, μάλιστα μὲν ἀδέσμῳ καὶ λελυμένῃ καὶ ἐλευθέρᾳ χρῆσαι προαιρέσει τοῦ βίου. Ἂν δ' ἄρα ἀγκιστρευθῇς ὑπὸ πάθους, δεσμῶτις μᾶλλον ἢ εἱρκτοφύλαξ ὑπόμεινον γενέσθαι. Κακωθεῖσα μὲν γὰρ καὶ στενάξασα ἔλεον
290 εὑρήσεις· σπουδαρχίαις δὲ καὶ λιμοδοξίαις ὑποβα- 310
M. λοῦσα σαυτὴν, ἡδὺ κακὸν τὸ εἱρκτοφυλακεῖν καὶ μέ- P.
γιστον ἀναδέξῃ, ὑφ' οὗ γενήσῃ πάντα ἀγώγιμος τὸν αἰῶνα.

§. 25. Τὰς μὲν οὖν παρὰ τοῖς ἀρχιδεσμοφύλαξιν εὐαρεστήσεις ἀνὰ κράτος ἀπόθου, τῶν δὲ παρὰ τῷ αἰτίῳ διαφερόντως μετὰ πάσης σπουδῆς ἐφίεσο. Ἐὰν δ' ἄρα ἀδυνατῇς — ὑπερβάλλον γὰρ τὸ τοῦ ἀξιώματος μέγεθος — ἴθι ὁμεταστρεπτὶ πρὸς τὰς

*) Gen. 21. **) Ibid. 22.

δυνάμεις αὐτοῦ καὶ τούτων ἱκέτις γενοῦ, μέχρις ἂν ἀποδεξάμεναι τὸ συνεχὲς καὶ γνήσιον τῆς θεραπείας, ἐν τῇ τῶν εὐαρεστησάντων αὐταῖς κατατάξωσι χώρᾳ, καθάπερ καὶ τὸν Νῶε, οὗ τῶν ἐγγόνων θαυμαστότατον καὶ καινότατον πεποίηται τὸν κατάλογον. Φησὶ γὰρ, "Αὗται αἱ γενέσεις, Νῶε. Νῶε ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ, τῷ θεῷ εὐηρέστησε Νῶε *)." Τὰ μὲν γὰρ τοῦ συγκρίματος γεννήματα πέφυκεν εἶναι καὶ αὐτὰ συγκρίματα· ἵπποι γὰρ ἵππους, καὶ λέοντες λέοντας, καὶ βόες ταύρους, ὁμοίως δὲ καὶ ἄνθρωποι ἀνθρώπους ἐξ ἀνάγκης γεννῶσι. Διανοίας δὲ ἀγαθῆς οὐ τὰ τοιαῦτα οἰκεῖα ἔγγονα, ἀλλ' αἱ προειρημέναι ἀρεταὶ, τὸ ἄνθρωπον εἶναι, τὸ δίκαιον εἶναι, τὸ τέλειον εἶναι, τὸ θεῷ εὐαρεστῆσαι· ὅπερ ἐπειδὴ καὶ τελεώτατον ἦν, καὶ ὅρος τις ἄκρας εὐδαιμονίας, ἐφ' ἅπασιν εἴρηται. Γένεσις δὲ, ἡ μὲν ἀγωγὴ καὶ ὁδός τίς ἐστιν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι· ταύτῃ φυτά τε καὶ ζῶα ἐξ ἀνάγκης ἀεὶ χρῆσθαι πέφυκεν. Ἑτέρα δέ ἐστιν ἡ ἐκ βελτίονος γένους εἰς ἔλαττον εἶδος ματαβολή· ἧς μέμνηται ὅταν φῇ, "Αὗται δὲ αἱ γενέσεις Ἰακώβ. Ἰωσὴφ δέκα ἑπτὰ ἐτῶν, ἦν ποιμαίνων μετὰ τῶν ἀδελφῶν τὰ πρόβατα· ὢν νέος μετὰ τῶν υἱῶν Βάλλας, καὶ μετὰ τῶν υἱῶν Ζελφᾶς, τῶν γυναικῶν πατρὸς αὐτοῦ **)." Ὅταν γὰρ ὁ ἀσκητικὸς καὶ φιλομαθὴς οὗτος λόγος ἀπὸ τῶν θειοτέρων ἐννοημάτων εἰς ἀνθρωπίνας καὶ θνητὰς δόξας καταβιβασθῇ, ὁ τοῦ σώματος καὶ τῶν περὶ αὐτὸ χορευτὴς Ἰωσὴφ ἀπογεννᾶται, νέος ὢν ἔτι, καὶ ἂν μήκει χρόνου πολιὸς γένηται· πρεσβυτέρας οὔτε γνώμης οὔτε ἀκοῆς εἰςάπαν ἐπησθημένος, ἣν οἱ Μωϋσέως θιασῶται κατασταθέντες, κτῆμα καὶ ἀπόλαυσμα ὠφελιμώτατον ἑαυτοῖς τε καὶ τοῖς ἐντυγχάνουσιν εὕραντο. Διὰ τοῦτό μοι δοκεῖ, τὸν τύπον αὐτοῦ καὶ τὴν ἀκριβεστάτην τοῦ χαρακτῆρος ἰδέαν βουλόμενος

*) Gen. 6, 9. **) Gen. 37, 2.

ἐκδηλοτέραν ἐγγράψαι, ποιμαίνοντα εἰςάγειν, μετὰ γνησίου μὲν οὐδενὸς, μετὰ δὲ τῶν νόθων ἀδελφῶν, οἳ παλλακίδων ὄντες, ἀπὸ τοῦ χείρονος γένους, τοῦ πρὸς γυναικῶν, ἀλλ' οὐκ ἀπὸ τοῦ κρείττονος, τοῦ πρὸς ἀνδρῶν, χρηματίζουσιν. Υἱοὶ γὰρ τῶν γυναικῶν Βάλλας καὶ Ζελφᾶς, ἀλλ' οὐκ Ἰσραὴλ τοῦ πατρὸς, νυνὶ καλοῦνται.

291 §. 26. Ζητήσαι δ' ἄν τις προςηκόντως, τίνος 311
M. ἕνεκα μετὰ τὴν ἐν ταῖς ἀρεταῖς τοῦ Νῶε τελείωσιν P.
εὐθὺς εἴρηται, ὅτι "Ἐφθάρη ἡ γῆ ἐναντίον τοῦ θεοῦ, καὶ ἐπλήσθη ἀδικίας *)." Ἀλλ' ἴσως οὐ χαλεπὸν λύσεως εὐπορῆσαι, τῷ μὴ σφόδρα παιδείας ἀπείρῳ. Λεκτέον οὖν, ὅτι ἐπειδὰν ἐν ψυχῇ τὸ ἄφθαρτον εἶδος ἀνατείλῃ, τὸ θνητὸν εὐθέως φθείρεται· γένεσις γὰρ τῶν καλῶν, θάνατος αἰσχρῶν ἐπιτηδευμάτων ἐστὶν, ἐπεὶ καὶ φωτὸς ἐπιλάμψαντος ἀφανίζεται τὸ σκότος. Διὰ τοῦτο ἐν τῷ νόμῳ τῆς λέπρας ἀκριβέστατα διείρηται, ὅτι "Ἐὰν ἀνατείλῃ χρὼς ζῶν ἐν τῷ λεπρῷ, μιανθήσεται **)." Καὶ προςεπισφίγγων αὐτὸ τοῦτο καὶ ὥσπερ ἐναποσημαινόμενος ἐπιφέρει, "Καὶ μιανεῖ ὁ χρὼς ὁ ὑγιής", ἀντιταττόμενος τῷ εἰκότι καὶ συνήθει. Πάντες γὰρ οἱ ἄνθρωποι τὰ νοσοῦντα φθορὰς τῶν ὑγιαινόντων, καὶ τὰ νεκρὰ τῶν ζώντων, οὐκ ἔμπαλιν τὰ ὑγιαίνοντα καὶ ζῶντα τῶν ἐναντίων, ἀλλὰ σωτήρια νομίζουσι. Καινότατος δὲ ἐν ἅπασι τὴν σοφίαν ὁ νομοθέτης ὢν, καὶ τοῦτ' ἴδιον εἰςηγήσατο· διδάσκων ὅτι τὰ ὑγιαίνοντα καὶ ζῶντα τοῦ μὴ καθαρεύειν μιασμάτων αἴτια γίνεται. Τὸ γὰρ ὑγιαῖνον καὶ ζῶν ἐν ψυχῇ χρῶμα ὡς ἀληθῶς, φαινόμενος ἐπ' αὐτῆς ἔλεγχός ἐστιν. Οὗτος ὅταν ἀνάσχῃ, κατάλογον ποιεῖται τῶν ἁμαρτημάτων αὐτῆς ἁπάντων, καὶ ὀνειδίζων καὶ δυςωπῶν, καὶ ἐπιπλήττων μόλις παύεται· ἡ δ' ἐλεγχομένη γνωρίζει τὰ καθ' ἕκαστα, ὧν παρὰ τὸν ὀρθὸν λόγον ἐπε-

---

*) Gen. 6, 11. **) Lev. 13, 14.

τήδευε· καὶ τότε ἄφρονα καὶ ἀκόλαστον καὶ ἄδικον καὶ πλήρη μιασμάτων ἑαυτὴν καταλαμβάνει.

§. 27. Διὸ καὶ παραδοξότατον νόμον ἀναγράφει, ἐν ᾧ "τὸν μὲν ἐκ μέρους ὄντα λεπρὸν ἀκάθαρτον, τὸν δὲ ὅλον δι' ὅλων ἀπὸ ἄκρων ποδῶν μέχρι κεφαλῆς ἐσχάτης κατεσχημένον τῇ λέπρᾳ, καθαρόν φησιν εἶναι *)·" τάχα ἄν τινος τὸ ἐναντίον, ὅπερ εὔλογον ἦν ὑπολαβεῖν, εἰκάσαντος, τὴν μὲν ἐσταλμένην καὶ περί τι βραχὺ τοῦ σώματος λέπραν ἧττον ἀκάθαρτον, τὴν δὲ κεχυμένην, ὡς ἅπαν περιλαβεῖν αὐτὸ, μᾶλλον. Δηλοῖ δὲ, ὡς ἔμοιγε φαίνεται, διὰ συμβόλων τούτων ἀληθέστατον ἐκεῖνο, ὅτι τὰ μὲν ἀκούσια τῶν ἀδικημάτων καὶ ἐπιμήκιστα ὄντα, ἀνυπαίτια καὶ καθαρὰ, τὸ συνειδὸς, βαρὺν κατήγορον, οὐκ ἔχοντα· τὰ δὲ ἑκούσια, καὶ ἂν μὴ ἐπὶ πλεῖστον ἀναχέηται, πρὸς τοῦ κατὰ ψυχὴν ἐλεγχόμενα δικαστοῦ, ἀνίερα καὶ μιαρὰ καὶ ἀκάθαρτα
292 δοκιμάζεται. Ἡ μὲν οὖν διφυὴς καὶ δύο ἐξαν-
M. θοῦσα χρώματα λέπρα, τὴν ἑκούσιον ἐμφαίνει κα-
κίαν· ἔχουσα γὰρ ἡ ψυχὴ τὸν ὑγιαίνοντα καὶ ζωτι-
κὸν καὶ ὀρθὸν ἐν αὐτῇ λόγον, τῷ μὲν οὐ χρῆται
ὡς κυβερνήτῃ πρὸς τὴν τῶν καλῶν σωτηρίαν, ἐκ- 312
δοῦσα δὲ αὐτὴν τοῖς ναυτιλίας ἀπείροις, ὅλον τὸ P.
τοῦ βίου δὴ σκάφος, ἐν εὐδίᾳ καὶ γαλήνῃ δυνάμενον σώζεσθαι, περιέτρεψεν. Ἡ δὲ εἰς ἓν εἶδος λευκὸν μεταβαλοῦσα, τὴν ἀκούσιον διασυνίστησι τροπήν· ἐπειδὰν τὸ λογίζεσθαι ὁ νοῦς ἐκτμηθεὶς ὅλον δι' ὅλων, μηδενὸς τῶν εἰς τὸ συνιέναι σπέρματος ὑπολειφθέντος, ὥςπερ ὁ ἐν ἀχλύϊ καὶ σκότῳ βαθεῖ μηδὲν ὁρᾷ τῶν πρακτέων, ἀλλ' οἷα τυφλὸς ἀπροοράτως πᾶσιν ἐμπίπτων, συνεχεῖς ὀλίσθους καὶ ἐκπτώματα ἐπάλληλα καὶ ἀκούσια ὑπομένει.

§. 28. Τούτῳ ὅμοιόν ἐστι καὶ τὸ περὶ τῆς οἰκίας διάταγμα, ἐν ᾗ γίνεσθαι συμβαίνει λέπραν πολ-

---

*) Lev. 13, 11 sqq.

λάκις. Φησὶ γὰρ, ὅτι "Ἐὰν γένηται ἁφὴ λέπρας ἐν οἰκίᾳ, ἀφίξεται ὁ κεκτημένος, καὶ ἀναγγελεῖ τῷ ἱερεῖ, λέγων· ὥςπερ ἁφὴ λέπρας ἑώραταί μοι ἐν τῇ οἰκίᾳ." Εἶτα ἐπιφέρει, "Καὶ προςτάξει ὁ ἱερεὺς ἀποσκευάσαι τὴν οἰκίαν, πρὸ τοῦ εἰςελθόντα τὸν ἱερέα εἰς τὴν οἰκίαν ἰδεῖν, καὶ οὐ γενήσεται ἀκάθαρτα ὅσα ἐν τῇ οἰκίᾳ. Καὶ μετὰ ταῦτα εἰςελεύσεται ὁ ἱερεὺς καταμαθεῖν *)." Οὐκοῦν πρὶν μὲν εἰςελθεῖν τὸν ἱερέα καθαρὰ τὰ ἐν τῇ οἰκίᾳ, ἀφ' οὗ δ' ἂν εἰςέλθῃ, πάντα ἀκάθαρτα. Καί τοι τὸ ἐναντίον εἰκὸς ἦν, ἀνδρὸς ἐκκεκαθαρμένου καὶ τελείου, ὃς τὰς ὑπὲρ ἁπάντων εὐχὰς, ἁγιστείας, ἱερουργίας εἴωθε ποιεῖσθαι, παρελθόντος εἴσω βελτιοῦσθαι τὰ ὄντα, καὶ ἐξ ἀκαθάρτων καθαρὰ γίνεσθαι. Νυνὶ δὲ οὔτε ἐπὶ τῆς αὐτῆς μένει χώρας, τρέπεται δὲ πρὸς μερίδα τὴν χείρω κατὰ τὴν εἴςοδον τὴν τοῦ ἱερέως. Ἀλλὰ ταῦτα μὲν εἰ συνᾴδει τῇ ῥητῇ καὶ προχείρῳ διατάξει, σκέψονται οἷς ἔθος καὶ φίλον· ἡμῖν δὲ ἄντικρυς λεκτέον, ὅτι συνῳδὸν οὕτως οὐδὲν ἄλλῳ, ὡς τὸ εἰςελθόντος τοῦ ἱερέως τὰ κατὰ τὴν οἰκίαν μιαίνεσθαι. Ἕως μὲν γὰρ ὁ θεῖος λόγος εἰς τὴν ψυχὴν ἡμῶν, καθάπερ τινὰ ἑστίαν, οὐκ ἀφῖκται, πάντα αὐτῆς τὰ ἔργα ἀνυπαίτια. Ὁ γὰρ ἐπίτροπος ἢ πατὴρ ἢ διδάσκαλος, ἢ ὅ τί ποτε χρὴ καλεῖν τὸν ἱερέα, ὑφ' οὗ νουθετηθῆναι καὶ σωφρονισθῆναι μόνου δυνατὸν, μακρὰν ἀφέστηκε. Συγγνώμη δὲ τοῖς δι' ἀμαθίαν ἀπειρίᾳ τῶν πρακτέων ἁμαρτάνουσιν. Οὐδὲ γὰρ ὡς ἁμαρτημάτων αὐτῶν ποιοῦνται κατάληψιν. Ἔστι δὲ ὅτε κατορθοῦν ἐν οἷς πταίουσι μεγάλα, νομίζουσιν. Ὅταν δὲ εἰςέλθῃ ὁ ἱερεὺς ὄντως, ἔλεγχος, εἰς ἡμᾶς,
298 ὥςπερ φωτός τις αὐγὴ καθαρωτάτη, τηνικαῦτα γνω-
M. ρίζομεν τὰ ἐναποκείμενα ἡμῖν οὐκ εὐαγῆ τῇ ψυχῇ βουλεύματα καὶ τὰς ἐπιλήπτους καὶ ὑπαιτίους πράξεις, αἷς ἀγνοίᾳ τῶν συμφερόντων ἐνεχειροῦμεν.

*) Lev. 14, 35. 36.

Ταῦτ' οὖν ἅπαντα ὁ ἱερώμενος ἔλεγχος μιάνας, 313
„ἀποσκευασθῆναι" καὶ ἀποσυληθῆναι κελεύει, ὅπως P.
αὐτὴν „καθαρὰν ἴδῃ" τὴν τῆς ψυχῆς „οἰκίαν *),"
καί, ἐάν τινες ἐν αὐτῇ νόσοι γεγόνασιν, ἰάσηται.

§. 29. Μεμίμηται δὲ τοῦτο καὶ ἡ ἐν ταῖς βασιλείαις ἐντυγχάνουσα τῷ προφήτῃ γυνή **). Χήρα δ' ἔστιν, οὐχ ἣν φαμεν ἡμεῖς, ὅταν ἀνδρὸς ἐρήμη γένηται, ἀλλὰ τῷ χηρεύειν τῶν φθειρόντων καὶ λυμαινομένων τὴν διάνοιαν παθῶν, ὥσπερ καὶ ἡ παρὰ Μωϋσεῖ Θάμαρ. Καὶ γὰρ ταύτῃ προστέτακται ***) χηρευούσῃ καθέζεσθαι ἐν τῷ τοῦ μόνου καὶ σωτῆρος οἴκῳ πατρός· δι' ὃν ἀεὶ καταλιποῦσα τὰς τῶν θνητῶν συνουσίας καὶ ὁμιλίας, ἠρήμωται μὲν καὶ κεχήρευκεν ἀνθρωπίνων ἡδονῶν, παραδέχεται δὲ θείαν γονήν, καὶ πληρουμένη τῶν τῆς ἀρετῆς σπερμάτων, κυοφορεῖ καὶ ὠδίνει καλὰς πράξεις. Ἃς ὅταν ἀποτέκῃ, τὰ κατὰ τῶν ἀντιπάλων αἴρεται βραβεῖα, καὶ νικηφόρος ἀναγράφεται, σύμβολον ἐπιφερομένη φοίνικα τῆς νίκης· Θάμαρ γὰρ ἑρμηνεύεται φοῖνιξ. Λέγει δὲ πρὸς τὸν προφήτην πᾶσα διάνοια, χήρα καὶ ἐρήμη κακῶν μέλλουσα γίνεσθαι, „Ἄνθρωπε τοῦ θεοῦ, εἰσῆλθες πρός με ἀναμνῆσαι τὸ ἀδίκημά μου καὶ τὸ ἁμάρτημά μου †)." Εἰσελθὼν γὰρ εἰς τὴν ψυχὴν ὁ ἔνθους οὗτος καὶ κατεσχημένος ἐξ ἔρωτος ὀλυμπίου, καὶ διηρεθισμένος τοῖς τῆς θεοφορήτου μανίας ἀκατασχέτοις οἴστροις, μνήμην ἀδικημάτων καὶ ἁμαρτημάτων ἀρχαίων ἐργάζεται· οὐχ ἵνα πάλιν αὐτοῖς χρήσηται, ἀλλ' ἵνα μέγα στενάξασα καὶ μέγα κλαύσασα τὴν παλαιὰν τροπήν, τὰ μὲν ἐκείνης ἔγγονα μισήσασα ἀποστραφῇ, οἷς δὲ ὑφηγεῖται ὁ ἑρμηνεὺς τοῦ θεοῦ λόγος καὶ προφήτης, ἕπηται. Τοὺς γὰρ προφήτας ἐκάλουν οἱ πρότερον τοτὲ μὲν ἀνθρώπους θεοῦ, τοτὲ δὲ „ὁρῶντας ††),"

---

*) Lev. 14, 35. **) 1 Reg. 17, 10. ***) Gen. 38, 11. †) 1 Reg. 17, 18. ††) 1 Sam. 9, 9.

κύρια ὀνόματα καὶ ἐμπρεπῆ τῷ ἐπιθειασμῷ καὶ τῇ περιαθρήσει τῶν πραγμάτων ᾗ ἐκέχρηντο τιθέμενοι.

§. 30. Προσηκόντως οὖν ὁ ἱερώτατος Μωϋσῆς τότε φθείρεσθαι τὴν γῆν εἶπεν, ὅτε αἱ τοῦ δικαίου Νῶε ἀρεταὶ διεφάνησαν. „Ἦν δὲ", φησί, „κατεφθαρμένη ἡ γῆ, ὅτι κατέφθειρε πᾶσα σὰρξ τὴν ὁδὸν αὐτοῦ ἐπὶ τῆς γῆς *)." Δόξει μέν τισιν ἡ λέξις ἡμαρτῆσθαι, καὶ τὸ ἀκόλουθον τοῦ λόγου καὶ τὸ ἄπταιστον οὕτως ἔχειν, ὅτι κατέφθειρε πᾶσα σὰρξ
294 τὴν ὁδὸν αὐτῆς. Ἀνοίκειον γάρ ἐστι θηλυκῷ ὀνό-
M. ματι, τῇ σαρκὶ, ἀῤῥενικὴν ἐπιφέρεσθαι πτῶσιν, τὴν αὐτοῦ. Μήποτε δὲ οὐ περὶ μόνης σαρκός ἐστιν ὁ λόγος τὴν αὐτῆς φθειρούσης ὁδὸν, ἵνα εἰκότως ἡμαρτῆσθαι τὰ περὶ τὴν λέξιν δοκῇ, ἀλλὰ περὶ δυοῖν, σαρκός τε τῆς φθειρομένης, καὶ ἑτέρου οὗ τὴν ὁδὸν λυμαίνεσθαί τε καὶ φθείρειν ἐπιχειρεῖ. Ὥσθ' οὕτως 314
ἀποδοτέον· κατέφθειρε πᾶσα σὰρξ τὴν τοῦ αἰω- P.
νίου καὶ ἀφθάρτου τελείαν ὁδὸν τὴν πρὸς θεὸν ἄγουσαν. Ταύτην ἴσθι σοφίαν. Διὰ γὰρ ταύτης ὁ νοῦς ποδηγετούμενος, εὐθείας καὶ λεωφόρου ὑπαρχούσης, ἄχρι τῶν τερμάτων ἀφικνεῖται· τὰ δὲ τέρματα τῆς ὁδοῦ γνῶσίς ἐστι καὶ ἐπιστήμη θεοῦ. Ταύτην τὴν ἀτραπὸν μισεῖ καὶ προβέβληται καὶ φθείρειν ἐπιχειρεῖ πᾶς ὁ σαρκῶν ἑταῖρος. Οὐδενὶ γὰρ οὕτως οὐδὲν ἀντίπαλον, ὡς ἐπιστήμη σαρκὸς ἡδονῇ. Βουλομένοις γοῦν ταύτην πορεύεσθαι τὴν ὁδὸν βασιλικὴν οὖσαν τοῖς τοῦ ὁρατικοῦ γένους μετέχουσιν, ὅπερ Ἰσραὴλ κέκληται, διαμάχεται ὁ γήϊνος Ἐδὼμ — τοῦτο γὰρ διερμηνευθεὶς ὀνομάζεται — μετὰ σπουδῆς καὶ παρασκευῆς πάσης εἴρξειν ἀπειλῶν τῆς ὁδοῦ, καὶ ἀτριβῆ καὶ ἀπόρευτον αὐτὴν κατασκευάσειν εἰς ἅπαν.

---

*) Gen. 6, 12.

§. 31. Οἱ μὲν οὖν πεμφθέντες πρέσβεις λέγουσι ταῦτα, "Παρελευσόμεθα διὰ τῆς γῆς σου· οὐ διελευσόμεθα δι' ἀγρῶν, οὐ δι' ἀμπελώνων· οὐ πιόμεθα ὕδωρ λάκκου σου· ὁδῷ βασιλικῇ πορευσόμεθα· οὐκ ἐκκλινοῦμεν δεξιὰ, οὐδὲ εὐώνυμα, ἕως ἂν παρέλθωμέν σου τὰ ὅρια. Ὁ δὲ Ἐδὼμ ἀποκρίνεται φάσκων, οὐ παρελεύσῃ δι' ἐμοῦ· εἰ δὲ μὴ, ἐν πολέμῳ διεξελεύσομαί σοι εἰς συνάντησιν. Καὶ λέγουσιν αὐτῷ οἱ υἱοὶ Ἰσραὴλ, παρὰ τὸ ὄρος παρελευσόμεθα· ἐὰν δὲ τοῦ ὕδατός σου πίω ἐγώ τε καὶ τὰ κτήνη, δώσω σοι τιμήν· ἀλλὰ τὸ πρᾶγμα οὐδέν ἐστι, παρὰ τὸ ὄρος διελευσόμεθα. Ὁ δὲ εἶπεν, οὐ διελεύσῃ δι' ἐμοῦ*)." Τῶν παλαιῶν τινα λόγος ἔχει θεασάμενον ἐσταλμένην πολυτελῆ πομπὴν, πρός τινας τῶν γνωρίμων ἀπιδόντα εἰπεῖν, "Ὦ ἑταῖροι, ἴδετε ὅσων χρείαν οὐκ ἔχω", διὰ βραχείας φωνῆς μέγιστον καὶ οὐράνιον ὡς ἀληθῶς ἐπάγγελμα αὐχήσαντα. Τί λέγεις; Τὸν ὀλυμπικὸν ἀγῶνα κατὰ τοῦ πλούτου παντὸς ἐστεφάνωσαι, καὶ τὰ ἐν αὐτῷ κεκράτηκας οὕτως, ὡς μηδὲν εἰς ἀπόλαυσίν τε καὶ χρῆσιν τῶν ἀπ' αὐτοῦ παραδέχεσθαι; Θαυμάσιος μὲν ὁ λόγος, πολὺ δὲ ἡ γνώμη θαυμασιωτέρα, τοσοῦτον πρὸς ἰσχὺν ἐπιδεδωκυῖα, ὡς ἤδη καὶ ἀκονιτὶ δύνασθαι νικᾶν ἀνὰ κράτος.

§. 32. Ἀλλ' οὐχ ἑνὶ ἀνδρὶ ἔξεστι μόνον αὐχῆσαι παρὰ Μωϋσεῖ τὰ προτέλεια τῆς σοφίας ἀναδι-
295 δαχθέντι, ἀλλὰ καὶ ὅλῳ ἔθνει πολυανθρωποτάτῳ.
M. Τεκμήριον δὲ, τεθάῤῥηκε καὶ ἐπιτετόλμηκεν ἡ ἑκάστου ψυχὴ τῶν γνωρίμων αὐτοῦ πρὸς τὸν βασιλέα τῶν φαινομένων ἁπάντων ἀγαθῶν, τὸν γήϊνον Ἐδὼμ, — ὄντως γὰρ τὰ τῷ δοκεῖν ἀγαθὰ πάντα γήϊνα, — λέγειν, "Ἤδη παρελεύσομαι διὰ τῆς γῆς σου." Ὦ ὑπερφυεστάτης καὶ μεγαλοπρεποῦς ὑπο-

*) Num. 20, 17 sqq.

σχέσεως! Πάντα, εἴπατέ μοι, ὑπερβῆναι, παρελθεῖν,
παραδραμεῖν, τὰ φαινόμενα καὶ νομιζόμενα γῆς ὄν- 315
τα ἀγαθὰ δυνήσεσθε; Καὶ οὐδὲν ἄρα τὴν εἰς τὸ P.
πρόσω ὑμῶν ὁρμὴν ἀντιβιασάμενον ἐφέξει καὶ στή-
σει; Ἀλλὰ τοὺς μὲν τοῦ πλούτου θησαυροὺς ἅπαν-
τας ἑξῆς πλήρεις ἰδόντες, ἀποστραφήσεσθε, καὶ
ἀποκλινεῖτε τὰς ὄψεις; Τὰ δὲ τῶν προγόνων ἀξιώ-
ματα, τῶν πρὸς πατρὸς καὶ μητρὸς, καὶ τὰς ᾀδο-
μένας παρὰ τοῖς πολλοῖς εὐγενείας ὑπερκύψετε; Δό-
ξαν δὲ ἧς ἀντικαταλλάττονται πάντα ἄνθρωποι, κατό-
πιν ὥςπερ τι τῶν ἀτιμοτάτων, ἀπολείψετε; Τί δέ;
Ὑγείαν σώματος, καὶ αἰσθήσεων ἀκρίβειαν, καὶ κάλ-
λος περιμάχητον, καὶ ῥώμην ἀνανταγώνιστον, καὶ τὰ
ἄλλα ὅσοις ὁ τῆς ψυχῆς οἶκος ἢ τύμβος, ἢ ὅτιοῦν
χρὴ καλεῖν, κεκόσμηται, παραδραμεῖσθε, ὡς μηδὲν
αὐτῶν κατατάξαι ἐν τῇ τῶν ἀγαθῶν μερίδι; Ὀλυμ-
πίου καὶ οὐρανίου ταῦτα ψυχῆς τὰ μεγάλα τολμή-
ματα, τὸν μὲν περίγειον χῶρον ἀπολελοιπυίας,
ἀνειλκυσμένης δὲ καὶ μετὰ τῶν θείων φύσεων διαι-
τωμένης. Θείας γὰρ ἐμπιπλαμένη τῶν γνησίων καὶ
ἀφθάρτων ἀγαθῶν, εἰκότως τοῖς ἐφημέροις καὶ νό-
θοις ἀποτάττεται.

§. 33. Τί οὖν ὄφελος παρελθεῖν πάντα τὰ θνη-
τῶν θνητὰ ἀγαθὰ, παρελθεῖν δὲ μὴ σὺν ὀρθῷ λόγῳ,
ἀλλ' ὡς ἔνιοι δι' ὄκνον, ἢ ῥᾳθυμίαν, ἢ ἀπειρίαν ἐκεί-
νων; Οὐ γὰρ πανταχοῦ πάντα, ἄλλα δὲ παρ' ἄλλοις
τετίμηται. Τούτου χάριν βουλόμενος ἔτι μετ' ὀρ-
θότητος λόγου καταφρονητικοὺς τῶν εἰρημένων γε-
νέσθαι παραστῆσαι, τῷ "παρελεύσομαι" προςτίθησι
τὸ "διὰ τῆς γῆς σου." Τοῦτο γὰρ τὸ ἀναγκαιότα-
τον, γενομένοις ἐν ἀφθόνοις τῶν φαινομένων ἀγα-
θῶν ὕλαις ἁπάσαις, ὑπὸ μηδενὸς τῶν προβληθέντων
ὑφ' ἑκάστης δικτύων ἁλῶναι· πρὸς μέντοι τὸν τρό-
πον ἰσχῦσαι ῥύμῃ μιᾷ τὰς ἐπαλλήλους καὶ συνε-
χεῖς φορὰς διακλάσαι. Διὰ μὲν δὴ τούτων φασὶ
"παρελεύσεσθαι," διὰ δὲ "ἀγρῶν καὶ ἀμπελώνων"

φύσει*). Τὰ γὰρ ἥμερα ἐν ψυχῇ φυτὰ ἡμέρους ἀποτίκτοντα καρποὺς, ἀστείους μὲν λόγους, ἐπαινετὰς δὲ πράξεις, ὠγύγιος εὐήθεια παρέρχεσθαι· μένειν γὰρ ἔδει καὶ δρέπεσθαι καὶ ἀπλήστως ἐμφορεῖσθαι. Κάλλιστος γὰρ ἡ ἐν ἀρεταῖς τελείαις ἀκόρεστος εὐφροσύνη, ἧς οἱ λεχθέντες ἀμπελῶνες σύμ-
296 βολα. Οἷς δὲ ὁ θεὸς ἐπινίφει καὶ ἐπομβρεῖ τὰς
M. ἀγαθῶν πηγὰς ἄνωθεν, ἐκ λάκκου ἐπίομεν, καὶ βραχείας κατὰ γῆς λιβάδας ἀνεζητοῦμεν, ὕοντος ἡμῖν ἀνεπισχέτως οὐρανοῦ τὴν νέκταρος καὶ ἀμβροσίας τῶν μεμυθευμένων ἀμείνω τροφήν.

§. 34. Ἔτι δὲ ποτὸν τεθησαυρισμένον ἐξ ἐπιτεχνήσεως ἀνθρώπων ἐξανιμῶντες ὑπόδρομον καὶ καταφυγὴν δυσελπιστίας ἔργον προσιέμεθα, εἰς τὸν 316
ὀλύμπιον θησαυρὸν εἰς χρῆσιν καὶ ἀπόλαυσιν ὁ σω- P.
τὴρ τοῦ παντὸς ἤνοιξεν; Εὔχεται γὰρ Μωϋσῆς ὁ ἱεροφάντης, ἵνα "ἀνοίξῃ κύριος ἡμῖν τὸν θησαυρὸν αὐτοῦ τὸν ἀγαθὸν, τὸν οὐράνιον, δοῦναι ἡμῖν τὸν ὑετὸν αὐτοῦ**)." Ἐπήκοοι δὲ αἱ τοῦ θεοφιλοῦς εὐχαί. Τί δὲ ὁ μηδ' οὐρανὸν ἢ ὑετὸν ἢ λάκκον ἢ συνόλως τι τῶν ἐν γενέσει νομίσας ἱκανὸν εἶναι τρέφειν ἑαυτὸν, ὑπερβὰς δὲ ταῦτα πάντα, καὶ ὃ ἐπαθεν εἰπὼν, "Ὁ θεὸς ὁ τρέφων με ἐκ νεότητος***)," ἆρα οὐ δοκεῖ σοι πάνθ' ὅσα κατὰ γῆς ὕδατος συστήματα μηδ' ἂν ἀξιῶσαι προσιδεῖν; Οὐδὲ ἂν οὖν ἐκ λάκκου πίοι, ᾧ δίδωσιν ὁ θεὸς τὰς ἀκράτου μεθύσματος πόσεις, τοτὲ μὲν διά τινος ὑπηρετοῦντος τῶν ἀγγέλων, ὃν οἰνοχοεῖν ἠξίωσε, τοτὲ δὲ καὶ δι' ἑαυτοῦ, μηδένα τοῦ διδόντος καὶ τοῦ λαμβάνοντος μεταξὺ τιθείς. Ἀνυπερθέτως οὖν τῇ βασιλικῇ πειρώμεθα βαδίζειν ὁδῷ, οἱ τὰ γήϊνα παρέρχεσθαι δικαιοῦντες. Βασιλικὴ δέ ἐστιν ὁδὸς, ἧς δεσπότης ἰδιώτης μὲν οὐδὲ εἷς, μόνος δὲ ὁ καὶ μόνος βασιλεὺς ἀληθείᾳ. Αὕτη δέ ἐστι, καθὰ καὶ μικρῷ πρό-

*) Num. 20, 17. **) Deut. 28, 12. ***) Gen. 48, 15.

τερον εἶπον, σοφία, δι' ἧς μόνης ἱκέτισι ψυχαῖς ἡ ἐπὶ τὸν ἀγέννητον καταφυγὴ γίνεται. Εἰκὸς γὰρ τὸν δι' ὁδοῦ τῆς βασιλικῆς ἀκωλύτως ἰόντα μὴ πρότερον καμεῖν, ἢ ἐντυχεῖν τῷ βασιλεῖ. Τότε δὲ τήν τε ἐκείνου μακαριότητα καὶ τὴν ἰδίαν εὐτέλειαν γνωρίζουσιν οἱ προσελθόντες. Καὶ γὰρ Ἀβραὰμ ἔγγιστα τῷ θεῷ ἑαυτὸν ποιήσας, εὐθὺς ἔγνω "γῆν καὶ τέφραν" ὄντα *). Μήτε δὲ ἐπὶ δεξιὰ μήτε ἐπὶ θάτερα τῆς βασιλικῆς ἀποκλινέτωσαν ὁδοῦ, ἀλλ' αὐτῇ τῇ μέσῃ προΐτωσαν. Αἱ γὰρ ἐφ' ἑκάτερα ἐκτροπαὶ, τῇ μὲν ὑπερβολὰς πρὸς ἐπίτασιν, τῇ δὲ ἐλλείψεις πρὸς ἄνεσιν ἔχουσαι, ὑπαίτιοι· οὐ γὰρ ἧττον τοῦ εὐωνύμου τὸ δεξιὸν ψεκτὸν ἐνταῦθα. Παρὰ μέν γε τοῖς προπετῶς ζῶσι, τὸ μὲν θράσος δεξιὸν, ἀριστερὸν δὲ ἡ δειλία· παρὰ δὲ τοῖς ἀνελευθέροις περὶ χρημάτων
297 διοίκησιν, δεξιὸν μὲν ἡ φειδωλία, εὐώνυμον δὲ αἱ
M. ἀνειμέναι δαπάναι· καὶ ὅσοι μέντοι περὶ τὸ λογίζεσθαι περιττοὶ, κρίνουσι τὸ μὲν πανοῦργον αἱρετὸν, τὸ δὲ εὐηθικὸν φευκτόν. Καὶ δεισιδαιμονίαν μὲν ὡς δεξιὸν ἄλλοι μεταδιώκουσιν, ἀποδιδράσκουσι δὲ ὡς φευκτὸν ἀσέβειαν.

§. 35. Ἵνα οὖν μὴ ταῖς μαχομέναις κακίαις ἀναγκασθῶμεν ἐκτρεπόμενοι χρῆσθαι, τὴν μέσην ὁδὸν εὐθύνειν βουλώμεθά τε καὶ εὐχώμεθα. Μέση δὲ θράσους μὲν καὶ δειλίας ἀνδρεία, ῥαθυμίας δὲ ἐκκεχυμένης καὶ φειδωλίας ἀνελευθέρου σωφροσύνη, πανουργίας τε αὖ καὶ μωρίας φρόνησις, καὶ μὴν δεισιδαιμονίας γε καὶ ἀσεβείας εὐσέβεια. Αὗται μέσαι τῶν παρ' ἑκάτερα ἐκτροπῶν εἰσι, βάσιμοι καὶ λεωφόροι ὁδοὶ πᾶσαι, αἷς οὐ θέμις ὀργάνοις σωματι- 317
κοῖς, ἀλλὰ ψυχῆς κινήσεσιν ἐφιεμένης τοῦ ἀρίστου P.
συνεχῶς ἐμπεριπατεῖν. Ἐπὶ τούτῳ μάλιστα δυσχεράνας ὁ γήϊνος Ἐδὼμ — δέδιε γὰρ περὶ τῆς τῶν ἑαυτοῦ δογμάτων ἀνατροπῆς τε καὶ συγχύσεως —

*) Gen. 18, 27.

ἀπειλήσει πόλεμον ἀκήρυκτον, εἰ βιαζοίμεθα διέρχεσθαι, τέμνοντες καὶ κείροντες ἀεὶ τὸν τῆς ψυχῆς αὐτοῦ καρπὸν, ὃν ἐπ' ὀλέθρῳ φρονήσεως σπείρας οὐκ ἐθέρισε. Φησὶ γὰρ, „Οὐ δὴ διελεύσῃ δι' ἐμοῦ· εἰ δὲ μή γε, ἐν πολέμῳ ἐξελεύσομαί σοι εἰς ἀπάντησιν *)." Ἀλλὰ μηδὲν αὐτοῦ τῶν ἐπανατάσεων φροντίσαντες ἀποκρινώμεθα, ὅτι „Παρὰ τὸ ὄρος πορευσώμεθα," τουτέστιν, ὑψηλαῖς καὶ μετεώροις ἔθος ἔχοντες ἐνομιλεῖν δυνάμεσι, καὶ ὁρικῶς ἕκαστα σκοπεῖν, τὸν παντὸς οὐτινοσοῦν λόγον ἐρευνῶντες, δι' οὗ τὸ τί ἦν εἶναι γνωρίζεται, καταφρονητικῶς ἔχομεν πάντων ὅσα ἐκτός τε καὶ περὶ σῶμα. Ταπεινὰ γὰρ ταῦτά γε καὶ λίαν χαμαίζηλα, σοὶ μὲν φίλα, ἐχθρὰ δὲ ἡμῖν αὐτοῖς, οὗ χάριν οὐδενὸς αὐτῶν προσαψόμεθα. Εἰ γὰρ ἄκρῳ δακτύλῳ τὸ τοῦ λόγου δὴ τοῦτο μόνον ψαύσομεν, γέρας καὶ τιμήν σοι παρέξομεν. Φρυαττόμενος γὰρ αὐχήσεις, ὡς καὶ ἡμῶν τῶν φιλαρέτων δελεάσμασιν ἡδονῆς ὑπαχθέντων.

§. 36. „Ἐὰν γὰρ τοῦ ὕδατός σου," φησὶ, „πίω ἐγώ τε καὶ τὰ κτήνη μου, δώσω τιμήν σοι," οὐ τὸν λεγόμενον ὦνον παρὰ τοῖς ποιηταῖς, ἀργύριον ἢ χρυσίον, ἢ ἄλλα ὅσα πρὸς τοὺς πιπράσκοντας ἔθος τοῖς ὠνουμένοις ἀντικαταλλάττεσθαι, ἀλλὰ τιμὴν τὸ γέρας νῦν παραλαμβάνει. Τῷ γὰρ ὄντι πᾶς ἀκόλαστος ἢ ἄδικος ἢ δειλὸς, ὅταν ἴδῃ τινὰ τῶν αὐστηροτέρων, ἢ πόνον φεύγοντα, ἢ λήμματος ἡττώμενον, ἢ πρός τι τῶν ἡδονῆς φίλτρων ἐκνενευκότα,
298 χαίρει καὶ γέγηθε, καὶ τετιμῆσθαι δοκεῖ· καὶ πρὸς
M. τοὺς πολλοὺς ἔτι νεανιευόμενος καὶ ἐπιχειρονομῶν,
ἄρχεται περὶ τῶν ἰδίων κακῶν ὡς σφόδρα ἀναγκαίων καὶ χρησίμων φιλοσοφεῖν, οὐκ ἂν εἰ μὴ τοιαῦτα ἦν, φάσκων ὑπομεῖναι ἂν τὸν δεῖνα εὐδόκιμον ἄνδρα χρῆσθαι. Λέγωμεν οὖν παντὶ μοχθηρῷ, ἐὰν τοῦ

*) Num. 20, 18.

ὕδατός σου πίωμεν, ἐάν τινος τῶν σοῦ κατὰ τὴν ἄκριτον φορὰν ψαύσωμεν, τιμὴν καὶ ἀποδοχὴν ἀντὶ δυςκλείας καὶ ἀτιμίας — τούτων γὰρ ἄξιος ὢν τυγχάνεις — παρεξόμεθα. Καὶ γὰρ ἀμέλει τὸ πρᾶγμα ὃ ἐσπούδακας συνόλως οὐδέν ἐστιν. Ἢ νομίζεις τι τῶν θνητῶν πραγμάτων ὄντως πρὸς ἀλήθειαν εἶναι καὶ ὑφεστάναι, ἀλλ' οὐχ ὥςπερ ἐπ' αἰώρας τινὸς ψευδοῦς καὶ ἀβεβαίου δόξης φορεῖσθαι κατὰ κενοῦ βαίνοντα, μηδὲν ψευδῶν ὀνειράτων διαφέροντα; Εἰ δὲ μὴ θέλεις τὰς τῶν κατὰ μέρος ἀνθρώπων ἐξετάζειν τύχας, τὰς χωρῶν ὅλων καὶ ἐθνῶν πρός τε 318
τὸ εὖ καὶ χεῖρον μεταβολάς. Ἤκμασέ ποτε ἡ Ἑλ- P.
λάς, ἀλλὰ Μακεδόνες αὐτῆς τὴν ἰσχὺν ἀφείλοντο. Μακεδονία πάλιν ἤνθησεν, ἀλλὰ διαιρεθεῖσα κατὰ μοίρας ἠσθένησεν, ἕως εἰς τὸ παντελὲς ἀπεσβέσθη. Πρὸ Μακεδόνων τὰ Περσῶν ἐν εὐτυχίᾳ ἦν, ἀλλὰ μία ἡμέρα τὴν πολλὴν καὶ μεγάλην βασιλείαν αὐτῶν καθεῖλε. Καὶ νῦν Παρθυηνοὶ Περσῶν τῶν πρὸ μικροῦ ἡγεμόνων ἐπικρατέστεροι, καὶ ἐπικρατοῦσιν οἱ τότε ὑπήκοοι. Ἔπνευσέ ποτε λαμπρὸν καὶ ἐπὶ μήκιστον Αἴγυπτος, ἀλλ' ὡς νέφος αὐτῆς ἡ μεγάλη παρῆλθεν εὐπραγία. Τί δὲ Αἰθίοπες, τί δὲ καὶ Καρχηδὼν, καὶ τὰ πρὸς Λιβύην; Τί δὲ οἱ Πόντου βασιλεῖς; Τί δὲ Εὐρώπη καὶ Ἀσία, καὶ συνελόντι φράσαι, πᾶσα ἡ οἰκουμένη; Οὐκ ἄνω καὶ κάτω κλονουμένη καὶ τινασσομένη ὥςπερ ναῦς θαλαττεύουσα, τοτὲ μὲν δεξιοῖς, τοτὲ δὲ καὶ ἐναντίοις πνεύμασι χρῆται; Χορεύει γὰρ ἐν κύκλῳ λόγος ὁ θεῖος, ὃν οἱ πολλοὶ τῶν ἀνθρώπων ὀνομάζουσι τύχην. Εἶτα ἀεὶ ῥέων κατὰ πόλεις καὶ ἔθνη καὶ χώρας τὰ ἄλλων ἄλλοις, καὶ πᾶσι τὰ πάντων ἐπινέμει, χρόνοις αὐτὸ μόνον ἀλλάττων τὰ παρ' ἑκάστοις, ἵνα ὡς μία πόλις ἡ οἰκουμένη πᾶσα τὴν ἀρίστην πολιτειῶν ἄγῃ δημοκρατίαν.

§. 37. Οὐδὲν οὖν ἔστι τῶν ἀνθρωπίνων σπουδασμάτων ἔργον καὶ πρᾶγμα οὐδὲν, ἀλλὰ σκιά τις

ἡ αὔρα, πρὶν ὑποστῆναι παρατρέχουσα. Ἔρχεται
γὰρ καὶ πάλιν ἄπεισιν, ὥςπερ ἐν ταῖς παλιῤῥοίαις.
Τὰ γὰρ ἀμπωτίζοντα πελάγη ποτὲ μὲν μετὰ συρμοῦ
καὶ πατάγου βίᾳ φέρεται, καὶ ἀναχεόμενα λιμνάζει
τὴν τέως χέρσον, ποτὲ δὲ ἐξαναχωροῦντα πολλῆς
θαλάττης μοῖραν ἠπειροῖ. Οὕτως οὖν ἔστιν ὅτε
299 μέγα καὶ πολυάνθρωπον ἔθνος ἐπικλύσασα εὐπρα-
M. γία, ἑτέρωσε τὴν φορὰν τοῦ ῥεύματος περιτρέψα-
σα, οὐδὲ βραχεῖαν εἴασε λιβάδα, ἵνα μή τι ἴχνος
ὑπολειφθῇ πιότητος ἀρχαίας. Τούτων δὲ οὐχ ἅπαν-
τες ἀρτίους καὶ πλήρεις λαμβάνουσι λογισμούς, ἀλλ᾽
οἷς ἔθος συνομαρτεῖν ὀρθῷ καὶ πεπηγότι ὅρῳ καὶ
λόγῳ. Οἱ γὰρ αὐτοὶ ἄμφω ταῦτα λέγουσι, καὶ τὸ
γενέσεως πρᾶγμα ὅλον οὐδέν ἐστι, καὶ παρὰ τὸ ὅρος
πορευσώμεθα. Ἀδύνατον γὰρ τὸν μὴ ταῖς ὑψηλαῖς
καὶ ὁρικαῖς χρώμενον ὁδοῖς ἀπογνῶναι μὲν τὰ θνη-
τὰ, μετακλῖναι δὲ καὶ μεταναστεῦσαι πρὸς τὰ ἄ-
φθαρτα. Ὁ μὲν οὖν γήϊνος Ἐδὼμ τὴν οὐρανίαν καὶ
βασιλικὴν ἀρετῆς ὁδὸν ἐπιφράττειν ἀξιοῖ, ὁ δὲ θεῖος
λόγος ἐν πᾶσι τὴν ἐκείνου καὶ τῶν ὁμοζήλων. Ὧν
ἕνα καὶ τὸν Βαλαὰμ ἀναγραπτέον· γῆς γὰρ θρέμ-
μα καὶ οὗτος, οὐκ οὐρανοῦ βλάστημα. Τεκμήριον
δὲ οἰωνοῖς καὶ ψευδέσι μαντείαις ἑπόμενος, οὐδ᾽ 319
ὅτε τὸ τῆς ψυχῆς μεμυκὸς ὄμμα ἀναβλέψαν „εἶδε P.
τὸν ἄγγελον τοῦ θεοῦ ἀνθεστῶτα *)," μετατρεπό-
μενος ἐπέσχετο ἀδικεῖν, ἀλλὰ πολλῷ τῷ τῆς ἀφρο-
σύνης χρησάμενος ῥεύματι ἐπικλυσθεὶς κατεπόθη.
Τότε γὰρ ὡς ἀληθῶς οὐ δυςθεράπευτα μόνον, ἀλλὰ
καὶ παντελῶς ἀνίατα γίνεται τὰ τῆς ψυχῆς ἀῤῥω-
στήματα, ὅταν ἐπιστάντος ἐλέγχου — λόγος δέ ἐστι
θεῖος ἄγγελος ποδηγετῶν καὶ τὰ ἐν ποσὶν ἀναστέλ-
λων, ἵνα ἄπταιστοι διὰ λεωφόρου βαίνωμεν τῆς
ὁδοῦ — τὰς ἀκρίτους ἑαυτῶν γνώμας πρὸ τῶν ὑφη-
γήσεων τάττωμεν τῶν ἐκείνου, ἃς ἐπὶ νουθεσίᾳ καὶ

*) Num. 22, 31.

σωφρονισμῷ καὶ τῇ τοῦ παντὸς ἐπανορθώσει βίου, συνεχῶς εἴωθε ποιεῖσθαι. Διὰ τοῦθ᾽ ὁ μὴ πεισθεὶς, μὴ μετατρεπόμενος τῷ ἀντιβαίνοντι ἐλέγχῳ, "φθορὰν τὴν μετὰ τῶν τραυματιῶν *)" αὖθις ἀναδέξεται, οὓς κατεκέντησε καὶ κατέστρωσε τὰ πάθη. Γενήσεται δὲ ἡ τούτου συμφορὰ τοῖς μὴ τελέως δυσκαθάρτοις δίδαγμα αὐταρκέστατον, τοῦ πειρᾶσθαι τὸν ἔνδον δικαστὴν ἔχειν εὐμενῆ· σχήσουσι δὲ, εἰ μηδὲν τῶν ὀρθῶς ὑπ᾽ αὐτοῦ γνωσθέντων ἀναδικάζοιεν.

*) Num. 31, 8.

ΠΕΡΙ
ΓΕΩΡΓΙΑΣ ΝΩΕ.

ARGUMENTUM LIBRI
DE
AGRICULTURA NOE.

(Cf. Gen. 9, 20.)

Quem ad modum agricola omnem impendit operam, ut quovis anno largiores ex agro suo fructus capiat (1), ita animus etiam summo studio colendus est, ut indies meliores fructus edat (2). Hoc efficitur, si pravae affectiones et cogitationes animo exciduntur, bonae vero inseruntur et aluntur, cui rei ars logica, munitissimum philosophiae praesidium praeter cetera inservit (3), aeque ac diligens puerilis animi institutio (4). Haec iusti Noachi exemplo Moyses doceri voluit; quae qui non secuturus erit, iniusto Caino similis brutorum instar terram non colet, sed operabitur, i. e. gravissima terrae onera perferet (5). Eadem ratione, qua Moyses agricolam et operarium differre asserit, distinguit inter pastorem et pecuarium (6), illum mentis ope sensus regentem, hunc sequentem dicens (7). Inter pecuarios longe plurima pars hominum recensenda est, quod quotidie videre licet (8). Pastores vero sunt sapientiores illi, qui sana ratione cupiditates omnis generis moderantur, ut Iacobus, qui Labanis, et Moyses, qui Iothoris pecora pavisse dicuntur (9 et 10). Ne igitur unquam affectuum nostrorum gregi desit pastor, enixe est studendum (11). Sed huic rei providit deus, qui, ut totum universum, ita animos hominum rationi (λόγῳ), primogenito eius filio re-

gendos tradidit (12). A quo si nos regi patimur, in beatam sapientum patriam, coelum, post mortem perveniemus (13 et 14). Ut vero agricola ab operatore, pastor a pecuario, ita etiam eques ab insessore, et auriga ab adscensore differunt (15). Equiti enim et aurigae comparandi sunt illi, qui vitam agunt rectam et honestam, quod fit, si mentis freno affectus compescimus; insessori vero et adscensori isti, qui imprudenter a quavis cupiditate abripi se patiuntur (16 — 20). Ne tamen nos horum turpissimum vitae exitum subeamus, temperantiae (σωφροσύνῃ) est obtemperandum, quae significatur serpente Moysis (21). Illa affectus nostros ita cohibet, ut ab interitu tuti reddamur (22). Pereunt enim, qui voluptatem, quae innuitur serpente Evae, diligunt; vivent contra, qui eam vincere student (23 — 25). Hoc vincendi genus solum recte olympicum dicitur, solumque olim splendidissimis praemiis ornabitur (26 et 27). Verbis "Coepit Noë homo agricola esse" Moyses nos ad i n c h o a n d a m vitam meliorem compellit; nam principium dimidium totius (28); sed vult etiam, ut more brutorum cibum ruminantium scientiam recti et honesti memoria crebro repetamus, ut hac ratione p e r f e c t i o r e s reddamur (29 — 32), et denique f r u c t i b u s quoque edendis, quae sunt benefacta, operam demus (33 — 36). Haec sunt assequenda non contentionibus sophisticis, sed mente pia et placida, quae sola nos ducit ad perfectissimam scientiam et virtutem (37 — 40).

---

300 §. 1. "Καὶ ἤρξατο Νῶε ἄνθρωπος γεωργὸς 187
M. εἶναι, καὶ ἐφύτευσεν ἀμπελῶνα, καὶ ἔπιεν ἐκ τοῦ οἴ- P.
νου, καὶ ἐμεθύσθη ἐν τῷ οἴκῳ αὐτοῦ *)." Οἱ μὲν πολλοὶ τῶν ἀνθρώπων τὰς φύσεις τῶν πραγμάτων οὐκ εἰδότες, καὶ περὶ τὴν τῶν ὀνομάτων θέσιν ἐξ ἀνάγκης ἁμαρτάνουσι. Τοῖς μὲν γὰρ ὥσπερ ἐξ ἀνατομῆς περινοηθεῖσι, κύριαι προσρήσεις ἕπονται, τοῖς δὲ ὑποσυγκεχυμένοις οὐ σφόδρα ἠκριβωμέναι. Μωϋσῆς δὲ κατὰ πολλὴν περιουσίαν τῆς ἐν τοῖς πράγμασιν ἐπιστήμης, ὀνόμασιν εὐθυβολωτάτοις καὶ ἐμφαν-

*) Gen. 9, 20.

τικωτάτοις εἴωθε χρῆσθαι. Πολλαχοῦ μὲν οὖν τῆς
νομοθεσίας τὴν ὑπόσχεσιν ἐπαληθεύουσαν εὑρήσο-
μεν, οὐχ ἥκιστα δὲ καὶ ἐν τῷ προτεθέντι κεφαλαίῳ,
καθ' ὃ γεωργὸς ὁ δίκαιος Νῶε εἰσάγεται. Τίνι γὰρ
τῶν προχειροτέρων οὐκ ἂν δόξαι τὰ αὐτὰ εἶναι γεωρ-
γία τε καὶ γῆς ἐργασία; Καί τοι πρὸς ἀλήθειαν οὐ
μόνον οὐκ ὄντα τὰ αὐτά, ἀλλὰ καὶ λίαν ἀπηρτη- 188
μένα, ὡς ἀντιστατεῖν καὶ διαμάχεσθαι. Δύναται P.
μὲν γάρ τις καὶ ἄνευ ἐπιστήμης περὶ τὴν γῆς ἐπι-
μέλειαν πονεῖσθαι, γεωργὸς δὲ τὸ μὴ ἰδιώτης ἀλλ'
ἔμπειρος εἶναι καὶ τῷ ὀνόματι πεπίστωται, ὅπερ ἐκ
τῆς γεωργικῆς τέχνης, ἧς φερώνυμός ἐστιν, εὕρηται.
Πρὸς δὲ τοῦτο καὶ ἐκεῖνο λογιστέον, ὅτι ὁ μὲν
301 γῆς ἐργάτης πρὸς ἓν τέλος, τὸν μισθὸν ἀφορῶν—
M. ἔμμισθος γὰρ ὡς ἐπίπαν οὗτος — οὐδεμίαν ἔχει φρον-
τίδα τοῦ καλῶς ἐργάσασθαι. Ὁ μέντοι γεωργὸς
πολλὰ ἂν ἐθελήσαι καὶ τῶν ἰδίων εἰσφέρειν, καὶ
προσαναλίσκειν οἴκοθέν τι περὶ τοῦ καὶ τὸ χωρίον
ὀνῆσαι, καὶ πρὸς μηδενὸς τῶν εἰδότων μεμφθῆναι.
Βούλεται γὰρ οὐχ ἑτέρωθέν ποθεν, ἀλλ' ἐκ τῶν
γεωργηθέντων εὐτοκίᾳ χρωμένων ἀνὰ πᾶν ἔτος τοὺς
καρποὺς ἀναλαμβάνειν. Οὗτος τὰ μὲν ἄγρια τῶν
δένδρων ἡμεροῦν, τὰ δὲ ἥμερα ἐπιμελείαις συναύ-
ξειν, τὰ δὲ ὑπὸ πλεοναζούσης τροφῆς κεχυμένα το-
μαῖς στέλλειν, τὰ δὲ ἐσταλμένα καὶ πεπιλημένα ἐπι-
φύσεων ἐκτάσεσι μηκύνειν· καὶ ὅσα μὲν εὐγενῆ πο-
λυκληματοῦντα, κατὰ γῆς τείνειν ἐν οὐ πάνυ τάφροις
βαθείαις, ὅσα δὲ μὴ εὔκαρπα, ἑτέρων εἰς τὸν πρὸς
ταῖς ῥίζαις κορμὸν ἐνθέσει καὶ συμφυεστάτῃ ἑνώσει
βελτιοῦν ἐθελήσει. Καὶ γὰρ ἐπ' ἀνθρώπων τυγχά-
νει ταὐτόν, ὡς τοὺς θετοὺς παῖδας γένεσιν ἀλλοτρί-
ους, διὰ τὰς σφετέρας οἰκειουμένους ἀρετάς, παγίως
ἐναρμόζεσθαι. Μυρία τοίνυν καὶ αὐτόπρεμνα ῥίζαις
αὐταῖς ἀνασπάσας κατέβαλε τὰ εἰς εὐκαρπίαν φύσει
ἐστειρωμένα, καὶ τοῖς φέρουσι μεγάλην ζημίαν ἐκ
τοῦ παραπεφυτεῦσθαι πλησίον ἐνεγκόντα. Τοιαύτη

μέν τίς ἐστιν ἡ περὶ τὰ βλαστάνοντα ἐκ γῆς φυτὰ τέχνη· τὴν δὲ ψυχῆς γεωργικὴν ἐν μέρει πάλιν ἐπισκεψώμεθα.

§. 2. Πρῶτον μὲν τοίνυν σπείρειν ἢ φυτεύειν ἄγονον οὐδὲν ἐπιτηδεύει, πάντα δὲ ἥμερα καὶ καρποτόκα, φόρους ἐτησίους οἴσοντα τῷ ἡγεμόνι ἀνθρώπῳ. Τοῦτον γὰρ ἄρχοντα ἡ φύσις δένδρων τε καὶ ζώων, καὶ τῶν ἄλλων ὅσα θνητὰ ἁπαξαπάντων ἀνέδειξεν. Ἄνθρωπος δὲ ὁ ἐν ἑκάστῳ ἡμῶν τίς ἂν εἴη πλὴν ὁ νοῦς, ὃν τὰς ἀπὸ τῶν σπαρέντων καὶ φυτευθέντων ὠφελείας εἴωθε καρποῦσθαι; Ἐπεὶ δὲ νηπίοις μέν ἐστι γάλα τροφὴ, τελείοις δὲ τὰ ἐκ πυρῶν πέμματα, καὶ ψυχῆς γαλακτώδεις μὲν ἂν εἶεν τροφαὶ κατὰ τὴν παιδικὴν ἡλικίαν, τὰ τῆς ἐγκυκλίου μουσικῆς προπαιδεύματα· τέλειαι δὲ καὶ ἀνδράσιν εὐπρεπεῖς αἱ διὰ φρονήσεως καὶ σωφροσύνης καὶ ἁπάσης ἀρετῆς ὑφηγήσεις. Ταῦτα γὰρ σπαρέντα καὶ φυτευθέντα ἐν διανοίᾳ καρποὺς ὠφελιμωτάτους οἴ-
σει, καλὰς καὶ ἐπαινετὰς πράξεις. Διὰ ταύτης 189
τῆς γεωργικῆς, καὶ ὅσα παθῶν ἢ κακιῶν δένδρα P.
ἀναβλαστοῦντα εἰς ὕψος ἐξήρθη, φθοροποιοὺς φέ-
302 ροντα καρποὺς, ὑποτεμνόμενα καθαίρεται, ὡς μηδὲ
M. βραχύ τι λείψανον ἐαθῆναι, ἀφ' οὗ νέαι βλάσται πάλιν ἁμαρτημάτων ἀναδραμοῦνται. Καὶ ἂν εἴ τινα μέντοι δένδρα ᾖ, μήτ' ὠφελίμων μήτ' αὖ βλαβερῶν καρπῶν οἰστικὰ, ταῦτα ἐκκόψει μὲν, οὐ μὴν ἐάσει γε ἀφανισθῆναι, κατατάξει δὲ αὐτὰ εἰς ἐναρμόνιον χρῆσιν, ἢ βαλλομένη χάρακας καὶ σταυροὺς ἐν κύκλῳ στρατοπέδου, ἢ φραγμὸν πόλεως, ἵνα ἀντὶ τείχους ᾖ.

§. 3. Λέγει γὰρ, „Πᾶν ὃ οὐ καρπόβρωτόν ἐστιν, ἐκκόψεις, καὶ ποιήσεις χαράκωσιν ἐπὶ τὴν πόλιν, ἥτις ποιήσει πρὸς σὲ τὸν πόλεμον *).“ Ταῦτα δὲ εἰκάζεται τὰ δένδρα ταῖς περὶ λόγους δυνάμεσι θεω-

---

*) Deut. 20,20.

ρίαν ψιλὴν ἐχούσαις. Ἐν αἷς θετέον ἰατρολογίαν ἀπεζευγμένην ἔργων, δι' ὧν τοὺς κάμνοντας εἰκός ἐστι σώζεσθαι, καὶ ῥητορικῆς τὸ συνηγορικὸν καὶ ἔμμισθον εἶδος, οὐ περὶ τὴν εὕρεσιν τοῦ δικαίου πραγματευόμενον, ἀλλὰ περὶ τὴν δι' ἀπάτης πειθὼ τῶν ἀκουόντων. Ἔτι μέντοι καὶ διαλεκτικῆς καὶ γεωμετρίας ὅσα εἰς μὲν ἐπανόρθωσιν ἤθους οὐδὲν συνεργεῖ, παραθήγει δὲ τὸν νοῦν, οὐκ ἐῶντα ἀμβλείᾳ χρῆσθαι τῇ πρὸς ἕκαστα τῶν ἀπορουμένων προςβολῇ, τομαῖς δὲ ἀεὶ καὶ διαστολαῖς χρῆσθαι, ὡς τὴν ἑκάστου πράγματος ἰδιότητα τῶν κοινῶν διαζευγνύναι ποιοτήτων. Τὸν γοῦν κατὰ φιλοσοφίαν λόγον τρίδυμον ὄντα τοὺς παλαιοὺς ἀγρῷ φασιν ἀπεικάσαι, τὸ μὲν φυσικὸν αὐτοῦ δένδροις καὶ φυτοῖς παραβαλόντας, τὸ δ' ἠθικὸν καρποῖς, ὧν ἕνεκα καὶ τὰ φυτά, τὸ δ' αὖ λογικὸν φραγμῷ καὶ περιβόλῳ. Καθάπερ γὰρ τὸ περικείμενον τεῖχος ὀπώρας καὶ φυτῶν τῶν κατὰ τὸν ἀγρόν ἐστι φυλακτήριον, τοὺς ἐπὶ τὸ σίνεσθαι παρειςφθείρεσθαι βουλομένους ἀνεῖργον· τὸν αὐτὸν τρόπον τὸ λογικὸν μέρος φιλοσοφίας φρουρά τίς ἐστιν ὀχυρωτάτη τῶν δυοῖν ἐκείνων ἠθικοῦ τε καὶ φυσικοῦ. Τὰς γὰρ διπλᾶς καὶ ἀμφιβόλους ὅταν ἐξαπλοῖ λέξεις, καὶ τὰς διὰ τῶν σοφισμάτων πιθανότητας ἐπιλύῃ, καὶ τὴν εὐπαράγωγον ἀπάτην, μέγιστον ψυχῆς δέλεαρ καὶ ἐπιζήμιον, ἀναιρῇ, διὰ λόγων ἐμφαντικωτάτων καὶ ἀποδείξεων ἀνενδοιάστων, ὥςπερ κηρὸν λελειασμένον τὸν νοῦν ἀπεργάζεται, ἕτοιμον δέχεσθαι τούς τε φυσιολογίας καὶ τοὺς ἠθοποιΐας ἀσινεῖς κάρτα καὶ πάνυ δοκίμους χαρακτῆρας.

§. 4. Ταῦτ' οὖν ἡ ψυχῆς ἐπαγγελλομένη γεωργικὴ προκηρύττει· τὰ ἀφροσύνης δένδρα καὶ ἀκολασίας, ἀδικίας τε καὶ δειλίας, πάντ' ἐκκόψω· ἐκτεμῶ καὶ τα ἡδονῆς καὶ ἐπιθυμίας, ὀργῆς τε καὶ θυμοῦ, 191 καὶ τῶν παραπλησίων παθῶν, καὶ ἂν ἄχρις οὐρανοῦ P. μηκύνῃ, τὰ φυτά· ἐπικαύσω καὶ τὰς ῥίζας αὐτῶν,

ἐφιεῖσα ἄχρι τῶν ὑστάτων τῆς γῆς φλογὸς ῥιπὴν,
303 ὡς μηδὲν μέρος, ἀλλὰ μηδ᾽ ἴχνος ἢ σκιὰν ὑπο-
M. λειφθῆναι τὸ παράπαν. Ἀνελῶ μὲν δὴ ταῦτα, φυτεύσω δὲ ταῖς μὲν ἐν ἡλικίᾳ παιδικῇ ψυχαῖς μοσχεύματα, ὧν ὁ καρπὸς αὐτὰς τιθηνήσεται. Ἔστι δὲ ταῦτα· ἡ τοῦ γράφειν καὶ ἀναγινώσκειν εὐτρόχως ἐπιτήδευσις· ἡ τῶν παρὰ σοφοῖς ποιηταῖς ἀκριβὴς ἔρευνα· γεωμετρία, καὶ ἡ περὶ τοὺς ῥητορικοὺς λόγους μελέτη, καὶ ἡ σύμπασα τῆς ἐγκυκλίου παιδείας μουσική. Ταῖς δὲ νεανιευομέναις καὶ ἀνδρουμέναις ἤδη τὰ ἀμείνω καὶ τελειώτερα, τὸ φρονήσεως φυτὸν, τὸ ἀνδρείας, τὸ σωφροσύνης, τὸ δικαιοσύνης, τὸ ἀρετῆς ἁπάσης. Ἂν μέντοι τι καὶ τῆς λεγομένης ἀγρίας Μούσης ἐδώδιμον μὲν οὐ φέρῃ καρπὸν, δύνηται δὲ ἐδωδίμου φραγμὸς εἶναι καὶ φυλακτήριον· καὶ τοῦτο ταμιεύσομαι, οὐ δι᾽ ἑαυτὸ, ἀλλ᾽ ὅτι ὑπηρετεῖν ἀναγκαίῳ καὶ χρησίμῳ σφόδρα πέφυκε.

§ 5. Διὰ τοῦτο ὁ πάνσοφος Μωϋσῆς τῷ μὲν δικαίῳ τὴν τῆς ψυχῆς γεωργικὴν ὡς ἐναρμόνιον καὶ ἐπιβάλλουσαν τέχνην ἀνατίθησι λέγων, "Ἤρξατο Νῶε ἄνθρωπος εἶναι γεωργός·" τῷ δὲ ἀδίκῳ τὴν ἄνευ ἐπιστήμης φέρουσαν ἄχθη βαρύτατα γῆς ἐργασίαν. "Κάϊν γὰρ," φησὶν, "ἦν ἐργαζόμενος τὴν γῆν*)," καὶ μικρὸν ὕστερον, ἡνίκα τὸ ἐπὶ τῇ ἀδελφοκτονίᾳ ἄγος ἐργασάμενος καταρᾶται, λέγεται, "Ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς, ἣ ἔχανε τὸ στόμα αὐτῆς δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἐκ τῆς χειρός σου, ἢ ἐργᾷ τὴν γῆν, καὶ οὐ προσθήσει τὴν ἰσχὺν αὐτῆς δοῦναί σοι." Πῶς οὖν ἄν τις περιφανέστερον ἐπιδεῖξαι δύναιτο, ὅτι γῆς ἐργάτην, ἀλλ᾽ οὐ γεωργὸν ὁ νομοθέτης νομίζει τὸν φαῦλον, ἢ τὸν τρόπον τοῦτον; Οὐ μὴν ὑποληπτέον ἢ περὶ ἀνθρώπου χερσὶν ἢ ποσὶ καὶ τῇ ἄλλῃ δυνάμει ἐνεργεῖν τοῦ σώματος ἱκανοῦ, ἢ περὶ τῆς ὀρεινῆς καὶ πεδιάδος εἶναι τὸν

*) Gen. 4, 11 sq.

ἀπειλήσει πόλεμον ἀκήρυκτον, εἰ βιαζοίμεθα διέρχεσθαι, τέμνοντες καὶ κείροντες ἀεὶ τὸν τῆς ψυχῆς αὐτοῦ καρπὸν, ὃν ἐπ' ὀλέθρῳ φρονήσεως σπείρας οὐκ ἐθέρισε. Φησὶ γὰρ, "Οὐ δὴ διελεύσῃ δι' ἐμοῦ· εἰ δὲ μή γε, ἐν πολέμῳ ἐξελεύσομαί σοι εἰς ἀπάντησιν *)." Ἀλλὰ μηδὲν αὐτοῦ τῶν ἐπανατάσεων φροντίσαντες ἀποκρινώμεθα, ὅτι "Παρὰ τὸ ὄρος πορευσόμεθα," τουτέστιν, ὑψηλαῖς καὶ μετεώροις ἔθος ἔχοντες ἐνομιλεῖν δυνάμεσι, καὶ ὁρικῶς ἕκαστα σκοπεῖν, τὸν παντὸς οὑτινοσοῦν λόγον ἐρευνῶντες, δι' οὗ τὸ τί ἦν εἶναι γνωρίζεται, καταφρονητικῶς ἔχομεν πάντων ὅσα ἐκτός τε καὶ περὶ σῶμα. Ταπεινὰ γὰρ ταῦτά γε καὶ λίαν χαμαίζηλα, σοὶ μὲν φίλα, ἐχθρὰ δὲ ἡμῖν αὐτοῖς, οὗ χάριν οὐδενὸς αὐτῶν προσαψόμεθα. Εἰ γὰρ ἄκρῳ δακτύλῳ τὸ τοῦ λόγου δὴ τοῦτο μόνον ψαύσομεν, γέρας καὶ τιμήν σοι παρέξομεν. Φρυαττόμενος γὰρ αὐχήσεις, ὡς καὶ ἡμῶν τῶν φιλαρέτων δελεάσμασιν ἡδονῆς ὑπαχθέντων.

§. 36. "Ἐὰν γὰρ τοῦ ὕδατός σου," φησὶ, "πίω ἐγώ τε καὶ τὰ κτήνη μου, δώσω τιμήν σοι," οὐ τὸν λεγόμενον ὦνον παρὰ τοῖς ποιηταῖς, ἀργύριον ἢ χρυσίον, ἢ ἄλλα ὅσα πρὸς τοὺς πιπράσκοντας ἔθος τοῖς ὠνουμένοις ἀντικαταλλάττεσθαι, ἀλλὰ τιμὴν τὸ γέρας νῦν παραλαμβάνει. Τῷ γὰρ ὄντι πᾶς ἀκόλαστος ἢ ἄδικος ἢ δειλὸς, ὅταν ἴδῃ τινὰ τῶν αὐστηροτέρων, ἢ πόνον φεύγοντα, ἢ λήμματος ἡττώμενον, ἢ πρός τι τῶν ἡδονῆς φίλτρων ἐκνενευκότα,
298 χαίρει καὶ γέγηθε, καὶ τετιμῆσθαι δοκεῖ· καὶ πρὸς
M. τοὺς πολλοὺς ἔτι νεανιευόμενος καὶ ἐπιχειρονομῶν,
ἄρχεται περὶ τῶν ἰδίων κακιῶν ὡς σφόδρα ἀναγκαίων καὶ χρησίμων φιλοσοφεῖν, οὐκ ἂν εἰ μὴ τοιαῦτα ἦν, φάσκων ὑπομεῖναι ἂν τὸν δεῖνα εὐδόκιμον ἄνδρα χρῆσθαι. Λέγομεν οὖν παντὶ μοχθηρῷ, ἐὰν τοῦ

*) Num. 20, 18.

ὕδατός σου πίωμεν, ἐάν τινος τῶν σοῦ κατὰ τὴν ἄκριτον φορὰν ψαύσωμεν, τιμὴν καὶ ἀποδοχὴν ἀντὶ δυςκλείας καὶ ἀτιμίας — τούτων γὰρ ἄξιος ὢν τυγχάνεις — παρεξόμεθα. Καὶ γὰρ ἀμέλει τὸ πρᾶγμα ὃ ἐσπούδακας συνόλως οὐδέν ἐστιν. Ἢ νομίζεις τι τῶν θνητῶν πραγμάτων ὄντως πρὸς ἀλήθειαν εἶναι καὶ ὑφεστάναι, ἀλλ' οὐχ ὥςπερ ἐπ' αἰώρας τινὸς ψευδοῦς καὶ ἀβεβαίου δόξης φορεῖσθαι κατὰ κενοῦ βαίνοντα, μηδὲν ψευδῶν ὀνειράτων διαφέροντα; Εἰ δὲ μὴ θέλεις τὰς τῶν κατὰ μέρος ἀνθρώπων ἐξετάζειν τύχας, τὰς χωρῶν ὅλων καὶ ἐθνῶν πρός τε 318
τὸ εὖ καὶ χεῖρον μεταβολάς. Ἤκμασέ ποτε ἡ Ἑλ- P.
λάς, ἀλλὰ Μακεδόνες αὐτῆς τὴν ἰσχὺν ἀφείλοντο. Μακεδονία πάλιν ἤνθησεν, ἀλλὰ διαιρεθεῖσα κατὰ μοίρας ἠσθένησεν, ἕως εἰς τὸ παντελὲς ἀπεσβέσθη. Πρὸ Μακεδόνων τὰ Περσῶν ἐν εὐτυχίᾳ ἦν, ἀλλὰ μία ἡμέρα τὴν πολλὴν καὶ μεγάλην βασιλείαν αὐτῶν καθεῖλε. Καὶ νῦν Παρθυηνοὶ Περσῶν τῶν πρὸ μικροῦ ἡγεμόνων ἐπικρατέστεροι, καὶ ἐπικρατοῦσιν οἱ τότε ὑπήκοοι. Ἔπνευσέ ποτε λαμπρὸν καὶ ἐπὶ μήκιστον Αἴγυπτος, ἀλλ' ὡς νέφος αὐτῆς ἡ μεγάλη παρῆλθεν εὐπραγία. Τί δὲ Αἰθίοπες, τί δὲ καὶ Καρχηδὼν, καὶ τὰ πρὸς Λιβύην; Τί δὲ οἱ Πόντου βασιλεῖς; Τί δὲ Εὐρώπη καὶ Ἀσία, καὶ συνελόντι φράσαι, πᾶσα ἡ οἰκουμένη; Οὐκ ἄνω καὶ κάτω κλονουμένη καὶ τινασσομένη ὥςπερ ναῦς θαλαττεύουσα, τοτὲ μὲν δεξιοῖς, τοτὲ δὲ καὶ ἐναντίοις πνεύμασι χρῆται; Χορεύει γὰρ ἐν κύκλῳ λόγος ὁ θεῖος, ὃν οἱ πολλοὶ τῶν ἀνθρώπων ὀνομάζουσι τύχην. Εἶτα ἀεὶ ῥέων κατὰ πόλεις καὶ ἔθνη καὶ χώρας τὰ ἄλλων ἄλλοις, καὶ πᾶσι τὰ πάντων ἐπινέμει, χρόνοις αὐτὸ μόνον ἀλλάττων τὰ παρ' ἑκάστοις, ἵνα ὡς μία πόλις ἡ οἰκουμένη πᾶσα τὴν ἀρίστην πολιτειῶν ἄγῃ, δημοκρατίαν.

§. 37. Οὐδὲν οὖν ἔστι τῶν ἀνθρωπίνων σπουδασμάτων ἔργον καὶ πρᾶγμα οὐδὲν, ἀλλὰ σκιά τις

ἡ αὔρα, πρὶν ὑποστῆναι παρατρέχουσα. Ἔρχεται
γὰρ καὶ πάλιν ἄπεισιν, ὥςπερ ἐν ταῖς παλιῤῥοίαις.
Τὰ γὰρ ἀμπωτίζοντα πελάγη ποτὲ μὲν μετὰ συρμοῦ
καὶ πατάγου βίᾳ φέρεται, καὶ ἀναχεόμενα λιμνάζει
τὴν τέως χέρσον, ποτὲ δὲ ἐξαναχωροῦντα πολλῆς
θαλάττης μοῖραν ἠπειροῖ. Οὕτως οὖν ἔστιν ὅτε
299 μέγα καὶ πολυάνθρωπον ἔθνος ἐπικλύσασα εὐπρα-
M. γία, ἑτέρωσε τὴν φορὰν τοῦ ῥεύματος περιτρέψα-
σα, οὐδὲ βραχεῖαν εἴασε λιβάδα, ἵνα μή τι ἴχνος
ὑπολειφθῇ πιότητος ἀρχαίας. Τούτων δὲ οὐχ ἅπαν-
τες ἀρτίους καὶ πλήρεις λαμβάνουσι λογισμούς, ἀλλ'
οἷς ἔθος συνομαρτεῖν ὀρθῷ καὶ πεπηγότι ὅρῳ καὶ
λόγῳ. Οἱ γὰρ αὐτοὶ ἄμφω ταῦτα λέγουσι, καὶ τὸ
γενέσεως πρᾶγμα ὅλον οὐδέν ἐστι, καὶ παρὰ τὸ ὄρος
πορευσώμεθα. Ἀδύνατον γὰρ τὸν μὴ ταῖς ὑψηλαῖς
καὶ ὁρικαῖς χρώμενον ὁδοῖς ἀπογνῶναι μὲν τὰ θνη-
τά, μετακλῖναι δὲ καὶ μεταναστεῦσαι πρὸς τὰ ἄ-
φθαρτα. Ὁ μὲν οὖν γήϊνος Ἐδὼμ τὴν οὐρανίαν καὶ
βασιλικὴν ἀρετῆς ὁδὸν ἐπιφράττειν ἀξιοῖ, ὁ δὲ θεῖος
λόγος ἐν πᾶσι τὴν ἐκείνου καὶ τῶν ὁμοζήλων. Ὧν
ἕνα καὶ τὸν Βαλαὰμ ἀναγραπτέον· γῆς γὰρ θρέμ-
μα καὶ οὗτος, οὐκ οὐρανοῦ βλάστημα. Τεκμήριον
δὲ οἰωνοῖς καὶ ψευδέσι μαντείαις ἑπόμενος, οὐδ' 319
ὅτε τὸ τῆς ψυχῆς μεμυκὸς ὄμμα ἀναβλέψαν "εἶδε P.
τὸν ἄγγελον τοῦ θεοῦ ἀνθεστῶτα *)," μετατρεπό-
μενος ἐπέσχετο ἀδικεῖν, ἀλλὰ πολλῷ τῷ τῆς ἀφρο-
σύνης χρησάμενος ῥεύματι ἐπικλυσθεὶς κατεπόθη.
Τότε γὰρ ὡς ἀληθῶς οὐ δυςθεράπευτα μόνον, ἀλλὰ
καὶ παντελῶς ἀνίατα γίνεται τὰ τῆς ψυχῆς ἀῤῥω-
στήματα, ὅταν ἐπιστάντος ἐλέγχου — λόγος δέ ἐστι
θεῖος ἄγγελος ποδηγετῶν καὶ τὰ ἐν ποσὶν ἀναστέλ-
λων, ἵνα ἄπταιστοι διὰ λεωφόρου βαίνωμεν τῆς
ὁδοῦ — τὰς ἀκρίτους ἑαυτῶν γνώμας πρὸ τῶν ὑφη-
γήσεων τάττωμεν τῶν ἐκείνου, ἃς ἐπὶ νουθεσίᾳ καὶ

---

*) Num. 22, 31.

σωφρονισμῷ καὶ τῇ τοῦ παντὸς ἐπανορθώσει βίου, συνεχῶς εἴωθε ποιεῖσθαι. Διὰ τοῦθ' ὁ μὴ πεισθεὶς, μὴ μετατρεπόμενος τῷ ἀντιβαίνοντι ἐλέγχῳ, "φθορὰν τὴν μετὰ τῶν τραυματιῶν *)" αὖθις ἀναδέξεται, οὓς κατεκέντησε καὶ κατέστρωσε τὰ πάθη. Γενήσεται δὲ ἡ τούτου συμφορὰ τοῖς μὴ τελέως δυςκαθάρτοις δίδαγμα αὐταρκέστατον, τοῦ πειρᾶσθαι τὸν ἔνδον δικαστὴν ἔχειν εὐμενῆ· σχήσουσι δὲ, εἰ μηδὲν τῶν ὀρθῶς ὑπ' αὐτοῦ γνωσθέντων ἀναδικάζοιεν.

*) Num. 31, 8.

ΠΕΡΙ

ΓΕΩΡΓΙΑΣ ΝΩΕ.

ARGUMENTUM LIBRI

DE

AGRICULTURA NOE.

(Cf. Gen. 9, 20.)

Quem ad modum agricola omnem impendit operam, ut quovis anno largiores ex agro suo fructus capiat (1), ita animus etiam summo studio colendus est, ut indies meliores fructus edat (2). Hoc efficitur, si pravae affectiones et cogitationes animo exciduntur, bonae vero inseruntur et aluntur, cui rei ars logica, munitissimum philosophiae praesidium praeter cetera inservit (3), aeque ac diligens puerilis animi institutio (4). Haec iusti Noachi exemplo Moyses doceri voluit; quae qui non secuturus erit, iniusto Caino similis brutorum instar terram non colet, sed operabitur, i. e. gravissima terrae onera perferet (5). Eadem ratione, qua Moyses agricolam et operarium differre asserit, distinguit inter pastorem et pecuarium (6), illum mentis ope sensus regentem, hunc sequentem dicens (7). Inter pecuarios longe plurima pars hominum recensenda est, quod quotidie videre licet (8). Pastores vero sunt sapientiores illi, qui sana ratione cupiditates omnis generis moderantur, ut Iacobus, qui Labanis, et Moyses, qui Iothoris pecora pavisse dicuntur (9 et 10). Ne igitur unquam affectuum nostrorum gregi desit pastor, enixe est studendum (11). Sed huic rei providit deus, qui, ut totum universum, ita animos hominum rationi (λόγῳ), primogenito eius filio re-

gendos tradidit (12). A quo si nos regi patimur, in beatam sapientum patriam, coelum, post mortem perveniemus (13 et 14). Ut vero agricola ab operatore, pastor a pecuario, ita etiam eques ab insessore, et auriga ab adscensore differunt (15). Equiti enim et aurigae comparandi sunt illi, qui vitam agunt rectam et honestam, quod fit, si mentis freno affectus compescimus; insessori vero et adscensori isti, qui imprudenter a quavis cupiditate abripi se patiuntur (16 — 20). Ne tamen nos horum turpissimum vitae exitum subeamus, temperantiae (σωφροσύνῃ) est obtemperandum, quae significatur serpente Moysis (21). Illa affectus nostros ita cohibet, ut ab interitu tuti reddamur (22). Pereunt enim, qui voluptatem, quae innuitur serpente Evae, diligunt; vivent contra, qui eam vincere student (23 — 25). Hoc vincendi genus solum recte olympicum dicitur, solumque olim splendidissimis praemiis ornabitur (26 et 27). Verbis "Coepit Noë homo agricola esse" Moyses nos ad inchoandam vitam meliorem compellit; nam principium dimidium totius (28); sed vult etiam, ut more brutorum cibum ruminantium scientiam recti et honesti memoria crebro repetamus, ut hac ratione perfectiores reddamur (29 — 32), et denique fructibus quoque edendis, quae sunt benefacta, operam demus (33 — 36). Haec sunt assequenda non contentionibus sophisticis, sed mente pia et placida, quae sola nos ducit ad perfectissimam scientiam et virtutem (37 — 40).

---

300 §. 1. "Καὶ ἤρξατο Νῶε ἄνθρωπος γεωργὸς 187
M. εἶναι, καὶ ἐφύτευσεν ἀμπελῶνα, καὶ ἔπιεν ἐκ τοῦ οἴ- P.
νου, καὶ ἐμεθύσθη ἐν τῷ οἴκῳ αὐτοῦ *)." Οἱ μὲν πολλοὶ τῶν ἀνθρώπων τὰς φύσεις τῶν πραγμάτων οὐκ εἰδότες, καὶ περὶ τὴν τῶν ὀνομάτων θέσιν ἐξ ἀνάγκης ἁμαρτάνουσι. Τοῖς μὲν γὰρ ὥςπερ ἐξ ἀνατομῆς περινοηθεῖσι, κύριαι προςρήσεις ἕπονται, τοῖς δὲ ὑποσυγκεχυμένοις οὐ σφόδρα ἠκριβωμέναι. Μωϋσῆς δὲ κατὰ πολλὴν περιουσίαν τῆς ἐν τοῖς πράγμασιν ἐπιστήμης, ὀνόμασιν εὐθυβολωτάτοις καὶ ἐμφαν-

---

*) Gen. 9, 20.

τικωτάτοις εἴωθε χρῆσθαι. Πολλαχοῦ μὲν οὖν τῆς
νομοθεσίας τὴν ὑπόσχεσιν ἐπαληθεύουσαν εὑρήσο-
μεν, οὐχ ἥκιστα δὲ καὶ ἐν τῷ προτεθέντι κεφαλαίῳ,
καθ᾽ ὃ γεωργὸς ὁ δίκαιος Νῶε εἰσάγεται. Τίνι γὰρ
τῶν προχειροτέρων οὐκ ἂν δόξαι τὰ αὐτὰ εἶναι γεωρ-
γία τε καὶ γῆς ἐργασία; Καί τοι πρὸς ἀλήθειαν οὐ
μόνον οὐκ ὄντα τὰ αὐτὰ, ἀλλὰ καὶ λίαν ἀπηρτη- 188
μένα, ὡς ἀντιστατεῖν καὶ διαμάχεσθαι. Δύναται P.
μὲν γάρ τις καὶ ἄνευ ἐπιστήμης περὶ τὴν γῆς ἐπι-
μέλειαν πονεῖσθαι, γεωργὸς δὲ τὸ μὴ ἰδιώτης ἀλλ᾽
ἔμπειρος εἶναι καὶ τῷ ὀνόματι πεπίστωται, ὅπερ ἐκ
τῆς γεωργικῆς τέχνης, ἧς φερώνυμός ἐστιν, εὕρηται.
Πρὸς δὲ τοῦτο καὶ ἐκεῖνο λογιστέον, ὅτι ὁ μὲν
301 γῆς ἐργάτης πρὸς ἓν τέλος, τὸν μισθὸν ἀφορῶν —
M. ἔμμισθος γὰρ ὡς ἐπίπαν οὗτος — οὐδεμίαν ἔχει φρον-
τίδα τοῦ καλῶς ἐργάσασθαι. Ὁ μέντοι γεωργὸς
πολλὰ ἂν ἐθελήσαι καὶ τῶν ἰδίων εἰςφέρειν, καὶ
προςαναλίσκειν οἴκοθέν τι περὶ τοῦ καὶ τὸ χωρίον
ὀνῆσαι, καὶ πρὸς μηδενὸς τῶν εἰδότων μεμφθῆναι.
Βούλεται γὰρ οὐχ ἑτέρωθέν ποθεν, ἀλλ᾽ ἐκ τῶν
γεωργηθέντων εὐτοκίᾳ χρωμένων ἀνὰ πᾶν ἔτος τοὺς
καρποὺς ἀναλαμβάνειν. Οὗτος τὰ μὲν ἄγρια τῶν
δένδρων ἡμεροῦν, τὰ δὲ ἥμερα ἐπιμελείαις συναύ-
ξειν, τὰ δὲ ὑπὸ πλεοναζούσης τροφῆς κεχυμένα το-
μαῖς στέλλειν, τὰ δὲ ἐσταλμένα καὶ πεπιλημένα ἐπι-
φύσεων ἐκτάσεσι μηκύνειν· καὶ ὅσα μὲν εὐγενῆ πο-
λυκληματοῦντα, κατὰ γῆς τείνειν ἐν οὐ πάνυ τάφροις
βαθείαις, ὅσα δὲ μὴ εὔκαρπα, ἑτέρων εἰς τὸν πρὸς
ταῖς ῥίζαις κορμὸν ἐνθέσει καὶ συμφυεστάτῃ ἑνώσει
βελτιοῦν ἐθελήσει. Καὶ γὰρ ἐπ᾽ ἀνθρώπων τυγχά-
νει ταὐτὸν, ὡς τοὺς θετοὺς παῖδας γένεσιν ἀλλοτρί-
ους, διὰ τὰς σφετέρας οἰκειουμένους ἀρετὰς, παγίως
ἐναρμόζεσθαι. Μυρία τοίνυν καὶ αὐτόπρεμνα ῥίζαις
αὐταῖς ἀνασπάσας κατέβαλε τὰ εἰς εὐκαρπίαν φύσει
ἐστειρωμένα, καὶ τοῖς φέρουσι μεγάλην ζημίαν ἐκ
τοῦ παραπεφυτεῦσθαι πλησίον ἐνεγκόντα. Τοιαύτη

μέν τίς ἐστιν ἡ περὶ τὰ βλαστάνοντα ἐκ γῆς φυτὰ τέχνη· τὴν δὲ ψυχῆς γεωργικὴν ἐν μέρει πάλιν ἐπισκεψώμεθα.

§. 2. *Πρῶτον μὲν τοίνυν σπείρειν ἢ φυτεύειν ἄγονον οὐδὲν ἐπιτηδεύει, πάντα δὲ ἥμερα καὶ καρποτόκα, φόρους ἐτησίους οἴσοντα τῷ ἡγεμόνι ἀνθρώπῳ. Τοῦτον γὰρ ἄρχοντα ἡ φύσις δένδρων τε καὶ ζώων, καὶ τῶν ἄλλων ὅσα θνητὰ ἁπαξαπάντων ἀνέδειξεν. Ἄνθρωπος δὲ ὁ ἐν ἑκάστῳ ἡμῶν τίς ἂν εἴη πλὴν ὁ νοῦς, ὃν τὰς ἀπὸ τῶν σπαρέντων καὶ φυτευθέντων ὠφελείας εἴωθε καρποῦσθαι; Ἐπεὶ δὲ νηπίοις μέν ἐστι γάλα τροφὴ, τελείοις δὲ τὰ ἐκ πυρῶν πέμματα, καὶ ψυχῆς γαλακτώδεις μὲν ἂν εἶεν τροφαὶ κατὰ τὴν παιδικὴν ἡλικίαν, τὰ τῆς ἐγκυκλίου μουσικῆς προπαιδεύματα· τέλειαι δὲ καὶ ἀνδράσιν εὐπρεπεῖς αἱ διὰ φρονήσεως καὶ σωφροσύνης καὶ ἁπάσης ἀρετῆς ὑφηγήσεις. Ταῦτα γὰρ σπαρέντα καὶ φυτευθέντα ἐν διανοίᾳ καρποὺς ὠφελιμωτάτους οἴσει, καλὰς καὶ ἐπαινετὰς πράξεις. Διὰ ταύτης* 189
τῆς γεωργικῆς, καὶ ὅσα παθῶν ἢ κακιῶν δένδρα P.
ἀναβλαστοῦντα εἰς ὕψος ἐξήρθη, φθοροποιοὺς φέ-
302 *ροντα καρποὺς, ὑποτεμνόμενα καθαίρεται, ὡς μηδὲ*
M. *βραχύ τι λείψανον ἐαθῆναι, ἀφ᾽ οὗ νέαι βλάσται πάλιν ἁμαρτημάτων ἀναδραμοῦνται. Καὶ ἂν εἴ τινα μέντοι δένδρα ᾖ, μήτ᾽ ὠφελίμων μήτ᾽ αὖ βλαβερῶν καρπῶν οἰστικὰ, ταῦτα ἐκκόψει μὲν, οὐ μὴν ἐάσει γε ἀφανισθῆναι, κατατάξει δὲ αὐτὰ εἰς ἐναρμόνιον χρῆσιν, ἢ βαλλομένη χάρακας καὶ σταυροὺς ἐν κύκλῳ στρατοπέδου, ἢ φραγμὸν πόλεως, ἵνα ἀντὶ τείχους ᾖ.*

§. 3. *Λέγει γὰρ, „Πᾶν ὃ οὐ καρπόβρωτόν ἐστιν, ἐκκόψεις, καὶ ποιήσεις χαράκωσιν ἐπὶ τὴν πόλιν, ἥτις ποιήσει πρὸς σὲ τὸν πόλεμον *)." Ταῦτα δὲ εἰκάζεται τὰ δένδρα ταῖς περὶ λόγους δυνάμεσι θεω-*

---

*) Deut. 20,20.

ρίαν ψιλὴν ἐχούσαις. Ἐν αἷς θετέον ἰατρολογίαν ἀπεζευγμένην ἔργων, δι' ὧν τοὺς κάμνοντας εἰκός ἐστι σώζεσθαι, καὶ ῥητορικῆς τὸ συνηγορικὸν καὶ ἔμμισθον εἶδος, οὐ περὶ τὴν εὕρεσιν τοῦ δικαίου πραγματευόμενον, ἀλλὰ περὶ τὴν δι' ἀπάτης πειθὼ τῶν ἀκουόντων. Ἔτι μέντοι καὶ διαλεκτικῆς καὶ γεωμετρίας ὅσα εἰς μὲν ἐπανόρθωσιν ἤθους οὐδὲν συνεργεῖ, παραθήγει δὲ τὸν νοῦν, οὐκ ἐῶντα ἀμβλείᾳ χρῆσθαι τῇ πρὸς ἕκαστα τῶν ἀπορουμένων προσβολῇ, τομαῖς δὲ ἀεὶ καὶ διαστολαῖς χρῆσθαι, ὡς τὴν ἑκάστου πράγματος ἰδιότητα τῶν κοινῶν διαζευγνύναι ποιοτήτων. Τὸν γοῦν κατὰ φιλοσοφίαν λόγον τρίδυμον ὄντα τοὺς παλαιοὺς ἀγρῷ φασιν ἀπεικάσαι, τὸ μὲν φυσικὸν αὐτοῦ δένδροις καὶ φυτοῖς παραβαλόντας, τὸ δ' ἠθικὸν καρποῖς, ὧν ἕνεκα καὶ τὰ φυτά, τὸ δ' αὖ λογικὸν φραγμῷ καὶ περιβόλῳ. Καθάπερ γὰρ τὸ περικείμενον τεῖχος ὀπώρας καὶ φυτῶν τῶν κατὰ τὸν ἀγρόν ἐστι φυλακτήριον, τοὺς ἐπὶ τὸ σίνεσθαι παρεισφθείρεσθαι βουλομένους ἀνεῖργον· τὸν αὐτὸν τρόπον τὸ λογικὸν μέρος φιλοσοφίας φρουρά τίς ἐστιν ὀχυρωτάτη τῶν δυοῖν ἐκείνων ἠθικοῦ τε καὶ φυσικοῦ. Τὰς γὰρ διπλᾶς καὶ ἀμφιβόλους ὅταν ἐξαπλοῖ λέξεις, καὶ τὰς διὰ τῶν σοφισμάτων πιθανότητας ἐπιλύῃ, καὶ τὴν εὐπαράγωγον ἀπάτην, μέγιστον ψυχῆς δέλεαρ καὶ ἐπιζήμιον, ἀναιρῇ, διὰ λόγων ἐμφαντικωτάτων καὶ ἀποδείξεων ἀνενδοιάστων, ὥσπερ κηρὸν λελειασμένον τὸν νοῦν ἀπεργάζεται, ἕτοιμον δέχεσθαι τούς τε φυσιολογίας καὶ τοὺς ἠθοποιΐας ἀσινεῖς κάρτα καὶ πάνυ δοκίμους χαρακτῆρας.

§. 4. Ταῦτ' οὖν ἡ ψυχῆς ἐπαγγελλομένη γεωργικὴ προκηρύττει· τὰ ἀφροσύνης δένδρα καὶ ἀκολασίας, ἀδικίας τε καὶ δειλίας, πάντ' ἐκκόψω· ἐκτεμῶ
καὶ τα ἡδονῆς καὶ ἐπιθυμίας, ὀργῆς τε καὶ θυμοῦ, 191
καὶ τῶν παραπλησίων παθῶν, καὶ ἂν ἄχρις οὐρανοῦ P.
μηκύνῃ, τὰ φυτά· ἐπικαύσω καὶ τὰς ῥίζας αὐτῶν,

ἐφιεῖσα ἄχρι τῶν ὑστάτων τῆς γῆς φλογὸς ῥιπὴν,
303 ὡς μηδὲν μέρος, ἀλλὰ μηδ' ἴχνος ἢ σκιὰν ὑπο-
M. λειφθῆναι τὸ παράπαν. Ἀνελῶ μὲν δὴ ταῦτα, φυτεύσω δὲ ταῖς μὲν ἐν ἡλικίᾳ παιδικῇ ψυχαῖς μοσχεύματα, ὧν ὁ καρπὸς αὐτὰς τιθηνήσεται. Ἔστι δὲ ταῦτα· ἡ τοῦ γράφειν [καὶ ἀναγινώσκειν εὐτρόχως ἐπιτήδευσις· ἡ τῶν παρὰ σοφοῖς ποιηταῖς ἀκριβὴς ἔρευνα· γεωμετρία, καὶ ἡ περὶ τοὺς ῥητορικοὺς λόγους μελέτη, καὶ ἡ σύμπασα τῆς ἐγκυκλίου παιδείας μουσική. Ταῖς δὲ νεανιευομέναις καὶ ἀνδρουμέναις ἤδη τὰ ἀμείνω καὶ τελειώτερα, τὸ φρονήσεως φυτὸν, τὸ ἀνδρείας, τὸ σωφροσύνης, τὸ δικαιοσύνης, τὸ ἀρετῆς ἁπάσης. Ἂν μέντοι τι καὶ τῆς λεγομένης ἀγρίας Μούσης ἐδώδιμον μὲν οὐ φέρῃ καρπὸν, δύνηται δὲ ἐδωδίμου φραγμὸς εἶναι καὶ φυλακτήριον· καὶ τοῦτο ταμιεύσομαι, οὐ δι' ἑαυτὸ, ἀλλ' ὅτι ὑπηρετεῖν ἀναγκαίῳ καὶ χρησίμῳ σφόδρα πέφυκε.

§ 5. Διὰ τοῦτο ὁ πάνσοφος Μωϋσῆς τῷ μὲν δικαίῳ τὴν τῆς ψυχῆς γεωργικὴν ὡς ἐναρμόνιον καὶ ἐπιβάλλουσαν τέχνην ἀνατίθησι λέγων, "Ἤρξατο Νῶε ἄνθρωπος εἶναι γεωργός·" τῷ δὲ ἀδίκῳ τὴν ἄνευ ἐπιστήμης φέρουσαν ἄχθη βαρύτατα γῆς ἐργασίαν. "Κάϊν γὰρ," φησὶν, "ἦν ἐργαζόμενος τὴν γῆν*)," καὶ μικρὸν ὕστερον, ἡνίκα τὸ ἐπὶ τῇ ἀδελφοκτονίᾳ ἄγος ἐργασάμενος καταφωρᾶται, λέγεται, "Ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς, ἣ ἔχανε τὸ στόμα αὐτῆς δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἐκ τῆς χειρός σου, ἢ ἐργᾷ τὴν γῆν, καὶ οὐ προσθήσει τὴν ἰσχὺν αὐτῆς δοῦναί σοι." Πῶς οὖν ἄν τις περιφανέστερον ἐπιδεῖξαι δύναιτο, ὅτι γῆς ἐργάτην, ἀλλ' οὐ γεωργὸν ὁ νομοθέτης νομίζει τὸν φαῦλον, ἢ τὸν τρόπον τοῦτον; Οὐ μὴν ὑποληπτέον ἢ περὶ ἀνθρώπου χερσὶν ἢ ποσὶ καὶ τῇ ἄλλῃ δυνάμει ἐνεργεῖν τοῦ σώματος ἱκανοῦ, ἢ περὶ τῆς ὀρεινῆς καὶ πεδιάδος εἶναι τὸν

---

*) Gen. 4, 11 sq.

λόγον, ἀλλὰ περὶ τῶν καθ' ἕκαστον ἡμῶν δυνάμεων. Τὴν γὰρ τοῦ φαύλου ψυχὴν περὶ οὐδὲν ἄλλο πραγματεύεσθαι συμβέβηκεν, ἢ τὸ γήϊνον σῶμα, καὶ τὰς τοῦ σώματος ἁπάσας ἡδονάς. Ὁ γοῦν πολὺς ὅμιλος ἀνθρώπων τὰ γῆς ἐπιὼν κλίματα καὶ ἄχρι τῶν περάτων φθάνων αὐτῆς, καὶ τὰ πελάγη περαιούμενος, καὶ τὰ ἐν μυχοῖς θαλάττης ἀναζητῶν, καὶ μηδὲν μέρος ἐῶν τοῦ παντὸς ἀδιερεύνητον, ἀεὶ καὶ πανταχοῦ πορίζει ταῦτα, δι' ὧν ἡδονὴν συναυξήσει. Καθάπερ γὰρ οἱ ἁλιευόμενοι δίκτυα καθιᾶσιν ἔστιν ὅτε μήκιστα, πολλὴν ἐν κύκλῳ περιβαλλόμενοι θάλατταν, ἵν' ὡς πλείστους ἐντὸς ληφθέντας ἀρκύων,
οἷα τειχήρεις γεγονότας, ἰχθῦς συλλάβωσι· τὸν αὐ- 191
τὸν τρόπον ἡ πλείστη μοῖρα ἀνθρώπων οὐκ ἐπὶ μέ- P.
804 ρος θαλάττης μόνον, ἀλλ' ἐφ' ἅπασαν τὴν ὕδατος
M. καὶ γῆς καὶ ἀέρος φύσιν, τὰ πάναγρα, ὥς οἱ ποιηταί πού φασι, λίνα τείνασα, πάντα πανταχόθεν δι' ἡδονῆς ἀπόλαυσίν τε καὶ χρῆσιν ἀγκιστρεύεται. Καὶ γὰρ γῆν μεταλλεύουσι, καὶ τὰ πελάγη διαβαίνουσι, καὶ τὰ ἄλλα πάντα ὅσα εἰρήνης καὶ πολέμου ἔργα δρῶσιν, ὕλας ἀφθόνους, ὡς βασιλίδι, ἡδονῇ πορίζοντες, οἱ γεωργίας μὲν ἀμύητοι ψυχικῆς, ἣ σπείρουσα καὶ φυτεύουσα τὰς ἀρετὰς, καρπὸν δρέπεται τὸν εὐδαίμονα βίον ἀπ' αὐτῶν. Ἐργαζόμενοι δὲ καὶ μεθοδεύοντες τὰ φίλα τῇ σαρκὶ, καὶ τὸν σύνθετον χοῦν, τὸν πεπλασμένον ἀνδριάντα, τὸν ψυχῆς ἔγγιστα οἶκον, ὃν ἀπὸ γενέσεως ἄχρι τελευτῆς, ἄχθος τοσοῦτον, οὐκ ἀποτίθεται νεκροφοροῦσα, μετὰ σπουδῆς τῆς πάσης οἰκειούμενοι.

§. 6. Ὡς μὲν οὖν γεωργίας ἐργασία γῆς, καὶ γεωργοῦ γῆς ἐργάτης διαφέρουσιν, εἴρηται. Σκεπτέον δὲ μὴ καὶ ἄλλαι τινὲς εἰσὶν ἰδέαι συγγενεῖς τῶν εἰρημένων, διὰ τὴν ἐν τοῖς ὀνόμασι κοινωνίαν ἐπικρύπτουσαι τὰς ἐν τοῖς πράγμασι διαφοράς. Εἰσὶ δέ γε ἃς ἀναζητοῦντες εὕρομεν διτταὶ, περὶ ὧν τὰ προσήκοντα, ἐὰν οἷόν τε ᾖ, λέξομεν. Αὐτίκα τοίνυν ὡς

γεωργὸν καὶ γῆς ἐργάτην, δόξαντας ἀδιαφορεῖν ἀλλήλων, εὕρομεν ἐν τοῖς κατὰ διάνοιαν ἀλληγοροῦντες μακρῷ διεστηκότας, οὕτω ποιμένα καὶ κτηνοτρόφον. Μέμνηται γάρ ποτὲ μὲν κτηνοτροφίας, ποτὲ δ᾽ αὖ ποιμενικῆς ὁ νομοθέτης. Καὶ οἵ γε μὴ λίαν ἠκριβωμένοι, τάχα που τῆς αὐτῆς ἐπιτηδεύσεως συνωνυμούσας ὑπολήψονται προσρήσεις εἶναι. Εἰσὶ δέ γε πραγμάτων διαφερόντων ἐν ταῖς δι᾽ ὑπονοιῶν ἀποδόσεσι. Καὶ γὰρ εἰ τοῖς θρεμμάτων προεστηκόσιν ἀμφότερα ἐπιφημίζειν ἔθος κτηνοτρόφων καὶ ποιμένων ὀνόματα, ἀλλ᾽ οὔ γε τῷ τὴν ψυχῆς ἀγέλην ἐπιτετραμμένῳ λογισμῷ. Φαῦλος μὲν γὰρ ὢν ὁ ἀγελάρχης οὗτος καλεῖται κτηνοτρόφος, ἀγαθὸς δὲ καὶ σπουδαῖος ὀνομάζεται ποιμήν· ὃν δὲ τρόπον ἐπιδείξομεν αὐτίκα.

§. 7. Ἡ φύσις ἡμῶν ἑκάστῳ κτήνη συγγεγέννηκε, τῆς ψυχῆς ὥσπερ ἀπὸ μιᾶς ῥίζης ἔρνη διττὰ ἀναβλαστούσης, ὧν τὸ μὲν ἄτμητον ὅλον δι᾽ ὅλων ἐαθὲν ἐπεφημίσθη νοῦς, τὸ δ᾽ ἑξαχῇ σχισθὲν εἰς ἑπτὰ φύσεις, πέντε τῶν αἰσθήσεων καὶ δυοῖν ἄλλων ὀργάνων, φωνητηρίου τε καὶ γονίμου. Αὕτη δὲ πᾶσα ἡ πληθὺς ἄλογος οὖσα κτήνει ἀπεικάζεται, πλήθουσα δὲ νόμῳ φύσεως ἡγεμόνος ἐξ ἀνάγκης ἐπιδέεται. Ἐπειδὰν μὲν οὖν ἄπειρος ἀρχῆς ἅμα καὶ
805 πλούσιος ἐξαναστὰς ἄρχοντα ἑαυτὸν ἀποφήνῃ, μυ-
M. ρίων αἴτιος κακῶν γίνεται τοῖς θρέμμασιν. Αὐτὸς
μὲν γὰρ ἄφθονα παρέχει τὰ ἐπιτήδεια. Τὰ δὲ 192
ἀμέτρως ἐμφορούμενα ὑπὸ πλεοναζούσης τροφῆς P.
ἐξυβρίζει· κόρου γὰρ ὕβρις ἔγγονον γνήσιον. Ἐξυβρίζοντα μέντοι σκιρτᾷ καὶ ἀφηνιάζει, καὶ κατὰ μέρος σκιδνάμενα διαλύει τὸ τῆς ἀγέλης συντεταγμένον στῖφος. Ὁ δὲ τέως ἡγεμὼν καταλειφθεὶς ὑπὸ τῶν ἀρχομένων ἰδιώτης ἀνεφάνη, καὶ ἐπιτρέχει μὲν σπουδάζων, εἴ τι δύναιτο συλλαβεῖν ἐξ ὑπαρχῆς καὶ ὑπαγαγέσθαι· ὅταν δὲ ἀδυνατῇ, στένει καὶ κλαίει, τὴν ἰδίαν κακίζων εὐχέρειαν, καὶ ἑαυτὸν τῶν συμβε-

βηκότων αἰτιώμενος. Τοῦτον δὴ τὸν τρόπον καὶ τὰ τῶν αἰσθήσεων θρέμματα, ἐπειδὰν ὁ νοῦς ὑπτίως καὶ ῥαθύμως ἔχῃ, τῆς τῶν αἰσθητῶν ἀπλήστως ἐμφορούμενα ἀφθονίας, ἀπαυχενίζει τε καὶ σκιρτᾷ καὶ πλημμελῶς ὅπη τύχῃ φέρεται· ὀφθαλμοὶ πρὸς πάντα ἀναπεπταμένοι τὰ ὁρατὰ, καὶ ἃ μὴ θέμις ὁρᾶν, ἐξοκέλλουσι· καὶ ἀκοαὶ πάσας φωνὰς παραδεχόμεναι, καὶ μηδέποτε πληρούμεναι, διψῶσαι δὲ ἀεὶ περιεργίας καὶ φιλοπραγμοσύνης, ἔστι δὲ ὅπου καὶ ἀνελευθέρου χλεύης, ἐκπεφοιτήκασιν.

§. 8. Ἐπεὶ πόθεν ἄλλοθεν τὰ πανταχοῦ τῆς οἰκουμένης θέατρα νομίζομεν ἀμυθήτων μυριάδων ἀνὰ πᾶσαν ἡμέραν πληροῦσθαι; Οἱ γὰρ ἀκουσμάτων καὶ θεαμάτων ἥττους, καὶ ὦτα καὶ ὀφθαλμοὺς χωρὶς ἡνίων ἐάσαντες φέρεσθαι, καὶ κιθαριστὰς καὶ κιθαρῳδοὺς καὶ πᾶσαν τὴν κεκλασμένην καὶ ἄνανδρον μουσικὴν περιέποντες· ἔτι δὲ ὀρχηστὰς καὶ τοὺς ἄλλους μίμους ἀποδεχόμενοι, ὅτι σχέσεις καὶ κινήσεις ἐκτεθηλυμένας ἴσχονται καὶ κινοῦνται, τὸν ἐπὶ σκηνῆς ἀεὶ πόλεμον συγκροτοῦσι, μήτε τῆς τῶν ἰδίων, μήτε τῆς τῶν κοινῶν ἐπανορθώσεως πεφροντικότες, ἀλλὰ τὸν ἑαυτῶν, οἱ δυςτυχεῖς, διά τε ὀφθαλμῶν καὶ ὤτων ἀνατρέποντες βίον. Ἄλλοι δὲ εἰσὶν οἱ τούτων ἀθλιώτεροι καὶ κακοδαιμονέστεροι, οἳ τὴν γεῦσιν ὥςπερ ἐκ δεσμῶν ἔλυσαν· ἡ δὲ πρὸς πᾶν σιτίον τε καὶ ποτὸν ἄφετος εὐθὺς ὁρμήσασα τὰ ἤδη εὐτρεπισθέντα ἐπιλέγεται, καὶ πεῖναν ἄλεκτον καὶ ἄπληστον ἴσχει τῶν ἀπόντων· ὡς καὶ ἂν αἱ τῆς γαστρὸς ἀποπληρωθῶσι δεξαμεναὶ, σπαργῶσαν ἔτι καὶ μαιμῶσαν τὴν ἀεὶ κενὴν ἐπιθυμίαν περιβλέπεσθαι καὶ περιφοιτᾶν, μήτι που παροραθὲν λείψανον ἄφετον, ἵνα καὶ τοῦτο παμφάγου πυρὸς δίκην ἐπιλιχνεύσηται. Γαστριμαργίᾳ τοίνυν ἡ ὀπαδὸς ἐκ φύσεως ἀκολουθεῖ συνουσίας ἡδονὴ, μανίαν ἔκτοπον καὶ οἶστρον ἀνεπίσχετον καὶ λύτταν ἀργαλεωτάτην ἐπιφέρουσα. Ὅταν γὰρ ὑπὸ ὀψοφαγίας καὶ ἀκράτου καὶ πολλῆς

306 μέθης ἄνθρωποι πιεσθῶσιν, οὐκέτι κρατεῖν ἑαυτῶν
M. δύνανται· πρὸς δὲ τὰς ἐρωτικὰς μίξεις ἐπειγόμενοι
κωμάζουσι καὶ θυραυλοῦσι, μέχρις ἂν τὸν πολὺν
τοῦ πάθους ἀποχετευσάμενοι βρασμὸν, ἠρεμῆσαι
δυνηθῶσιν. Οὗ χάριν καὶ ἡ φύσις ὡς ἔοικεν ὑπογά- 193
στρια τὰ συνουσίας ὄργανα ἐδημιούργησε, προλα- P.
βοῦσα ὅτι λιμῷ οὐ χαίρει, πλησμονῇ δὲ ἕπεται καὶ
πρὸς τὰς ἰδίας ἐνεργείας ὑπανίσταται.

§. 9. Τοὺς οὖν τοῖς θρέμμασι τούτοις ἐπιτρέποντας ἀθρόον ὧν ὀρέγονται πάντων ἐμφορεῖσθαι, κτηνοτρόφους λεκτέον· ποιμένας δ᾽ ἔμπαλιν, ὅσοι τά τε ἀναγκαῖα καὶ αὐτὰ μόνα τὰ ἐπιτήδεια παρέχουσι· περιτεμνόμενοι καὶ ἀποκόπτοντες τὴν περιττὴν καὶ ἀλυσιτελῆ πᾶσαν ἀφθονίαν, ἥπερ τῆς ἀπορίας καὶ ἐνδείας οὐχ ἥκιστα βλάπτει, πρόνοιάν τε πολλὴν ἔχουσι τοῦ μὴ ἐξ ἀμελείας καὶ ῥαθυμίας νοσῆσαι τὴν ἀγέλην, εὐχόμενοι μηδὲ τὰς ἔξωθεν εἰωθυίας κατασκήπτειν νόσους ἐπιγενέσθαι. Στοχάζονται δὲ οὐδὲν ἧττον καὶ τοῦ μὴ διασπασθεῖσαν αὐτὴν σποράδην διασκεδασθῆναι, φόβον ἐπανατεινόμενοι τὸν σωφρονιστὴν τῶν λόγῳ μηδέποτε πειθομένων, καὶ κολάσει χρώμενοι συνεχεῖ, μετρίᾳ μὲν κατὰ τῶν ἰάσιμα νεωτεριζόντων, ἀφορήτῳ δὲ κατὰ τῶν ἀνίατα. Τὸ γὰρ εἶναι δοκοῦν ἀπευκτὸν, μέγιστον ἀγαθὸν ἀφραίνουσιν ἡ κόλασις, ὥςπερ τοῖς τὰ σώματα κάμνουσιν αἱ ἰατρικαὶ ὗλαι.

§. 10. Ταῦτα τὰ ἐπιτηδεύματα ποιμένων ἐστὶν, οἳ τῶν σὺν ἡδονῇ βλαβερῶν τὰ μετὰ ἀηδείας ποιοῦσιν ὠφέλιμα. Οὕτω γοῦν σεμνὸν καὶ λυσιτελὲς νενόμισται τὸ ποιμαίνειν, ὥςτε τὸ μὲν ποιητικὸν γένος τοὺς βασιλέας ποιμένας λαῶν εἴωθε καλεῖν, ὁ δὲ νομοθέτης τοὺς σοφοὺς, οἳ μόνοι πρὸς ἀλήθειαν βασιλεῖς εἰσιν. Ἄρχοντας γὰρ αὐτοὺς ὡς ἂν ποίμνης εἰςάγει τῶν ἀνθρώπων ἁπάντων ἀλόγου φορᾶς. Διὰ τοῦτο καὶ τῷ τελειωθέντι ἐξ ἀσκήσεως Ἰακὼβ, τὴν ποιμενικὴν ἐπιστήμην περιῆψε, "ποιμαίνει γὰρ οὗτος

τὰ πρόβατα Λάβαν *)," τῆς τοῦ ἄφρονος ψυχῆς,
τῆς τὰ αἰσθητὰ μόνα καὶ φαινόμενα νομιζούσης
ἀγαθὰ, χρώμασι καὶ σκιαῖς ἠπατημένης καὶ δεδου-
λωμένης· λευκασμὸς γὰρ ἑρμηνεύεται Λάβαν. Καὶ
Μωϋσεῖ τῷ πανσόφῳ τὴν αὐτὴν τέχνην μεταδί-
δωσι **)· καὶ γὰρ οὗτος ποιμὴν ἀποδείκνυται δια-
νοίας, τῦφον πρὸ ἀληθείας ἀσπαζομένης, καὶ πρὸ τοῦ εἶ-
307 ναι τὸ δοκεῖν ἀποδεχομένης. Περισσὸς γὰρ ὁ Ἰοθὸρ
M. ἑρμηνεύεται· περιττὸν δὲ καὶ ἐπεισηγμένον ἁπλανεῖ
βίῳ πρὸς ἀπάτην τῦφος, ᾧ καὶ τὰ κατὰ πόλεις
ἕτερα παρ᾽ ἑτέροις, οὐ τὰ δυνατὰ δίκαια παρὰ πᾶ-
σιν ἔθος εἰσηγεῖσθαι, τὰ κοινὰ τῆς φύσεως καὶ ἀκί-
νητα νόμιμα οὐδ᾽ ὄναρ ἰδόντι. Λέγεται γὰρ ὅτι
"Μωϋσῆς ἦν ποιμαίνων τὰ πρόβατα Ἰοθὸρ τοῦ ἱε-
ρέως Μαδιὰμ ***)." Ὁ δ᾽ αὐτὸς οὗτος εὔχεται,
μὴ ἀνεπιτρόπευτον τὴν ποίμνην, τὸν ὄχλον καλῶν
ἅπαντα τῆς ψυχῆς, ἀφεθῆναι, τυχεῖν δὲ ἀγαθοῦ
ποιμένος, ἐξάγοντος μὲν ἀπὸ τῶν ἀφροσύνης καὶ 194
ἀδικίας καὶ πάσης κακίας δικτύων· εἰσάγοντος δὲ εἰς P.
τὰ παιδείας καὶ τῆς ἄλλης ἀρετῆς δόγματα. "Ἐπι-
σκεψάσθω γὰρ," φησὶ, "κύριος ὁ θεὸς τῶν πνευ-
μάτων καὶ πάσης σαρκὸς ἄνθρωπον ἐπὶ τῆς συνα-
γωγῆς ταύτης †)." Εἶτα ὀλίγα προσειπὼν ἐπιφέρει,
"Καὶ οὐκ ἔσται ἡ συναγωγὴ κυρίου ὡσεὶ πρόβατα,
οἷς οὐκ ἔστι ποιμήν."

§. 11. Ἀλλ᾽ οὐκ ἄξιον εὔχεσθαι μὴ χωρὶς ἐπι-
στάτου καὶ ἡγεμόνος ἐαθῆναι τὸ συγγενὲς καὶ εὐφυὲς
ἡμῶν ἑκάστῳ ποίμνιον, ὡς μὴ τῆς φαυλοτάτης τῶν
κακοπολιτειῶν ὀχλοκρατίας, ἣ παράκομμα τῆς ἀρί-
στης δημοκρατίας ἐστὶν, ἀναπλησθέντες, θορύβοις
καὶ ταραχαῖς καὶ ἐμφυλίοις στάσεσιν ἀεὶ χρώμενοι
διατελῶμεν; Οὐ μὴν ἀναρχία μόνον ὀχλοκρατίαν
τίκτουσα δεινὸν, ἀλλὰ καὶ ἡ παρανόμου καὶ βιαίου

---

*) Gen. 30, 36. **) Exod. 3, 1. ***) Ibid. †) Num.
27, 16 sq.

τινὸς ἐφ' ἡγεμονίαν ἐπανάστασις. Τύραννος γὰρ ἐκ φύσεως ἐχθρὸς πόλεων μὲν ἄνθρωπος, σώματος δὲ καὶ ψυχῆς καὶ τῶν καθ' ἑκάτερον πραγμάτων, τὴν ἀκρόπολιν ἐπιτετειχικὼς ἑκάστῳ, ὁ θηριωδέστατος νοῦς. Ἀλυσιτελεῖς δὲ οὐχ αὗται μόνον δεσποτεῖαι, ἀλλὰ καὶ ἑτέρων αἱ τῶν λίαν ἐπιεικῶν ἀρχαί τε καὶ προστασίαι· χρηστότης γὰρ πρᾶγμα εὐκαταφρόνητον, καὶ ἑκατέροις ἄρχουσί τε καὶ ὑπηκόοις βλαβερόν· τοῖς μὲν ἐκ τῆς τῶν ὑποτεταγμένων εἰς αὐτοὺς ὀλιγωρίας, μηδὲν μήτε ἴδιον μήτε κοινὸν ἐπανορθώσασθαι δυναμένοις, ἔστι δὲ ὅτε καὶ τὰς ἡγεμονίας ἀναγκαζομένοις ἀποτίθεσθαι· τοῖς δὲ ἐκ συνεχοῦς τῆς πρὸς τοὺς ἄρχοντας ὀλιγωρίας, πειθοῦς ἠμεληκόσι, καταδεὲς ἐπὶ μεγάλου κακοῦ κτήσει περιποιησαμένοις αὐθάδειαν. Τούτους μὲν θρεμμάτων, ἐκείνους δὲ κτηνοτρόφων οὐδὲν νομιστέον διαφέρειν. Οἱ μὲν γὰρ τρυφᾶν ἐν ἀφθόνοις ὕλαις ἀναπείθουσιν, οἱ δὲ τὸν κόρον ἀδυνατοῦντες φέρειν, ἐξυβρίζουσι. Χρὴ δὲ ὥςπερ αἰπόλον ἢ βουκόλον ἢ ποιμένα, ἢ κοινῶς
308 νομέα, τὸν ἡμέτερον ἄρχειν νοῦν, τὸ συμφέρον
M. πρὸ τοῦ ἡδέος ἑαυτῷ τε καὶ τοῖς θρέμμασιν αἱρούμενον.

§. 12. Ἡ δὲ τοῦ θεοῦ ἐπίσκεψις πρῶτον καὶ σχεδὸν μόνον αἴτιον τοῦ τὰ μέρη τῆς ψυχῆς μὴ ἀνεπιτρόπευτα ἀφεθῆναι, τυχεῖν δὲ ἀνυπαιτίου καὶ πάντα ἀγαθοῦ ποιμένος· οὗ κατασταθέντος, ἀμήχανον τὴν σύνοδον τῆς διανοίας γενέσθαι σποράδα. Ὑπὸ γὰρ μίαν καὶ τὴν αὐτὴν σύνταξιν ἐξ ἀνάγκης φανεῖται, πρὸς τὴν ἑνὸς ἐπιστασίαν ἀφορῶσα, ἐπεὶ τό γε πολλαῖς ὑπακούειν ἀρχαῖς ἀναγκάζεσθαι βαρύτατον ἄχθος. Οὕτω μέντοι τὸ ποιμαίνειν ἐστὶν ἀγαθὸν, ὥςτε οὐ βασιλεῦσι μόνον καὶ σοφοῖς ἀνδράσι, καὶ ψυχαῖς τέλεια κεκαθαρμέναις, ἀλλὰ καὶ θεῷ τῷ πανηγεμόνι δικαίως ἀνατίθεται. Τούτου 195
δὲ ἐγγυητὴς οὐχ ὁ τυχὼν ἀλλὰ προφήτης ἐστὶν, P.
ᾧ καλὸν πιστεύειν, ὁ τὰς ὑμνῳδίας ἀναγράψας.

τικωτάτοις εἴωθε χρῆσθαι. Πολλαχοῦ μὲν οὖν τῆς
νομοθεσίας τὴν ὑπόσχεσιν ἐπαληθεύουσαν εὑρήσο-
μεν, οὐχ ἥκιστα δὲ καὶ ἐν τῷ προτεθέντι κεφαλαίῳ,
καθ' ὃ γεωργὸς ὁ δίκαιος Νῶε εἰςάγεται. Τίνι γὰρ
τῶν προχειροτέρων οὐκ ἂν δόξαι τὰ αὐτὰ εἶναι γεωρ-
γία τε καὶ γῆς ἐργασία; Καί τοι πρὸς ἀλήθειαν οὐ
μόνον οὐκ ὄντα τὰ αὐτὰ, ἀλλὰ καὶ λίαν ἀπηρτη- 188
μένα, ὡς ἀντιστατεῖν καὶ διαμάχεσθαι. Δύναται P.
μὲν γάρ τις καὶ ἄνευ ἐπιστήμης περὶ τὴν γῆς ἐπι-
μέλειαν πονεῖσθαι, γεωργὸς δὲ τὸ μὴ ἰδιώτης ἀλλ'
ἔμπειρος εἶναι καὶ τῷ ὀνόματι πεπίστωται, ὅπερ ἐκ
τῆς γεωργικῆς τέχνης, ἧς φερώνυμός ἐστιν, εὕρηται.
Πρὸς δὲ τοῦτο καὶ ἐκεῖνο λογιστέον, ὅτι ὁ μὲν
301 γῆς ἐργάτης πρὸς ἓν τέλος, τὸν μισθὸν ἀφορῶν —
M. ἔμμισθος γὰρ ὡς ἐπίπαν οὗτος — οὐδεμίαν ἔχει φρον-
τίδα τοῦ καλῶς ἐργάσασθαι. Ὁ μέντοι γεωργὸς
πολλὰ ἂν ἐθελήσαι καὶ τῶν ἰδίων εἰςφέρειν, καὶ
προςαναλίσκειν οἴκοθέν τι περὶ τοῦ καὶ τὸ χωρίον
ὀνῆσαι, καὶ πρὸς μηδενὸς τῶν εἰδότων μεμφθῆναι.
Βούλεται γὰρ οὐχ ἑτέρωθέν ποθεν, ἀλλ' ἐκ τῶν
γεωργηθέντων εὐτοκίᾳ χρωμένων ἀνὰ πᾶν ἔτος τοὺς
καρποὺς ἀναλαμβάνειν. Οὗτος τὰ μὲν ἄγρια τῶν
δένδρων ἡμεροῦν, τὰ δὲ ἥμερα ἐπιμελείαις συναύ-
ξειν, τὰ δὲ ὑπὸ πλεοναζούσης τροφῆς κεχυμένα το-
μαῖς στέλλειν, τὰ δὲ ἐσταλμένα καὶ πεπιλημένα ἐπι-
φύσεων ἐκτάσεσι μηκύνειν· καὶ ὅσα μὲν εὐγενῆ πο-
λυκληματοῦντα, κατὰ γῆς τείνειν ἐν οὐ πάνυ τάφροις
βαθείαις, ὅσα δὲ μὴ εὔκαρπα, ἑτέρων εἰς τὸν πρὸς
ταῖς ῥίζαις κορμὸν ἐνθέσει καὶ συμφυεστάτῃ ἑνώσει
βελτιοῦν ἐθελήσει. Καὶ γὰρ ἐπ' ἀνθρώπων τυγχά-
νει ταὐτὸν, ὡς τοὺς θετοὺς παῖδας γένεσιν ἀλλοτρί-
ους, διὰ τὰς σφετέρας οἰκειουμένους ἀρετὰς, παγίως
ἐναρμόζεσθαι. Μυρία τοίνυν καὶ αὐτόπρεμνα ῥίζαις
αὐταῖς ἀνασπάσας κατέβαλε τὰ εἰς εὐκαρπίαν φύσει
ἐστειρωμένα, καὶ τοῖς φέρουσι μεγάλην ζημίαν ἐκ
τοῦ παραπεφυτεῦσθαι πλησίον ἐνεγκόντα. Τοιαύτη

μέν τίς ἐστιν ἡ περὶ τὰ βλαστάνοντα ἐκ γῆς φυτὰ
τέχνη· τὴν δὲ ψυχῆς γεωργικὴν ἐν μέρει πάλιν ἐπι-
σκεψώμεθα.

§. 2. Πρῶτον μὲν τοίνυν σπείρειν ἢ φυτεύειν
ἄγονον οὐδὲν ἐπιτηδεύει, πάντα δὲ ἥμερα καὶ καρ-
ποτόκα, φόρους ἐτησίους οἴσοντα τῷ ἡγεμόνι ἀν-
θρώπῳ. Τοῦτον γὰρ ἄρχοντα ἡ φύσις δένδρων τε
καὶ ζώων, καὶ τῶν ἄλλων ὅσα θνητὰ ἁπαξαπάντων
ἀνέδειξεν. Ἄνθρωπος δὲ ὁ ἐν ἑκάστῳ ἡμῶν τίς ἂν
εἴη πλὴν ὁ νοῦς, ὃν τὰς ἀπὸ τῶν σπαρέντων καὶ
φυτευθέντων ὠφελείας εἴωθε καρποῦσθαι; Ἐπεὶ δὲ
νηπίοις μέν ἐστι γάλα τροφὴ, τελείοις δὲ τὰ ἐκ πυ-
ρῶν πέμματα, καὶ ψυχῆς γαλακτώδεις μὲν ἂν εἶεν
τροφαὶ κατὰ τὴν παιδικὴν ἡλικίαν, τὰ τῆς ἐγκυκλίου
μουσικῆς προπαιδεύματα· τέλειαι δὲ καὶ ἀνδράσιν
εὐπρεπεῖς αἱ διὰ φρονήσεως καὶ σωφροσύνης καὶ
ἁπάσης ἀρετῆς ὑφηγήσεις. Ταῦτα γὰρ σπαρέντα καὶ
φυτευθέντα ἐν διανοίᾳ καρποὺς ὠφελιμωτάτους οἴ-
σει, καλὰς καὶ ἐπαινετὰς πράξεις. Διὰ ταύτης 189
τῆς γεωργικῆς, καὶ ὅσα παθῶν ἢ κακιῶν δένδρα P.
ἀναβλαστοῦντα εἰς ὕψος ἐξήρθη, φθοροποιοὺς φέ-
302 ροντα καρποὺς, ὑποτεμνόμενα καθαίρεται, ὡς μηδὲ
M. βραχύ τι λείψανον ἐαθῆναι, ἀφ' οὗ νέαι βλάσται
πάλιν ἁμαρτημάτων ἀναδραμοῦνται. Καὶ ἂν εἴ τινα
μέντοι δένδρα ᾖ, μήτ' ὠφελίμων μήτ' αὖ βλαβερῶν
καρπῶν οἰστικὰ, ταῦτα ἐκκόψει μὲν, οὐ μὴν ἐάσει γε
ἀφανισθῆναι, κατατάξει δὲ αὐτὰ εἰς ἐναρμόνιον χρῆ-
σιν, ἢ βαλλομένη χάρακας καὶ σταυροὺς ἐν κύκλῳ
στρατοπέδου, ἢ φραγμὸν πόλεως, ἵνα ἀντὶ τεί-
χους ᾖ.

§. 3. Λέγει γὰρ, „Πᾶν δ οὐ καρπόβρωτόν ἐστιν,
ἐκκόψεις, καὶ ποιήσεις χαράκωσιν ἐπὶ τὴν πόλιν, ἥ-
τις ποιήσει πρὸς σὲ τὸν πόλεμον *)." Ταῦτα δὲ εἰ-
κάζεται τὰ δένδρα ταῖς περὶ λόγους δυνάμεσι θεω-

---

*) Deut. 20,20.

ρίαν ψιλὴν ἐχούσαις. Ἐν αἷς θετέον ἰατρολογίαν ἀπεζευγμένην ἔργων, δι᾽ ὧν τοὺς κάμνοντας εἰκός ἐστι σώζεσθαι, καὶ ῥητορικῆς τὸ συνηγορικὸν καὶ ἔμμισθον εἶδος, οὐ περὶ τὴν εὕρεσιν τοῦ δικαίου πραγματευόμενον, ἀλλὰ περὶ τὴν δι᾽ ἀπάτης πειθὼ τῶν ἀκουόντων. Ἔτι μέντοι καὶ διαλεκτικῆς καὶ γεωμετρίας ὅσα εἰς μὲν ἐπανόρθωσιν ἤθους οὐδὲν συνεργεῖ, παραθήγει δὲ τὸν νοῦν, οὐκ ἐῶντα ἀμβλείᾳ χρῆσθαι τῇ πρὸς ἕκαστα τῶν ἀπορουμένων προσβολῇ, τομαῖς δὲ ἀεὶ καὶ διαστολαῖς χρῆσθαι, ὡς τὴν ἑκάστου πράγματος ἰδιότητα τῶν κοινῶν διαζευγνύναι ποιοτήτων. Τὸν γοῦν κατὰ φιλοσοφίαν λόγον τρίδυμον ὄντα τοὺς παλαιοὺς ἀγρῷ φασιν ἀπεικάσαι, τὸ μὲν φυσικὸν αὐτοῦ δένδροις καὶ φυτοῖς παραβαλόντας, τὸ δ᾽ ἠθικὸν καρποῖς, ὧν ἕνεκα καὶ τὰ φυτά, τὸ δ᾽ αὖ λογικὸν φραγμῷ καὶ περιβόλῳ. Καθάπερ γὰρ τὸ περικείμενον τεῖχος ὀπώρας καὶ φυτῶν τῶν κατὰ τὸν ἀγρόν ἐστι φυλακτήριον, τοὺς ἐπὶ τὸ σίνεσθαι παρεισφθείρεσθαι βουλομένους ἀνεῖργον· τὸν αὐτὸν τρόπον τὸ λογικὸν μέρος φιλοσοφίας φρουρά τίς ἐστιν ὀχυρωτάτη τῶν δυοῖν ἐκείνων ἠθικοῦ τε καὶ φυσικοῦ. Τὰς γὰρ διπλᾶς καὶ ἀμφιβόλους ὅταν ἐξαπλοῖ λέξεις, καὶ τὰς διὰ τῶν σοφισμάτων πιθανότητας ἐπιλύῃ, καὶ τὴν εὐπαράγωγον ἀπάτην, μέγιστον ψυχῆς δέλεαρ καὶ ἐπιζήμιον, ἀναιρῇ, διὰ λόγων ἐμφαντικωτάτων καὶ ἀποδείξεων ἀνενδοιάστων, ὥσπερ κηρὸν λελειασμένον τὸν νοῦν ἀπεργάζεται, ἕτοιμον δέχεσθαι τούς τε φυσιολογίας καὶ τοὺς ἠθοποιΐας ἀσινεῖς κάρτα καὶ πάνυ δοκίμους χαρακτῆρας.

§. 4. Ταῦτ᾽ οὖν ἡ ψυχῆς ἐπαγγελλομένη γεωργικὴ προκηρύττει· τὰ ἀφροσύνης δένδρα καὶ ἀκολασίας, ἀδικίας τε καὶ δειλίας, πάντ᾽ ἐκκόψω· ἐκτεμῶ
καὶ τα ἡδονῆς καὶ ἐπιθυμίας, ὀργῆς τε καὶ θυμοῦ, 191
καὶ τῶν παραπλησίων παθῶν, καὶ ἂν ἄχρις οὐρανοῦ P.
μηκύνῃ, τὰ φυτά· ἐπικαύσω καὶ τὰς ῥίζας αὐτῶν,

ἐφιεῖσα ἄχρι τῶν ὑστάτων τῆς γῆς φλογὸς ῥιπὴν,
303 ὡς μηδὲν μέρος, ἀλλὰ μηδ᾽ ἴχνος ἢ σκιὰν ὑπο-
M. λειφθῆναι τὸ παράπαν. Ἀνελῶ μὲν δὴ ταῦτα, φυτεύσω δὲ ταῖς μὲν ἐν ἡλικίᾳ παιδικῇ ψυχαῖς μοσχεύματα, ὧν ὁ καρπὸς αὐτὰς τιθηνήσεται. Ἔστι δὲ ταῦτα· ἡ τοῦ γράφειν καὶ ἀναγινώσκειν εὐτρόχως ἐπιτήδευσις· ἡ τῶν παρὰ σοφοῖς ποιηταῖς ἀκριβὴς ἔρευνα· γεωμετρία, καὶ ἡ περὶ τοὺς ῥητορικοὺς λόγους μελέτη, καὶ ἡ σύμπασα τῆς ἐγκυκλίου παιδείας μουσική. Ταῖς δὲ νεανιευομέναις καὶ ἀνδρουμέναις ἤδη τὰ ἀμείνω καὶ τελειώτερα, τὸ φρονήσεως φυτὸν, τὸ ἀνδρείας, τὸ σωφροσύνης, τὸ δικαιοσύνης, τὸ ἀρετῆς ἁπάσης. Ἂν μέντοι τι καὶ τῆς λεγομένης ἀγρίας Μούσης ἐδώδιμον μὲν οὐ φέρῃ καρπὸν, δύνηται δὲ ἐδωδίμου φραγμὸς εἶναι καὶ φυλακτήριον· καὶ τοῦτο ταμιεύσομαι, οὐ δι᾽ ἑαυτὸ, ἀλλ᾽ ὅτι ὑπηρετεῖν ἀναγκαίῳ καὶ χρησίμῳ σφόδρα πέφυκε.

§ 5. Διὰ τοῦτο ὁ πάνσοφος Μωϋσῆς τῷ μὲν δικαίῳ τὴν τῆς ψυχῆς γεωργικὴν ὡς ἐναρμόνιον καὶ ἐπιβάλλουσαν τέχνην ἀνατίθησι λέγων, "Ἤρξατο Νῶε ἄνθρωπος εἶναι γεωργός·" τῷ δὲ ἀδίκῳ τὴν ἄνευ ἐπιστήμης φέρουσαν ἄχθη βαρύτατα γῆς ἐργασίαν. "Κάϊν γὰρ," φησὶν, "ἦν ἐργαζόμενος τὴν γῆν*)," καὶ μικρὸν ὕστερον, ἡνίκα τὸ ἐπὶ τῇ ἀδελφοκτονίᾳ ἄγος ἐργασάμενος καταφωρᾶται, λέγεται, "Ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς, ἣ ἔχανε τὸ στόμα αὐτῆς δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἐκ τῆς χειρός σου, ἢ ἐργᾷ τὴν γῆν, καὶ οὐ προσθήσει τὴν ἰσχὺν αὐτῆς δοῦναί σοι." Πῶς οὖν ἄν τις περιφανέστερον ἐπιδεῖξαι δύναιτο, ὅτι γῆς ἐργάτην, ἀλλ᾽ οὐ γεωργὸν ὁ νομοθέτης νομίζει τὸν φαῦλον, ἢ τὸν τρόπον τοῦτον; Οὐ μὴν ὑποληπτέον ἢ περὶ ἀνθρώπου χερσὶν ἢ ποσὶ καὶ τῇ ἄλλῃ δυνάμει ἐνεργεῖν τοῦ σώματος ἱκανοῦ, ἢ περὶ τῆς ὀρεινῆς καὶ πεδιάδος εἶναι τὸν

*) Gen. 4, 11 sq.

λόγον, ἀλλὰ περὶ τῶν καθ' ἕκαστον ἡμῶν δυνάμεων. Τὴν γὰρ τοῦ φαύλου ψυχὴν περὶ οὐδὲν ἄλλο πραγματεύεσθαι συμβέβηκεν, ἢ τὸ γήϊνον σῶμα, καὶ τὰς τοῦ σώματος ἁπάσας ἡδονάς. Ὁ γοῦν πολὺς ὅμιλος ἀνθρώπων τὰ γῆς ἐπιὼν κλίματα καὶ ἄχρι τῶν περάτων φθάνων αὐτῆς, καὶ τὰ πελάγη περαιούμενος, καὶ τὰ ἐν μυχοῖς θαλάττης ἀναζητῶν, καὶ μηδὲν μέρος ἐῶν τοῦ παντὸς ἀδιερεύνητον, ἀεὶ καὶ πανταχοῦ πορίζει ταῦτα, δι' ὧν ἡδονὴν συναυξήσει. Καθάπερ γὰρ οἱ ἁλιευόμενοι δίκτυα καθιᾶσιν ἔστιν ὅτε μήκιστα, πολλὴν ἐν κύκλῳ περιβαλλόμενοι θάλατταν, ἵν' ὡς πλείστους ἐντὸς ληφθέντας ἀρκύων,
οἷα τειχήρεις γεγονότας, ἰχθῦς συλλάβωσι· τὸν αὐ- 191
τὸν τρόπον ἡ πλείστη μοῖρα ἀνθρώπων οὐκ ἐπὶ μέ- P.
304 ρος θαλάττης μόνον, ἀλλ' ἐφ' ἅπασαν τὴν ὕδατος
M. καὶ γῆς καὶ ἀέρος φύσιν, τὰ πάναγρα, ὥς οἱ ποιηταί πού φασι, λίνα τείνασα, πάντα πανταχόθεν δι' ἡδονῆς ἀπόλαυσίν τε καὶ χρῆσιν ἀγκιστρεύεται. Καὶ γὰρ γῆν μεταλλεύουσι, καὶ τὰ πελάγη διαβαίνουσι, καὶ τὰ ἄλλα πάντα ὅσα εἰρήνης καὶ πολέμου ἔργα δρῶσιν, ὕλας ἀφθόνους, ὡς βασιλίδι, ἡδονῇ πορίζοντες, οἱ γεωργίας μὲν ἀμύητοι ψυχικῆς, ἣ σπείρουσα καὶ φυτεύουσα τὰς ἀρετὰς, καρπὸν δρέπεται τὸν εὐδαίμονα βίον ἀπ' αὐτῶν. Ἐργαζόμενοι δὲ καὶ μεθοδεύοντες τὰ φίλα τῇ σαρκὶ, καὶ τὸν σύνθετον χοῦν, τὸν πεπλασμένον ἀνδριάντα, τὸν ψυχῆς ἔγγιστα οἶκον, ὃν ἀπὸ γενέσεως ἄχρι τελευτῆς, ἄχθος τοσοῦτον, οὐκ ἀποτίθεται νεκροφοροῦσα, μετὰ σπουδῆς τῆς πάσης οἰκειούμενοι.

§. 6. Ὡς μὲν οὖν γεωργίας ἐργασία γῆς, καὶ γεωργοῦ γῆς ἐργάτης διαφέρουσιν, εἴρηται. Σκεπτέον δὲ μὴ καὶ ἄλλαι τινὲς εἰσὶν ἰδέαι συγγενεῖς τῶν εἰρημένων, διὰ τὴν ἐν τοῖς ὀνόμασι κοινωνίαν ἐπικρύπτουσαι τὰς ἐν τοῖς πράγμασι διαφοράς. Εἰσὶ δέ γε ἃς ἀναζητοῦντες εὕρομεν διτταὶ, περὶ ὧν τὰ προσήκοντα, ἐὰν οἷόν τε ᾖ, λέξομεν. Αὐτίκα τοίνυν ὡς

γεωργὸν καὶ γῆς ἐργάτην, δόξαντας ἀδιαφορεῖν ἀλλή-
λων, εὕρομεν ἐν τοῖς κατὰ διάνοιαν ἀλληγοροῦντες
μακρῷ διεστηκότας, οὕτω ποιμένα καὶ κτηνοτρόφον.
Μέμνηται γάρ ποτὲ μὲν κτηνοτροφίας, ποτὲ δ᾽ αὖ
ποιμενικῆς ὁ νομοθέτης. Καὶ οἵ γε μὴ λίαν ἠκριβωμέ-
νοι, τάχα που τῆς αὐτῆς ἐπιτηδεύσεως συνωνυμούσας
ὑπολήψονται προςρήσεις εἶναι. Εἰσὶ δέ γε πραγμά-
των διαφερόντων ἐν ταῖς δι᾽ ὑπονοιῶν ἀποδόσεσι.
Καὶ γὰρ εἰ τοῖς θρεμμάτων προεστηκόσιν ἀμφότερα
ἐπιφημίζειν ἔθος κτηνοτρόφων καὶ ποιμένων ὀνόμα-
τα, ἀλλ᾽ οὔ γε τῷ τὴν ψυχῆς ἀγέλην ἐπιτετραμμένῳ
λογισμῷ. Φαῦλος μὲν γὰρ ὢν ὁ ἀγελάρχης οὗτος
καλεῖται κτηνοτρόφος, ἀγαθὸς δὲ καὶ σπουδαῖος
ὀνομάζεται ποιμήν· ὃν δὲ τρόπον ἐπιδείξομεν
αὐτίκα.

§. 7. Ἡ φύσις ἡμῶν ἑκάστῳ κτήνη συγγεγέν-
νηκε, τῆς ψυχῆς ὥσπερ ἀπὸ μιᾶς ῥίζης ἔρνη διττὰ
ἀναβλαστούσης, ὧν τὸ μὲν ἄτμητον ὅλον δι᾽ ὅλων
ἐαθὲν ἐπεφημίσθη νοῦς, τὸ δ᾽ ἐξαχῇ σχισθὲν εἰς
ἑπτὰ φύσεις, πέντε τῶν αἰσθήσεων καὶ δυοῖν ἄλλων
ὀργάνων, φωνητηρίου τε καὶ γονίμου. Αὕτη δὲ
πᾶσα ἡ πληθὺς ἄλογος οὖσα κτήνει ἀπεικάζεται,
πλήθουσα δὲ νόμῳ φύσεως ἡγεμόνος ἐξ ἀνάγκης
ἐπιδέεται. Ἐπειδὰν μὲν οὖν ἄπειρος ἀρχῆς ἅμα καὶ
305 πλούσιος ἐξαναστὰς ἄρχοντα ἑαυτὸν ἀποφήνῃ, μυ-
M. ρίων αἴτιος κακῶν γίνεται τοῖς θρέμμασιν. Αὐτὸς
μὲν γὰρ ἄφθονα παρέχει τὰ ἐπιτήδεια. Τὰ δὲ 192
ἀμέτρως ἐμφορούμενα ὑπὸ πλεοναζούσης τροφῆς P.
ἐξυβρίζει· κόρου γὰρ ὕβρις ἔγγονον γνήσιον. Ἐξυ-
βρίζοντα μέντοι σκιρτᾷ καὶ ἀφηνιάζει, καὶ κατὰ μέ-
ρος σκιδνάμενα διαλύει τὸ τῆς ἀγέλης συντεταγμένον
στῖφος. Ὁ δὲ τέως ἡγεμὼν καταλειφθεὶς ὑπὸ τῶν
ἀρχομένων ἰδιώτης ἀνεφάνη, καὶ ἐπιτρέχει μὲν σπου-
δάζων, εἴ τι δύναιτο συλλαβεῖν ἐξ ὑπαρχῆς καὶ
ὑπαγαγέσθαι· ὅταν δὲ ἀδυνατῇ, στένει καὶ κλαίει,
τὴν ἰδίαν κακίζων εὐχέρειαν, καὶ ἑαυτὸν τῶν συμβε-

βηκότων αἰτιώμενος. Τοῦτον δὴ τὸν τρόπον καὶ τὰ τῶν αἰσθήσεων θρέμματα, ἐπειδὰν ὁ νοῦς ὑπτίως καὶ ῥαθύμως ἔχῃ, τῆς τῶν αἰσθητῶν ἀπλήστως ἐμφορούμενα ἀφθονίας, ἀπαυχενίζει τε καὶ σκιρτᾷ καὶ πλημμελῶς ὅπῃ τύχῃ φέρεται· ὀφθαλμοὶ πρὸς πάντα ἀναπεπταμένοι τὰ ὁρατὰ, καὶ ἃ μὴ θέμις ὁρᾶν, ἐξοκέλλουσι· καὶ ἀκοαὶ πάσας φωνὰς παραδεχόμεναι, καὶ μηδέποτε πληρούμεναι, διψῶσαι δὲ ἀεὶ περιεργίας καὶ φιλοπραγμοσύνης, ἔστι δὲ ὅπου καὶ ἀνελευθέρου χλεύης, ἐκπεφοιτήκασιν.

§. 8. Ἐπεὶ πόθεν ἄλλοθεν τὰ πανταχοῦ τῆς οἰκουμένης θέατρα νομίζομεν ἀμυθήτων μυριάδων ἀνὰ πᾶσαν ἡμέραν πληροῦσθαι; Οἱ γὰρ ἀκουσμάτων καὶ θεαμάτων ἥττους, καὶ ὦτα καὶ ὀφθαλμοὺς χωρὶς ἡνίων ἐάσαντες φέρεσθαι, καὶ κιθαριστὰς καὶ κιθαρῳδοὺς καὶ πᾶσαν τὴν κεκλασμένην καὶ ἄνανδρον μουσικὴν περιέποντες· ἔτι δὲ ὀρχηστὰς καὶ τοὺς ἄλλους μίμους ἀποδεχόμενοι, ὅτι σχέσεις καὶ κινήσεις ἐκτεθηλυμένας ἴσχονται καὶ κινοῦνται, τὸν ἐπὶ σκηνῆς ἀεὶ πόλεμον συγκροτοῦσι, μήτε τῆς τῶν ἰδίων, μήτε τῆς τῶν κοινῶν ἐπανορθώσεως πεφροντικότες, ἀλλὰ τὸν ἑαυτῶν, οἱ δυςτυχεῖς, διά τε ὀφθαλμῶν καὶ ὤτων ἀνατρέποντες βίον. Ἄλλοι δὲ εἰσὶν οἱ τούτων ἀθλιώτεροι καὶ κακοδαιμονέστεροι, οἳ τὴν γεῦσιν ὥςπερ ἐκ δεσμῶν ἔλυσαν· ἡ δὲ πρὸς πᾶν σιτίον τε καὶ ποτὸν ἄφετος εὐθὺς ὁρμήσασα τὰ ἤδη εὐτρεπισθέντα ἐπιλέγεται, καὶ πεῖναν ἄλεκτον καὶ ἄπληστον ἴσχει τῶν ἀπόντων· ὡς καὶ ἂν αἱ τῆς γαστρὸς ἀποπληρωθῶσι δεξαμεναὶ, σπαργῶσαν ἔτι καὶ μαιμῶσαν τὴν ἀεὶ κενὴν ἐπιθυμίαν περιβλέπεσθαι καὶ περιφοιτᾶν, μήτι που παροραθὲν λείψανον ἄφετον, ἵνα καὶ τοῦτο παμφάγου πυρὸς δίκην ἐπιλιχνεύσηται. Γαστριμαργίᾳ τοίνυν ἡ ὀπαδὸς ἐκ φύσεως ἀκολουθεῖ συνουσίας ἡδονὴ, μανίαν ἔκτοπον καὶ οἶστρον ἀνεπίσχετον καὶ λύτταν ἀργαλεωτάτην ἐπιφέρουσα. Ὅταν γὰρ ὑπὸ ὀψοφαγίας καὶ ἀκράτου καὶ πολλῆς

306 μέθης ἄνθρωποι πιεσθῶσιν, οὐκέτι κρατεῖν ἑαυτῶν
M. δύνανται· πρὸς δὲ τὰς ἐρωτικὰς μίξεις ἐπειγόμενοι κωμάζουσι καὶ θυραυλοῦσι, μέχρις ἂν τὸν πολὺν τοῦ πάθους ἀποχετευσάμενοι βρασμὸν, ἠρεμῆσαι δυνηθῶσιν. Οὗ χάριν καὶ ἡ φύσις ὡς ἔοικεν ὑπογά- 193
στρια τὰ συνουσίας ὄργανα ἐδημιούργησε, προλα- P.
βοῦσα ὅτι λιμῷ οὐ χαίρει, πλησμονῇ δὲ ἕπεται καὶ πρὸς τὰς ἰδίας ἐνεργείας ὑπανίσταται.

§. 9. Τοὺς οὖν τοῖς θρέμμασι τούτοις ἐπιτρέποντας ἀθρόον ὧν ὀρέγονται πάντων ἐμφορεῖσθαι, κτηνοτρόφους λεκτέον· ποιμένας δ' ἔμπαλιν, ὅσοι τά τε ἀναγκαῖα καὶ αὐτὰ μόνα τὰ ἐπιτήδεια παρέχουσι· περιτεμνόμενοι καὶ ἀποκόπτοντες τὴν περιττὴν καὶ ἀλυσιτελῆ πᾶσαν ἀφθονίαν, ἥπερ τῆς ἀπορίας καὶ ἐνδείας οὐχ ἥκιστα βλάπτει, πρόνοιάν τε πολλὴν ἔχουσι τοῦ μὴ ἐξ ἀμελείας καὶ ῥαθυμίας νοσῆσαι τὴν ἀγέλην, εὐχόμενοι μηδὲ τὰς ἔξωθεν εἰωθυίας κατασκήπτειν νόσους ἐπιγενέσθαι. Στοχάζονται δὲ οὐδὲν ἧττον καὶ τοῦ μὴ διασπασθεῖσαν αὐτὴν σποράδην διασκεδασθῆναι, φόβον ἐπανατεινόμενοι τὸν σωφρονιστὴν τῶν λόγῳ μηδέποτε πειθομένων, καὶ κολάσει χρώμενοι συνεχεῖ, μετρίᾳ μὲν κατὰ τῶν ἰάσιμα νεωτεριζόντων, ἀφορήτῳ δὲ κατὰ τῶν ἀνίατα. Τὸ γὰρ εἶναι δοκοῦν ἀπευκτὸν, μέγιστον ἀγαθὸν ἀφραίνουσιν ἡ κόλασις, ὥςπερ τοῖς τὰ σώματα κάμνουσιν αἱ ἰατρικαὶ ὗλαι.

§. 10. Ταῦτα τὰ ἐπιτηδεύματα ποιμένων ἐστὶν, οἳ τῶν σὺν ἡδονῇ βλαβερῶν τὰ μετὰ ἀηδείας ποιοῦσιν ὠφέλιμα. Οὕτω γοῦν σεμνὸν καὶ λυσιτελὲς νενόμισται τὸ ποιμαίνειν, ὥςτε τὸ μὲν ποιητικὸν γένος τοὺς βασιλέας ποιμένας λαῶν εἴωθε καλεῖν, ὁ δὲ νομοθέτης τοὺς σοφοὺς, οἳ μόνοι πρὸς ἀλήθειαν βασιλεῖς εἰσιν. Ἄρχοντας γὰρ αὐτοὺς ὡς ἂν ποίμνης εἰςάγει τῶν ἀνθρώπων ἁπάντων ἀλόγου φορᾶς. Διὰ τοῦτο καὶ τῷ τελειωθέντι ἐξ ἀσκήσεως Ἰακὼβ, τὴν ποιμενικὴν ἐπιστήμην περιῆψε, "ποιμαίνει γὰρ οὗτος

τὰ πρόβατα Λάβαν *)," τῆς τοῦ ἄφρονος ψυχῆς, τῆς τὰ αἰσθητὰ μόνα καὶ φαινόμενα νομιζούσης ἀγαθὰ, χρώμασι καὶ σκιαῖς ἠπατημένης καὶ δεδουλωμένης· λευκασμὸς γὰρ ἑρμηνεύεται Λάβαν. Καὶ Μωϋσεῖ τῷ πανσόφῳ τὴν αὐτὴν τέχνην μεταδίδωσι **)· καὶ γὰρ οὗτος ποιμὴν ἀποδείκνυται διανοίας, τῦφον πρὸ ἀληθείας ἀσπαζομένης, καὶ πρὸ τοῦ εἶ-
307 ναι τὸ δοκεῖν ἀποδεχομένης. Περισσὸς γὰρ ὁ Ἰοθὸρ
M. ἑρμηνεύεται· περιττὸν δὲ καὶ ἐπεισηγμένον ἁπλανεῖ βίῳ πρὸς ἀπάτην τῦφος, ᾧ καὶ τὰ κατὰ πόλεις ἕτερα παρ' ἑτέροις, οὐ τὰ δυνατὰ δίκαια παρὰ πᾶσιν ἔθος εἰσηγεῖσθαι, τὰ κοινὰ τῆς φύσεως καὶ ἀκίνητα νόμιμα οὐδ' ὄναρ ἰδόντι. Λέγεται γὰρ ὅτι "Μωϋσῆς ἦν ποιμαίνων τὰ πρόβατα Ἰοθὸρ τοῦ ἱερέως Μαδιὰμ ***)." Ὁ δ' αὐτὸς οὗτος εὔχεται, μὴ ἀνεπιτρόπευτον τὴν ποίμνην, τὸν ὄχλον καλῶν ἅπαντα τῆς ψυχῆς, ἀφεθῆναι, τυχεῖν δὲ ἀγαθοῦ ποιμένος, ἐξάγοντος μὲν ἀπὸ τῶν ἀφροσύνης καὶ 194
ἀδικίας καὶ πάσης κακίας δικτύων· εἰσάγοντος δὲ εἰς P.
τὰ παιδείας καὶ τῆς ἄλλης ἀρετῆς δόγματα. "Ἐπισκεψάσθω γὰρ," φησὶ, "κύριος ὁ θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκὸς ἄνθρωπον ἐπὶ τῆς συναγωγῆς ταύτης †)." Εἶτα ὀλίγα προσειπὼν ἐπιφέρει, "Καὶ οὐκ ἔσται ἡ συναγωγὴ κυρίου ὡσεὶ πρόβατα, οἷς οὐκ ἔστι ποιμήν."

§. 11. Ἀλλ' οὐκ ἄξιον εὔχεσθαι μὴ χωρὶς ἐπιστάτου καὶ ἡγεμόνος ἐαθῆναι τὸ συγγενὲς καὶ εὐφυὲς ἡμῶν ἑκάστῳ ποίμνιον, ὡς μὴ τῆς φαυλοτάτης τῶν κακοπολιτειῶν ὀχλοκρατίας, ἣ παράκομμα τῆς ἀρίστης δημοκρατίας ἐστὶν, ἀναπλησθέντες, θορύβοις καὶ ταραχαῖς καὶ ἐμφυλίοις στάσεσιν ἀεὶ χρώμενοι διατελῶμεν; Οὐ μὴν ἀναρχία μόνον ὀχλοκρατίαν τίκτουσα δεινὸν, ἀλλὰ καὶ ἡ παρανόμου καὶ βιαίου

---

*) Gen. 30, 36. **) Exod. 3, 1. ***) Ibid. †) Num. 27, 16 sq.

τινὸς ἐφ' ἡγεμονίαν ἐπανάστασις. Τύραννος γὰρ ἐκ φύσεως ἐχθρὸς πόλεων μὲν ἄνθρωπος, σώματος δὲ καὶ ψυχῆς καὶ τῶν καθ' ἑκάτερον πραγμάτων, τὴν ἀκρόπολιν ἐπιτετειχικὼς ἑκάστῳ, ὁ θηριωδέστατος νοῦς. Ἀλυσιτελεῖς δὲ οὐχ αὗται μόνον δεσποτεῖαι, ἀλλὰ καὶ ἑτέρων αἱ τῶν λίαν ἐπιεικῶν ἀρχαί τε καὶ προστασίαι· χρηστότης γὰρ πρᾶγμα εὐκαταφρόνητον, καὶ ἑκατέροις ἄρχουσί τε καὶ ὑπηκόοις βλαβερόν· τοῖς μὲν ἐκ τῆς τῶν ὑποτεταγμένων εἰς αὐτοὺς ὀλιγωρίας, μηδὲν μήτε ἴδιον μήτε κοινὸν ἐπανορθώσασθαι δυναμένοις, ἔστι δὲ ὅτε καὶ τὰς ἡγεμονίας ἀναγκαζομένοις ἀποτίθεσθαι· τοῖς δὲ ἐκ συνεχοῦς τῆς πρὸς τοὺς ἄρχοντας ὀλιγωρίας, πειθοῦς ἠμεληκόσι, καταδεὲς ἐπὶ μεγάλου κακοῦ κτήσει περιποιησαμένοις αὐθάδειαν. Τούτους μὲν θρεμμάτων, ἐκείνους δὲ κτηνοτρόφων οὐδὲν νομιστέον διαφέρειν. Οἱ μὲν γὰρ τρυφᾶν ἐν ἀφθόνοις ὕλαις ἀναπείθουσιν, οἱ δὲ τὸν κόρον ἀδυνατοῦντες φέρειν, ἐξυβρίζουσι. Χρὴ δὲ ὥςπερ αἰπόλον ἢ βουκόλον ἢ ποιμένα, ἢ κοινῶς
308 νομέα, τὸν ἡμέτερον ἄρχειν νοῦν, τὸ συμφέρον
M. πρὸ τοῦ ἡδέος ἑαυτῷ τε καὶ τοῖς θρέμμασιν αἱρούμενον.

§. 12. Ἡ δὲ τοῦ θεοῦ ἐπίσκεψις πρῶτον καὶ σχεδὸν μόνον αἴτιον τοῦ τὰ μέρη τῆς ψυχῆς μὴ ἀνεπιτρόπευτα ἀφεθῆναι, τυχεῖν δὲ ἀνυπαιτίου καὶ πάντα ἀγαθοῦ ποιμένος· οὗ κατασταθέντος, ἀμήχανον τὴν σύνοδον τῆς διανοίας γενέσθαι σποράδα. Ὑπὸ γὰρ μίαν καὶ τὴν αὐτὴν σύνταξιν ἐξ ἀνάγκης φανεῖται, πρὸς τὴν ἑνὸς ἐπιστασίαν ἀφορῶσα, ἐπεὶ τό γε πολλαῖς ὑπακούειν ἀρχαῖς ἀναγκάζεσθαι βαρύτατον ἄχθος. Οὕτω μέντοι τὸ ποιμαίνειν ἐστὶν ἀγαθὸν, ὥςτε οὐ βασιλεῦσι μόνον καὶ σοφοῖς ἀνδράσι, καὶ ψυχαῖς τέλεια κεκαθαρμέναις, ἀλλὰ καὶ θεῷ τῷ πανηγεμόνι δικαίως ἀνατίθεται. Τούτου 195
δὲ ἐγγυητὴς οὐχ ὁ τυχὼν ἀλλὰ προφήτης ἐστὶν, P.
ᾧ καλὸν πιστεύειν, ὁ τὰς ὑμνῳδίας ἀναγράψας.

Λέγει γὰρ ὧδε, "Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει *)." Λεγέτω καὶ ἕκαστος ἐν μέρει τὸ αὐτὸ τοῦτο· τὸ γὰρ τοιοῦτον ᾆσμα παντὶ φιλοθέῳ μελετᾶν ἐμπρεπὲς, τῷ δὲ δὴ κόσμῳ διαφερόντως. Καθάπερ γάρ τινα ποίμνην γῆν καὶ ὕδωρ καὶ ἀέρα καὶ πῦρ καὶ ὅσα ἐν τούτοις φυτά τε αὖ καὶ ζῶα, τὰ μὲν θνητὰ τὰ δὲ θεῖα, ἔτι δὲ οὐρανοῦ φύσιν καὶ ἡλίου καὶ σελήνης περιόδους, καὶ τῶν ἄλλων ἀστέρων τροπάς τε αὖ καὶ χορείας ἐναρμονίους, ὡς ποιμὴν καὶ βασιλεὺς ὁ θεὸς ἄγει κατὰ δίκην καὶ νόμον, προστησάμενος τὸν ὀρθὸν αὐτοῦ λόγον, πρωτόγονον υἱὸν, ὃς τὴν ἐπιμέλειαν τῆς ἱερᾶς ταύτης ἀγέλης, οἷά τις μεγάλου βασιλέως ὕπαρχος διαδέξεται. [Καὶ γὰρ εἴρηταί που, "Ἰδοὺ ἐγώ εἰμι, ἀποστελῶ ἄγγελόν μου εἰς πρόςωπόν σου τοῦ φυλάξαι σε ἐν τῇ ὁδῷ **)."] Λεγέτω τοίνυν καὶ ὁ κόσμος ἅπας, ἡ μεγίστη καὶ τελεωτάτη τοῦ ὄντος θεοῦ ποίμνη, "Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει ***)." Λεγέτω καὶ ἕκαστος τῶν ἐν μέρει τὸ αὐτὸ τοῦτο· μὴ τῇ διὰ γλώττης καὶ στόματος ῥεούσῃ φωνῇ, πρὸς βραχεῖαν ἀέρος ἐξικνουμένῃ μοῖραν, ἀλλὰ τῇ τῆς διανοίας εὐρυνομένῃ, καὶ τῶν τοῦ παν-
309 τὸς ἁπτομένῃ περάτων. Ἀμήχανον γὰρ τῶν ἐπι-
M. βαλλόντων ἔνδειαν εἶναί τινος, ἐπιστατοῦντος θεοῦ, πλήρη καὶ τέλεια τὰ ἀγαθὰ τοῖς οὖσιν ἅπασιν εἰωθότος χαρίζεσθαι.

§. 13. Παγκάλη δὲ καὶ εἰς ἰσότητα παραίνεσις, ἡ διὰ τοῦ λεχθέντος ᾄσματος. Τῷ γὰρ ὄντι ὁ μὲν πάντα τὰ ἄλλα δοκῶν ἔχειν, τῇ δὲ ἑνὸς προστασίᾳ δυςχεραίνων, ἀτελὴς καὶ πένης· εἴ τις δὲ ὑπὸ θεοῦ ποιμαίνεται ψυχὴ, τὸ ἓν καὶ μόνον ἔχουσα, οὗ τὰ πάντα ἐκκρέμαται, ἀπροςδεής ἐστιν εἰκότως ἄλλων, οὐ τυφλὸν πλοῦτον βλέπουσα, τὰ δὲ καὶ σφόδρα

*) Psalm. 23 (22), 1. **) Exod. 23, 20. ***) Psalm. l. c.

ὀξυδερκοῦσα καὶ θαυμάζουσα. Τούτου πάντες οἱ μαθηταὶ εἰς σύντονον καὶ δυςαπάλλακτον ἔρωτα ἦλθον, διὰ κτηνοτροφίαν γελάσαντες ἐξεπόνησαν ποιμενικὴν ἐπιστήμην. Τεκμήριον δὲ ὁ τὴν περὶ σῶμα καὶ τὰς κενὰς δόξας ὑπόθεσιν ἀεὶ μελετῶν Ἰωσήφ, ἄρχειν μὲν καὶ ἐπιστατεῖν ἀλόγου φύσεως οὐκ ἐπιστάμενος, — πρεσβύτας γὰρ ἔθος ἐπὶ τὰς ἀνυπαιτίους ἀρχὰς καλεῖσθαι· νέος δέ ἐστιν οὗτος ἀεὶ, καὶ ἂν τὸ χρόνου μήκει γῆρας ἐπιγινόμενον ἐνέγκηται, — τρέφειν δὲ εἰωθὼς καὶ συναύξειν ὑπολαμβάνει καὶ τοὺς φιλαρέτους πεῖσαι δυνήσεσθαι μεταβάλλειν ὡς αὐτὸν, ἵνα τῶν ἀλόγων καὶ ἀψύχων περιεχόμενοι ἐνευκαιρεῖν μὴ δύνωνται ψυχῆς λογικῆς ἐπιτηδεύμασι. Φησὶ γὰρ, "Ἂν ὁ βασιλεὺς" — νοῦς, τῆς σωματικῆς χώρας — "πυνθάνηται, τί τὸ ἔργον ὑμῶν, ἀποκρίνεσθε, ἄνδρες κτηνοτρόφοι ἐσμέν *)." Τοῦτο 196 ἀκούσαντες κατὰ τὸ εἰκὸς δυςχεραίνουσιν, εἰ, ἡγε- P. μόνες ὄντες ὑπηκόων τάξιν ἔχειν ὁμολογήσουσιν. Οἱ μὲν γὰρ τροφὰς ταῖς αἰσθήσεσι διὰ τῆς τῶν αἰσθητῶν ἀφθονίας εὐτρεπιζόμενοι, δοῦλοι γίνονται τῶν τρεφομένων, καθάπερ δεσποίναις οἰκέται φόρον τελοῦντες καθ' ἑκάστην ἡμέραν ἀναγκαῖον· ἄρχοντες δὲ οἱ τούτων ἐπιστατοῦντες, καὶ τὰ περιττὰ τῆς εἰς ἀπληστίαν ὁρμῆς αὐτῶν ἐπιστομίζοντες. Τὸ μὲν οὖν πρῶτον, καί τοι τοῦ λεχθέντος οὐ καθ' ἡδονὴν ἀκούσαντες, ἐχεμυθήσουσι, περιττὸν ἡγούμενοι τὸ μὴ μαθησομένοις διαφορὰν κτηνοτροφίας καὶ ποιμενικῆς ὑφηγεῖσθαι· αὖθις δὲ ὅταν ὁ περὶ τούτων ἀγὼν ἐνστῇ, διαγωνιοῦνται πάσῃ δυνάμει, καὶ πρὶν ἀνὰ κράτος ἑλεῖν, οὐκ ἀνήσουσι, τὸ τῆς φύσεως ἐλεύθερόν τε καὶ εὐγενὲς καὶ ἡγεμονικὸν τῷ ὄντι ἐπιδειξάμενοι. Πυνθανομένου γοῦν τοῦ βασιλέως, "Τί τὸ ἔργον ὑμῶν;" ἀποκρινοῦνται, "Ποιμένες ἐσμὲν, καὶ οἱ πατέρες ἡμῶν **)."

*) Gen. 46, 33 sq. **) Ibid. 47, 3.

§. 14. Εἶτ' οὐκ ἂν δόξαιεν ἐπὶ ποιμενικῇ το-
σοῦτον αὐχεῖν, ὅσον οὐδὲ ἐπὶ τῷ τοσούτῳ κράτει
τῆς ἀρχῆς ὁ προσομιλῶν αὐτοῖς βασιλεύς; Οἵ γε
οὐχ αὐτοῖς μόνοις τὴν προαίρεσιν τοῦ βίου τούτου
μαρτυροῦσιν, ἀλλὰ καὶ τοῖς πατράσιν αὐτῶν, ὡς
310 σπουδῆς καὶ ἐπιμελείας ἁπάσης ἀξίου· καί τοί γε
M. εἰ μὲν ἦν περὶ αἰγῶν ἢ προβάτων ἐπιμελείας ὁ λό-
γος, καὶ ἂν ἴσως ᾐδέσθησαν ὁμολογεῖν, ἀτιμίαν φυ-
γόντες. Ἄδοξα γὰρ καὶ ταπεινὰ τὰ τοιαῦτα παρὰ
τοῖς ὄγκον μὲν εὐτυχίας τὸν ἄνευ φρονήσεως περι-
βεβλημένοις καὶ μάλιστα βασιλεῦσι νενόμισται. Τὸ
δὲ Αἰγυπτιακὸν ἐκ φύσεως καὶ διαφερόντως ἐστὶν
ὑπέραυχον, ὁπότε μικρά τις αὐτὸ μόνον καταπνεύ-
σειεν αὔρα εὐπραγίας, ὡς χλεύην καὶ πλατὺν γέλω-
τα ἡγεῖσθαι τὰς τῶν δημοτικωτέρων ἀνθρώπων περὶ
βίον σπουδάς τε καὶ φιλοτιμίας. Ἐπειδὴ δὲ περὶ
τῶν ἐν ψυχῇ δυνάμεων λογικῶν τε αὖ καὶ ἀλόγων
πρόκειται σκοπεῖν, εἰκότως αὐχήσουσιν οἱ πεπεισμέ-
νοι ὅτι δύνανται κρατεῖν τῶν ἀλόγων, συμμάχοις
χρώμενοι ταῖς λογικαῖς. Ἐὰν μέντοι τις βάσκανος
καὶ φιλεγκλήμων αἰτιώμενος φάσκῃ· πῶς οὖν ποι-
μενικὴν τέχνην διαπονοῦντες, καὶ τῆς συμφυοῦς
ποίμνης ἐπιμέλειαν ἔχειν καὶ προστασίαν ἐπαγγελό-
μενοι προσορμίσασθαι τῇ σώματος καὶ παθῶν χώρᾳ
διενοήθητε, Αἰγύπτῳ, ἀλλ' οὐχ ἑτέρωσε τὸν πλοῦν
ἐποιήσασθε; Μετὰ παῤῥησίας αὐτῷ λεκτέον, ὅτι
"Παροικεῖν, οὐ κατοικεῖν ἤλθομεν *)." Τῷ γὰρ
ὄντι πᾶσα μὲν ψυχὴ σοφοῦ πατρίδα μὲν οὐρανὸν,
ξένην δὲ γῆν ἔλαχε· καὶ νομίζει τὸν μὲν σοφίας οἶ-
κον ἴδιον, τὸν δὲ σώματος ὀθνεῖον, ᾧ καὶ παρεπι-
δημεῖν οἴεται. Οὐκοῦν ἐπειδὰν ὁ ἀγελάρχης νοῦς 197
παραλαβὼν τὴν ψυχῆς ἀγέλην, νόμῳ φύσεως διδα- P.
σκάλῳ χρώμενος, εὐτόνως ἀφηγῆται, δόκιμον αὐτὴν

*) Gen. 47, 4.

καὶ σφόδρα ἐπαινετὴν ἀπεργάζεται, ὅταν δὲ παρανομίᾳ ῥᾳθύμως καὶ ἀνειμένως προςφερόμενος, ψεκτήν. Εἰκότως τοίνυν ὁ μὲν βασιλέως ὄνομα ὑποδύσεται, ποιμὴν προςαγορευθεὶς, ὁ δὲ ὀψαρτυτοῦ τινος ἢ σιτοπόνου, κτηνοτρόφος ἐπιφημισθεὶς, εὐωχίαν καὶ θοίνην ἀδδηφαγεῖν θρέμμασιν εἰωθόσιν εὐτρεπιζόμενος.

§. 15. Ὃν οὖν δὴ τρόπον γεωργὸς μὲν ἐργάτου γῆς, ποιμὴν δὲ κτηνατρόφου διενήνοχεν, οὐκ ἀμελῶς ἐπιδέδειχα. Καὶ τρίτον δ' ἔστι συγγένειάν τινα ἔχον πρὸς τὰ λεχθέντα, περὶ οὗ νῦν ἐροῦμεν. Ἱππέα τε γὰρ καὶ ἀναβάτην, οὐ μόνον ἀνθρώπου ἐποχουμένου ἐποχούμενον χρεμετιστικῷ ζώῳ μακρῷ διαφέρειν ἡγεῖται, ἀλλὰ καὶ λογισμὸν λογισμοῦ. Ὁ μὲν τοίνυν ἄνευ τέχνης ἱππικῆς ἐπιβεβηκὼς λέγεται μὲν εἰκότως ἀναβάτης, ἐκδέδωκε δὲ ἑαυτὸν ἀλόγῳ καὶ σκιρτητι-
271 κῷ θρέμματι, ὥςθ' ὅπῃ ἂν ἐκεῖνο χωρῇ ἐκεῖσε πάν-
M. τως ἀναγκαῖον φέρεσθαι, καὶ μὴ προειδόμενον χάσμα γῆς, ἢ βαθύν τινα βόθρον, ὑπὸ τῆς ἐν τῷ δρόμῳ ῥύμης κατακρημνισθῆναι συνηνέχθη καὶ συγκαταποθῆναι τὸν φερόμενον. Ὁ δὲ ἱππεὺς πάλιν ὅταν ἀνέρχεσθαι μέλλῃ χαλινὸν ἐντίθησι, καὶ ἔπειτ' ἐφαλλόμενος τῆς περιαυχενίου χαίτης ἐνείληπται, καὶ φέρεσθαι δοκῶν αὐτὸς, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, ἄγει τὸ κομίζον τρόπον κυβερνήτου. Καὶ γὰρ ἐκεῖνος ἄγεσθαι δοκῶν ὑπὸ νεὼς τῆς κυβερνωμένης ἄγει πρὸς ἀλήθειαν αὐτὴν, καὶ ἐφ' οὓς ἐπείγεται παραπέμπει λιμένας. Ὅταν μὲν οὖν εὐηνίως προέρχηται, καταψήχει ὁ ἱππεὺς, ὡς ἂν ἐπαινῶν τὸν ἵππον· ὅταν δὲ σὺν πλείονι ὁρμῇ πέρα ἐκφέρηται τοῦ μετρίου, μετα βίας εὐτόνως ἀναχαιτίζει, ὡς ὑπανεῖναι τοῦ τάχους. Ἐὰν δὲ ἀπειθῶν ἐπιμένῃ, λαβὼν τοῦ χαλινοῦ ὅλον ἀντέσπασε καὶ ἀντιπεριήγαγεν αὐτοῦ τὸν αὐχένα, ὡς ἐξ ἀνάγκης στῆναι· καὶ πρὸς σκιρτήσεις μὲν καὶ τοὺς συνεχεῖς ἀφηνιασμοὺς εἰσὶ

μάστιγες καὶ μύωπες εὐτρεπεῖς, καὶ τὰ ἄλλα ὅσα πωλοδάμναις ἵππων κατεσκεύασται κολαστήρια. Καὶ θαυμαστὸν οὐδέν· ἀνιόντος γὰρ τοῦ ἱππέως, καὶ ἱππικὴ τέχνη συνέρχεται, ὥστε δύο ὄντες καὶ ἐποχούμενοι καὶ ἐπιστήμονες, εἰκότως ἑνὸς καὶ ὑποβεβλημένου καὶ ἀπαραδέκτου τέχνης ζώου περιέσονται.

§. 16. Μεταβὰς τοίνυν ἀπὸ τῶν χρεμετιζόντων καὶ τῶν ἐποχουμένων αὐτοῖς τὴν σαυτοῦ ψυχὴν εἰ θέλεις ἐρεύνησον· εὑρήσεις γὰρ ἐν τοῖς μέρεσιν αὐτῆς καὶ ἵππους καὶ ἡνιοχικὸν ἀναβάτην, ὅσαπερ καὶ ἐν τοῖς ἐκτός. Ἵπποι μὲν οὖν ἐπιθυμία καὶ θυμός 198
εἰσιν, ὁ μὲν ἄῤῥην, ἡ δὲ θήλεια. Διὰ τοῦθ᾽ ὁ μὲν P.
γαυριῶν ἄφετος εἶναι βούλεται καὶ ἐλεύθερος, καὶ ἔστιν ὑψαύχην ὡς ἂν ἄῤῥην· ἡ δ᾽ ἀνελεύθερος καὶ δουλοπρεπής, καὶ πανουργίᾳ χαίρουσα, οἰκόσιτος, οἰκοφθόρος· θήλεια γάρ. Ἀναβάτης δὲ καὶ ἡνίοχος εἷς ὁ νοῦς. Ἀλλ᾽ ἡνίκα μὲν μετὰ φρονήσεως ἄνεισιν, ἡνίοχος· ὁπότε δὲ μετ᾽ ἀφροσύνης, ἀναβάτης. Ἄφρων μὲν οὖν ὑπὸ ἀμαθίας κρατεῖν ἀδυνατεῖ τῶν ἡνιῶν· αἱ δὲ τῶν χειρῶν ἀποῤῥυεῖσαι, χαμαὶ πίπτουσι. Τὰ δὲ ζῶα εὐθὺς ἀφηνιάσαντα πλημμελῆ καὶ ἄτακτον ποιεῖται τὸν δρόμον. Ὁ δὲ ἐπιβεβηκὼς οὐδενὸς ἐνειλημμένος, ὑφ᾽ οὗ στηριχθήσεται, πίπτει. Περιδρυπτόμενος δὲ γόνυ καὶ χεῖρας καὶ πρόσωπα μεγάλα κλαίει τὴν ἰδίαν κακοπραγίαν ὁ δείλαιος. Πολλάκις δὲ καὶ τὰς βάσεις πρὸς τὸν δίφρον ἐξημμένος ἀνατραπεὶς ὕπτιος
312 ἐπὶ νῶτα ἀπῃώρηται, καὶ ἐν ἁρματροχιαῖς αὐταῖς
M. κεφαλήν τε καὶ αὐχένα καὶ ὤμους ἀμφοτέρους περιθραύεται κατασυρόμενος· εἶθ᾽ ὧδε καὶ ἐκεῖσε φορούμενος, καὶ πᾶσι τοῖς ἐν ποσὶ προσαραττόμενος, οἰκτρότατον ὑπομένει θάνατον. Τῷ μὲν δὴ τοιοῦτον ἀποβαίνει τὸ τέλος· τὸ δὲ ὄχημα ἀνακουφιζόμενον καὶ ἐξαλλόμενον μετὰ βίας, ὅταν ἐπὶ γῆν παλίσσυτον ἐνεχθῇ, ῥᾷστα κατάγνυται, ὡς μηκέτ᾽ αὖθις ἁρμοσθῆναι καὶ παγῆναι δύνασθαι. Τὰ δὲ ζῶα πάντων τῶν συνεχόντων ἀφειμένα παρακινεῖται

καὶ οἰστρᾷ, καὶ οὐ παύεται φερόμενα, πρὶν ὑποσκελισθέντα πεσεῖν, ἢ κατά τινος ἐνεχθέντα κρημνοῦ βαθέος παραπολέσθαι.

§. 17. Τοῦτον οὖν ἔοικε τὸν τρόπον αὐτοῖς ἐπιβάταις τὸ τῆς ψυχῆς ὄχημα σύμπαν διαφθείρεσθαι, πλημμελῆσαν τὴν ἡνιόχησιν. Τοὺς δὴ τοιούτους ἵππους καὶ τοὺς ἐποχουμένους ἄνευ τέχνης αὐτοῖς λυσιτελὲς καθαιρεῖσθαι, ἵνα τὰ ἀρετῆς ἐγείρηται· πιπτούσης γὰρ ἀφροσύνης ἀνάγκη φρόνησιν ὑπανίστασθαι. Διὰ τοῦτο ἐν προτρεπτικοῖς Μωϋσῆς φησιν, "Ἐὰν ἐξέλθῃς εἰς πόλεμον ἐπ' ἐχθροὺς σου, καὶ ἴδῃς ἵππον καὶ ἀναβάτην καὶ λαὸν πλείονα, οὐ φοβηθήσῃ, ὅτι κύριος ὁ θεὸς μετὰ σοῦ *)." Θυμοῦ γὰρ καὶ ἐπιθυμίας καὶ συνόλως ἁπάντων παθῶν, ἢ καὶ τῶν ὅλων ἐποχουμένων, ὥςπερ ἵπποις, ἑκάστοις λογισμῶν, καὶ ἂν ἀμάχῳ ῥώμῃ κεχρῆσθαι νομίζωσιν, ὀλιγωρητέον, τοὺς ἔχοντας τὴν τοῦ μεγάλου βασιλέως θεοῦ δύναμιν ὑπερασπίζουσαν καὶ προαγωνιζομένην αἰεὶ καὶ πανταχοῦ. Στρατὸς δὲ θεῖος αἱ ἀρεταὶ, φιλοθέων ὑπέρμαχοι ψυχῶν· αἷς, ἐπειδὰν ἴδωσι τὸν ἀντίπαλον ἡττημένον, ἁρμόττει πάγκαλον καὶ πρεπωδέστατον ὕμνον ᾄδειν τῷ νικηφόρῳ καὶ καλλινίκῳ θεῷ· δύο δὲ χοροὶ, ὁ μὲν τῆς ἀν- 199
δρωνίτιδος, ὁ δὲ τῆς γυναικωνίτιδος ἑστίας, στάν- P.
τες ἀντηχον καὶ ἀντίφωνον ἀναμέλψουσιν ἁρμονίαν. Χρήσεται δ' ὁ μὲν τῶν ἀνδρῶν χορὸς ἡγεμόνι Μωϋσεῖ, νῷ τελείῳ· ὁ δὲ τῶν γυναικῶν, Μαριὰμ, αἰσθήσει κεκαθαρμένῃ **). Δίκαιον γὰρ καὶ νοητῶς καὶ αἰσθητῶς τοὺς εἰς τὸ θεῖον ὕμνους καὶ εὐδαιμονισμοὺς ἀνυπερθέτως ποιεῖσθαι, καὶ τῶν ὀργάνων ἐμμελῶς κρούειν ἑκάτερον, τό τε νοῦ καὶ αἰσθήσεως, ἐπὶ τῇ τοῦ μόνου σωτῆρος εὐχαριστίᾳ καὶ τιμῇ. Τὴν γοῦν παράλιον ᾠδὴν ᾄδουσι μὲν πάντες ἄνδρες, οὐ μὴν τυφλῇ διανοίᾳ, ἀλλ' ὀξὺ καθορῶντες, Μωϋσέως

*) Deut. 20, 1. **) Exod. 15, 20.

ἐξάρχοντος· ᾄδουσι δὲ καὶ γυναῖκες πρὸς ἀλήθειαν ἄρισται, τῷ τῆς ἀρετῆς ἐγγεγραμμέναι πολιτεύματι, Μαριὰμ ἀφηγουμένης αὐταῖς.

§. 18. Ὕμνος δὲ ὁ αὐτὸς ἀμφοτέροις ᾄδεται τοῖς χοροῖς, ἐπῳδὸν ἔχων θαυμασιώτατον, ὃν ἐφυμνεῖσθαι καλόν. Ἔστι δὲ καὶ τοιόςδε, "Ἄισωμεν τῷ 313 M. κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔῤῥιψεν εἰς θάλασσαν *)." Ἀμείνονα γὰρ καὶ τελειοτέραν οὐκ ἄν τις εὕροι σκοπῶν νίκην, ἢ καθ' ἣν τὸ τετράπουν καὶ σκιρτητικὸν καὶ ὑπέραυχον ἥττηται παθῶν τε καὶ κακιῶν ἀλκιμώτατον στῖφος. Καὶ γὰρ κακίαι τῷ γένει τέτταρες, καὶ πάθη ταύταις ἰσάριθμα· πρὸς δὲ καὶ ὁ ἐπιβάτης αὐτῶν νοῦς, ὁ μισάρετος καὶ φιλοπαθὴς, καταπεσὼν οἴχεται, ὃς ἡδοναῖς καὶ ἐπιθυμίαις, ἀδικίαις τε καὶ πανουργίαις, ἔτι δὲ ἁρπαγαῖς καὶ πλεονεξίαις, καὶ τοῖς παραπλησίοις θρέμμασιν ἐγεγήθει. Παγκάλως οὖν ὁ νομοθέτης ἐν ταῖς παραινέσεσιν ἐκδιδάσκει, μηδ' ἄρχοντα χειροτονεῖν ἱπποτρόφον, ἀνεπιτήδειον οἰόμενος εἶναι πρὸς ἡγεμονίαν πάντα, ὃς ἂν περὶ ἡδονὰς καὶ ἐπιθυμίας καὶ ἔρωτας ἀκαθέκτους μεμηνὼς, οἷα ἀχαλίνωτος καὶ ἀφηνιαστὴς ἵππος, οἰστρᾷ. Λέγει γὰρ ὧδε, "Οὐ δυνήσῃ καταστῆσαι ἐφ' αὐτὸν ἄνθρωπον ἀλλότριον, ὅτι οὐκ ἀδελφός σού ἐστι· διότι οὐ πληθυνεῖ ἑαυτῷ ἵππον, οὐδ' οὐ μὴ ἀποστρέψει τὸν λαὸν εἰς Αἴγυπτον **). Οὐκοῦν τῶν ἱπποτρόφων πρὸς ἀρχὴν πέφυκεν οὐδεὶς κατὰ τὸν ἱερώτατον Μωϋσῆν· καί τοι φαίη τις ἂν ἴσως, ὅτι μεγάλη χείρ ἐστι βασιλέως ἱππικὴ δύναμις, οὔτε πεζῆς οὔτε ναυτικῆς ἀποδέουσα, πολλαχοῦ δὲ καὶ λυσιτελεστέρα, καὶ μάλιστα ἐν οἷς ἀνυπερθέτῳ καὶ συντόμῳ τάχει τῆς ἐπεξόδου δεῖ, τῶν καιρῶν μέλλειν οὐκ ἐπιτρεπόντων, ἀλλ' ἐπ' αὐτῆς ἱσταμένων ἀκμῆς, ὡς μὴ ἀναβάλλεσθαι τοὺς ὑστερηκότας μᾶλλον, ἢ ἀποτυχεῖν ἂν εἰκότως εἰςάπαν

*) Exod. 15, 1. **) Deut. 17, 15.

νομισθῆναι, φθάντων παρελθεῖν, ὥςπερ νέφους, ἐκείνων.

§. 19. Εἴποιμεν δ' ἂν αὐτοῖς· οὐδεμίαν, ὦ γενναῖοι, φρουρὰν ἄρχοντος ὁ νομοθέτης ὑποτέμνεται, οὐδὲ τὸ συλλεχθὲν αὐτῷ στράτευμα ἀκρωτη- 200
ριάζει τῆς δυνάμεως, τὸ ἀνυσιμώτερον, τὴν ἱππικὴν P.
δύναμιν ἀποκόπτων, ἀλλ' ὡς οἷόν τε πειρᾶται συναύξειν, ἵν' εἴς τε ἰσχὺν καὶ πλῆθος ἐπιδιδόντες οἱ σύμμαχοι, ῥᾷστα τοὺς ἐναντίους καθαιρῶσι. Τίνι γὰρ οὕτως λοχίσαι στρατεύματα καὶ τάξαι, καὶ κατὰ φάλαγγας διανεῖμαι, καὶ λοχαγοὺς καὶ ταξιάρχους καὶ τοὺς ἄλλους τῶν πλειόνων ἢ ἐλαττόνων ἡγεμόνας καταστῆσαι, ἢ ὅσα τακτικὰ καὶ στρατηγικὰ εὕρηται, καὶ τοῖς ὀρθῶς χρησομένοις ὑφηγήσασθαι, κατὰ πολλὴν τῆς ἐν τούτοις ἐπιστήμης περιουσίαν ἐξεγένετο; Ἀλλὰ γὰρ οὐκ ἔστι νῦν ὁ λόγος αὐτῷ περὶ δυνάμεως ἱππικῆς, ἣν συγκροτεῖσθαι πρὸς ἄρχοντας ἐπ' ἀναιρέσει δυςμενῶν, καὶ σωτηρίᾳ φίλων ἀναγκαῖον, ἀλλὰ περὶ τῆς κατὰ ψυχὴν ἀλόγου καὶ ἀμέτρου καὶ ἀπειθοῦς φορᾶς, ἣν ἐπιστομίζειν λυσιτελές· μήποτε τὸν λαὸν αὐτῆς ἅπαντα εἰς Αἴγυπτον, τὴν τοῦ σώματος χώραν, ἀποστρέψῃ, καὶ φιλήδονον καὶ φιλοπαθῆ μᾶλλον ἢ φιλάρετον καὶ φιλόθεον ἀνὰ
14 κράτος ἐργάσηται, ἐπειδὴ τὸν πλῆθος ἵππων παρ'
I. ἑαυτῷ κτώμενον ἀνάγκη τὴν εἰς Αἴγυπτον, ὡς αὐτὸς ἔφη, βαδίζειν ὁδόν. Ὅταν γὰρ καθ' ἑκάτερον τοῖχον τῆς ψυχῆς νεὼς τρόπον, τόν τε νοῦ καὶ αἰσθήσεως, ὑπὸ βιαστῶν καταπνεόντων εἰς αὐτὴν παθῶν τε καὶ ἀδικημάτων, ἀντιῤῥεπούσης καὶ κλινομένης ἐξαιρόμενον ἐπιβαίνῃ τὸ κῦμα, τόθ' ὡς εἰκὸς ὑπέραντλος ὁ νοῦς γενόμενος, καταποντοῦται. Βυθὸς δέ ἐστιν εἰς ὃν καταποντοῦται καὶ καταδύεται, σῶμα αὐτὸ ἀπεικασθὲν Αἰγύπτῳ.

§. 20. Μήποτ' οὖν περὶ τοῦτο σπουδάσῃς τῆς ἱπποτροφίας τὸ εἶδος. Οἱ μὲν γὰρ θάτερον μετιόντες ψεκτοὶ μὲν καὶ αὐτοί. Πῶς γὰρ οὔ; παρ'

οἷς ἄλογα ζῷα μᾶλλον τετίμηται, ὧν ἐκ τῆς οἰκίας ἵππων μὲν ἀγέλαι κατευωχημένων ἀεὶ προέρχονται, ἀνθρώπων δὲ ἑπομένων οὐδὲ εἷς ἔρανον εἰς ἐπανόρθωσιν ἐνδείας, οὐ δωρεὰν εἰς περιουσίαν εὑρισκόμενος. Ἀλλ' ὅμως κουφότερα ἀδικοῦσιν· ἀθλητὰς γὰρ ἵππους ἀνατρέφοντες, τούς τε ἱεροὺς ἀγῶνας καὶ τὰς πανταχῆ πανηγύρεις ἀγομένας φασὶ κοσμεῖν, καὶ οὐχ ἡδονῆς μόνον, ἀλλὰ καὶ τῆς περὶ τὴν θέαν τέρψεως αἴτιοι γίνεσθαι τοῖς ὁρῶσιν, ἀλλὰ καὶ τῆς τῶν κακῶν ἀσκήσεώς τε καὶ μελέτης. Οἱ γὰρ τὸν τοῦ νικηφορῆσαι πόθον ἐνδιδόντες θηρίοις, διὰ τιμῆς ἔρωτα καὶ ζῆλον ἀρετῆς ἀλέκτῳ τινὶ προτροπῇ καὶ προθυμίᾳ χρησάμενοι, πόνους ἡδεῖς ὑποστάντες, τῶν οἰκείων καὶ ἐπιβαλλόντων οὐκ ἀφέξονται, πρὶν ἢ ἐπὶ τέλος ἐλθεῖν αὐτῶν. Ἀλλ' οὗτοι μὲν εὑρεσιλογοῦσιν ἀδικοῦντες· οἱ δ' ἄνευ ἀπολογίας διαμαρτάνοντές εἰσιν, οἱ τὸν ἀναβάτην νοῦν ἔποχον 201
ἀποφαίνοντες ἄπειρον ἱππικῆς ἐπιστήμης, κακίᾳ καὶ P.
πάθει τετράποδι. Ἐὰν μέντοι τέχνην τὴν ἡνιοχικὴν ἀναδιδαχθεὶς ἐπιπλέον ἐνομιλήσῃς καὶ ἐνδιατρίψῃς αὐτῇ, καὶ ἤδη νομίσῃς ἱκανὸς εἶναι δύνασθαι κρατεῖν ἵππων, ἀναβὰς ἔχου τῶν ἡνιῶν. Οὕτω γὰρ οὔτε ἀνασκιρτώντων αὐτὸς ἀποπίπτων μετὰ τραυμάτων δυσιάτων γέλωτα παρὰ πᾶσι χαιρεκακοῦσιν ὀφλήσεις θεαταῖς, οὔτ' ἐξ ἐναντίας ἢ κατόπιν ἐπιτρεχόντων ἐχθρῶν ἁλώσῃ· τοὺς μὲν τάχει φθάνων τῷ προεκδραμεῖν διώκοντας, τῶν δὲ προσιόντων ἀλογῶν, διὰ τὴν τοῦ δύνασθαι ἐξαναχωρεῖν ἀσφαλῶς ἐπιστήμην.

§. 21. Οὐκ εἰκότως οὖν Μωϋσῆς ἐπὶ τῇ τῶν ἀναβατῶν ᾄδων ἀπωλείᾳ τοῖς ἱππεῦσιν εὔχεται σωτηρίαν παντελῆ; Δύνανται γὰρ οὗτοι χαλινὸν ταῖς ἀλόγοις δυνάμεσιν ἐμβαλόντες αὐτῶν ἐπιστομίζειν τῆς πλεοναζούσης τὴν φορὰν ὁρμῆς. Τίς οὖν ἡ εὐχὴ, λεκτέον. "Γενέσθω," φησὶ, "Δᾶν ὄφις ἐφ' ὁδοῦ ἐγκαθήμενος ἐπὶ τρίβου, δάκνων πτέρναν ἵππου, καὶ πεσεῖται ὁ ἱππεὺς εἰς τὰ ὀπίσω, τὴν σωτηρίαν

περιμένων κυρίου *).“ "Ο δ' αἰνίττεται διὰ τῆς
εὐχῆς μηνυτέον. Ἑρμηνεύεται Δὰν κρίσις· τὴν οὖν
315 ἐξετάζουσαν καὶ ἀκριβοῦσαν καὶ διακρίνουσαν καὶ
M. τρόπον τινὰ δικάζουσαν ἕκαστα τῆς ψυχῆς δύναμιν,
ὡμοίωσε δράκοντι — ζῷον δ' ἐστὶ τὴν κίνησιν
ποικίλον καὶ συνετὸν ἐν τοῖς μάλιστα, καὶ πρὸς ἀλ-
κὴν ἕτοιμον, καὶ τοὺς χειρῶν ἄρχοντας ἀδίκων ἀμύ-
νασθαι δυνατώτατον —, οὐ μὴν τῷ φίλῳ καὶ συμ-
βούλῳ ζωῆς, Εὔαν πατρίῳ γλώττῃ καλεῖν αὐτὴν
ἔθος, ἀλλὰ τῷ πρὸς Μωϋσέως ἐξ ὕλης χαλκοῦ δη-
μιουργηθέντι, ὃν οἱ δηχθέντες ὑπὸ τῶν ἰοβόλων
ὄφεων, καί τοι μέλλοντες τελευτήσειν, ὁπότε κατίδοιεν,
ἐπιβιοῦν καὶ μηδέποτε ἀποθνήσκειν λέγονται.

§. 22. Ταῦτα δὲ οὕτω μὲν λεγόμενα φάσμασιν
ἔοικε καὶ τέρασι, δράκων ἀνθρώπου προϊέμενος φω-
νὴν, καὶ ἐνσοφιστεύων ἀκακωτάτοις ἤθεσι, καὶ πι-
θανότησιν εὐπαραγώγοις γυναῖκα ἀπατῶν· καὶ ἕτερος
αἴτιος σωτηρίας γενόμενος παντελῶς τοῖς θεασαμέ-
νοις. Ἐν δὲ ταῖς δι' ὑπονοιῶν ἀποδόσεσι τὸ μὲν
μυθῶδες ἐκποδὼν οἴχεται, τὸ δ' ἀληθὲς ἀρίδηλον
εὑρίσκεται. Τὸν μὲν οὖν τῆς γυναικὸς ὄφιν, αἰ-
σθήσεως καὶ σαρκῶν ἐκκρεμαμένης ζωῆς, ἡδονὴν
εἶναί φαμεν, ἰλυσπωμένην καὶ πολυπλοκωτάτην, ἀνε-
γερθῆναι μὴ δυναμένην, ἀεὶ καταβεβλημένην, ἐπὶ
μόνα τὰ γῆς ἕρπουσαν ἀγαθὰ, καταδύσεις τὰς ἐν
τῷ σώματι ζητοῦσαν, ὥσπερ ὀρύγμασιν ἢ χάσμασιν
ἑκάστῃ τῶν αἰσθήσεων ἐμφωλεύουσαν, σύμβουλον 202
ἀνθρώπου, φονῶσαν κατὰ τοῦ κρείττονος, ἰοβόλοις P.
καὶ ἀνωδύνοις γλιχομένην δήγμασιν ἀποκτεῖναι· τὸν
δὲ Μωϋσέως ὄφιν τὴν ἡδονῆς ἐναντίαν διάθεσιν,
καρτερίαν, παρ' ὃ καὶ τῆς χαλκοῦ κραταιοτέρας ὕλης
κατεσκευασμένος εἰσάγεται. Τὸν οὖν ἄκρως κατα-
θεασάμενον τὸ καρτερίας εἶδος, κἂν εἰ δεδηγμέ-
νος πρότερον ὑπὸ τῶν φίλτρων ἡδονῆς τυγχάνοι,

*) Gen. 49, 17.

ζῆν ἀναγκαῖον· ἡ μὲν γὰρ ἐπανατείνεται ψυχῇ θά-
νατον ἀπαραίτητον, ἐγκράτεια δὲ ὑγείαν καὶ σωτη-
ρίαν προτείνει βίου. Ἀντιπαθὲς δ' ἀκολασίας φάρ-
μακον ἡ ἀλεξίκακος σωφροσύνη. Παντὶ δὲ σοφῷ τὸ
316 καλὸν φίλον, ὃ καὶ πάντως ἐστὶ σωτήριον. Ὥσθ'
M. ὅταν εὔχηται Μωϋσῆς γενέσθαι τῷ Δᾶν, ἢ αὐτὸν
ἐκεῖνον ὄφιν — ἑκατέρως γὰρ ἔστιν ἐκδέξασθαι —
παραπλήσιον τῷ ὑπ' αὐτοῦ κατασκευασθέντι, ἀλλ'
οὐχ ὅμοιον τῷ τῆς Εὔας εὔχεται. Τὴν γὰρ εὐχὴν
ἀγαθῶν αἴτησιν εἶναι συμβέβηκε. Τὸ μὲν οὖν τῆς
καρτερίας γένος ἀγαθὸν, καὶ οἰστικὸν ἀφθαρσίας,
ἀγαθοῦ τελείου· τὸ δὲ τῆς ἡδονῆς κακὸν τὴν με-
γίστην τιμωρίαν ἐπιφέρον, θάνατον. Διὸ λέγει,
"Γενέσθω Δᾶν ὄφις," οὐχ ἑτέρωθι μᾶλλον, ἢ ἐφ'
ὁδοῦ. Τὰ μὲν γὰρ τῆς ἀκρασίας καὶ λαιμαργίας,
καὶ ὅσα ἄλλα αἱ ἀμέτρητοι καὶ ἄπληστοι, πληρού-
μεναι πρὸς τῆς τῶν ἐκτὸς ἀφθονίας ὠδίνουσι καὶ
τίκτουσιν ἡδοναὶ, κατὰ λεωφόρου καὶ εὐθυτενοῦς
βαίνειν οὐκ ἐπιτρέπει ψυχὴν, φάραγξι δὲ καὶ βαρά-
θροις ἐμπίπτειν, ἄχρι τοῦ καὶ διαφθεῖραι παντελῶς
αὐτὴν, ἀναγκάζει· τὰ δὲ καρτερίας καὶ σωφροσύνης
καὶ τῆς ἄλλης ἀρετῆς ἐχόμενα μόνα, μηδενὸς ὄντος
ἐν ποσὶν ὀλισθηροῦ ᾧ προσπταίσασα κλιθήσεται.
Προσφυέστατα οὖν ἔχεσθαι τῆς ὁδοῦ τῆς ὀρθῆς
σωφροσύνην εἶπε, διότι καὶ τὴν ἐναντίαν ἕξιν ἀκο-
λασίαν ἀνοδίᾳ χρῆσθαι συμβέβηκε.

§. 23. Τὸ δὲ, "Καθήμενος ἐπὶ τρίβου," τοιοῦτον ὑποβάλλει νοῦν, ὥς γε ἐμαυτὸν πείθω. Τρίβος ἐστὶν ἡ τετριμμένη πρός τε ἀνθρώπων καὶ ὑποζυγίων ἱππήλατος καὶ ἁμαξήλατος ὁδός. Ταύτην φασὶν ἡδονῇ ἐμφερεστάτην εἶναι. Σχεδὸν γὰρ ἀπὸ γενέσεως ἄχρι τοῦ μακροῦ γήρως ἐπιβαίνουσι καὶ ἐμπεριπατοῦσι, καὶ μετὰ σχολῆς καὶ ῥᾳστώνης ἐνδιατρίβουσι τῇ ὁδῷ ταύτῃ, οὐκ ἄνθρωποι, ἀλλὰ καὶ ὅσαι ἄλλαι ἰδέαι τῶν ζώων εἰσίν. Ἓν γὰρ οὐδὲν ἔστιν ὃ μὴ πρὸς ἡδονῆς δελεασθὲν εἵλκυσται,

καὶ ἐμφέρεται τοῖς πολυπλοκωτάτοις δικτύοις αὐτῆς,
ἃ πολὺς διεκδῦναι πόνος. Αἱ δὲ φρονήσεως καὶ
σωφροσύνης καὶ τῶν ἄλλων ἀρετῶν ὁδοὶ, καὶ εἰ μὴ
ἄβατοι, ἀλλά τοι πάντως ἄτριπτοι. Ὀλίγος γὰρ
ἀριθμὸς ἔστι τῶν αὐτὰς βαδιζόντων, οἳ πεφιλοσο-
φήκασιν ἀνόθως, καὶ πρὸς μόνον τὸ καλὸν ἑται-
ρείαν ἔθεντο, τῶν ἄλλων ἅπαξ ἁπάντων ἀλογή- 203
σαντες. Ἐγκάθηται οὖν, καὶ οὐχ ἅπαξ, ὅτῳ ζῆλος P.
καὶ φροντίς τις εἰςέρχεται καρτερίας, ἵν' ἐξ ἐνέδρας
ἐπιθέμενος, τὴν ἐθάδα ἡδονὴν, πηγὴν ἀεννάων κα-
κῶν, ἐπιφράξῃ, καὶ ἐκ τοῦ τῆς ψυχῆς ἀνέλῃ χω-
ρίου. Τότε, ὥς φησιν ἀκολουθίᾳ χρώμενος, ἀναγ-
καίως "δήξεται πτέρναν ἵππου." Καρτερίας γὰρ
καὶ σωφροσύνης ἴδιον τὰς τῆς ὑψαυχενούσης κακίας,
καὶ τοῦ παρατεθηγμένου καὶ ὀξυκινήτου καὶ σκιρτη-
317 τικοῦ πάθους ἐπιβάθρας διασεῖσαι καὶ ἀνατρέψαι.
M. §. 24. Τὸν μὲν οὖν τῆς Εὔας ὄφιν εἰςάγει κατ'
ἀνθρώπου φονῶντα. Λέγει γὰρ ἐν ταῖς ἀραῖς,
"Αὐτός σου τηρήσει κεφαλὴν, καὶ σὺ τηρήσεις αὐ-
τοῦ πτέρναν *)·" τὰν δὲ τοῦ Δᾶν, περὶ οὗ νῦν
ἐστιν ὁ λόγος, ἵππου πτέρναν, ἀλλ' οὐκ ἀνθρώπου
δάκνοντα. Ὁ μὲν γὰρ τῆς Εὔας, ἡδονῆς ὢν σύμ-
βολον, ὡς ἐδείχθη πρότερον, ἀνθρώπῳ, τῷ καθ'
ἕκαστον ἡμῶν ἐπιτίθεται λογισμῷ. Φθορὰ γὰρ
διανοίας, πλεοναζούσης ἡδονῆς ἀπόλαυσίς τε καὶ
χρῆσις. Ὁ δὲ τοῦ Δᾶν, εἰκών τις ὢν ἐῤῥωμενε-
στάτης ἀρετῆς, καρτερίας, ἵππον, τὸ πάθους καὶ
κακίας σύμβολον, δήξεται, διότι σωφροσύνη τὴν
τούτων καθαίρεσίν τε καὶ φθορὰν μελετᾷ. Δη-
χθέντων μέντοι καὶ ὀκλασάντων, "ὁ ἱππεὺς," φησὶ,
"πεσεῖται." Ὃ δ' αἰνίττεται, τοιοῦτόν ἐστι· καλὸν
καὶ περιμάχητον εἶναι νομίζειν μηδενὶ τῶν ἐκ πά-
θους ἢ κακίας τὸν ἡμέτερον ἐποχεῖσθαί νοῦν, ἀλλ'
ὁπότ' ἐπιβῆναί τινι αὐτῶν βιασθείη, σπουδάζειν κα-

*) Gen. 3, 15.

θάλλεσθαι καὶ ἀποπίπτειν. Τὰ γὰρ τοιαῦτα κτή-
ματα φέρει τὰς εὐκλεεστάτας νίκας. Διὸ καὶ τῶν
πάλαι τις προκληθεὶς ἐπὶ λοιδορίας ἅμιλλαν, "Οὐκ
ἂν εἰς τοιοῦτον ἀγῶνα," ἔφη, "ποτὲ παρέλθω, ἐν
ᾧ χείρων ὁ νικῶν ἐστι τοῦ ἡττωμένου."

§. 25. Καὶ σὺ τοίνυν, ὦ οὗτος, μηδέποτ' εἰς
κακῶν παρέλθῃς ἅμιλλαν, μηδὲ περὶ πρωτείων τῶν
ἐν τούτοις διαγωνίσῃ· ἀλλὰ μάλιστα μὲν, ἐὰν οἷόν
τε ᾖ, σπούδασον ἀποδρᾶναι. Ἐὰν δέ που πρὸς ἐῤ-
ῥωμενεστέρας δυνάμεως βιασθεὶς ἀναγκασθῇς διαγω-
νίσασθαι, μὴ μελλήσῃς ἡττᾶσθαι. Τότε γὰρ εὖ
μὲν ἔσῃ νενικηκὼς ὁ ἡττώμενος· ἡττώμενοι δὲ οἱ
νενικηκότες. Καὶ μὴ ἐπιτρέψῃς μηδὲ κήρυκι κη-
ρῦξαι, μηδὲ βραβευτῇ στεφανῶσαι τὸν ἐχθρόν,
ἀλλ' αὐτὸς παρελθὼν τὰ βραβεῖα καὶ τὸν φοίνικα
ἀνάδος, καὶ στεφάνωσον, εἰ θέλει, καὶ ταῖς ταινίαις
ἀνάδησον, καὶ κήρυξον αὐτὸς μεγάλῃ καὶ ἀῤῥήκτῳ
φωνῇ κήρυγμα τοιοῦτον· τὸν ἐπιθυμίας καὶ θυμοῦ
καὶ ἀκολασίας, ἀφροσύνης τε αὖ καὶ ἀδικίας προ-
τεθέντα ἀγῶνα, ὦ θεαταὶ καὶ ἀθλοθέται, ἥττημαι
μὲν ἐγὼ, νενίκηκε δ' οὑτοσί· καὶ οὕτως ἐκ πολλοῦ
τοῦ περιόντος νενίκηκεν, ὥστε καὶ παρὰ τοῖς ἀντα-
γωνισταῖς ἡμῖν, οἷς νῖκος ἦν βασκαίνειν, μὴ φθο-
νεῖσθαι. Τὰ μὲν οὖν τῶν ἀνιέρων τούτων ἀγώνων
ἆθλα παραχώρησον ἄλλοις· τὰ δὲ τῶν ἱερῶν ὄντως
αὐτὸς ἀνάδησαι. Ἱεροὺς δὲ μὴ νομίσῃς ἀγῶνας,
οὓς αἱ πόλεις ἐν ταῖς τριετηρίσιν ἄγουσι, θέα- 204
τρα ἀναδειμάμεναι, πολλὰς ἀνθρώπων δεξάμενα P.
318 μυριάδας. Ἐν γὰρ τούτοις ἢ ὁ καταπαλαίσας
M. τινὰ καὶ ὕπτιον ἢ πρηνῆ τείνας ἐπὶ γῆν, ἢ ὁ πα-
λαίειν καὶ παγκρατιάζειν δυνάμενος, μηδεμιᾶς μή-
τε ὕβρεως μήτε ἀδικίας ἀπεχόμενος, φέρεται τὰ
πρωτεῖα.

§. 26. Εἰσὶ δὲ οἳ σφόδρα καὶ κραταιότατα σι-
δήρου τρόπον ἀκονησάμενοι καὶ στομώσαντες ἑκατέ-
ραν τῶν χειρῶν, περιάψαντες κεφαλὰς καὶ πρόσωπα

τῶν ἀντιπάλων ἀποσκάπτουσι καὶ τὰ ἄλλα. Ἐπὰν δὲ τύχωσι τὰς πληγὰς ἐνεγκόντες ἀποθραύουσιν· εἶτα βραβείων καὶ στεφάνων τῆς ἀνηλεοῦς ὠμότητος ἕνεκα μεταποιοῦνται. Τὰ μὲν γὰρ ἄλλα ἀγωνίσματα δρομέων ἢ πεντάθλων τίς οὐκ ἂν γελάσαι τῶν εὖ φρονούντων, ἐπιτετηδευκότων μήκιστα ἐξάλλεσθαι, καὶ μετρουμένων τὰ διαστήματα, καὶ περὶ ποδῶν ὠκύτητος ἁμιλλωμένων; Οὓς οὐ μόνον τῶν ἁδροτέρων ζώων δορκὰς ἢ ἔλαφος, ἀλλὰ καὶ τῶν βραχυτάτων, σκυλάκιον ἢ λαγωδάριον, μὴ σφόδρα ἐπειγόμενον, ῥύμῃ καὶ ἀπνευστὶ θέοντας παραδραμεῖται. Τούτων μὲν δὴ τῶν ἀγώνων πρὸς ἀλήθειαν ἱερὸς οὐδεὶς, καὶ ἂν πάντες ἄνθρωποι μαρτυρῶσιν, οὓς ἀνάγκη πρὸς ἑαυτῶν ψευδομαρτυριῶν ἁλίσκεσθαι. Οἱ γὰρ ταῦτα θαυμάζοντες, τοὺς νόμους τοὺς καθ᾽ ὑβριστῶν, καὶ τιμωρίας τὰς ἐπὶ ταῖς αἰκίαις ἔθεσαν, καὶ δικαστὰς τοὺς περὶ ἑκάστων διαγνωσομένους ἀπεκλήρωσαν. Πῶς οὖν εἰκός ἐστι τοὺς αὐτοὺς ἐπὶ μὲν τοῖς ἰδίᾳ τινὰς αἰκισαμένοις ἀγανακτεῖν, καὶ δίκας κατ᾽ αὐτῶν ἀπαραιτήτους ὡρικέναι, ἐπὶ δὲ τοῖς δημοσίᾳ καὶ ἐν πανηγύρεσι καὶ θεάτροις, στεφάνους καὶ κηρύγματα καὶ ἄλλα τινὰ νομοθετεῖν; Δυοῖν γὰρ ἐναντίων καθ᾽ ἑνὸς, εἴτε σώματος εἴτε πράγματος, ὁρισθέντων, ἢ εὖ ἢ κακῶς ἐξ ἀνάγκης ἂν ἔχοι θάτερον· ἄμφω γὰρ ἀμήχανον. Πότερον συνεπαινοῖτ᾽ ἂν σὺν δεόντως; Ἆρ᾽ οὐ τὸ τοὺς χειρῶν ἄρχοντας ἀδίκων κολάζεσθαι; Ψέγοιτ᾽ ἂν οὖν εἰκότως τὸ ἐναντίον τὸ τιμᾶσθαι· ψεκτὸν δ᾽ οὐδὲν τῶν ἱερῶν, ἀλλὰ πάντως εὐκλεές.

§. 27. Ὁ τοίνυν Ὀλυμπιακὸς ἀγὼν μόνος ἂν λέγοιτο ἐνδίκως ἱερὸς, οὐχ ὃν τιθέασιν οἱ τὴν Ἦλιν οἰκοῦντες, ἀλλ᾽ ὁ περὶ κτήσεως τῶν θείων καὶ Ὀλυμπίων ὡς ἀληθῶς ἀρετῶν. Εἰς τοῦτον τὸν ἀγῶνα οἱ ἀσθενέστατοι τὰ σώματα, ἐῤῥωμενέστατοι δὲ τὰς ψυχὰς, ἐγγράφονται πάντες· εἶτα ἀποδυσάμενοι καὶ κονισάμενοι, πάνθ᾽ ὅσα καὶ τέχνης καὶ

δυνάμεως ἔργα δρῶσι, παραλιπόντες οὐδὲν ὑπὲρ 205
τοῦ νικηφορῆσαι. Τῶν μὲν οὖν ἀντιπάλων οἱ ἀθλη- P.
ταὶ περίεισιν οὗτοι· πρὸς ἀλλήλους δὲ πάλιν περὶ
πρωτείων διαλέγονται. Οὐ γὰρ ὁ αὐτὸς τῆς νίκης
τρόπος ἅπασιν, ἀλλὰ πάντες ἄξιοι τιμῆς, ἀργαλεωτάτους καὶ βαρεῖς ἀνατρέψαντες καὶ καταβαλόντες
ἐχθρούς· θαυμασιώτατος δὲ καὶ τούτων ὁ διενεγκὼν,
319 ᾧ καὶ τὰ πρῶτα τῶν ἀθλητῶν οὐ φθονητέον
M. λαμβάνοντι· οἱ δὲ καὶ ἂν δευτερείων ἢ τρίτων ἀξιωθῶσι, μὴ κατηφείτωσαν. Καὶ γὰρ ταῦτα ἐπ᾽ ἀρετῆς κτήσει προτίθεται· τοῖς δὲ μὴ τῶν ἄκρων ἐφικέσθαι δυναμένοις, ἡ τῶν μέσων κτῆσις ὠφέλιμος. Λέγεται δὲ ὅτι καὶ βεβαιοτέρα, τὸν ἐμφυόμενον ἀεὶ τοῖς ὑπερέχουσιν ἐκφεύγουσα φθόνον. Παιδευτικώτατα οὖν εἴρηται τὸ, "Πεσεῖται ἱππεὺς," ἵν᾽ εἴ τις ἀποπίπτῃ μὲν κακῶν, ἐγείρηται δὴ ἀγαθοῖς ἐπερειδόμενος καὶ συνορθιάζῃ. Διδασκαλικώτερον δὲ καὶ ἐκεῖνο, μὴ πρόσω φάναι "κατόπιν δὲ πίπτειν," ἐπειδὴ κακίας καὶ πάθους ὑστερίζειν ἀεὶ λυσιτελέστατον. Φθάνειν μὲν γὰρ τὰ καλὰ δρῶντα ἀεὶ, τὰ δὲ αἰσχρὰ μέλλειν· καὶ ἔμπαλιν, ἐκείνοις μὲν προςέρχεσθαι, τούτων δὲ ὑστερίζειν. καὶ μακρὸν ὅσον ἀπολείπεσθαι· ᾧ τῶν ἁμαρτημάτων ἐγγίνεται πάθους ὑστερίζειν, ἄνοσος διατελεῖ. Τὴν γοῦν "παρὰ τοῦ θεοῦ σωτηρίαν περιμένειν *)" φησὶν αὐτὸν, ἵνα ἐφ᾽ ὅσον ἀπελείφθη τοῦ ἀδικεῖν, ἐπὶ τοσοῦτον τῷ δικαιοπραγεῖν ἐπιδράμῃ.

§. 28. Περὶ μὲν οὖν ἱππέως καὶ ἀναβάτου, κτηνοτρόφου τε καὶ ποιμένος, ἔτι δὲ γῆν ἐργαζομένου καὶ γεωργοῦ τὰ προςήκοντα εἴρηται, καὶ αἱ καθ᾽ ἑκάστην συζυγίαν ὡς οἷόν τε ἠκρίβωνται διαφοραί. Πρὸς δὲ τὰ ἀκόλουθα καιρὸς ἤδη τρέπεσθαι. Τὸν οὖν ἐφιέμενον ἀρετῆς, οὐ παντελῆ κεκτημένον τὴν γεωργικῆς ψυχῆς ἐπιστήμην εἰςάγει, ἀλλ᾽ αὐτὸ μόνον

*) Gen. 49, 18.

*περὶ τὰς ἀρχὰς αὐτῆς πεπονημένον. Λέγει γὰρ, "Ἤρξατο Νῶε ἄνθρωπος εἶναι γεωργός *)." Ἀρχὴ δὲ, ὡς ὁ τῶν παλαιῶν λόγος, ἥμισυ τοῦ παντός· ὡς ἂν ἡμίσει πρὸς τὸ τέλος ἀφέστηκεν, οὗ μὴ προσγενομένου, καὶ τὸ ἄρξασθαι πολλάκις μεγάλα πολλοὺς ἔβλαψεν. Ἤδη γοῦν τινες καὶ τῶν οὐκ εὐαγῶν, τῆς διανοίας κατὰ τὰς συνεχεῖς μεταβολὰς στροβουμένης, ἔννοιαν χρηστοῦ τινος ἔλαβον, ἀλλ' οὐδὲν ὤναντο. Ἔστι γὰρ μὴ πρὸς τέλος ἡξάντων, φορὰν ἄθροον τῶν ἐναντίων καταῤῥαγεῖσαν, ἐπικλύσαι, καὶ τὸ χρηστὸν ἐκεῖνο διαφθεῖραι νόημα.*

§. 29. *Οὐ διὰ τοῦτο μέντοι δόξαντι θυσίας ἀμέμπτους ἀναγαγεῖν τῷ Κάϊν, λόγιον ἐξέπεσε μὴ θαῤῥεῖν ὡς κεκαλλιερηκότι; Μὴ γὰρ ἐφ' ἱεροῖς καὶ καὶ τελείοις βουθυτῆσαι. Τὸ δὲ λόγιόν ἐστι τοιόνδε, "Οὐκ ἐὰν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέ-* 206
*λῃς **)." Ὀρθὸν μὲν οὖν, ἡ τοῦ θεοῦ τιμὴ, τὸ* P.
δὲ ἀδιαίρετον οὐκ ὀρθόν. Ὃν δὲ ἔχει καὶ τοῦτο λόγον, ἴδωμεν. Εἰσί τινες οἱ τὸ εὐσεβὲς ἐν τῷ πάντα φάσκειν ὑπὸ θεοῦ γενέσθαι, τά τε καλὰ καὶ τὰ ἐναντία περιγράφοντες. Πρὸς οὓς ἂν λέγοιμεν,
320 *ὅτι τὸ μὲν ὑμῶν ἐπαινετόν ἐστι τῆς δόξης, τὸ δ'*
M. *ἔμπαλιν, ψεκτόν. Ἐπαινετὸν μὲν, ὅτι τὸ μόνον θαυμάζει τίμιον· ψεκτὸν δὲ, παρ' ὅσον ἄνευ τομῆς καὶ διαιρέσεως. Ἔδει γὰρ μὴ φῦραι καὶ συγχέαι· οὐ πάντων ἀθρόως ἀποφήναντας αἴτιον, ἀλλὰ μετὰ διαστολῆς μόνων ὁμολογῆσαι τῶν ἀγαθῶν. Ἄτοπον γὰρ ἱερέων μὲν πρόνοιαν ἔχειν, ὡς ὁλόκληροι τὰ σώματα καὶ παντελεῖς ἔσονται, τῶν τε καταθυομένων ζώων, ὡς οὐδὲν οὐδεμιᾷ τὸ παράπαν, ἀλλ' οὐδὲ τῇ βραχυτάτῃ χρήσηται λώβῃ· καὶ τίνας δεῖ καὶ ὅσους ἐπ' αὐτὸ τοῦτο χειροτονεῖν τὸ ἔργον, οὓς ἔνιοι μωμοσκόπους ὀνομάζουσιν, ἵνα ἄμωμα καὶ ἀσινῆ προσάγηται τῷ βωμῷ τὰ ἱερεῖα, τὰς δὲ περὶ*

---

*) Gen. 9, 20. **) Ibid. 4, 7.

θεοῦ δόξας ἐν ταῖς ἑκάστων ψυχαῖς ἐπισυγκεχύσθαι, καὶ μὴ κανόνι ὀρθοῦ λόγου διακεκρίσθαι.

§. 30. Τὸν „κάμηλον" οὐχ ὁρᾷς, ὅτι „ἀκάθαρτόν φησιν εἶναι ζῶον" ὁ νόμος, „ἐπειδὴ μηρυκᾶται μέν, οὐ διχηλεῖ δέ *);" Καί τοί γε πρὸς τὴν ῥητὴν ἐπίσκεψιν οὐκ οἶδ' ὃν ἔχει λόγον ἡ προςαποδοθεῖσα, πρὸς δὲ τὴν δι' ὑπονοιῶν, ἀναγκαιότατον. Ὥςπερ γὰρ τὸ μηρυκώμενον τὴν προκαταβληθεῖσαν ὑπαναπλέουσαν αὖθις ἐπιλεαίνει τροφήν, οὕτως ἡ ψυχὴ τοῦ φιλομαθοῦς ἐπειδάν τινα δι' ἀκοῆς δέξηται θεωρήματα, λήθῃ μὲν αὐτὰ οὐ παραδίδωσιν, ἠρεμήσασα δὲ καθ' ἑαυτὴν ἕκαστα μεθ' ἡσυχίας τῆς πάσης ἀναπολεῖ, καὶ εἰς ἀνάμνησιν τῶν πάντων ἔρχεται. Μνήμη δ' οὐ πᾶσα ἀγαθόν, ἀλλ' ἡ ἐπὶ μόνοις τοῖς ἀγαθοῖς· ἐπεὶ τό γε ἄληστα εἶναι τὰ κακὰ βλαβερώτατον. Οὗ ἕνεκα πρὸς τελειότητα χρεία τοῦ διχηλεῖν, ἵνα τοῦ μνημονικοῦ δίχα τμηθέντος, ὁ λόγος διὰ στόματος, ὥςπερ ἅττα ἡ φύσις διττὰ εἰργάσατο, ῥέων, χείλη διαστείλῃ, τό τε ὠφέλιμον καὶ τὸ ἐπιζήμιον μνήμης γένους εἶδος. Ἀλλ' οὐδὲ τὸ διχηλεῖν ἄνευ τοῦ μηρυκᾶσθαι καθ' ἑαυτὸ φαίνεταί τινα ἔχειν ὄνησιν ἐξ αὐτοῦ. Τί γὰρ ὄφελος τὰς φύσεις τῶν πραγμάτων τέμνειν, ἄνωθεν ἀρξάμενον μέχρι τῶν λεπτοτάτων, εἰς τὸ ἔσχατον, ἑαυτῷ μηκέτι γίνεσθαι, μηδὲ ἔχειν διαίρετα τὰ μέρη, ἅπερ ἄτομα καὶ ἀμερῆ πρὸς ἐνίων εὐθυβόλως ὀνομάζεται; Ταῦτα γὰρ συνέσεως μὲν καὶ περιττῆς ἀκριβείας ἠκονημένης εἰς ὀξυτάτην ἀγχίνοιαν, ἐναργῆ δείγματά ἐστιν· ὄνησιν δὲ οὐδεμίαν πρὸς καλοκἀγαθίαν καὶ
321 ἀνεπιλήπτου βίου διέξοδον ἔχει.

M. §. 31. Καθ' ἑκάστην γοῦν ἡμέραν ὁ πανταχοῦ 207
τῶν σοφιστῶν ὅμιλος ἀποκναίει τὰ ὦτα τῶν παρα- P.
τυγχανόντων, ἀκριβολογούμενος, καὶ τὰς διπλᾶς καὶ

*) Lev. 11, 4.

ἀμφιβόλους λέξεις ἀναπτύσσων, καὶ τῶν πραγμάτων ὅσα δοκεῖ μεμνῆσθαι — πέπηγε δὲ καὶ πλειόνων — διακρίνων. Ἢ οὐχ οἱ μὲν τὰ στοιχεῖα τῆς ἐγγραμμάτου φωνῆς εἴς τε ἄφωνα καὶ φωνήεντα τέμνουσιν; Ἔνιοι δὲ τὸν λόγον εἰς τὰ ἀνωτάτω τρία, ὄνομα, ῥῆμα, σύνδεσμον; Μουσικοὶ δὲ τὴν ἰδίαν ἐπιστήμην εἰς ῥυθμὸν, εἰς μέρος, εἰς μέλος· καὶ τὸ μέλος εἴς τε τὸ χρωματικὸν, καὶ ἐναρμόνιον, καὶ διατονικὸν εἶδος, καὶ διὰ τεσσάρων, καὶ διὰ πέντε, καὶ διὰ πασῶν, συνημμένων τε καὶ διεζευγμένων μελῳδίας; Γεωμέτραι δὲ εἰς τὰς γενικωτάτας δύο γραμμὰς, εὐθεῖάν τε καὶ περιφέρειαν; Καὶ οἱ ἄλλοι τεχνῖται εἰς τὰς καθ᾽ ἑκάστην ἐπιστήμην ἰδέας, ἀπὸ τῶν πρώτων ἄχρι τῶν ὑστάτων; Ὧι συνεπηχείτω μέντοι καὶ τῶν φιλοσοφούντων χορὸς ἅπας, τὰ εἰωθότα διεξιών· ὅτι τῶν ὄντων τὰ μέν ἐστι σώματα, τὰ δὲ ἀσώματα· καὶ τὰ μὲν ἄψυχα, τὰ δὲ ψυχὴν ἔχοντα· καὶ τὰ μὲν λογικὰ, τὰ δ᾽ ἄλογα· καὶ τὰ μὲν θνητὰ, τὰ δὲ θεῖα· καὶ τῶν θνητῶν τὸ μὲν ἄῤῥεν, τὸ δὲ θῆλυ, τὰ ἀνθρώπου τμήματα. Ἢ πάλιν τῶν ἀσωμάτων τὰ μὲν τέλεια, τὰ δὲ ἀτελῆ· καὶ τῶν τελείων τὰ μὲν ἐρωτήματα καὶ πύσματα, ἀρατικά τε αὖ καὶ ὁρκικὰ, καὶ ὅσαι ἄλλαι τῶν κατ᾽ εἶδος ἐν ταῖς περὶ τούτων στοιχειώσεσιν ἀναγράφονται διαφοραί. Τὰ δὲ πάλιν ἃ διαλεκτικοῖς ἔθος ἐστὶν ὀνομάζειν ἀξιώματα· καὶ τούτων τὰ μὲν ἁπλᾶ, τὰ δὲ οὐχ ἁπλᾶ· καὶ τῶν οὐχ ἁπλῶν τὰ μὲν συνημμένα, τὰ δὲ παρασυνημμένα τὸ μᾶλλον ἢ ἧττον· καὶ προςέτι δὲ διεζευγμένα, καὶ ἄλλα τοιουτότροπα. Τὰ δ᾽ ἀληθῆ τε καὶ ψευδῆ καὶ ἄδηλα, δυνατά τε καὶ ἀδύνατα· καὶ τὰ μὲν φθαρτὰ καὶ ἄφθαρτα, καὶ ἀναγκαῖα καὶ οὐκ ἀναγκαῖα; καὶ εὔπορά τε καὶ ἄπορα, καὶ ὅσα συγγενῆ τούτοις. Πάλιν δὲ τῶν ἀτελῶν, αἱ εἰς τὰ λεγόμενα κατηγορήματα καὶ συμβεβηκότα, καὶ ὅσα τούτων ἐλάττω, διαιρέσεις προςεχεῖς.

§. 32. *Καὶ ἂν ἔτι παραθήξας ὁ νοῦς εἰς τὸ
λεπτότερον ἑαυτὸν, καθάπερ ἰατρὸς τὰ σώματα,
τὰς τῶν πραγμάτων φύσεις ἀνατέμνῃ, πλέον οὐδὲν
πρὸς ἀρετῆς κτῆσιν ἐργάζεται· ἀλλὰ διχηλήσει μὲν
διαστέλλειν καὶ διακρίνειν ἕκαστα δυνάμενος οὐ μη-
ρυκηθήσεται δὲ, ὡς ὠφελίμῳ χρῆσθαι τροφῇ κατὰ
τὰς ὑπομνήσεις τὴν ἐξ ἁμαρτημάτων ἐπιγεγενημένην
322 τραχύτητα ψυχῇ λεαινούσῃ, καὶ προσηνῆ καὶ
M. λείαν τῷ ὄντι κίνησιν ἀπεργαζομένῃ. Μυρίοι οὖν
τῶν λεγομένων σοφιστῶν θαυμασθέντες κατὰ πόλεις,
καὶ τὴν οἰκουμένην σχεδὸν ἅπασαν ἐπὶ τιμῇ ἐπι- 208
στρέψαντες, ἕνεκα ἀκριβολογίας καὶ τῆς περὶ τὰς P.
εὑρέσεις δεινότητος, ἀνὰ κράτος τοῖς πάθεσι κατε-
γήρασαν καὶ κατέτριψαν τὸν βίον, οὐδὲν ἰδιωτῶν
ἠμελημένων καὶ φαυλοτάτων διενεγκόντες ἀνθρώπων.
Διὸ καὶ παγκάλως τοὺς οὕτω βιοῦντας τῶν σοφι-
στῶν ὁ νομοθέτης τῷ συῶν παραβάλλει γένει, διαυ-
γεῖ μὲν οὐδενὶ καὶ καθαρῷ, θολερῷ δὲ καὶ βαρα-
θρώδει βίῳ, καὶ τοῖς αἰσχίστοις ἐμφερομένοις. Τὸν
γὰρ „ὗν ἀκάθαρτον εἶναί" φησιν, „ὅτι διχηλεῖ
μὲν, οὐ μηρυκᾶται δὲ *)," ὡς τὸν κάμηλον διὰ τὴν
ἐναντίαν πρόφασιν, ὅτι μηρυκώμενος οὐ διχηλεῖ.
Ὅσα δὲ τῶν ζώων ἀμφοτέρων μετέχει, καθαρὰ εἰ-
κότως ἀναγράφεται, ὅτι τὴν περὶ θάτερα τῶν λε-
χθέντων ἀτοπίαν ἐκπέφευγε. Καὶ γὰρ διαίρεσις ἄνευ
μνήμης καὶ μελέτης καὶ διεξόδου τῶν ἀρίστων, ἀγα-
θὸν ἀτελές· ἡ δ' ἀμφοῖν εἰς ταὐτὸ σύνοδός τε καὶ
κοινωνία τελειότατον.*

§. 33. *Τελειότητα δὲ καὶ οἱ δυςμενεῖς τῆς ψυ-
χῆς καταπτήσσουσιν, ὧν μηκέτι ἐπανίστασθαι δυνα-
μένων, ἡ ἀψευδὴς εἰρήνη κρατεῖ. Ἡμίεργοι δὲ
ὅσοι σοφίας ἢ πάλιν ἡμιπαγοῦς ἔλαχον, ἀσθενέστε-
ροι ἢ ὥςτε ἁμαρτημάτων ἐκ πολλοῦ συγκεκροτημέ-
νων καὶ πρὸς ἀλκὴν ἐπιδεδωκότων ἐναντιοῦσθαι*

---

*) Lev. 11, 7.

στίφει. Διὰ τοῦθ' ὅταν ἐν τῷ τοῦ πολέμου καιρῷ ποιῆται τῆς στρατιᾶς κατάλογον, οὐχ ἅπασαν καλεῖ τὴν νεότητα, καὶ ἂν μετὰ προθυμίας τῆς πάσης αὐτοκελεύστῳ χρῆται πρὸς ἐχθρῶν ἄμυναν ἑτοιμότητι· προςτάττει δὲ ἀπιόντας οἴκοι καταμεῖναι, ὡς ἂν ἐκ συνεχοῦς μελέτης τὴν τοῦ ποτε δύνασθαι νικᾶν ἀνὰ κράτος ἰσχύν τε καὶ ἐμπειρίαν εὕρωνται κραταιοτάτην. Ἡ δὲ πρόςταξις διὰ τῶν τῆς στρατιᾶς γραμματέων γίνεται, ὅταν ὁ πόλεμος ἐγγὺς καὶ ἐπὶ θύρας ὢν ἤδη τυγχάνῃ. Ταυτὶ δὲ φήσουσι, "Τίς ὁ ἄνθρωπος ὁ οἰκοδομήσας οἰκίαν καινὴν, καὶ οὐκ ἐνεκαίνισεν αὐτήν; Πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ, καὶ ἄνθρωπος ἕτερος ἐγκαινιεῖ αὐτήν. Καὶ τίς ὃς ἐφύτευσεν ἀμπελῶνα, καὶ οὐκ εὐφράνθη ἐξ αὐτοῦ; Πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ, καὶ ἄνθρωπος ἕτερος εὐφρανθήσεται ἐξ αὐτοῦ. Καὶ τίς ἐμνηστεύσατο γυναῖκα καὶ οὐκ ἔλαβεν αὐτήν; Πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν
323 τῷ πολέμῳ, καὶ ἄνθρωπος ἕτερος λήψεται
M. αὐτήν *)."

§. 34. Διὰ τί γὰρ εἴποιμ' ἄν, ὦ θαυμασιώτατε, οὐχὶ τούτους μᾶλλον ἑτέρων εἰς τὸν ἀγῶνα τοῦ πολέμου κατατάττειν ἀξιοῖς, οἳ γύναια καὶ οἰκίας καὶ ἀμπελῶνας καὶ τὴν ἄλλην κτῆσιν ἀφθο- 209
νωτάτην περιπεποίηνται; Τοὺς γὰρ περὶ τῆς τούτων P.
ἀσφαλείας κινδύνους, καὶ εἰ πάντως εἶεν βαρύτατοι, κουφότατα οἴσουσιν· ἐπεὶ οἷς γε τῶν λεχθέντων οὐδὲν πρόςεστιν, ἅτε μηδὲν ἔχοντες ἀναγκαῖον ἐνέχυρον, ὄκνῳ καὶ ῥαθυμίᾳ τὰ πολλὰ χρήσονται. Ἢ παρ' ὅσον οὐδενὸς τῶν κτηθέντων ἀπολελαύκασιν, εἶτα μηδ' ὕστερον δυνηθῶσιν ἀπολαῦσαι; Τοῖς γὰρ κρατηθεῖσι τῷ πολέμῳ τίς ἀπολείπεται τῶν κτηθέν-

*) Deut. 20, 5—7.

των ὄνησις; Ἀλλ' οὐχ ἁλώσονται; Εὐθὺς μὲν οὖν τό γε ἐπὶ τοῖς ἀστρατεύτοις πείσονται. Οἴκοι γὰρ καθιζομένων καὶ τρυφώντων, ἀνάγκη τοὺς τὰ τοῦ πολέμου συντόνως δρῶντας ἐχθροὺς οὐκ ἀναιμωτὶ μόνον ἀλλὰ καὶ ἀκονιτὶ κρατεῖν. Ἀλλὰ τὸ τῶν ἄλλων συμμάχων πλῆθος καὶ τὸν ὑπὲρ τούτων ἀγῶνα προθύμως ἀναδέξεται. Πρῶτον μὲν ἄτοπον ἐπὶ ταῖς ἑτέρων σπουδαῖς ἢ τύχαις ὁρμεῖν, καὶ μάλιστα ὅτε περὶ ἀναστάσεως καὶ ἀνδραποδισμοῦ καὶ πορθήσεως ἴδιός τε καὶ κοινὸς ἐπικρέμαται κίνδυνος, δυναμένοις συνδιαφέρεσθαι τὰ τοῦ πολέμου, καὶ μήθ' ὑπὸ νόσου μήθ' ὑπὸ γήρως μήθ' ὑπ' ἄλλης κακοπραγίας μηδεμιᾶς κωλυομένοις. Ἁρπάσαντας γὰρ δεῖ τὰ ὅπλα ἐν ταῖς πρώταις φάλαγξι τούτους καὶ ὑπερέχειν τῶν συμμάχων τὰς ἀσπίδας, ἐκθύμως καὶ φιλοκινδύνως μαχομένους.

§. 35. Ἔπειτ' οὐ προδοσίας μόνον, ἀλλὰ καὶ πολλῆς ἀναλγησίας ἐξενηνοχότες εἶεν δείγματα, εἰ οἱ μὲν ἄλλοι προπολεμήσουσιν, αὐτοὶ δὲ πρὸς τοῖς οἰκείοις πράγμασιν ἔσονται; Καὶ οἱ μὲν τοὺς ὑπὲρ τῆς ἐκείνων σωτηρίας ἀγῶνας ἀναῤῥίπτειν θελήσουσιν, οἱ δὲ οὐδὲ τοὺς ὑπὲρ ἑαυτῶν ἀναδέξονται; Καὶ οἱ μὲν ἀσιτίας καὶ χαμευνίας καὶ τὰς ἄλλας σώματός τε καὶ ψυχῆς κακώσεις ἄσμενοι διὰ τὸν τοῦ νικῆσαι πόθον καρτερήσουσιν, οἱ δὲ κονιάματα καὶ λήρους, κόσμον ἄψυχον, οἰκίαις περιτιθέντες, ἢ τὴν κατ' ἀγροὺς ὀπώραν δρεπόμενοι καὶ τὰ ἐπιλήνια ἄγοντες, ἢ ταῖς ὁμολογηθείσαις ἔκπαλαι παρθένοις νῦν πρῶτον εἰς ὁμιλίαν ἐρχόμενοι καὶ συνευναζόμενοι, ὡς ἐν ἐπιτηδειοτάτῳ τοῦ γαμεῖν καιρῷ, διατελοῦσι; Καλόν γε τοίχων ἐπιμελεῖσθαι, προσόδους ἐκλέγειν, ἑστιᾶσθαι, μεθύειν, θαλαμεύεσθαι, νυμφοστολεῖσθαι τὰς γεγηρακυίας καὶ σαπράς, τὸ λεγόμενον· ἀλλ' εἰρήνης ἔργα. Ἐν δ' ἔτι ἡβῶντός τε καὶ ἀνθοῦντος ἀκμῇ πολέμου πάντα δρᾶν, ἢ τούτων οὐχ ὁ πατήρ, οὐκ ἀδελφός, οὐ τῶν ἀφ' αἵματος

οὐδεὶς, οὗ γένους ἐστράτευται, ἀλλὰ πανοικίως αὐτοῖς
824 ἐμπεφώλευκεν ἡ δειλία; Ἀλλὰ πάντως εἰσὶ μυρίοι
M. τῶν συγγενῶν ἀγωνιζόμενοι· τούτων οὖν τὸν ὑπὲρ
τῆς ψυχῆς κίνδυνον αἱρουμένων, οἱ χλιδῶντες καὶ 210
ἁβροδιαίτως ζῶντες, τίνας οὐκ ἂν ἀτιθάσσους θῆρας P.
δι' ὑπερβολὴν ὠμότητος παραδράμοιεν; Ἀλλὰ χαλεπὸν τὸ ἑτέρους ἀπονητὶ τῶν ἡμετέρων ἀπολαῦσαι πόνων. Καὶ πότερον χαλεπώτερον, ἐχθροὺς ἔτι ζώντων, ἢ φίλους καὶ συγγενεῖς τετελευτηκότων ἐπὶ τὸν κλῆρον ἐλθεῖν; Ἢ καὶ τὸ συγκρίνειν τὰ οὕτω μακρὰν ἀφεστῶτα εὔηθες. Καὶ μὴν εὔλογον, μὴ μόνον ὅσα τοῖς ἀστρατεύτοις πρόσεστιν, ἀλλὰ καὶ αὐτοὺς ἐκείνους ἐχθρῶν κεκρατηκότων γενέσθαι κτήματα· τοῖς δέ γε ἀποθνήσκουσιν ὑπὲρ τῆς κοινῆς σωτηρίας, καὶ εἰ μηδενὸς ἀπέλαυσαν, ἀφ' ὧν ἂν τὸ πρότερον εἶχον τῶν κατὰ τὴν οὐσίαν, ἡδίστη τελευτὴ γίνεται, λογιζομένοις ὅτι πρὸς οὓς ηὔξαντο διαδόχους τὴν οὐσίαν ἐλθεῖν ἔτυχε.

§. 36. Τὸ μὲν οὖν τοῦ νόμου ῥητὸν τοσαύτας καὶ ἔτι πλείους ἐπισκήψεις ἴσως ἔχει. Ὡς δὲ μηδεὶς εὑρεσιλογῶν θρασύνηται τῶν κακοτεχνούντων, ἀλληγοροῦντες φήσομεν ὅτι πρῶτον μὲν οὐ μόνον οἴεται δεῖν ὁ νόμος περὶ τὴν τῶν ἀγαθῶν πονεῖσθαί τινα κτῆσιν, ἀλλὰ καὶ περὶ τὴν τῶν κτηθέντων ἀπόλαυσιν, καὶ τό γε εὐδαιμονεῖν ἀρετῆς χρήσει τελείας περιγίνεσθαι νομίζει, σᾶον καὶ παντελῆ περιποιούσης βίον. Ἔπειθ' ὅτι οὐ περὶ οἰκίας, ἢ ἀμπελῶνος, ἢ τῆς καθ' ὁμολογίαν ἐγγυηθείσης γυναικός ἐστιν ὁ λόγος αὐτῷ, ὅπως τὴν μὲν ὡς μνηστὴρ ἀγάγηται, τοῦ δ' ἀμπελῶνος τὸν καρπὸν ὁ φυτουργὸς ἀποδρεψάμενος καὶ ἀποθλίψας, εἶτ' ἐμπιὼν μεθύσματος ἀκράτου γανωθῇ, τὴν δ' οἰκίαν ὁ ἀναδειμάμενος οἰκήσῃ· ἀλλὰ περὶ τῶν κατὰ ψυχὴν δυνάμεων, δι' ὧν συμβέβηκεν ἀρχάς τε λαμβάνειν καὶ προτροπὰς καὶ τελειότητας ἐν πράξεσιν ἐπαινεταῖς. Αἱ μὲν τοίνυν ἀρχαὶ περὶ μνηστῆρα φιλοῦσι γίνεσθαι. Καθάπερ

θάλλεσθαι καὶ ἀποπίπτειν. Τὰ γὰρ τοιαῦτα πτώματα φέρει τὰς εὐκλεεστάτας νίκας. Διὸ καὶ τῶν πάλαι τις προκληθεὶς ἐπὶ λοιδορίας ἅμιλλαν, “Οὐκ ἂν εἰς τοιοῦτον ἀγῶνα,” ἔφη, “ποτὲ παρέλθω, ἐν ᾧ χείρων ὁ νικῶν ἐστι τοῦ ἡττωμένου.”

§. 25. Καὶ σὺ τοίνυν, ὦ οὗτος, μηδέποτ᾽ εἰς κακῶν παρέλθῃς ἅμιλλαν, μηδὲ περὶ πρωτείων τῶν ἐν τούτοις διαγωνίσῃ· ἀλλὰ μάλιστα μέν, ἐὰν οἷόν τε ᾖ, σπούδασον ἀποδρᾶναι. Ἐὰν δέ που πρὸς ἐῤῥωμενεστέρας δυνάμεως βιασθεὶς ἀναγκασθῇς διαγωνίσασθαι, μὴ μελλήσῃς ἡττᾶσθαι. Τότε γὰρ εὖ μὲν ἔσῃ νενικηκὼς ὁ ἡττώμενος· ἡττώμενοι δὲ οἱ νενικηκότες. Καὶ μὴ ἐπιτρέψῃς μηδὲ κήρυκι κηρῦξαι, μηδὲ βραβευτῇ στεφανῶσαι τὸν ἐχθρόν, ἀλλ᾽ αὐτὸς παρελθὼν τὰ βραβεῖα καὶ τὸν φοίνικα ἀνάδος, καὶ στεφάνωσον, εἰ θέλει, καὶ ταῖς ταινίαις ἀνάδησον, καὶ κήρυξον αὐτὸς μεγάλῃ καὶ ἀῤῥήκτῳ φωνῇ κήρυγμα τοιοῦτον· τὸν ἐπιθυμίας καὶ θυμοῦ καὶ ἀκολασίας, ἀφροσύνης τε αὖ καὶ ἀδικίας προτεθέντα ἀγῶνα, ὦ θεαταὶ καὶ ἀθλοθέται, ἥττημαι μὲν ἐγώ, νενίκηκε δ᾽ οὑτοσί· καὶ οὕτως ἐκ πολλοῦ τοῦ περιόντος νενίκηκεν, ὥστε καὶ παρὰ τοῖς ἀνταγωνισταῖς ἡμῖν, οἷς νῖκος ἦν βασκαίνειν, μὴ φθονεῖσθαι. Τὰ μὲν οὖν τῶν ἀνιέρων τούτων ἀγώνων ἆθλα παραχώρησον ἄλλοις· τὰ δὲ τῶν ἱερῶν ὄντως αὐτὸς ἀνάδησαι. Ἱεροὺς δὲ μὴ νομίσῃς ἀγῶνας,
οὓς αἱ πόλεις ἐν ταῖς τριετηρίσιν ἄγουσι, θέα- 204
τρα ἀναδειμάμεναι, πολλὰς ἀνθρώπων δεξάμεναι P.
318 μυριάδας. Ἐν γὰρ τούτοις ἢ ὁ καταπαλαίσας
M. τινὰ καὶ ὕπτιον ἢ πρηνῆ τείνας ἐπὶ γῆν, ἢ ὁ παλαίειν καὶ παγκρατιάζειν δυνάμενος, μηδεμιᾶς μήτε ὕβρεως μήτε ἀδικίας ἀπεχόμενος, φέρεται τὰ πρωτεῖα.

§. 26. Εἰσὶ δὲ οἱ σφόδρα καὶ κραταιότατα σιδήρου τρόπον ἀκονησάμενοι καὶ στομώσαντες ἑκατέραν τῶν χειρῶν, περιάψαντες κεφαλὰς καὶ πρόσωπα

τῶν ἀντιπάλων ἀποσκάπτουσι καὶ τὰ ἄλλα. Ἐπὰν δὲ τύχωσι τὰς πληγὰς ἐνεγκόντες ἀποθραύουσιν· εἶτα βραβείων καὶ στεφάνων τῆς ἀνηλεοῦς ὠμότητος ἕνεκα μεταποιοῦνται. Τὰ μὲν γὰρ ἄλλα ἀγωνίσματα δρομέων ἢ πεντάθλων τίς οὐκ ἂν γελάσαι τῶν εὖ φρονούντων, ἐπιτετηδευκότων μήκιστα ἐξάλλεσθαι, καὶ μετρουμένων τὰ διαστήματα, καὶ περὶ ποδῶν ὠκύτητος ἁμιλλωμένων; Οὓς οὐ μόνον τῶν ἁδροτέρων ζώων δορκὰς ἢ ἔλαφος, ἀλλὰ καὶ τῶν βραχυτάτων, σκυλάκιον ἢ λαγωδάριον, μὴ σφόδρα ἐπειγόμενον, ῥύμῃ καὶ ἀπνευστὶ θέοντας παραδραμεῖται. Τούτων μὲν δὴ τῶν ἀγώνων πρὸς ἀλήθειαν ἱερὸς οὐδεὶς, καὶ ἂν πάντες ἄνθρωποι μαρτυρῶσιν, οὓς ἀνάγκη πρὸς ἑαυτῶν ψευδομαρτυριῶν ἁλίσκεσθαι. Οἱ γὰρ ταῦτα θαυμάζοντες, τοὺς νόμους τοὺς καθ᾽ ὑβριστῶν, καὶ τιμωρίας τὰς ἐπὶ ταῖς αἰκίαις ἔθεσαν, καὶ δικαστὰς τοὺς περὶ ἑκάστων διαγνωσομένους ἀπεκλήρωσαν. Πῶς οὖν εἰκός ἐστι τοὺς αὐτοὺς ἐπὶ μὲν τοῖς ἰδίᾳ τινὰς αἰκισαμένοις ἀγανακτεῖν, καὶ δίκας κατ᾽ αὐτῶν ἀπαραιτήτους ὡρικέναι, ἐπὶ δὲ τοῖς δημοσίᾳ καὶ ἐν πανηγύρεσι καὶ θεάτροις, στεφάνους καὶ κηρύγματα καὶ ἄλλα τινὰ νομοθετεῖν; Δυοῖν γὰρ ἐναντίων καθ᾽ ἑνὸς, εἴτε σώματος εἴτε πράγματος, ὁρισθέντων, ἢ εὖ ἢ κακῶς ἐξ ἀνάγκης ἂν ἔχοι θάτερον· ἄμφω γὰρ ἀμήχανον. Πότερον συνεπαινοῖτ᾽ ἂν σὺν δεόντως; Ἆρ᾽ οὐ τὸ τοὺς χειρῶν ἄρχοντας ἀδίκων κολάζεσθαι; Ψέγοιτ᾽ ἂν οὖν εἰκότως τὸ ἐναντίον τὸ τιμᾶσθαι· ψεκτὸν δ᾽ οὐδὲν τῶν ἱερῶν, ἀλλὰ πάντως εὐκλεές.

§. 27. Ὁ τοίνυν Ὀλυμπιακὸς ἀγὼν μόνος ἂν λέγοιτο ἐνδίκως ἱερὸς, οὐχ ὃν τιθέασιν οἱ τὴν Ἦλιν οἰκοῦντες, ἀλλ᾽ ὁ περὶ κτήσεως τῶν θείων καὶ Ὀλυμπίων ὡς ἀληθῶς ἀρετῶν. Εἰς τοῦτον τὸν ἀγῶνα οἱ ἀσθενέστατοι τὰ σώματα, ἐῤῥωμενέστατοι δὲ τὰς ψυχὰς, ἐγγράφονται πάντες· εἶτα ἀποδυσάμενοι καὶ κονισάμενοι, πάνθ᾽ ὅσα καὶ τέχνης καὶ

δυνάμεως ἔργα δρῶσι, παραλιπόντες οὐδὲν ὑπὲρ 205
τοῦ νικηφορῆσαι. Τῶν μὲν οὖν ἀντιπάλων οἱ ἀθλη- P.
ταὶ περίεισιν οὗτοι· πρὸς ἀλλήλους δὲ πάλιν περὶ
πρωτείων διαλέγονται. Οὐ γὰρ ὁ αὐτὸς τῆς νίκης
τρόπος ἅπασιν, ἀλλὰ πάντες ἄξιοι τιμῆς, ἀργαλεω-
τάτους καὶ βαρεῖς ἀνατρέψαντες καὶ καταβαλόντες
ἐχθρούς· θαυμασιώτατος δὲ καὶ τούτων ὁ διενεγκών,
319 ᾧ καὶ τὰ πρῶτα τῶν ἀθλητῶν οὐ φθονητέον
M. λαμβάνοντι· οἱ δὲ καὶ ἂν δευτερείων ἢ τρίτων ἀξιωθῶσι, μὴ κατηφείτωσαν. Καὶ γὰρ ταῦτα ἐπ' ἀρετῆς κτήσει προτίθεται· τοῖς δὲ μὴ τῶν ἄκρων ἐφικέσθαι δυναμένοις, ἡ τῶν μέσων κτῆσις ὠφέλιμος. Λέγεται δὲ ὅτι καὶ βεβαιοτέρα, τὸν ἐμφυόμενον ἀεὶ τοῖς ὑπερέχουσιν ἐκφεύγουσα φθόνον. Παιδευτικώτατα οὖν εἴρηται τό, "Πεσεῖται ἱππεύς," ἵν' εἴ τις ἀποπίπτῃ μὲν κακῶν, ἐγείρηται δὴ ἀγαθοῖς ἐπερειδόμενος καὶ συνορθιάζῃ. Διδασκαλικώτερον δὲ καὶ ἐκεῖνο, μὴ πρόσω φάναι "κατόπιν δὲ πίπτειν," ἐπειδὴ κακίας καὶ πάθους ὑστερίζειν ἀεὶ λυσιτελέστατον. Φθάνειν μὲν γὰρ τὰ καλὰ δρῶντα ἀεί, τὰ δὲ αἰσχρὰ μέλλειν· καὶ ἔμπαλιν, ἐκείνοις μὲν προσέρχεσθαι, τούτων δὲ ὑστερίζειν καὶ μακρὸν ὅσον ἀπολείπεσθαι· ᾧ τῶν ἁμαρτημάτων ἐγγίνεται πάθους ὑστερίζειν, ἄνοσος διατελεῖ. Τὴν γοῦν "παρὰ τοῦ θεοῦ σωτηρίαν περιμένειν *)" φησὶν αὐτόν, ἵνα ἐφ' ὅσον ἀπελείφθη τοῦ ἀδικεῖν, ἐπὶ τοσοῦτον τῷ δικαιοπραγεῖν ἐπιδράμῃ.

§. 28. Περὶ μὲν οὖν ἱππέως καὶ ἀναβάτου, κτηνοτρόφου τε καὶ ποιμένος, ἔτι δὲ γῆν ἐργαζομένου καὶ γεωργοῦ τὰ προσήκοντα εἴρηται, καὶ αἱ καθ' ἑκάστην συζυγίαν ὡς οἷόν τε ἠκρίβωνται διαφοραί. Πρὸς δὲ τὰ ἀκόλουθα καιρὸς ἤδη τρέπεσθαι. Τὸν οὖν ἐφιέμενον ἀρετῆς, οὐ παντελῆ κεκτημένον τὴν γεωργικῆς ψυχῆς ἐπιστήμην εἰσάγει, ἀλλ' αὐτὸ μόνον

*) Gen. 49, 18.

περὶ τὰς ἀρχὰς αὐτῆς πεπονημένον. Λέγει γὰρ,
„Ἤρξατο Νῶε ἄνθρωπος εἶναι γεωργός *).“ Ἀρχὴ
δὲ, ὡς ὁ τῶν παλαιῶν λόγος, ἥμισυ τοῦ παντός·
ὡς ἂν ἡμίσει πρὸς τὸ τέλος ἀφέστηκεν, οὗ μὴ προς-
γενομένου, καὶ τὸ ἄρξασθαι πολλάκις μεγάλα πολ-
λοὺς ἔβλαψεν. Ἤδη γοῦν τινες καὶ τῶν οὐκ εὐα-
γῶν, τῆς διανοίας κατὰ τὰς συνεχεῖς μεταβολὰς
στροβουμένης, ἔννοιαν χρηστοῦ τινος ἔλαβον, ἀλλ'
οὐδὲν ὤναντο. Ἔστι γὰρ μὴ πρὸς τέλος ἡξάντων,
φορὰν ἄθροον τῶν ἐναντίων καταῤῥαγεῖσαν, ἐπικλύ-
σαι, καὶ τὸ χρηστὸν ἐκεῖνο διαφθεῖραι νόημα.

§. 29. Οὐ διὰ τοῦτο μέντοι δόξαντι θυσίας
ἀμέμπτους ἀναγαγεῖν τῷ Καΐν, λόγιον ἐξέπεσε μὴ
θαῤῥεῖν ὡς κεκαλλιερηκότι; Μὴ γὰρ ἐφ' ἱεροῖς καὶ
καὶ τελείοις βουθυτῆσαι. Τὸ δὲ λόγιόν ἐστι τοιόνδε,
„Οὐκ ἐὰν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέ- 206
λῃς **).“ Ὀρθὸν μὲν οὖν, ἡ τοῦ θεοῦ τιμὴ, τὸ P.
δὲ ἀδιαίρετον οὐκ ὀρθόν. Ὃν δὲ ἔχει καὶ τοῦτο
λόγον, ἴδωμεν. Εἰσί τινες οἱ τὸ εὐσεβὲς ἐν τῷ
πάντα φάσκειν ὑπὸ θεοῦ γενέσθαι, τά τε καλὰ καὶ
τὰ ἐναντία περιγράφοντες. Πρὸς οὓς ἂν λέγοιμεν,
320 ὅτι τὸ μὲν ὑμῶν ἐπαινετόν ἐστι τῆς δόξης, τὸ δ'
M. ἔμπαλιν, ψεκτόν. Ἐπαινετὸν μὲν, ὅτι τὸ μόνον
θαυμάζει τίμιον· ψεκτὸν δὲ, παρ' ὅσον ἄνευ τομῆς
καὶ διαιρέσεως. Ἔδει γὰρ μὴ φῦραι καὶ συγχέαι·
οὐ πάντων ἀθρόως ἀποφήναντας αἴτιον, ἀλλὰ μετὰ
διαστολῆς μόνων ὁμολογῆσαι τῶν ἀγαθῶν. Ἄτοπον
γὰρ ἱερέων μὲν πρόνοιαν ἔχειν, ὡς ὁλόκληροι τὰ
σώματα καὶ παντελεῖς ἔσονται, τῶν τε καταθυομέ-
νων ζώων, ὡς οὐδὲν οὐδεμιᾷ τὸ παράπαν, ἀλλ' οὐδὲ
τῇ βραχυτάτῃ χρήσηται λώβῃ· καὶ τίνας δεῖ καὶ
ὅσους ἐπ' αὐτὸ τοῦτο χειροτονεῖν τὸ ἔργον, οὓς
ἔνιοι μωμοσκόπους ὀνομάζουσιν, ἵνα ἄμωμα καὶ
ἀσινῆ προσάγηται τῷ βωμῷ τὰ ἱερεῖα, τὰς δὲ περὶ

*) Gen. 9, 20. **) Ibid. 4, 7.

θεοῦ δόξας ἐν ταῖς ἑκάστων ψυχαῖς ἐπισυγκεχύσθαι, καὶ μὴ κανόνι ὀρθοῦ λόγου διακεκρίσθαι.

§. 30. Τὸν „κάμηλον" οὐχ ὁρᾷς, ὅτι „ἀκάθαρτόν φησιν εἶναι ζῶον" ὁ νόμος, „ἐπειδὴ μηρυκᾶται μέν, οὐ διχηλεῖ δέ *);" Καί τοί γε πρὸς τὴν ῥητὴν ἐπίσκεψιν οὐκ οἶδ' ὃν ἔχει λόγον ἡ προςαποδοθεῖσα, πρὸς δὲ τὴν δι' ὑπονοιῶν, ἀναγκαιότατον. Ὥςπερ γὰρ τὸ μηρυκώμενον τὴν προκαταβληθεῖσαν ὑπαναπλέουσαν αὖθις ἐπιλεαίνει τροφήν, οὕτως ἡ ψυχὴ τοῦ φιλομαθοῦς ἐπειδάν τινα δι' ἀκοῆς δέξηται θεωρήματα, λήθῃ μὲν αὐτὰ οὐ παραδίδωσιν, ἠρεμήσασα δὲ καθ' ἑαυτὴν ἕκαστα μεθ' ἡσυχίας τῆς πάσης ἀναπολεῖ, καὶ εἰς ἀνάμνησιν τῶν πάντων ἔρχεται. Μνήμη δ' οὐ πᾶσα ἀγαθόν, ἀλλ' ἡ ἐπὶ μόνοις τοῖς ἀγαθοῖς· ἐπεὶ τό γε ἄληστα εἶναι τὰ κακὰ βλαβερώτατον. Οὗ ἕνεκα πρὸς τελειότητα χρεία τοῦ διχηλεῖν, ἵνα τοῦ μνημονικοῦ δίχα τμηθέντος, ὁ λόγος διὰ στόματος, ὥςπερ ἅττα ἡ φύσις διττὰ εἰργάσατο, ῥέων, χείλη διαστείλῃ, τό τε ὠφέλιμον καὶ τὸ ἐπιζήμιον μνήμης γένους εἶδος. Ἀλλ' οὐδὲ τὸ διχηλεῖν ἄνευ τοῦ μηρυκᾶσθαι καθ' ἑαυτὸ φαίνεταί τινα ἔχειν ὄνησιν ἐξ αὑτοῦ. Τί γὰρ ὄφελος τὰς φύσεις τῶν πραγμάτων τέμνειν, ἄνωθεν ἀρξάμενον μέχρι τῶν λεπτοτάτων, εἰς τὸ ἔσχατον, ἑαυτῷ μηκέτι γίνεσθαι, μηδὲ ἔχειν διαίρετα τὰ μέρη, ἅπερ ἄτομα καὶ ἀμερῆ πρὸς ἐνίων εὐθυβόλως ὀνομάζεται; Ταῦτα γὰρ συνέσεως μὲν καὶ περιττῆς ἀκριβείας ἠκονημένης εἰς ὀξυτάτην ἀγχίνοιαν, ἐναργῆ δείγματά ἐστιν· ὄνησιν δὲ οὐδεμίαν πρὸς καλοκἀγαθίαν καὶ
321 ἀνεπιλήπτου βίου διέξοδον ἔχει.

M. §. 31. Καθ' ἑκάστην γοῦν ἡμέραν ὁ πανταχοῦ 207
τῶν σοφιστῶν ὅμιλος ἀποκναίει τὰ ὦτα τῶν παρα- P.
τυγχανόντων, ἀκριβολογούμενος, καὶ τὰς διπλᾶς καὶ

*) Lev. 11, 4.

ἀμφιβόλους λέξεις ἀναπτύσσων, καὶ τῶν πραγμάτων ὅσα δοκεῖ μεμνῆσθαι — πέπηγε δὲ καὶ πλειόνων — διακρίνων. Ἢ οὐχ οἱ μὲν τὰ στοιχεῖα τῆς ἐγγραμμάτου φωνῆς εἴς τε ἄφωνα καὶ φωνήεντα τέμνουσιν; Ἔνιοι δὲ τὸν λόγον εἰς τὰ ἀνωτάτω τρία, ὄνομα, ῥῆμα, σύνδεσμον; Μουσικοὶ δὲ τὴν ἰδίαν ἐπιστήμην εἰς ῥυθμὸν, εἰς μέρος, εἰς μέλος· καὶ τὸ μέλος εἴς τε τὸ χρωματικὸν, καὶ ἐναρμόνιον, καὶ διατονικὸν εἶδος, καὶ διὰ τεσσάρων, καὶ διὰ πέντε, καὶ διὰ πασῶν, συνημμένων τε καὶ διεζευγμένων μελῳδίας; Γεωμέτραι δὲ εἰς τὰς γενικωτάτας δύο γραμμὰς, εὐθεῖάν τε καὶ περιφέρειαν; Καὶ οἱ ἄλλοι τεχνῖται εἰς τὰς καθ' ἑκάστην ἐπιστήμην ἰδέας, ἀπὸ τῶν πρώτων ἄχρι τῶν ὑστάτων; Ὡι συνεπηχείτω μέντοι καὶ τῶν φιλοσοφούντων χορὸς ἅπας, τὰ εἰωθότα διεξιών· ὅτι τῶν ὄντων τὰ μέν ἐστι σώματα, τὰ δὲ ἀσώματα· καὶ τὰ μὲν ἄψυχα, τὰ δὲ ψυχὴν ἔχοντα· καὶ τὰ μὲν λογικὰ, τὰ δ' ἄλογα· καὶ τὰ μὲν θνητὰ, τὰ δὲ θεῖα· καὶ τῶν θνητῶν τὸ μὲν ἄῤῥεν, τὸ δὲ θῆλυ, τὰ ἀνθρώπου τμήματα. Ἢ πάλιν τῶν ἀσωμάτων τὰ μὲν τέλεια, τὰ δὲ ἀτελῆ· καὶ τῶν τελείων τὰ μὲν ἐρωτήματα καὶ πύσματα, ἀρατικά τε αὖ καὶ ὁρκικὰ, καὶ ὅσαι ἄλλαι τῶν κατ' εἶδος ἐν ταῖς περὶ τούτων στοιχειώσεσιν ἀναγράφονται διαφοραί. Τὰ δὲ πάλιν ἃ διαλεκτικοῖς ἔθος ἐστὶν ὀνομάζειν ἀξιώματα· καὶ τούτων τὰ μὲν ἁπλᾶ, τὰ δὲ οὐχ ἁπλᾶ· καὶ τῶν οὐχ ἁπλῶν τὰ μὲν συνημμένα, τὰ δὲ παρασυνημμένα τὸ μᾶλλον ἢ ἧττον· καὶ προςέτι δὲ διεζευγμένα, καὶ ἄλλα τοιουτότροπα. Τὰ δ' ἀληθῆ τε καὶ ψευδῆ καὶ ἄδηλα, δυνατά τε καὶ ἀδύνατα· καὶ τὰ μὲν φθαρτὰ καὶ ἄφθαρτα, καὶ ἀναγκαῖα καὶ οὐκ ἀναγκαῖα; καὶ εὔπορά τε καὶ ἄπορα, καὶ ὅσα συγγενῆ τούτοις. Πάλιν δὲ τῶν ἀτελῶν, αἳ εἰς τὰ λεγόμενα κατηγορήματα καὶ συμβεβηκότα, καὶ ὅσα τούτων ἐλάττω, διαιρέσεις προςεχεῖς.

§. 32. Καὶ ἂν ἔτι παραθήξας ὁ νοῦς εἰς τὸ λεπτότερον ἑαυτὸν, καθάπερ ἰατρὸς τὰ σώματα, τὰς τῶν πραγμάτων φύσεις ἀνατέμνῃ, πλέον οὐδὲν πρὸς ἀρετῆς κτῆσιν ἐργάζεται· ἀλλὰ διχηλήσει μὲν διαστέλλειν καὶ διακρίνειν ἕκαστα δυνάμενος οὐ μηρυκηθήσεται δὲ, ὡς ὠφελίμῳ χρῆσθαι τροφῇ κατὰ τὰς ὑπομνήσεις τὴν ἐξ ἁμαρτημάτων ἐπιγεγενημένην
322 τραχύτητα ψυχῇ λεαινούσῃ, καὶ προσηνῆ καὶ
M. λείαν τῷ ὄντι κίνησιν ἀπεργαζομένῃ. Μυρίοι οὖν τῶν λεγομένων σοφιστῶν θαυμασθέντες κατὰ πόλεις, καὶ τὴν οἰκουμένην σχεδὸν ἅπασαν ἐπὶ τιμῇ ἐπι- 208
στρέψαντες, ἕνεκα ἀκριβολογίας καὶ τῆς περὶ τὰς P.
εὑρέσεις δεινότητος, ἀνὰ κράτος τοῖς πάθεσι κατεγήρασαν καὶ κατέτριψαν τὸν βίον, οὐδὲν ἰδιωτῶν ἠμελημένων καὶ φαυλοτάτων διενεγκόντες ἀνθρώπων. Διὸ καὶ παγκάλως τοὺς οὕτω βιοῦντας τῶν σοφιστῶν ὁ νομοθέτης τῷ συῶν παραβάλλει γένει, διαυγεῖ μὲν οὐδενὶ καὶ καθαρῷ, θολερῷ δὲ καὶ βαραθρώδει βίῳ καὶ τοῖς αἰσχίστοις ἐμφερομένοις. Τὸν γὰρ “ὗν ἀκάθαρτον εἶναι” φησιν, “ὅτι διχηλεῖ μὲν, οὐ μηρυκᾶται δὲ *),” ὡς τὸν κάμηλον διὰ τὴν ἐναντίαν πρόφασιν, ὅτι μηρυκώμενος οὐ διχηλεῖ. Ὅσα δὲ τῶν ζώων ἀμφοτέρων μετέχει, καθαρὰ εἰκότως ἀναγράφεται, ὅτι τὴν περὶ θάτερα τῶν λεχθέντων ἀτοπίαν ἐκπέφευγε. Καὶ γὰρ διαίρεσις ἄνευ μνήμης καὶ μελέτης καὶ διεξόδου τῶν ἀρίστων, ἀγαθὸν ἀτελές· ἡ δ' ἀμφοῖν εἰς ταὐτὸ σύνοδός τε καὶ κοινωνία τελειότατον.

§. 33. Τελειότητα δὲ καὶ οἱ δυσμενεῖς τῆς ψυχῆς καταπτήσσουσιν, ὧν μηκέτι ἐπανίστασθαι δυναμένων, ἡ ἀψευδὴς εἰρήνη κρατεῖ. Ἡμιέργου δὲ ὅσοι σοφίας ἢ πάλιν ἡμιπαγοῦς ἔλαχον, ἀσθενέστεροι ἢ ὥστε ἁμαρτημάτων ἐκ πολλοῦ συγκεκροτημένων καὶ πρὸς ἀλκὴν ἐπιδεδωκότων ἐναντιοῦσθαι

*) Lev. 11, 7.

στίφει. Διὰ τοῦθ' ὅταν ἐν τῷ τοῦ πολέμου καιρῷ ποιῆται τῆς στρατιᾶς κατάλογον, οὐχ ἅπασαν καλεῖ τὴν νεότητα, καὶ ἂν μετὰ προθυμίας τῆς πάσης αὐτοκελεύστῳ χρῆται πρὸς ἐχθρῶν ἄμυναν ἑτοιμότητι· προςτάττει δὲ ἀπιόντας οἴκοι καταμεῖναι, ὡς ἂν ἐκ συνεχοῦς μελέτης τὴν τοῦ ποτε δύνασθαι νικᾶν ἀνὰ κράτος ἰσχύν τε καὶ ἐμπειρίαν εὕρωνται κραταιοτάτην. Ἡ δὲ πρόςταξις διὰ τῶν τῆς στρατιᾶς γραμματέων γίνεται, ὅταν ὁ πόλεμος ἐγγὺς καὶ ἐπὶ θύρας ὢν ἤδη τυγχάνῃ. Ταυτὶ δὲ φήσουσι, "Τίς ὁ ἄνθρωπος ὁ οἰκοδομήσας οἰκίαν καινὴν, καὶ οὐκ ἐνεκαίνισεν αὐτήν; Πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ, καὶ ἄνθρωπος ἕτερος ἐγκαινιεῖ αὐτήν. Καὶ τίς ὃς ἐφύτευσεν ἀμπελῶνα, καὶ οὐκ εὐφράνθη ἐξ αὐτοῦ; Πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ, καὶ ἄνθρωπος ἕτερος εὐφρανθήσεται ἐξ αὐτοῦ. Καὶ τίς ἐμνηστεύσατο γυναῖκα καὶ οὐκ ἔλαβεν αὐτήν; Πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν
323 τῷ πολέμῳ, καὶ ἄνθρωπος ἕτερος λήψεται
M. αὐτήν *)."

§. 34. Διὰ τί γὰρ εἴποιμ' ἄν, ὦ θαυμασιώτατε, οὐχὶ τούτους μᾶλλον ἑτέρων εἰς τὸν ἀγῶνα τοῦ πολέμου κατατάττειν ἀξιοῖς, οἳ γύναια καὶ οἰκίας καὶ ἀμπελῶνας καὶ τὴν ἄλλην κτῆσιν ἀφθο- 209
νωτάτην περιπεποίηνται; Τοὺς γὰρ περὶ τῆς τούτων P.
ἀσφαλείας κινδύνους, καὶ εἰ πάντως εἶεν βαρύτατοι, κουφότατα οἴσουσιν· ἐπεὶ οἷς γε τῶν λεχθέντων οὐδὲν πρόςεστιν, ἅτε μηδὲν ἔχοντες ἀναγκαῖον ἐνέχυρον, ὄκνῳ καὶ ῥαθυμίᾳ τὰ πολλὰ χρήσονται. Ἢ παρ' ὅσον οὐδενὸς τῶν κτηθέντων ἀπολελαύκασιν, εἶτα μηδ' ὕστερον δυνηθῶσιν ἀπολαῦσαι; Τοῖς γὰρ κρατηθεῖσι τῷ πολέμῳ τίς ἀπολείπεται τῶν κτηθέν-

*) Deut. 20, 5—7.

των ὄνησις; Ἀλλ' οὐχ ἁλώσονται; Εὐθὺς μὲν οὖν τό γε ἐπὶ τοῖς ἀστρατεύτοις πείσονται. Οἴκοι γὰρ καθιζομένων καὶ τρυφώντων, ἀνάγκη τοὺς τὰ τοῦ πολέμου συντόνως δρῶντας ἐχθροὺς οὐκ ἀναιμωτὶ μόνον ἀλλὰ καὶ ἀκονιτὶ κρατεῖν. Ἀλλὰ τὸ τῶν ἄλλων συμμάχων πλῆθος καὶ τὸν ὑπὲρ τούτων ἀγῶνα προθύμως ἀναδέξεται. Πρῶτον μὲν ἄτοπον ἐπὶ ταῖς ἑτέρων σπουδαῖς ἢ τύχαις ὁρμεῖν, καὶ μάλιστα ὅτε περὶ ἀναστάσεως καὶ ἀνδραποδισμοῦ καὶ πορθήσεως ἴδιός τε καὶ κοινὸς ἐπικρέμαται κίνδυνος, δυναμένοις συνδιαφέρεσθαι τὰ τοῦ πολέμου, καὶ μήθ' ὑπὸ νόσου μήθ' ὑπὸ γήρως μήθ' ὑπ' ἄλλης κακοπραγίας μηδεμιᾶς κωλυομένοις. Ἁρπάσαντας γὰρ δεῖ τὰ ὅπλα ἐν ταῖς πρώταις φάλαγξι τούτους καὶ ὑπερέχειν τῶν συμμάχων τὰς ἀσπίδας, εὐθύμως καὶ φιλοκινδύνως μαχομένους.

§. 35. Ἔπειτ' οὐ προδοσίας μόνον, ἀλλὰ καὶ πολλῆς ἀναλγησίας ἐξενηνοχότες εἶεν δείγματα, εἰ οἱ μὲν ἄλλοι προπολεμήσουσιν, αὐτοὶ δὲ πρὸς τοῖς οἰκείοις πράγμασιν ἔσονται; Καὶ οἱ μὲν τοὺς ὑπὲρ τῆς ἐκείνων σωτηρίας ἀγῶνας ἀναρρίπτειν θελήσουσιν, οἱ δὲ οὐδὲ τοὺς ὑπὲρ ἑαυτῶν ἀναδέξονται; Καὶ οἱ μὲν ἀσιτίας καὶ χαμευνίας καὶ τὰς ἄλλας σώματός τε καὶ ψυχῆς κακώσεις ἄσμενοι διὰ τὸν τοῦ νικῆσαι πόθον καρτερήσουσιν, οἱ δὲ κονιάματα καὶ λήρους, κόσμον ἄψυχον, οἰκίαις περιτιθέντες, ἢ τὴν κατ' ἀγροὺς ὀπώραν δρεπόμενοι καὶ τὰ ἐπιλήνια ἄγοντες, ἢ ταῖς ὁμολογηθείσαις ἔκπαλαι παρθένοις νῦν πρῶτον εἰς ὁμιλίαν ἐρχόμενοι καὶ συνευναζόμενοι, ὡς ἐν ἐπιτηδειοτάτῳ τοῦ γαμεῖν καιρῷ, διατελοῦσι; Καλόν γε τοίχων ἐπιμελεῖσθαι, προσόδους ἐκλέγειν, ἑστιᾶσθαι, μεθύειν, θαλαμεύεσθαι, νυμφοστολεῖσθαι τὰς γεγηρακυίας καὶ σαπρὰς, τὸ λεγόμενον· ἀλλ' εἰρήνης ἔργα. Ἐν δ' ἔτι ἡβῶντός τε καὶ ἀνθοῦντος ἀκμῇ πολέμου πάντα δρᾶν, ἢ τούτων οὐχ ὁ πατὴρ, οὐκ ἀδελφὸς, οὐ τῶν ἀφ' αἵματος

οὐδεὶς, οὗ γένους ἐστράτευται, ἀλλὰ πανοικίος αὐτοῖς
824 ἐμπεφώλευκεν ἡ δειλία; Ἀλλὰ πάντως εἰσὶ μυρίοι
M. τῶν συγγενῶν ἀγωνιζόμενοι· τούτων οὖν τὸν ὑπὲρ
τῆς ψυχῆς κίνδυνον αἱρουμένων, οἱ χλιδῶντες καὶ 210
ἁβροδιαίτως ζῶντες, τίνας οὐκ ἂν ἀτιθάσσους θῆρας P.
δι' ὑπερβολὴν ὠμότητος παραδράμοιεν; Ἀλλὰ χαλεπὸν τὸ ἑτέρους ἀπονητὶ τῶν ἡμετέρων ἀπολαῦσαι πόνων. Καὶ πότερον χαλεπώτερον, ἐχθροὺς ἔτι ζώντων, ἢ φίλους καὶ συγγενεῖς τετελευτηκότων ἐπὶ τὸν κλῆρον ἐλθεῖν; Ἢ καὶ τὸ συγκρίνειν τὰ οὕτω μακρὰν ἀφεστῶτα εὔηθες. Καὶ μὴν εὔλογον, μὴ μόνον ὅσα τοῖς ἀστρατεύτοις πρόσεστιν, ἀλλὰ καὶ αὐτοὺς ἐκείνους ἐχθρῶν κεκρατηκότων γενέσθαι κτήματα· τοῖς δέ γε ἀποθνήσκουσιν ὑπὲρ τῆς κοινῆς σωτηρίας, καὶ εἰ μηδενὸς ἀπέλαυσαν, ἀφ' ὧν ἂν τὸ πρότερον εἶχον τῶν κατὰ τὴν οὐσίαν, ἡδίστη τελευτὴ γίνεται, λογιζομένοις ὅτι πρὸς οὓς ηὔξαντο διαδόχους τὴν οὐσίαν ἐλθεῖν ἔτυχε.

§. 36. Τὸ μὲν οὖν τοῦ νόμου ῥητὸν τοσαύτας καὶ ἔτι πλείους ἐπισκήψεις ἴσως ἔχει. Ὡς δὲ μηδεὶς εὑρεσιλογῶν θρασύνηται τῶν κακοτεχνούντων, ἀλληγοροῦντες φήσομεν ὅτι πρῶτον μὲν οὐ μόνον οἴεται δεῖν ὁ νόμος περὶ τὴν τῶν ἀγαθῶν πονεῖσθαί τινα κτῆσιν, ἀλλὰ καὶ περὶ τὴν τῶν κτηθέντων ἀπόλαυσιν, καί τό γε εὐδαιμονεῖν ἀρετῆς χρήσει τελείας περιγενέσθαι νομίζει, σῶον καὶ παντελῆ περιποιούσης βίον. Ἔπειθ' ὅτι οὐ περὶ οἰκίας, ἢ ἀμπελῶνος, ἢ τῆς καθ' ὁμολογίαν ἐγγυηθείσης γυναικός ἐστιν ὁ λόγος αὐτῷ, ὅπως τὴν μὲν ὡς μνηστὴρ ἀγάγηται, τοῦ δ' ἀμπελῶνος τὸν καρπὸν ὁ φυτουργὸς ἀποδρεψάμενος καὶ ἀποθλίψας, εἶτ' ἐμπιὼν μεθύσματος ἀκράτου γανωθῇ, τὴν δ' οἰκίαν ὁ ἀναδειμάμενος οἰκήσῃ· ἀλλὰ περὶ τῶν κατὰ ψυχὴν δυνάμεων, δι' ὧν συμβέβηκεν ἀρχάς τε λαμβάνειν καὶ προκοπὰς καὶ τελειότητας ἐν πράξεσιν ἐπαινεταῖς. Αἱ μὲν τοίνυν ἀρχαὶ περὶ μνηστῆρα φιλοῦσι γίνεσθαι. Καθάπερ

γὰρ ὁ μνώμενος γυναῖκα μέλλει, ἐπεὶ ἀνὴρ οὐ γέγονεν ἤδη, κἂν αὐτὸν τρόπον ὁ εὐφυὴς εὐγενῆ μὲν καὶ καθαρὰν ἄξεσθαι παρθένον, παιδείαν, ἐλπίζεται, μνᾶται δ' αὐτίκα. Αἱ δὲ προκοπαὶ περὶ γεωργόν. Ὡς γὰρ ἐπιμελὲς τῷ φυτουργῷ τὰ δένδρα αὔξεσθαι, καὶ τῷ φιλομαθεῖ τὰ φρονήσεως θεωρήματα ποιῆσαι μηκίστην λαβεῖν ἐπίδοσιν. Αἱ δὲ τελειότητες περὶ δημιουργίαν οἰκίας, τελειουμένης μέν, οὔπω δὲ πῆξιν λαβούσης.

σε §. 37. Ἁρμόττει δὲ πᾶσι τούτοις, ἀρχομένοις, προκόπτουσι, τετελειωμένοις, βιοῦν ἀφιλονείκως, καὶ μὴ τῷ τῶν σοφιστῶν ἐπαποδύεσθαι πολέμῳ, δύσεριν ταραχὴν ἐπὶ ποθείᾳ τοῦ ἀληθοῦς ἀεὶ μελετῶντι·
325 ἐπειδὴ τὸ ἀληθὲς εἰρήνῃ φίλον, ᾗ δυσμενὴς αὐ-
M. τοῖς. Εἰ γὰρ εἰς τοῦτον ἀφίξονται τὸν ἀγῶνα, πρὸς
ἐμπειροπολέμους ἰδιῶται, παντελῶς ἁλώσονται· ὁ 211
μὲν ἀρχόμενος, ὅτι ἄπειρος, ὁ δὲ προκόπτων, ὅτι P.
ἀτελής, ὁ δὲ τέλειος, ὅτι οὔπω ἄτριβος ἀρετῆς. Δεῖ δὲ ὥσπερ τὰ κονιάματα στηριχθῆναι βεβαίως καὶ λαβεῖν πῆξιν, οὕτω τὰς τῶν τελειωθέντων ψυχὰς κραταιωθείσας, παγιώτερον ἱδρυνθῆναι μελέτῃ συνεχεῖ καὶ γυμνάσμασιν ἐπαλλήλοις. Οἱ δὲ μὴ τούτων τυγχάνοντες παρὰ τοῖς φιλοσόφοις διαλεληθότες εἶναι λέγονται σοφοί. Τοὺς γὰρ ἄχρι σοφίας ἄκρας ἐληλακότας, καὶ τῶν ὅρων αὐτῆς ἄρτι πρῶτον ἁψαμένους, ἀμήχανον εἰδέναι φασὶ τὴν ἑαυτῶν τελείωσιν. Μὴ γὰρ κατὰ τὸν αὐτὸν χρόνον ἄμφω συνίστασθαι, τήν τε πρὸς τὸ πέρας ἄφιξιν, καὶ τὴν τῆς ἀφίξεως κατάληψιν· ἀλλ' εἶναι μεθόριον ἄγνοιαν, οὐ τὴν μακρὰν ἀπεληλαμένην ἐπιστήμης, ἀλλὰ τὴν ἐγγὺς καὶ ἀγχίθυρον αὐτῇ. Τοῦτο μὲν καταλαμβάνοντος καὶ συνιέντος, καὶ τὰς αὐτῶν δυνάμεις ἐπισταμένου ἄκρως, γένοιτ' ἂν ἔργον πολεμῆσαι τῷ φιλέριδι καὶ σοφιστικῷ στίφει· νικήσειν γὰρ τὸν τοιοῦτον ἐλπίς. Ὧι δὲ ἔτι τὸ ἀγνοίας ἐπίπροσθεν, εἰκότως, μήπω τὸ τῆς ἐπιστήμης ἀναλάμψαι φέγγος

ἰσχυκότι, ἀσφαλὲς οἴκοι καταμεῖναι· τουτέστιν εἰς τὴν περὶ ὧν ἄκρως οὐ κατείληφε, μὴ παρελθεῖν ἅμιλλαν, ἀλλ' ἠρεμῆσαί τε καὶ ἡσυχάσαι. Ὁ δὲ ὑπ' αὐθαδείας ἐξενεχθεὶς, τὰ παλαίσματα τῶν ἀντιπάλων οὐκ εἰδὼς, πρὶν δρᾶσαι, παθεῖν φθήσεται, καὶ τὸν ἐπιστήμης θάνατον ἐνδέξεται, ὅς ἐστιν ἀργαλεώτερος τοῦ ψυχὴν καὶ σῶμα διακρίνοντος. Ὀφείλει δὲ τοῦτο συμβαίνειν τοῖς πρὸς τῶν σοφισμάτων ἀπατωμένοις· ὅταν γὰρ τὰς λύσεις αὐτῶν εὑρεῖν μὴ δυνηθῶσιν, ὡς ἀληθέσι τοῖς κατεψευσμένοις πεπιστευκότες, ἀποθνήσκουσι βίον τὸν τῆς ἐπιστήμης, ταὐτὸν πεπονθότες τοῖς ὑπὸ κολάκων φενακιζομένοις. Καὶ γὰρ τούτων ἡ τῆς ψυχῆς ὑγιαίνουσα καὶ ἀληθὴς ὑπὸ τῆς φύσει νοσερᾶς ἐξωθεῖται καὶ ἀνατρέπεται φιλίας.

§. 38. Συμβουλευτέον οὖν εἰς τοὺς τοιούτους ἀγῶνας μὴ παρέρχεσθαι τοῖς τε ἀρχομένοις τοῦ μανθάνειν, ἀνεπιστήμονες γὰρ, καὶ τοῖς προκόπτουσι, διότι οὐ τέλειοι, καὶ τοῖς πρῶτον τελειωθεῖσι, διότι λέληθεν αὐτοὺς ἄχρι πῃ τελειότης. Τῶν δὲ ἀπειθησάντων, „ἄλλος," φησὶν, „ἄνθρωπος τὴν μὲν οἰκίαν οἰκήσει, τὸν δὲ ἀμπελῶνα κτήσεται, τὴν δὲ γυναῖκα ἄξεται *)." Τὸ δ' ἐστὶν ἴσον τῷ· αἱ λεχθεῖσαι δυνάμεις, σπουδῆς, βελτιώσεως, τελειώ-
326 σεως, ἐπιλείψουσι μὲν οὐδέποτε, ἄλλοτε δὲ ἄλλοις
M. ἐνομιλήσουσιν ἀνθρώποις ἐπιφοιτῶσαι, καὶ τὰς ψυ-
χὰς οὐ τὰς αὐτὰς ἀμείβουσαι, σφραγῖσιν ὁμοιούμε-
ναι. Καὶ γὰρ αὗται τὸν κηρὸν ἐπειδὰν τυπώσω- 212
σι, παθοῦσαι μηδὲν, ἀπ' αὐτῶν εἶδος ἐγχαράξασαι, P.
μένουσιν ἐν ὁμοίῳ, κἂν ὁ τυπωθεὶς συγχυθῇ κηρὸς καὶ ἀφανισθῇ, πάλιν ἕτερος ὑποβληθήσεται. Ὥστε, ὦ γενναῖοι, μὴ ὑπολαμβάνετε συμφθειρομένοις συμφθείρεσθαι τὰς δυνάμεις ὑμῖν. Ἀθάνατοι γὰρ οὖσαι μυρίους ἄλλους πρὸ ὑμῶν ἀσπάζονται τῆς ἀπ' αὐ-

*) Deut. 20, 5.

τῶν εὐκλείας· οὓς ἂν αἴσθωνται, μὴ ὥςπερ ὑμᾶς διὰ τὸ ῥιψοκίνδυνον ἀποδεδρακότας τὴν ὁμιλίαν αὐτῶν, ἀλλὰ προςιόντας καὶ θεραπευτικῶς ἀσφαλείας ἔχοντας. Εἰ δέ τις ἀρετῆς φίλος, εὐχέσθω τὰ καλὰ πάντα ἐμφυτευθῆναι αὐτῷ, καὶ ἐπὶ τῆς ἑαυτοῦ ψυχῆς φανῆναι, καθάπερ ἐν ἀνδριάντι καὶ γραφῇ τελείᾳ τὰς εἰς εὐμορφίαν συμμετρίας· λογιζόμενος ὅτι εἰσὶν ἔφεδροι μυρίοι, οἷς ἡ φύσις ἀντ' αὐτοῦ δωρήσεται ταῦτα πάντα, εὐμαθείας, προκοπάς, τελειότητας. Ἄμεινον δὲ πρὸ ἐκείνων αὐτὸν ἐκλάμψαι, ταμιευόμενον τὰς ὑπὸ τοῦ θεοῦ δοθείσας ἀσφαλῶς χάριτας, καὶ μὴ προενεγκόντα πόρθησιν ἐχθροῖς ἀφειδοῦσιν ἑτοιμοτάτην λείαν παρασχεῖν.

§. 39. Οὔκουν βραχὺ ὄφελος ἀρχῆς, ἣν τέλος αἴσιον οὐκ ἐσφράγισεν; Πολλάκις μέντοι καὶ τελειωθέντες τινὲς ἀτελεῖς ἐνομίσθησαν, τῷ παρὰ τὴν ἰδίαν προθυμίαν, ἀλλὰ μὴ κατ' ἐπιφροσύνην θεοῦ βελτιωθῆναι δόξαι· καὶ διὰ τοῦτο μέντοι τὸ δόξαι νεωτερισθέντες καὶ ἐξαρθέντες ἐπὶ μήκιστον, ἀφ' ὑψηλοτέρων χωρίων εἰς ἔσχατον κατενεχθέντες βυθὸν, ἠφανίσθησαν. „Ἐὰν γάρ," φησὶν, „οἰκοδομήσῃς οἰκίαν καινὴν, καὶ ποιήσῃς στεφάνην τῷ δώματι, καὶ οὐ ποιήσεις φόνον ἐν τῇ οἰκίᾳ σου, ἐὰν πέσῃ ὁ πεσὼν ὑπ' αὐτοῦ *)." Πτωμάτων γὰρ ἀργαλεώτατον θεοῦ τιμῆς ἀποπεσεῖν ὀλισθόντα, στεφανώσαντα πρὸ ἐκείνου ἑαυτὸν, καὶ φόνον ἐμφύλιον ἐργασάμενον. Κτείνει γὰρ τὴν ἑαυτοῦ ψυχὴν ὁ μὴ τὸ ὂν τιμῶν, ὡς ἀνόνητον αὐτῷ γενέσθαι παιδείας τὸ οἰκοδόμημα. Παιδεία δὲ φύσιν ἔλαχε τὴν ἀγήρων· διόπερ καινὴν εἶπε τὴν οἰκίαν αὐτῆς. Τὰ μὲν γὰρ ἄλλα χρόνῳ φθείρεται· ἡ δ' ἐφ' ὅσον πρόεισιν ἐπὶ μήκιστον ἡβᾷ καὶ ἐπακμάζει, τὸ ἀειθαλὲς εἶδος φαιδρυνομένη καὶ ταῖς συνεχέσιν ἐπιμελείαις κινου-
327 μένη. Καὶ ἐν τοῖς προτρεπτικοῖς μέντοι παραινεῖ,
M.

*) Deut. 22, 8.

τοὺς κτῆσιν ἀγαθῶν λαχόντας πλείστην μὴ ἑαυτοὺς ἀναγράψαι τῆς κτήσεως αἰτίους, ἀλλὰ καὶ "μνησθῆναι θεοῦ τοῦ διδόντος ἰσχὺν ποιῆσαι δύναμιν *)." Τοῦτο μὲν οὖν τὸ εὐπραγίας ἦν πέρας, ἀρχαὶ δ᾽ ἐκεῖναι· ὥςτε τοὺς ἐκλανθανομένους τοῦ τέλους, μηδὲ τῆς τῶν κτηθέντων εὖ ἂν ἐπαπόνασθαι δυνηθῆναι. Τούτοις μὲν οὖν ἑκούσια γίνεται διὰ φιλαυτίαν τὰ σφάλματα, οὐχ ὑπομένουσι τὸν θεόφιλον καὶ τελεςφόρον θεὸν αἴτιον ἀποφῆναι τῶν ἀγαθῶν.

§. 40. Εἰσὶ δὲ οἳ πάντα κάλων εὐσεβείας ἀνασείσαντες ἐνορμίσασθαι τοῖς λιμέσιν αὐτῆς ταχυναυτοῦντες ἐσπούδασαν· καὶ ἔπειτ᾽ οὐ μακρὰν ἀφεστηκότων, ἀλλ᾽ ἤδη μελλόντων προςίσχειν, αἰφνίδιον ἐξεναντίας καταῤῥαγὲν πνεῦμα πλησίον, εὐθυδρομοῦν τὸ σκάφος ἀνέωσεν, ὡς ὑποκεῖραι πολλὰ τῶν πρὸς εὔπλοιαν συνεργούντων. Τούτους οὐκ ἄν τις θαλαττεύοντας ἔτι αἰτιάσαιτο· ἀκούσιος γὰρ αὐτοῖς ἐπιγιγνομένοις γέγονεν ἡ βραδυτής. Τίς οὖν ἀπεικάζεται τούτοις, ἢ ὁ τὴν μεγάλην λεγομένην εὐξάμενος εὐχήν; "Ἐὰν γάρ τις," φησὶν, "ἀποθάνῃ ἐπ᾽ αὐτῷ αἰφνιδίως, παραχρῆμα μιανθήσεται ἡ κεφαλὴ εὐχῆς αὐτοῦ, καὶ ξυρήσεται **)." Εἶτα ὀλίγα προςειπὼν ἐπιφέρει, "Αἱ δὲ ἡμέραι αἱ πρότεραι ἄλογοι ἔσονται, ὅτι ἐμιάνθη ἡ κεφαλὴ εὐχῆς αὐτοῦ." Δι᾽ ἀμφοτέρων, τοῦ τε "αἰφνίδιον" καὶ τοῦ "παραχρῆμα" εἰπεῖν, ἡ ἀκούσιος παρίσταται τῆς ψυχῆς τροπή. Πρὸς μὲν γὰρ τὰ ἑκούσια τῶν ἁμαρτημάτων εἰς τὸ βουλεύσασθαι ποῦ καὶ πότε καὶ πῶς πρακτέον, χρόνου δεῖ· τὰ δὲ ἀκούσια ἐξαίφνης, ἀπεριςκέπτως, καὶ, εἰ οἷόν τε τοῦτ᾽ εἰπεῖν, ἀχρόνως κατασκήπτει. Χαλεπὸν γὰρ, ὥςπερ τοὺς δρομεῖς, ἀρξαμένους ὁδοῦ τῆς πρὸς εὐσέβειαν ἀπταίστως καὶ ἀπνευστὶ διευθῦναι τὸν δρόμον, ἐπειδὴ 213 P.

*) Deut. 8, 18. **) Num. 6, 9.

μυρία ἐμποδὼν παντὶ τῷ γενομένῳ. Πρότερον μὲν, ὃ ἓν καὶ μόνον εὐεργεσία, μηδενὸς τῶν κατὰ γνώμην ἀδικημάτων ἐφάψασθαι, πᾶσάν τε τὴν ἀμήχανον τῶν ἑκουσίων πληθὺν ἰσχύσε διώσασθαι· δεύτερον δὲ, τὸ μήτε πολλοῖς ἀκουσίων, μήτ᾽ ἐπὶ μήκιστον χρόνον διατρῖψαι. Παγκάλως δὲ τὸ, τῆς ἀκουσίου τροπῆς ἡμέρας εἶπεν "ἀλόγους," οὐ μόνον ἐπειδὴ τὸ ἁμαρτάνειν ἄλογον, ἀλλ᾽ ὅτι καὶ τῶν ἀκουσίων λόγον οὐκ ἔστιν ἀποδοῦναι. Παρ᾽ ὃ καὶ
327 πυνθανομένων πολλάκις τὰς τῶν πραγμάτων αἰτίας,
M φαμὲν μήτ᾽ εἰδέναι μήτ᾽ εἰπεῖν δύνασθαι· μήτε γὰρ
γιγνομένων συμπαραληφθῆναι, ἀλλὰ καὶ τὴν ἄφιξιν αὐτῶν ἀγνοῆσαι. Σπάνιον οὖν εἴ τῳ δορήσεται ὁ θεὸς ἀπ᾽ ἀρχῆς ἄχρι τέλους σταδιεῦσαι τὸν βίον, μήτ᾽ ὀκλάσαντι, μήτ᾽ ὀλισθήσαντι, ἀλλ᾽ ἑκατέραν φύσιν ἀδικημάτων ἑκουσίων τε καὶ ἀκουσίων, ῥύμῃ καὶ φορᾷ τάχους ὠκυδρομωτάτους ὑπερπτῆναι. Ταῦτα μὲν οὖν ἀρχῆς τε πέρι καὶ τέλους εἴρηται διὰ Νῶε τὸν δίκαιον, ὃς τὰ πρῶτα καὶ στοιχειώδη τῆς γεωργικῆς κτησάμενος τέχνης ἄχρι τῶν περάτων αὐτῆς ἐλθεῖν ἠσθένησε. Λέγεται γὰρ ὅτι "ἤρξατο γῆς εἶναι γεωργὸς*)," οὐ τῶν ὅρων τὰς ἄκρας ἐπιστήμης ἐλάβετο. Τὰ δὲ περὶ τῆς φυτουργίας εἰρημένα αὐτοῦ λέγωμεν αὖθις.

*) Gen. 9, 20.

ΠΕΡΙ

ΦΥΤΟΥΡΓΙΑΣ ΝΩΕ

ΤΟ ΔΕΥΤΕΡΟΝ.

DE

PLANTATIONE NOE

LIBER SECUNDUS.

ARGUMENTUM.

(Cf. Gen. 9, 20.)

Mundus, quem plantam primam a deo creatam dicere licet, lege dei fertur, quoniam nihil praeter hanc eum sustentare valeret (1 et 2). Arboris feracissimae similis particulares ei insunt stirpes innumerae, quarum aliae, animantes, moventur, aliae, plantae, non item (3). Variae earum sunt species; sed omnes superat genus humanum, cuius naturam merito Moyses ab ipso deo ortam dicit (4 et 5). Quam ob rem vultum homo habet erectum, ut semper quaerat primam patriam, coelum, id quod sursum vocari Moysi dicitur (6). Sicut in mundo universo, ita etiam in homine, tanquam microcosmo, variae conditae plantae, quarum aliae sunt maioris, aliae minoris dignitatis. Illae sunt animi facultates, hi sensus, quod etiam paradisi plantatione significatur (7 — 10), aeque atque arca Noë (11). Quodsi illas, ut fructus edant, satis nos coluerimus, tum hereditatis iure dei erimus, uti Israel (12 — 15). Id nobis con-

tinget, si, ut Socrates, res terrenas fastidimus, solasque aeternas expetimus (16); illis vir bonus non indiget, eius enim sunt omnia (17). Primaria planta animi nostri est sententia, quae deum rerum omnium initium et finem esse statuit, locus (χωρίον) eius, quod nihil in rebus creatis invenitur perfectum, exceptis his, quae gratia dei opitulante invenimus, fructus denique, certa persuasio, deum paterno amore hominibus incessanter benefacere (18 — 21). Qui semet ipsos non satis perfectos sentiunt, in regionem a deo promissam, i. e viam sapientiae ingrediantur (22), moresque pravos abiiciant, quales sunt fraudes in commercio mutuo (23), malae artes in rebus amatoriis (24), religionum ceremoniae liberali pioque homine indignae (25), aliaque id genus plura. Sincerum animum per triennium, i. e. in omnia saecula servare (27), id quod maxime puerili aetate bene instituta efficitur, sanctumque deo anno quarto, i. e. ratione perfectissima exhibere, — quod optime fit hymnis piis animo potius quam ore decantandis, et enarratione operum dei, quibus rebus deus magis gaudet quam templis, donariis et sacrificiis (28 — 31), — id optimos nobis fructus quinto anno, i. e. ratione hominis naturae accommodata parabit a deo (32 et 33). Haec docemur agricultura Noë. Quod autem hic sanctissimus vir primus vinum plantasse, bibisse et inebriatus esse dicitur (34), hoc docemur, id quod etiam philosophi prisci tradiderunt (35), vinum i. merum modice quidem bibere licere, quo animus et corpus reficiantur (36 et 37), non tamen nimium potare; ita enim vinum nos excitat ad male facienda, quae sacrificiis expiare non possumus; nam nemo malus revera sacrificat (38 — 42).

---

329 §. 1. Ἐν μὲν τῷ προτέρῳ βιβλίῳ τὰ περὶ 214
M. γεωργικῆς τέχνης γενικῶς, ὅσα καιρὸς ἦν, εἴπομεν, P.
ἐν δὲ τούτῳ περὶ τῆς κατ' εἶδος ἀμπελουργικῆς, ὡς ἂν οἷόν τε ᾖ, ἀποδώσομεν. Τὸν γὰρ δίκαιον οὐ γεωργὸν μόνον ἀλλὰ καὶ ἰδίως ἀμπελουργὸν εἰσάγει φάσκων, "Ἤρξατο Νῶε ἄνθρωπος εἶναι γεωργὸς γῆς καὶ ἐφύτευσεν ἀμπελῶνα*)." Προσήκει δὲ

*) Gen. 9, 20.

τὸν μέλλοντα περὶ τῶν κατὰ μέρος φυτῶν τε καὶ
γεωργιῶν διεξιέναι, κατανοῆσαι πρῶτον τὰ τελειό-
τατα τοῦ παντὸς φυτὰ, καὶ τὸν μέγαν φυτουργὸν
καὶ ἐπιστάτην αὐτῶν. Ὁ μὲν τοίνυν τῶν φυτουρ-
γῶν μέγιστος καὶ τὴν τέχνην τελειότατος ὁ τῶν
ὅλων ἡγεμών ἐστι· φυτὸν δὲ οὐ περιέχον ἐν ἑαυτῷ
τὰ ἐν μέρει φυτὰ, ἀλλὰ παμμυρία, καθάπερ κλη-
ματίδας ἐκ μιᾶς ἀναβλαστάνοντα ῥίζης, ὅδε ὁ κό-
σμος. Ἐπειδὴ γὰρ τὴν οὐσίαν ἄτακτον καὶ συγκεχυ-
μένην οὖσαν ἐξ αὑτῆς εἰς τάξιν ἐξ ἀταξίας, καὶ ἐκ
συγχύσεως εἰς διάκρισιν ἄγων ὁ κοσμοπλάστης μορ-
φοῦν ἤρξατο, γῆν μὲν καὶ ὕδωρ ἐπὶ τὸ μέσον ἐῤ-
330 ῥίζου, τὰ δὲ ἀέρος καὶ πυρὸς δένδρα πρὸς τὴν
M. μετάρσιον ἀνεῖλκεν ἀπὸ τοῦ μέσου χώραν· τὸν δὲ
αἰθέριον ἐν κύκλῳ τόπον ὠχυροῦτο, τῶν ἐντὸς ὅρον
τε καὶ φυλακτήριον αὐτὸν τιθεὶς, ἀφ' οὗ καὶ ὁ οὐ-
ρανὸς ὠνομάσθαι δοκεῖ· ὀχεῖσθαι μὲν γῆν ὕδατι
ξηρὰν οὖσαν, ἣν δέον ἦν ὕδατι διαλύεσθαι, πυρὶ
δὲ ἀέρα θερμῷ φύσει τὸν ἐξ ἑαυτοῦ ψυχρότατον,
θαῦμα ἔκτοπον, ὁ θαυματοποιὸς εἰργάζετο. Πῶς
γὰρ οὐ τεράστιον, ὑπὸ μὲν τοῦ λυομένου συνέχεσθαι
τὸ λύον, πρὸς γῆς ὕδωρ· ἐπὶ δὲ τῷ ψυχροτάτῳ
τὸ θερμότατον ἄσβεστον ἱδρύσασθαι, πῦρ ἐπὶ ἀέρι;
Καὶ ταῦτα μὲν τὰ τέλεια τοῦ παντὸς ἦν μοσχεύ-
ματα· τὸ δὲ παμμέγεθες καὶ παμφορώτατον ἔρνος, 215
ὁ κόσμος οὗτος; οὗ παραφυάδες οἱ εἰρημένοι P.
βλαστοί.

§. 2. Ὅπου ποτ' οὖν ἄρα τὰς ῥίζας καθῆκε,
καὶ τίς ἐστιν αὐτῷ βάσις, ἐφ' ἧς ὥςπερ ἀνδριὰς
ἐρήρεισται, σκεπτέον. Σῶμα μὲν οὖν οὐδὲν ἀπο-
λειφθὲν εἰκὸς ἔξω πλανᾶσθαι, πᾶσαν τὴν δι' ὅλων
ὕλην ἐργασαμένου καὶ διακοσμήσαντος θεοῦ. Τε-
λειότατον γὰρ ἥρμοττε τὸ μέγιστον τῶν ἔργων τῷ
μεγίστῳ δημιουργῷ διαπλάσασθαι. Τελειότατον δὲ
οὐκ ἂν ἦν, εἰ μὴ τελείοις συνεπληροῦτο μέρεσιν·
ὥςτε ἐκ γῆς ἁπάσης καὶ παντὸς ὕδατος καὶ ἀέρος

των ὄνησις; Ἀλλ' οὐχ ἁλώσονται; Εὐθὺς μὲν οὖν τό γε ἐπὶ τοῖς ἀστρατεύτοις πείσονται. Οἴκοι γὰρ καθιζομένων καὶ τρυφώντων, ἀνάγκη τοὺς τὰ τοῦ πολέμου συντόνως δρῶντας ἐχθροὺς οὐκ ἀναιμωτὶ μόνον ἀλλὰ καὶ ἀκονιτὶ κρατεῖν. Ἀλλὰ τὸ τῶν ἄλλων συμμάχων πλῆθος καὶ τὸν ὑπὲρ τούτων ἀγῶνα προθύμως ἀναδέξεται. Πρῶτον μὲν ἄτοπον ἐπὶ ταῖς ἑτέρων σπουδαῖς ἢ τύχαις ὁρμεῖν, καὶ μάλιστα ὅτε περὶ ἀναστάσεως καὶ ἀνδραποδισμοῦ καὶ πορθήσεως ἴδιός τε καὶ κοινὸς ἐπικρέμαται κίνδυνος, δυναμένοις συνδιαφέρεσθαι τὰ τοῦ πολέμου, καὶ μήθ' ὑπὸ νόσου μήθ' ὑπὸ γήρως μήθ' ὑπ' ἄλλης κακοπραγίας μηδεμιᾶς κωλυομένοις. Ἁρπάσαντας γὰρ δεῖ τὰ ὅπλα ἐν ταῖς πρώταις φάλαγξι τούτους καὶ ὑπερέχειν τῶν συμμάχων τὰς ἀσπίδας, ἐκθύμως καὶ φιλοκινδύνως μαχομένους.

§. 35. Ἔπειτ' οὐ προδοσίας μόνον, ἀλλὰ καὶ πολλῆς ἀναλγησίας ἐξενηνοχότες εἶεν δείγματα, εἰ οἱ μὲν ἄλλοι προπολεμήσουσιν, αὐτοὶ δὲ πρὸς τοῖς οἰκείοις πράγμασιν ἔσονται; Καὶ οἱ μὲν τοὺς ὑπὲρ τῆς ἐκείνων σωτηρίας ἀγῶνας ἀναῤῥίπτειν θελήσουσιν, οἱ δὲ οὐδὲ τοὺς ὑπὲρ ἑαυτῶν ἀναδέξονται; Καὶ οἱ μὲν ἀσιτίας καὶ χαμευνίας καὶ τὰς ἄλλας σώματός τε καὶ ψυχῆς κακώσεις ἄσμενοι διὰ τὸν τοῦ νικῆσαι πόθον καρτερήσουσιν, οἱ δὲ κονιάματα καὶ λήρους, κόσμον ἄψυχον, οἰκίαις περιτιθέντες, ἢ τὴν κατ' ἀγροὺς ὀπώραν δρεπόμενοι καὶ τὰ ἐπιλήνια ἄγοντες, ἢ ταῖς ὁμολογηθείσαις ἔκπαλαι παρθένοις νῦν πρῶτον εἰς ὁμιλίαν ἐρχόμενοι καὶ συνευναζόμενοι, ὡς ἐν ἐπιτηδειοτάτῳ τοῦ γαμεῖν καιρῷ, διατελοῦσι; Καλόν γε τοίχων ἐπιμελεῖσθαι, προσόδους ἐκλέγειν, ἑστιᾶσθαι, μεθύειν, θαλαμεύεσθαι, νυμφοστολεῖσθαι τὰς γεγηρακυίας καὶ σαπρὰς, τὸ λεγόμενον· ἀλλ' εἰρήνης ἔργα. Ἐν δ' ἔτι ἡβῶντός τε καὶ ἀνθοῦντος ἀκμῇ πολέμου πάντα δρᾶν, ἢ τούτων οὐχ ὁ πατὴρ, οὐκ ἀδελφὸς, οὐ τῶν ἀφ' αἵματος

οὐδεὶς, οὐ γένους ἐστράτευται, ἀλλὰ πανοίκιος αὐτοῖς
824 ἐμπεφώλευκεν ἡ δειλία; Ἀλλὰ πάντως εἰσὶ μυρίοι
M. τῶν συγγενῶν ἀγωνιζόμενοι· τούτων οὖν τὸν ὑπὲρ
τῆς ψυχῆς κίνδυνον αἱρουμένων, οἱ χλιδῶντες καὶ 210
ἁβροδιαίτως ζῶντες, τίνας οὐκ ἂν ἀτιθάσσους θῆρας P.
δι' ὑπερβολὴν ὠμότητος παραδράμοιεν; Ἀλλὰ χα-
λεπὸν τὸ ἑτέρους ἀπονητὶ τῶν ἡμετέρων ἀπολαῦσαι
πόνων. Καὶ πότερον χαλεπώτερον, ἐχθροὺς ἔτι
ζώντων, ἢ φίλους καὶ συγγενεῖς τετελευτηκότων ἐπὶ
τὸν κλῆρον ἐλθεῖν; Ἢ καὶ τὸ συγκρίνειν τὰ οὕτω
μακρὰν ἀφεστῶτα εὔηθες. Καὶ μὴν εὔλογον, μὴ
μόνον ὅσα τοῖς ἀστρατεύτοις πρόσεστιν, ἀλλὰ καὶ
αὐτοὺς ἐκείνους ἐχθρῶν κεκρατηκότων γενέσθαι κτή-
ματα· τοῖς δέ γε ἀποθνήσκουσιν ὑπὲρ τῆς κοινῆς
σωτηρίας, καὶ εἰ μηδενὸς ἀπέλαυσαν, ἀφ' ὧν ἂν τὸ
πρότερον εἶχον τῶν κατὰ τὴν οὐσίαν, ἡδίστη τε-
λευτὴ γίνεται, λογιζομένοις ὅτι πρὸς οὓς ηὔξαντο
διαδόχους τὴν οὐσίαν ἐλθεῖν ἔτυχε.

§. 36. Τὸ μὲν οὖν τοῦ νόμου ῥητὸν τοσαύτας
καὶ ἔτι πλείους ἐπισκήψεις ἴσως ἔχει. Ὡς δὲ μηδεὶς
εὑρεσιλογῶν θρασύνηται τῶν κακοτεχνούντων, ἀλλη-
γοροῦντες φήσομεν ὅτι πρῶτον μὲν οὐ μόνον οἴεται
δεῖν ὁ νόμος περὶ τὴν τῶν ἀγαθῶν πονεῖσθαί τινα
κτῆσιν, ἀλλὰ καὶ περὶ τὴν τῶν κτηθέντων ἀπόλαυ-
σιν, καὶ τό γε εὐδαιμονεῖν ἀρετῆς χρήσει τελείας πε-
ριγενέσθαι νομίζει, σῶον καὶ παντελῆ περιποιούσης
βίον. Ἔπειθ' ὅτι οὐ περὶ οἰκίας, ἢ ἀμπελῶνος, ἢ
τῆς καθ' ὁμολογίαν ἐγγυηθείσης γυναικός ἐστιν ὁ
λόγος αὐτῷ, ὅπως τὴν μὲν ὡς μνηστὴρ ἀγάγηται,
τοῦ δ' ἀμπελῶνος τὸν καρπὸν ὁ φυτουργὸς ἀποδρε-
ψάμενος καὶ ἀποθλίψας, εἶτ' ἐμπιὼν μεθύσματος
ἀκράτου γανωθῇ, τὴν δ' οἰκίαν ὁ ἀναδειμάμενος οἰ-
κήσῃ· ἀλλὰ περὶ τῶν κατὰ ψυχὴν δυνάμεων, δι' ὧν
συμβέβηκεν ἀρχάς τε λαμβάνειν καὶ προκοπὰς καὶ
τελειότητας ἐν πράξεσιν ἐπαινεταῖς. Αἱ μὲν τοίνυν
ἀρχαὶ περὶ μνηστῆρα φιλοῦσι γίνεσθαι. Καθάπερ

γὰρ ὁ μνώμενος γυναῖκα μέλλει, ἐπεὶ ἀνὴρ οὐ γέγονεν ἤδη, τὸν αὐτὸν τρόπον ὁ εὐφυὴς εὐγενῆ μὲν καὶ καθαρὰν ἄξεσθαι παρθένον, παιδείαν, ἐλπίζεται, μνᾶται δ᾽ αὐτίκα. Αἱ δὲ προκοπαὶ περὶ γεωργόν. Ὡς γὰρ ἐπιμελὲς τῷ φυτουργῷ τὰ δένδρα αὔξεσθαι, καὶ τῷ φιλομαθεῖ τὰ φρονήσεως θεωρήματα ποιῆσαι μηκίστην λαβεῖν ἐπίδοσιν. Αἱ δὲ τελειότητες περὶ δημιουργίαν οἰκίας, τελειουμένης μὲν, οὔπω δὲ πῆξιν λαβούσης.

σε §. 37. Ἁρμόττει δὲ πᾶσι τούτοις, ἀρχομένοις, προκόπτουσι, τετελειωμένοις, βιοῦν ἀφιλονείκως, καὶ μὴ τῷ τῶν σοφιστῶν ἐπαποδύεσθαι πολέμῳ, δύσεριν ταραχὴν ἐπὶ ποθείᾳ τοῦ ἀληθοῦς ἀεὶ μελετῶντι·
325 ἐπειδὴ τὸ ἀληθὲς εἰρήνῃ φίλον, ἢ δυσμενὴς αὐ-
M. τοῖς. Εἰ γὰρ εἰς τοῦτον ἀφίξονται τὸν ἀγῶνα, πρὸς ἐμπειροπολέμους ἰδιῶται, παντελῶς ἁλώσονται· ὁ 211
μὲν ἀρχόμενος, ὅτι ἄπειρος, ὁ δὲ προκόπτων, ὅτι P.
ἀτελὴς, ὁ δὲ τέλειος, ὅτι οὔπω ἄτριβος ἀρετῆς. Δεῖ δὲ ὥσπερ τὰ κονιάματα στηριχθῆναι βεβαίως καὶ λαβεῖν πῆξιν, οὕτω τὰς τῶν τελειωθέντων ψυχὰς κραταιωθείσας, παγιώτερον ἱδρυνθῆναι μελέτῃ συνεχεῖ καὶ γυμνάσμασιν ἐπαλλήλοις. Οἱ δὲ μὴ τούτων τυγχάνοντες παρὰ τοῖς φιλοσόφοις διαλεληθότες εἶναι λέγονται σοφοί. Τοὺς γὰρ ἄχρι σοφίας ἄκρας ἐληλακότας, καὶ τῶν ὅρων αὐτῆς ἄρτι πρῶτον ἁψαμένους, ἀμήχανον εἰδέναι φασὶ τὴν ἑαυτῶν τελείωσιν. Μὴ γὰρ κατὰ τὸν αὐτὸν χρόνον ἄμφω συνίστασθαι, τήν τε πρὸς τὸ πέρας ἄφιξιν, καὶ τὴν τῆς ἀφίξεως κατάληψιν· ἀλλ᾽ εἶναι μεθόριον ἄγνοιαν, οὐ τὴν μακρὰν ἀπεληλαμένην ἐπιστήμης, ἀλλὰ τὴν ἐγγὺς καὶ ἀγχίθυρον αὐτῇ. Τοῦτο μὲν καταλαμβάνοντος καὶ συνιέντος, καὶ τὰς αὐτῶν δυνάμεις ἐπισταμένου ἄκρως, γένοιτ᾽ ἂν ἔργον πολεμῆσαι τῷ φιλέριδι καὶ σοφιστικῷ στίφει· νικήσειν γὰρ τὸν τοιοῦτον ἐλπίς. Οἱ δὲ ἔτι τὸ ἀγνοίας ἐπίπροσθεν, εἰκότως, μήπω τὸ τῆς ἐπιστήμης ἀναλάμψαι φέγγος

ἰσχυκότι, ἀσφαλὲς οἴκοι καταμεῖναι· τουτέστιν εἰς τὴν περὶ ὧν ἄκρως οὐ κατείληφε, μὴ παρελθεῖν ἅμιλλαν, ἀλλ' ἠρεμῆσαί τε καὶ ἡσυχάσαι. Ὁ δὲ ὑπ' αὐθαδείας ἐξενεχθεὶς, τὰ παλαίσματα τῶν ἀντιπάλων οὐκ εἰδὼς, πρὶν δρᾶσαι, παθεῖν φθήσεται, καὶ τὸν ἐπιστήμης θάνατον ἐνδέξεται, ὅς ἐστιν ἀργαλεώτερος τοῦ ψυχὴν καὶ σῶμα διακρίνοντος. Ὀφείλει δὲ τοῦτο συμβαίνειν τοῖς πρὸς τῶν σοφισμάτων ἀπατωμένοις· ὅταν γὰρ τὰς λύσεις αὐτῶν εὑρεῖν μὴ δυνηθῶσιν, ὡς ἀληθέσι τοῖς κατεψευσμένοις πεπιστευκότες, ἀποθνήσκουσι βίον τὸν τῆς ἐπιστήμης, ταὐτὸν πεπονθότες τοῖς ὑπὸ κολάκων φενακιζομένοις. Καὶ γὰρ τούτων ἡ τῆς ψυχῆς ὑγιαίνουσα καὶ ἀληθὴς ὑπὸ τῆς φύσει νοσερᾶς ἐξωθεῖται καὶ ἀνατρέπεται φιλίας.

§. 38. Συμβουλευτέον οὖν εἰς τοὺς τοιούτους ἀγῶνας μὴ παρέρχεσθαι τοῖς τε ἀρχομένοις τοῦ μανθάνειν, ἀνεπιστήμονες γὰρ, καὶ τοῖς προκόπτουσι, διότι οὐ τέλειοι, καὶ τοῖς πρῶτον τελειωθεῖσι, διότι λέληθεν αὐτοὺς ἄχρι πη τελειότης. Τῶν δὲ ἀπειθησάντων, "ἄλλος," φησὶν, "ἄνθρωπος τὴν μὲν οἰκίαν οἰκήσει, τὸν δὲ ἀμπελῶνα κτήσεται, τὴν δὲ γυναῖκα ἄξεται *)." Τὸ δ' ἐστὶν ἴσον τῷ· αἱ λεχθεῖσαι δυνάμεις, σπουδῆς, βελτιώσεως, τελειώ-
326 σεως, ἐπιλείψουσι μὲν οὐδέποτε, ἄλλοτε δὲ ἄλλοις
M. ἐνομιλήσουσιν ἀνθρώποις ἐπιφοιτῶσαι, καὶ τὰς ψυ-
χὰς οὐ τὰς αὐτὰς ἀμείβουσαι, σφραγῖσιν ὁμοιούμε-
ναι. Καὶ γὰρ αὗται τὸν κηρὸν ἐπειδὰν τυπώσω- 212
σι, παθοῦσαι μηδὲν, ἀπ' αὐτῶν εἶδος ἐγχαράξασαι, P.
μένουσιν ἐν ὁμοίῳ, κἂν ὁ τυπωθεὶς συγχυθῇ κηρὸς καὶ ἀφανισθῇ, πάλιν ἕτερος ὑποβληθήσεται. Ὥστε, ὦ γενναῖοι, μὴ ὑπολαμβάνετε συμφθειρομένοις συμφθείρεσθαι τὰς δυνάμεις ὑμῖν. Ἀθάνατοι γὰρ οὖσαι μυρίους ἄλλους πρὸ ὑμῶν ἀσπάζονται τῆς ἀπ' αὐ-

*) Deut. 20, 5.

τῶν εὐκλείας· οὓς ἂν αἴσθωνται, μὴ ὥςπερ ὑμᾶς διὰ τὸ ῥιψοκίνδυνον ἀποδεδρακότας τὴν ὁμιλίαν αὐτῶν, ἀλλὰ προςιόντας καὶ θεραπευτικῶς ἀσφαλείας ἔχοντας. Εἰ δέ τις ἀρετῆς φίλος, εὐχέσθω τὰ καλὰ πάντα ἐμφυτευθῆναι αὐτῷ, καὶ ἐπὶ τῆς ἑαυτοῦ ψυχῆς φανῆναι, καθάπερ ἐν ἀνδριάντι καὶ γραφῇ τελείᾳ τὰς εἰς εὐμορφίαν συμμετρίας· λογιζόμενος ὅτι εἰσὶν ἔφεδροι μυρίοι, οἷς ἡ φύσις ἀντ' αὐτοῦ δωρήσεται ταῦτα πάντα, εὐμαθείας, προκοπάς, τελειότητας. Ἄμεινον δὲ πρὸ ἐκείνων αὐτὸν ἐκλάμψαι, ταμιευόμενον τὰς ὑπὸ τοῦ θεοῦ δοθείσας ἀσφαλῶς χάριτας, καὶ μὴ προενεγκόντα πόρθησιν ἐχθροῖς ἀφειδοῦσιν ἑτοιμοτάτην λείαν παρασχεῖν.

§. 39. Οὔκουν βραχὺ ὄφελος ἀρχῆς, ἣν τέλος αἴσιον οὐκ ἐσφράγισεν; Πολλάκις μέντοι καὶ τελειωθέντες τινὲς ἀτελεῖς ἐνομίσθησαν, τῷ παρὰ τὴν ἰδίαν προθυμίαν, ἀλλὰ μὴ κατ' ἐπιφροσύνην θεοῦ βελτιωθῆναι δόξαι· καὶ διὰ τοῦτο μέντοι τὸ δόξαι νεωτερισθέντες καὶ ἐξαρθέντες ἐπὶ μήκιστον, ἀφ' ὑψηλοτέρων χωρίων εἰς ἔσχατον κατενεχθέντες βυθὸν, ἠφανίσθησαν. "Ἐὰν γὰρ," φησὶν, "οἰκοδομήσῃς οἰκίαν καινὴν, καὶ ποιήσῃς στεφάνην τῷ δώματι, καὶ οὐ ποιήσεις φόνον ἐν τῇ οἰκίᾳ σου, ἐὰν πέσῃ ὁ πεσὼν ὑπ' αὐτοῦ*)." Πτωμάτων γὰρ ἀργαλεώτατον θεοῦ τιμῆς ἀποπεσεῖν ὀλισθόντα, στεφανώσαντα πρὸ ἐκείνου ἑαυτὸν, καὶ φόνον ἐμφύλιον ἐργασάμενον. Κτείνει γὰρ τὴν ἑαυτοῦ ψυχὴν ὁ μὴ τὸ ὂν τιμῶν, ὡς ἀνόητον αὐτῷ γενέσθαι παιδείας τὸ οἰκοδόμημα. Παιδεία δὲ φύσιν ἔλαχε τὴν ἀγήρων· διόπερ καινὴν εἶπε τὴν οἰκίαν αὐτῆς. Τὰ μὲν γὰρ ἄλλα χρόνῳ φθείρεται· ἡ δ' ἐφ' ὅσον πρόεισιν ἐπὶ μήκιστον ἡβᾷ καὶ ἐπακμάζει, τὸ ἀειθαλὲς εἶδος φαιδρυνομένη καὶ ταῖς συνεχέσιν ἐπιμελείαις κινου-
327 μένη. Καὶ ἐν τοῖς προτρεπτικοῖς μέντοι παραινεῖ,
M.

*) Deut. 22, 8.

τοὺς κτῆσιν ἀγαθῶν λαχόντας πλείστην μὴ ἑαυτοὺς ἀναγράψαι τῆς κτήσεως αἰτίους, ἀλλὰ καὶ "μνησθῆναι θεοῦ τοῦ διδόντος ἰσχὺν ποιῆσαι δύναμιν *)." Τοῦτο μὲν οὖν τὸ εὐπραγίας ἦν πέρας, ἀρχαὶ δ' ἐκεῖναι· ὥςτε τοὺς ἐκλανθανομένους τοῦ τέλους, μηδὲ τῆς τῶν κτηθέντων εὖ ἂν ἐπαπόνασθαι δυνηθῆναι. Τούταις μὲν οὖν ἑκούσια γίνεται διὰ φιλαυτίαν τὰ σφάλματα, οὐχ ὑπομένουσι τὸν θεόφιλον καὶ τελεςφόρον θεὸν αἴτιον ἀποφῆναι τῶν ἀγαθῶν.

§. 40. Εἰσὶ δὲ οἳ πάντα κάλων εὐσεβείας 218
ἀνασείσαντες ἐνορμίσασθαι τοῖς λιμέσιν αὐτῆς τα- P.
χυναυτοῦντες ἐσπούδασαν· καὶ ἔπειτ' οὐ μακρὰν ἀφεστηκότων, ἀλλ' ἤδη μελλόντων προςίσχειν, αἰφνίδιον ἐξεναντίας καταῤῥαγὲν πνεῦμα πλησίον, εὐθυδρομοῦν τὸ σκάφος ἀνέωσεν, ὡς ὑποκεῖραι πολλὰ τῶν πρὸς εὔπλοιαν συνεργούντων. Τούτους οὐκ ἄν τις θαλαττεύοντας ἔτι αἰτιάσαιτο· ἀκούσιος γὰρ αὐτοῖς ἐπιγιγνομένοις γέγονεν ἡ βραδυτής. Τίς οὖν ἀπεικάζεται τούτοις, ἢ ὁ τὴν μεγάλην λεγομένην εὐξάμενος εὐχήν; "Ἐὰν γάρ τις," φησίν, "ἀποθάνῃ ἐπ' αὐτῷ αἰφνιδίως, παραχρῆμα μιανθήσεται ἡ κεφαλὴ εὐχῆς αὐτοῦ, καὶ ξυρήσεται **)." Εἶτα ὀλίγα προςειπὼν ἐπιφέρει, "Αἱ δὲ ἡμέραι αἱ πρότεραι ἄλογοι ἔσονται, ὅτι ἐμιάνθη ἡ κεφαλὴ εὐχῆς αὐτοῦ." Δι' ἀμφοτέρων, τοῦ τε "αἰφνίδιον" καὶ τοῦ "παραχρῆμα" εἰπεῖν, ἡ ἀκούσιος παρίσταται τῆς ψυχῆς τροπή. Πρὸς μὲν γὰρ τὰ ἑκούσια τῶν ἁμαρτημάτων εἰς τὸ βουλεύσασθαι ποῦ καὶ πότε καὶ πῶς πρακτέον, χρόνου δεῖ· τὰ δὲ ἀκούσια ἐξαίφνης, ἀπερισκέπτως, καί, εἰ οἷόν τε τοῦτ' εἰπεῖν, ἀχρόνως κατασκήπτει. Χαλεπὸν γάρ, ὥςπερ τοὺς δρομεῖς, ἀρξαμένους ὁδοῦ τῆς πρὸς εὐσέβειαν ἀπταίστως καὶ ἀπνευστὶ διευθῦναι τὸν δρόμον, ἐπειδὴ

*) Deut. 8, 18. **) Num. 6, 9.

μυρία ἐμποδὼν παντὶ τῷ γενομένῳ. Πρότερον μὲν, ὃ ἓν καὶ μόνον εὐεργεσία, μηδενὸς τῶν κατὰ γνώμην ἀδικημάτων ἐφάψασθαι, πᾶσάν τε τὴν ἀμήχανον τῶν ἑκουσίων πληθὺν ἰσχύσε διώσασθαι· δεύτερον δὲ, τὸ μήτε πολλοῖς ἀκουσίων, μήτ' ἐπὶ μήκιστον χρόνον διατρῖψαι. Παγκάλως δὲ τὸ, τῆς ἀκουσίου τροπῆς ἡμέρας εἶπεν "ἀλόγους," οὐ μόνον ἐπειδὴ τὸ ἁμαρτάνειν ἄλογον, ἀλλ' ὅτι καὶ τῶν ἀκουσίων λόγον οὐκ ἔστιν ἀποδοῦναι. Παρ' ὃ καὶ
827 πυνθανομένων πολλάκις τὰς τῶν πραγμάτων αἰτίας,
M φαμὲν μήτ' εἰδέναι μήτ' εἰπεῖν δύνασθαι· μήτε γὰρ γιγνομένων συμπαραληφθῆναι, ἀλλὰ καὶ τὴν ἄφιξιν αὐτῶν ἀγνοῆσαι. Σπάνιον οὖν εἴ τῳ δωρήσεται ὁ θεὸς ἀπ' ἀρχῆς ἄχρι τέλους σταδιεῦσαι τὸν βίον, μήτ' ὀκλάσαντι, μήτ' ὀλισθήσαντι, ἀλλ' ἑκατέραν φύσιν ἀδικημάτων ἑκουσίων τε καὶ ἀκουσίων, ῥύμῃ καὶ φορᾷ τάχους ὠκυδρομωτάτους ὑπερπτῆναι. Ταῦτα μὲν οὖν ἀρχῆς τε πέρι καὶ τέλους εἴρηται διὰ Νῶε τὸν δίκαιον, ὃς τὰ πρῶτα καὶ στοιχειώδη τῆς γεωργικῆς κτησάμενος τέχνης ἄχρι τῶν περάτων αὐτῆς ἐλθεῖν ἠσθένησε. Λέγεται γὰρ ὅτι "ἤρξατο γῆς εἶναι γεωργὸς*)," οὐ τῶν ὅρων τὰς ἄκρας ἐπιστήμης ἐλάβετο. Τὰ δὲ περὶ τῆς φυτουργίας εἰρημένα αὐτοῦ λέγωμεν αὖθις.

*) Gen. 9, 20.

ΠΕΡΙ

ΦΥΤΟΥΡΓΙΑΣ ΝΩΕ

ΤΟ ΔΕΥΤΕΡΟΝ.

DE

PLANTATIONE NOE

LIBER SECUNDUS.

ARGUMENTUM.

(Cf. Gen. 9, 20.)

Mundus, quem plantam primam a deo creatam dicere licet, lege dei fertur, quoniam nihil praeter hanc eum sustentare valeret (1 et 2). Arboris feracissimae similis particulares ei insunt stirpes innumerae, quarum aliae, animantes, moventur, aliae, plantae, non item (3). Variae earum sunt species; sed omnes superat genus humanum, cuius naturam merito Moyses ab ipso deo ortam dicit (4 et 5). Quam ob rem vultum homo habet erectum, ut semper quaerat primam patriam, coelum, id quod sursum vocari Moysi dicitur (6). Sicut in mundo universo, ita etiam in homine, tanquam microcosmo, variae conditae plantae, quarum aliae sunt maioris, aliae minoris dignitatis. Illae sunt animi facultates, hi sensus, quod etiam paradisi plantatione significatur (7 — 10), aeque atque arca Noë (11). Quodsi illas, ut fructus edant, satis nos coluerimus, tum hereditatis iure dei erimus, uti Israel (12 — 15). Id nobis con-

tinget, si, ut Socrates, res terrenas fastidimus, solasque aeternas expetimus (16); illis vir bonus non indiget, eius enim sunt omnia (17). Primaria planta animi nostri est sententia, quae deum rerum omnium initium et finem esse statuit, locus (χωρίον) eius, quod nihil in rebus creatis invenitur perfectum, exceptis his, quae gratia dei opitulante invenimus, fructus denique, certa persuasio, deum paterno amore hominibus incessanter benefacere (18 — 21). Qui semet ipsos non satis perfectos sentiunt, in regionem a deo promissam, i. e viam sapientiae ingrediantur (22), moresque pravos abiiciant, quales sunt fraudes in commercio mutuo (23), malae artes in rebus amatoriis (24), religionum ceremoniae liberali pioque homine indignae (25), aliaque id genus plura. Sincerum animum per triennium, i. e. in omnia saecula servare (27), id quod maxime puerili aetate bene instituta efficitur, sanctumque deo anno quarto, i. e. ratione perfectissima exhibere, — quod optime fit hymnis piis animo potius quam ore decantandis, et enarratione operum dei, quibus rebus deus magis gaudet quam templis, donariis et sacrificiis (28 — 31), — id optimos nobis fructus quinto anno, i. e. ratione hominis naturae accommodata parabit a deo (32 et 33). Haec docemur agricultura Noë. Quod autem hic sanctissimus vir primus vinum plantasse, bibisse et inebriatus esse dicitur (34), hoc docemur, id quod etiam philosophi prisci tradiderunt (35), vinum i. merum modice quidem bibere licere, quo animus et corpus reficiantur (36 et 37), non tamen nimium potare; ita enim vinum nos excitat ad male facienda, quae sacrificiis expiare non possumus; nam nemo malus revera sacrificat (38 — 48).

---

329 §. 1. Ἐν μὲν τῷ προτέρῳ βιβλίῳ τὰ περὶ 214 M. γεωργικῆς τέχνης γενικῶς, ὅσα καιρὸς ἦν, εἴπομεν, P. ἐν δὲ τούτῳ περὶ τῆς κατ' εἶδος ἀμπελουργικῆς, ὡς ἂν οἷόν τε ᾖ, ἀποδώσομεν. Τὸν γὰρ δίκαιον οὐ γεωργὸν μόνον ἀλλὰ καὶ ἰδίως ἀμπελουργὸν εἰσάγει φάσκων, „Ἤρξατο Νῶε ἄνθρωπος εἶναι γεωργὸς γῆς καὶ ἐφύτευσεν ἀμπελῶνα*).“ Προσήκει δὲ

*) Gen. 9, 20.

τὸν μέλλοντα περὶ τῶν κατὰ μέρος φυτῶν τε καὶ
γεωργιῶν διεξιέναι, κατανοῆσαι πρῶτον τὰ τελειό-
τατα τοῦ παντὸς φυτὰ, καὶ τὸν μέγαν φυτουργὸν
καὶ ἐπιστάτην αὐτῶν. Ὁ μὲν τοίνυν τῶν φυτουρ-
γῶν μέγιστος καὶ τὴν τέχνην τελειότατος ὁ τῶν
ὅλων ἡγεμών ἐστι· φυτὸν δὲ οὐ περιέχον ἐν ἑαυτῷ
τὰ ἐν μέρει φυτὰ, ἀλλὰ παμμυρία, καθάπερ κλη-
ματίδας ἐκ μιᾶς ἀναβλαστάνοντα ῥίζης, ὅδε ὁ κό-
σμος. Ἐπειδὴ γὰρ τὴν οὐσίαν ἄτακτον καὶ συγκεχυ-
μένην οὖσαν ἐξ αὑτῆς εἰς τάξιν ἐξ ἀταξίας, καὶ ἐκ
συγχύσεως εἰς διάκρισιν ἄγων ὁ κοσμοπλάστης μορ-
φοῦν ἤρξατο, γῆν μὲν καὶ ὕδωρ ἐπὶ τὸ μέσον ἐῤ-
330 ῥίζου, τὰ δὲ ἀέρος καὶ πυρὸς δένδρα πρὸς τὴν
M. μετάρσιον ἀνεῖλκεν ἀπὸ τοῦ μέσου χώραν· τὸν δὲ
αἰθέριον ἐν κύκλῳ τόπον ὠχυροῦτο, τῶν ἐντὸς ὅρον
τε καὶ φυλακτήριον αὐτὸν τιθεὶς, ἀφ' οὗ καὶ ὁ οὐ-
ρανὸς ὠνομάσθαι δοκεῖ· ὀχεῖσθαι μὲν γῆν ὕδατι
ξηρὰν οὖσαν, ἣν δέον ἦν ὕδατι διαλύεσθαι, πυρὶ
δὲ ἀέρα θερμῷ φύσει τὸν ἐξ ἑαυτοῦ ψυχρότατον,
θαῦμα ἔκτοπον, ὁ θαυματοποιὸς εἰργάζετο. Πῶς
γὰρ οὐ τεράστιον, ὑπὸ μὲν τοῦ λυομένου συνέχεσθαι
τὸ λύον, πρὸς γῆς ὕδωρ· ἐπὶ δὲ τῷ ψυχροτάτῳ
τὸ θερμότατον ἄσβεστον ἱδρύσασθαι, πῦρ ἐπὶ ἀέρι;
Καὶ ταῦτα μὲν τὰ τέλεια τοῦ παντὸς ἦν μοσχεύ-
ματα· τὸ δὲ παμμέγεθες καὶ παμφορώτατον ἔρνος, 215
ὁ κόσμος οὗτος, οὗ παραφυάδες οἱ εἰρημένοι P.
βλαστοί.

§. 2. Ὅπου ποτ' οὖν ἄρα τὰς ῥίζας καθῆκε,
καὶ τίς ἐστιν αὐτῷ βάσις, ἐφ' ἧς ὥςπερ ἀνδριὰς
ἐρήρεισται, σκεπτέον. Σῶμα μὲν οὖν οὐδὲν ἀπο-
λειφθὲν εἰκὸς ἔξω πλανᾶσθαι, πᾶσαν τὴν δι' ὅλων
ὕλην ἐργασαμένου καὶ διακοσμήσαντος θεοῦ. Τε-
λειότατον γὰρ ἥρμοττε τὸ μέγιστον τῶν ἔργων τῷ
μεγίστῳ δημιουργῷ διαπλάσασθαι. Τελειότατον δὲ
οὐκ ἂν ἦν, εἰ μὴ τελείοις συνεπληροῦτο μέρεσιν·
ὥςτε ἐκ γῆς ἁπάσης καὶ παντὸς ὕδατος καὶ ἀέρος

καὶ πυρὸς, μηδενὸς ἔξω μηδὲ τοῦ βραχυτάτου κατα-
λειφθέντος, συνέστη ὅδε ὁ κόσμος. Ἀνάγκη τοίνυν
ἐκτὸς, ἢ κενὸν, ἢ μηδὲν εἶναι. Εἰ μὲν δὴ κενὸν,
πῶς τὸ πλῆρες καὶ ναστὸν καὶ τῶν ὄντων βαρύ-
τατον οὐ βρίθει ταλαντεῦον, στερεοῦ μηδενὸς ἐπε-
ρείδοντος; Ἐξ οὗ φάσματι ἂν ἐοικέναι δόξαι, ζη-
τούσης ἀεὶ τῆς διανοίας βάσιν σωματικὴν ποίαν
ἔχειν εἰκὸς, ἐάν τι κινούμενον τυγχάνῃ· τὸν δὲ δὴ
κόσμον καὶ διαφερόντως, ὅτι τὸ μέγιστον σωμάτων
ἐστὶ, καὶ πλῆθος ἄλλων σωμάτων ὡς οἰκεῖα ἐγκε-
κόλπισται μέρη. Τὰς δυσωπίας οὖν εἴ τις ἀποδι-
δράσκειν βούλοιτο τὰς ἐν τοῖς διαπορηθεῖσι, λεγέτω
μετὰ παῤῥησίας, ὅτι οὐδὲν τῶν ἐν ὕλαις κραταιὸν
οὕτως, ὡς τὸν κόσμον ἀχθοφορεῖν ἰσχῦσαι. Νό-
μος δὲ ὁ ἀΐδιος θεοῦ τοῦ αἰωνίου, τὸ ὀχυρώτατον
331 καὶ βεβαιότατον ἔρεισμα τῶν ὅλων ἐστίν. Οὗτος
M. ἀπὸ τῶν μέσων ἐπὶ τὰ πέρατα, καὶ ἀπὸ τῶν ἄκρων
ἐπὶ τὰ μέσα ταθεὶς, δολιχεύει τὸν τῆς φύσεως δρό-
μον ἀήττητον, συνάγων τὰ μέρη πάντα καὶ σφίγ-
γων· δεσμὸν γὰρ αὐτὸν ἄῤῥηκτον τοῦ παντὸς ὁ
γεννήσας ἐποίει πατήρ. Εἰκότως οὖν οὐδὲ γῆ πᾶσα
διαλυθήσεται πρὸς παντὸς ὕδατος, ὅπερ αὐτῆς οἱ
κόλποι κεχωρήκασιν, οὐδ᾽ ὑπὸ ἀέρος σβεσθήσεται
πῦρ, οὐδ᾽ ἔμπαλιν ὑπὸ πυρὸς ἀὴρ ἀναφλεχθήσεται,
τοῦ θείου νόμου μεθόριον τάττοντος αὐτὸν, καθάπερ
φωνήεντα στοιχείων ἀφώνων, ἵνα τὸ ὅλον ὥσπερ
ἐπὶ τῆς ἐγγραμμάτου μούσης συνηχήσῃ, τὰς τῶν
ἐναντίων ἀπειλὰς πειθοῖ τῇ συνόδῳ μεσιτεύοντός τι
καὶ διαιτῶντος.

§. 3. Οὕτω μὲν δὴ τὸ παμφορώτατον φυτὸν
ἐῤῥιζοῦτο, καὶ ῥιζωθὲν ἐκρατεῖτο· τῶν δὲ ἐν μέρει
καὶ βραχυτέρων φυτῶν, τὰ μὲν μεταβατικῶς κινητὰ,
τὰ δὲ ἄνευ μεταβάσεως ὡς ἂν ἑστῶτα κατὰ τὸν αὐ-
τὸν τόπον ἐδημιουργεῖτο. Τὰ μὲν οὖν μεταβατικῇ
κινήσει χρώμενα, ἃ δή φαμεν ἡμεῖς ζῷα εἶναι, ταῖς
τοῦ παντὸς ὁλοσχερεστέραις προσεγένετο μοίραις· γῇ

μὲν τὰ χερσαῖα, πλωτὰ δὲ ὕδατι, τὰ δὲ πτηνὰ 216
ἀέρι, καὶ τὰ πυρίγονα πυρὶ — ὧν τὴν γένεσιν ἀρι- P.
δηλοτέραν κατὰ Μακεδονίαν λόγος ἔχει προφαίνε-
σθαι — καὶ τῶν ἀστέρων ἐν οὐρανῷ. Ζῶα γὰρ
καὶ τούτους νοερὰ δι' ὅλων φασὶν οἱ φιλοσοφήσαν-
τες, οἱ μὲν πλανῆτες ἐξ ἑαυτῶν, οἱ δ' ἀπλανεῖς τῇ
τοῦ παντὸς συμπεριαγόμενοι φορᾷ τόπους ἐναλλάτ-
τειν δοκοῦσι. Τὰ δὲ ἀφαντάστῳ φύσει διοικούμενα,
ἅπερ ἰδίως λέγεται φυτὰ, μεταβατικῆς κινήσεως
ἀμέτοχα.

§. 4. Διττὰ δὲ ἔν τε γῇ καὶ ἀέρι γένη ὁ ποιῶν
ἐποίει. Ἀέρι μὲν τὰ πτηνὰ αἰσθητὰ, καὶ δυνάμεις
ἄλλας αἰσθήσει οὐδαμῇ οὐδαμῶς καταλαμβανομένας.
Ψυχῶν ὁ θίασος οὗτος ἀσωμάτων ἐστὶ διακεκοσμη-
μένων, οὐ ταῖς αὐταῖς ἐν τάξεσι· τὰς μὲν γὰρ εἰς-
κρίνεσθαι λόγος ἔχει σώμασι θνητοῖς, καὶ κατά τι-
νας ὡρισμένας περιόδους ἀπαλλάττεσθαι πάλιν· τὰς
δὲ θειοτέρας κατασκευῆς λαχούσας ἅπαντος ἀλογεῖν
τοῦ γῆς χωρίου. Ἀνωτάτω δ' εἶναι πρὸς αὐτῷ τῷ
332 αἰθέρι τὰς καθαρωτάτας, ἃς οἱ μὲν παρ' Ἕλλησι
M. φιλοσοφήσαντες ἥρωας καλοῦσι, Μωϋσῆς δὲ ὀνό-
ματι εὐθυβόλῳ χρώμενος ἀγγέλους προσαγορεύει,
πρεσβευομένας καὶ διαγγελλούσας τά τε παρὰ τοῦ
ἡγεμόνος τοῖς ὑπηκόοις ἀγαθὰ, καὶ τῷ βασιλεῖ ὧν
εἰσιν ὑπήκοοι χρεῖοι. Γῇ δὲ ζῶά τε χερσαῖα, καὶ
φυτὰ, δύο πάλιν προσένειμε, τὴν αὐτήν τε μητέρα
βουληθεὶς εἶναι καὶ τροφόν. Καθάπερ γὰρ γυναικὶ
καὶ παντὶ τῷ θήλει πηγαὶ πρὸς τὸ μέλλειν ἀποκύ-
σκειν ἀποχέονται γάλακτος, ἵνα τοῖς γεννωμένοις ἄρ-
δωσι τὰς ἀναγκαίας καὶ ἁρμοττούσας τροφάς· τὸν
αὐτὸν τρόπον καὶ τῇ χερσαίων ζώων μητέρι γῇ πά-
σας φυτῶν προσένειμεν ἰδέας, ἵνα συγγενέσι καὶ μὴ
ὀθνείαις τροφαῖς τὰ γεννώμενα χρήσηται. Καὶ μὴν
τὰ μὲν φυτὰ κατωκάρα ἀνειργάζετο, τὰς κεφαλὰς
αὐτῶν ἐν τοῖς βαθυγειοτάτοις γῆς μέρεσι πήξας·
ζώων δὲ τῶν ἀλόγων τὰς κεφαλὰς ἀνελκύσας ἀπὸ

γῆς, ἐπὶ προμήκους αὐχένος ἄκρας ἡρμόζετο, τῷ αὐχένι ὥσπερ ἐπίβασιν τοὺς ἐμπροσθίους πόδας θείς. Ἐξαιρέτου δὲ τῆς κατασκευῆς ἔλαχεν ἄνθρωπος. Τῶν μὲν γὰρ ἄλλων τὰς ὄψεις περιήγαγε κάτω κάμψας, διὸ νένευκε πρὸς χέρσον· ἀνθρώπου δὲ ἔμπαλιν ἀνώρθωσεν, ἵνα τὸν οὐρανὸν καταθεᾶται, φυτὸν οὐκ ἐπίγειον ἀλλ᾽ οὐράνιον, ὡς ὁ παλαιὸς λόγος, ὑπάρχων.

§. 5. Ἀλλ᾽ οἱ μὲν ἄλλοι τῆς αἰθερίου φύσεως
τὸν ἡμέτερον νοῦν μοῖραν εἰπόντες εἶναι, συγγένειαν
ἀνθρώπῳ πρὸς αἰθέρα ἀνῆψαν. Ὁ δὲ μέγας Μωϋ-
σῆς οὐδενὶ τῶν γεγονότων τῆς λογικῆς ψυχῆς τὸ
εἶδος ὁμοίως ὠνόμασεν, ἀλλ᾽ εἶπεν αὐτὴν τοῦ θείου 217
καὶ ἀοράτου εἰκόνα, δόκιμον εἶναι νομίσας οὐσιωθεῖσαν P.
καὶ τυπωθεῖσαν σφραγῖδι θεοῦ, ἧς ὁ χαρακτήρ
ἐστιν ἀΐδιος λόγος. „Ἐνέπνευσε γάρ," φησίν, „ὁ
θεὸς εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς*)", ὥστε
ἀνάγκη πρὸς τὸν ἐκπέμποντα τὸν δεχόμενον ἀπει-
κονίσθαι· διὸ καὶ λέγεται „κατ᾽ εἰκόνα θεοῦ τὸν ἄν-
θρωπον γεγενῆσθαι**)," οὐ μὴν κατ᾽ εἰκόνα τινὸς
τῶν γεγονότων. Ἀκόλουθον οὖν, τῆς ἀνθρώπου
ψυχῆς κατὰ τὸν ἀρχέτυπον τοῦ αἰτίου λόγον ἀπει-
κονισθείσης, καὶ τὸ σῶμα ἀνεγερθὲν πρὸς τὴν κα-
θαρωτάτην τοῦ παντὸς μοῖραν, οὐρανόν, τὰς ὄψεις
ἀνατεῖναι, ἵνα τῷ φανερῷ τὸ ἀφανὲς εὐδήλως κατα-
λαμβάνηται. Ἐπειδὴ τοίνυν τὴν πρὸς τὸ ὂν δια-
νοίας ὁλκὴν ἀμήχανον ἦν ἰδεῖν, ὅτι μὴ τοὺς ἀχθέν-
τας πρὸς αὐτοῦ μόνους — ὃ γὰρ πέπονθεν ἕκα-
333 στος, αὐτὸς ἐξαιρέτως οἶδεν — εἴδωλον ἐναργὲς
M. ἀειδοῦς ὄμματος, τὰ τοῦ σώματος, ποιεῖ δυνάμενα
πρὸς αἰθέρα ἀπονεύειν. Ὁπότε γὰρ οἱ ἐκ φθαρ-
τῆς ὕλης παγέντες ὀφθαλμοὶ τοσοῦτον ἐπέβησαν, ὡς
ἀπὸ τοῦ τῆς γῆς χωρίου πρὸς τὸν μακρὰν οὕτως
ἀφεστῶτα ἀνατρέχειν οὐρανόν, καὶ ψαύειν τῶν πε-

*) Gen. 2, 7. **) Gen. 1, 27.

ῥάτων αὐτοῦ, πόσον τινὰ χρὴ νομίσαι τὸν πάντῃ δρόμον τῶν ψυχῆς ὀμμάτων; Ἅπερ ὑπὸ πολλοῦ τοῦ τὸ ὂν κατιδεῖν τηλαυγῶς ἱμέρου πτερωθέντα, οὐ μόνον πρὸς τὸν ἔσχατον αἰθέρα τείνεται, παραμειψάμενα δὲ καὶ παντὸς τοῦ κόσμου τοὺς ὅρους, ἐπείγεται πρὸς τὸν ἀγέννητον.

§. 6. Διὰ τοῦτ᾽ ἐν τοῖς χρησμοῖς οἱ σοφίας καὶ ἐπιστήμης ἄπληστοι διατελοῦντες "ἀνακεκλῆσθαι *)" λέγονται. Πρὸς γὰρ τὸ θεῖον ἄνω καλεῖσθαι θέμις τοὺς ὑπ᾽ αὐτοῦ καταπνευσθέντας. Δεινὸν γάρ, εἰ τυφῶσι μὲν καὶ ἁρπυίαις αὐτόπρεμνα δένδρα πρὸς ἀέρα ἀνασπᾶται, καὶ μυριάγωγα σκάφη βρίθοντα φόρτῳ καθάπερ τινὰ τῶν κουφοτάτων ἐκ μέσων τῶν πελαγῶν ἀναρπάζεται, καὶ λίμναι καὶ ποταμοὶ μετάρσιοι φέρονται, τοὺς γῆς κόλπους ἐκλιπόντος τοῦ ῥεύματος, ὅπερ ἀνιμήσαντο αἱ τῶν ἀνέμων κραταιόταται καὶ πολυπλοκώταται δῖναι· τῇ δὲ τοῦ θείου πνεύματος καὶ πάντα δυνατοῦ καὶ τὰ κάτω νικῶντος φύσει, κοῦφος ὁ νοῦς ὤν, οὐκ ἐπελαφρίζεται, καὶ πρὸς μήκιστον ὕψος ἐξαίρεται, καὶ μάλιστα ὁ τοῦ φιλοσοφήσαντος ἀνόθως. Οὗτος γὰρ κάτω μὲν οὐ βρίθει πρὸς τὰ σώματος καὶ γῆς φίλα ταλαντεύων, ὧν διάζευξιν καὶ ἀλλοτρίωσιν ἀεὶ διεπόνησεν· ἄνω δὲ φέρεται, τῶν μεταρσίων καὶ ἱεροπρεπεστάτων καὶ εὐδαιμόνων φύσεων ἀκορέστως ἐρασθείς. Τοιγαροῦν Μωϋσῆς ὁ ταμίας καὶ φύλαξ τῶν τοῦ ὄντος ὀργίων ἀνακεκλήσεται. Λέγεται γὰρ ἐν Λευϊτικῇ βίβλῳ, "Ἀνεκάλεσε Μωϋσῆν. **)".
Ἀνακεκλήσεται δὲ καὶ ὁ τῶν δευτερείων ἀξιωθεὶς 218
Βεσελεήλ· καὶ γὰρ τοῦτον "ἀνακαλεῖ ***)" ὁ θεὸς P.
πρὸς τὴν τῶν ἱερῶν κατασκευήν τε καὶ ἐπιμέλειαν ἔργων. Ἀλλ᾽ ὁ μὲν τὰ δευτερεῖα τῆς ἀνακλήσεως, Μωϋσῆς δὲ ὁ πάνσοφος οἴσεται τὰ πρωτεῖα. Ἐκεῖνος μὲν γὰρ τὰς σκιὰς πλάττει, καθάπερ οἱ ζω-

---

*) Exod. 31, 2. **) Exod. 19, 20. ***) Exod. 31, 2.

γραφοῦντες, οἷς οὐ θέμις οὐδὲν ἔμψυχον δημιουργῆσαι· Βεσελεὴλ γὰρ ἐν σκιαῖς ποιῶν ἑρμηνεύεται. Μωϋσῆς δὲ οὐ σκιὰς, ἀλλὰ τὰς ἀρχετύπους φύσεις αὐτὰς τῶν πραγμάτων ἔλαχεν ἀνατυποῦν. Ἄλλως τε καὶ τὸ αἴτιον, οἷς μὲν τηλαυγέστερον καὶ ἀριδηλότερον ὡς ἂν ἐν ἡλίῳ καθαρῷ, οἷς δὲ ἀμυδρότερον, ὡς ἂν ἐν σκιᾷ τὰ οἰκεῖα εἴωθεν ἐπιδείκνυσθαι.

334 §. 7. Διεξεληλυθότες οὖν περὶ τῶν ὁλοσχερε-
M. στέρων ἐν κόσμῳ φυτῶν, ἴδωμεν ὃν τρόπον καὶ τὰ ἐν τῷ βραχεῖ κόσμῳ, τῷ ἀνθρώπῳ, δένδρα ὁ πάνσοφος ἐδημιούργει θεός. Αὐτίκα τοίνυν ὥςπερ βαθύγειον χωρίον σῶμα τὸ ἡμέτερον λαβὼν, δεξαμενὰς αὐτῷ τὰς αἰσθήσεις ὑπειργάζετο. Καὶ ἔπειτα οἷα φυτὸν ἥμερον καὶ ὠφελιμώτατον ἑκάστην αὐτῶν ἐνετίθει, ἀκοὴν μὲν εἰς τὸ οὖς, ὄψιν δὲ εἰς ὄμματα, καὶ εἰς μυκτῆρας ὄσφρησιν, καὶ τὰς ἄλλας εἰς τὰ οἰκεῖα καὶ συγγενῆ χωρία. Μαρτυρεῖ δέ μου τῷ λόγῳ ὁ θεσπέσιος ἀνὴρ, ἐν ὕμνοις λέγων ὧδε, „Ὁ φυτεύων οὖς οὐκ ἀκούει; Ὁ πλάσσων ὀφθαλμοὺς οὐκ ἐπιβλέψει*);“ Καὶ τὰς διηκούσας μέντοι μέχρι σκελῶν τε καὶ χειρῶν καὶ τῶν ἄλλων τῶν τοῦ σώματος μερῶν, ὅσα ἐντός τε καὶ ἐκτὸς, δυνάμεις ἁπάσας, εὐγενῆ μοσχεύματα εἶναι συμβέβηκε· τὰ δὲ ἀμείνω καὶ τελειότερα τῷ μεσαιτάτῳ καὶ καρποφορεῖν δυναμένῳ διαφερόντως ἡγεμονικῷ προςεῤῥίζου. Ταῦτα δέ εἰσι νόησις, κατάληψις, εὐστοχία, μελέτη, μνῆμαι, ἕξις, διάθεσις, τεχνῶν ἰδέαι πολύτροποι, βεβαιότης ἐπιστημῶν, τῶν ἀρετῆς ἁπάσης θεωρημάτων ἄληστος ἀνάληψις. Τούτων οὐδὲν οὐδεὶς θνητὸς ἱκανὸς φυτουργῆσαι· πάντων δὲ ἀθρόων εἷς ὁ ἀγέννητος τεχνίτης, οὐ πεποιηκὼς μόνον, ἀλλὰ καὶ ποιῶν καθ᾽ ἕκαστον τῶν γεννωμένων τὰ φυτὰ ταῦτα.

§. 8. Τοῖς εἰρημένοις ἐστὶν ἀκόλουθος καὶ ἡ τοῦ παραδείσου φυτουργία. Λέγεται γὰρ, „Ἐφύ-

*) Psalm 94 (93), 9.

τευσεν ὁ θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολὰς,
καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασε.*)." Τὸ
μὲν οὖν ἀμπέλους, καὶ ἐλαιῶν, ἢ μηλεῶν, ἢ ῥοιῶν,
ἢ τῶν παραπλησίων δένδρα οἴεσθαι, πολλὴ καὶ
δυςθεράπευτος ἡ εὐήθεια. Τίνος γὰρ ἕνεκα, εἴποι
τις ἄν; Ἵνα ἐνδιαιτήσεις εὐαγώγους ἔχῃ; Οὐ γὰρ
κόσμος ἅπας αὐταρκέστατον ἐνδιαίτημα ἂν νομισθείη
θεῷ τῷ πανηγεμόνι. Ἢ οὐχὶ μυρίων καὶ ἄλλων
δόξαι ἂν ὑστερίζειν, ὡς πρὸς ὑποδοχὴν τοῦ μεγάλου 219
βασιλέως ἀξιόχρεων ὑποληφθῆναι χωρίον; Τῷ μηδὲ P.
εὐαγὲς εἶναι οἴεσθαι τὸ αἴτιον ἐν τῷ αἰτιατῷ περιέ-
χεσθαι, τῷ μηδὲ τὰ δένδρα τοὺς ἐτησίους δήπου
φέρειν καρπούς. Πρὸς τὴν τίνος οὖν ἀπόλαυσίν τε
καὶ χρῆσιν καρποφορήσει ὁ παράδεισος; Ἀνθρώπου
μὲν οὐδενός. Οὐδεὶς γὰρ εἰςάγεται τὸ παράπαν τὸν
παράδεισον οἰκῶν· ἐπεὶ καὶ τὸν πρῶτον διαπλα-
σθέντα ἐκ γῆς μεταναστῆναί φησιν ἐνθένδε, ὄνομα
Ἀδάμ. Καὶ μὴν ὅ γε θεὸς ὥςπερ τῶν ἄλλων καὶ
τροφῆς ἀνεπιδεής ἐστιν. Ἀνάγκη γὰρ τὸν τροφῇ
χρώμενον δεῖσθαι μὲν πρῶτον, ἔπειτα δὲ ὄργανα
ηὐτρεπίσθαι, δι' ὧν καὶ τὴν εἰςιοῦσαν παραδέξεται,
335 καὶ τὴν ἐκμασσηθεῖσαν θύραζε ἀποπέμψει. Ταῦτα
M. δὲ μακαριότητος καὶ εὐδαιμονίας τῆς περὶ τὸ αἴτιον
ἀπᾴδει τῶν ἀνθρωπόμορφον, ἔτι δὲ καὶ ἀνθρωπο-
παθὲς αὐτὸ εἰςαγόντων ἐπ' εὐσεβείας καὶ ὁσιότητος
καθαιρέσει, μεγάλων ἀρετῶν, ἐκθεσμότατα ὄντα εὑ-
ρέματα.

§. 9. Ἰτέον οὖν ἐπ' ἀλληγορίαν τὴν ὁρατικοῖς φίλην ἀνδράσι· καὶ γὰρ οἱ χρησμοὶ τὰς εἰς αὐτὴν ἡμῖν ἀφορμὰς ἐναργέστατα προτείνουσι. Λέγουσι γὰρ ἐν τῷ παραδείσῳ φυτὰ εἶναι μηδὲν ἐοικότα τοῖς παρ' ἡμῖν, ἀλλὰ ζωῆς, ἀθανασίας, εἰδήσεως, καταλήψεως, συνέσεως, καλοῦ καὶ πονηροῦ φαντασίας. Ταῦτα δὲ χέρσου μὲν οὐκ ἂν εἴη, λογικῆς δὲ ψυχῆς

*) Gen. 2, 8.

γραφοῦντες, οἷς οὐ θέμις οὐδὲν ἔμψυχον δημιουργῆσαι· Βεσελεὴλ γὰρ ἐν σκιαῖς ποιῶν ἑρμηνεύεται. Μωϋσῆς δὲ οὐ σκιάς, ἀλλὰ τὰς ἀρχετύπους φύσεις αὐτὰς τῶν πραγμάτων ἔλαχεν ἀνατυποῦν. Ἄλλως τε καὶ τὸ αἴτιον, οἷς μὲν τηλαυγέστερον καὶ ἀριδηλότερον ὡς ἂν ἐν ἡλίῳ καθαρῷ, οἷς δὲ ἀμυδρότερον, ὡς ἂν ἐν σκιᾷ τὰ οἰκεῖα εἴωθεν ἐπιδείκνυσθαι.

334 §. 7. *Διεξεληλυθότες οὖν περὶ τῶν ὁλοσχερεστέρων ἐν κόσμῳ φυτῶν, ἴδωμεν ὃν τρόπον καὶ τὰ*
M. *ἐν τῷ βραχεῖ κόσμῳ, τῷ ἀνθρώπῳ, δένδρα ὁ πάνσοφος ἐδημιούργει θεός. Αὐτίκα τοίνυν ὥςπερ βαθύγειον χωρίον σῶμα τὸ ἡμέτερον λαβών, δεξαμενὰς αὐτῷ τὰς αἰσθήσεις ὑπειργάζετο. Καὶ ἔπειτα οἷα φυτὸν ἥμερον καὶ ὠφελιμώτατον ἑκάστην αὐτῶν ἐνετίθει, ἀκοὴν μὲν εἰς τὸ οὖς, ὄψιν δὲ εἰς ὄμματα, καὶ εἰς μυκτῆρας ὄσφρησιν, καὶ τὰς ἄλλας εἰς τὰ οἰκεῖα καὶ συγγενῆ χωρία. Μαρτυρεῖ δέ μου τῷ λόγῳ ὁ θεσπέσιος ἀνήρ, ἐν ὕμνοις λέγων ὧδε, "Ὁ φυτεύων οὖς οὐκ ἀκούει; Ὁ πλάσσων ὀφθαλμοὺς οὐκ ἐπιβλέψει*);" Καὶ τὰς διηκούσας μέντοι μέχρι σκελῶν τε καὶ χειρῶν καὶ τῶν ἄλλων τῶν τοῦ σώματος μερῶν, ὅσα ἐντός τε καὶ ἐκτός, δυνάμεις ἁπάσας, εὐγενῆ μοσχεύματα εἶναι συμβέβηκε· τὰ δὲ ἀμείνω καὶ τελειότερα τῷ μεσαιτάτῳ καὶ καρποφορεῖν δυναμένῳ διαφερόντως ἡγεμονικῷ προςεῤῥίζου. Ταῦτα δέ εἰσι νόησις, κατάληψις, εὐστοχία, μελέτη, μνῆμαι, ἕξις, διάθεσις, τεχνῶν ἰδέαι πολύτροποι, βεβαιότης ἐπιστημῶν, τῶν ἀρετῆς ἁπάσης θεωρημάτων ἄληστος ἀνάληψις. Τούτων οὐδὲν οὐδεὶς θνητὸς ἱκανὸς φυτουργῆσαι· πάντων δὲ ἀθρόων εἷς ὁ ἀγέννητος τεχνίτης, οὐ πεποιηκὼς μόνον, ἀλλὰ καὶ ποιῶν καθ' ἕκαστον τῶν γεννωμένων τὰ φυτὰ ταῦτα.*

§. 8. *Τοῖς εἰρημένοις ἐστὶν ἀκόλουθος καὶ ἡ τοῦ παραδείσου φυτουργία. Λέγεται γάρ, "Ἐφύ-*

---

*) Psalm 94 (93), 9.

τευσεν ὁ θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς,
καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασε. *)." Τὸ
μὲν οὖν ἀμπέλους, καὶ ἐλαιῶν, ἢ μηλεῶν, ἢ ῥοιῶν,
ἢ τῶν παραπλησίων δένδρα οἴεσθαι, πολλὴ καὶ
δυςθεράπευτος ἡ εὐήθεια. Τίνος γὰρ ἕνεκα, εἴποι
τις ἄν; Ἵνα ἐνδιαιτήσεις εὐαγώγους ἔχῃ; Οὐ γὰρ
κόσμος ἅπας αὐταρκέστατον ἐνδιαίτημα ἂν νομισθείη
θεῷ τῷ πανηγεμόνι. Ἢ οὐχὶ μυρίων καὶ ἄλλων
δόξαι ἂν ὑστερίζειν, ὡς πρὸς ὑποδοχὴν τοῦ μεγάλου 219
βασιλέως ἀξιόχρεων ὑποληφθῆναι χωρίον; Τῷ μηδὲ P.
εὐαγὲς εἶναι οἴεσθαι τὸ αἴτιον ἐν τῷ αἰτιατῷ περιέ-
χεσθαι, τῷ μηδὲ τὰ δένδρα τοὺς ἐτησίους δήπου
φέρειν καρπούς. Πρὸς τὴν τίνος οὖν ἀπόλαυσίν τε
καὶ χρῆσιν καρποφορήσει ὁ παράδεισος; Ἀνθρώπου
μὲν οὐδενός. Οὐδεὶς γὰρ εἰςάγεται τὸ παράπαν τὸν
παράδεισον οἰκῶν· ἐπεὶ καὶ τὸν πρῶτον διαπλα-
σθέντα ἐκ γῆς μεταναστῆναί φησιν ἐνθένδε, ὄνομα
Ἀδάμ. Καὶ μὴν ὅ γε θεὸς ὥςπερ τῶν ἄλλων καὶ
τροφῆς ἀνεπιδεής ἐστιν. Ἀνάγκη γὰρ τὸν τροφῇ
χρώμενον δεῖσθαι μὲν πρῶτον, ἔπειτα δὲ ὄργανα
ηὐτρεπίσθαι, δι' ὧν καὶ τὴν εἰςιοῦσαν παραδέξεται,
335 καὶ τὴν ἐκμασσηθεῖσαν θύραζε ἀποπέμψει. Ταῦτα
M. δὲ μακαριότητος καὶ εὐδαιμονίας τῆς περὶ τὸ αἴτιον
ἀπᾴδει τῶν ἀνθρωπόμορφον, ἔτι δὲ καὶ ἀνθρωπο-
παθὲς αὐτὸ εἰςαγόντων ἐπ' εὐσεβείας καὶ ὁσιότητος
καθαιρέσει, μεγάλων ἀρετῶν, ἐκθεσμότατα ὄντα εὑ-
ρέματα.

§. 9. Ἰτέον οὖν ἐπ' ἀλληγορίαν τὴν ὁρατικοῖς
φίλην ἀνδράσι· καὶ γὰρ οἱ χρησμοὶ τὰς εἰς αὐτὴν
ἡμῖν ἀφορμὰς ἐναργέστατα προτείνουσι. Λέγουσι
γὰρ ἐν τῷ παραδείσῳ φυτὰ εἶναι μηδὲν ἐοικότα τοῖς
παρ' ἡμῖν, ἀλλὰ ζωῆς, ἀθανασίας, εἰδήσεως, κατα-
λήψεως, συνέσεως, καλοῦ καὶ πονηροῦ φαντασίας.
Ταῦτα δὲ χέρσου μὲν οὐκ ἂν εἴη, λογικῆς δὲ ψυχῆς

*) Gen. 2, 8.

ἀναγκαίως φυτά, ἡ μὲν πρὸς ἀρετὴν ὁδὸς αὐτῇ ζωὴν καὶ ἀθανασίαν ἔχουσα τὸ τέλος· ἡ δὲ πρὸς κακίαν, φυγήν τε τούτων καὶ θάνατον. Τὸν οὖν φιλόδωρον θεὸν ὑποληπτέον ἐν τῇ ψυχῇ καθάπερ παράδεισον ἀρετῶν, καὶ τῶν κατ᾽ αὐτὰς πράξεων ἐμφυτεύειν, πρὸς τελείαν εὐδαιμονίαν αὐτὴν ἄγοντα· διὰ τοῦτο καὶ τόπον οἰκειότατον προσένειμε τῷ παραδείσῳ καλούμενον Ἐδὲμ, ἑρμηνεύεται δὲ τρυφὴ, σύμβολον ψυχῆς τῆς ἄρτια βλεπούσης, ἀρεταῖς ἐγχορευούσης, καὶ ὑπὸ πλήθους καὶ μεγέθους χαρᾶς ἀνασκιρτώσης, ἀπόλαυσμα ἓν ἀντὶ μυρίων τῶν παρὰ ἀνθρώποις ἡδίστων προτεθειμένης, τὴν τοῦ μόνου θεραπείαν σοφοῦ. Τούτου τοῦ γανώματος ἀκράτου τις σπάσας, ὁ τοῦ Μωϋσέως δὲ θιασώτης, ὃς οὐχὶ τῶν ἠμελημένων ἦν, ἐν ὑμνῳδίαις ἀνεφθέγξατο πρὸς τὸν ἴδιον νοῦν φάσκων, "Κατατρύφησον τοῦ κυρίου*)," παρακεκινημένος πρὸς τὸν οὐράνιον καὶ θεῖον ἔρωτα τῇ φωνῇ, τὰς μὲν τοῖς λεγομένοις καὶ φαινομένοις ἀνθρωπίνοις ἀγαθοῖς χλιδὰς καὶ θρύψεις δυσχεράνας, ὅλον δὲ τὸν νοῦν ὑπὸ θείας κατοχῆς συναρπασθεὶς οἴστρῳ, καὶ ἐνευφραινόμενος μόνῳ θεῷ.

§. 10. Καὶ τὸ "πρὸς ἀνατολαῖς μέντοι τὸν παράδεισον εἶναι**)," δεῖγμα τοῦ λεχθέντος ἐστί.
Σκοταῖον μὲν γὰρ καὶ δυόμενον καὶ νυκτιφόρον 220
ἀφροσύνη, λαμπρότατον δὲ καὶ περιαυγέστατον καὶ P.
ἀνατέλλον ὡς ἀληθῶς, φρόνησις. Καὶ καθάπερ ἀνίσχων ἥλιος ὅλον τὸν οὐρανοῦ κύκλον φέγγους ἀναπληροῖ, τὸν αὐτὸν τρόπον αἱ ἀρετῆς ἀκτῖνες ἀναλάμψασαι, τὸ διανοίας χωρίον ὅλον μεστὸν αὐγῆς καθαρᾶς ἀπεργάζονται. Τὰ μὲν οὖν ἀνθρώπου κτήματα φρουροὺς ἔχει καὶ φύλακας, ἀγριωτάτους θῆρας εἰς τὴν τῶν ἐπιόντων καὶ κατατρεχόντων ἄμυναν· τὰ δὲ τοῦ θεοῦ κτήματα, λογικὰς φύσεις.

---

*) Psalm. 37 (36), 4. **) Gen. 2, 8.

"Ἔθετο γάρ," φησίν, "ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασεν," ὃ ἐπὶ λογικῶν μόνων τῶν ἀρετῶν ἐστιν. Αἱ οὖν ἀσκήσεις τε καὶ χρήσεις ἐξαίρετον γέρας παρὰ τὰς τῶν ἄλλων ψυχὰς τουτὶ παρὰ τοῦ θεοῦ ἔλαβον· διὸ καὶ ἐμφαντικώτατα εἴρηται, ὅτι τὸν ἐν ἡμῖν πρὸς ἀλή-
836 θειαν ἄνθρωπον, τουτέστι τὸν νοῦν, ἔθηκεν ἐν
M. ἱερωτάτοις καλοκἀγαθίας βλαστήμασι καὶ φυτοῖς· ἐπὶ δὲ τῶν διανοίας ἀμετόχων, ἱκανὸν οὐδὲν ἄρα τις ἐγεώργησεν, ὧν τὸ παράπαν λαμβάνειν, οὐ πέφυκε κατάληψιν.

§. 11. Οὐκ ἔστι δ' οὖν ἀπορητέον, τί δήποτε εἰς μὲν τὴν κιβωτὸν, ἣν ἐν τῷ μεγίστῳ κατακλυσμῷ κατασκευασθῆναι συνέβη, πᾶσαι τῶν θηρίων αἱ ἰδέαι εἰςάγονται, εἰς δὲ τὸν παράδεισον οὐδεμία. Ἡ μὲν γὰρ κιβωτὸς σύμβολον ἦν σώματος, ὅπερ ἐξ ἀνάγκης κεχώρηκε τὰς παθῶν καὶ κακιῶν ἀτιθάσσους καὶ ἐξηγριωμένας κῆρας, ὁ δὲ παράδεισος ἀρετῶν· ἀρεταὶ δὲ οὐδὲν ἀνήμερον ἢ συνόλως ἄλογον παραδέχονται. Παρατετηρημένως δ' οὐ τὸν κατὰ τὴν εἰκόνα τυπωθέντα ἄνθρωπον, ἀλλὰ τὸν "πεπλασμένον" εἰςαχθῆναί φησιν "εἰς τὸν παράδεισον." Ὁ μὲν γὰρ κατὰ τὴν εἰκόνα θεοῦ χαραχθεὶς πνεύματι, οὐδὲν διαφέρει τοῦ τὴν ἀθάνατον ζωὴν καρποφοροῦντος, ὥς ἔμοιγε φαίνεται, δένδρου· ἄμφω γὰρ ἄφθαρτα, καὶ μοίρας τῆς μεσαιτάτης καὶ ἡγεμονικωτάτης ἠξίωται. Λέγεται γὰρ, ὅτι "τὸ ξύλον τῆς ζωῆς ἐστιν ἐν μέσῳ τοῦ παραδείσου*)." Ὁ δὲ τοῦ πολυμιγοῦς καὶ γεωδεστέρου σώματος, ἀπλάστου καὶ ἁπλῆς φύσεως ἀμέτοχος — ἧς ὁ ἀσκητὴς ἐπίσταται τὸν οἶκον καὶ τὰς αὐλὰς τοῦ κυρίου οἰκεῖν μόνος, "Ἰακὼβ" γὰρ "ἄπλαστος οἰκῶν οἰκίαν**)" εἰςάγεται — πολυτρόπῳ τε καὶ ἐκ παντοίων συνηρημένῃ καὶ πεπλασμένῃ διαθέσει χρώμενος. Τιθέναι οὖν ἐν τῷ παραδείσῳ, τῷ παντὶ κόσμῳ, ῥιζωθέντα εἰκὸς ἦν

*) Gen. 2, 9. **) Ibid. 25, 27.

τὸν μέσον νοῦν, ὁλκαῖς πρὸς τὰ ἐναντία κεχρημένον δυνάμεσιν, ἐπὶ τὴν διάκρισίν τε αὐτῶν μετακληθῆναι, ἵνα πρὸς αἵρεσιν καὶ φυγὴν ὁρμήσας, εἰ μὲν τὰ ἀμείνω δεξιώσαιτο, ἀθανασίας καὶ εὐκλείας ἀπόναιτο· εἰ δὲ αὖ τὰ χείρω, ψεκτὸν θάνατον εὕρηται.

§. 12. Τοιαῦτα μὲν δὴ δένδρα ὁ μόνος σοφὸς ἐν ψυχαῖς λογικαῖς ἐῤῥίζου. Μωϋσῆς δὲ οἰκτιζό- 221
μενος τοὺς μετανάστας ἐκ τοῦ τῶν ἀρετῶν παρα- P.
δείσου γεγονότας, καὶ τὸ αὐτεξούσιον τὸ θεοῦ κράτος αὐτοῦ, καὶ τὰς ἵλεως καὶ ἡμέρους δυνάμεις εὔχεται, ὅθεν ὁ γήϊνος νοῦς Ἀδὰμ πεφυγάδευται, κεῖθι τοὺς ὁρατικοὺς ἐμφυτευθῆναι. *Λέγει* γάρ, "Εἰσαγαγὼν καταφύτευσον αὐτοὺς εἰς ὄρος κληρηδοσίας σοῦ, ἕδρασμα εἰς καθέδραν σοῦ κατειργάσω, κύριε· ἁγίασμα, κύριε, ὃ ἡτοίμασαν αἱ χεῖρές σου· κύριος βασιλεύων τῶν αἰώνων καὶ ἐπ' αἰῶνα καὶ ἔτι. *)"
337 Οὐκοῦν σαφέστατα εἰ καί τις ἄλλος ἔμαθεν, ὅτι τὰ
M. σπέρματα καὶ τὰς ῥίζας ἁπάντων καθεὶς ὁ θεὸς, αἴτιός ἐστι καὶ τοῦ τὸ μέγιστον ἀναβλαστῆσαι φυτὸν, τόνδε τὸν κόσμον, ὃν καὶ νῦν ἔοικεν αἰνίττεσθαι δι' αὐτοῦ τοῦ λεχθέντος ᾄσματος. "ὄρος αὐτὸν κληρονομίας" εἰπών· ἐπειδὴ τοῦ πεποιηκότος οἰκειότατον τὸ γενόμενον κτῆμα καὶ κλῆρος. Εὔχεται οὖν ἡμᾶς ἐν τούτῳ φυτευθῆναι, οὐχ ἵνα ἄλογοι καὶ ἀφηνιασταὶ γενώμεθα τὰς φύσεις, ἀλλ' ἵνα ἑπόμενοι τῇ τοῦ τελειοτάτου διοικήσει, τὴν κατὰ τὰ αὐτὰ καὶ ὡςαύτως ἔχουσαν αὐτοῦ διέξοδον ἀπομιμούμενοι, σώφρονι καὶ ἀπταίστῳ βίῳ χρώμεθα. Τὸ γὰρ ἀκολουθίᾳ φύσεως ἰσχῦσαι ζῆν, εὐδαιμονίας τέλος εἶπον οἱ πρῶτοι. Καὶ μὴν τά γε αὖθις λεγόμενα συνᾴδει τῷ προτεθέντι, τῷ τὸν κόσμον εὐπρεπῆ καὶ ἕτοιμον αἰσθητὸν οἶκον εἶναι θεοῦ, τὸ κατειργάσθαι καὶ μὴ ἀγένητον εἶναι, ὡς ᾠήθησάν τινες. Τὸ δὲ "ἁγίασμα," οἷον ἁγίων ἀπαύγασμα,

---

*) Exod. 15, 17.

μίμημα ἀρχετύπου· ἐπεὶ τὰ αἰσθήσει καλὰ καὶ νοή-
σει καλῶν εἰκόνες. Τὸ δὲ "ἡτοιμάσθαι ὑπὸ χειρῶν
θεοῦ," τῶν κοσμοποιῶν αὐτοῦ δυνάμεων. Ἀλλ'
ὅπως μηδεὶς ὑπολάβῃ τὸν ποιητὴν χρεῖον εἶναί τινος
τῶν γεγονότων, τὸ ἀναγκαιότατον ἐπιφωνήσει,
"βασιλεύων τῶν αἰώνων καὶ ἐπ' αἰῶνα καί ἔτι."
Βασιλεὺς δὲ οὐδενὸς δεῖται, τὰ δὲ δὴ ὑπήκοα
βασιλέως θέμις πάντα. Τινὲς δὲ ἔφασαν κλῆρον
εἶναι καὶ λέγεσθαι θεοῦ τὸ ἀγαθὸν, οὗ τὴν χρῆσιν
καὶ ἀπόλαυσιν εὔχεσθαι νυνὶ Μωϋσῆν προςγενέσθαι.
Εἰςαγαγὼν γὰρ, φησὶν, ἡμᾶς οἷα παῖδας ἄρτι
μανθάνειν ἀρχομένους διὰ τῶν σοφίας δογμάτων
καὶ θεωρημάτων, καὶ μὴ ἀστοιχειώτους ἐάσας, ἐν
ὑψηλῷ καὶ οὐρανίῳ λόγῳ καταφύτευσον. Κλῆρος
γὰρ οὗτος ἑτοιμότατος καὶ προχειρότατος οἶκος,
ἐπιτηδειότατον ἐνδιαίτημα, ὃ "κατειργάσω ἅγιον."
Ἀγαθῶν γὰρ καὶ ἁγίων, ὦ δέσποτα, ποιητὴς ὢν
τυγχάνεις, ὡς ἔμπαλιν κακῶν καὶ βεβήλων γένεσις
ἡ φθαρτή. Βασίλευε δὴ τὸν ἄπειρον αἰῶνα ψυχῆς
τῆς ἱκέτιδος, μηδὲ ἀχαρὲς ἐῶν αὐτὴν ἀνηγεμόνευ-
τον. Ἡ γὰρ ἀδιάστατος παρὰ σοὶ δουλεία, τῆς
μεγίστης ἀρχῆς οὐκ ἐλευθερίας μόνον ἀμείνων. 222

§. 13. Πολλοῖς δὲ ἂν τάχα που ζήτησιν πα- P.
ράσχοι, τίνα ἔχει λόγον τὸ "Εἰς ὄρος κληρονομίας
σοῦ." Κληροδοτεῖν μὲν θεὸν ἀναγκαῖον, κληρονο-
μεῖν δὲ ἴσως οὐκ εὔλογον, πάντων αὐτοῦ κτημάτων
ὄντων. Ἀλλὰ μήποτε τοῦτο λέγεται ἐπὶ τῶν κατὰ
τὸν ἐξαίρετον οἰκειώσεως λόγον, δεσποζομένων πρὸς
αὐτοῦ, καθάπερ οἱ βασιλεῖς ἁπάντων μὲν ἄρχουσι
τῶν ὑπηκόων, διαφερόντως δὲ τῶν οἰκετῶν, οἷς
138 πρὸς τὴν τοῦ σώματος ἐπιμέλειαν καὶ τὴν ἄλλην
M. δίαιταν ὑπηρέταις εἰώθασι χρῆσθαι. Οἱ δὲ αὐτοὶ καὶ
τῶν κατὰ τὴν χώραν ἁπάντων ὄντες κτημάτων δε-
σπόται καὶ ὅσων ἐπικρατεῖν οἱ ἰδιῶται δοκοῦσι, μόνα
ταῦτα ἔχειν νομίζονται, ἅπερ ἐπιτρόποις καὶ ἐπι-
μεληταῖς ἐγχειρίσαιεν, ἀφ' ὧν καὶ τὰς ἐτησίους

προσόδους ἐκλέγουσιν· εἰς ἃ πολλάκις ἀνέσεως καὶ εὐθυμίας ἕνεκα προσέρχονται, τὸ βαρύτατον τῶν ἐν πολιτείᾳ καὶ βασιλείᾳ φροντίδων ἄχθος ἀποτιθέμενοι. Καὶ καλεῖται μέντοι ταῦτα τὰ κτήματα αὐτοῖς βασιλικά. Καὶ μὴν ἄργυρός τε καὶ χρυσὸς καὶ ὅσα ἄλλα κειμήλια παρὰ τοῖς ἀρχομένοις θησαυροφυλακεῖται, τῶν ἡγουμένων μᾶλλον ἢ τῶν ἐχόντων ἐστίν· ἀλλ' ὅμως ἴδιοι τῶν βασιλέων θησαυροὶ λέγονται, ἐν οἷς οἱ ταχθέντες τῶν φόρων ἐκλογισταὶ ἀπὸ τῆς χώρας προσόδους κατατίθενται. Μηδὲν οὖν θαυμάσῃς, εἰ καὶ τοῦ πανηγεμόνος θεοῦ τὸ ἐφ' ἅπασι κράτος εἰληχότος, ἐξαίρετος κλῆρος εἶναι λέγεται ψυχῶν σοφῶν ὁ θίασος, ὡς ὀξυωπέστατα ὁρῶν ἀμέμπτῳ καὶ ἀκραιφνεῖ κεχρημένος τῷ διανοίας ὄμματι, μύσαντι μὲν οὐδέποτε, ἀεὶ δὲ ἀναπεπταμένῳ καὶ εὐθυτενῶς βλέποντι.

§. 14. Καὶ διὰ τοῦτο μέντοι καὶ ἐν ᾠδῇ τῇ μείζονι λέγεται, "Ἐπερώτησον τὸν πατέρα σοῦ, καὶ ἀναγγελεῖ σοι· τοὺς πρεσβυτέρους σοῦ, καὶ ἐροῦσί σοι· ὅτε διεμέρισεν ὁ ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδὰμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ, καὶ ἐγένετο μερὶς κυρίου λαὸς αὐτοῦ Ἰσραήλ *)." Ἰδοὺ γὰρ πάλιν μερίδα καὶ κλῆρον εἴρηκε θεοῦ, τὸν ὁρατικὸν αὐτοῦ καὶ γνήσιον θεραπευτὴν τρόπον· τοὺς δὲ γῆς παῖδας, οὓς Ἀδὰμ ὠνόμασεν υἱοὺς, ἐσπάρθαι καὶ ἀνασκεδασθῆναι, καὶ ἐπισυναχθῆναι, στῖφός τε ἐγγενέσθαι, ἡγεμόνι χρήσασθαι ὀρθῷ λόγῳ μὴ δυναμένους. Τῷ γὰρ ὄντι ἁρμονίας μὲν καὶ ἑνώσεως αἴτιον ἀρετὴ, διαλύσεως δὲ καὶ διαρτήσεως ἡ ἐναντία διάθεσις. Δεῖγμα μέντοι τῶν εἰρημένων ἐστὶ, τὸ γινόμενον ἀνὰ πᾶν ἔτος ἡμέρᾳ τῇ λεγομένῃ τοῦ ἱλασμοῦ. Τότε γὰρ διείρηται "δύο τράγους διακληροῦν, τὸν μὲν τῷ κυρίῳ,
339 τὸν δὲ τῷ ἀποπομπαίῳ," διττὸν λόγον, ὃν μὲν
M.

*) Deut. 32, 7 sq.

θεῷ, ὃν δὲ γενέσει. Ὁ ἀποσεμνύνων οὖν τὸ αἴ- 223
τιον, τιμὴν αὐτῷ προςκληρώσεται· ὁ δὲ γενέσει, P.
φυγαδευθήσεται, τῶν μὲν ἱερωτάτων ἐλαυνόμενος χωρίων, εἰς δὲ ἄβατα καὶ βέβηλα καὶ βάραθρα ἐμπίπτων.

§. 15. Τοσαύτῃ μέντοι τῇ θεοφιλοῦς περιουσίᾳ χρῆται Μωϋσῆς, ὥςτε αὐτῷ τούτῳ μάλιστα πεπιστευκὼς, θερμοτέροις καὶ μείζοσιν ἢ κατὰ τὰς ἑτέρων ἡμῶν ἀκοὰς λόγοις τε καὶ δόγμασιν εἴωθε χρῆσθαι. Οὐ γὰρ μόνον ἀξιοῖ κληρονομεῖν θεὸν, ἀλλὰ καὶ αὐτὸν, παραδοξότατον, κλῆρον ἑτέρων εἶναι. Φυλὴν γὰρ ὅλην πρόςφυγα καὶ ἱκέτιν αὐτοῦ, λῆξιν μὲν τῆς χώρας, καθάπερ τὰς ἄλλας ἕνδεκα, οὐκ ἠξίωσε νείμασθαι, γέρας δὲ ἐξαίρετον λαβεῖν ἱερωσύνην, οὐκ ἐπίγειον, ἀλλ' ὀλύμπιον κτῆμα. "Οὐ γὰρ ἔσται," φησὶ, "τῇ φυλῇ Λευῒ μερὶς, οὔτε κλῆρος ἐν υἱοῖς Ἰσραὴλ, ὅτι κύριος αὐτὸς κλῆρος αὐτῶν *)." Καὶ ἐκ προςώπου μέντοι τοῦ θεοῦ ᾄδεται διὰ τῶν χρησμῶν τὸν τρόπον τοῦτον, "Ἐγὼ μερίς σου καὶ κληροδοσία **)." Τῷ γὰρ ὄντι ὁ τελείως κεκαθαρμένος νοῦς, καὶ πάντα τὰ γενέσεως ἀπογινώσκων, ἓν μόνον οἶδε καὶ γνωρίζει τὸ ἀγέννητον, ᾧ προςελήλυθεν, ὑφ' οὗ καὶ προςείληπται. Τίνι γὰρ ἔξεστιν εἰπεῖν, "Αὐτός μοι μόνος ἐστὶν ὁ θεὸς," ἢ τῷ μηδὲν τῶν μετ' αὐτὸν ἀσπαζομένῳ; "Αὐτὸς" δέ ἐστιν ὁ Λευΐτης τρόπος. Ἑρμηνεύεται γὰρ, αὐτός μοι, διὰ τὸ ἄλλα ἄλλοις τετιμῆσθαι, μόνῳ δὲ αὐτῷ τὸ ἀνωτάτω καὶ πάντων ἄριστον αἴτιον.

§. 16. Ἤδη τινὰ τῶν παλαιῶν φασι καθάπερ ἐκπρεπεστάτης γυναικὸς τῆς σοφίας ἐπιμανέντα κάλλει, πολυτελεστάτης πομπῆς θεασάμενον παρασκευὴν ἄφθονον, ἀπιδόντα πρός τινας τῶν συνήθων εἰπεῖν, "Ἴδετε, ὦ ἑταῖροι, ὅσων χρείαν οὐκ ἔχω," καί τοι

*) Deut. 10, 9. **) Num. 18, 20.

γε ἔξω τῶν ἀναγκαίων οὐδὲν ἁπλῶς περιβεβλημένον,
ὡς μηδὲ ὑποφυσηθέντα πλούτου μεγέθει, ὃ μυρίοις
συνέβη, δόξαι τῷ λόγῳ καταλαζονεύεσθαι τοῦ θεοῦ.
Ὁ νομοθέτης ἐκδιδάσκει φρονεῖν δεῖν τοὺς μηδὲν
χρημάτων ἐν γενέσει πορίζοντας, ἀπογινώσκοντας δὲ
ὅσα γεννητὰ διὰ τὴν πρὸς τὸν ἀγέννητον οἰκειότητα,
ὃν μόνον πλοῦτον καὶ εὐδαιμονίας ὅρον τελειοτάτης
ἐνόμισαν. Μηκέτι νῦν οἱ τὰς βασιλείας καὶ ἡγεμο-
νίας ἀναψάμενοι μεγαλαυχείτωσαν· οἱ μὲν, ὅτι μίαν
πόλιν ἢ χώραν ἢ ἔθνος ἐν ὑπηγάγοντο· οἱ δὲ, ὅτι
πάντα μὲν γῆς κλίματα μέχρι τῶν περάτων αὐτῆς,
πάντα δὲ ἑλληνικὰ καὶ βαρβαρικὰ ἔθνη, πάντας δὲ
ποταμοὺς καὶ τὰ ἄπειρα πλήθει καὶ μεγέθει πελάγη
προσεκτήσαντο. Καὶ γὰρ εἰ μετὰ τούτων τῆς με-
ταρσίου φύσεως, ὃ μηδὲ εἰπεῖν εὐαγὲς, ἣν μόνην ἐκ
πάντων ἀδούλωτον καὶ ἐλεύθερον ὁ ποιητὴς εἰργά-
σατο, ἐπεκράτησαν, ἰδιῶται νομισθεῖεν ἂν κατὰ 224
340 σύγκρισιν μεγάλων βασιλέων, οἳ τὸν θεὸν κλῆρον P.
M. ἔλαχον. Ὅσῳ γὰρ ἡ κτησάμενος τὸ κτῆμα τοῦ κτή-
ματος ἀμείνων, καὶ τὸ πεποιηκὸς τοῦ γεγονότος, το-
σούτῳ βασιλικώτεροι ἐκεῖνοι.

§. 17. Τοὺς μὲν οὖν πάντα τοῦ σπουδαίου φά-
σκοντας εἶναι, παραδοξολογεῖν ᾠήθησάν τινες, ἀφο-
ρῶντες εἰς τὴν ἐκτὸς ἔνδειάν τε καὶ περιουσίαν, καὶ
μηδένα τῶν ἀχρημάτων ἢ ἀκτημόνων πλούσιον νο-
μίζοντες. Μωϋσῆς δὲ οὕτω περίβλεπτον καὶ περι-
μάχητον ἡγεῖται σοφίαν, ὥςτε οὐ μόνον τὸν σύμ-
παντα κόσμον ἀξιόχρεων κλῆρον αὐτῆς, ἀλλὰ καὶ
τὸν τῶν ὅλων ἡγεμόνα νομίζειν· τὰ δὲ δόγματα οὐκ
ἐπαμφοτεριζόντων ταῦτ' ἐστὶν, ἀλλὰ τῶν βεβαίᾳ
πίστει κατεσχημένων. Ἐπεὶ καὶ νῦν εἰσί τινες τῶν
ἐπιμορφαζόντων εὐσέβειαν, οἳ τὸ πρόχειρον τοῦ λό-
γου παρασυκοφαντοῦσι, φάσκοντες οὔθ' ὅσιον οὔτ'
ἀσφαλὲς λέγειν ἀνθρώπου θεὸν κλῆρον. Οὐ γὰρ ἀπὸ
γνησίου τοῦ πάθους, ἀλλ' ὑποβολιμαίου καὶ νόθου,
πρὸς τὴν θεωρίαν τῶν πραγμάτων, εἴποιμ' ἂν αὐτοῖς,

ἥκετε. Ἐν ἴσῳ γὰρ ᾠήθητε τὰ ἀμπέλων ἢ ἐλαιῶν ἢ τῶν ὁμοιοτρόπων κτήματα ἐχόντων, καὶ σοφῶν τὸν θεὸν κλῆρον λέγεσθαι· καὶ οὐκ ἐνενοήσατε ὅτι καὶ ζωγράφοις ζωγραφία, καὶ συνόλως τέχνη τῷ τεχνίτῃ λέγεται κλῆρος, οὐχ ὡς γήϊνον κτῆμα, ἀλλ' ὡς ὀλύμπιον ἀγώνισμα. Δεσπόζεται γὰρ τῶν τοιούτων οὐδὲν, ἀλλ' ὠφελεῖ τοὺς ἔχοντας· ὥςτε καὶ τὸ ὂν, κλῆρον, μὴ ὡς κτῆμα τούτοις ἐμφερὲς ἀκούετε τοῖς λεχθεῖσιν, ὦ συκοφάνται, ἀλλ' ὡς ὠφελιμώτατον καὶ μέγιστον τοῖς θεραπεύειν ἀξιοῦσιν ἀγαθῶν αἴτιον.

§. 18. *Εἰρηκότες οὖν περὶ τοῦ πρώτου φυτουργοῦ καὶ φυτοῦ τὰ ἁρμόζοντα, μέτιμεν ἑξῆς ἐπὶ τὰς τῶν μαθημάτων ἅμα καὶ μιμημάτων ἐπιμελείας. Εὐθέως τοίνυν ὁ σοφὸς Ἀβραὰμ λέγεται "Φυτεῦσαι ἄρουραν ἐπὶ τῷ φρέατι τοῦ ὅρκου, καὶ ἐπικαλέσαι τὸ ὄνομα κυρίου θεοῦ αἰωνίου*)." Καὶ οὐ δεδήλωται τῶν φυτῶν ἡ ἰδιότης, ἀλλ' αὐτὸ μόνον τοῦ χωρίου τὸ μέγεθος. Φασὶ δὲ οἷς ἔθος ἐρευνᾶν τὰ τοιαῦτα, πάντα θεοῦ ὅσα ἐν κτήμασιν ἠκριβῶσθαι διαφερόντως, καὶ τὸ δένδρον, καὶ τὸ χωρίον, καὶ τὸν τοῦ δένδρου καρπόν. Τὸ μὲν οὖν δένδρον αὐτὴν εἶναι τὴν ἄρουραν, ἀλλ' οὐχ ὁμοίαν τοῖς βλαστάνουσιν ἀπὸ γῆς, ἀλλὰ κατὰ τὴν τοῦ θεοφιλοῦς ῥιζωθεῖσαν διάνοιαν· τὸ δὲ χωρίον, τὸ φρέαρ τοῦ ὅρκου· τὸν δὲ καρπὸν, τὴν τοῦ κυρίου ὀνόματος μετάληψιν εἰς θεὸν αἰώνιον. Τὸν δὲ περὶ ἑκάστου τῶν προτεθέντων εἰκότα λόγον, ἀναγκαῖον προςαπο-
341 δοῦναι· ἡ μὲν τοίνυν ἄρουρα μήκους πηχῶν οὖσα
M. ἑκατὸν, καὶ πλάτους τῶν ἴσων, κατὰ τὴν τοῦ τετρα-
γώνου φύσιν πολυπλασιασθέντων, εἰς μυρίων ἀρι-
θμὸν ἐπιπέδων συντίθεται πηχῶν. Ἔστι δὲ ὅρος
οὗτος τῶν ἀπὸ μονάδος παραυξηθέντων ὁ μέγιστος 225
καὶ τελειότατος, ὥςτε ἀρχὴν μὲν ἀριθμῶν εἶναι μο- P.

---

*) Gen. 21, 33.

νάδα, τέλος δὲ ἐν τοῖς κατὰ τὴν πρώτην σύνθεσιν, μυριάδα. Παρ᾽ ὃ καί τινες οὐκ ἄπο σκοποῦ βαλβῖδι μὲν μονάδα, καμπτῆρι δὲ εἴκασαν μυριάδα, τοὺς δὲ μεθορίους πάντας ἀριθμοὺς τοῖς δρόμον ἀγωνιζομένοις. Ἀρχόμενοι γὰρ ὥςπερ ἀπὸ βαλβῖδος φέρεσθαι μονάδος, παρὰ μυριάδα τὸ τέλος ἵστανται. Μετιόντες οὖν ἀπὸ τούτων τινὲς ὡςανεὶ συμβόλων, ἔφασαν τὸν θεὸν ἀρχὴν καὶ πέρας εἶναι τῶν ἁπάντων, δόγμα κατασκευαστικὸν εὐσεβείας. Τοῦτο τὸ δόγμα φυτευθὲν ἐν ψυχῇ, κάλλιστον καὶ τροφιμώτατον καρπὸν, ὁσιότητα, τίκτει· τόπος ἐστὶν οἰκειότατος τῷ φυτῷ τὸ φρέαρ, ὃ κέκληται ὅρκος, ἐν ᾧ κατέχει λόγος μὴ ἀνευρεθῆναι ὕδωρ. "Παραγενόμενοι γὰρ," φησὶν, "οἱ παῖδες Ἰσαὰκ, ἀπήγγειλαν αὐτῷ περὶ τοῦ φρέατος οὗ ὤρυξαν· καὶ εἶπον, οὐχ εὕρομεν ὕδωρ, καὶ ἐκάλεσεν αὐτὸ ὅρκος*)." Τοῦτο δὲ ἣν ἔχει δύναμιν θεασώμεθα.

§. 19. Οἱ τὴν τῶν ὄντων φύσιν διερευνῶντες, καὶ τὰς περὶ ἑκάστων ζητήσεις μὴ ὀλιγώρως ποιούμενοι, παραπλήσια ποιοῦσι τοῖς τὰ φρέατα ὀρύττουσι· καὶ γὰρ ἐκεῖνοι τὰς ἐν ἀφανεῖ πηγὰς ἀναζητοῦσι. Καὶ κοινὸς μὲν πόθος ἅπασίν ἐστι, ποτὸν ἀνευρεῖν· ἀλλὰ τοῖς μὲν δι᾽ οὗ σῶμα, τοῖς δὲ δι᾽ οὗ ψυχὴ πέφυκε τρέφεσθαι. Ὥςπερ οὖν ἔνιοι τῶν ἀνατεμνόντων τὰ φρέατα τὸ ζητούμενον ὕδωρ πολλάκις οὐχ εὗρον, οὕτως οἱ προσωτέρω χωροῦντες τῶν ἐπιστημῶν, καὶ ἐπὶ πλέον ἐμβατεύοντες αὐταῖς, ἀδυνατοῦσι τοῦ τέλους ἐπιψαῦσαι. Τοὺς γοῦν πολυμαθεῖς φασιν ἀμαθίαν δεινὴν ἑαυτῶν κατηγορεῖν, μόνον γὰρ ὅσον τοῦ ἀληθοῦς ἐστερίζουσιν ᾔσθοντο. Καί τινα τῶν παλαιῶν λόγος ἔχει θαυμαζόμενον ἐπὶ σοφίᾳ "εἰκότως" φάναι "θαυμάζεσθαι, μόνον γὰρ εἰδέναι ὅτι οὐδὲν οἶδεν." Ἑλοῦ δὲ εἰ θέλεις ἣν ἂν διανοηθῇς μικρὰν ἢ μείζονα τέχνην, καὶ τὸν κατὰ

*) Gen. 26, 32.

ταύτην γενόμενον ἄριστόν τε καὶ δοκιμώτατον, εἶτα
κατανόησον εἰ τὰ ἐπαγγέλματα τῆς τέχνης ἰσάζει
τοῖς ἔργοις τοῦ τεχνίτου· σκοπῶν γὰρ εὑρήσεις ταῦτα
ἐκείνων οὐ βραχέσιν ἀλλὰ μεγάλοις διαστήμασιν ἀπο-
δέοντα· σχεδὸν ἀδυνάτου καθεστῶτος πρὸς ἡντινοῦν
τελειωθῆναι τέχνην, πηγῆς τρόπον ἀεὶ κινουμένην,
καὶ θεωρημάτων παντοίων ἰδέας ἀνομβροῦσαν. Διὰ
τοῦθ' ὅρκος ὠνομάσθη προςφυέστατα τὸ πίστεως
842 βεβαιότατον σύμβολον, μαρτυρίαν θεοῦ περιεχού-
M. σης. Ὡς γὰρ ὁ ὀμνὺς τῶν ἀμφισβητουμένων καλεῖ
θεὸν μάρτυρα, ἐπ' οὐδενὶ οὕτως ἐστὶν εὐορκῆσαι,
ὡς ἐπὶ τῷ μηδεμιᾶς ἐπιστήμης εὑρίσκεσθαι παρὰ τῷ
τεχνίτῃ τέλος. Ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τὰς ἄλ- 226
λας ὅσαι περὶ ἡμᾶς δυνάμεις, ὀλίγου δεῖν κεχώρηκεν· P.
ὥςπερ γὰρ ἐν τῷ λεχθέντι φρέατι ὕδωρ φασὶ μὴ
εὑρεθῆναι, οὕτως οὐδὲ ἐν ὀφθαλμοῖς τὸ ὁρατὸν,
οὐδ' ἐν ὠσὶ τὸ ἀκούειν, οὐδ' ἐν μυκτῆρσι τὸ ὀ-
σφραίνεσθαι, οὐδὲ συνόλως ἐν αἰσθήσεως ὀργάνοις τὸ
αἰσθάνεσθαι· κατὰ τὸ παραπλήσιον δὲ, οὐδ' ἐν νῷ
τὸ καταλαμβάνειν. Πῶς γὰρ ἂν παρορᾶν, ἢ παρα-
κούειν, ἢ παρανοεῖν συνέβαινεν, εἴπερ ἐν τούτοις
πάγιαι ἦσαν αἱ ἀντιλήψεις ἑκάστου, ἀλλὰ μὴ ἐπ'
αὐτῶν θεοῦ σπείροντος, τὸ βέβαιον ἐπεφύκεσαν;

§. 20. Ἱκανῶς οὖν καὶ περὶ τοῦ χωρίου διειλε-
γμένοι, ἐν ᾧ τὸ δένδρον ἀνθεῖ, καὶ περὶ τοῦ καρποῦ
τελευταῖον ἐξεργασώμεθα. Τίς οὖν ὁ καρπὸς αὐτοῦ,
αὐτὸς ὑφηγήσεται. „Ἐπεκάλεσε γὰρ „ὄνομα κύ-
ριος ὁ θεὸς αἰώνιος*).“ Αἱ τοίνυν λεχθεῖσαι προς-
ρήσεις τὰς περὶ τὸ ὂν ἐμφαίνουσι δυνάμεις, ἡ μὲν
γὰρ κύριος, καθ' ἣν ἄρχει, ἡ δὲ θεὸς, καθ' ἣν
εὐεργετεῖ. Οὗ χάριν καὶ τῇ κατὰ τὸν ἱερώτατον
Μωϋσῆν κοσμοποιΐα πάσῃ τὸ τοῦ θεοῦ ὄνομα ἀνα-
λαμβάνεται. Ἥρμοττε γὰρ τὴν δύναμιν καθ' ἣν ὁ
ποιῶν εἰς γένεσιν ἄγων ἐτίθετο καὶ διεκοσμεῖτο, διὰ

---

*) Gen. 21, 33.

ταύτης καὶ καταπληχθῆναι. Καθʼ ὃ μὲν οὖν ἄρχων
ἐστίν, ἄμφω δύναται καὶ εὖ καὶ κακῶς ποιεῖν, συμ-
μεταβαλλόμενος πρὸς τὴν τοῦ δράσαντος ἀπόδοσιν.
Καθʼ ὃ δὲ εὐεργέτης, θάτερον μόνον βούλεται, τὸ
εὐεργετεῖν. Μέγιστον δʼ ἂν ψυχῆς γένοιτο ἀγαθόν,
μηκέτι ἐνδοιάζειν περὶ τῆς πρὸς ἑκάτερα τοῦ βασι-
λέως ἰσχύος, ἀλλʼ ἀνενδοιάστως τὸν μὲν ἕνεκα τοῦ
κράτους τῆς ἀρχῆς αὐτοῦ φόβον ἐπικρεμάμενον κα-
ταλύειν· τὴν δὲ ἐκ τοῦ προαιρετικῶς εἶναι φιλόδω-
ρον, ἀγαθῶν κτήσεως καὶ χρήσεως ἐλπίδα βεβαιο-
τάτην ζωπυρεῖν. Τὸ δὴ θεὸς αἰώνιος ἴσον ἐστὶ τῷ
ὁ χαριζόμενος οὐ ποτὲ μέν, ποτὲ δὲ οὔ, ἀεὶ δὲ
καὶ συνεχῶς, ὁ ἀδιαστάτως εὐεργετῶν, ὁ τὴν τῶν
δωρεῶν ἐπάλληλον φορὰν ἀπαύστως συνείρων, ὁ τὰς
χάριτας ἐχομένας ἀλλήλων ἀνακυκλῶν, καὶ δυνάμε-
σιν ἑνωτικαῖς καθαρμοζόμενος, ὁ μηδένα καιρὸν τοῦ
ποιεῖν εὖ παραλείπων, ὁ κύριος ὤν, ὡς καὶ βλάπτειν
δύνασθαι.

§. 21. Τοῦτο καὶ ὁ ἀσκητὴς Ἰακὼβ ᾐτήσατο
ἐπὶ τέλει τῶν ἱεροπρεπεστάτων εὐχῶν. Εἶπε γάρ
που, "Καὶ ἔσται κύριος ἐμοὶ εἰς θεὸν*)," ἴσον τῷ·
οὐκέτι μοι τὸ δεσποτικὸν ἐπιδείξεται τῆς αὐτοκρά-
343 τορος ἀρχῆς, ἀλλὰ τὸ εὐεργετικὸν τῆς ἵλεω περὶ
M. πάντα καὶ σωτηρίου δυνάμεως· τὸν μὲν οἷα ἐπὶ δε-
σπότῃ φόβον ἀναιρῶν, τὴν δέ, ὡς ἐπʼ εὐεργέτῃ, φι-
λίαν καὶ εὔνοιαν τῇ ψυχῇ παρέχων. Τίς ἂν τοῦθʼ
ὑπολάβοι ψυχή, ὅτι ὁ δεσπότης καὶ ἡγεμὼν τῶν
ὅλων οὐδὲν τῆς ἑαυτοῦ φύσεως μεταβάλλων, μένων
δὲ ἐν ὁμοίῳ, ἀγαθός ἐστι συνεχῶς, καὶ φιλόδωρος 227
ἀνελλιπῶς; Ὅθεν ὄντως ἀγαθῶν ἀφθόνων καὶ ἀεν- P.
νάων αἴτιος τελειότατος τοῖς εὐδαιμονοῦσι. Βασιλεῖ
δὲ πεπιστευκέναι, μὴ τῷ μεγέθει τῆς ἀρχῆς ἐπαιρο-
μένῳ πρὸς βλάβας τῶν ὑπηκόων, ἀλλὰ φιλανθρω-
πίᾳ τὸ ἀνενδεὲς ἑκάστῳ ἐπανορθοῦσθαι προαιρου-

---

*) Gen. 28, 21.

μένῳ, μέγιστόν ἐστι πρὸς εὐθυμίαν καὶ ἀσφάλειαν ἕρκος.

§. 22. Ἃ τοίνυν ὑπεσχόμεθα, ἤδη σχεδὸν ἀποδέδεικται, τὸ φυτὸν μὲν, τὸ ἀρχήν τινα κάλλιστον λαμβάνεσθαι τῶν ἁπάντων εἶναι θεόν· χωρίον δὲ τὸ ἀκόλουθον, τὸ ἐν μηδενὶ τῶν ἐν γενέσει τέλειον εὑρίσκεσθαι, ἐπ' αὐτῶν δὲ ἔσθ' ὅτε χάρισι τοῦ αἰτίου προφαίνεσθαι· καρπὸς δὲ, τὸ τὰς τοῦ θεοῦ διαιωνίζειν χάριτας, καὶ ὀμβρούσας ἀπαύστως μηδέποτε λήγειν. Οὕτω μὲν δὴ καὶ ὁ σοφὸς ἑπόμενος τῇ τοῦ πρώτου καὶ μεγίστου φυτουργοῦ τέχνῃ, τὴν γεωργικὴν ἐπιδείκνυται. Βούλεται δὲ ὁ ἱερὸς λόγος καὶ τοῖς μήπω τελειωθεῖσιν ἡμῖν, ἔτι δὲ ἐν μέσοις ἀριθμοῖς τῶν λεγομένων καθηκόντων ἐξεταζομένοις, διαπονηθῆναι τὰ γεωργικά. Φησὶ γὰρ, "Ὅταν εἰςέλθητε εἰς τὴν γῆν, ἣν κύριος ὁ θεὸς δίδωσιν ὑμῖν, καὶ καταφυτεύσητε πᾶν ξύλον βρώσεως, περικαθαριεῖτε τὴν ἀκαθαρσίαν αὐτοῦ, τὸν καρπὸν αὐτοῦ τρία ἔτη ἔσται ἀκάθαρτος, οὐ βρωθήσεται· τῷ δὲ ἔτει τῷ τετάρτῳ, ἔσται πᾶς καρπὸς αὐτοῦ ἅγιος, αἰνετὸς τῷ κυρίῳ· τῷ δὲ ἔτει τῷ πέμπτῳ, φάγεσθε τὸν καρπὸν πρόςθεμα ὑμῖν τὰ γεννήματα αὐτοῦ. Ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν *)." Οὐκοῦν τῶν ξύλων τὰ ἐδώδιμα, πρὶν εἰς τὴν ὑπὸ θεοῦ δοθεῖσαν χώραν μεταναστῆναι, φυτεύειν ἀδύνατον· "Ὅταν γὰρ εἰςέλθητε πρὸς τὴν γῆν, καὶ φυτεύσητε πᾶν ξύλον βρώσιμον," φησίν. Ὥςτε ἔξω διατρίβοντες οὐκ ἂν δυναίμεθα τὰ τοιαῦτα τῶν δένδρων γεωργεῖν· καὶ μήποτ' εἰκότως. Ἕως μὲν γὰρ εἰς τὴν σοφίας ὁδὸν οὐ προςελήλυθεν ὁ νοῦς, τετραμμένος δὲ πόῤῥω πλανᾶται, τῶν τῆς ἀγρίας ὕλης ἐπιμελεῖται φυτῶν, ἅπερ ἤτοι ἄγονα ὄντα ἐστείρωται, ἢ γεννῶντα ἐδωδίμων ἐστὶν ἄφορα. Ὅταν δὲ εἰς τὴν φρονήσεως ἐμβὰς ὁδὸν συνειςέρχη-

*) Lev. 19, 23. sq.

344 ται τοῖς δόγμασι, καὶ συντρέχειν πᾶσιν ἄρξηται,
M. τὴν ἥμερον καὶ καρπῶν ἡμέρων οἰστικὴν ἀντὶ τῆς ἀγρίας ἐκείνης γεωργεῖ, ἀπάθειαν ἀντὶ παθῶν, καὶ ἀντὶ ἀγνοίας ἐπιστήμην, καὶ ἀντὶ κακῶν τὰ ἀγαθά. Ἐπεὶ οὖν ἀρετῆς ὁ εἰςαγόμενος μακρὰν τοῦ τέλους ἀφέστηκεν, εἰκότως φυτεύσαντι αὐτῷ προςτέτακται περιελεῖν τὴν ἀκαθαρσίαν τοῦ φυτευθέντος. Τί δὲ τοῦτ᾽ ἐστὶν ἐπισκεψώμεθα.

§. 23. Τὰ μέσα τῶν καθηκόντων ἡμέρων φυτῶν τὸν αὐτὸν ἔχειν μοι δοκεῖ λόγον. Ἑκάτερα γὰρ ὠφελι- 228
μωτάτους φέρει καρπούς, τὰ μὲν σώμασι, τὰ δὲ ψυχαῖς· P.
πολλὰ δὲ ἐν τοῖς μέσοις συναναβλαστάνοντα καὶ ἐπιφυόμενα τῶν βλαβερῶν, ἀναγκαίως ἂν γένοιτο, τοῦ μὴ ζημιοῦσθαι τὰ ἀμείνω χάριν. Ἢ οὐκ ἂν εἴποιμεν φυτὸν ἥμερον ψυχῆς, παρακαταθήκης ἀπόδοσιν; Ἀλλὰ τοῦτό γε τὸ φυτὸν καθάρσεως δεῖται καὶ περιττοτέρας ἐπιμελείας. Τίς οὖν ἡ κάθαρσις; Ἥδε. Παρὰ νήφοντος λαβὼν παρακαταθήκην, μήτε μεθύοντι μήτ᾽ ἀσώτῳ μήτε μεμηνότι ἀποδῷς. Ὁ γὰρ λαβὼν ὄνησιν ἐκ τοῦ κομίσασθαι, οὐχ ἕξει καιρὸν ὠφεληθῆναι. Μηδὲ χρεώσταις ἢ δούλοις ἀποδῷς, δανειστῶν καὶ δεσποτῶν ἐφεδρευόντων. Προδοσία γὰρ τοῦτ᾽ ἐστὶν, οὐκ ἀπόδοσις. Μηδὲ τὴν ἐν ὀλίγοις πίστιν φύλαττε θήρας τῆς ἐν πλείοσι πίστεως. Δελέατά γε οἱ μὲν ἁλιευόμενοι μικρὰ καθιέντες ἐπὶ τῷ τοὺς μείζους ἀγκιστρεύεσθαι τῶν ἰχθύων, οὐ σφόδρα ἂν ὑπαίτιοι, τῆς κατ᾽ ἀγορὰν εὐετηρίας προνοεῖσθαι φάσκοντες, καὶ ὡς ἂν ἄφθονον ἀνθρώποις τὴν καθ᾽ ἑκάστην ἡμέραν ποιήσωνται δίαιταν. Δέλεαρ δὲ μηδεὶς ὀλιγοχρημάτου παρακαταθήκης ἀπόδοσιν, ἐπ᾽ ἄγρᾳ μείζονος προφερέτω, χερσὶ μὲν τὰ ἑνὸς καὶ ὀλίγα προτείνων, διανοίᾳ δὲ τὰ πάντων καὶ ἀμύθητα νοσφιζόμενος. Ἐὰν οὖν ὡς δένδρου τῆς παρακαταθήκης περιέλῃς τὰ ἀκάθαρτα, τὰς ἀπὸ τῶν ἐφεδρευόντων βλάβας, τὰς ἀκαιρίας, τὰς

ἐνέδρας, τὰ ὁμοιότροπα πάντα, ἡμερώσεις τὸ μέλλον ἀγριαίνεσθαι.

§. 24. Καὶ ἐν τῷ φιλίας μέντοι φυτῷ ταῦτα δὴ τὰ παραβλαστάνοντα τεμεῖν καὶ ἀποκόψαι, φυλακῆς ἕνεκα τοῦ βελτίονος, ἀναγκαῖον. Τὰ δὲ παραβλαστάνοντα ταῦτ' ἐστὶν ἑταιρῶν πρὸς ἐραστὰς γοητεῖαι, πρὸς τοὺς κολακευομένους οἰκοσίτων ἀπάται. Τὰς γὰρ μισθαρνούσας ἐπὶ τῇ ὥρᾳ τοῦ σώματος ἰδεῖν ἔστι περιεχομένας τῶν ἐραστῶν, ὡς δὴ σφόδρα φιλούσας. Φιλοῦσι δὲ οὐκ ἐκείνους, ἀλλ' ἑαυτάς, καὶ τοῖς καθ' ἑκάστην ἡμέραν λήμμασιν ἐπικεχήνασι. Τούς τε κόλακας, ἄλεκτον μὲν ἔστιν
345 ὅτε μῖσος πρὸς τοὺς θεραπευομένους φυλάττον-
M. τας, ὀψοφαγίαν δὲ καὶ λαιμαργίαν ἀγαπῶντας, ὑφ' ὧν ἀναπείθονται τοὺς χορηγοὺς τῶν ἀμέτρων ἐπιθυμιῶν περιέπειν. Τὸ δὲ τῆς ἀκιβδηλεύτου φιλίας δένδρον ἀποσεισάμενον καὶ μεθέμενον ταῦτα, καρπὸν τοῖς χρησομένοις ὠφελιμώτατον οἴσει, τὸ ἀδέκαστον. Εὔνοια γάρ ἐστι βούλησις τοῦ τῷ πλησίον εἶναι τὰ ἀγαθὰ αὐτὰ χάριν ἐκείνου. Αἱ δέ γε χαμαίτυποι καὶ οἱ κόλακες αὐτῶν ἕνεκα σπουδάζουσιν, αἱ μὲν τοῖς ἐρασταῖς, οἱ δὲ τοῖς κολακευομένοις τὰ ἀγαθὰ προςάγειν. Τὰς οὖν εἰρωνείας καὶ γοητείας, 229
καθάπερ ἐπιφυομένας κῆρας τῷ φιλίας φυτῷ, περι- P.
κοπτέον.

§. 25. Ἱερουργίαι γε μὴν καὶ ἡ περὶ τὰς θυσίας πίστις, βλάστημα κάλλιστον, ἀλλὰ παραναπέφυκεν αὐτῷ κακόν, δεισιδαιμονία, ἣν πρὶν χλοῆσαι λυσιτελὲς ἐκτεμεῖν. Ἔνιοι γὰρ ᾠήθησαν τὸ βουθυτεῖν εὐσέβειαν εἶναι, καὶ ἐξ ὧν ἂν κλέψωσιν ἢ ἀρνήσωνται ἢ χρεωκοπήσωσιν ἢ ἁρπάσωσιν, ἢ λεηλατήσωσι μοίρας ἀπονέμουσι τοῖς βωμοῖς, οἱ δυςκάθαρτοι, τὸ μὴ δοῦναι δίκην ἐφ' οἷς ἐξήμαρτον, ὤνιον εἶναι νομίζοντες. Ἀλλὰ γὰρ εἴποιμ' ἂν αὐτοῖς, ἀδέκαστόν ἐστιν, ὦ οὗτοι, τὸ θεοῦ δικαστήριον, ὡς τοὺς μὲν γνώμῃ κεχρημένους ὑπαιτίῳ, καὶ ἂν ἅπα-

προσόδους ἐκλέγουσιν· εἰς ἃ πολλάκις ἀνέσεως καὶ εὐθυμίας ἕνεκα προσέρχονται, τὸ βαρύτατον τῶν ἐν πολιτείᾳ καὶ βασιλείᾳ φροντίδων ἄχθος ἀποτιθέμενοι. Καὶ καλεῖται μέντοι ταῦτα τὰ κτήματα αὐτοῖς βασιλικά. Καὶ μὴν ἄργυρός τε καὶ χρυσὸς καὶ ὅσα ἄλλα κειμήλια παρὰ τοῖς ἀρχομένοις θησαυροφυλακεῖται, τῶν ἡγουμένων μᾶλλον ἢ τῶν ἐχόντων ἐστίν· ἀλλ' ὅμως ἴδιοι τῶν βασιλέων θησαυροὶ λέγονται, ἐν οἷς οἱ ταχθέντες τῶν φόρων ἐκλογισταὶ ἀπὸ τῆς χώρας προσόδους κατατίθενται. Μηδὲν οὖν θαυμάσῃς, εἰ καὶ τοῦ πανηγεμόνος θεοῦ τὸ ἐφ' ἅπασι κράτος εἰληχότος, ἐξαίρετος κλῆρος εἶναι λέγεται ψυχῶν σοφῶν ὁ θίασος, ὡς ὀξυωπέστατα ὁρῶν ἀμέμπτῳ καὶ ἀκραιφνεῖ κεχρημένος τῷ διανοίας ὄμματι, μύσαντι μὲν οὐδέποτε, ἀεὶ δὲ ἀναπεπταμένῳ καὶ εὐθυτενῶς βλέποντι.

§. 14. Καὶ διὰ τοῦτο μέντοι καὶ ἐν ᾠδῇ τῇ μείζονι λέγεται, "Ἐπερώτησον τὸν πατέρα σοῦ, καὶ ἀναγγελεῖ σοι· τοὺς πρεσβυτέρους σοῦ, καὶ ἐροῦσί σοι· ὅτε διεμέρισεν ὁ ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδὰμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ, καὶ ἐγένετο μερὶς κυρίου λαὸς αὐτοῦ Ἰσραήλ *)." Ἰδοὺ γὰρ πάλιν μερίδα καὶ κλῆρον εἴρηκε θεοῦ, τὸν ὁρατικὸν αὐτοῦ καὶ γνήσιον θεραπευτὴν τρόπον· τοὺς δὲ γῆς παῖδας, οὓς Ἀδὰμ ὠνόμασεν υἱοὺς, ἐσπάρθαι καὶ ἀνασκεδασθῆναι, καὶ ἐπισυναχθῆναι, στῖφός τε ἐγγενέσθαι, ἡγεμόνι χρήσασθαι ὀρθῷ λόγῳ μὴ δυναμένους. Τῷ γὰρ ὄντι ἁρμονίας μὲν καὶ ἑνώσεως αἴτιον ἀρετὴ, διαλύσεως δὲ καὶ διαρτήσεως ἡ ἐναντία διάθεσις. Δεῖγμα μέντοι τῶν εἰρημένων ἐστὶ, τὸ γινόμενον ἀνὰ πᾶν ἔτος ἡμέρᾳ τῇ λεγομένῃ τοῦ ἱλασμοῦ. Τότε γὰρ διείρηται "δύο τράγους διακληροῦν, τὸν μὲν τῷ κυρίῳ,
339 τὸν δὲ τῷ ἀποπομπαίῳ," διττὸν λόγον, ὃν μὲν
M.

*) Deut. 32, 7 sq.

θεῷ, ὃν δὲ γενέσει. Ὁ ἀποσεμνύνων οὖν τὸ αἴ- 223
τιον, τιμὴν αὐτῷ προσκληρώσεται· ὁ δὲ γενέσει, P.
φυγαδευθήσεται, τῶν μὲν ἱερωτάτων ἐλαυνόμενος χωρίων, εἰς δὲ ἄβατα καὶ βέβηλα καὶ βάραθρα ἐμπίπτων.

§. 15. Τοσαύτῃ μέντοι τῇ θεοφιλοῦς περιουσίᾳ χρῆται Μωϋσῆς, ὥςτε αὐτῷ τούτῳ μάλιστα πεπιστευκὼς, θερμοτέροις καὶ μείζοσιν ἢ κατὰ τὰς ἑτέρων ἡμῶν ἀκοὰς λόγοις τε καὶ δόγμασιν εἴωθε χρῆσθαι. Οὐ γὰρ μόνον ἀξιοῖ κληρονομεῖν θεὸν, ἀλλὰ καὶ αὐτὸν, παραδοξότατον, κλῆρον ἑτέρων εἶναι. Φυλὴν γὰρ ὅλην πρόςφυγα καὶ ἱκέτιν αὐτοῦ, λῆξιν μὲν τῆς χώρας, καθάπερ τὰς ἄλλας ἕνδεκα, οὐκ ἠξίωσε νείμασθαι, γέρας δὲ ἐξαίρετον λαβεῖν ἱερωσύνην, οὐκ ἐπίγειον, ἀλλ' ὀλύμπιον κτῆμα. "Οὐ γὰρ ἔσται," φησὶ, "τῇ φυλῇ Λευὶ μερὶς, οὔτε κλῆρος ἐν υἱοῖς Ἰσραὴλ, ὅτι κύριος αὐτὸς κλῆρος αὐτῶν *)." Καὶ ἐκ προςώπου μέντοι τοῦ θεοῦ ᾄδεται διὰ τῶν χρησμῶν τὸν τρόπον τοῦτον, "Ἐγὼ μερίς σου καὶ κληροδοσία **)." Τῷ γὰρ ὄντι ὁ τελείως κεκαθαρμένος νοῦς, καὶ πάντα τὰ γενέσεως ἀπογινώσκων, ἓν μόνον οἶδε καὶ γνωρίζει τὸ ἀγέννητον, ᾧ προςελήλυθεν, ὑφ' οὗ καὶ προςείληπται. Τίνι γὰρ ἔξεστιν εἰπεῖν, "Αὐτός μοι μόνος ἐστὶν ὁ θεὸς," ἢ τῷ μηδὲν τῶν μετ' αὐτὸν ἀσπαζομένῳ; "Αὐτὸς" δέ ἐστιν ὁ Λευΐτης τρόπος. Ἑρμηνεύεται γὰρ, αὐτός μοι, διὰ τὸ ἄλλα ἄλλοις τετιμῆσθαι, μόνῳ δὲ αὐτῷ τὸ ἀνωτάτω καὶ πάντων ἄριστον αἴτιον.

§. 16. Ἤδη τινὰ τῶν παλαιῶν φασι καθάπερ ἐκπρεπεστάτης γυναικὸς τῷ σοφίας ἐπιμανέντα κάλλει, πολυτελεστάτης πομπῆς θεασάμενον παρασκευὴν ἄφθονον, ἀπιδόντα πρός τινας τῶν συνήθων εἰπεῖν, "Ἴδετε, ὦ ἑταῖροι, ὅσων χρείαν οὐκ ἔχω," καί τοι

*) Deut. 10, 9. **) Num. 18, 20.

γε ἔξω τῶν ἀναγκαίων οὐδὲν ἁπλῶς περιβεβλημένον, ὡς μηδὲ ὑποφυσηθέντα πλούτου μεγέθει, ὃ μυρίοις συνέβη, δόξαι τῷ λόγῳ καταλαζονεύεσθαι τοῦ θεοῦ. Ὁ νομοθέτης ἐκδιδάσκει φρονεῖν δεῖν τοὺς μηδὲν χρημάτων ἐν γενέσει πορίζοντας, ἀπογινώσκοντας δὲ ὅσα γεννητὰ διὰ τὴν πρὸς τὸν ἀγέννητον οἰκειότητα, ὃν μόνον πλοῦτον καὶ εὐδαιμονίας ὅρον τελειοτάτης ἐνόμισαν. Μηκέτι νῦν αἱ τὰς βασιλείας καὶ ἡγεμονίας ἀναψάμενοι μεγαλαυχείτωσαν· οἱ μὲν, ὅτι μίαν πόλιν ἢ χώραν ἢ ἔθνος ἓν ὑπηγάγοντο· οἱ δὲ, ὅτι πάντα μὲν γῆς κλίματα μέχρι τῶν περάτων αὐτῆς, πάντα δὲ ἑλληνικὰ καὶ βαρβαρικὰ ἔθνη, πάντας δὲ ποταμοὺς καὶ τὰ ἄπειρα πλήθει καὶ μεγέθει πελάγη προσεκτήσαντο. Καὶ γὰρ εἰ μετὰ τούτων τῆς μεταρσίου φύσεως, ὃ μηδὲ εἰπεῖν εὐαγὲς, ἣν μόνην ἐκ πάντων ἀδούλωτον καὶ ἐλεύθερον ὁ ποιητὴς εἰργάσατο, ἐπεκράτησαν, ἰδιῶται νομισθεῖεν ἂν κατὰ 224
340 σύγκρισιν μεγάλων βασιλέων, οἳ τὸν θεὸν κλῆρον P.
M. ἔλαχον. Ὅσῳ γὰρ ἡ κτησάμενος τὸ κτῆμα τοῦ κτήματος ἀμείνων, καὶ τὸ πεποιηκὸς τοῦ γεγονότος, τοσούτῳ βασιλικώτεροι ἐκεῖνοι.

§. 17. Τοὺς μὲν οὖν πάντα τοῦ σπουδαίου φάσκοντας εἶναι, παραδοξολογεῖν ᾠήθησάν τινες, ἀφορῶντες εἰς τὴν ἐκτὸς ἔνδειάν τε καὶ περιουσίαν, καὶ μηδένα τῶν ἀχρημάτων ἢ ἀκτημόνων πλούσιον νομίζοντες. Μωϋσῆς δὲ οὕτω περίβλεπτον καὶ περιμάχητον ἡγεῖται σοφίαν, ὥστε οὐ μόνον τὸν σύμπαντα κόσμον ἀξιόχρεων κλῆρον αὐτῆς, ἀλλὰ καὶ τὸν τῶν ὅλων ἡγεμόνα νομίζειν· τὰ δὲ δόγματα οὐκ ἐπαμφοτεριζόντων ταῦτ' ἐστὶν, ἀλλὰ τῶν βεβαίᾳ πίστει κατεσχημένων. Ἐπεὶ καὶ νῦν εἰσί τινες τῶν ἐπιμορφαζόντων εὐσέβειαν, οἳ τὸ πρόχειρον τοῦ λόγου παρασυκοφαντοῦσι, φάσκοντες οὔθ' ὅσιον οὔτ' ἀσφαλὲς λέγειν ἀνθρώπου θεὸν κλῆρον. Οὐ γὰρ ἀπὸ γνησίου τοῦ πάθους, ἀλλ' ὑποβολιμαίου καὶ νόθου, πρὸς τὴν θεωρίαν τῶν πραγμάτων, εἴποιμ' ἂν αὐτοῖς,

ἥκετε. Ἐν ἴσῳ γὰρ ᾠήθητε τὰ ἀμπέλων ἢ ἐλαιῶν ἢ τῶν ὁμοιοτρόπων κτήματα ἐχόντων, καὶ σοφῶν τὸν θεὸν κλῆρον λέγεσθαι· καὶ οὐκ ἐνενοήσατε ὅτι καὶ ζωγράφοις ζωγραφία, καὶ συνόλως τέχνη τῷ τεχνίτῃ λέγεται κλῆρος, οὐχ ὡς γήϊνον κτῆμα, ἀλλ' ὡς ὀλύμπιον ἀγώνισμα. Δεσπόζεται γὰρ τῶν τοιούτων οὐδὲν, ἀλλ' ὠφελεῖ τοὺς ἔχοντας· ὥςτε καὶ τὸ ὂν, κλῆρον, μὴ ὡς κτῆμα τούτοις ἐμφερὲς ἀκούετε τοῖς λεχθεῖσιν, ὦ συκοφάνται, ἀλλ' ὡς ὠφελιμώτατον καὶ μέγιστον τοῖς θεραπεύειν ἀξιοῦσιν ἀγαθῶν αἴτιον.

§. 18. Εἰρηκότες οὖν περὶ τοῦ πρώτου φυτουργοῦ καὶ φυτοῦ τὰ ἁρμόζοντα, μέτιμεν ἑξῆς ἐπὶ τὰς τῶν μαθημάτων ἅμα καὶ μιμημάτων ἐπιμελείας. Εὐθέως τοίνυν ὁ σοφὸς Ἀβραὰμ λέγεται „Φυτεῦσαι ἄρουραν ἐπὶ τῷ φρέατι τοῦ ὅρκου, καὶ ἐπικαλέσαι τὸ ὄνομα κυρίου θεοῦ αἰωνίου*)." Καὶ οὐ δεδήλωται τῶν φυτῶν ἡ ἰδιότης, ἀλλ' αὐτὸ μόνον τοῦ χωρίου τὸ μέγεθος. Φασὶ δὲ οἷς ἔθος ἐρευνᾶν τὰ τοιαῦτα, πάντα θεοῦ ὅσα ἐν κτήμασιν ἠκριβῶσθαι διαφερόντως, καὶ τὸ δένδρον, καὶ τὸ χωρίον, καὶ τὸν τοῦ δένδρου καρπόν. Τὸ μὲν οὖν δένδρον αὐτὴν εἶναι τὴν ἄρουραν, ἀλλ' οὐχ ὁμοίαν τοῖς βλαστάνουσιν ἀπὸ γῆς, ἀλλὰ κατὰ τὴν τοῦ θεοφιλοῦς ῥιζωθεῖσαν διάνοιαν· τὸ δὲ χωρίον, τὸ φρέαρ τοῦ ὅρκου· τὸν δὲ καρπὸν, τὴν τοῦ κυρίου ὀνόματος μετάληψιν εἰς θεὸν αἰώνιον. Τὸν δὲ περὶ ἑκάστου τῶν προτεθέντων εἰκότα λόγον, ἀναγκαῖον προςαπο-
341 δοῦναι· ἡ μὲν τοίνυν ἄρουρα μήκους πηχῶν οὖσα
M. ἑκατὸν, καὶ πλάτους τῶν ἴσων, κατὰ τὴν τοῦ τετραγώνου φύσιν πολυπλασιασθέντων, εἰς μυρίων ἀριθμὸν ἐπιπέδων συντίθεται πηχῶν. Ἔστι δὲ ὅρος
οὗτος τῶν ἀπὸ μονάδος παραυξηθέντων ὁ μέγιστος 225
καὶ τελειότατος, ὥςτε ἀρχὴν μὲν ἀριθμῶν εἶναι μο- P.

*) Gen. 21, 33.

νάδα, τέλος δὲ ἐν τοῖς κατὰ τὴν πρώτην σύνθεσιν, μυριάδα. Παρ᾽ ὃ καί τινες οὐκ ἄπο σκοποῦ βαλβῖδι μὲν μονάδα, καμπτῆρι δὲ εἴκασαν μυριάδα, τοὺς δὲ μεθυρίους πάντας ἀριθμοὺς τοῖς δρόμον ἀγωνιζομένοις. Ἀρχόμενοι γὰρ ὥςπερ ἀπὸ βαλβῖδος φέρεσθαι μονάδος, παρὰ μυριάδα τὸ τέλος ἵστανται. Μετιόντες οὖν ἀπὸ τούτων τινὲς ὡςανεὶ συμβόλων, ἔφασαν τὸν θεὸν ἀρχὴν καὶ πέρας εἶναι τῶν ἁπάντων, δόγμα κατασκευαστικὸν εὐσεβείας. Τοῦτο τὸ δόγμα φυτευθὲν ἐν ψυχῇ, κάλλιστον καὶ τροφιμώτατον καρπὸν, ὁσιότητα, τίκτει· τόπος ἐστὶν οἰκειότατος τῷ φυτῷ τὸ φρέαρ, ὃ κέκληται ὅρκος, ἐν ᾧ κατέχει λόγος μὴ ἀνευρεθῆναι ὕδωρ. "Παραγενόμενοι γὰρ," φησὶν, "οἱ παῖδες Ἰσαὰκ, ἀπήγγειλαν αὐτῷ περὶ τοῦ φρέατος οὗ ὤρυξαν· καὶ εἶπον, οὐχ εὕρομεν ὕδωρ, καὶ ἐκάλεσεν αὐτὸ ὅρκος*)." Τοῦτο δὲ ἣν ἔχει δύναμιν θεασώμεθα.

§. 19. Οἱ τὴν τῶν ὄντων φύσιν διερευνῶντες, καὶ τὰς περὶ ἑκάστων ζητήσεις μὴ ὀλιγώρως ποιούμενοι, παραπλήσια ποιοῦσι τοῖς τὰ φρέατα ὀρύττουσι· καὶ γὰρ ἐκεῖνοι τὰς ἐν ἀφανεῖ πηγὰς ἀναζητοῦσι. Καὶ κοινὸς μὲν πόθος ἅπασίν ἐστι, ποτὸν ἀνευρεῖν· ἀλλὰ τοῖς μὲν δι᾽ οὗ σῶμα, τοῖς δὲ δι᾽ οὗ ψυχὴ πέφυκε τρέφεσθαι. Ὥςπερ οὖν ἔνιοι τῶν ανατεμνόντων τὰ φρέατα τὸ ζητούμενον ὕδωρ πολλάκις οὐχ εὗρον, οὕτως οἱ προσωτέρω χωροῦντες τῶν ἐπιστημῶν, καὶ ἐπὶ πλέον ἐμβατεύοντες αὐταῖς, ἀδυνατοῦσι τοῦ τέλους ἐπιψαῦσαι. Τοὺς γοῦν πολυμαθεῖς φασιν ἀμαθίαν δεινὴν ἑαυτῶν κατηγορεῖν, μόνον γὰρ ὅσον τοῦ ἀληθοῦς ὑστερίζουσιν ᾔσθοντο. Καί τινα τῶν παλαιῶν λόγος ἔχει θαυμαζόμενον ἐπὶ σοφίᾳ "εἰκότως" φάναι "θαυμάζεσθαι, μόνον γὰρ εἰδέναι ὅτι οὐδὲν οἶδεν." Ἑλοῦ δὲ εἰ θέλεις ἣν ἂν διανοηθῇς μικρὰν ἢ μείζονα τέχνην, καὶ τὸν κατὰ

*) Gen. 26, 32.

ταύτην γενόμενον ἄριστόν τε καὶ δοκιμώτατον, εἶτα κατανόησον εἰ τὰ ἐπαγγέλματα τῆς τέχνης ἰσάζει τοῖς ἔργοις τοῦ τεχνίτου· σκοπῶν γὰρ εὑρήσεις ταῦτα ἐκείνων οὐ βραχέσιν ἀλλὰ μεγάλοις διαστήμασιν ἀποδέοντα· σχεδὸν ἀδυνάτου καθεστῶτος πρὸς ἡντινοῦν τελειωθῆναι τέχνην, πηγῆς τρόπον ἀεὶ κινουμένην, καὶ θεωρημάτων παντοίων ἰδέας ἀνομβροῦσαν. Διὰ τοῦθ' ὅρκος ὠνομάσθη προςφυέστατα τὸ πίστεως
842 βεβαιότατον σύμβολον, μαρτυρίαν θεοῦ περιεχού-
M. σης. Ὡς γὰρ ὁ ὀμνὺς τῶν ἀμφιςβητουμένων καλεῖ θεὸν μάρτυρα, ἐπ' οὐδενὶ οὕτως ἐστὶν εὐορκῆσαι, ὡς ἐπὶ τῷ μηδεμιᾶς ἐπιστήμης εὑρίσκεσθαι παρὰ τῷ
τεχνίτῃ τέλος. Ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τὰς ἄλ- 226
λας ὅσαι περὶ ἡμᾶς δυνάμεις, ὀλίγου δεῖν κεχώρηκεν· P.
ὥςπερ γὰρ ἐν τῷ λεχθέντι φρέατι ὕδωρ φασὶ μὴ εὑρεθῆναι, οὕτως οὐδὲ ἐν ὀφθαλμοῖς τὸ ὁρατὸν, οὐδ' ἐν ὠσὶ τὸ ἀκούειν, οὐδ' ἐν μυκτῆρσι τὸ ὀσφραίνεσθαι, οὐδὲ συνόλως ἐν αἰσθήσεως ὀργάνοις τὸ αἰσθάνεσθαι· κατὰ τὸ παραπλήσιον δὲ, οὐδ' ἐν νῷ τὸ καταλαμβάνειν. Πῶς γὰρ ἂν παρορᾶν, ἢ παρακούειν, ἢ παρανοεῖν συνέβαινεν, εἴπερ ἐν τούτοις πάγιαι ἦσαν αἱ ἀντιλήψεις ἑκάστου, ἀλλὰ μὴ ἐπ' αὐτῶν θεοῦ σπείροντος, τὸ βέβαιον ἐπεφύκεσαν;

§. 20. Ἱκανῶς οὖν καὶ περὶ τοῦ χωρίου διειλεγμένοι, ἐν ᾧ τὸ δένδρον ἀνθεῖ, καὶ περὶ τοῦ καρποῦ τελευταῖον ἐξεργασώμεθα. Τίς οὖν ὁ καρπὸς αὐτοῦ, αὐτὸς ὑφηγήσεται. „Ἐπεκάλεσε" γὰρ „ὄνομα κύριος ὁ θεὸς αἰώνιος*)." Αἱ τοίνυν λεχθεῖσαι προςρήσεις τὰς περὶ τὸ ὂν ἐμφαίνουσι δυνάμεις, ἡ μὲν γὰρ κύριος, καθ' ἣν ἄρχει, ἡ δὲ θεὸς, καθ' ἣν εὐεργετεῖ. Οὗ χάριν καὶ τῇ κατὰ τὸν ἱερώτατον Μωϋσῆν κοσμοποιΐᾳ πάσῃ τὸ τοῦ θεοῦ ὄνομα ἀναλαμβάνεται. Ἥρμοττε γὰρ τὴν δύναμιν καθ' ἣν ὁ ποιῶν εἰς γένεσιν ἄγων ἐτίθετο καὶ διεκοσμεῖτο, διὰ

*) Gen. 21, 33.

ταύτης καὶ καταπληχθῆναι. Καθ᾽ ὃ μὲν οὖν ἄρχων ἐστὶν, ἄμφω δύναται καὶ εὖ καὶ κακῶς ποιεῖν, συμμεταβαλλόμενος πρὸς τὴν τοῦ δράσαντος ἀπόδοσιν. Καθ᾽ ὃ δὲ εὐεργέτης, θάτερον μόνον βούλεται, τὸ εὐεργετεῖν. Μέγιστον δ᾽ ἂν ψυχῆς γένοιτο ἀγαθὸν, μηκέτι ἐνδοιάζειν περὶ τῆς πρὸς ἑκάτερα τοῦ βασιλέως ἰσχύος, ἀλλ᾽ ἀνενδοιάστως τὸν μὲν ἕνεκα τοῦ κράτους τῆς ἀρχῆς αὐτοῦ φόβον ἐπικρεμάμενον καταλύειν· τὴν δὲ ἐκ τοῦ προαιρετικῶς εἶναι φιλόδωρον, ἀγαθῶν κτήσεως καὶ χρήσεως ἐλπίδα βεβαιοτάτην ζωπυρεῖν. Τὸ δὴ θεὸς αἰώνιος ἴσον ἐστὶ τῷ ὁ χαριζόμενος οὐ ποτὲ μὲν, ποτὲ δὲ οὔ, ἀεὶ δὲ καὶ συνεχῶς, ὁ ἀδιαστάτως εὐεργετῶν, ὁ τὴν τῶν δωρεῶν ἐπάλληλον φορὰν ἀπαύστως συνείρων, ὁ τὰς χάριτας ἐχομένας ἀλλήλων ἀνακυκλῶν, καὶ δυνάμεσιν ἑνωτικαῖς καθαρμοζόμενος, ὁ μηδένα καιρὸν τοῦ ποιεῖν εὖ παραλείπων, ὁ κύριος ὢν, ὡς καὶ βλάπτειν δύνασθαι.

§. 21. Τοῦτο καὶ ὁ ἀσκητὴς Ἰακὼβ ᾐτήσατο
ἐπὶ τέλει τῶν ἱεροπρεπεστάτων εὐχῶν. Εἶπε γάρ
που, „Καὶ ἔσται κύριος ἐμοὶ εἰς θεὸν*)," ἴσον τῷ·
οὐκέτι μοι τὸ δεσποτικὸν ἐπιδείξεται τῆς αὐτοκρά-
343 τορος ἀρχῆς, ἀλλὰ τὸ εὐεργετικὸν τῆς ἵλεω περὶ
M. πάντα καὶ σωτηρίου δυνάμεως· τὸν μὲν οἷα ἐπὶ δε-
σπότῃ φόβον ἀναιρῶν, τὴν δὲ, ὡς ἐπ᾽ εὐεργέτῃ, φι-
λίαν καὶ εὔνοιαν τῇ ψυχῇ παρέχων. Τίς ἂν τοῦθ᾽
ὑπολάβοι ψυχὴ, ὅτι ὁ δεσπότης καὶ ἡγεμὼν τῶν
ὅλων οὐδὲν τῆς ἑαυτοῦ φύσεως μεταβάλλων, μένων
δὲ ἐν ὁμοίῳ, ἀγαθός ἐστι συνεχῶς, καὶ φιλόδωρος 227
ἀνελλιπῶς; Ὅθεν ὄντως ἀγαθῶν ἀφθόνων καὶ ἀεν- P.
νάων αἴτιος τελειότατος τοῖς εὐδαιμονοῦσι. Βασιλεῖ
δὲ πεπιστευκέναι, μὴ τῷ μεγέθει τῆς ἀρχῆς ἐπαιρο-
μένῳ πρὸς βλάβας τῶν ὑπηκόων, ἀλλὰ φιλανθρω-
πίᾳ τὸ ἀνενδεὲς ἑκάστῳ ἐπανορθοῦσθαι προαιρου-

*) Gen. 28, 21.

μένῳ, μέγιστόν ἐστι πρὸς εὐθυμίαν καὶ ἀσφάλειαν ἕρκος.

§. 22. Ἃ τοίνυν ὑπεσχόμεθα, ἤδη σχεδὸν ἀποδέδεικται, τὸ φυτὸν μὲν, τὸ ἀρχήν τινα κάλλιστον λαμβάνεσθαι τῶν ἁπάντων εἶναι θεόν· χωρίον δὲ τὸ ἀκόλουθον, τὸ ἐν μηδενὶ τῶν ἐν γενέσει τέλειον εὑρίσκεσθαι, ἐπ' αὐτῶν δὲ ἔσθ' ὅτε χάρισι τοῦ αἰτίου προφαίνεσθαι· καρπὸς δὲ, τὸ τὰς τοῦ θεοῦ διαιωνίζειν χάριτας, καὶ ὀμβρούσας ἀπαύστως μηδέποτε λήγειν. Οὕτω μὲν δὴ καὶ ὁ σοφὸς ἑπόμενος τῇ τοῦ πρώτου καὶ μεγίστου φυτουργοῦ τέχνῃ, τὴν γεωργικὴν ἐπιδείκνυται. Βούλεται δὲ ὁ ἱερὸς λόγος καὶ τοῖς μήπω τελειωθεῖσιν ἡμῖν, ἔτι δὲ ἐν μέσοις ἀριθμοῖς τῶν λεγομένων καθηκόντων ἐξεταζομένοις, διαπονηθῆναι τὰ γεωργικά. Φησὶ γὰρ, „Ὅταν εἰςέλθητε εἰς τὴν γῆν, ἣν κύριος ὁ θεὸς δίδωσιν ὑμῖν, καὶ καταφυτεύσητε πᾶν ξύλον βρώσεως, περικαθαριεῖτε τὴν ἀκαθαρσίαν αὐτοῦ, τὸν καρπὸν αὐτοῦ τρία ἔτη ἔσται ἀκάθαρτος, οὐ βρωθήσεται· τῷ δὲ ἔτει τῷ τετάρτῳ, ἔσται πᾶς καρπὸς αὐτοῦ ἅγιος, αἰνετὸς τῷ κυρίῳ· τῷ δὲ ἔτει τῷ πέμπτῳ, φάγεσθε τὸν καρπὸν πρόςθεμα ὑμῖν τὰ γεννήματα αὐτοῦ. Ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν *).“ Οὐκοῦν τῶν ξύλων τὰ ἐδώδιμα, πρὶν εἰς τὴν ὑπὸ θεοῦ δοθεῖσαν χώραν μεταναστῆναι, φυτεύειν ἀδύνατον· „Ὅταν γὰρ εἰςέλθητε πρὸς τὴν γῆν, καὶ φυτεύσητε πᾶν ξύλον βρώσιμον,“ φησίν. Ὥςτε ἔξω διατρίβοντες οὐκ ἂν δυναίμεθα τὰ τοιαῦτα τῶν δένδρων γεωργεῖν· καὶ μήποτ' εἰκότως. Ἕως μὲν γὰρ εἰς τὴν σοφίας ὁδὸν οὐ προςελήλυθεν ὁ νοῦς, τετραμμένος δὲ πόῤῥω πλανᾶται, τῶν τῆς ἀγρίας ὕλης ἐπιμελεῖται φυτῶν, ἅπερ ἤτοι ἄγονα ὄντα ἐστείρωται, ἢ γεννῶντα ἐδωδίμων ἐστὶν ἄφορα. Ὅταν δὲ εἰς τὴν φρονήσεως ἐμβὰς ὁδὸν συνειςέρχη-

*) Lev. 19, 23. sq.

344 ται τοῖς δόγμασι, καὶ συντρέχειν πᾶσιν ἄρξηται,
M. τὴν ἥμερον καὶ καρπῶν ἡμέρων οἰστικὴν ἀντὶ τῆς
ἀγρίας ἐκείνης γεωργεῖ, ἀπάθειαν ἀντὶ παθῶν, καὶ ἀντὶ ἀγνοίας ἐπιστήμην, καὶ ἀντὶ κακῶν τὰ ἀγαθά. Ἐπεὶ οὖν ἀρετῆς ὁ εἰςαγόμενος μακρὰν τοῦ τέλους ἀφέστηκεν, εἰκότως φυτεύσαντι αὐτῷ προςτέτακται περιελεῖν τὴν ἀκαθαρσίαν τοῦ φυτευθέντος. Τί δὲ τοῦτ' ἐστὶν ἐπισκεψώμεθα.

§. 23. Τὰ μέσα τῶν καθηκόντων ἡμέρων φυτῶν
τὸν αὐτὸν ἔχειν μοι δοκεῖ λόγον. Ἑκάτερα γὰρ ὠφελι- 228
μωτάτους φέρει καρπούς, τὰ μὲν σώμασι, τὰ δὲ ψυχαῖς· P.
πολλὰ δὲ ἐν τοῖς μέσοις συναναβλαστάνοντα καὶ ἐπιφυόμενα τῶν βλαβερῶν, ἀναγκαίως ἂν γένοιτο, τοῦ μὴ ζημιοῦσθαι τὰ ἀμείνω χάριν. Ἢ οὐκ ἂν εἴποιμεν φυτὸν ἥμερον ψυχῆς, παρακαταθήκης ἀπόδοσιν; Ἀλλὰ τοῦτό γε τὸ φυτὸν καθάρσεως δεῖται καὶ περιττοτέρας ἐπιμελείας. Τίς οὖν ἡ κάθαρσις; Ἥδε. Παρὰ νήφοντος λαβὼν παρακαταθήκην, μήτε μεθύοντι μήτ' ἀσώτῳ μήτε μεμηνότι ἀποδῷς. Ὁ γὰρ λαβὼν ὄνησιν ἐκ τοῦ κομίσασθαι, οὐχ ἕξει καιρὸν ὠφεληθῆναι. Μηδὲ χρεώσταις ἢ δούλοις ἀποδῷς, δανειστῶν καὶ δεσποτῶν ἐφεδρευόντων. Προδοσία γὰρ τοῦτ' ἐστὶν, οὐκ ἀπόδοσις. Μηδὲ τὴν ἐν ὀλίγοις πίστιν φύλαττε θήρας τῆς ἐν πλείοσι πίστεως. Δελέατά γε οἱ μὲν ἁλιευόμενοι μικρὰ καθιέντες ἐπὶ τῷ τοὺς μείζους ἀγκιστρεύεσθαι τῶν ἰχθύων, οὐ σφόδρα ἂν ὑπαίτιοι, τῆς κατ' ἀγορὰν εὐετηρίας προνοεῖσθαι φάσκοντες, καὶ ὡς ἂν ἄφθονον ἀνθρώποις τὴν καθ' ἑκάστην ἡμέραν ποιήσωνται δίαιταν. Δέλεαρ δὲ μηδεὶς ὀλιγοχρημάτου παρακαταθήκης ἀπόδοσιν, ἐπ' ἄγρᾳ μείζονος προφερέτω, χερσὶ μὲν τὰ ἑνὸς καὶ ὀλίγα προτείνων, διανοίᾳ δὲ τὰ πάντων καὶ ἀμύθητα νοσφιζόμενος. Ἐὰν οὖν ὡς δένδρου τῆς παρακαταθήκης περιέλῃς τὰ ἀκάθαρτα, τὰς ἀπὸ τῶν ἐφεδρευόντων βλάβας, τὰς ἀκαιρίας, τὰς

νέδρας, τὰ ὁμοιότροπα πάντα, ἡμερώσεις τὸ μέλ-
λον ἀγριαίνεσθαι.

§. 24. Καὶ ἐν τῷ φιλίας μέντοι φυτῷ ταῦτα
δὴ τὰ παραβλαστάνοντα τεμεῖν καὶ ἀποκόψαι, φυ-
λακῆς ἕνεκα τοῦ βελτίονος, ἀναγκαῖον. Τὰ δὲ πα-
ραβλαστάνοντα ταῦτ' ἐστὶν ἑταιρῶν πρὸς ἐραστὰς
γοητεῖαι, πρὸς τοὺς κολακευομένους οἰκοσίτων ἀπά-
ται. Τὰς γὰρ μισθαρνούσας ἐπὶ τῇ ὥρᾳ τοῦ σώ-
ματος ἰδεῖν ἔστι περιεχομένας τῶν ἐραστῶν, ὡς δὴ
σφόδρα φιλούσας. Φιλοῦσι δὲ οὐκ ἐκείνους, ἀλλ'
ἑαυτὰς, καὶ τοῖς καθ' ἑκάστην ἡμέραν λήμμασιν
ἐπικεχήνασι. Τούς τε κόλακας, ἄλεκτον μὲν ἔστιν
5 ὅτε μῖσος πρὸς τοὺς θεραπευομένους φυλάττον-
τας, ὀψοφαγίαν δὲ καὶ λαιμαργίαν ἀγαπῶντας, ὑφ'
ὧν ἀναπείθονται τοὺς χορηγοὺς τῶν ἀμέτρων ἐπι-
θυμιῶν περιέπειν. Τὸ δὲ τῆς ἀκιβδηλεύτου φιλίας
δένδρον ἀποσεισάμενον καὶ μεθέμενον ταῦτα, καρ-
πὸν τοῖς χρησομένοις ὠφελιμώτατον οἴσει, τὸ ἀδέ-
καστον. Εὔνοια γάρ ἐστι βούλησις τοῦ τῷ πλησίον
εἶναι τὰ ἀγαθὰ αὐτὰ χάριν ἐκείνου. Αἱ δέ γε χα-
μαίτυποι καὶ οἱ κόλακες αὐτῶν ἕνεκα σπουδάζουσιν,
αἱ μὲν τοῖς ἐρασταῖς, οἱ δὲ τοῖς κολακευομένοις τὰ
ἀγαθὰ προςάγειν. Τὰς οὖν εἰρωνείας καὶ γοητείας, 229
καθάπερ ἐπιφυομένας κῆρας τῷ φιλίας φυτῷ, περι- P.
κοπτέον.

§. 25. Ἱερουργίαι γε μὴν καὶ ἡ περὶ τὰς θυ-
σίας πίστις, βλάστημα κάλλιστον, ἀλλὰ παραναπέ-
φυκεν αὐτῷ κακὸν, δεισιδαιμονία, ἣν πρὶν χλοῆσαι
λυσιτελὲς ἐκτεμεῖν. Ἔνιοι γὰρ ᾠήθησαν τὸ βουθυ-
τεῖν εὐσέβειαν εἶναι, καὶ ἐξ ὧν ἂν κλέψωσιν ἢ ἀρ-
νήσωνται ἢ χρεωκοπήσωσιν ἢ ἁρπάσωσιν, ἢ λεηλα-
τήσωσι μοίρας ἀπονέμουσι τοῖς βωμοῖς, οἱ δυςκά-
θαρτοι, τὸ μὴ δοῦναι δίκην ἐφ' οἷς ἐξήμαρτον,
ὤνιον εἶναι νομίζοντες. Ἀλλὰ γὰρ εἴποιμ' ἂν αὐτοῖς,
ἀδέκαστόν ἐστιν, ὦ οὗτοι, τὸ θεοῦ δικαστήριον, ὡς
τοὺς μὲν γνώμῃ κεχρημένους ὑπαιτίῳ, κἂν ἅπα-

σαν ἡμέραν ἑκατὸν βόας ἀνάγωσιν, ἀποστρέφεσθαι· τοὺς δὲ ἀνυπαιτίους, κἂν μηδὲν θύωσι τὸ παράπαν, ἀποδέχεσθαι. Βωμοῖς γὰρ ἀπύροις, περὶ οὓς ἀρεταὶ χορεύουσι, γέγηθεν ὁ θεός, ἀλλ' οὐ πολλῷ πυρὶ φλέγουσιν, ὅπερ αἱ τῶν ἀνιέρων ἄθυτοι θυσίαι συνανέφλεξαν, ὑπομιμνήσκουσαι τὰς ἑκάστων ἀγνοίας τε καὶ διαμαρτίας. Καὶ γὰρ εἶπέ που Μωϋσῆς θυσίαν "ἀναμιμνήσκουσαν ἁμαρτίαν*)." Πάντ' οὖν τὰ τοιαῦτα μεγάλης γιγνόμενα ζημίας αἴτια, χρὴ περιαιρεῖν καὶ ἀποκόπτειν, ἑπομένους τῷ χρησμῷ ἐν ᾧ διείρηται "περιαιρεῖν τὴν ἀκαθαρσίαν ξύλου τοῦ φυτευθέντος ἐδωδίμου**)."

§. 26. Ἀλλ' ἡμεῖς μὲν οὐδὲ διδασκόμενοι πρὸς εὐμάθειαν ἐπιδίδομεν. Ἔνιοι δὲ αὐτοδιδάκτῳ τῇ φύσει χρησάμενοι τὸ ἀγαθὸν ἐξέδυσαν τῶν ἐνειλημμένων βλαβῶν, καθάπερ ὁ ἀσκητὴς ἐπίκλην Ἰακώβ. Οὗτος γὰρ "ῥάβδους ἐξελέπισε λεπίσματα λευκὰ περισύρων τὸ χλωρὸν***)," ἵνα τῆς ἐν μέσοις ποικιλίας σκοταίας καὶ ζοφερᾶς πανταχοῦ ἀναιρεθείσης, τὸ μὴ τέχνῃ ποικιλλομένῃ, φύσει δὲ γεννώμενον ἀδελφὸν αὐτῆς λευκὸν εἶδος ἀναδειχθῇ. Παρ' ὃ καὶ ἐν τῷ
346 περὶ τῆς λέπρας τεθέντι νόμῳ διείρηται "τὸν
M. μηκέτι διηνθισμένον ποικιλίᾳ χρωμάτων, ὅλον δὲ λευκωθέντα δι' ὅλων ἀπὸ κεφαλῆς ἕως ποδῶν ἄκρων, καθαρὸν εἶναι†)," ἵνα κατὰ τὴν ἀπὸ τοῦ σώματος μετάβασιν, τὸ ποικίλον καὶ πανοῦργον καὶ ἀντιῤῥέπον καὶ ἐπαμφοτερίζον τῆς διανοίας μεθέμενοι πάθος, τὸ ἀποίκιλον καὶ ἀνενδοίαστον ἀληθείας ἁπλοῦν χρῶμα δεξώμεθα. Τὸ μὲν οὖν ξύλον φάσκειν περικαθαίρεσθαι λόγον ἔχει βεβαιούμενον ἀληθείᾳ, τὸ δὲ τὸν καρπὸν, οὐ πάνυ τῷ ἐναργεῖ πεπίστευται. Σῦκα γὰρ ἢ σταφυλὴν ἢ συνόλως καρπὸν οὐδεὶς γεωργῶν περικαθαίρει.

---

*) Num. 5, 15. **) Lev. 19, 23. ***) Gen. 30, 37. †) Lev. 13, 12.

§. 27. Καὶ μὴν φησί γε, "Ὁ καρπὸς αὐτοῦ τρία ἔτη ἔσται ἀκάθαρτος οὐ βρωθήσεται*)," ὡς εἰωθότος δήπου περικαθαίρεσθαι ἀεί. Λεκτέον οὖν, ὅτι καὶ τοῦθ' ἕν ἐστι τῶν ἐν ὑπονοίαις ἀποδιδο- 230
μένων, τοῦ ῥητοῦ μὴ σφόδρα συνᾴδοντος. Ἡ δὲ P.
λέξις ἐστὶν ἀμφίβολος. Δηλοῖ γὰρ ἓν μέν τι τοιοῦτον, ὁ καρπὸς αὐτοῦ τρία ἔτη ἔσται· εἶτα ἰδίᾳ τὸ "ἀπερικάθαρτος οὐ βρωθήσεται." Ἕτερον δέ, ὁ καρπὸς αὐτοῦ τρία ἔτη ἔσται ἀπερικάθαρτος· καὶ ἔπειθ' οὕτω "βρωθήσεται." Κατὰ μὲν οὖν τὸ πρότερον σημαινόμενον ταῦτα ἄν τις ἐκδέξαιτο· τῶν τριῶν ἐτῶν ἀντὶ τοῦ τριμεροῦς χρόνου παραλαμβανομένων, ὃς εἰς τὸν παρεληλυθότα καὶ ἐνεστῶτα καὶ μέλλοντα τέμνεσθαι πέφυκεν. Ὁ τῆς παιδείας οὖν καρπὸς ἔσται, καὶ ὑποστήσεται καὶ μενεῖ σῶος κατὰ πάντα τὰ χρόνου τμήματα, ἴσον τῷ, δι' αἰῶνος φθορὰν μὴ δεχόμενος. Ἄφθαρτος γὰρ ἡ τοῦ ἀγαθοῦ φύσις. "Ἀπερικάθαρτος δὲ καρπὸς οὐ βρωθήσεται," παρ' ὅσον οἱ μὲν κεκαθαρμένοι καὶ ὑγιαίνοντες ἀστεῖοι λόγοι ψυχὴν τρέφουσι καὶ νοῦν αὔξουσιν. Οὐ τρόφιμοι δέ εἰσιν οἱ ἐναντίοι, νόσον καὶ φθορὰν ἐπιλάμποντες αὐτῇ. Κατὰ δὲ τὸ ἕτερον σημαινόμενον ὥςπερ ἀναπόδεικτος λέγεται διχῶς, ὅ τε δυςκόλως, ἀργαλεότητος ἕνεκα ἐπιδεικνύμενος, καὶ ὁ ἐνθένδε γνώριμος, ἐξ αὐτοῦ τὸ σαφές, οὐκ ἐκ τῆς ἑτέρου μαρτυρίας, ἀλλ' ἐκ τῆς ἐμφαινομένης ἐναργείας αὐτῷ πιστούμενος· καὶ πρὸς τοὺς συλλογιστικοὺς εἴωθεν ἡ διαλεκτικὴ λόγοις χρῆσθαι. Οὕτως ἀπερικάθαρτος καρπός, ὅ τε δεόμενος καθάρσεως καὶ μὴ κεκαθαρμένος, καὶ ὁ τηλαυγέστατος. Τοιοῦτός ἐστιν ὁ τῆς παιδείας καρπός, "τρία ἔτη," τουτέστι τὸν τριμερῆ χρόνον, τὸν σύμπαντα αἰῶνα, καθαρώτατος καὶ διαυγέστατος, ὑπ' οὐδενὸς βλαβεροῦ συσκιαζόμενος, λουτρῶν καὶ περιῤῥαντηρίων ἢ

*) Lev. 19, 23.

συνόλως ἑτέρου τινὸς τῶν εἰς κάθαρσιν τεινόντων, οὐδαμῶς χρεῖος ὤν.

347 §. 28. "Τῷ δὲ ἔτει," φησί, "τῷ τετάρτῳ
M. ἔσται πᾶς ὁ καρπὸς αὐτοῦ ἅγιος, αἰνετὸς τῷ κυ-
ρίῳ*)." Τὸν τέσσαρα ἀριθμόν, πολλαχοῦ μὲν τῆς
νομοθεσίας, μάλιστα δὲ ἐν τῷ καταλόγῳ τῆς τοῦ
παντὸς γενέσεως ἀποσεμνύνειν ἔοικεν ὁ προφητικὸς
λόγος. Τὸ γὰρ αἰσθητὸν καὶ τίμιον φῶς, τὸ καὶ
ἑαυτοῦ καὶ τῶν ἄλλων σαφέστατον γνώρισμα, καὶ
τοὺς τοκέας αὐτοῦ ἥλιον καὶ σελήνην, καὶ τὸν ἱερώ-
τατον χορὸν τῶν ἄστρων, οἳ νύκτα τε καὶ ἡμέραν,
ἔτι τε μῆνας καὶ ἐνιαυτούς, καὶ ἀνατολαῖς καὶ δύ-
σεσιν ἐπεράτωσαν, ἀριθμοῦ τε φύσιν ἀνέδειξαν, οἷς
τὸ μέγιστον ψυχῆς ἀγαθὸν ἀνάκειται, ἡμέρᾳ τε-
τάρτῃ φησὶ**) δημιουργηθῆναι. Διαφερόντως δὲ
καὶ νῦν αὐτὴν ἐκτετίμηκεν, οὐκ ἐν ἑτέρῳ χρόνῳ τὸν
τῶν δένδρων καρπὸν ἀναθεὶς τῷ θεῷ, ἢ ἐνιαυτῷ
τῆς φυτείας τετάρτῳ· λόγον γὰρ καὶ φυσικώτατον
καὶ ἠθικώτατον ἔχει. Τάς τε γοῦν τοῦ παντὸς ῥί- 231
ζας, ἐξ ὧν ὁ κόσμος, τέτταρας εἶναι συμβέβηκε, P.
γῆν, ὕδωρ, ἀέρα, πῦρ· καὶ τὰς ἐτησίους ὥρας ἰσα-
ρίθμους, χειμῶνα καὶ θέρος, καὶ τὰς μεθορίους,
ἔαρ τε καὶ μετόπωρον. Πρεσβύτατός τε αὖ τετρα-
γώνων ὁ ἀριθμὸς ὤν, ἐν ὀρθαῖς γωνίαις, ὡς τὸ κατὰ
γεωμετρίαν δηλοῖ σχῆμα, ἐξετάζεται. Αἱ δέ εἰσιν
ὀρθότητος λόγου σαφῆ δείγματα. Πηγὴ δὲ ἀέναος
ἀρετῶν ὁ ὀρθὸς λόγος. Ἀνάγκη μέντοι τὰς τοῦ τε-
τραγώνου πλευρὰς ἴσας εἶναι. Δικαιοσύνην δὲ ἰσό-
της τὴν ἔξαρχον καὶ ἡγεμονίδα τῶν ἀρετῶν ἔτεκεν.
Ὥςτε ἰσότητος καὶ δικαιοσύνης καὶ πάσης ἀρετῆς
χωρὶς τῶν ἄλλων, ἐπιδείκνυται τὸν ἀριθμὸν εἶναι
σύμβολον. Καλεῖται δὲ τετρὰς καὶ "πᾶς," ὅτι τὰ
ἄχρι δεκάδος καὶ αὐτὴν δεκάδα περιέχει δυνάμει.

*) Lev. 19, 24. **) Gen. 1, 14.

§. 29. Ὅτι μὲν οὖν τὰ πρὸ αὐτῆς, παντί γε δῆλον· ὅτι δὲ καὶ τοὺς μετ' αὐτήν, ἐξ ἐπιλογισμοῦ ῥᾴδιον ἰδεῖν ἐν ἀριθμῷ. Ἕν, δύο, τρία, τέτταρα συντιθέντες ὃ ἠποροῦμεν εὑρήσομεν. Ἐκ μὲν γὰρ ἑνὸς καὶ τεττάρων πεντὰς ἔσται· ἐκ δὲ δυοῖν καὶ τεττάρων, ἑξάς· ἑβδομὰς δέ, ἐκ τριῶν καὶ τεττάρων. Καὶ κατὰ τὴν τριπλῆν σύνθεσιν, ἐξ ἑνὸς καὶ τριῶν καὶ τεττάρων, ὀγδοάς· καὶ πάλιν ἐκ δυοῖν καὶ τριῶν καὶ τεττάρων, ὁ ἐννέα ἀριθμός· δεκὰς δέ, ἐκ πάντων· ἓν γάρ, καὶ δύο, καὶ τρία, καὶ τέτταρα δέκα γεννᾷ. Διὰ τοῦτο καὶ Μωϋσῆς εἶπεν, ὅτι "ἔτει τῷ τετάρτῳ ἔσται πᾶς ὁ καρπὸς αὐτοῦ ἅγιος" *). Ἄρτιον γὰρ καὶ ὁλόκληρον, καὶ πλήρη, ὡς καὶ σύμπαντα, ὡς τύπῳ φάναι, λόγον ἔχει, διὰ τὸ δεκάδα, ἣν τετρὰς ἐγέννησε, πρῶτον καμπτῆρα τῶν ἀπὸ
348 μονάδος συντιθεμένων ἀριθμῶν ἑστάναι· δεκὰς δὲ
M. καὶ τετράς, "πᾶς" μὲν ἀριθμὸς εἶναι λέγεται, ἀλλὰ δεκὰς μὲν ἀποτελέσματι, τετρὰς δὲ δυνάμει.

§. 30. Τόν τε παιδείας καρπὸν οὐ μόνον "ἅγιον," ἀλλὰ καὶ "αἰνετὸν" εἶναί φησι προσηκόντως. Ἑκάστη μέν γε τῶν ἀρετῶν ἐστι χρῆμα ἅγιον, εὐχαριστία δὲ ὑπερβαλλόντως. Θεῷ δὲ οὐκ ἔστι γνησίως εὐχαριστῆσαι, δι' ὧν νομίζουσιν οἱ πολλοὶ κατασκευῶν, ἀναθημάτων, θυσιῶν. Οὐδὲ γὰρ σύμπας ὁ κόσμος ἱερὸν ἀξιόχρεων ἂν γένοιτο πρὸς τὴν τούτου τιμήν, ἀλλὰ δι' ἐπαίνων καὶ ὕμνων· οὐχ οὓς ἡ γεγωνὸς ᾄσεται φωνή, ἀλλὰ οὓς ὁ ἀειδὴς καὶ καθαρώτατος νοῦς ἐπηχήσει καὶ ἀναμέλψει. Παλαιὸς γοῦν ᾄδεται λόγος, ὑπὸ μὲν σοφῶν εὑρεθείς, μνήμῃ δέ, οἷα φιλεῖ, κατὰ διαδοχὰς παραδοθεὶς τοῖς μετ' ἔπειτα, οὐδὲ τὰς παιδείας ἀεὶ λίχνους ἡμετέρας παρῆλθεν ἀκοάς. Ἔστι δὲ τοιόσδε. "Ἡνίκα," φασί, "τὸν σύμπαντα κόσμον ὁ ποιητὴς ἐτελεσφόρησεν, ἑνὸς τῶν

---

*) Levit. 19, 24.

ὑποφητῶν ἐπύθετο, εἴ τι ποθεῖ μὴ γενόμενον τῶν
ὅσα κατὰ γῆς καὶ καθ' ὕδατος, ἢ ὅσα κατὰ τὴν
μετάρσιον ἀέρος, ἢ τὴν ἐσχάτην τοῦ παντὸς φύσιν 23
οὐρανοῦ γέγονεν. Ὁ δὲ ἀπεκρίνατο, τέλεια μὲν καὶ P
πλήρη πάντα διὰ πάντων εἶναι· ἓν δὲ μόνον ζητεῖν,
τὸν ἐπαινέτην αὐτῶν λόγον, ὃς τὰς ἐν πᾶσι καὶ τοῖς
βραχυτάτοις καὶ ἀφανεστάτοις δοκοῦσιν ὑπερβολὰς
οὐκ ἐπαινέσει μᾶλλον ἢ ἐξαγγελεῖ. Τὰς γὰρ διηγή-
σεις τῶν τοῦ θεοῦ ἔργων, αὐταρκέστατον ἐκείνων
ἔπαινον εἶναι, προσθήκης οὐδεμιᾶς ἔξωθεν εἰς κόσμον
δεομένων, ἀλλὰ τὸ ἀψευδὲς τῆς ἀληθείας τελειότα-
τον ἐχόντων ἐγκώμιον. Ἀκούσαντα δὲ τὸν πατέρα
τοῦ παντὸς τὸ λεχθὲν ἐπαινέσαι, καὶ οὐκ εἰς μακρὰν
τὸ πάμμουσον καὶ ὑμνῳδὸν ἀναφανῆναι γένος, ἐκ
μιᾶς δὲ τῶν περὶ αὐτὸν δυνάμεων παρθένου Μνή-
μης, ἣν Μνημοσύνην παρατρέποντες οἱ πολλοὶ τὸ
ὄνομα καλοῦσιν."

§. 31. Ὁ μὲν οὖν τῶν παλαιῶν μῦθος ὧδε
ἔχει. Ἑπόμενοι δὲ ἡμεῖς αὐτῷ λέγομεν, ὅτι οἰκειό-
τατόν ἐστιν ἔργον, θεὸν μὲν εὐεργετεῖν, γένεσιν δὲ
εὐχαριστεῖν, μηδὲ ἔξω τούτου πλέον τῶν εἰς ἀμοι-
βὴν ἀντιπαρασχεῖν δυναμένων. Ὃ γὰρ ἂν θελήσῃ
τῶν ἄλλων ἀντιχαρίσασθαι, τοῦθ' εὑρήσεται τοῦ
πάντα πεποιηκότος, ἀλλ' οὐ τῆς κομιζούσης φύσεως
κτῆμα ἴδιον. Μαθόντες οὖν ὡς ἓν ἔργον ἡμῖν ἐπι-
βάλλει μόνον ἐν τοῖς πρὸς τιμὴν θεοῦ, τὸ εὐχάρι-
στον, τοῦτο ἀεὶ καὶ πανταχοῦ μελετῶμεν, διὰ φω-
νῆς καὶ διὰ γραμμάτων ἀστείων, καὶ μηδέποτε ἐπι-
λείπωμεν, μήτε λόγους ἐγκωμιαστικοὺς μήτε ποιήματα
συντιθέντες, ἵνα καὶ ἐμμελῶς καὶ χωρὶς μέλους, καὶ
καθ' ἑκατέραν φωνῆς ἰδέαν, ᾗ τὸ λέγειν καὶ τὸ
ᾄδειν ἀποκεκλήρωται, ὅ τε κοσμοποιὸς καὶ ὁ κόσμος
349 γεραίρηται, ὁ μέν, ὡς ἔφη τις, "ἄριστος τῶν αἰτίων,
M. ὁ δὲ τελειότατος τῶν γεγονότων."

§. 32. Ἐπειδὰν οὖν ἔτει καὶ ἀριθμῷ τετάρτῳ
πᾶς ὁ ψυχῆς ἀφιερωθῇ καρπός, τῷ πέμπτῳ τὴν

ἀπόλαυσιν καὶ χρῆσιν ἡμεῖς αὐτοῖς χρήσωμεν. Φησὶ γὰρ, Ἐν τῷ ἔτει τῷ πέμπτῳ φάγεσθε καρπόν· ἐπειδὴ τὸ γεγονὸς τοῦ πεποιηκότος ὕστερον ἐν ἅπασιν ἐξετάζεσθαι νόμος φύσεως ἀνεπίληπτος, ὥστε καὶ ἂν εἰ τῶν δευτερείων ἀντιλαμβανοίμεθα, καὶ θαυμαστὸν ἡγεῖσθαι. Καὶ διὰ τοῦτο μέντοι τὸν καρπὸν τοῦ πέμπτου ἡμῖν ἀνατίθησιν, ὅτι αἰσθήσεως πεντὰς ἀριθμὸς οἰκεῖος, καὶ εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, τὸ τρέφον τὸν νοῦν ἡμῶν ἐστιν αἴσθησις, ἡ δι' ὀφθαλμῶν τὰς χρωμάτων καὶ σχημάτων ποιότητας εὐτρεπίζουσα; ἢ δι' ὤτων παντοδαπὰς τὰς τῶν φωνῶν ἰδιότητας; ἢ διὰ μυκτήρων ὀσμὰς, ἢ χυλοὺς διὰ στόματος; ἢ μαλακότητας εὐενδότους καὶ σκληρότητας ἀντιτύπους ἢ λειότητας καὶ τραχύτητάς τε αὖ καὶ θερμότητας, διὰ τῆς ἀνὰ πᾶν τὸ σῶμα σκιδναμένης δυνάμεως; ἣν ἔθος ὀνομάζειν ἁφήν. 232

§. 33. Τῶν δὲ εἰρημένων παράδειγμα σαφέστατον οἱ Λείας υἱοὶ, τῆς ἀρετῆς, οὐχ ἅπαντες, ἀλλὰ τέταρτός τε καὶ πέμπτος. Ἐπὶ μὲν γὰρ τοῦ τετάρτου φησὶ Μωϋσῆς, ὅτι "ἔστη τοῦ τίκτειν *)." Καλεῖται δὲ Ἰούδας, ὃς ἑρμηνεύεται κυρίῳ ἐξομολόγησις. Τὸν δὲ πέμπτον Ἰσσάχαρ προσαγορεύει· μισθὸς δὲ μεταληφθεὶς καλεῖται. Καὶ τεκοῦσα τὸν τρόπον τοῦτον ἡ ψυχὴ ὃ ἔπαθεν εὐθὺς ἐξελάλησεν. "Ἐκάλεσε γὰρ," φησὶ, "τὸ ὄνομα αὐτοῦ Ἰσσάχαρ, ὅ ἐστι μισθός" **). Οὐκοῦν Ἰούδας ὁ εὐλογῶν τὸν θεὸν νοῦς, καὶ τὰς εἰς αὐτὸν εὐχαρίστους ὑμνῳδίας ἀπαύστως μελετῶν, αὐτὸς ὁ πρὸς ἀλήθειαν "ἅγιος καὶ αἰνετὸς καρπὸς" ***) ἦν, οὐχ ὑπὸ γῆς δένδρων, ἀλλ' ὑπὸ φύσεως λογικῆς καὶ σπουδαίας ἐνεχθείς. Παρ' ὃ καὶ ἡ τεκοῦσα αὐτὸν φύσις "στῆναι" λέγεται "τοῦ τίκτειν", ἐπεὶ καὶ πῇ τραπῇ οὐκ εἶχεν, ἔτι πρὸς τὸν τελειότητος ὅρον ἐλθοῦσα. Τῶν γὰρ ἀποκυηθέντων κατορθωμάτων ἁπάντων ἄριστον καὶ

P.

*) Gen. 29, 35. **) Gen. 30, 18. ***) Lev. 19, 24.

τελειότατον γέννημα, ὃ εἰς τὸν πατέρα τοῦ παντὸς
ὕμνος. Ὁ δὲ πέμπτος υἱὸς τῆς κατὰ τὸν πέμπτον
ἐνιαυτὸν τῶν φυτευθέντων ἀδιαφορεῖ χρήσεως. Ὅ τε
γὰρ γεωπόνος μισθὸν τρόπον τινὰ λαμβάνει παρὰ
τῶν δένδρων ἔτει πέμπτῳ, καὶ τὸ τῆς ψυχῆς γέν-
νημα Ἰσσάχαρ, ὃς μισθὸς ἐκαλεῖτο. Καὶ σφόδρα
εἰκότως, μετὰ τὸν εὐχάριστον Ἰούδαν ἀποκυηθείς.
350 Τῷ γὰρ εὐχαρίστῳ μισθὸς αὐτῷ τὸ εὐχαριστεῖν
M. αὐταρκέστατος. Οἱ μὲν οὖν τῶν δένδρων καρποὶ
γεννήματα λέγονται τῶν ἐχόντων· ὁ δὲ παιδείας καὶ
φρονήσεως, οὐκέτι ἀνθρώπου, "μόνου" δὲ, ὥς φησὶ
Μωϋσῆς, "τοῦ πανηγεμόνος." Εἰπὼν γὰρ τὰ γεν-
νήματα αὐτοῦ, ἐπιφέρει, "Ἐγώ εἰμι κύριος ὁ Θεὸς
ὑμῶν," *) ἐναργέστατα παριστὰς, ὅτι οὗ τὸ γέννημα καὶ
ὁ τῆς ψυχῆς καρπὸς, εἷς ἐστιν ὁ Θεός. Τούτῳ καὶ παρά
τινι τῶν προφητῶν χρησθὲν συνᾴδει τόδε, "Ἐξ
ἐμοῦ ὁ καρπός σου εὕρηται. Τίς σοφὸς καὶ συνήσει
ταῦτα; Συνετὸς καὶ γνώσεται αὐτά;" **) Οὐ γὰρ
παντὸς ἀλλὰ μόνου σοφοῦ τὸ γνῶναι, τίνος ὁ δια-
νοίας καρπός ἐστι.

§. 34. Περὶ μὲν οὖν γεωργίας τῆς πρεσβυτάτης
καὶ ἱερωτάτης, ᾗ τὸ αἴτιον πρὸς τὸν κόσμον, τὸ
παμφορώτατον φυτὸν, χρῆται, καὶ περὶ τῆς ἑπομέ-
νης ἣν ὁ ἀστεῖος ἐπιτηδεύει, καὶ περὶ τῆς φερομένης
τετράδος τῶν ἄθλων, καὶ ἃ κατὰ προστάξεις καὶ
ὑφηγήσεις νόμων συνεκροτεῖτο, ὡς οἷόν τε ἦν εἴπο-
μεν. Τὴν δὲ τοῦ δικαίου Νῶε ἀμπελουργίαν, εἶδος
γεωργικῆς οὖσαν, ἐπισκεψώμεθα. Λέγεται γὰρ, ὅτι
"Ἤρξατο Νῶε ἄνθρωπος εἶναι γεωργὸς γῆς· καὶ
ἐφύτευσεν ἀμπελῶνα, καὶ ἔπιε τοῦ οἴνου, καὶ ἐμε-
θύσθη" ***). Οὐκοῦν τὸ μέθης φυτὸν ἐξεργάζεται 234
τεχνικῶς καὶ ἐπιστημόνως ὁ δίκαιος, τῶν ἀφρόνων P.
ἄτεχνον καὶ πλημμελῆ ποιουμένων αὐτοῦ τὴν ἐπι-
στασίαν, ὥστε ἀναγκαῖον τὰ προσήκοντα περὶ μέθης

*) Lev. 19, 25. **) Hos. 14, 9. ***) Gen. 9, 20 sq.

εἰπεῖν· εὐθὺς γὰρ εἰσόμεθα καὶ τὴν δύναμιν τοῦ παρέχοντος αὐτῇ τὰς ἀφορμὰς φυτοῦ. Τὰ μὲν οὖν εἰρημένα τῷ νομοθέτῃ περὶ μέθης εἰσόμεθα ἐπ' ἀκριβείας αὖθις· νυνὶ δὲ ἐξερευνήσομεν ὅσα καὶ τοῖς ἄλλοις ἔδοξεν.

35. Ἐσπουδάσθη δὲ παρὰ πολλοῖς τῶν φιλοσόφων ἡ σκέψις οὐ μετρίως. Προτείνεται δὲ οὕτως, εἰ μεθυσθήσεται ὁ σοφός; Ἔστι τοίνυν τὸ μεθύειν διττὸν, ἓν μὲν ἴσον τι τῷ οἰνοῦσθαι· ἕτερον δὲ ἴσον τῷ ληρεῖν ἐν οἴνῳ. Τῶν δὲ ἐπιχειρησάντων τῇ προτάσει, οἱ μὲν ἔφασαν μήτε ἀκράτῳ πλείονι χρῆσθαι τὸν σοφὸν, μήτε ληρήσειν· τὸ μὲν γὰρ ἁμάρτημα, τὸ δὲ ἁμαρτήματος εἶναι ποιητικὸν, ἑκάτερον δὲ ἀλλότριον κατορθοῦντος. Οἱ δὲ τὸ μὲν οἰνοῦσθαι καὶ σπουδαίῳ προςῆκον ἀπεφήναντο, τὸ δὲ ληρεῖν ἀνοίκειον. Τὴν γὰρ ἐν αὐτῷ φρόνησιν ἱκανὴν εἶναι τοῖς βλάπτειν ἐπιχειροῦσιν ἀντιστατῆσαι, καὶ τὸν ἐπὶ τῇ ψυχῇ νεωτερισμὸν αὐτῶν καθελεῖν· δύναμιν δὲ περιβεβλῆσθαι φρόνησιν παθῶν σβεστήριον, εἴτε ὑπὸ φλεγμαίνοντος ἔρωτος οἴστρῳ ἀνεῤῥιπισμένων, εἴτε ὑπὸ πολλοῦ καὶ ζέοντος ἐξημμένων οἴνου, δι' ἣν
51 ὑπεράνω στήσεται. Ἐπεὶ καὶ τῶν κατὰ ποταμοῦ
I. βαθέος ἢ θαλάττης δυομένων, οἱ μὲν ἄπειροι τοῦ ναυτίλλεσθαι διαφθείρονται· οἱ δὲ τοῦ πράγματος ἐπιστήμονες τάχιστα διασώζονται. Καὶ μὴν ὥςπερ χειμάῤῥους, ὁ πολὺς ἄκρατος ἐπικλύζων τὴν ψυχὴν, τοτὲ μὲν βρίθουσαν εἰς ἀμαθίας ἔσχατον βυθὸν κατέῤῥιψε, τοτὲ δὲ ὑπὸ τῆς σωτηρίου παιδείας ἐπικουφιζομένην καὶ ἐπελαφριζομένην οὐδὲν ἴσχυσε βλάψαι. Οἱ δὲ τὸ μέγεθος τῆς περὶ τὸ πάθος ὑπερβολῆς οὐ κατανοήσαντες, οἶμαι, τοῦ σοφοῦ, μετεωροπολοῦντα αὐτὸν, ὥςπερ οἱ τὰ πτηνὰ θηρῶντες ἐπὶ τὴν γῆν ἀπ' οὐρανοῦ κατεβίβασαν, ἵν' εἰς τὰς ὁμοίας κῆρας ἀγάγωσιν· οἱ δὲ ὁρῶντες ἀρετῆς εἰς ὕψος ἔφασαν, ὅτι χρησάμενος οἴνῳ πλείονι τοῦ μετρίου, πάντως ἀκράτωρ αὐτὸς ἑαυτοῦ γενόμενος,

διαμαρτήσεται, καὶ οὐ χεῖρας μόνον ὑπ' ἀσθενείας, οἷα τῶν ἀθλητῶν οἱ νενικημένοι, καθεὶς, ἀλλὰ καὶ αὐχένα καὶ κεφαλὴν παραβαλὼν καὶ ὀκλάσας, καὶ ὅλον τὸ σῶμα παρασυρεὶς πεσεῖται.

§. 36. Τοῦτο μέντοι προμαθὼν, οὐκ ἄν ποτε ἀξιώσειεν ἑκὼν εἰς πολυοινίας ἀγῶνα ἐλθεῖν, εἰ μὴ μεγάλα εἴη τὰ διαφέροντα, σωτηρία πατρίδος, ἢ τιμὴ γονέων, ἢ τέκνων καὶ τῶν οἰκειοτάτων σωμάτων ἀσφάλεια, ἢ συνόλως ἰδίων τε καὶ κοινῶν ἐπανόρθωσις πραγμάτων. Οὐ γὰρ θανάσιμον φάρμακον 235
προσενέγκαιτο ἄν, εἰ μὴ πάνυ βιάζοιντο οἱ καιροί, P.
καθάπερ ἐκ πατρίδος μετανίστασθαι τοῦ βίου. Φάρμακον δὲ, εἰ καὶ οὐ θανάτου, μανίας γοῦν ἄκρατον εἶναι αἴτιον συμβέβηκε. Διὰ τί δὲ οὐχὶ καὶ μανίαν λεκτέον θάνατον, ὡς τὸ κράτιστον ἀποθνήσκει τῶν ἐν ἡμῖν ὁ νοῦς; Ἀλλά μοι δοκεῖ τις ἂν εἰκότως τὸν διακρίναντα καὶ διαλύοντα ψυχήν τε καὶ σῶμα, ὡς κουφότερον ἀντὶ βαρυτέρου, τοῦ κατὰ τὴν ἔκστασιν, εἴ τις ἦν αἵρεσις, ἀνενδοιάστως ἑλέσθαι. Διὰ τοῦτο μέντοι καὶ τὴν ἀρετὴν τῆς περὶ τὸν οἶνον ἐργασίας μαινομένην ἐκάλεσαν οἱ πρῶτοι, καὶ τὰς ἐξ αὐτοῦ κατασχέτους γενομένας βάκχας, μαινάδας· ἐπεὶ μανίας καὶ παραφροσύνης αἴτιος τοῖς ἀπλήστως ἐμφορουμένοις ὁ οἶνος.

§. 37. Τὰ μὲν οὖν ὡσανεὶ προοίμια τῆς σκέψεως τοιαῦτά ἐστι· τὸν δὲ περὶ αὐτῆς λόγον ἤδη περαίνωμεν, διπλοῦν ὡς εἰκὸς ὄντα· τὸν μὲν, ὅτι ὁ σοφὸς μεθυσθήσεται κατασκευάζοντα, τὸν δὲ τὸ ἐναντίον, ὅτι οὐ μεθυσθήσεται βεβαιούμενον. Τοῦ δὲ προτέρου τὰς πίστεις ἁρμόττον λέγειν, πρότερον ποιησαμένους ἐνθένδε τὴν ἀρχήν· τῶν πραγμάτων τὰ μὲν ὁμώνυμα, τὰ δὲ συνώνυμα εἶναι συμβέβηκεν. Ὁμωνυμία δὲ καὶ συνωνυμία τὰ ἐναντία ὁμολογεῖ-
352 ται· ὅτι ὁμωνυμία μὲν κατὰ πολλῶν ὑποκειμένων, ἓν
M. ὄνομα, συνωνυμία δὲ, καθ' ἑνὸς ὑποκειμένου. Ἡ
κυνὸς φωνὴ πάντως ὁμώνυμος, ἐμφερομένων πλειόνων

ἰνομοίων, ἃ δι᾽ αὐτῆς σημαίνεται. Τό τε γὰρ χερσαῖον ὑλακτικὸν ζῶον κύων, καὶ θὴρ ὁ θαλάττιος, καὶ ὁ οὐράνιος ἀστὴρ, ὃν ὀπωρινὸν οἱ ποιηταὶ καλοῦσιν, ὅς τῆς ὀπώρας ἄρτι ἡβώσης ἐπιτέλλει, τοῦ τελεσφορηθῆναί τε χάριν αὐτὴν καὶ πεπανθῆναι. Καὶ προσέτι ὁ ἀπὸ τῆς κυνικῆς αἱρέσεως ὁρμηθεὶς φιλόσοφος Ἀρίστιππος καὶ Διογένης, καὶ ἄλλων οἱ τὰ αὐτὰ ἐπιτηδεύειν ἠξίωσαν, ἀπερίληπτος ἀριθμὸς ἀνθρώπων. Ἄλλαι δέ εἰσι προσρήσεις διάφοροι κατὰ σημαινομένου ἑνὸς ὡς ἰὸς, ὀϊστὸς, βέλος. Τὸ γὰρ διὰ τῆς τόξου νευρᾶς ἐπὶ τὸν σκοπὸν ἀφιέμενον πάντα ταῦτα λέγεται. Καὶ πάλιν εἰρεσία, κώπη, πλάτη, τὸ πρὸς πλοῦν ἰσοδυναμοῦν ἱστίοις. Ὁπότε γὰρ μὴ δύναιτο χρῆσθαι ναῦς κατὰ νηνεμίας ἢ ἀντιπνοίας ἱστίοις, πρόσκωποι καθίσαντες οἷς ἐπιμελὲς, καὶ οἷα ταρσοὺς ἑκατέρωθεν ἀποτείναντες, ὑπόπτερον αὐτὴν φέρεσθαι βιάζονται. Ἡ δὲ ἐξαιρομένη πρὸς ὕψος, ἐπιτρέχουσα τοῖς κύμασι μᾶλλον ἢ ἐντέμνουσα ταῦτα, τροχάζουσα ταχυναυτεῖ καὶ ναυλοχωτάτοις ὑποδρόμοις ἐνορμίζεται. Καὶ μὴν πάλιν σκίπων, βακτηρία, ῥάβδος, ἑνὸς ὑποκειμένου διάφοροι κλήσεις, ᾧ τύπτειν, καὶ ἀκραδάντως σκηρίπτεσθαι, καὶ ἐπερείδεσθαι, καὶ ἄλλα πλείω ποιεῖν ἔνεστι. Ταῦτα δ᾽ οὐ μακρολογοῦντες ὅλως εἴπομεν, ἀλλ᾽ ὑπὲρ τοῦ σαφέστερον γνῶναι τὸ ζητούμενον. 236 P.

§. 38. Τὸν ἄκρατον ὥσπερ οἶνον, οὕτω καὶ μέθυ οἱ παλαιοὶ ἐκάλουν. Πολλαχοῦ γοῦν τῆς ποιήσεώς ἐστι τουτὶ τὸ ὄνομα ἐμφερόμενον, ὥστ᾽ εἰ τὰ συνωνυμοῦντα καθ᾽ ἑνὸς ὑποκειμένου λέγεται, οἶνος, καὶ μέθυσμα, καὶ τὰ ἀπὸ τούτων, οὐδὲν ὅτι μὴ φωναῖς διοίσει μόνον, τό τε οἰνοῦσθαι καὶ τὸ μεθύειν ἕν. Ἑκάτερον δὲ πλείονος οἴνου χρῆσιν ἐμφαίνει, ἣν πολλῶν ἕνεκα αἰτίων οὐκ ἂν ἀποστρέφοιτο ὁ σπουδαῖος. Εἰ δὲ οἰνωθήσεται, καὶ μεθυσθήσεται, χεῖρον οὐδὲν ἐκ τῆς μέθης διατεθεὶς, ἀλλὰ ταὐτὸν, ὅπερ καὶ ὁ ἐκ ψιλῆς τῆς οἰνώσεως παθών.

Μία μὲν ἀπόδειξις περὶ τοῦ τὸν σοφὸν μεθυσθῆναι
λέλεκται, δευτέρα δέ ἐστι τοιαύτη. Σχεδὸν οἱ νῦν
ἄνθρωποι τοῖς προτέροις ἔξω μέρους βραχέος οὐδὲν
ὁμοιότροπον ζηλοῦν ἀξιοῦσιν, ἀλλὰ καὶ ἐν λόγοις
καὶ ἐν ἔργοις τὸ μὴ συνῳδὸν καὶ διαφωνοῦν ἐπι-
δείκνυνται. Τοὺς μὲν γὰρ λόγους ὑγιαίνοντας καὶ
ἐῤῥωμένους εἰς πάθος ἀνήκεστον καὶ φθορὰν περι-
ήγαγον, ἀντὶ σφριγώσης καὶ ἀθλητικῆς ὄντως
358 εὐεξίας, οὐδὲν ὅτι μὴ νοσοῦν κατασκευάσαντες·
M. καὶ τὸν πλήρη καὶ ναστὸν, ὡς ἔφη τις, ὑπ' εὐτονίας
ὄγκον εἰς παρὰ φύσιν οἰδοῦσαν καχεξίαν ἀγαγόντες,
καὶ κενῷ φυσήματι μόνον ἐπαίροντες· ὃ δι' ἔνδειαν
τῆς συνεχούσης δυνάμεως, ὅταν μάλιστα περιπαθῇ,
ῥήγνυται. Τὰς δὲ πράξεις γενέσεως καὶ σπουδῆς
ἀξίας, καὶ αὐτὰς, ὡς ἔπος εἰπεῖν, ἄῤῥενας ἐξεθήλυ-
ναν, αἰσχρὰς ἀντὶ καλῶν ἐργαζόμενοι, ὡς ὀλίγους
εἶναι παντάπασιν ἑκατέροις, ἔργοις τε καὶ λόγοις,
ἀρχαιοτρόπου ζηλώσεως ἐρῶντες. Τοιγαροῦν ἐπ'
ἐκείνων ποιηταὶ καὶ λογογράφοι, καὶ ὅσοι περὶ τὰ
ἄλλα μουσικῆς ἐσπούδαζον, ἤνθουν, οὐ τὰς ἀκοὰς
διὰ τῆς ἐν ῥυθμοῖς φωνῆς ἀφηδύνοντές τε καὶ
θρύπτοντες, ἀλλὰ εἴ τι τῆς διανοίας κατεαγὸς καὶ
κεχαλασμένον, ἐγείροντες, καὶ ὅσον ἐμμελὲς αὐτῆς
ἁρμοζόμενοι φύσεως καὶ ἀρετῆς ὀργίοις. Ἐφ' ἡμῶν
δὲ ὀψαρτυταὶ καὶ σιτοπόνοι καὶ ὅσοι τῆς ἐν βαφικῇ
καὶ μυρεψικῇ τεχνῖται περιεργείας, ἀεί τι καινὸν
χρῶμα ἢ σχῆμα ἢ ἀτμὸν ἢ χυλὸν ἐπιτειχίζονται ταῖς
αἰσθήσεσιν, ὅπως τὸν ἡγεμόνα πορθήσωμεν νοῦν.

§. 39. Τίνος δὲ χάριν τούτων ἐμνήσθην; Ἵν'
ἐπιδείξω, ὅτι καὶ τὸ ἄκρατον οὐχ ὁμοίως οἱ νῦν
τοῖς πάλαι προσφέρονται. Νῦν μὲν γὰρ ἄχρι τοῦ
σῶμα καὶ ψυχὴν παρεθῆναι πίνουσιν ἀθρόως καὶ
ἀπνευστὶ χαίροντες, ἔτι καὶ προσφέρειν τοῖς οἰνοχοου-
μένοις κελεύοντες, καὶ ἂν διαμέλλωσιν ἀγανακτοῦν- 237
τες, ὅτι τὸν θερμὸν λεγόμενον παρ' αὐτοῖς ποτὸν P.
περιψύχουσι, καὶ τὸ παράκομμα τῶν γυμνικῶν, τὸν

παροίνιον ἀγῶνα πρὸς τοὺς συνόντας ἐπιδείκνυνται· ἐν ᾧ μεγάλα καὶ καλὰ ἀλλήλους ἀντιδρῶσιν, ὦτα, ῥῖνας, καὶ χειρῶν ἄκρους δακτύλους, καὶ ὁποῖα δ' ἂν τύχῃ μέρη τοῦ σώματος, ἀπεσθίοντες. Ταῦτ' ἔστι τῆς ἡβώσης καὶ νεωτέρας καὶ ἄρτι ἀκμαζούσης ἆθλα, ὡς ἔοικεν, εὐφροσύνης, τῆς δὲ ἀρχαίας καὶ πρεσβυτέρας τὰ ἐναντία. Πάσης γὰρ καλῆς πράξεως ἀφ' ἱερῶν τελείων οἱ πρότεροι κατήρχοντο, νομίζοντες μάλιστα οὕτως αἴσιον ἀποβήσεσθαι τὸ τέλος αὐτοῖς, καὶ πρὶν εὔξασθαί τε καὶ θῦσαι, καὶ εἰ σφόδρα τοῦ πράττειν ἔσπευδον οἱ καιροί, πάντως ἀνέμεινον οὐκ ἀεὶ τὸ ταχὺ τοῦ βραδέος ἡγούμενοι κρεῖττον. Οὐ προμηθὲς μὲν γὰρ τάχος βλαβερόν, βραδύτης δὲ μετ' εὐελπιστίας ὠφέλιμον. Εἰδότες οὖν, ὅτι ἡ τοῦ οἴνου ἀπόλαυσίς τε καὶ χρῆσις δεῖται πολλῆς
354 ἐπιμελείας, οὔτε ἄρδην οὔτε ἀεὶ προσεφέροντο τὸν
M. ἄκρατον, ἀλλ' ἔν τε κόσμῳ καὶ καιρῷ προσήκοντι. Πρότερον γὰρ εὐξάμενοι καὶ θυσίας ἀναγαγόντες, καὶ ἱλασάμενοι τὸ θεῖον, σώματα καὶ ψυχὰς καθηράμενοι, τὰ μὲν λουτροῖς, τὰ δὲ νόμων καὶ παιδείας ὀρθῆς ῥεύμασι, φαιδροὶ καὶ γεγηθότες πρὸς ἀνειμένην δίαιταν ἐτρέποντο, μηδὲ οἴκαδε πολλάκις ἀφικόμενοι· ἀλλ' ἐν οἷς ἔθυσαν ἱεροῖς διαπατοῦντες, ἵνα καὶ τῶν θυσιῶν μεμνημένοι, καὶ τὸν τόπον αἰδούμενοι, ἱεροπρεπεστάτην ὡς ἀληθῶς ἄγωσιν εὐωχίαν, μήτε λόγῳ, μήτε ἔργῳ διαμαρτάνοντες. Ἀπὸ τούτου γέ τοι φασὶ τὸ μεθύειν ὠνομάσθαι, ὅτι μετὰ τὸ θύειν ἔθος ἦν τοῖς πρότερον οἰνοῦσθαι. Τίσι δὴ μᾶλλον οἰκεῖος ἂν εἴη τῆς τοῦ ἀκράτου χρήσεως ὁ λεχθεὶς τρόπος, ἢ σοφοῖς ἀνδράσιν, οἷς νῦν καὶ τὸ πρὸ τῆς μέθης ἔργον ἁρμόττει τὸ θύειν; Σχεδὸν γὰρ οὐδὲ εἷς τῶν φαύλων πρὸς ἀλήθειαν ἱερουργεῖ, κἂν ἐνδελεχεῖς μυρίους βόας ἀνὰ πᾶσαν ἡμέραν ἀγάγῃ. Τὸ γὰρ ἀναγκαιότατον ἱερεῖον αὐτῷ λελώβηται, ὁ νοῦς, λώβας δὲ οὐ θέμις βωμοῦ προσψαύσασθαι. Δεύτερος μὲν δὴ λόγος οὗτος

εἴρηται, δεικνὺς ὅτι οὐκ ἀλλότριον σπουδαίου τὸ
μεθύειν.

§. 40. Τρίτον δέ ἐστιν ἀπὸ διαφερούσης τῆς
πρὸς τὴν ἐτυμολογίαν πιθανότητος ἠρτημένον. Τὴν
γὰρ μέθην οὐ μόνον ἐπειδὴ μετὰ θυσίας ἐπιτελεῖται
νομίζουσί τινες εἰρῆσθαι, ἀλλ' ὅτι καὶ μεθέσεως ψυ-
χῆς αἰτία γίγνεται. Μεθίεται δὲ ὁ μὲν τῶν ἀφρό-
νων λογισμὸς εἰς πλειόνων ἴσχυσιν ἁμαρτημάτων·
ὁ δὲ τῶν εὐφρόνων, εἰς ἀνέσεως καὶ εὐθυμίας καὶ
ἱλαρότητος ἀπόλαυσιν. Ἡδίων γὰρ αὐτὸς ἑαυτοῦ 238
νήφοντος οἰνωθεὶς ὁ σοφὸς γίνεται, ὥστε οὐδὲν ταύτῃ P.
διαμαρτάνοιμεν φάσκοντες ὅτι μεθυσθήσεται. Πρὸς
δὲ τούτοις καὶ ἐκεῖνο λεκτέον, ὅτι οὐ σκυθρωπὸν καὶ
αὐχμηρὸν τὸ τῆς σοφίας εἶδος, ὑπὸ συννοίας καὶ
κατηφείας ἐσταλμένον, ἀλλ' ἔμπαλιν ἱλαρὸν καὶ γα-
ληνίζον, μεστὸν γηθοσύνης καὶ χαρᾶς· ὑφ' ὧν πολ-
λάκις προήχθη τις οὐκ ἀμούσως παῖξαί τι καὶ χα-
ριεντίσασθαι, παιδιὰν μέντοι τῇ σεμνότητι καὶ σπου-
δῇ, καθάπερ ἐν ἡρμοσμένῃ λύρᾳ φθόγγοις ἀντιφώ-
νοις εἰς ἑνὸς μέλους κρᾶσιν συνηχοῦσαν. Κατὰ γοῦν
τὸν ἱερώτατον Μωϋσῆν, τέλος ἐστὶ σοφίας παιδιὰ
καὶ γέλως, ἀλλ' οὐχ ἃ τοῖς νηπίοις ἄνευ φρονήσεως
πᾶσι μελετᾶται, ἀλλ' ἃ τοῖς ἤδη πολιοῖς, οὐ χρόνῳ
μόνῳ, ἀλλὰ καὶ βουλαῖς ἀγαθαῖς γεγονόσιν. Οὐχ
ὁρᾷς ὅτι τὸν αὐτηκόου καὶ αὐτομαθοῦς καὶ αὐτουρ-
γοῦ τῆς ἐπιστήμης ἀρυσάμενον, οὐ μετέχοντα γέ-
λωτος, ἀλλ' αὐτὸν εἶναι γέλωτά φησιν; Οὗτός ἐστιν
Ἰσαάκ, ὃς ἑρμηνεύεται γέλως, ὃν παίζειν μετὰ τῆς
ὑπομονῆς, ἣν Ῥεβέκκαν Ἑβραῖοι καλοῦσιν, ἁρμόττει.

355 §. 41. Τὴν δὲ θείαν παιδιὰν τῆς ψυχῆς ἰδιώτῃ
M. μὲν οὐ θέμις ἰδεῖν, βασιλεῖ δὲ ἔξεστιν, ᾧ πάμπολυν
χρόνον παρῴκησεν, εἰ καὶ μὴ πάντ' ἐνῴκησε τὸν
αἰῶνα, σοφία. Προσαγορεύεται οὗτος Ἀβιμέλεχ· ὃς
διακύψας τῇ θυρίδι, τῷ διοιχθέντι καὶ φωσφόρῳ τῆς
διανοίας ὄμματι, τὸν Ἰσαὰκ εἶδε παίζοντα μετὰ Ῥε-
βέκκας τῆς γυναικὸς αὐτοῦ. Τί γὰρ ἄλλο ἐμπρέπει

ἔργον σοφῷ, ἢ τὸ παίζειν καὶ γανοῦσθαι καὶ συνευφραίνεσθαι τῇ τῶν καλῶν ὑπομονῇ; Ἐξ ὧν ὅτι καὶ μεθυσθήσεται δῆλόν ἐστι, τῆς μέθης ἠθοποιούσης καὶ ἄνεσιν καὶ ὠφέλειαν ἐργαζομένης. Ὁ γὰρ ἄκρατος τὰ τῇ φύσει προςόντα ἐπιτείνειν καὶ σφοδρύνειν ἔοικεν, εἴτε καλὰ, εἴτε καὶ τὰ ἐναντία, καθάπερ καὶ πολλὰ τῶν ἄλλων· ἐπεὶ καὶ χρήματα αἴτια μὲν ἀγαθῷ ἀγαθῶν, κακῷ δὲ, ὥς ἔφη τις, κακῶν. Καὶ πάλιν, δόξα τοῦ μὲν ἄφρονος τὴν κακίαν ἐπιφανεστέραν, τοῦ δὲ δικαίου τὴν ἀρετὴν εὐκλεεστέραν ἐπιφαίνει. Οὕτως οὖν καὶ ὁ ἄκρατος ἀναχυθεὶς τὸν μὲν πάθεσι κεχρημένον εὐπαθέστερον, τὸν δὲ εὐπαθείαις, εὐμενέστερον καὶ ἵλεων μᾶλλον ἀπειργάσατο. Τίς γε μὴν οὐκ εἶδεν, ὅτι δυοῖν ἐναντίων, ἐπειδὰν θάτερον εἶδος ἐφαρμόζῃ πλείοσι, καὶ θάτερον ἐξ ἀνάγκης συμβήσεται; Οἷον λευκοῦ καὶ μέλανος ἐναντίων ὄντων, εἰ τὸ λευκὸν ἀστείοις τε καὶ φαύλοις, καὶ τὸ μέλαν ἐξίσου δήπουθεν ἀμφοτέροις, οὐχὶ μόνοις προςέσται τοῖς ἑτέροις. Καὶ μὴν τό γε νήφειν καὶ τὸ μεθύειν ἐναντία. Μετέχουσι δὲ τοῦ νήφειν,
ὡς ὁ τῶν προτέρων λόγος, ἀγαθοί τε καὶ φαῦλοι· 239
ὥςτε καὶ τὸ μεθύειν ἑκατέρῳ τῶν εἰδῶν ἐφαρμόττει. P.
Μεθυσθήσεται τοιγάρτοι καὶ ὁ ἀστεῖος, μηδὲν τῆς ἀρετῆς ἀποβαλών.

§. 42. Εἰ δὲ ὥςπερ ἐν δικαστηρίῳ μὴ μόνον ταῖς ἐντέχνοις ἀποδείξεσιν, ἀλλὰ καὶ ταῖς ἀτέχνοις λεγομέναις χρηστέον, ὧν μία ἐστὶν ἡ διὰ τῶν μαρτυριῶν, πολλοὺς καὶ εὐδοκίμους μαρτυροῦντας παρεξόμεθα παῖδας ἰατρῶν καὶ φιλοσόφων, οὐ λόγοις μόνον, ἀλλὰ καὶ γράμμασι τὴν μαρτυρίαν σημαινομένους. Μυρίας γὰρ ἀπολελοίπασι συντάξεις, ἐπιγράψαντες περὶ μέθης, ἐν αἷς περὶ ψιλῆς αὐτὸ μόνον οἴνου χρήσεως σκοποῦσιν, οὐδὲν περὶ τῶν ληρεῖν εἰωθότων προςεξετάζοντες, ἀλλ' ὅλον τὸ παροινίας παραπέμψαντες εἶδος. Ὥςτε καὶ παρὰ τούτοις σαφέστατα ἀνωμολογῆσθαι, ὅτι τὸ μεθύειν ἦν τὸ

οἰνοῦσθαι· οἴνου δὲ σπᾶσαι πλείονος οὐκ ἂν εἴη
χεῖρον ἐν καιρῷ σοφόν· οὐ τοίνυν διαμαρτησόμεθα
356 λέγοντες ὅτι μεθυσθήσεται... Ἐπεὶ δὲ οὐδεὶς καθ'
M. αὑτὸν ἀγωνιζόμενος ἀναγράφεται νικῶν, εἰ δὲ ἀγω-
νίζεται σκιομαχεῖν μᾶλλον ἂν εἰκότως δόξαι, ἀνάγκη
καὶ τοὺς τὸ ἐναντίον κατασκευάζοντας λόγους εἰπεῖν,
ἵνα δικαιοτάτη γενηθῇ κρίσις, μηδὲ ἑτέρου μέρους
ἐξ ἐρήμου καταδικασθέντος. Ἔστι δὲ πρῶτος καὶ
δυνατώτατος οὗτος, εἰ τῷ μεθύοντι οὐκ ἄν τις εὐ-
λόγως λόγον ἀπόῤῥητον παρακατάθοιτο, οὐκ ἄρα
μεθύει ὁ ἀστεῖος. Ἆρ' οὖν πρὶν ἢ τοὺς ἄλλους ἑξῆς
συνείρειν, ἄμεινον καθ' ἕκαστον τῶν προτεινομένων
ἀντιλέγειν, ἵνα μὴ μακρηγοροῦντες ἐπὶ πλεῖον διο-
χλεῖν δοκῶμεν. Φήσει δή τις ἐναντιούμενος, ὅτι
κατὰ τὸν λεχθέντα λόγον ὁ σοφὸς οὔτε μελαγχολή-
σει ποτὲ, οὔτε κοιμηθήσεται, οὔτε συνόλως ἀποθα-
νεῖται· ᾧ δὲ μὴ συμβαίνει τι τοιοῦτον, ἄψυχόν
ἐστιν ἢ θεῖον, ἄνθρωπος δὲ οὐκ ἂν εἴη τὸ παρά-
παν. Τὴν παραγωγὴν τοῦ λόγου μιμησάμενος, ἐφαρ-
μόσει τὸν τρόπον τοῦτον τῷ μελαγχολῶντι, ἢ κοι-
μωμένῳ, ἢ ἀποθνήσκοντι. Οὐκ ἐάν τις γὰρ εὐλόγως
λόγον ἀπόῤῥητον τῷ τοιούτῳ παρακατάθοιτο, τῷ δὲ
σοφῷ εὐλόγως· οὐ γὰρ μελαγχολᾷ, οὔτε κοιμᾶται,
οὔτε ἀποθνήσκει ὁ σοφός.

ΠΕΡΙ ΜΕΘΗΣ.

DE EBRIETATE

SEU DE

TEMULENTIA.

ARGUMENTUM.

(Cf. Gen. 9, 20.)

Vini usus aliis a Moyse conceditur, aliis non (1). Quod ut recte intelligatur, tenendum, mero omnes cupiditates pravas significari, quae in homine nudo, i. e. rudi, literarum experti, emergere solent (2). Quam ob rem Moyses in male educatos, quibus id inprimis accidere solet, praeter ceteros poenas gravissimas constituit (3 et 4.) Hi enim sunt contumaces (5), protervi, impii (6 et 7); et quod maximum est crimen, ebriosi; nam vinum crebro haustum incendit ruditatem, qua anima in perpetuum comburitur (8). Qui igitur non satis a parentibus suis instituti sunt, patris summi, dei, sapientiaeque, quae per deum mater facta est huius mundi, filii dei unici et dilecti, praecepta sequantur (9). Ne tamen is solam matrem, sapientiam, amet, ut Iothor; talis enim omnia sibi, nihil deo debere putat (10). Deus enim, quum omnibus sit antiquior, etiam sapientia, mundi matre, prae ceteris est venerandus (11). In scientia quaerenda id videndum, ne prius ad solidiora tendamus, quam initia rite didicerimus (12); qui enim statim sublimiora philosophiae placita degustare

vult, eum brevi eorum taedebit, quia προπαιδευμάτων ignarus est (13). Eiusmodi homines tum etiam facilius haerent in consuetudine, matre multarum rerum, patrem i. e. rectam rationem, deserentes (14 — 16). Recte contra solum modo agunt, qui, ut filii Levi, fratres et propinquos occidunt, i. e. mortalia et sensibilia respuunt, solisque rebus divinis contemplandis student (17). Isti, ut Levitae sacerdotio, ita summis a deo praemiis afficientur (18 et 19); his enim concedetur adspectus dei (20), quod symbolice etiam docetur ornatu et vestitu sacerdotum et templi Iudaeorum (21). Sapientiae, qua illa docemur, una est species, quamvis variae partitiones (22). Hae omnes sunt discendae et observandae (23 et 24); his enim ducimur ad veram pacem, quae est in vita divina (25), quam nobis parabimus, si sincera deum pietate colimus (26 et 27), resque creatas non pluris facimus, quam ipsum (28). Id a nobis fit, si hoc rerum universum dei donum putamus (29 et 30), non vero, si rebus sensus afficientibus nimis sumus deditì, ut ebriosi vino, et idololatrae vitulis choreisque festivis (31 et 32). Isti enim ruditatem, quae mors est animae, nunquam permutabunt institutione, qua immortales reddimur (33 — 35); quam ob rem Samuel, qui ut mens (νοῦς) accipitur, vinum nunquam bibisse, i. e. rebus animum vitiantibus nunquam adhaesisse dicitur (36 et 37). Fugienda igitur ignorantia, quae nos ebriorum similes delirare facit (38 et 39), neque sensu, disciplina et modestia nos carere patiamur (40 et 41). Incerta enim est scientia humana; nam neque animalium naturam (42), neque hominum cogitationes et mores (43), neque singula locorum rerumque visibilium intervalla (44), neque rerum quantitates qualitatesque (45), neque colorum rationem (46), neque populorum historiam accurate unquam investigare valebimus. (47). Incertitudinem scientiae humanae comprobat etiam turba vulgaris, philosophorumque ipsorum variae circa eadem sententiae (48 et 49). Fugienda sunt etiam immodica, nimia, superflua, ne, ut ebrii vino, multis rebus adsuescamur, quibus ad vitam honeste peragendam non indigemus (50 — 52); his enim ad prava facienda perducimur, quibus ipsi pravi poenisque divinis obnoxii reddimur (53).

857 §. 1. *Τὰ* μὲν τοῖς ἄλλοις φιλοσόφοις εἰρη- 240
M. μένα περὶ μέθης, ὡς οἷόν τε ἦν, ἐν τῇ πρὸ ταύτης P.
ὑπεμνήσαμεν βίβλῳ· νυνὶ δὲ ἐπισκεψώμεθα τίνα τῷ πάντα μεγάλῳ καὶ σοφῷ νομοθέτῃ περὶ αὐτῆς δοκεῖ. Πολλαχοῦ γὰρ τῆς νομοθεσίας οἴνου καὶ τοῦ γεννῶντος φυτοῦ τὸν οἶνον, ἀμπέλου, διαμέμνηται. Καὶ τοῖς μὲν ἐμπίνειν ἐπιτρέπει, τοῖς δ' οὐκ ἐφίησι· καὶ τοῖς αὐτοῖς ἔστιν ὅτε προστάττει τὰ ἐναντία οἴνῳ χρῆσθαί τε καὶ μή. Οὗτοι μὲν οὖν εἰσιν οἱ τὴν μεγάλην εὐχὴν εὐξάμενοι, οἷς ἀκράτῳ χρῆσθαι ἀπείρηται οἱ λειτουργοῦντες ἱερεῖς. Οἱ δὲ προσφερόμενοι τὸν οἶνον, μυρίοι μάλιστα τῶν ἐπ' ἀρετῇ καὶ παρ' αὐτῷ τεθαυμασμένων. Πρὶν δὲ περὶ τούτων ἄρξασθαι λέγειν, τὰ συντείνοντα πρὸς τὰς κατασκευὰς αὐτῶν ἀκριβωτέον. Ἔστι δέ, ὥς γ' οἶμαι, τάδε.

§. 2. Σύμβολον τὸν ἄκρατον Μωϋσῆς οὐχ ἑνός, ἀλλὰ πλειόνων εἶναι νομίζει, τοῦ ληρεῖν καὶ παραπαίειν, ἀναισθησίας παντελοῦς, ἀπληστίας ἀκορέστου, καὶ δυσαρέστου εὐθυμίας, καὶ εὐφροσύνης τῆς τὰ ἄλλα περιεχούσης, καὶ πᾶσι τοῖς εἰρημένοις ἐμ-
358 φαινομένης γυμνότητος, ᾗ τὸν Νῶε μεθυσθέντα
M. φησὶ χρήσασθαι. Τὸν μὲν οὖν οἶνον λέγεται ταῦτα ἐργάζεσθαι. Μυρίαι δὲ καὶ τῶν οὐ προσαψαμένων ἀκράτου νήφειν ὑπολαμβάνοντες τοῖς ὁμοίοις ἁλίσκονται. Καὶ ἔστιν ἰδεῖν τοὺς μὲν αὐτῶν ἀφραίνοντάς τε καὶ ληροῦντας· τοὺς δὲ ἀναισθησίᾳ παντελεῖ κατεσχημένους· τοὺς δὲ μηδέποτε πληρουμένους, ἀεὶ δὲ τῶν ἀνηνύτων διψῶντας, διὰ χηρείαν ἐπιστήμης· τοὺς δὲ ἔμπαλιν γανωμένους καὶ εὐφραινομένους· τοὺς δὲ τῷ ὄντι γυμνουμένους. Τοῦ μὲν οὖν ληρεῖν αἴτιον ἡ ἐπιζήμιος ἀπαιδευσία· λέγω δ' οὐ τὴν παιδείας ἀνεπιστημοσύνην, ἀλλὰ τὴν πρὸς αὐτὴν ἀλλοτρίωσιν. Τοῦ δ' ἀναισθητεῖν ἡ ἐπίβουλος καὶ πηρὸς ἄγνοια. Ἀπληστίας δὲ ἡ ἀργαλεω-

τάτη παθῶν ψυχῆς ἐπιθυμία. Εὐφροσύνης δὲ, κτῆ-
σις ὁμοῦ καὶ χρῆσις ἀρετῆς. Γυμνότητος μέντοι 241
πολλὰ, ἄγνοια τῶν ἐναντίων, ἀκακία καὶ ἀφέλεια P.
ἠθῶν, ἀλήθεια ἡ τὰ τῶν συνεσκιασμένων πραγμά-
των ἀνακαλυπτήρια ἄγουσα δύναμις, τῇ μὲν ἀπαμ-
φιάσασα ἀρετὴν, τῇ δὲ κακίαν ἐν μέρει. Ἅμα μὲν
γὰρ οὐχ οἷον ἀποδύσασθαι, ἀλλ' οὐδ' ἐνσκευάσα-
σθαι ταύτας δυνατόν. Ἐπειδὰν δέ τις ἀποῤῥίψῃ
τὴν ἑτέραν, ἐξ ἀνάγκης τὴν ἐναντίαν ἀναλαβὼν
ἐπαμφίσκεται. Ὥσπερ γὰρ ἡδονὴν καὶ ἀλγηδόνα
φύσει μαχομένας, ὡς ὁ παλαιὸς λόγος, εἰς μίαν
κορυφὴν συνάψας ὁ Θεὸς, ἑκατέρας αἴσθησιν, οὐκ
ἐν τῷ αὐτῷ, διαλλάττουσι δὲ χρόνοις, ἐνειργάσατο,
κατὰ τὴν φυγὴν τῆς ἑτέρας κάθοδον τῇ ἐναντίᾳ
ψηφισάμενος· οὕτως ἀπὸ μιᾶς ῥίζης τοῦ ἡγεμονικοῦ
τά τε ἀρετῆς καὶ κακίας διττὰ ἀνέδραμεν ἔρνη, μήτε
βλαστάνοντα, μήτε καρποφοροῦντα ἐν τῷ αὐτῷ.
Ὁπότε μὲν γὰρ φυλλοῤῥοεῖ καὶ ἀφαναίνεται θάτε-
ρον, ἄρχεται ἀναβλαστάνειν καὶ χλοηφορεῖν τὸ ἐναν-
τίον, ὡς ὑπολαβεῖν, ὅτι ἑκάτερον τῇ θατέρου δυς-
χεραῖνον εὐπραγίᾳ στέλλεται. Δι' ἣν αἰτίαν φυσι-
κωτάτην τὴν Ἰακὼβ ἔξοδον, εἴςοδον Ἡσαῦ παρίστη-
σιν. "Ἐγένετο γὰρ," φησὶν, "ὅσον ἐξῆλθεν Ἰα-
κὼβ, ἧκεν Ἡσαῦ ὁ ἀδελφὸς αὐτοῦ *)." Μέχρι μὲν
γὰρ ἐνσχολάζει καὶ ἐμπεριπατεῖ τῇ ψυχῇ φρόνησις,
ὑπερόριος πᾶς ὁ ἀφροσύνης ἑταῖρος ἐκτετόξευται·
ἐπειδὰν δὲ μεταναστῇ, γεγηθὼς κάτεισιν ἐκεῖνος, τῆς
πολεμίου καὶ δυςμενοῦς δι' ἣν ἠλαύνετο καὶ ἐφυγα-
δεύετο, μηκέτι τὸν αὐτὸν χῶρον οἰκούσης.

§. 3. Τὰ μὲν οὖν ὡςανεὶ προοίμια τῆς γραφῆς
ἀρκούντως λέλεκται· τὰς δ' ἀποδείξεις ἑκάστων
προςαποδώσομεν, ἀπὸ τοῦ πρώτου πρῶτον ἀρξάμε-
359 νοι διδάσκειν. Τὴν τοίνυν ἀπαιδευσίαν τοῦ ληρεῖν
M. καὶ ἁμαρτάνειν αἰτίαν ἔφαμεν εἶναι, καθάπερ αυ-

*) Gen. 27, 30.

ρίοις τῶν ἀφρόνων τὸν πολὺν ἄκρατον. Ἀπαιδευσία γὰρ τῶν ψυχῆς ἁμαρτημάτων, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, τὸ ἀρχέκακον, ἀφ' ἧς ὥςπερ ἀπὸ πηγῆς ῥέουσιν αἱ τοῦ βίου πράξεις, πότιμον μὲν καὶ σωτήριον οὐδὲν οὐδενὶ νᾶμα ἐκδιδοῦσαι τὸ παράπαν, ἁλμυρὸν δὲ νόσου καὶ φθορᾶς τοῖς χρησαμένοις αἴτιον. Οὕτως γοῦν κατὰ ἀναγώγων καὶ ἀπαιδεύτων ὁ νομοθέτης φονᾷ, ὡς κατ' οὐδενὸς ἴσως ἑτέρου. Τεκμήριον δὲ, τίνες εἰσὶν οἱ μὴ ἐπιτηδεύσει μᾶλλον ἢ φύσει σύμμαχοι παρά τε ἀνθρώποις καὶ ἐν τοῖς ἄλλοις γένεσι τῶν ζώων; Ἀλλ' οὐδὲ μανεὶς ἑτέρους ἂν εἴποι τις, ἢ τοὺς τοκέας εἶναι. Κήδεται γὰρ ἀδιδάκτῳ τῇ φύσει τὸ πεποιηκὸς ἀεὶ τοῦ γενομένου, καὶ σωτηρίας αὐτοῦ καὶ διαμονῆς τῆς εἰςάπαν πρόνοιαν ἔχει.

§. 4. Τοὺς οὖν ἐκ φύσεως συναγωνιστὰς ὑπάρ-
χοντας εἰς ἐχθρῶν μετελθεῖν τάξιν ἐσπούδασε, 242
κατηγόρους ἐπιστήσας τοὺς δεόντως ἂν συναγορεύ- P.
σοντας, πατέρα καὶ μητέρα, ἵν' ὑφ' ὧν εἰκὸς ἦν σώζεσθαι μόνων, παραπόλλωνται. "Ἐὰν γάρ τινι," φησὶν, "υἱὸς ᾖ ἀπειθὴς καὶ ἐρεθιστὴς, οὐχ ὑπακούων φωνῆς πατρὸς καὶ μητρὸς, καὶ παιδεύωσιν αὐτὸν, καὶ μὴ εἰςακούῃ αὐτῶν, συλλαβόντες αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ ἐξάξουσιν εἰς τὴν γερουσίαν τῆς πόλεως αὐτοῦ, καὶ ἐπὶ τὴν πύλην τοῦ τόπου αὐτοῦ, καὶ ἐροῦσι τοῖς ἀνδράσι τῆς πόλεως αὐτῶν, ὁ υἱὸς ἡμῶν οὗτος ἀπειθεῖ καὶ ἐρεθίζει, καὶ οὐκ εἰςακούει τῆς φωνῆς ἡμῶν, συμβολοκοπῶν οἰνοφλυγεῖ· καὶ λιθοβολήσουσιν αὐτὸν οἱ ἄνδρες τῆς πόλεως, καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν *)." Οὐκοῦν αἱ κατηγορίαι ἀριθμῷ τέτταρες, ἀπείθεια καὶ ἐρεθισμὸς καὶ συμβολῶν εἰςφορὰ καὶ μέθη. Μεγίστη δὲ ἡ τελευταία, παραύξην ἀπὸ τῆς πρώτης ἀπειθείας λαβοῦσα. Ἀρξαμένη γὰρ ἀφηνιάζειν ἡ

---

*) Deut. 21, 18—21.

ψυχὴ καὶ προελθοῦσα διὰ ἔριδος καὶ φιλονεικίας, ἐπὶ ὕστατον ὅρον ἔρχεται, μέθην, τὴν ἐκστάσεως καὶ παραφροσύνης αἰτίαν. Ἑκάστης δὲ τῶν κατηγοριῶν τὴν δύναμιν ἰδεῖν ἀναγκαῖον, τὴν ἀρχὴν ἀπὸ τῆς πρώτης λαβόντας.

§. 5. Ἀνωμολόγηται τοίνυν περιφανῶς, ὅτι τὸ εἴκειν καὶ πειθαρχεῖν ἀρετῇ καλὸν καὶ συμφέρον, ὥςτε τὸ ἀπειθεῖν ἔμπαλιν αἰσχρὸν καὶ οὐ μετρίως ἀλυσιτελές· τὸ δὲ δὴ καὶ ἐρεθίζειν, ὑπερβολὴν πᾶσαν κεχώρηκε τοῦ δεινοῦ. Ὁ γὰρ ἀπειθὴς τοῦ φιλέριδος ἧττον μοχθηρός ἐστιν· ὁ μὲν αὐτὸ μόνον τῶν προςταττομένων ἀλογῶν, ὁ δὲ καὶ τοῖς ἐναντίοις ἐγχειρεῖν σπουδὴν πεποιημένος. Φέρε δὲ ὡς ἔχει τοῦτο θεασώμεθα. Νόμου κελεύοντος, εἰ τύ-
860 χοι, τοὺς γονεῖς τιμᾶν, ὁ μὴ τιμῶν ἀπειθής, ὁ
M. δ' ἀτιμάζων φίλερις. Καὶ πάλιν τοῦ τὴν πατρίδα σώζειν ὄντος δικαίου, τὸν μὲν πρὸς αὐτὸ τοῦτο ὄκνῳ χρώμενον, ἀπειθῆ, τὸν δ' ἔτι καὶ προδιδόναι διεγνωκότα, δύςεριν καὶ φιλόνεικον λεκτέον. Ὅ τε μὴ χαριζόμενός τισιν, ἐναντιούμενος δὲ τῷ φάσκοντι δεῖν ὠφελεῖν, ἀπειθεῖ· ὁ δὲ πρὸς τῷ μὴ χαρίζεσθαι, καὶ ὅσα βλάβης ἐστὶν ἐμποιῶν, ἔριδι ἐπαιρόμενος, ἀνίατα ἐξαμαρτάνει. Καὶ μὴν ὅ γε ἱερουργίαις καὶ τοῖς ἄλλοις ὅσα πρὸς εὐσέβειαν ἀναφέρεται μὴ χρώμενος, ἀπειθεῖ προςτάξεσιν, ἃς ὁ νόμος εἴωθε περὶ τούτων προςτάττειν· ἀνερεθίζει δὲ ὁ πρὸς τὸ ἐναντίον, ἀσέβειαν, ἀποκλίνας καὶ ἀθεότητος εἰςηγητής.

§. 6. Οἷος ἦν ὁ φάσκων, "Τίς ἔστιν οὗ ὑπακούσομαι;" Καὶ πάλιν, "Οὐκ οἶδα τὸν κύριον*)." Διὰ μὲν οὖν τῆς προτέρας φωνῆς παρίστησιν, ὅτι οὐκ ἔστι τὸ θεῖον. Διὰ δὲ τῆς ἔπειτα, ὅτι εἰ καὶ ἔστιν, ἀλλά τοι ἀγνοεῖται, ὅπερ ἐκ τοῦ μὴ προνοεῖν συνάγεται. Εἰ γὰρ προενόει, καὶ ἂν ἐγινώσκετο. 243
Συμβολάς γε μὴν καὶ ἐράνους φέρειν, ἐπὶ μὲν τῇ P.

---

*) Exod. 5, 2.

τοῦ ἀρίστου κτήματος μετουσία, φρονήσεως, ἐπαινετὸν καὶ συμφέρον· ἕνεκα δὲ τῆς τοῦ ἀκροτάτου πάντων ἀφροσύνης, ἀλυσιτελές τε καὶ ψεκτόν. Αἱ μὲν οὖν πρὸς τὸ ἄριστον συμβολαὶ, πόθος ἀρετῆς, τῶν καλῶν ζῆλος, μελέται συνεχεῖς, ἀσκήσεις ἐπίπονοι, ἄτρυτοι καὶ ἀκμῆτες πόνοι· αἱ δὲ πρὸς τὰ ἐναντίον, ἄνεσις, ῥαθυμία, τρυφὴ, θρύψις, παντελὴς ἐκδιαίτησις. Ἰδεῖν μέντοι καὶ τοὺς ἐπαποδυομένους πολυοινίᾳ καὶ καθ' ἑκάστην ἡμέραν γυμναζομένους, καὶ ἀθλοῦντας τοὺς ἐπ' ἀπληστίᾳ γαστρὸς ἄθλους ἐστὶ, συμβολὰς μὲν ὡς ἐπί τινι τῶν λυσιτελῶν εἰςφέροντας, ζημιουμένους δὲ πάντα, χρήματα, σώματα, ψυχάς. Τὰ μὲν γὰρ εἰςφέροντες μειοῦσι τὴν οὐσίαν· τῶν δὲ σωμάτων διὰ τὸ ἁβροδίαιτον κατακλῶσι καὶ θρύπτουσι τὰς δυνάμεις· τὰς δὲ ψυχὰς, ποταμοῦ χειμάῤῥου τρόπον ἀμετρίᾳ τροφῶν ἐπικλύζοντες, εἰς βυθὸν ἀναγκάζουσι δύεσθαι. Τὸν αὐτὸν δὴ τρόπον καὶ ὅσοι φέρουσιν ἐράνους ἐπὶ καθαιρέσει παιδείας, τὸ κυριώτατον τῶν ἐν αὐτοῖς ζημιοῦσι, διάνοιαν, ἀποκόπτοντες αὐτῆς τὰ σωτήρια, φρόνησιν καὶ σωφροσύνην, ἔτι δὲ ἀνδρίαν καὶ δικαιοσύνην. Διό μοι δοκεῖ καὶ αὐτὸς ὀνόματι συνθέτῳ χρῆσθαι, τῷ συμβολοκοπῶν, πρὸς δήλωσιν ἐναργεστέραν τοῦ σημαινομένου· διότι τὰ κατὰ ἀρετῆς ἐπιχειρήματα ὥςπερ τινὰς συμβολὰς καὶ ἐράνους εἰςφέροντες, τιτρώσκουσι καὶ διαιροῦσι καὶ συγκόπτουσι μέχρι παντελοῦς φθορᾶς, τὰς φιληκόους καὶ φιλομαθεῖς ψυχάς.

§. 7. Ὁ μὲν οὖν σοφὸς Ἀβραὰμ ἐπανελθεῖν λέγεται "ἀπὸ τῆς κοπῆς τοῦ Χοδολλογόμορ, καὶ τῶν βασιλέων τῶν μετ' αὐτοῦ *)," ὁ δὲ Ἀμαλὴκ ἔμπαλιν "τοῦ ἀσκητοῦ τὴν οὐραγίαν κόπτειν **),"
361 ἀκολουθίᾳ φύσεως. Ἐχθρὰ γὰρ τὰ ἐναντία, καὶ
M. τὸν ἐπ' ἀλλήλοις ὄλεθρον ἀεὶ μελετῶντα. Τὸν δὲ

*) Gen. 14, 17. **) Deut. 25, 18.

κομίζοντα τὰς συμβολὰς καὶ ταύτῃ μάλιστ᾽ ἄν τις αἰτιάσαιτο, ὅτι οὐ μόνον ἀδικεῖν, ἀλλὰ καὶ συναδικεῖν ἔγνωκεν ἑτέροις, ἀξιῶν τὰ μὲν αὐτὸς εἰςηγεῖσθαι, τὰ δὲ εἰςηγουμένων ἄλλων ἀκροᾶσθαι· ὅπως καὶ φύσει καὶ μαθήσει διαμαρτάνων, μηδεμίαν εἰς σωτηρίαν ὑπολείπηται χρηστὴν ἐλπίδα ἑαυτῷ, καὶ ταῦτα νόμου διειρηκότος "μὴ γίνεσθαι μετὰ πολλῶν ἐπὶ κακίᾳ*)." Τῷ γὰρ ὄντι πολύχουν μὲν καὶ πολυφορώτατον ἐν ἀνθρώπων ψυχαῖς τὸ κακὸν, ἐσταλμένον δὲ καὶ σπάνιον τὸ ἀγαθόν. Παραίνεσις αὖθις ὠφελιμωτάτη μὴ τοῖς πολλοῖς μεθ᾽ ὧν τὸ ἀδικεῖν, ἀλλ᾽ ὀλίγοις, μεθ᾽ ὧν τὸ δικαιοπραγεῖν, συμφέρεσθαι.

§. 8. Τέταρτον καὶ μέγιστον τοίνυν ἔγκλημα 244 ἦν, τὸ μεθύειν, οὐκ ἀνειμένως, ἀλλὰ σφόδρα συν- P. τόνως. Τὸ γὰρ οἰνοφλυγεῖν ἴσον ἐστὶ τῷ τὸ παραίτιον ἀφροσύνης φάρμακον, ἀπαιδευσίαν, ἐντύφεσθαι καὶ ἀνακαίεσθαι καὶ ἀναφλέγεσθαι, μηδέποτε σβεσθῆναι δυναμένην, ἀλλ᾽ ὅλην δι᾽ ὅλων ἀεὶ τὴν ψυχὴν ἐμπιπρῶσάν τε καὶ πυρπολοῦσαν. Εἰκότως οὖν ἕψεται δίκη, πάντα μοχθηρὸν τρόπον ἐκκαθαίρουσα διανοίας. Λέγεται γὰρ, "Ἐξαρεῖς τὸν πονηρὸν," οὐκ ἐκ πόλεως, ἢ χώρας, ἢ ἔθνους, ἀλλ᾽ "ἐξ ὑμῶν αὐτῶν**)." Ἡμῖν γὰρ αὐτοῖς ἐνυπάρχουσι καὶ ἐμφωλεύουσιν οἱ ὑπαίτιοι καὶ ἐπίληπτοι λογισμοὶ, οὓς ὁπότε ἀνιάτως ἔχοιεν, ἀποκόπτειν καὶ διαφθείρειν ἀναγκαῖον. Τὸν οὖν ἀπειθῆ καὶ φίλεριν, καὶ λόγων πιθανότητας, ὥςπερ τινὰς συμβολὰς καὶ ἐράνους ἐπὶ καθαιρέσει τοῦ καλοῦ πορίζοντα, καὶ ἀκράτῳ φλεγόμενον, καὶ καταμεθύοντα ἀρετῆς, καὶ παροινίας ἐκτόπως εἰς αὐτὸν παροινοῦντα, δίκαιον ἦν κατηγόρους μὲν τοὺς συμμάχους λαβεῖν, πατέρα καὶ μητέρα, δέον ἐνδέξασθαι παντελῆ νουθεσίαν καὶ σωφρονισμὸν τῶν οἵων τε σώζεσθαι. Πατρὸς δὲ

*) Exod. 23, 2. **) Deut. 21, 21.

καὶ μητρὸς κοιναὶ μὲν αἱ κλήσεις, διάφοροι δὲ δυνάμεις. Τὸν γοῦν τόδε τὸ πᾶν ἐργασάμενον δημιουργὸν ὁμοῦ καὶ πατέρα εἶναι τοῦ γεγονότος εὐθὺς ἐν δίκῃ φήσομεν· μητέρα δὲ τὴν τοῦ πεποιηκότος ἐπιστήμην, ᾗ συνὼν ὁ θεὸς, οὐχ ὡς ἄνθρωπος, ἔσπειρε γένεσιν. Ἡ δὲ παραδεξαμένη τὸ τοῦ θεοῦ σπέρμα, τελεσφόροις ὠδῖσι τὸν μόνον καὶ ἀγα-
362 πητὸν αἰσθητὸν υἱὸν ἀπεκύησε τόνδε τὸν κόσμον.
M. Εἰσάγεται γοῦν παρά τινι τῶν ἐκ τοῦ θείου χοροῦ ἡ σοφία περὶ αὐτῆς λέγουσα τὸν τρόπον τοῦτον, "Ὁ θεὸς ἐκτήσατό με πρωτίστην τῶν ἑαυτοῦ ἔργων, καὶ πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με *)." Ἦν γὰρ ἀναγκαῖον τῆς μητρὸς καὶ τιθήνης τῶν ὅλων πάνθ' ὅσα εἰς γένεσιν ἦλθε, εἶναι νεώτερα.

§. 9. Τούτων οὖν τῶν γονέων τίς ἱκανὸς ὑποστῆναι κατηγορίαν; Ἀλλ' οὐδὲ μετρίαν ἀπειλὴν, ἢ ἐλαφροτάτην κατάμεμψιν. Οὐδὲ γὰρ τῶν δωρεῶν ἱκανὸς οὐδεὶς χωρῆσαι τὸ ἄφθονον πλῆθος, ἴσως δὲ οὐδ' ὁ κόσμος· ἀλλ' οἷα βραχεῖα δεξαμενὴ, μεγάλης ἐπιῤῥεούσης τῶν τοῦ θεοῦ χαρίτων πηγῆς, τάχιστα ἀποπληρωθήσεται, ὡς ἀναβλύζειν τε καὶ ὑπερεκχεῖσθαι. Εἰ δὲ τὰς εὐεργεσίας ἀδυνατοῦμεν δέχεσθαι, τὰς κολαστηρίους δυνάμεις πῶς ἐπιφερομένας οἴσομεν; Τοὺς μὲν δὴ τοῦ παντὸς γονεῖς ὑπεξαιρετέον τοῦ παρόντος λόγου· τοὺς δὲ φοιτητὰς καὶ γνωρίμους αὐτῶν τὴν ἐπιμέλειαν καὶ προστασίαν εἰληχότας ψυχῶν, ὅσαι μὴ ἀναγωγοὶ καὶ ἄμουσοι, νῦν ἐπισκεψώμεθα. Πατέρα τοίνυν εἶναί φαμεν τὸν ἄῤῥενα καὶ τέλειον καὶ ὀρθὸν λόγον, μητέρα δὲ τὴν
ἴσην καὶ ἐγκύκλιον χορείαν τε καὶ παιδείαν, οἷς κα- 245
λὸν καὶ συμφέρον, ὡς ἂν ἔκγονον τοκεῦσι, πείθε- P.
σθαι. Τοῦ μὲν οὖν πατρὸς, ὀρθοῦ λόγου, παράγγελμα, ἕπεσθαι καὶ ἀκολουθεῖν τῇ φύσει, γυμνὴν καὶ ἀπημφιεσμένην ἀλήθειαν μεταδιώκοντας· παι-

*) Prov. 8, 22 sq.

θείας δὲ, τῆς μητρὸς, θέσει δικαίοις προςέχειν, ἃ κατὰ πόλεις καὶ ἔθνη καὶ χώρας ἔθεντο οἱ πρῶτοι δόκησιν πρὸ ἀληθείας ἀσπασάμενοι. Τοῖς γονεῦσι τούτοις τέτταρες παίδων εἰσὶ τάξεις· ἡ μὲν ἀμφοτέροις καταπειθὴς, ἡ δὲ οὐδετέρῳ προςέχουσα, ἐναντία τῇ προτέρᾳ. Τῶν δὲ ἄλλων ἡμιτελὴς ἑκατέρα· ἡ μὲν γὰρ αὐτῶν φιλοπάτωρ σφόδρα γεγονυῖα, τῷ μὲν προςέχει, μητρὸς δὲ καὶ τῶν ἐπισκέψεων αὐτῆς ἀλογεῖ· ἡ δὲ ἔμπαλιν φιλομήτωρ εἶναι δοκοῦσα, τῇ μὲν πάντα ὑπηρετεῖ, τῶν δὲ τοῦ πατρὸς ἥκιστα φροντίζει. Ἡ μὲν οὖν πρώτη τὰ κατὰ πάντων ἆθλα οἴσεται νικητήρια· ἡ δὲ ἀντίπαλος, ἧτταν ὁμοῦ καὶ φθορὰν ἀναδέξεται· τῶν δὲ ἄλλων ἑκατέρα, ἡ μὲν δευτερείων, ἡ δὲ τρίτων ἄθλων μεταποιήσεται· δευτερείων μὲν ἡ πειθαρχοῦσα πατρὶ, τρίτων δὲ ἡ τῇ μητρί.

§. 10. Τῆς μὲν οὖν φιλομήτορος, ταῖς τῶν πολλῶν δόξαις ὑπεικούσης, καὶ κατὰ τὰς πολυτρόπους τοῦ βίου ζηλώσεις παντοδαπὰς μεταβαλλούσης
863 ἰδέας, Αἰγυπτίου Πρωτέως τὸν τρόπον, ὃς τῷ
M. πάνθ' ὅσα ἐν τῷ παντὶ πεφυκέναι γίνεσθαι, τὸ ἀληθὲς ἀδηλούμενον ἔσχεν εἶδος, τύπος ἐναργέστατος Ἰοθὸρ, πλάσμα τύφου, πρὸς πόλιν καὶ πολιτείαν συγκλύδων καὶ μιγάδων ἀνθρώπων κεναῖς αἰωρουμένων δόξαις, μάλιστα ἁρμόττων. Μωϋσέως γὰρ τοῦ σοφοῦ τὸν λεὼν ἅπαντα τῆς ψυχῆς πρὸς εὐσέβειαν καὶ τιμὴν θεοῦ μετακαλοῦντος, καὶ τάς γε προστάξεις καὶ τοὺς ἱερωτάτους νόμους ἀναδιδάσκοντος, — φησὶ γὰρ ὅτι „Ἐπειδὰν γένηται αὐτοῖς ἀντιλογία, καὶ ἔλθωσι πρός με, διακρινῶ ἕκαστον καὶ συμβιβάσω τὰ προστάγματα τοῦ θεοῦ, καὶ τὸν νόμον αὐτοῦ*), —" παρελθὼν ὁ δοκησίσοφος Ἰοθὸρ, τῶν μὲν θείων ἀμύητος ἀγαθῶν, τοῖς δὲ ἀνθρωπίνοις καὶ φθαρτοῖς μάλιστ' ἐνωμιληκὼς, δημαγωγεῖ, καὶ νόμους ἐναντίους τοῖς τῆς φύσεως ἀνα-

*) Exod. 18, 16.

γράφει, πρὸς τὸ δοκεῖν ἀφορῶν, ἐκείνων ἀναφερομένων πρὸς τὸ εἶναι. Καί τοι καὶ τοῦτον ἐλεήσας καὶ οἰκτισάμενος τοῦ πολλοῦ πλάνου, μεταδιδάσκειν οἴεται δεῖν καὶ ἀναπείθειν, ἀποστῆναι μὲν τῶν κενῶν δοξῶν, ἀκολουθῆσαι δὲ παγίως τῷ ἀληθεῖ. "Ἐξάραντες γὰρ," φησὶν, "ἡμεῖς καὶ ἀποκόψαντες" τῆς διανοίας τὸν κενὸν τῦφον "μετανιστάμεθα εἰς τὸν ἐπιστήμης τόπον, ὃν χρησμοῖς καὶ ὁμολογίαις θείαις λαμβάνομεν. Ἴθι δὴ μεθ' ἡμῶν καὶ εὖ σοὶ ποιήσομεν." *) Ἀποβαλεῖς μὲν γὰρ τὴν βλαβερωτάτην δόκησιν, κτήσῃ δὲ τὴν ὠφελιμωτάτην ἀλήθειαν. 246 P. Ἀλλὰ γὰρ τὰ τοιαῦτα κατεπασθεὶς, ἀλογήσει τῶν εἰρημένων, καὶ ἐπιστήμη μὲν οὐδαμῇ οὐδαμῶς ἕψεται, ἀναχωρήσει δὲ καὶ ἀναδραμεῖται πρὸς τὸν ἴδιον καὶ κενὸν τῦφον. Λέγεται γὰρ ὅτι εἶπε πρὸς αὐτὸν, "Οὐ πορεύσομαι, ἀλλ' εἰς τὴν γῆν μου καὶ τὴν γενεάν μου," **) τουτέστι τὴν συγγενῆ ψευδοδοξοῦσαν ἀπιστίαν, ἐπειδὴ τὴν ἀληθεύουσαν ἀνδράσι φίλην πίστιν οὐκ ἔμαθε.

§. 11. Καὶ γὰρ ὅταν ἐπίδειξιν εὐσεβείας βουλόμενος ποιήσασθαι λέγῃ, "Νῦν ἔγνων ὅτι μέγας κύριος παρὰ πάντας τοὺς θεοὺς," ***) ἀσέβειαν παρὰ δικάζειν ἐπισταμένοις ἀνδράσιν ἑαυτοῦ κατηγορεῖ. Φήσουσι γὰρ αὐτῷ, νῦν ἔγνως, ἀνόσιε, πρότερον δ' οὐκ ἠπίστασο τὸ μέγεθος τοῦ παντὸς ἡγεμόνος; Ἦν γάρ τι πρεσβύτερον θεοῦ ᾧ προεντετύχηκας, ἢ τοῖς ἐκγόνοις οὐχ αἱ τῶν γονέων ἀρεταὶ πρὸ τῶν ἄλλων ἁπαξαπάντων γνώριμοι; Τοῦ δὲ παντὸς οὐκ ἄρα ἀρχηγέτης ὁ κτίστης καὶ πατὴρ αὐτοῦ; Ὥστ' εἰ νῦν ἐγνωκέναι φῂς σὺ, οὐδὲ νῦν ἔγνωκας, ὅτι οὐκ ἀπὸ γενέσεως ἀρχῆς. Ἐλέγχῃ δ' οὐδὲν ἧττον ἐπιμορφάζων, ὅταν συγκρίνῃς τὰ ἀσύγκριτα, καὶ λέγῃς παρὰ πάντας τοὺς θεοὺς τὸ μεγαλεῖον τοῦ ὄντος ἐγνωκέναι. Εἰ γὰρ ᾔδεις ἀληθείᾳ τὸ ὂν, οὐδένα ἂν

---

*) Num. 10, 29. **) Ibid. v. 30. ***) Exod. 18, 11.

τῶν ἄλλων ὑπέλαβες εἶναι θεὸν αὐτεξούσιον. Ὥςπερ
364. γὰρ ἀνατείλας ὁ ἥλιος ἀποκρύπτει τοὺς ἀστέρας,
M. τῶν ἡμετέρων ὄψεων ἀθρόον τὸ ἑαυτοῦ καταχέας
φέγγος· οὕτως ὅταν τῷ τῆς ψυχῆς ὄμματι ἀμιγεῖς
καὶ καθαρώταται καὶ τηλαυγέσταται τοῦ φωςφόρου
θεοῦ νοηταὶ ἐναστράψωσιν αὐγαὶ, κατιδεῖν οὐδὲν
ἕτερον δύναται. Ἐπιλάμψασα γὰρ ἡ τοῦ ὄντος ἐπι-
στήμη πάντα περιαυγάζει, ὡς καὶ τοῖς λαμπροτάτοις
ἐξ ἑαυτῶν εἶναι δοκοῦσιν ἐπισκοτεῖν. Θεοῖς οὖν τοῖς
ψευδωνύμοις οὐκ ἂν πιστὸν ἀληθῆ θεὸν συγκρίνειν
ὑπέμεινεν, εἴπερ ἀψευδῶς ἐγίνωσκεν αὐτόν· ἀλλ᾽ ἡ
ἀνεπιστημοσύνη τοῦ ἑνὸς, τὴν ἐπὶ πολλοῖς ὡς ὑπάρ-
χουσι, πρὸς ἀλήθειαν οὐκ οὖσι, δόξαν εἰργάσατο.

§. 12. Τῆς αὐτῆς προαιρέσεώς ἐστι πᾶς, ὅτῳ
τὰ μὲν ψυχῆς ἀπέγνωσται, τὰ δὲ περὶ σῶμα καὶ
τὰ ἐκτὸς χρώμασι καὶ σχήμασι πεποικιλμένα πρὸς
ἀπάτην αἰσθήσεως εὐπαραγώγου, θαυμάζεται. Κα-
λεῖ δὲ τὸν τοιοῦτον ὁ νομοθέτης Λάβαν, ὃς τοὺς
ἀληθεῖς τῆς φύσεως νόμους οὐ κατιδὼν, ψευδο-
γραφεῖ τοὺς παρὰ ἀνθρώποις, φάσκων "Οὐκ ἔστιν
οὕτως ἐν τῷ τόπῳ ἡμῶν, δοῦναι τὴν νεωτέραν πρὶν ἢ
τὴν πρεσβυτέραν." *) Οὗτος μὲν γὰρ τὴν ἐν χρό-
νοις τάξιν φυλάττειν οἴεται δεῖν, τὰ πρεσβύτερα
πρότερα, καὶ τὰ νεώτερα αὖθις εἰς κοινωνίαν ἄγε-
σθαι δικαιῶν. Ὁ δὲ σοφίας ἀσκητὴς εἰδὼς καὶ φύ-
σεις ἀχρόνους ὑπαρχούσας, ἐφίεται καὶ νεωτέρων 24.
προτέρων, καὶ πρεσβυτέρων ὑστέρων. Ἔχει δὲ καὶ P.
τὸν ἠθοποιὸν λόγον ἑαυτῷ συνᾴδοντα· τοῖς γὰρ
ἀσκηταῖς ἀνάγκη πρότερον ἐντυχεῖν τῇ νεωτέρᾳ παι-
δείᾳ, ἵνα τῆς τελειοτέρας αὖθις ἀπόνασθαι βεβαίως
δυνηθῶσι. Παρ᾽ ὃ καὶ μέχρι νῦν οἱ καλοκἀγαθίας
ἐρασταὶ οὐ πρότερον ἐπὶ τὰς τῆς πρεσβυτέρας ἀφι-
κνοῦνται θύρας φιλοσοφίας, πρὶν ἢ ταῖς νεωτέραις
ἐντυχεῖν, γραμματικῇ καὶ γεωμετρίᾳ καὶ τῇ συμπάσῃ

*) Gen. 29, 26.

τῶν ἐγκυκλίων μουσικῇ. Αὗται γὰρ σοφίαν τοῖς ἀδόλως καὶ καθαρῶς μνωμένοις ἀεὶ προξενοῦσιν. Ὁ δ' ἀντισοφίζεται, βουλόμενος τὴν πρεσβυτέραν ἡμᾶς ἀγαγέσθαι προτέραν, οὐχ ἵνα βεβαίως ἔχωμεν, ἀλλ' ἵνα τοῖς τῆς νεωτέρας φίλτροις δελεασθέντες αὖθις τὸν ἐπ' ἐκείνῃ πόθον ἐκλύσωμεν.

§. 13. Καὶ σχεδὸν τοῦτο συνέβη πολλοῖς τῶν ἀνοδίᾳ πρὸς παιδείαν χρησαμένων. Ἔτι γὰρ, ὡς ἔπος εἰπεῖν, ἀπ' αὐτῶν σπαργάνων πρὸς τελειότατον ἐπιτήδευμα, φιλοσοφίαν, ἐλθόντες, ἀμύητοι τῶν ἐγκυκλίων εἰσάπαν οὐ δικαιώσαντες γενέσθαι, ὀψὲ καὶ μόλις αὐτῶν ἅψασθαι διενοήθησαν. Καὶ ἔπειτα ὑπὸ τῆς μείζονος καὶ πρεσβυτέρας ἐπὶ τὴν τῶν ἐλαττόνων καὶ νεωτέρων θέαν καταβάντες ἐνεγήρασαν αὐτοῖς, ὡς μηκέτ' ἀναδραμεῖν ὅθεν ὥρμησαν ἰσχῦσαι. Διὰ τοῦτο οἶμαί φησι, "Συντέλεσον τὰ ἕβδομα
65 ταύτης," *) ἴσον τῷ, μὴ ἀτελεύτητον ἔστω σοι το
I. τῆς ψυχῆς ἀγαθὸν, ἀλλ' ὅρον ἐχέτω καὶ πέρας, ἵνα καὶ τῇ νεωτέρᾳ τάξει τῶν ἀγαθῶν ἐντύχῃς, ᾗν σώματος κάλλος καὶ δόξα καὶ πλοῦτος καὶ τὰ ὁμοιότροπα κεκλήρωται. Ὁ δὲ συντελέσειν μὲν οὐχ ὑπισχνεῖται, "ἀναπληρώσειν" **) δὲ αὐτὴν ὁμολογεῖ· τουτέστι μηδέποτ' ἐπιλείψειν τὰ πρὸς αὔξησιν καὶ συμπλήρωσιν αὐτῆς ἐπιτηδείων, ἀλλὰ καὶ πανταχοῦ περιέσεσθαι, καὶ ἂν μυρία τὰ ἀντισπῶντα καὶ ἀνθέλκοντα ᾖ. Πάνυ δ' ἐκδήλως τὸ τὰ ἔθη γυναιξὶ μᾶλλον ἢ ἀνδράσιν ἐπιτηδεύεσθαι, δοκεῖ μοι παρίστασθαι διὰ τῶν Ῥαχὴλ, τῆς μόνα τὰ αἰσθητὰ θαυμαζούσης, λόγων. Φησὶ γὰρ πρὸς τὸν πατέρα ἑαυτῆς, "Μὴ βαρέως φέρε, κύριε, οὐ δύναμαι ἀναστῆναι ἐνώπιόν σου, ὅτι τὰ κατ' ἐθισμὸν τῶν γυναικῶν μοί ἐστιν." ***) Οὐκοῦν γυναικῶν ἴδιον τὸ ἔθεσι πείθεσθαι, καὶ γὰρ τῷ ὄντι ἀσθενεστέρας καὶ θηλυτέρας ψυχῆς τὸ ἔθος. Ἀνδρῶν γάρ τοι ἡ φύ-

*) Gen. 29, 27. **) Ibid. v. 28. ***) Gen. 31, 35.

τάτη παθῶν ψυχῆς ἐπιθυμία. Εὐφροσύνης δὲ, κτῆ-
σις ὁμοῦ καὶ χρῆσις ἀρετῆς. Γυμνότητος μέντοι 241
πολλὰ, ἄγνοια τῶν ἐναντίων, ἀκακία καὶ ἀφέλεια P.
ἠθῶν, ἀλήθεια ἡ τὰ τῶν συνεσκιασμένων πραγμά-
των ἀνακαλυπτήρια ἄγουσα δύναμις, τῇ μὲν ἀπαμ-
φιάσασα ἀρετὴν, τῇ δὲ κακίαν ἐν μέρει. Ἅμα μὲν
γὰρ οὐχ οἷόν ἀποδύσασθαι, ἀλλ' οὐδ' ἐνσκευάσα-
σθαι ταύτας δυνατόν. Ἐπειδὰν δέ τις ἀποῤῥίψῃ
τὴν ἑτέραν, ἐξ ἀνάγκης τὴν ἐναντίαν ἀναλαβὼν
ἐπαμφίσκεται. Ὥςπερ γὰρ ἡδονὴν καὶ ἀλγηδόνα
φύσει μαχομένας, ὥς ὁ παλαιὸς λόγος, εἰς μίαν
κορυφὴν συνάψας ὁ θεὸς, ἑκατέρας αἴσθησιν, οὐκ
ἐν τῷ αὐτῷ, διαλλάττουσι δὲ χρόνοις, ἐνειργάσατο,
κατὰ τὴν φυγὴν τῆς ἑτέρας κάθοδον τῇ ἐναντίᾳ
ψηφισάμενος· οὕτως ἀπὸ μιᾶς ῥίζης τοῦ ἡγεμονικοῦ
τά τε ἀρετῆς καὶ κακίας διττὰ ἀνέδραμεν ἔρνη, μήτε
βλαστάνοντα, μήτε καρποφοροῦντα ἐν τῷ αὐτῷ.
Ὁπότε μὲν γὰρ φυλλοῤῥοεῖ καὶ ἀφανίζεται θάτε-
ρον, ἄρχεται ἀναβλαστάνειν καὶ χλοηφορεῖν τὸ ἐναν-
τίον, ὡς ὑπολαβεῖν, ὅτι ἑκάτερον τῇ θατέρου δυς-
χεραῖνον εὐπραγίᾳ στέλλεται. Δι' ἣν αἰτίαν φυσι-
κωτάτην τὴν Ἰακὼβ ἔξοδον, εἴςοδον Ἡσαῦ παρίστη-
σιν. "Ἐγένετο γὰρ," φησὶν, "ὅσον ἐξῆλθεν Ἰα-
κὼβ, ἧκεν Ἡσαῦ ὁ ἀδελφὸς αὐτοῦ *)." Μέχρι μὲν
γὰρ ἐνσχολάζει καὶ ἐμπεριπατεῖ τῇ ψυχῇ φρόνησις,
ὑπερόριος πᾶς ὁ ἀφροσύνης ἑταῖρος ἐκτετόξευται·
ἐπειδὰν δὲ μεταναστῇ, γεγηθὼς κάτεισιν ἐκεῖνος, τῆς
πολεμίου καὶ δυςμενοῦς δι' ἣν ἠλαύνετο καὶ ἐφυγα-
δεύετο, μηκέτι τὸν αὐτὸν χῶρον οἰκούσης.

§. 3. Τὰ μὲν οὖν ὡςανεὶ προοίμια τῆς γραφῆς
ἀρκούντως λέλεκται· τὰς δ' ἀποδείξεις ἑκάστων
προςαποδώσομεν, ἀπὸ τοῦ πρώτου πρῶτον ἀρξάμε-
359 νοι διδάσκειν. Τὴν τοίνυν ἀπαιδευσίαν τοῦ ληρεῖν
M. καὶ ἁμαρτάνειν αἰτίαν ἔφαμεν εἶναι, καθάπερ μυ-

*) Gen. 27, 30.

ρίοις τῶν ἀφρόνων τὸν πολὺν ἄκρατον. Ἀπαιδευσία γὰρ τῶν ψυχῆς ἁμαρτημάτων, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, τὸ ἀρχέκακον, ἀφ' ἧς ὥςπερ ἀπὸ πηγῆς ῥέουσιν αἱ τοῦ βίου πράξεις, πότιμον μὲν καὶ σωτήριον οὐδὲν οὐδενὶ νᾶμα ἐκδιδοῦσαι τὸ παράπαν, ἁλμυρὸν δὲ νόσου καὶ φθορᾶς τοῖς χρησαμένοις αἴτιον. Οὕτως γοῦν κατὰ ἀναγώγων καὶ ἀπαιδεύτων ὁ νομοθέτης φονᾷ, ὡς κατ' οὐδενὸς ἴσως ἑτέρου. Τεκμήριον δὲ, τίνες εἰσὶν οἱ μὴ ἐπιτηδεύσει μᾶλλον ἢ φύσει σύμμαχοι παρά τε ἀνθρώποις καὶ ἐν τοῖς ἄλλοις γένεσι τῶν ζώων; Ἀλλ' οὐδὲ μανεὶς ἑτέρους ἂν εἴποι τις, ἢ τοὺς τοκέας εἶναι. Κήδεται γὰρ ἀδιδάκτῳ τῇ φύσει τὸ πεποιηκὸς ἀεὶ τοῦ γενομένου, καὶ σωτηρίας αὐτοῦ καὶ διαμονῆς τῆς εἰςάπαν πρόνοιαν ἔχει.

§. 4. Τοὺς οὖν ἐκ φύσεως συναγωνιστὰς ὑπάρχοντας εἰς ἐχθρῶν μετελθεῖν τάξιν ἐσπούδασε, 242
κατηγόρους ἐπιστήσας τοὺς δεόντως ἂν συναγορεύ- P.
σοντας, πατέρα καὶ μητέρα, ἵν' ὑφ' ὧν εἰκὸς ἦν σώζεσθαι μόνων, παραπόλλωνται. „Ἐὰν γάρ τινι," φησὶν, „υἱὸς ᾖ ἀπειθὴς καὶ ἐρεθιστὴς, οὐχ ὑπακούων φωνῆς πατρὸς καὶ μητρὸς, καὶ παιδεύωσιν αὐτὸν, καὶ μὴ εἰςακούῃ αὐτῶν, συλλαβόντες αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ ἐξάξουσιν εἰς τὴν γερουσίαν τῆς πόλεως αὐτοῦ, καὶ ἐπὶ τὴν πύλην τοῦ τόπου αὐτοῦ, καὶ ἐροῦσι τοῖς ἀνδράσι τῆς πόλεως αὐτῶν, ὁ υἱὸς ἡμῶν οὗτος ἀπειθεῖ καὶ ἐρεθίζει, καὶ οὐκ εἰςακούει τῆς φωνῆς ἡμῶν, συμβολοκοπῶν οἰνοφλυγεῖ· καὶ λιθοβολήσουσιν αὐτὸν οἱ ἄνδρες τῆς πόλεως, καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν *)." Οὐκοῦν αἱ κατηγορίαι ἀριθμῷ τέτταρες, ἀπείθεια καὶ ἐρεθισμὸς καὶ συμβολῶν εἰςφορὰ καὶ μέθη. Μεγίστη δὲ ἡ τελευταία, παραύξην ἀπὸ τῆς πρώτης ἀπειθείας λαβοῦσα. Ἀρξαμένη γὰρ ἀφηνιάζειν ἡ

*) Deut. 21, 18—21.

ψυχὴ καὶ προελθοῦσα διὰ ἔριδος καὶ φιλονεικίας, ἐπὶ ὕστατον ὅρον ἔρχεται, μέθην, τὴν ἐκστάσεως καὶ παραφροσύνης αἰτίαν. Ἑκάστης δὲ τῶν κατηγοριῶν τὴν δύναμιν ἰδεῖν ἀναγκαῖον, τὴν ἀρχὴν ἀπὸ τῆς πρώτης λαβόντας.

§. 5. Ἀνωμολόγηται τοίνυν περιφανῶς, ὅτι τὸ εἴκειν καὶ πειθαρχεῖν ἀρετῇ καλὸν καὶ συμφέρον, ὥςτε τὸ ἀπειθεῖν ἔμπαλιν αἰσχρὸν καὶ οὐ μετρίως ἀλυσιτελές· τὸ δὲ δὴ καὶ ἐρεθίζειν, ὑπερβολὴν πᾶσαν κεχώρηκε τοῦ δεινοῦ. Ὁ γὰρ ἀπειθὴς τοῦ φιλέριδος ἧττον μοχθηρός ἐστιν· ὁ μὲν αὐτὸ μόνον τῶν προςταττομένων ἀλογῶν, ὁ δὲ καὶ τοῖς ἐναντίοις ἐγχειρεῖν σπουδὴν πεποιημένος. Φέρε δὲ ὡς ἔχει τοῦτο θεασώμεθα. Νόμου κελεύοντος, εἰ τύ-
360 χοι, τοὺς γονεῖς τιμᾶν, ὁ μὴ τιμῶν ἀπειθής, ὁ
M. δ' ἀτιμάζων φίλερις. Καὶ πάλιν τοῦ τὴν πατρίδα σώζειν ὄντος δικαίου, τὸν μὲν πρὸς αὐτὸ τοῦτο ὄκνῳ χρώμενον, ἀπειθῆ, τὸν δ' ἔτι καὶ προδιδόναι διεγνωκότα, δύςεριν καὶ φιλόνεικον λεκτέον. Ὅ τε μὴ χαριζόμενός τισιν, ἐναντιούμενος δὲ τῷ φάσκοντι δεῖν ὠφελεῖν, ἀπειθεῖ· ὁ δὲ πρὸς τῷ μὴ χαρίζεσθαι, καὶ ὅσα βλάβης ἐστὶν ἐμποιῶν, ἔριδι ἐπαιρόμενος, ἀνίατα ἐξαμαρτάνει. Καὶ μὴν ὅ γε ἱερουργίαις καὶ τοῖς ἄλλοις ὅσα πρὸς εὐσέβειαν ἀναφέρεται μὴ χρώμενος, ἀπειθεῖ προςτάξεσιν, ἃς ὁ νόμος εἴωθε περὶ τούτων προςτάττειν· ἀνερεθίζει δὲ ὁ πρὸς τὸ ἐναντίον, ἀσέβειαν, ἀποκλίνας καὶ ἀθεότητος εἰςηγητής.

§. 6. Οἷος ἦν ὁ φάσκων, "Τίς ἐστιν οὗ ὑπακούσομαι;" Καὶ πάλιν, "Οὐκ οἶδα τὸν κύριον*)." Διὰ μὲν οὖν τῆς προτέρας φωνῆς παρίστησιν, ὅτι οὐκ ἔστι τὸ θεῖον. Διὰ δὲ τῆς ἔπειτα, ὅτι εἰ καὶ ἔστιν, ἀλλά τοι ἀγνοεῖται, ὅπερ ἐκ τοῦ μὴ προνοεῖν
συνάγεται. Εἰ γὰρ προενόει, καὶ ἂν ἐγινώσκετο. 243
Συμβολάς γε μὴν καὶ ἐράνους φέρειν, ἐπὶ μὲν τῇ P.

*) Exod. 5, 2.

τοῦ ἀρίστου κτήματος μετουσίᾳ, φρονήσεως, ἐπαινετὸν καὶ συμφέρον· ἕνεκα δὲ τῆς τοῦ ἀκροτάτου πάντων ἀφροσύνης, ἀλυσιτελές τε καὶ ψεκτόν. Αἱ μὲν οὖν πρὸς τὸ ἄριστον συμβολαί, πόθος ἀρετῆς, τῶν καλῶν ζῆλος, μελέται συνεχεῖς, ἀσκήσεις ἐπίπονοι, ἄτρυτοι καὶ ἀκμῆτες πόνοι· αἱ δὲ πρὸς τὸ ἐναντίον, ἄνεσις, ῥᾳθυμία, τρυφή, θρύψις, παντελὴς ἐκδιαίτησις. Ἰδεῖν μέντοι καὶ τοὺς ἐπαποδυομένους πολυοινίᾳ καὶ καθ᾿ ἑκάστην ἡμέραν γυμναζομένους, καὶ ἀθλοῦντας τοὺς ἐπ᾿ ἀπληστίᾳ γαστρὸς ἄθλους ἐστί, συμβολὰς μὲν ὡς ἐπί τινι τῶν λυσιτελῶν εἰςφέροντας, ζημιουμένους δὲ πάντα, χρήματα, σώματα, ψυχάς. Τὰ μὲν γὰρ εἰςφέροντες μειοῦσι τὴν οὐσίαν· τῶν δὲ σωμάτων διὰ τὸ ἁβροδίαιτον καταχλῶσι καὶ θρύπτουσι τὰς δυνάμεις· τὰς δὲ ψυχάς, ποταμοῦ χειμάῤῥου τρόπον ἀμετρίᾳ τροφῶν ἐπικλύζοντες, εἰς βυθὸν ἀναγκάζουσι δύεσθαι. Τὸν αὐτὸν δὴ τρόπον καὶ ὅσοι φέρουσιν ἐράνους ἐπὶ καθαιρέσει παιδείας, τὸ κυριώτατον τῶν ἐν αὐτοῖς ζημιοῦσι, διάνοιαν, ἀποκόπτοντες αὐτῆς τὰ σωτήρια, φρόνησιν καὶ σωφροσύνην, ἔτι δὲ ἀνδρίαν καὶ δικαιοσύνην. Διό μοι δοκεῖ καὶ αὐτὸς ὀνόματι συνθέτῳ χρῆσθαι, τῷ συμβολοκοπῶν, πρὸς δήλωσιν ἐναργεστέραν τοῦ σημαινομένου· διότι τὰ κατὰ ἀρετῆς ἐπιχειρήματα ὥςπερ τινὰς συμβολὰς καὶ ἐράνους εἰςφέροντες, τιτρώσκουσι καὶ διαιροῦσι καὶ συγκόπτουσι μέχρι παντελοῦς φθορᾶς, τὰς φιληκόους καὶ φιλομαθεῖς ψυχάς.

§. 7. Ὁ μὲν οὖν σοφὸς Ἀβραὰμ ἐπανελθεῖν λέγεται "ἀπὸ τῆς κοπῆς τοῦ Χοδολλογόμορ, καὶ τῶν βασιλέων τῶν μετ᾿ αὐτοῦ *)," ὁ δὲ Ἀμαλὴκ ἔμπαλιν "τοῦ ἀσκητοῦ τὴν οὐραγίαν κόπτειν **),"
361 ἀκολουθίᾳ φύσεως. Ἐχθρὰ γὰρ τὰ ἐναντία, καὶ
M. τὸν ἐπ᾿ ἀλλήλοις ὄλεθρον ἀεὶ μελετῶντα. Τὸν δὲ

*) Gen. 14, 17. **) Deut. 25, 18.

κομίζοντα τὰς συμβολὰς καὶ ταύτῃ μάλιστ' ἄν τις αἰτιάσαιτο, ὅτι οὐ μόνον ἀδικεῖν, ἀλλὰ καὶ συναδικεῖν ἔγνωκεν ἑτέροις, ἀξιῶν τὰ μὲν αὐτὸς εἰςηγεῖσθαι, τὰ δὲ εἰςηγουμένων ἄλλων ἀκροᾶσθαι· ὅπως καὶ φύσει καὶ μαθήσει διαμαρτύνων, μηδεμίαν εἰς σωτηρίαν ὑπολείπηται χρηστὴν ἐλπίδα ἑαυτῷ, καὶ ταῦτα νόμου διειρηκότος "μὴ γίνεσθαι μετὰ πολλῶν ἐπὶ κακίᾳ *)." Τῷ γὰρ ὄντι πολύχουν μὲν καὶ πολυφορώτατον ἐν ἀνθρώπων ψυχαῖς τὸ κακὸν, ἐσταλμένον δὲ καὶ σπάνιον τὸ ἀγαθόν. Παραίνεσις αὖθις ὠφελιμωτάτη μὴ τοῖς πολλοῖς μεθ' ὧν τὸ ἀδικεῖν, ἀλλ' ὀλίγοις, μεθ' ὧν τὸ δικαιοπραγεῖν, συμφέρεσθαι.

§. 8. Τέταρτον καὶ μέγιστον τοίνυν ἔγκλημα 244 P.
ἦν, τὸ μεθύειν, οὐκ ἀνειμένως, ἀλλὰ σφόδρα συντόνως. Τὸ γὰρ οἰνοφλυγεῖν ἴσον ἐστὶ τῷ τὸ παραίτιον ἀφροσύνης φάρμακον, ἀπαιδευσίαν, ἐντύφεσθαι καὶ ἀνακαίεσθαι καὶ ἀναφλέγεσθαι, μηδέποτε σβεσθῆναι δυναμένην, ἀλλ' ὅλην δι' ὅλων ἀεὶ τὴν ψυχὴν ἐμπιπρῶσάν τε καὶ πυρπολοῦσαν. Εἰκότως οὖν ἕψεται δίκη, πάντα μοχθηρὸν τρόπον ἐκκαθαίρουσα διανοίας. Λέγεται γὰρ, "Ἐξαρεῖς τὸν πονηρὸν," οὐκ ἐκ πόλεως, ἢ χώρας, ἢ ἔθνους, ἀλλ' "ἐξ ὑμῶν αὐτῶν **)." Ἡμῖν γὰρ αὐτοῖς ἐνυπάρχουσι καὶ ἐμφωλεύουσιν οἱ ὑπαίτιοι καὶ ἐπίληπτοι λογισμοὶ, οὓς ὁπότε ἀνιάτως ἔχοιεν, ἀποκόπτειν καὶ διαφθείρειν ἀναγκαῖον. Τὸν οὖν ἀπειθῆ καὶ φίλεριν, καὶ λόγων πιθανότητας, ὥςπερ τινὰς συμβολὰς καὶ ἐράνους ἐπὶ καθαιρέσει τοῦ καλοῦ πορίζοντα, καὶ ἀκράτῳ φλεγόμενον, καὶ καταμεθύοντα ἀρετῆς, καὶ παροινίας ἐκτόπως εἰς αὐτὸν παροινοῦντα, δίκαιον ἦν κατηγόρους μὲν τοὺς συμμάχους λαβεῖν, πατέρα καὶ μητέρα, δέον ἐνδέξασθαι παντελῆ νουθεσίαν καὶ σωφρονισμὸν τῶν οἵων τε σώζεσθαι. Πατρὸς δὲ

*) Exod. 23, 2. **) Deut. 21, 21.

καὶ μητρὸς κοιναὶ μὲν αἱ κλήσεις, διάφοροι δὲ δυ-
νάμεις. Τὸν γοῦν τόδε τὸ πᾶν ἐργασάμενον δη-
μιουργὸν ὁμοῦ καὶ πατέρα εἶναι τοῦ γεγονότος εὐ-
θὺς ἐν δίκῃ φήσομεν· μητέρα δὲ τὴν τοῦ πεποιη-
κότος ἐπιστήμην, ᾗ συνὼν ὁ θεὸς, οὐχ ὡς ἄνθρω-
πος, ἔσπειρε γένεσιν. Ἡ δὲ παραδεξαμένη τὸ τοῦ
θεοῦ σπέρμα, τελεσφόροις ὠδῖσι τὸν μόνον καὶ ἀγα-
362 πητὸν αἰσθητὸν υἱὸν ἀπεκύησε τόνδε τὸν κόσμον.
M. Εἰσάγεται γοῦν παρά τινι τῶν ἐκ τοῦ θείου χοροῦ
ἡ σοφία περὶ αὑτῆς λέγουσα τὸν τρόπον τοῦτον,
"Ὁ θεὸς ἐκτήσατό με πρωτίστην τῶν ἑαυτοῦ ἔργων,
καὶ πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με *)." Ἦν γὰρ
ἀναγκαῖον τῆς μητρὸς καὶ τιθήνης τῶν ὅλων πάνθ'
ὅσα εἰς γένεσιν ἦλθε, εἶναι νεώτερα.

§. 9. Τούτων οὖν τῶν γονέων τίς ἱκανὸς ὑπο-
στῆναι κατηγορίαν; Ἀλλ' οὐδὲ μετρίαν ἀπειλὴν,
ἢ ἐλαφροτάτην κατάμεμψιν. Οὐδὲ γὰρ τῶν δωρεῶν
ἱκανὸς οὐδεὶς χωρῆσαι τὸ ἄφθονον πλῆθος, ἴσως
δὲ οὐδ' ὁ κόσμος· ἀλλ' οἷα βραχεῖα δεξαμενὴ, με-
γάλης ἐπιῤῥεούσης τῶν τοῦ θεοῦ χαρίτων πηγῆς,
τάχιστα ἀποπληρωθήσεται, ὡς ἀναβλύζειν τε καὶ
ὑπερεκχεῖσθαι. Εἰ δὲ τὰς εὐεργεσίας ἀδυνατοῦμεν
δέχεσθαι, τὰς κολαστηρίους δυνάμεις πῶς ἐπιφερο-
μένας οἴσομεν; Τοὺς μὲν δὴ τοῦ παντὸς γονεῖς
ὑπεξαιρετέον τοῦ παρόντος λόγου· τοὺς δὲ φοιτητὰς
καὶ γνωρίμους αὐτῶν τὴν ἐπιμέλειαν καὶ προστασίαν
εἰληχότας ψυχῶν, ὅσαι μὴ ἀναγωγοὶ καὶ ἄμουσοι,
νῦν ἐπισκεψώμεθα. Πατέρα τοίνυν εἶναί φαμεν τὸν
ἄῤῥενα καὶ τέλειον καὶ ὀρθὸν λόγον, μητέρα δὲ τὴν
ἴσην καὶ ἐγκύκλιον χορείαν τε καὶ παιδείαν, οἷς κα- 245
λὸν καὶ συμφέρον, ὡς ἂν ἔκγονον τοκεῦσι, πείθε- P.
σθαι. Τοῦ μὲν οὖν πατρὸς, ὀρθοῦ λόγου, παράγ-
γελμα, ἕπεσθαι καὶ ἀκολουθεῖν τῇ φύσει, γυμνὴν
καὶ ἀπημφιασμένην ἀλήθειαν μεταδιώκοντας· πα-

*) Prov. 8, 22 sq.

δείας δὲ, τῆς μητρὸς, θέσει δικαίοις προςέχειν, ἃ κατὰ πόλεις καὶ ἔθνη καὶ χώρας ἔθεντο οἱ πρῶτοι δόκησιν πρὸ ἀληθείας ἀσπασάμενοι. Τοῖς γονεῦσι τούτοις τέτταρες παίδων εἰσὶ τάξεις· ἡ μὲν ἀμφοτέροις καταπειθὴς, ἡ δὲ οὐδετέρῳ προςέχουσα, ἐναντία τῇ προτέρᾳ. Τῶν δὲ ἄλλων ἡμιτελὴς ἑκατέρα· ἡ μὲν γὰρ αὐτῶν φιλοπάτωρ σφόδρα γεγονυῖα, τῷ μὲν προςέχει, μητρὸς δὲ καὶ τῶν ἐπισκέψεων αὐτῆς ἀλογεῖ· ἡ δὲ ἔμπαλιν φιλομήτωρ εἶναι δοκοῦσα, τῇ μὲν πάντα ὑπηρετεῖ, τῶν δὲ τοῦ πατρὸς ἥκιστα φροντίζει. Ἡ μὲν οὖν πρώτη τὰ κατὰ πάντων ἆθλα οἴσεται νικητήρια· ἡ δὲ ἀντίπαλος, ἧτταν ὁμοῦ καὶ φθορὰν ἀναδέξεται· τῶν δὲ ἄλλων ἑκατέρα, ἡ μὲν δευτερείων, ἡ δὲ τρίτων ἄθλων μεταποιήσεται· δευτερείων μὲν ἡ πειθαρχοῦσα πατρὶ, τρίτων δὲ ἡ τῇ μητρί.

§. 10. Τῆς μὲν οὖν φιλομήτορος, ταῖς τῶν πολλῶν δόξαις ὑπεικούσης, καὶ κατὰ τὰς πολυτρόπους τοῦ βίου ζηλώσεις παντοδαπὰς μεταβαλλούσης
363 ἰδέας, Αἰγυπτίου Πρωτέως τὸν τρόπον, ὃς τῷ
M. πάνθ' ὅσα ἐν τῷ παντὶ πεφυκέναι γίνεσθαι, τὸ ἀληθὲς ἀδηλούμενον ἔσχεν εἶδος, τύπος ἐναργέστατος Ἰοθὸρ, πλάσμα τύφου, πρὸς πόλιν καὶ πολιτείαν συγκλύδων καὶ μιγάδων ἀνθρώπων κεναῖς αἰωρουμένων δόξαις, μάλιστα ἁρμόττων. Μωϋσέως γὰρ τοῦ σοφοῦ τὸν λεὼν ἅπαντα τῆς ψυχῆς πρὸς εὐσέβειαν καὶ τιμὴν θεοῦ μετακαλοῦντος, καὶ τάς γε προστάξεις καὶ τοὺς ἱερωτάτους νόμους ἀναδιδάσκοντος, — φησὶ γὰρ ὅτι "Ἐπειδὰν γένηται αὐτοῖς ἀντιλογία, καὶ ἔλθωσι πρός με, διακρινῶ ἕκαστον καὶ συμβιβάσω τὰ προστάγματα τοῦ θεοῦ, καὶ τὸν νόμον αὐτοῦ*), —" παρελθὼν ὁ δοκησίσοφος Ἰοθὸρ, τῶν μὲν θείων ἀμύητος ἀγαθῶν, τοῖς δὲ ἀνθρωπίνοις καὶ φθαρτοῖς μάλιστ' ἐνωμιληκὼς, δημαγωγεῖ, καὶ νόμους ἐναντίους τοῖς τῆς φύσεως ἀνα-

*) Exod. 18, 16.

γράφει, πρὸς τὸ δοκεῖν ἀφορῶν, ἐκείνων ἀναφερο-
μένων πρὸς τὸ εἶναι. Καί τοι καὶ τοῦτον ἐλεήσας
καὶ οἰκτισάμενος τοῦ πολλοῦ πλάνου, μεταδιδάσκειν
οἴεται δεῖν καὶ ἀναπείθειν, ἀποστῆναι μὲν τῶν κε-
νῶν δοξῶν, ἀκολουθῆσαι δὲ παγίως τῷ ἀληθεῖ.
"Ἐξάραντες γὰρ," φησὶν, "ἡμεῖς καὶ ἀποκόψαντες"
τῆς διανοίας τὸν κενὸν τῦφον "μετανιστάμεθα εἰς
τὸν ἐπιστήμης τόπον, ὃν χρησμοῖς καὶ ὁμολογίαις
θείαις λαμβάνομεν. Ἴθι δὴ μεθ' ἡμῶν καὶ εὖ σοὶ
ποιήσομεν." *) Ἀποβαλεῖς μὲν γὰρ τὴν βλαβερω- 246
τάτην δόκησιν, κτήσῃ δὲ τὴν ὠφελιμωτάτην ἀλή- P.
θειαν. Ἀλλὰ γὰρ τὰ τοιαῦτα κατεπασθεὶς, ἀλογήσει
τῶν εἰρημένων, καὶ ἐπιστήμη μὲν οὐδαμῆ οὐδαμῶς
ἕψεται, ἀναχωρήσει δὲ καὶ ἀναδραμεῖται πρὸς τὸν
ἴδιον καὶ κενὸν τῦφον. Λέγεται γὰρ ὅτι εἶπε πρὸς
αὐτὸν, "Οὐ πορεύσομαι, ἀλλ' εἰς τὴν γῆν μου καὶ
τὴν γενεάν μου," **) τουτέστι τὴν συγγενῆ ψευδοδο-
ξοῦσαν ἀπιστίαν, ἐπειδὴ τὴν ἀληθεύουσαν ἀνδράσι
φίλην πίστιν οὐκ ἔμαθε.

§. 11. Καὶ γὰρ ὅταν ἐπίδειξιν εὐσεβείας βου-
λόμενος ποιήσασθαι λέγῃ, "Νῦν ἔγνων ὅτι μέγας
κύριος παρὰ πάντας τοὺς θεοὺς," ***) ἀσέβειαν παρὰ
δικάζειν ἐπισταμένοις ἀνδράσιν ἑαυτοῦ κατηγορεῖ.
Φήσουσι γὰρ αὐτῷ, νῦν ἔγνως, ἀνόσιε, πρότερον
δ' οὐκ ἠπίστασο τὸ μέγεθος τοῦ παντὸς ἡγεμόνος;
Ἦν γάρ τι πρεσβύτερον θεοῦ ᾧ προεντετύχηκας, ἢ
τοῖς ἐκγόνοις οὐχ αἱ τῶν γονέων ἀρεταὶ πρὸ τῶν
ἄλλων ἁπαξαπάντων γνώριμοι; Τοῦ δὲ παντὸς οὐκ
ἄρα ἀρχηγέτης ὁ κτίστης καὶ πατὴρ αὐτοῦ; Ὥστ'
εἰ νῦν ἐγνωκέναι φῂς σὺ, οὐδὲ νῦν ἔγνωκας, ὅτι οὐκ
ἀπὸ γενέσεως ἀρχῆς. Ἐλέγχῃ δ' οὐδὲν ἧττον ἐπι-
μορφάζων, ὅταν συγκρίνῃς τὰ ἀσύγκριτα, καὶ λέγῃς
παρὰ πάντας τοὺς θεοὺς τὸ μεγαλεῖον τοῦ ὄντος
ἐγνωκέναι. Εἰ γὰρ ᾔδεις ἀληθείᾳ τὸ ὂν, οὐδένα ἂν

*) Num. 10, 29. **) Ibid. v. 30. ***) Exod. 18, 11.

τῶν ἄλλων ὑπέλαβες εἶναι θεὸν αὐτεξούσιον. Ὥςπερ
364. γὰρ ἀνατείλας ὁ ἥλιος ἀποκρύπτει τοὺς ἀστέρας,
M. τῶν ἡμετέρων ὄψεων ἀθρόον τὸ ἑαυτοῦ καταχέας
φέγγος· οὕτως ὅταν τῷ τῆς ψυχῆς ὄμματι ἀμιγεῖς
καὶ καθαρώταται καὶ τηλαυγέσταται τοῦ φωςφόρου
θεοῦ νοηταὶ ἐναστράψωσιν αὐγαὶ, κατιδεῖν οὐδὲν
ἕτερον δύναται. Ἐπιλάμψασα γὰρ ἡ τοῦ ὄντος ἐπι-
στήμη πάντα περιαυγάζει, ὡς καὶ τοῖς λαμπροτάτοις
ἐξ ἑαυτῶν εἶναι δοκοῦσιν ἐπισκοτεῖν. Θεοῖς οὖν τοῖς
ψευδωνύμοις οὐκ ἂν πιστὸν ἀληθῆ θεὸν συγκρίνειν
ὑπέμεινεν, εἴπερ ἀψευδῶς ἐγίνωσκεν αὐτόν· ἀλλ' ἡ
ἀνεπιστημοσύνη τοῦ ἑνὸς, τὴν ἐπὶ πολλοῖς ὡς ὑπάρ-
χουσι, πρὸς ἀλήθειαν οὐκ οὖσι, δόξαν εἰργάσατο.

§. 12. Τῆς αὐτῆς προαιρέσεώς ἐστι πᾶς, ὅτῳ
τὰ μὲν ψυχῆς ἀπέγνωσται, τὰ δὲ περὶ σῶμα καὶ
τὰ ἐκτὸς χρώμασι καὶ σχήμασι πεποικιλμένα πρὸς
ἀπάτην αἰσθήσεως εὐπαραγώγου, θαυμάζεται. Κα-
λεῖ δὲ τὸν τοιοῦτον ὁ νομοθέτης Λάβαν, ὃς τοὺς
ἀληθεῖς τῆς φύσεως νόμους οὐ κατιδὼν, ψευδο-
γραφεῖ τοὺς παρὰ ἀνθρώποις, φάσκων "Οὐκ ἔστιν
οὕτως ἐν τῷ τόπῳ ἡμῶν, δοῦναι τὴν νεωτέραν πρὶν ἢ
τὴν πρεσβυτέραν." *) Οὗτος μὲν γὰρ τὴν ἐν χρό-
νοις τάξιν φυλάττειν οἴεται δεῖν, τὰ πρεσβύτερα
πρότερα, καὶ τὰ νεώτερα αὖθις εἰς κοινωνίαν ἄγε-
σθαι δικαιῶν. Ὁ δὲ σοφίας ἀσκητὴς εἰδὼς καὶ φύ-
σεις ἀχρόνους ὑπαρχούσας, ἐφίεται καὶ νεωτέρων 24
προτέρων, καὶ πρεσβυτέρων ὑστέρων. Ἔχει δὲ καὶ P.
τὸν ἠθοποιὸν λόγον ἑαυτῷ συνᾴδοντα· τοῖς γὰρ
ἀσκηταῖς ἀνάγκη πρότερον ἐντυχεῖν τῇ νεωτέρᾳ παι-
δείᾳ, ἵνα τῆς τελειοτέρας αὖθις ἀπόνασθαι βεβαίως
δυνηθῶσι. Παρ' ὃ καὶ μέχρι νῦν οἱ καλοκἀγαθίας
ἐρασταὶ οὐ πρότερον ἐπὶ τὰς τῆς πρεσβυτέρας ἀφι-
κνοῦνται θύρας φιλοσοφίας, πρὶν ἢ ταῖς νεωτέραις
ἐντυχεῖν, γραμματικῇ καὶ γεωμετρίᾳ καὶ τῇ συμπάσῃ

*) Gen. 29, 26.

τῶν ἐγκυκλίων μουσικῇ. Αὗται γὰρ σοφίαν τοῖς ἀδόλως καὶ καθαρῶς μνωμένοις ἀεὶ προξενοῦσιν. Ὁ δ᾽ ἀντισοφίζεται, βουλόμενος τὴν πρεσβυτέραν ἡμᾶς ἀγαγέσθαι προτέραν, οὐχ ἵνα βεβαίως ἔχωμεν, ἀλλ᾽ ἵνα τοῖς τῆς νεωτέρας φίλτροις δελεασθέντες αὖθις τὸν ἐπ᾽ ἐκείνῃ πόθον ἐκλύσωμεν.

§. 13. Καὶ σχεδὸν τοῦτο συνέβη πολλοῖς τῶν ἀνοδίᾳ πρὸς παιδείαν χρησαμένων. Ἔτι γάρ, ὡς ἔπος εἰπεῖν, ἀπ᾽ αὐτῶν σπαργάνων πρὸς τελειότατον ἐπιτήδευμα, φιλοσοφίαν, ἐλθόντες, ἀμύητοι τῶν ἐγκυκλίων εἰσάπαν οὐ δικαιώσαντες γενέσθαι, ὀψὲ καὶ μόλις αὐτῶν ἅψασθαι διενοήθησαν. Καὶ ἔπειτα ὑπὸ τῆς μείζονος καὶ πρεσβυτέρας ἐπὶ τὴν τῶν ἐλαττόνων καὶ νεωτέρων θέαν καταβάντες ἐνεγήρασαν αὐτοῖς, ὡς μηκέτ᾽ ἀναδραμεῖν ὅθεν ὥρμησαν ἰσχῦσαι. Διὰ τοῦτο οἶμαί φησι, "Συντέλεσον τὰ ἕβδομα
65 ταύτης," *) ἴσον τῷ, μὴ ἀτελεύτητον ἔστω σοι το
I. τῆς ψυχῆς ἀγαθόν, ἀλλ᾽ ὅρον ἐχέτω καὶ πέρας, ἵνα καὶ τῇ νεωτέρᾳ τάξει τῶν ἀγαθῶν ἐντύχῃς, ἣν σώματος κάλλος καὶ δόξα καὶ πλοῦτος καὶ τὰ ὁμοιότροπα κεκλήρωται. Ὁ δὲ συντελέσειν μὲν οὐχ ὑπισχνεῖται, "ἀναπληρώσειν" **) δὲ αὐτὴν ὁμολογεῖ· τουτέστι μηδέποτ᾽ ἐπιλείψειν τά πρὸς αὔξησιν καὶ συμπλήρωσιν αὐτῆς ἐπιτηδείων, ἀλλὰ καὶ πανταχοῦ περιέσεσθαι, καὶ ἂν μυρία τὰ ἀντισπῶντα καὶ ἀνθέλκοντα ᾖ. Πάνυ δ᾽ ἐκδήλως τὸ τὰ ἔθη γυναιξὶ μᾶλλον ἢ ἀνδράσιν ἐπιτηδεύεσθαι, δοκεῖ μοι παρίστασθαι διὰ τῶν Ῥαχὴλ, τῆς μόνα τὰ αἰσθητὰ θαυμαζούσης, λόγων. Φησὶ γὰρ πρὸς τὸν πατέρα ἑαυτῆς, "Μὴ βαρέως φέρε, κύριε, οὐ δύναμαι ἀναστῆναι ἐνώπιόν σου, ὅτι τὰ κατ᾽ ἐθισμὸν τῶν γυναικῶν μοί ἐστιν." ***) Οὐκοῦν γυναικῶν ἴδιον τὸ ἔθεσι πείθεσθαι, καὶ γὰρ τῷ ὄντι ἀσθενεστέρας καὶ θηλυτέρας ψυχῆς τὸ ἔθος. Ἀνδρῶν γάρτοι ἡ φύ-

*) Gen. 29, 27. **) Ibid. v. 28. ***) Gen. 31, 35.

σις καὶ ἐῤῥωμένου καὶ ἄῤῥενος ὡς ἀληθῶς λογισμοῦ
ἕπεσθαι φύσει.

§. 14. Καταπέπληγμαι δὲ τὸ ἀψευδὲς τῆς ψυ-
χῆς τῆς ἐν τοῖς ἑαυτῆς διαλόγοις ὁμολογούσης, ὅτι
οὐ δύναται τῶν φαινομένων ἀγαθῶν κατεξαναστῆναι,
ἀλλ᾽ ἕκαστον αὐτῶν τέθηπε καὶ τιμᾷ, καὶ μονονοὺχ
ἑαυτῆς προκέκρικεν. Ἐπεὶ τίς ἡμῶν ἀντιστατεῖ 248
πλούτῳ; Τίς δὲ πρὸς δόξαν κονίεται; Τίς δὲ τι- P.
μῆς ἢ ἀρχῆς καταπεφρόνηκε σχεδὸν τῶν ἔτι φυρο-
μένων ἐν κεναῖς δόξαις; Οὐδὲ εἷς τὸ παράπαν. Ἀλλ᾽
ἕως μὲν οὐδὲν τούτων πάρεστιν, ὑψηγοροῦμεν ὡς
ὀλιγοδείας ἑταῖροι, τὸν αὐταρκέστατον καὶ δικαιότα-
τον καὶ ἐλευθέροις καὶ εὐγενέσιν ἁρμόττοντα περι-
ποιούσης βίον. Ἐπειδὰν δέ τινος τῶν εἰρημένων
ἐλπὶς, ἢ ἐλπίδος αὐτὸ μόνον αὔρα βραχεῖα κατα-
πνεύσῃ, διελεγχόμεθα· ὑπείκοντες γὰρ εὐθὺς ἐνδίδο-
μεν, καὶ ἀντιβῆναι καὶ ἀντισχεῖν οὐ δυνάμεθα. Προ-
δοθέντες δὲ ὑπὸ τῶν φίλων αἰσθήσεων, ὅλην τὴν
ψυχῆς συμμαχίαν ἐκλείπομεν, καὶ οὐκέτι λανθάνον-
τες ἀλλ᾽ ἤδη φανερῶς αὐτομολοῦμεν. Καὶ μήποτ᾽
εἰκότως. Ἔτι γὰρ ἡμῖν ἔθη τὰ γυναικῶν ἐπιπεπό-
λακεν, ῥύπῳ δυνηθεῖσι τὰ μὲν ἐκνίψασθαι, πρὸς δὲ
τὴν ἀνδρωνῖτιν μεταδραμεῖν ἑστίαν· καθάπερ λόγος
ἔχει τὴν φιλάρετον διάνοιαν, ὄνομα Σάῤῥαν. Αὕτη
γὰρ εἰςάγεται διὰ τῶν χρησμῶν "τὰ γυναικεῖα πάντ᾽
ἐκλιποῦσα," *) ἡνίκα τὸ αὐτομαθὲς γένος ὠδίνειν
καὶ ἀποτίκτειν ἔμελλεν, ἐπίκλησιν Ἰσαάκ. Λέγεται
δὲ καὶ ἀμήτωρ γενέσθαι, τὴν ἐκ πατρὸς, οὐ πρὸς
μητρὸς, αὐτὸ μόνον κληρωσαμένη συγγένειαν, θήλεος
γενεᾶς ἀμέτοχος. Εἶπε γάρ πού τις, "Καὶ γὰρ ἀλη-
366 θῶς ἀδελφή μού ἐστιν ἐκ πατρὸς, ἀλλ᾽ οὐκ ἐκ
M. μητρός" **)· οὐ γὰρ ἐξ ὕλης τῆς αἰσθητοῦ συνιστα-
μένης ἀεὶ καὶ λυομένης, ἣν μητέρα καὶ τροφὸν καὶ
τιθήνην τῶν ποιητῶν ἔφασαν, οἷς πρώτοις σοφίας

*) Gen. 18, 11. **) Gen. 20, 12.

ἀνεβλάστησεν ἔρνος, ἀλλ' ἐκ τοῦ πάντων αἰτίου καὶ πατρός. Αὕτη μὲν οὖν ὑπερκύψασα τὸν σωματοειδῆ πάντα κόσμον ὑπὸ τῆς ἐν θεῷ χαρᾶς γανωθεῖσα, γέλωτα τὰς ἀνθρώπων θήσεται σπουδὰς, ὅσαι περὶ τῶν κατὰ πόλεμον ἢ κατ' εἰρήνην πραγμάτων εἰσίν.

§. 15. *Ἡμεῖς δὴ ἔτι ὑπὸ τῆς ἀνάνδρου καὶ γυναικώδους συνηθείας τῆς περὶ τὰς αἰσθήσεις καὶ τὰ πάθη καὶ τὰ αἰσθητὰ, νικώμενοι, τῶν φανέντων οὐδενὸς κατεξαναστῆναι δυνάμεθα· πρὸς πάντων δὲ καὶ τῶν ἐπιτυχόντων, οἱ μὲν ἄκοντες, οἱ δὲ καὶ ἑκόντες ἑλκόμεθα. Καὶ ἂν τὸ στῖφος ἡμῶν τοῖς τοῦ πατρὸς ἐπιτάγμασιν ἀδυνατοῦν ὑπηρετεῖν ἁλίσκηται, σύμμαχον οὐδὲν ἧττον ἕξει τὴν μητέρα, παιδείαν μέσην· τὰ νομιζόμενα καὶ δοκοῦντα εἶναι δίκαια γράφουσαν κατὰ πόλεις, καὶ ἄλλα ἄλλοις νομοθετοῦσαν. Εἰσὶ δέ τινες, οἳ τῶν μητρῴων ὑπερορῶντες περιέχονται παντὶ σθένει τῶν πατρῴων, οὓς καὶ τῆς μεγίστης τιμῆς, ἱερωσύνης, ὁ ὀρθὸς λόγος ἠξίωσε. Καὶ ἐὰν τὰς πράξεις αὐτῶν διέλθωμεν, ἐφ' αἷς τὸ γέρας τοῦτο εὕραντο, χλεύην ἴσως παρὰ πολλοῖς ὀφλήσομεν, τοῖς ταῖς προχείροις φαντασίαις ἀπατωμένοις, τὰς δὲ ἀφανεῖς καὶ συνεσκιασμένας δυνά-* 249
μεις οὐ κατανοοῦσιν. Οἱ γὰρ εὐχὰς καὶ θυσίας καὶ P.
πᾶσαν τὴν περὶ τὸ ἱερὸν ἁγιστείαν ἐγχειρισθέντες εἰσὶ, τὸ παραδοξότατον, ἀνδροφόνοι, ἀδελφοκτόνοι, τῶν οἰκειοτάτων καὶ φιλτάτων σωμάτων αὐτόχειρες, οὓς ἐχρῆν καθαροὺς καὶ ἐκ καθαρῶν, μηδενὸς ἄγους προσαψαμένους ἑκουσίου μὲν, ἄπαγε, ἀλλὰ μηδ' ἀκουσίου χειροτονεῖσθαι. Λέγεται γὰρ, "Ἀποκτείνατε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἕκαστος τὸν πλησίον αὐτοῦ, καὶ ἕκαστος τὸν ἔγγιστα αὐτοῦ· καὶ ἐποίησαν οἱ υἱοὶ Λευΐ, καθὰ ἐλάλησε Μωϋσῆς· καὶ ἔπεσον ἐκ τοῦ λαοῦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ εἰς τρισχιλίους ἄνδρας." *) *Καὶ τοὺς τοσαύτην ἀνῃρηκότας*

---

*) Exod. 32, 27 sqq.

πληθὺν ἐπαινεῖ φάσκων, "Ἐπληρώσατε τὰς χεῖρας ἕκαστος σήμερον κυρίῳ ἐν τῷ υἱῷ, ἢ τῷ ἀδελφῷ, δοθῆναι ἐφ' ὑμᾶς εὐλογίαν."

§. 16. Τί οὖν λεκτέον, ἢ ὅτι οἱ τοιοῦτοι τοῖς μὲν κοινοῖς ἀνθρώπων ἔθεσιν ἁλίσκονται, κατήγορον ἔχοντες τὴν πολιτευομένην καὶ δημαγωγὸν μητέρα, συνήθειαν, τοῖς δὲ τῆς φύσεως διασώζονται, συμμάχῳ χρώμενοι ὀρθῷ λόγῳ, τῷ πατρί; Καὶ γὰρ οὐδ', ὥςπερ νομίζουσί τινες, ἀνθρώπους ἀναιροῦσιν οἱ ἱερεῖς, ζῶα λογικὰ ἐκ ψυχῆς καὶ σώματος συνεστῶτα, ἀλλ' ὅσα οἰκεῖα καὶ φίλα τῇ σαρκὶ ἀπο-
367 κόπτουσι τῆς διανοίας ἑαυτῶν· εὐπρεπὲς εἶναι νο-
M. μίζοντες τοῖς θεραπευταῖς τοῦ μόνου σοφοῦ γενησομένοις, πάντων ὅσα γένεσιν εἴληχεν ἀλλοτριοῦσθαι, καὶ πᾶσιν ὡς ἐχθροῖς καὶ δυςμενεστάτοις προςφέρεσθαι. Διὰ τοῦτο καὶ "ἀδελφὸν" οὐκ ἄνθρωπον ἀλλὰ τὸ ψυχῆς ἀδελφὸν σῶμα ἀποκτενοῦμεν, τουτέστι τοῦ φιλαρέτου καὶ θείου τὸ φιλοπαθὲς καὶ θνητὸν διαζεύξομεν. Ἀποκτενοῦμεν καὶ τὸν "πλησίον" πάλιν, οὐκ ἄνθρωπον, ἀλλὰ τὸν χορὸν καὶ θίασον. Οὗτος γὰρ ψυχῆς ἐστιν ὁμοῦ οἰκεῖος καὶ δυςμενής, δελέατα καὶ παγίδας ἐπ' αὐτὸ τιθεὶς, ἵνα τοῖς ἐπιῤῥέουσιν αἰσθητοῖς κατακλυζομένη, μηδέποτε πρὸς οὐρανὸν ἀνακύψῃ, εἰς τὸ τὰς καλὰς καὶ θεοειδεῖς φύσεις ἀσπάσασθαι. Ἀποκτενοῦμεν καὶ "τὸν ἔγγιστα." Ὁ δὲ ἐγγυτάτω διανοίας ὁ κατὰ προφορὰν ἐστι λόγος, εὐλόγοις καὶ εἰκόσι καὶ πιθανότησι δόξας ψευδεῖς ἐντιθεὶς, ἐπ' ὀλέθρῳ τοῦ κρατίστου κτήματος ἀληθείας.

§. 17. Διὰ τί οὖν οὐχὶ καὶ τοῦτον σοφιστὴν ὄντα καὶ μιαρὸν ἀμυνούμεθα, τὸν ἁρμόττοντα αὐτῷ καταψηφισάμενοι θάνατον, ἡσυχίαν — λόγου γὰρ ἡσυχία θάνατος —, ἵνα μηκέτ' ἐνσοφιστεύοντος ὁ νοῦς μεθέλκηται, δύνηται δὲ ἀπηλλαγμένος πάντως τῶν κατὰ τὸ "ἀδελφὸν" σῶμα ἡδονῶν, τῶν κατὰ τὰς "πλησίον" καὶ ἀγχιθύρους αἰσθήσεις γοητειῶν, τῶν

κατὰ τὸν "ἔγγιστα" λόγον σοφιστειῶν ἐλεύθερος καὶ
ἄφετος ἐαθεὶς καθαρῶς τοῖς νοητοῖς ἅπασιν ἐπιβάλ-
λειν; Οὗτός ἐστιν ὁ "λέγων τῷ πατρὶ καὶ τῇ μη-
τρὶ," τοῖς θνητοῖς γονεῦσιν, "οὐχ ἑώρακα ὑμᾶς," 250
ἀφ' οὗ τὰ θεῖα εἶδεν· ὁ "μὴ γνωρίζων τοὺς υἱούς," P.
ἀφ' οὗ γνώριμος σοφίας ἐγένετο· ὁ "ἀπογινώσκων
τοὺς ἀδελφούς," *) ἀφ' οὗ μὴ ἀπεγνώσθη παρὰ
θεῷ, ἀλλὰ σωτηρίας ἠξιώθη παντελοῦς. Οὗτός
ἐστιν ὁ "τὸν σειρομάστην λαβών," **) τουτέστιν ὁ
μαστεύσας καὶ ἀναζητήσας τὰ τῆς φθαρτῆς γενέσεως,
ἧς ἐν σιτίοις καὶ ποτοῖς τὸ εὔδαιμον τεθησαύρισται,
καὶ "εἰς τὴν κάμινον", ὥς φησι Μωϋσῆς, "εἰςελθὼν,"
τὸν καιόμενον καὶ φλεγόμενον ὑπερβολαῖς ἀδικημά-
των καὶ μηδέποτε σβεσθῆναι δυνάμενον ἀνθρώπων
βίον, καὶ ἔπειτα ἰσχύσας καὶ τὴν "γυναῖκα διὰ τῆς
μήτρας ἀνατεμεῖν," ὅτι αἰτία τοῦ γεννᾶν ἔδοξεν εἶ-
ναι πάσχουσα πρὸς ἀλήθειαν μᾶλλον ἢ δρῶσα, καὶ
πάντα "ἄνθρωπον" καὶ λογισμὸν τὸν ἐπακολουθή-
σαντα τῇδε τῇ δόξῃ τῇ τοῦ νόμου τῶν γινομένων
αἰτίου θεοῦ περιαπτούσῃ πάθη ταῖς οὐσίαις.

§. 18. Ἆρ' οὐχὶ καὶ οὗτος ἀνδροφόνος παρὰ
68 πολλοῖς ἂν εἶναι νομισθείη, τοῖς πρὸς γυναικῶν
I. ἔθεσιν ἁλισκόμενος; Ἀλλὰ παρά γε θεῷ τῷ πανη-
γεμόνι καὶ πατρὶ μυρίων ἐπαίνων καὶ ἐγκωμίων καὶ
ἀναφαιρέτων ἄθλων ἀξιωθήσεται. Τὰ δ' ἆθλα με-
γάλα καὶ ἀδελφὰ, εἰρήνη καὶ ἱερωσύνη. Τό τε γὰρ
τὴν ἐν τῷ σπουδαζομένῳ παρὰ πολλοῖς ἀνθρώποις
βίῳ δυςάλωτον στρατείαν, καὶ τὸν ἐν ψυχῇ τῶν
ἐπιθυμιῶν ἐμφύλιον πόλεμον καταλῦσαι δυνηθέντα,
εἰρήνην βεβαιώσασθαι, μέγα καὶ λαμπρόν· τό τε
ἔργον μηδὲν ἄλλο, μὴ πλοῦτον, μὴ δόξαν, μὴ τι-
μὴν, μὴ ἀρχὴν, μὴ κάλλος, μὴ ἰσχὺν, μὴ ὅσα σώ-
ματος πλεονεκτήματα, μηδ' αὖ γῆν, ἢ οὐρανὸν, ἢ
τὸν σύμπαντα κόσμον, ἀλλὰ τὸ πρεσβύτατον τῶν

---

*) Deut. 33, 9. **) Num. 25, 8.

αἰτίων, τὸν πρὸς ἀλήθειαν θεραπείας καὶ τῆς ἀνωτάτω τιμῆς ἄξιον ὄντα μόνον, τῆς ἱερωσύνης λαβεῖν τάξιν, θαυμαστὸν καὶ περιμάχητον. Ἀδελφὰ δ' ἔφην τὰ ἆθλα οὐκ ἄπο σκοποῦ, ἀλλ' εἰδὼς ὅτι οὔτ' ἂν ὁ ἱερεὺς γένοιτο πρὸς ἀλήθειαν, ἔτι την ἀνθρωπίνην καὶ θνητὴν στρατευόμενος στρατείαν, ἐν ᾗ ταγματαρχοῦσιν αἱ κεναὶ δόξαι· οὐδ' ἂν εἰρηνικὸς ἀνὴρ, μὴ τὸ μόνον ἀμέτοχον πολέμου καὶ τὴν αἰώνιον εἰρήνην ἄγων ἀψευδῶς καὶ ἁπλῶς θεραπεύων.

§. 19. Τοιοῦτοι μὲν εἰσιν οἱ τὸν πατέρα καὶ τὰ τοῦ πατρὸς τιμῶντες, μητρὸς δὲ καὶ τῶν ἐκείνης ἥκιστα φροντίζοντες. Τὸν δ' ἀμφοτέροις πολεμωθέντα τοῖς γονεῦσι διασυνίστησιν εἰςαγαγὼν λέγοντα, "Οὐκ οἶδα τὸν κύριον, τὸν Ἰσραὴλ οὐκ ἐξαποστέλλω." *) Οὗτος γὰρ ἔοικε καὶ τοῖς πρὸς θεὸν ὀρθῷ λόγῳ βραβευομένοις, καὶ τοῖς πρὸς γένεσιν παιδείᾳ βεβαιουμένοις ἐναντιοῦσθαι, καὶ συγχεῖν πάντα διὰ πάντων. Εἰσὶ δὲ καὶ ἔτι νῦν — οὔπω γὰρ τὸ ἀνθρώπων γένος τὴν ἄκρατον κακίαν ἐκαθήρατο — μήτε τῶν εἰς εὐσέβειαν μήτε τῶν εἰς κοινωνίαν 251
μηδὲν ἁπλῶς δρᾶν ἐγνωκότες, ἀλλὰ τὸ ἐναντίον ἀσε- P.
βείας μὲν καὶ ἀθεότητος ἑταῖροι, πρὸς δὲ τοὺς ὁμοίους ἄπιστοι. Καὶ περινοστοῦσιν αἱ μέγισται τῶν πόλεων κῆρες οὗτοι, τὰ ἴδια καὶ τὰ κοινὰ ὑπὸ φιλοπραγμοσύνης διέποντες, μᾶλλον δὲ, εἰ χρὴ τὸ ἀληθὲς εἰπεῖν, ἀνατρέποντες· οὓς ἐχρῆν, ὥςπερ μεγάλην νόσον, λιμὸν ἢ λοιμὸν, ἤ τι κακὸν ἄλλο θεήλατον, εὐχαῖς καὶ θυσίαις ἀποτρέπεσθαι· φθοραὶ γὰρ οὗτοι μεγάλαι τοῖς ἐντυχοῦσι. Παρ' ὃ καὶ Μωϋσῆς τὸν ὄλεθρον αὐτῶν ᾄδει, πρὸς τῆς ἰδίου συμμαχίας ἁλόντων, καὶ ὥςπερ τρικυμίαις ταῖς ἰδίαις δόξαις ἐγκαταποθέντων.

§. 20. Λέγωμεν τοίνυν ἑξῆς καὶ περὶ τῶν τούτοις μὲν ἐχθρῶν, παιδείαν δὲ καὶ ὀρθὸν λόγον ἐκ-

*) Exod. 5, 2.

τετιμηκότων, ὧν ἦσαν οἱ τῶν ἑτέρων γονέων προς-
369 κείμενοι τῇ ἀρετῇ, ἡμιτελεῖς χορευταί. Οὗτοι νῦν
M. καὶ νόμων οὓς ὁ πατὴρ, ὁ ὀρθὸς λόγος, ἔθηκεν ἄρι-
στοι φύλακες, καὶ ἐθῶν πιστοὶ ταμίαι, ἅπερ ἡ παιδεία, μήτηρ αὐτῶν, εἰςηγήσατο. Ἐδιδάχθησαν δὲ ὑπὸ μὲν ὀρθοῦ λόγου, πατρὸς, τὸν πατέρα τῶν ὅλων τιμᾶν, ὑπὸ δὲ παιδείας, τῆς μητρὸς, τῶν θέσει καὶ νομιζομένων παρὰ πᾶσιν εἶναι δικαίων μὴ ὀλιγωρεῖν. Ἡνίκα γοῦν ὁ ἀσκητὴς Ἰακὼβ καὶ τοὺς ἀρετῆς ἄθλους διαθλῶν ἔμελλεν ἀκοὰς ὀφθαλμῶν ἀντιδιδόναι, καὶ λόγους ἔργων, καὶ προκοπὰς τελειότητος, τοῦ φιλοδώρου θεοῦ βουληθέντος αὐτοῦ τὴν διάνοιαν ἐνομματῶσαι, ἵνα ταῦτ' ἐναργῶς ἴδῃ ἃ πρότερον ἀκοῇ παρελάμβανε — πιστοτέρα γὰρ ὄψις ὤτων — ὑπήχησαν οἱ χρησμοὶ, „Οὐ κληθήσεται τὸ ὄνομά σου Ἰακὼβ, ἀλλὰ Ἰσραὴλ ἔσται σου ὄνομα, ὅτι ἴσχυσας μετὰ θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατῶς." *) Ἰακὼβ μὲν οὖν μαθήσεως καὶ προκοπῆς ὄνομα, ἀκοῆς ἐξηρτημένων δυνάμεων, Ἰσραὴλ δὲ τελειότητος· ὅρασιν γὰρ θεοῦ μηνύει τὸ ὄνομα. Τελειότερον δὲ τί ἂν εἴη τῶν ἐν ἀρεταῖς, ἢ τὸ ὄντως ὂν ἰδεῖν; Ὁ δὴ κατιδὼν τὸ ἀγαθὸν τοῦτο, παρ' ἀμφοτέροις ἀνωμολόγηται τοῖς γονεῦσιν εὐδόκιμος, ἰσχὺν μὲν τὴν ἐν θεῷ δύναμιν δὲ τὴν παρὰ ἀνθρώποις εὑράμενος. Εὖ μοι δοκεῖ καὶ ἐν Παροιμίαις **) εἰρῆσθαι, „προνοοῦντων καλὰ ἐνώπιον κυρίου καὶ ἀνθρώπων," ἐπειδὰν δι' ἀμφοτέρων παντελὴς ἡ κτῆσις τοῦ ἀγαθοῦ περιγίνεται. Διδαχθεὶς γὰρ „φυλάσσειν νόμους" ***) πατρὸς, καὶ „μὴ ἀθετεῖσθαι θεσμοὺς μητρὸς," θαῤῥήσεις ἐπισεμνυνόμενος εἰπεῖν, „υἱὸς γὰρ ἐγενόμην καὶ ἐγὼ, πατρὶ ὑπήκοος, καὶ ἀγαπώμενος ἐν προσώπῳ μητρός.

§. 21. Ἀλλ' οὐκ ἔμελλες, εἴποιμ' ἂν αὐτῷ, στέργεσθαι, φυλάττων μὲν τὰ παρὰ γεννητοῖς καθεστῶτα

*) Gen. 32, 28. **) Prov. 3, 4. ***) Ib. 4, 3 sqq.

νόμιμα διὰ πόθον κοινωνίας, φυλάττων δὲ καὶ τοὺς τοῦ ἀγεννήτου θεσμοὺς δι' εὐσέβειας ἔρωτα καὶ ζῆλον; Τοιγάρτοι καὶ θεοπρόπος Μωϋσῆς διὰ τῆς τῶν κατὰ τὸν νεὼν δημιουργίας ἱερῶν τὴν ἐν ἀμφοτέ- 252
ροις τελειότητα διαδείξει. Οὐ γὰρ ἀπερισκέπτως P.
ἡμῖν τὴν κιβωτὸν ἔνδοθέν τε καὶ ἔξωθεν χρυσῷ περιαμπίσχει, οὐδὲ στολὰς τῷ ἀρχιερεῖ διττὰς ἀναδίδωσιν, οὐδὲ βωμοὺς δύο, τὸν μὲν ἔξω πρὸς τὰ ἱερεῖα, τὸν δὲ πρὸς τὸ ἐπιθυμιᾶν ἔνδον δημιουργεῖ· ἀλλὰ βουλόμενος διὰ συμβόλων τούτων τὰς καθ' ἑκάτερον εἶδος ἀρετὰς παραστῆσαι. Τὸν γὰρ σοφὸν καὶ ἐν τοῖς κατὰ ψυχὴν ἔνδον ἀοράτοις, καὶ ἐν τοῖς ἔξω περιφαινομένοις δεῖ τῇ παντὸς τιμιωτέρᾳ χρυσοῦ φρονήσει κεκοσμῆσθαι. Καὶ ὁπότε μὲν τῶν ἀνθρωπείων σπουδασμάτων ὑποκεχώρηκε, τὸ ὂν θεραπεύων μόνον, τὴν ἀποίκιλον ἀληθείας ἐνδύεσθαι στολήν,
370 ἧς οὐδὲν ἐφάψεται θνητόν. Καὶ γάρ ἐστι λεπτῆς
M. ὕλης ἐξ οὐδενὸς τῶν πεφυκότων ἀποθνήσκειν γεννωμένης. Ὁπότε δὲ μέτεισι πρὸς πολιτείαν, τὴν μὲν ἔνδον ἀποτίθεσθαι, ποικιλωτάτην δὲ καὶ ὀφθῆναι θαυμασιωτάτην ἑτέραν ἀναλαμβάνειν. Πολύτροπος γὰρ ὢν ὁ βίος ποικιλωτάτης δεῖται τῆς σοφίας τοῦ πηδάλιον σχήσοντος κυβερνήτου. Οὗτος κατὰ μὲν τὸν περιφανῆ βωμὸν ἢ βίον, καὶ δορᾶς καὶ σαρκῶν καὶ αἵματος καὶ πάντων ὅσα περὶ σῶμα δόξει πολλὴν ποιεῖσθαι πρόνοιαν, ὡς μὴ μυρίοις ἀπέχθοιτο κρίνουσιν τἀγαθὰ, μετὰ τὰ ψυχῆς, δευτερείοις τετιμημένα τὰ περὶ σῶμα· κατὰ δὲ τὸν ἔνδον, πᾶσιν ἀναίμοις, ἀσάρκοις, ἀσωμάτοις, τοῖς ἐκ λογισμοῦ μόνοις χρήσεται, ἃ λιβανωτῷ καὶ τοῖς ἐπιθυμιωμένοις ἀπεικάζεται. Ὡς γὰρ ταῦτα ῥῖνας, ἐκεῖνα τὸν ψυχῆς ἅπαντα χῶρον εὐωδίας ἀναπίμπλησι.

§. 22. Χρὴ μέντοι μηδὲ τοῦτ' ἀγνοεῖν, ὅτι ἡ σοφία τέχνη τεχνῶν οὖσα δοκεῖ μὲν ταῖς διαφόροις ὕλαις ἐναλλάττεσθαι, τὸ δὲ αὐτῆς ἀληθὲς εἶδος ἄτρεπτον ἐμφαίνει τοῖς ὀξυδορκοῦσι, καὶ μὴ τῷ πε-

ρικεχυμένῳ τῆς οὐσίας ὄγκῳ μεθελκομένοις, ἀλλὰ τὸν ἐνεσφραγισμένον ὑπὸ τῆς τέχνης αὐτῆς χαρακτῆρα διορῶσι. Τὸν ἀνδριαντοποιὸν Φειδίαν ἐκεῖνον καὶ χαλκὸν λαβόντα φασὶ καὶ ἐλέφαντα καὶ χρυσὸν καὶ ἄλλας διαφόρους ὕλας ἀνδριάντας ἀπεργάσασθαι, καὶ ἐν ἅπασι τούτοις μίαν καὶ τὴν αὐτὴν ἐνσημήνασθαι τέχνην· ὡς μὴ μόνον ἐπιστήμονας, ἀλλὰ καὶ λίαν ἰδιώτας τὸν δημιουργὸν ἀπὸ τῶν δημιουργηθέντων γνωρίσαι. Καθάπερ γὰρ ἐπὶ τῶν διδύμων ἡ φύσις χρησαμένη τῷ αὐτῷ πολλάκις χαρακτῆρι, παρὰ μικρὸν ἀπαραλλάκτους ὁμοιότητας ἐτύπωσε· τὸν αὐτὸν τρόπον καὶ ἡ τελεία τέχνη, μίμημα καὶ ἀπεικόνισμα φύσεως οὖσα, ὅταν διαφόρους ὕλας παραλάβῃ, σχηματίζει καὶ ἐνσφραγίζεται τὴν αὐτὴν ἁπάσαις ἰδέαν, ὡς ταύτῃ μάλιστα συγγενῆ καὶ ἀδελφὰ, καὶ δίδυμα τὰ δημιουργηθέντα γενέσθαι. Τὸ αὐτὸν οὖν καὶ ἡ ἐν τῷ σοφῷ δύναμις ἐπιδείξεται.
Πραγματευομένη γὰρ τὰ περὶ τοῦ ὄντος, εὐσέβεια 253
καὶ ὁσιότης ὀνομάζεται. Τὰ δὲ περὶ οὐρανοῦ καὶ P.
τῶν κατ᾽ αὐτὸν, φυσιολογία. Μετεωρολογικὴ δὲ, τὰ περὶ τὸν ἀέρα καὶ ὅσα κατὰ τὰς τροπὰς αὐτοῦ καὶ μεταβολὰς, ἔν τε ταῖς ὁλοσχερέσιν ἐτησίοις ὥραις, καὶ ταῖς ἐν μέρει κατά τε μηνῶν καὶ ἡμερῶν περιόδους, πέφυκε συνίστασθαι. Ἠθικὴ δὲ, τὰ πρὸς ἀνθρωπίνων ἐπανόρθωσιν ἠθῶν, ἧς ἰδέαι, πολιτική τε ἡ πρὸς πόλιν, καὶ ἡ πρὸς οἰκίαν ἐπι-
71 μέλεια, οἰκονομικὴ, συμποτική τε ἡ περὶ τὰ
I. συμπόσια καὶ τὰς εὐωχίας. Ἔτι δ᾽ αὖ ἡ μὲν περὶ ἀνθρώπων ἐπιστασίαν βασιλικὴ, ἡ δὲ περὶ προστάξεις καὶ ἀπαγορεύσεις, νομοθετική. Πάντα γὰρ ταῦτα ὁ πολύφημος ὡς ἀληθῶς καὶ πολυώνυμος σοφὸς κεχώρηκεν, εὐσέβειαν, ὁσιότητα, φυσιολογίαν, μετεωρολογίαν, ἠθοποιΐαν, πολιτείαν, οἰκονομίαν, βασιλικὴν, νομοθετικὴν, ἄλλας μυρίας δυνάμεις, καὶ ἐν ἁπάσαις ἓν εἶδος καὶ τὸ αὐτὸν ἔχων ὀφθήσεται.

§. 23. *Διειλεγμένοι δὲ περὶ τῶν ἐν τοῖς ἐκγόνοις τεττάρων τάξεων, οὐκ ἂν οὐδὲ ἐκεῖνο παρίδοιμεν, ὃ γένοιτ' ἂν τῆς διαιρέσεως καὶ τομῆς τῶν κεφαλαίων ἐναργεστάτη πίστις. Τοῦ γὰρ μετεωρισθέντος καὶ φυσηθέντος ὑπ' ἀνοίας παιδὸς, οἱ γονεῖς τὸν τρόπον τοῦτον κατηγόρησαν εἰπόντες, "ὁ υἱὸς ἡμῶν οὗτος*)," δεικνύντες τὸν ἀπειθῆ καὶ ἀπαυχενίζοντα. Διὰ γὰρ τῆς δείξεως τῆς "οὗτος" ἐμφαίνουσιν ὅτι καὶ ἑτέρους ἐγέννησαν, τοὺς μὲν τῷ ἑτέρῳ, τοὺς δ' ἀμφοτέροις καταπειθεῖς, λογισμοὺς εὐφυεῖς, ὧν παράδειγμα Ῥουβίμ· φιληκόους καὶ φιλομαθεῖς ἑτέρους, ὧν ἐστι Συμεὼν, ἀκοὴ γὰρ οὗτος ἑρμηνεύεται· πρόσφυγας καὶ ἱκέτας θεοῦ, Λευϊτῶν ὁ θίασος οὗτος· τὸν εὐχαριστικὸν ὕμνον ᾄδοντας οὐ γεγωνῷ φωνῇ μᾶλλον ἢ διανοίᾳ, ὧν ἔξαρχος Ἰούδας· διὰ τὴν μετὰ πόνων ἀρετῆς κτῆσιν ἑκούσιον μισθῶν καὶ δωρεῶν ἂν ἀξιωθέντας, ὥςπερ Ἰσσάχαρ· μεταναστὰς ἀπὸ τῆς Χαλδαϊκῆς μετεωρολογικῆς θεωρίας γεγονότας εἰς τὴν περὶ τοῦ ἀγεννήτου σκέψιν, ὡς Ἀβραάμ· αὐτήκοον καὶ αὐτομαθῆ κτησαμένους ἀρετὴν, ὥςπερ Ἰσαάκ· λήμματος καὶ ἰσχύος πλήρεις καὶ φίλους τῷ θεῷ, καθάπερ Μωϋσῆν τὸν τελειότατον.*

§. 24. *Εἰκότως οὖν τὸν ἀπειθῆ καὶ ἐρεθιστὴν καὶ συμβολὰς εἰςφέροντα, τουτέστι συμβάλλοντα καὶ συνάπτοντα ἁμαρτήματα ἁμαρτήμασι, μεγάλα μικροῖς, νέα παλαιοῖς, ἑκούσια ἀκουσίοις, καὶ ὥςπερ ὑπ' οἴνου φλεγόμενον, ἄληκτον καὶ ἀνεπίσχετον μέθην τοῦ βίου παντὸς καταμεθύοντα καὶ παροινοῦντα, διὰ τὸ τοῦ τῆς ἀφροσύνης πόματος ἀκράτου καὶ πολλοῦ σπάσαι, καταλεύειν ὁ ἱερὸς λόγος δικαιοῖ· ὅτι καὶ τὰς ὀρθοῦ λόγου προςτάξεις τοῦ πατρὸς, καὶ τὰς παιδείας τῆς μητρὸς νομίμους* 254
ὑφηγήσεις ἀνεῖλε· καὶ παράδειγμα ἔχων τὸ καλοκά- P.

---

*) Deut. 21, 19 sqq.

γαθίας, τοὺς τοῖς γονεῦσιν εὐδοκίμους ἀδελφοὺς, τὴν τούτων ἀρετὴν οὐκ ἐμιμήσατο, τὸ ἐναντίον δὲ καὶ προςεπιβαίνειν ἠξίωσεν, ὡς θεοπλαστεῖν μὲν τὸ σῶμα, θεοπλαστεῖν δὲ τὸν παρὰ Αἰγυπτίοις μάλιστα
372 τιμώμενον Τῦφον, οὗ σύμβολον ἡ τοῦ χρυσοῦ
M. ταύρου κατασκευή· περὶ ὃν χοροὺς ἱστάντες οἱ φρενοβλαβεῖς ᾄδουσι καὶ ἐξάρχουσιν, οὐ παροίνιον καὶ κωμαστικὸν, οἷα ἐν ἑορταῖς καὶ θαλείαις ἥδιστον μέλος, ἀλλὰ τὸν ὡς ἐπὶ τεθνεῶσιν ἀληθῆ θρῆνον αὑτῶν, ὥςπερ ἔξοινοι καὶ τῆς ψυχῆς τὸν τόνον ὑπεκλύσαντές τε καὶ φθείραντες. Λέγεται γὰρ ὅτι ἀκούσας Ἰησοῦς τοῦ λαοῦ κεκραγότων, εἶπε πρὸς Μωϋσῆν, "Φωνὴ πολέμου ἐν τῇ παρεμβολῇ· καὶ λέγει, οὐκ ἔστι φωνὴ ἐξαρχόντων κατ᾽ ἰσχὺν, οὐδὲ φωνὴ ἐξαρχόντων τροπῆς, ἀλλὰ φωνὴν ἐξαρχόντων οἴνου ἐγὼ ἀκούω· καὶ ἡνίκα ἤγγιζε τῇ παρεμβολῇ, ὁρᾷ τὸν μόσχον καὶ τοὺς χορούς *)." Ἃ δὲ διὰ τούτων αἰνίττεται, παραστήσομεν ὡς ἂν οἷοί τε ὦμεν.

§. 25. Τὰ περὶ ἡμᾶς τοτὲ μὲν ἠρεμεῖ, τοτὲ δὲ ὁρμαῖς καὶ ἐκβοήσεσιν ἀκαίροις ὡςανεὶ χρῆται. Καὶ ἔστι μὲν ἡσυχία τούτων εἰρήνη βαθεῖα, τὰ δὲ ἐναντία πόλεμος ἄσπονδος. Μάρτυς δὲ ὁ πεπονθὼς ἀψευδέστατος. Ἀκούσας γὰρ τῆς φωνῆς τοῦ λαοῦ κεκραγότων, λέγει πρὸς τὸν σκεπτικὸν καὶ ἐπίσκοπον τῶν πραγμάτων, "φωνὴ πολέμου ἐν τῇ παρεμβολῇ." Ἕως μὲν γὰρ οὐκ ἐκινοῦντο καὶ ἐκεκράγεσαν ἐν ἡμῖν αἱ ἄλογοι ὁρμαὶ, σταθερώτερον ὁ νοῦς ἵδρυτο· ἐπειδὰν δὲ ἤρξαντο πολύφωνον καὶ πολύηχον ἀπεργάζεσθαι τὸ ψυχῆς χωρίον, τὰ πάθη συγκαλοῦσαι καὶ ἀνεγείρουσαι, στάσιν ἐμφύλιον ἐγέννησαν. Ἐν δὲ τῷ στρατοπέδῳ ὁ πόλεμος· φυσικώτατα. Ποῦ γὰρ ἀλλαχόθι ἔριδες, μάχαι, φιλονεικίαι, πάνθ᾽ ὅσα ἔργα ἀκαθαιρέτου πολέμου, πλὴν

*) Exod. 32, 17 sq.

σις καὶ ἐῤῥωμένου καὶ ἄῤῥενος ὡς ἀληθῶς λογισμοῦ
ἕπεσθαι φύσει.

§. 14. Καταπέπληγμαι δὲ τὸ ἀψευδὲς τῆς ψυ-
χῆς τῆς ἐν τοῖς ἑαυτῆς διαλόγοις ὁμολογούσης, ὅτι
οὐ δύναται τῶν φαινομένων ἀγαθῶν κατεξαναστῆναι,
ἀλλ' ἕκαστον αὐτῶν τέθηπε καὶ τιμᾷ, καὶ μονονοὺχ
ἑαυτῆς προκέκρικεν. Ἐπεὶ τίς ἡμῶν ἀντιστατεῖ 248
πλούτῳ; Τίς δὲ πρὸς δόξαν κονίεται; Τίς δὲ τι- P.
μῆς ἢ ἀρχῆς καταπεφρόνηκε σχεδὸν τῶν ἔτι φυρο-
μένων ἐν κεναῖς δόξαις; Οὐδὲ εἷς τὸ παράπαν. Ἀλλ'
ἕως μὲν οὐδὲν τούτων πάρεστιν, ὑψηγοροῦμεν ὡς
ὀλιγοδείας ἑταῖροι, τὸν αὐταρκέστατον καὶ δικαιότα-
τον καὶ ἐλευθέροις καὶ εὐγενέσιν ἁρμόττοντα περι-
ποιούσης βίον. Ἐπειδὰν δέ τινος τῶν εἰρημένων
ἐλπὶς, ἢ ἐλπίδος αὐτὸ μόνον αὔρα βραχεῖα κατα-
πνεύσῃ, διελεγχόμεθα· ὑπείκοντες γὰρ εὐθὺς ἐνδίδο-
μεν, καὶ ἀντιβῆναι καὶ ἀντισχεῖν οὐ δυνάμεθα. Προ-
δοθέντες δὲ ὑπὸ τῶν φίλων αἰσθήσεων, ὅλην τὴν
ψυχῆς συμμαχίαν ἐκλείπομεν, καὶ οὐκέτι λανθάνον-
τες ἀλλ' ἤδη φανερῶς αὐτομολοῦμεν. Καὶ μήποτ'
εἰκότως. Ἔτι γὰρ ἡμῖν ἔθη τὰ γυναικῶν ἐπιπεπό-
λακεν, ῥύπῳ δυνηθεῖσι τὰ μὲν ἐκνίψασθαι, πρὸς δὲ
τὴν ἀνδρωνῖτιν μεταδραμεῖν ἑστίαν· καθάπερ λόγος
ἔχει τὴν φιλάρετον διάνοιαν, ὄνομα Σάῤῥαν. Αὕτη
γὰρ εἰσάγεται διὰ τῶν χρησμῶν "τὰ γυναικεῖα πάντ'
ἐκλιποῦσα," *) ἡνίκα τὸ αὐτομαθὲς γένος ὠδίνειν
καὶ ἀποτίκτειν ἔμελλεν, ἐπίκλησιν Ἰσαάκ. Λέγεται
δὲ καὶ ἀμήτωρ γενέσθαι, τὴν ἐκ πατρὸς, οὐ πρὸς
μητρὸς, αὐτὸ μόνον κληρωσαμένη συγγένειαν, θήλεος
γενεᾶς ἀμέτοχος. Εἶπε γάρ πού τις, "Καὶ γὰρ ἀλη-
366 θῶς ἀδελφή μού ἐστιν ἐκ πατρὸς, ἀλλ' οὐκ ἐκ
M. μητρός" **)· οὐ γὰρ ἐξ ὕλης τῆς αἰσθητοῦ συνιστα-
μένης ἀεὶ καὶ λυομένης, ἣν μητέρα καὶ τροφὸν καὶ
τιθηνὴν τῶν ποιητῶν ἔφασαν, οἷς πρώτοις σοφίας

*) Gen. 18, 11. **) Gen. 20, 12.

ἀνεβλάστησεν ἔρνος, ἀλλ' ἐκ τοῦ πάντων αἰτίου καὶ πατρός. Αὕτη μὲν οὖν ὑπερκύψασα τὸν σωματοειδῆ πάντα κόσμον ὑπὸ τῆς ἐν θεῷ χαρᾶς γανωθεῖσα, γέλωτα τὰς ἀνθρώπων θήσεται σπουδὰς, ὅσαι περὶ τῶν κατὰ πόλεμον ἢ κατ' εἰρήνην πραγμάτων εἰσίν.

§. 15. Ἡμεῖς δὴ ἔτι ὑπὸ τῆς ἀνάνδρου καὶ γυναικώδους συνηθείας τῆς περὶ τὰς αἰσθήσεις καὶ τὰ πάθη καὶ τὰ αἰσθητὰ, νικώμενοι, τῶν φανέντων οὐδενὸς κατεξαναστῆναι δυνάμεθα· πρὸς πάντων δὲ καὶ τῶν ἐπιτυχόντων, οἱ μὲν ἄκοντες, οἱ δὲ καὶ ἑκόντες ἑλκόμεθα. Καὶ ἂν τὸ στῖφος ἡμῶν τοῖς τοῦ πατρὸς ἐπιτάγμασιν ἀδυνατοῦν ὑπηρετεῖν ἁλίσκηται, σύμμαχον οὐδὲν ἧττον ἕξει τὴν μητέρα, παιδείαν μέσην· τὰ νομιζόμενα καὶ δοκοῦντα εἶναι δίκαια γράφουσαν κατὰ πόλεις, καὶ ἄλλα ἄλλοις νομοθετοῦσαν. Εἰσὶ δέ τινες, οἳ τῶν μητρῴων ὑπερορῶντες περιέχονται παντὶ σθένει τῶν πατρῴων, οὓς καὶ τῆς μεγίστης τιμῆς, ἱερωσύνης, ὁ ὀρθὸς λόγος ἠξίωσε. Καὶ ἐὰν τὰς πράξεις αὐτῶν διέλθωμεν, ἐφ' αἷς τὸ γέρας τοῦτο εὕραντο, χλεύην ἴσως παρὰ πολλοῖς ὀφλήσομεν, τοῖς ταῖς προχείροις φαντασίαις ἀπατωμένοις, τὰς δὲ ἀφανεῖς καὶ συνεσκιασμένας δυνάμεις οὐ κατανοοῦσιν. Οἱ γὰρ εὐχὰς καὶ θυσίας καὶ πᾶσαν τὴν περὶ τὸ ἱερὸν ἁγιστείαν ἐγχειρισθέντες εἰσὶ, τὸ παραδοξότατον, ἀνδροφόνοι, ἀδελφοκτόνοι, τῶν οἰκειοτάτων καὶ φιλτάτων σωμάτων αὐτόχειρες, οὓς ἐχρῆν καθαροὺς καὶ ἐκ καθαρῶν, μηδενὸς ἄγους προσαψαμένους ἑκουσίου μὲν, ἄπαγε, ἀλλὰ μηδ' ἀκουσίου χειροτονεῖσθαι. Λέγεται γὰρ, "Ἀποκτείνατε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἕκαστος τὸν πλησίον αὐτοῦ, καὶ ἕκαστος τὸν ἔγγιστα αὐτοῦ· καὶ ἐποίησαν οἱ υἱοὶ Λευΐ, καθὰ ἐλάλησε Μωϋσῆς· καὶ ἔπεσον ἐκ τοῦ λαοῦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ εἰς τρισχιλίους ἄνδρας." *) Καὶ τοὺς τοσαύτην ἀνῃρηκότας 249 P.

*) Exod. 32, 27 sqq.

πληθὺν ἐπαινεῖ φάσκων, “Ἐπληρώσατε τὰς χεῖρας ἕκαστος σήμερον κυρίῳ ἐν τῷ υἱῷ, ἢ τῷ ἀδελφῷ, δοθῆναι ἐφ' ὑμᾶς εὐλογίαν.”

§. 16. *Τί οὖν λεκτέον*, ἢ ὅτι οἱ τοιοῦτοι τοῖς μὲν κοινοῖς ἀνθρώπων ἔθεσιν ἁλίσκονται, κατήγορον ἔχοντες τὴν πολιτευομένην καὶ δημαγωγὸν μητέρα, συνήθειαν, τοῖς δὲ τῆς φύσεως διασώζονται, συμμάχῳ χρώμενοι ὀρθῷ λόγῳ, τῷ πατρί; Καὶ γὰρ οὐδ', ὥςπερ νομίζουσί τινες, ἀνθρώπους ἀναιροῦσιν οἱ ἱερεῖς, ζῶα λογικὰ ἐκ ψυχῆς καὶ σώματος συνεστῶτα, ἀλλ' ὅσα οἰκεῖα καὶ φίλα τῇ σαρκὶ ἀπο-
367 κόπτουσι τῆς διανοίας ἑαυτῶν· εὐπρεπὲς εἶναι νο-
M. μίζοντες τοῖς θεραπευταῖς τοῦ μόνου σοφοῦ γενησομένοις, πάντων ὅσα γένεσιν εἴληχεν ἀλλοτριοῦσθαι, καὶ πᾶσιν ὡς ἐχθροῖς καὶ δυςμενεστάτοις προςφέρεσθαι. Διὰ τοῦτο καὶ “ἀδελφὸν” οὐκ ἄνθρωπον ἀλλὰ τὸ ψυχῆς ἀδελφὸν σῶμα ἀποκτενοῦμεν, τουτέστι τοῦ φιλαρέτου καὶ θείου τὸ φιλοπαθὲς καὶ θνητὸν διαζεύξομεν. Ἀποκτενοῦμεν καὶ τὸν “πλησίον” πάλιν, οὐκ ἄνθρωπον, ἀλλὰ τὸν χορὸν καὶ θίασον. Οὗτος γὰρ ψυχῆς ἐστιν ὁμοῦ οἰκεῖος καὶ δυςμενής, δελέατα καὶ παγίδας ἐπ' αὐτὸ τιθεὶς, ἵνα τοῖς ἐπιῤῥέουσιν αἰσθητοῖς κατακλυζομένη, μηδέποτε πρὸς οὐρανὸν ἀνακύψῃ, εἰς τὸ τὰς καλὰς καὶ θεοειδεῖς φύσεις ἀσπάσασθαι. Ἀποκτενοῦμεν καὶ “τὸν ἔγγιστα.” Ὁ δὲ ἐγγυτάτω διανοίας ὁ κατὰ προφορὰν ἐστι λόγος, εὐλόγοις καὶ εἰκόσι καὶ πιθανότησι δόξας ψευδεῖς ἐντιθεὶς, ἐπ' ὀλέθρῳ τοῦ κρατίστου κτήματος ἀληθείας.

§. 17. Διὰ τί οὖν οὐχὶ καὶ τοῦτον σοφιστὴν ὄντα καὶ μιαρὸν ἀμυνούμεθα, τὸν ἁρμόττοντα αὐτῷ καταψηφισάμενοι θάνατον, ἡσυχίαν — λόγου γὰρ ἡσυχία θάνατος —, ἵνα μηκέτ' ἐνσοφιστεύοντος ὁ νοῦς μεθέλκηται, δύνηται δὲ ἀπηλλαγμένος πάντως τῶν κατὰ τὸ “ἀδελφὸν” σῶμα ἡδονῶν, τῶν κατὰ τὰς “πλησίον” καὶ ἀγχιθύρους αἰσθήσεις γοητειῶν, τῶν

κατὰ τὸν "ἔγγιστα" λόγον σοφιστειῶν ἐλεύθερος καὶ
ἄφετος ἐαθεὶς καθαρῶς τοῖς νοητοῖς ἅπασιν ἐπιβάλ-
λειν; Οὗτός ἐστιν ὁ "λέγων τῷ πατρὶ καὶ τῇ μη-
τρὶ," τοῖς θνητοῖς γονεῦσιν, "οὐχ ἑώρακα ὑμᾶς," 250
ἀφ' οὗ τὰ θεῖα εἶδον· ὁ "μὴ γνωρίζων τοὺς υἱούς," P.
ἀφ' οὗ γνώριμος σοφίας ἐγένετο· ὁ "ἀπογινώσκων
τοὺς ἀδελφούς," *) ἀφ' οὗ μὴ ἀπεγνώσθη παρὰ
θεῷ, ἀλλὰ σωτηρίας ἠξιώθη παντελοῦς. Οὗτός
ἐστιν ὁ "τὸν σειρομάστην λαβών," **) τουτέστιν ὁ
μαστεύσας καὶ ἀναζητήσας τὰ τῆς φθαρτῆς γενέσεως,
ἧς ἐν σιτίοις καὶ ποτοῖς τὸ εὔδαιμον τεθησαύρισται,
καὶ "εἰς τὴν κάμινον", ὥς φησι Μωϋσῆς, "εἰςελθὼν,"
τὸν καιόμενον καὶ φλεγόμενον ὑπερβολαῖς ἀδικημά-
των καὶ μηδέποτε σβεσθῆναι δυνάμενον ἀνθρώπων
βίον, καὶ ἔπειτα ἰσχύσας καὶ τὴν "γυναῖκα διὰ τῆς
μήτρας ἀνατεμεῖν," ὅτι αἰτία τοῦ γεννᾶν ἔδοξεν εἶ-
ναι πάσχουσα πρὸς ἀλήθειαν μᾶλλον ἢ δρῶσα, καὶ
πάντα "ἄνθρωπον" καὶ λογισμὸν τὸν ἐπακολουθή-
σαντα τῇδε τῇ δόξῃ τῇ τοῦ νόμου τῶν γινομένων
αἰτίου θεοῦ περιαπτούσῃ πάθη ταῖς οὐσίαις.

§. 18. Ἆρ' οὐχὶ καὶ οὗτος ἀνδροφόνος παρὰ
168 πολλοῖς ἂν εἶναι νομισθείη, τοῖς πρὸς γυναικῶν
I. ἔθεσιν ἁλισκόμενος; Ἀλλὰ παρά γε θεῷ τῷ πανη-
γεμόνι καὶ πατρὶ μυρίων ἐπαίνων καὶ ἐγκωμίων καὶ
ἀναφαιρέτων ἄθλων ἀξιωθήσεται. Τὰ δ' ἆθλα με-
γάλα καὶ ἀδελφὰ, εἰρήνη καὶ ἱερωσύνη. Τό τε γὰρ
τὴν ἐν τῷ σπουδαζομένῳ παρὰ πολλοῖς ἀνθρώποις
βίῳ δυςάλωτον στρατείαν, καὶ τὸν ἐν ψυχῇ τῶν
ἐπιθυμιῶν ἐμφύλιον πόλεμον καταλῦσαι δυνηθέντα,
εἰρήνην βεβαιώσασθαι, μέγα καὶ λαμπρόν· τό τε
ἔργον μηδὲν ἄλλο, μὴ πλοῦτον, μὴ δόξαν, μὴ τι-
μὴν, μὴ ἀρχὴν, μὴ κάλλος, μὴ ἰσχὺν, μὴ ὅσα σώ-
ματος πλεονεκτήματα, μηδ' αὖ γῆν, ἢ οὐρανὸν, ἢ
τὸν σύμπαντα κόσμον, ἀλλὰ τὸ πρεσβύτατον τῶν

*) Deut. 33, 9. **) Num. 25, 8.

αἰτίων, τὸν πρὸς ἀλήθειαν θεραπείας καὶ τῆς ἀνωτάτω τιμῆς ἄξιον ὄντα μόνον, τῆς ἱερωσύνης λαβεῖν τάξιν, θαυμαστὸν καὶ περιμάχητον. Ἀδελφὰ δ' ἔφην τὰ ἆθλα οὐκ ἄπο σκοποῦ, ἀλλ' εἰδὼς ὅτι οὔτ' ἂν ὁ ἱερεὺς γένοιτο πρὸς ἀλήθειαν, ἔτι την ἀνθρωπίνην καὶ θνητὴν στρατευόμενος στρατείαν, ἐν ᾗ ταγματαρχοῦσιν αἱ κεναὶ δόξαι· οὐδ' ἂν εἰρηνικὸς ἀνὴρ, μὴ τὸ μόνον ἀμέτοχον πολέμου καὶ τὴν αἰώνιον εἰρήνην ἄγων ἀψευδῶς καὶ ἁπλῶς θεραπεύων.

§. 19. Τοιοῦτοι μὲν εἰσιν οἱ τὸν πατέρα καὶ τὰ τοῦ πατρὸς τιμῶντες, μητρὸς δὲ καὶ τῶν ἐκείνης ἥκιστα φροντίζοντες. Τὸν δ' ἀμφοτέροις πολεμωθέντα τοῖς γονεῦσι διασυνίστησιν εἰςαγαγὼν λέγοντα, "Οὐκ οἶδα τὸν κύριον, τὸν Ἰσραὴλ οὐκ ἐξαποστέλλω." *) Οὗτος γὰρ ἔοικε καὶ τοῖς πρὸς θεὸν ὀρθῷ λόγῳ βραβευομένοις, καὶ τοῖς πρὸς γένεσιν παιδείᾳ βεβαιουμένοις ἐναντιοῦσθαι, καὶ συγχεῖν πάντα διὰ πάντων. Εἰσὶ δὲ καὶ ἔτι νῦν — οὔπω γὰρ τὸ ἀνθρώπων γένος τὴν ἄκρατον κακίαν ἐκαθήρατο — μήτε τῶν εἰς εὐσέβειαν μήτε τῶν εἰς κοινωνίαν 251 P.
μηδὲν ἁπλῶς δρᾷν ἐγνωκότες, ἀλλὰ τὸ ἐναντίον ἀσεβείας μὲν καὶ ἀθεότητος ἑταῖροι, πρὸς δὲ τοὺς ὁμοίους ἄπιστοι. Καὶ περινοστοῦσιν αἱ μέγισται τῶν πόλεων κῆρες οὗτοι, τὰ ἴδια καὶ τὰ κοινὰ ὑπὸ φιλοπραγμοσύνης διέποντες, μᾶλλον δὲ, εἰ χρὴ τὸ ἀληθὲς εἰπεῖν, ἀνατρέποντες· οὓς ἐχρῆν, ὥςπερ μεγάλην νόσον, λιμὸν ἢ λοιμὸν, ἤ τι κακὸν ἄλλο θεήλατον, εὐχαῖς καὶ θυσίαις ἀποτρέπεσθαι· φθοραὶ γὰρ οὗτοι μεγάλαι τοῖς ἐντυχοῦσι. Παρ' ὃ καὶ Μωϋσῆς τὸν ὄλεθρον αὐτῶν ᾄδει, πρὸς τῆς ἰδίου συμμαχίας ἁλόντων, καὶ ὥςπερ τρικυμίαις ταῖς ἰδίαις δόξαις ἐγκαταποθέντων.

§. 20. Λέγωμεν τοίνυν ἑξῆς καὶ περὶ τῶν τούτοις μὲν ἐχθρῶν, παιδείαν δὲ καὶ ὀρθὸν λόγον ἐκ-

*) Exod. 5, 2.

τετιμηκότων, ὧν ἦσαν οἱ τῶν ἑτέρων γονέων προς-
369 κείμενοι τῇ ἀρετῇ, ἡμιτελεῖς χορευταί. Οὗτοι νῦν
M. καὶ νόμων οὓς ὁ πατὴρ, ὁ ὀρθὸς λόγος, ἔθηκεν ἄρι-
στοι φύλακες, καὶ ἐθῶν πιστοὶ ταμίαι, ἅπερ ἡ παι-
δεία, μήτηρ αὐτῶν, εἰςηγήσατο. Ἐδιδάχθησαν δὲ
ὑπὸ μὲν ὀρθοῦ λόγου, πατρὸς, τὸν πατέρα τῶν
ὅλων τιμᾶν, ὑπὸ δὲ παιδείας, τῆς μητρὸς, τῶν θέσει
καὶ νομιζομένων παρὰ πᾶσιν εἶναι δικαίων μὴ ὀλιγω-
ρεῖν. Ἡνίκα γοῦν ὁ ἀσκητὴς Ἰακὼβ καὶ τοὺς ἀρετῆς
ἄθλους διαθλᾶν ἔμελλεν ἀκοὰς ὀφθαλμῶν ἀντιδιδόναι,
καὶ λόγους ἔργων, καὶ προκοπὰς τελειότητος, τοῦ
φιλοδώρου θεοῦ βουληθέντος αὐτοῦ τὴν διάνοιαν
ἐνομματῶσαι, ἵνα ταῦτ' ἐναργῶς ἴδῃ ἃ πρότερον
ἀκοῇ παρελάμβανε — πιστοτέρα γὰρ ὄψις ὤτων —
ὑπήχησαν οἱ χρησμοὶ, "Οὐ κληθήσεται τὸ ὄνομά
σου Ἰακὼβ, ἀλλὰ Ἰσραὴλ ἔσται σου ὄνομα, ὅτι
ἴσχυσας μετὰ θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατῶς." *)
Ἰακὼβ μὲν οὖν μαθήσεως καὶ προκοπῆς ὄνομα,
ἀκοῆς ἐξηρτημένων δυνάμεων, Ἰσραὴλ δὲ τελειότη-
τος· ὅρασιν γὰρ θεοῦ μηνύει τὸ ὄνομα. Τελειότε-
ρον δὲ τί ἂν εἴη τῶν ἐν ἀρεταῖς, ἢ τὸ ὄντως ὂν
ἰδεῖν; Ὁ δὴ κατιδὼν τὸ ἀγαθὸν τοῦτο, παρ' ἀμ-
φοτέροις ἀνωμολόγηται τοῖς γονεῦσιν εὐδόκιμος, ἰσχὺν
μὲν τὴν ἐν θεῷ δύναμιν δὲ τὴν παρὰ ἀνθρώποις
εὑράμενος. Εὖ μοι δοκεῖ καὶ ἐν Παροιμίαις **) εἰ-
ρῆσθαι, "προνοοῦντων καλὰ ἐνώπιον κυρίου καὶ ἀν-
θρώπων," ἐπειδὰν δι' ἀμφοτέρων παντελὴς ἡ κτῆσις
τοῦ ἀγαθοῦ περιγίνεται. Διδαχθεὶς γὰρ "φυλάσσειν
νόμους" ***) πατρὸς, καὶ "μὴ ἀθετεῖσθαι θεσμοὺς
μητρὸς," θαῤῥήσεις ἐπισεμνυνόμενος εἰπεῖν, "υἱὸς
γὰρ ἐγενόμην καὶ ἐγὼ, πατρὶ ὑπήκοος, καὶ ἀγαπώ-
μενος ἐν προςώπῳ μητρός.

§. 21. Ἀλλ' οὐκ ἔμελλες, εἴποιμ' ἂν αὐτῷ, στέρ-
γεσθαι, φυλάττων μὲν τὰ παρὰ γεννητοῖς καθεστῶτα

*) Gen. 32, 28. **) Prov. 3, 4. ***) Ib. 4, 3 sqq.

νόμιμα διὰ πόθον κοινωνίας, φυλάττων δὲ καὶ τοὺς
τοῦ ἀγεννήτου θεσμοὺς δι' εὐσεβείας ἔρωτα καὶ ζῆ-
λον; Τοιγάρτοι καὶ θεοπρόπος Μωϋσῆς διὰ τῆς τῶν
κατὰ τὸν νεὼν δημιουργίας ἱερῶν τὴν ἐν ἀμφοτέ- 252
ροις τελειότητα διαδείξει. Οὐ γὰρ ἀπερισκέπτως P.
ἡμῖν τὴν κιβωτὸν ἔνδοθέν τε καὶ ἔξωθεν χρυσῷ πε-
ριαμπίσχει, οὐδὲ στολὰς τῷ ἀρχιερεῖ διττὰς ἀναδί-
δωσιν, οὐδὲ βωμοὺς δύο, τὸν μὲν ἔξω πρὸς τὰ ἱε-
ρεῖα, τὸν δὲ πρὸς τὸ ἐπιθυμιᾶν ἔνδον δημιουργεῖ·
ἀλλὰ βουλόμενος διὰ συμβόλων τούτων τὰς καθ'
ἑκάτερον εἶδος ἀρετὰς παραστῆσαι. Τὸν γὰρ σοφὸν
καὶ ἐν τοῖς κατὰ ψυχὴν ἔνδον ἀοράτοις, καὶ ἐν τοῖς
ἔξω περιφαινομένοις δεῖ τῇ παντὸς τιμιωτέρᾳ χρυσοῦ
φρονήσει κεκοσμῆσθαι. Καὶ ὁπότε μὲν τῶν ἀνθρω-
πείων σπουδασμάτων ὑποκεχώρηκε, τὸ ὂν θεραπεύων
μόνον, τὴν ἀποίκιλον ἀληθείας ἐνδύεσθαι στολήν,
370 ἧς οὐδὲν ἐφάψεται θνητόν. Καὶ γάρ ἐστι λεπῆς
M. ὕλης ἐξ οὐδενὸς τῶν πεφυκότων ἀποθνήσκειν γεννω-
μένης. Ὁπότε δὲ μέτεισι πρὸς πολιτείαν, τὴν μὲν
ἔνδον ἀποτίθεσθαι, ποικιλωτάτην δὲ καὶ ὀφθῆναι
θαυμασιωτάτην ἑτέραν ἀναλαμβάνειν. Πολύτροπος
γὰρ ὢν ὁ βίος ποικιλωτάτης δεῖται τῆς σοφίας τοῦ
πηδάλιον σχήσοντος κυβερνήτου. Οὗτος κατὰ μὲν
τὸν περιφανῆ βωμὸν ἢ βίον, καὶ δορᾶς καὶ σαρκῶν
καὶ αἵματος καὶ πάντων ὅσα περὶ σῶμα δόξει πολ-
λὴν ποιεῖσθαι πρόνοιαν, ὡς μὴ μυρίοις ἀπέχθοιτο
κρίνουσιν ἀγαθὰ, μετὰ τὰ ψυχῆς, δευτερείοις τετι-
μημένα τὰ περὶ σῶμα· κατὰ δὲ τὸν ἔνδον, πᾶσιν
ἀναίμοις, ἀσάρκοις, ἀσωμάτοις, τοῖς ἐκ λογισμοῦ
μόνοις χρήσεται, ἃ λιβανωτῷ καὶ τοῖς ἐπιθυμιωμέ-
νοις ἀπεικάζεται. Ὡς γὰρ ταῦτα ῥῖνας, ἐκεῖνα τὸν
ψυχῆς ἅπαντα χῶρον εὐωδίας ἀναπίμπλησι.

§. 22. Χρὴ μέντοι μηδὲ τοῦτ' ἀγνοεῖν, ὅτι ἡ
σοφία τέχνη τεχνῶν οὖσα δοκεῖ μὲν ταῖς διαφόροις
ὕλαις ἐναλλάττεσθαι, τὸ δὲ αὐτῆς ἀληθὲς εἶδος
ἄτρεπτον ἐμφαίνει τοῖς ὀξυδορκοῦσι, καὶ μὴ τῷ πε-

ῥικεχυμένῳ τῆς οὐσίας ὄγκῳ μεθελκομένοις, ἀλλὰ τὸν ἐνεσφραγισμένον ὑπὸ τῆς τέχνης αὐτῆς χαρακτῆρα διορῶσι. Τὸν ἀνδριαντοποιὸν Φειδίαν ἐκεῖνον καὶ χαλκὸν λαβόντα φασὶ καὶ ἐλέφαντα καὶ χρυσὸν καὶ ἄλλας διαφόρους ὕλας ἀνδριάντας ἀπεργάσασθαι, καὶ ἐν ἅπασι τούτοις μίαν καὶ τὴν αὐτὴν ἐνσημήνασθαι τέχνην· ὡς μὴ μόνον ἐπιστήμονας, ἀλλὰ καὶ λίαν ἰδιώτας τὸν δημιουργὸν ἀπὸ τῶν δημιουργηθέντων γνωρίσαι. Καθάπερ γὰρ ἐπὶ τῶν διδύμων ἡ φύσις χρησαμένη τῷ αὐτῷ πολλάκις χαρακτῆρι, παρὰ μικρὸν ἀπαραλλάκτους ὁμοιότητας ἐτύπωσε· τὸν αὐτὸν τρόπον καὶ ἡ τελεία τέχνη, μίμημα καὶ ἀπεικόνισμα φύσεως οὖσα, ὅταν διαφόρους ὕλας παραλάβῃ, σχηματίζει καὶ ἐνσφραγίζεται τὴν αὐτὴν ἁπάσαις ἰδέαν, ὡς ταύτῃ μάλιστα συγγενῆ καὶ ἀδελφὰ, καὶ δίδυμα τὰ δημιουργηθέντα γενέσθαι. Τὸ αὐτὸν οὖν καὶ ἡ ἐν τῷ σοφῷ δύναμις ἐπιδείξεται.
Πραγματευομένη γὰρ τὰ περὶ τοῦ ὄντος, εὐσέβεια 253
καὶ ὁσιότης ὀνομάζεται. Τὰ δὲ περὶ οὐρανοῦ καὶ P.
τῶν κατ' αὐτὸν, φυσιολογία. Μετεωρολογικὴ δὲ, τὰ περὶ τὸν ἀέρα καὶ ὅσα κατὰ τὰς τροπὰς αὐτοῦ καὶ μεταβολὰς, ἔν τε ταῖς ὁλοσχερέσιν ἐτησίοις ὥραις, καὶ ταῖς ἐν μέρει κατά τε μηνῶν καὶ ἡμερῶν περιόδους, πέφυκε συνίστασθαι. Ἠθικὴ δὲ, τὰ πρὸς ἀνθρωπίνων ἐπανόρθωσιν ἠθῶν, ἧς ἰδέαι, πολιτική τε ἡ πρὸς πόλιν, καὶ ἡ πρὸς οἰκίαν ἐπι-
71 μέλεια, οἰκονομικὴ, συμποτική τε ἡ περὶ τὰ
I. συμπόσια καὶ τὰς εὐωχίας. Ἔτι δ' αὖ ἡ μὲν περὶ ἀνθρώπων ἐπιστασίαν βασιλικὴ, ἡ δὲ περὶ προστάξεις καὶ ἀπαγορεύσεις, νομοθετική. Πάντα γὰρ ταῦτα ὁ πολύφημος ὡς ἀληθῶς καὶ πολυώνυμος σοφὸς κεχώρηκεν, εὐσέβειαν, ὁσιότητα, φυσιολογίαν, μετεωρολογίαν, ἠθοποιΐαν, πολιτείαν, οἰκονομίαν, βασιλικὴν, νομοθετικὴν, ἄλλας μυρίας δυνάμεις, καὶ ἐν ἁπάσαις ἓν εἶδος καὶ τὸ αὐτὸν ἔχων ὀφθήσεται.

§. 23. *Διειλεγμένοι δὲ περὶ τῶν ἐν τοῖς ἐκγόνοις τεττάρων τάξεων, οὐκ ἂν οὐδὲ ἐκεῖνο παρίδοιμεν, ὃ γένοιτ' ἂν τῆς διαιρέσεως καὶ τομῆς τῶν κεφαλαίων ἐναργεστάτη πίστις. Τοῦ γὰρ μετεωρισθέντος καὶ φυσηθέντος ὑπ' ἀνοίας παιδὸς, οἱ γονεῖς τὸν τρόπον τοῦτον κατηγόρησαν εἰπόντες, "ὁ υἱὸς ἡμῶν οὗτος*)," δεικνύντες τὸν ἀπειθῆ καὶ ἀπαυχενίζοντα. Διὰ γὰρ τῆς δείξεως τῆς "οὗτος" ἐμφαίνουσιν ὅτι καὶ ἑτέρους ἐγέννησαν, τοὺς μὲν τῷ ἑτέρῳ, τοὺς δ' ἀμφοτέροις καταπειθεῖς, λογισμοὺς εὐφυεῖς, ὧν παράδειγμα Ῥουβίμ· φιληκόους καὶ φιλομαθεῖς ἑτέρους, ὧν ἐστι Συμεὼν, ἀκοὴ γὰρ οὗτος ἑρμηνεύεται· πρόςφυγας καὶ ἱκέτας θεοῦ, Λευϊτῶν ὁ θίασος οὗτος· τὸν εὐχαριστικὸν ὕμνον ᾄδοντας οὐ γεγωνῷ φωνῇ μᾶλλον ἢ διανοίᾳ, ὧν ἔξαρχος Ἰούδας· διὰ τὴν μετὰ πόνων ἀρετῆς κτῆσιν ἑκούσιον μισθῶν καὶ δωρεῶν ἂν ἀξιωθέντας, ὥςπερ Ἰσσάχαρ· μεταναστὰς ἀπὸ τῆς Χαλδαϊκῆς μετεωρολογικῆς θεωρίας γεγονότας εἰς τὴν περὶ τοῦ ἀγεννήτου σκέψιν, ὡς Ἀβραάμ· αὐτήκοον καὶ αὐτομαθῆ κτησαμένους ἀρετὴν, ὥςπερ Ἰσαάκ· λήμματος καὶ ἰσχύος πλήρεις καὶ φίλους τῷ θεῷ, καθάπερ Μωϋσῆν τὸν τελειότατον.*

§. 24. *Εἰκότως οὖν τὸν ἀπειθῆ καὶ ἐρεθιστὴν καὶ συμβολὰς εἰςφέροντα, τουτέστι συμβάλλοντα καὶ συνάπτοντα ἁμαρτήματα ἁμαρτήμασι, μεγάλα μικροῖς, νέα παλαιοῖς, ἑκούσια ἀκουσίοις, καὶ ὥςπερ ὑπ' οἴνου φλεγόμενον, ἄληκτον καὶ ἀνεπίσχετον μέθην τοῦ βίου παντὸς καταμεθύοντα καὶ παροινοῦντα, διὰ τὸ τοῦ τῆς ἀφροσύνης πόματος ἀκράτου καὶ πολλοῦ σπάσαι, καταλεύειν ὁ ἱερὸς λόγος δικαιοῖ· ὅτι καὶ τὰς ὀρθοῦ λόγου προστάξεις τοῦ πατρὸς, καὶ τὰς παιδείας τῆς μητρὸς νομίμους* 254
ὑφηγήσεις ἀνεῖλε· καὶ παράδειγμα ἔχων τὸ καλοκά- P.

---

*) Deut. 21, 19 sqq.

γαθίας, τοὺς τοῖς γονεῦσιν εὐδοκίμους ἀδελφοὺς, τὴν τούτων ἀρετὴν οὐκ ἐμιμήσατο, τὸ ἐναντίον δὲ καὶ προςεπιβαίνειν ἠξίωσεν, ὡς θεοπλαστεῖν μὲν τὸ σῶμα, θεοπλαστεῖν δὲ τὸν παρὰ Αἰγυπτίοις μάλιστα
372 τιμώμενον Τῦφον, οὗ σύμβολον ἡ τοῦ χρυσοῦ
M. ταύρου κατασκευή· περὶ ὃν χοροὺς ἱστάντες οἱ φρενοβλαβεῖς ᾄδουσι καὶ ἐξάρχουσιν, οὐ παροίνιον καὶ κωμαστικὸν, οἷα ἐν ἑορταῖς καὶ θαλείαις ἥδιστον μέλος, ἀλλὰ τὸν ὡς ἐπὶ τεθνεῶσιν ἀληθῆ θρῆνον αὐτῶν, ὥςπερ ἔξοινοι καὶ τῆς ψυχῆς τὸν τόνον ὑπεκλύσαντές τε καὶ φθείραντες. Λέγεται γὰρ ὅτι ἀκούσας Ἰησοῦς τοῦ λαοῦ κεκραγότων, εἶπε πρὸς Μωϋσῆν, "Φωνὴ πολέμου ἐν τῇ παρεμβολῇ· καὶ λέγει, οὐκ ἔστι φωνὴ ἐξαρχόντων κατ' ἰσχὺν, οὐδὲ φωνὴ ἐξαρχόντων τροπῆς, ἀλλὰ φωνὴν ἐξαρχόντων οἴνου ἐγὼ ἀκούω· καὶ ἡνίκα ἤγγιζε τῇ παρεμβολῇ, ὁρᾷ τὸν μόσχον καὶ τοὺς χορούς *)." Ἃ δὲ διὰ τούτων αἰνίττεται, παραστήσομεν ὡς ἂν οἷοί τε ὦμεν.

§. 25. Τὰ περὶ ἡμᾶς τοτὲ μὲν ἠρεμεῖ, τοτὲ δὲ ὁρμαῖς καὶ ἐκβοήσεσιν ἀκαίροις ὡςανεὶ χρῆται. Καί ἐστι μὲν ἡσυχία τούτων εἰρήνη βαθεῖα, τὰ δὲ ἐναντία πόλεμος ἄσπονδος. Μάρτυς δὲ ὁ πεπονθὼς ἀψευδέστατος. Ἀκούσας γὰρ τῆς φωνῆς τοῦ λαοῦ κεκραγότων, λέγει πρὸς τὸν σκεπτικὸν καὶ ἐπίσκοπον τῶν πραγμάτων, "φωνὴ πολέμου ἐν τῇ παρεμβολῇ." Ἕως μὲν γὰρ οὐκ ἐκινοῦντο καὶ ἐκεκράγεσαν ἐν ἡμῖν αἱ ἄλογοι ὁρμαὶ, σταθερώτερόν ὁ νοῦς ἵδρυτο· ἐπειδὰν δὲ ἤρξαντο πολύφωνον καὶ πολύηχον ἀπεργάζεσθαι τὸ ψυχῆς χωρίον, τὰ πάθη συγκαλοῦσαι καὶ ἀνεγείρουσαι, στάσιν ἐμφύλιον ἐγέννησαν. Ἐν δὲ τῷ στρατοπέδῳ ὁ πόλεμος· φυσικώτατα. Ποῦ γὰρ ἀλλαχόθι ἔριδες, μάχαι, φιλονεικίαι, πάνθ', ὅσα ἔργα ἀκαθαιρέτου πολέμου, πλὴν

*) Exod. 32, 17 sq.

ἐν τῷ μετὰ σώματος βίῳ, ὃν ἀλληγορῶν καλεῖ στρατόπεδον;. Τοῦτον εἴωθεν ἀπολιπεῖν ὁ νοῦς, ὅταν θεοφορηθεὶς πρὸς αὐτῷ τῷ ὄντι γένηται, καταθεώμενος τὰς ἀσωμάτους ἰδέας. “Λαβὼν γὰρ Μωϋσῆς,” φησὶ), “τὴν ἑαυτοῦ σκηνὴν, ἔπηξεν ἔξω τῆς παρεμβολῆς,” καὶ οὐ πλησίον, ἀλλὰ “πόῤῥωτάτω” καὶ μακρὰν ἀπὸ τῆς παρεμβολῆς. Αἰνίττεται δὲ διὰ τούτων, ὅτι σοφὸς μέτοικος καὶ μετανάστης ἐστὶν ἀπὸ πολέμου πρὸς εἰρήνην, καὶ ἀπὸ τοῦ θνητοῦ καὶ πεφυρμένου στρατοπέδου πρὸς τὸν ἀπόλεμον καὶ εἰρηναῖον λογικῶν καὶ εὐδαιμόνων ψυχῶν βίον θεῖον.*

§. 26. *Λέγει δὲ καὶ ἑτέρωθι ὅτι “Ἐπειδὰν ἐξέλ-
θω τὴν πόλιν, ἐκπετάσω τὰς χεῖρας πρὸς τὸν 253
κύριον, καὶ αἱ φωναὶ παύσονται**).” Μὴ νομίσῃς P.
δὲ τὸν διαλεγόμενον ἄνθρωπον εἶναι, τὸ ψυχῆς καὶ
σώματος ὕφασμα, ἢ πλέγμα, ἢ κρᾶμα, ἢ ὅ τί ποτε
χρὴ καλεῖν τουτὶ τὸ σύνθετον ζῶον, ἀλλὰ νοῦν εἰ-
λικρινέστατον καὶ καθαρώτατον, ὃς ἐν μὲν τῇ πόλει
τοῦ σώματος καὶ θνητοῦ βίου περιεχόμενος ἔσταλ-
ται καὶ συνείληπται, καὶ ὥσπερ ἐν δεσμωτηρίῳ κα-
θειργμένος μηδὲ ἐλευθέρου δύνασθαι σπᾶν ἀέρος
ἄντικρυς ὁμολογεῖ. Ἐπειδὰν δὲ ἐξέλθῃ τὴν πόλιν
ταύτην, καθάπερ πόδας καὶ χεῖρας οἱ δεσμῶται τὰς
373 ἐννοίας αὐτὸς καὶ διανοήσεις λυθεὶς, ἀφέτοις καὶ
M. ἀπελευθεριαζούσαις χρήσεται ταῖς ἐνεργείαις, ὡς τὰς
ἐπικελεύσεις τῶν παθῶν εὐθὺς ἐπισχεθῆναι. Ἦ
οὐχ ἡδονῆς μὲν ἀνατεταμέναι αἱ ἐκβοήσεις, δι᾽ ὧν
τὰ ἑαυτῇ φίλα εἴωθε προστάττειν; Ἐπιθυμίας δὲ
ἄῤῥηκτος ἡ φωνὴ χαλεπὰς ἀπειλὰς κατὰ τῶν μὴ
ὑπηρετούντων ἀπειλούσης; Καὶ τῶν ἄλλων ἑκάστου
πολυηχὲς καὶ μεγαλόφωνός τις ἡ γῆρυς. Ἀλλὰ γὰρ
οὐδ᾽, εἰ μυρίοις στόμασι καὶ γλώτταις ἕκαστον τῶν
παθῶν τῷ κατὰ τοὺς ποιητὰς λεγομένῳ χρήσαιτο*

*) Exod. 33, 7. **) Ibid. 9, 29.

ὁμάδῳ, τὰς τοῦ τελείου δύναιτ᾽ ἂν ἀκοὰς συγχέαι, μετεληλυθότος ἤδη, καὶ τὴν αὐτὴν ἐκείνοις πόλιν μηκέτ᾽ οἰκεῖν ἐγνωκότος.

§. 27. Φαμένου δὴ τοῦ πεπονθότος, ὅτι ἐν τῷ σωματικῷ στρατοπέδῳ τὰς τοῦ πολέμου φωνὰς εἶναι πάσας συμβέβηκε, τῆς εἰρήνῃ φίλης ἡσυχίας μακρὰν ἀπεληλαμένης, ὁ ἱερὸς συναινεῖ λόγος. Οὐ γὰρ λέγει μὴ εἶναι πολέμου φωνὴν, ἀλλὰ μὴ τοιαύτην, ὁποίαν ἔνιοι νομίζουσιν ἢ νενικηκότων ἢ κεκρατημένων, ἀλλ᾽ ἥ τις ἂν γένοιτο βεβαρημένων καὶ πεπιεσμένων οἴνῳ. Τὸ γὰρ "Οὐκ ἔστι φωνὴ ἐξαρχόντων κατ᾽ ἰσχὺν" ἴσον ἐστὶ τῷ περιγεγενημένων τῷ πολέμῳ· ἰσχὺς γὰρ τοῦ κρατεῖν αἴτιον. Οὕτως τὸν σοφὸν Ἀβραὰμ μετὰ τὴν τῶν ἐννέα καθαίρεσιν βασιλέων, παθῶν μὲν τεττάρων, πέντε δὲ αἰσθητικῶν δυνάμεων, αἳ παρὰ φύσιν ἐκινοῦντο, εἰςάγει τὸν εὐχαριστικὸν ὕμνον ἐξάρχοντα καὶ φάσκοντα ταυτὶ, "Ἐκτενῶ τὴν χεῖρά μου πρὸς τὸν θεὸν τὸν ὕψιστον, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν, εἰ ἀπὸ σπαρτίου ἕως σφαιρωτῆρος ὑποδήματος λήψομαι ἀπὸ πάντων τῶν σῶν*)." Δείκνυσι δὲ, ὥς γ᾽ ἐμοὶ δοκεῖ, τὸ γεγονὸς πᾶν, οὐρανὸν, γῆν, ὕδωρ, πνεῦμα, ζῶα ὁμοῦ καὶ φυτά. Ἑκάστῳ γὰρ αὐτῶν, ὁ τὰς τῆς ψυχῆς ἐνεργείας πρὸς θεὸν τείνας, καὶ παρ᾽ αὐτοῦ μόνου τὰς ὠφελείας ἐπελπίζων, δεόντως ἂν εἴποι, οὐδενὸς λήψομαι τῶν σῶν· οὐ παρ᾽ ἡλίου τὸ μεθημερινὸν, οὐ παρὰ σελήνης καὶ τῶν ἄλλων ἀστέρων τὸ νυκτὶ φέγγος, οὐ παρ᾽ ἀέρος καὶ νεφε-
λῶν ὑετοὺς, οὐ παρὰ ὕδατος καὶ γῆς ποτὰ καὶ 256
σιτία, οὐ παρὰ ὀφθαλμῶν τὸ ὁρᾶν, οὐ τὸ ἀκούειν P.
παρὰ ὤτων, οὐ παρὰ μυκτήρων ὀσμὰς, οὐ παρ᾽ ἐνστομίου χυλοῦ τὸ γεύεσθαι, οὐ παρὰ γλώττης τὸ λέγειν, οὐ παρὰ χειρῶν τὸ διδόναι καὶ λαμβάνειν, οὐ τὸ προσέρχεσθαι καὶ ἐξαναχωρεῖν παρὰ ποδῶν,

*) Gen. 14, 22.

οὐκ ἀναπνοὴν παρὰ πνεύμονος, οὐ πέψιν παρ' ἥπατος, οὐ παρὰ τῶν ἄλλων σπλάγχνων τὰς καθ' ἕκαστον οἰκείους ἐνεργείας, οὐ παρὰ δένδρων καὶ σπαρτῶν τοὺς ἐτησίους καρποὺς, ἀλλὰ πάντα παρὰ τοῦ μόνου σοφοῦ, τὰς αὑτοῦ χαριστηρίους δυνάμεις πάντη τείναντος, καὶ διὰ τούτων ὠφελοῦντος.

874 §. 28. Ὁ μὲν οὖν τοῦ ὄντος ὁρατικὸς τὸν αἴ-
M.τιον ἐπιστάμενος, τὰ ὧν ἐστιν αἴτιος δεύτερα μετ' ἐκεῖνον τετίμηκεν, ὁμολογῶν ἀκολακεύτως τὰ προςόντα αὐτοῖς. Ἡ δὲ ὁμολογία δικαιοτάτη· παρ' ὑμῶν μὲν οὐδὲν, παρὰ δὲ τοῦ θεοῦ λήψομαι, οὐ τὰ πάντα κτήματα, δι' ὑμῶν δὲ ἴσως. Ὄργανα γὰρ ὑπηρετήσοντα ταῖς ἀθανάτοις αὐτοῦ χάρισι γεγένησθε· ὁ δὲ ἀπερίσκεπτος διάνοιαν τυφλωθεὶς, ᾗ τὸ ὂν μόνη καταληπτόν ἐστιν, αὐτῇ μὲν οὐδαμῇ οὐδαμῶς οἶδε, τὰ δὲ ἐν κόσμῳ σώματα αἰσθήσεσι ταῖς ἑαυτοῦ, ἃ δὴ πάντων ἐνόμισε γινομένων αἴτια. Παρ' ὃ καὶ θεοπλαστεῖν ἀρξάμενος, ἀγαλμάτων καὶ ξοάνων καὶ ἄλλων μυρίων ἀφιδρυμάτων ὕλαις διαφόροις τετεχνιτευμένων κατέπλησε τὴν οἰκουμένην, γραφεῦσι καὶ πλάσταις, οὓς ὑπερορίους ὁ νομοθέτης τῆς κατ' αὐτὸν πολιτείας ἤλασεν, ἆθλά τε μεγάλα καὶ τιμὰς ὑπερβαλλούσας ἰδίᾳ τε καὶ κοινῇ ψηφισάμενος, κατειργάσατο τὸ ἐναντίον οὗ προςεδόκησεν, ἀντὶ ὁσιότητος ἀσέβειαν. Τὸ γὰρ πολύθεον ἐν ταῖς τῶν ἀφρόνων ψυχαῖς, ἀθεότης, καὶ θεοῦ τιμῆς ἀλογοῦσιν οἱ τὰ θνητὰ θειώσαντες· οἷς οὐκ ἐξήρκεσεν ἡλίου καὶ σελήνης, εἰ δὲ ἠβούλοντο, καὶ γῆς ἁπάσης καὶ παντὸς ὕδατος εἰκόνας διαπλάσασθαι, ἀλλ' ἤδη καὶ ἀλόγοις ζώοις καὶ φυτοῖς τῆς τῶν ἀφθάρτων τιμῆς μετέδοσαν. Ὁ δὲ τούτοις ἐπιτιμῶν τὸν ἐπινίκιον ὕμνον ἐξάρχων ἐδείχθη.

§. 29. Καὶ Μωϋσῆς μέντοι κατὰ ταῦτα, ἐπειδὰν ἴδῃ τὸν "βασιλέα τῆς Αἰγύπτου *)," τὸν ὑπέρ-

---

*) Exod. 14, 7.

αὐχον νοῦν "σὺν τοῖς ἑξακοσίοις ἅρμασι," ταῖς τοῦ ὀργανικοῦ σώματος ἓξ κινήσεσιν ἡρμοσμέναις, "τοῖς ἐπιβεβηκόσι τριστάταις," οἳ, μηδενὸς τῶν κατὰ γένεσιν πεφυκότος ἑστάναι, τὴν περὶ πάντων οἴονται δεῖν ὡς ἂν παγίως ἱδρυμένων καὶ μηδεμίαν δεχομένων μεταβολὴν, ἀποφαίνεσθαι, δίκην ἀξίαν τῆς ἀσεβείας ὑποσχόντα, καὶ τὸν ἀσκητικὸν ἔμπαλιν τὰς ἐπιδρομὰς τῶν πολεμίων ἐκφυγόντα, καὶ ἀνὰ κράτος ἀπροςδοκήτως διασωθέντα, τὸν δίκαιον καὶ ἀληθῆ βραβευτὴν ὑμνεῖ θεὸν, τὰ πρεπωδέστατα καὶ οἰκειότατα ταῖς συντυχίαις ἐξάρχων ᾄσματα, διότι 257
"ἵππον καὶ ἀναβάτην ῥίψας εἰς θάλασσαν *)," P.
τὸν ἐποχούμενον νοῦν ταῖς τοῦ τετράποδος καὶ ἀφηνιαστοῦ πάθους ἀλόγοις ὁρμαῖς ἀφανίσας, βοηθὸς καὶ ὑπερασπιστὴς ἐγένετο τῆς ὁρατικῆς ψυχῆς, ὡς χαρίσασθαι παντελῆ σωτηρίαν αὐτῇ. Ὁ δὲ αὐτὸς καὶ ἐπὶ τοῦ φρέατος ἐξάρχει, οὐκ ἔτι μόνον ἐπὶ καθαιρέσει τῶν παθῶν, ἀλλὰ καὶ ἐπὶ τῷ τὸ κάλλιστον κτημάτων, σοφίαν ἀνανταγώνιστον ἰσχῦσαι λαβεῖν, ἣν ἀπεικάζει φρέατι. Βαθεῖα γὰρ καὶ οὐκ ἐπιπόλαιος, γλυκὺ ἀναδιδοῦσα νᾶμα, καλοκἀγαθίας
375 διψώσαις ψυχαῖς, ἀναγκαιότατον ὁμοῦ καὶ ἥδι-
M. στον ποτόν. Ἰδιώτῃ δὲ οὐδενὶ παιδείας ἐφεῖται τοῦτο τὸ φρέαρ ὀρύττειν, μόνοις δὲ βασιλεῦσιν, ἥ φησιν, "Ἐλατόμησαν αὐτὸ βασιλεῖς **)." Μεγάλων γὰρ ἡγεμόνων ἀναζητῆσαι καὶ κατεργάσασθαι σοφίαν, οὐχὶ τῶν ὅπλοις γῆν καὶ θάλατταν ὑπηγμένων, ἀλλὰ τῶν ψυχῆς δυνάμεσι τὸν πολύτροπον αὐτῆς καὶ μιγάδα καὶ πεφορημένον ὄχλον κατηγωνισμένων.

§. 30. Τούτων φοιτητὰς καὶ γνωρίμους εἶναι συμβέβηκε τοὺς λέγοντας, "Οἱ παῖδές σου εἰλήφασι τὸ κεφάλαιον τῶν ἀνδρῶν τῶν πολεμιστῶν τῶν μεθ' ἡμῶν· οὐ διαπεφώνηκεν ἀπ' αὐτῶν οὐδὲ εἷς, προς-

*) Exod. 15, 4. **) Num. 21, 16—18.

σαγήοχε τὸ δῶρον κυρίῳ ἀνὴρ, ὃ εὗρεν *)." *Ἐοίκασι γὰρ καὶ οὗτοι πάλιν ἐπινίκιον ᾆσμα ἐξάρχειν, τελείων καὶ ἡγεμονικῶν δυνάμεων ἐφιέμενοι. Τὸν γὰρ συντιθέντα τὸ κεφάλαιον καὶ πλεῖστον ἀριθμὸν τῶν κατ' ἀνδρείαν λόγων, φασὶ λαβεῖν, οὓς ἐκ φύσεως εἶναι πολεμικοὺς συμβέβηκε, δυσὶν ἀντιτεταγμένους τέλεσιν, ἑνὶ μὲν, οὗ ἡ δυςθήρατος ἀφηγεῖται δειλία, ἑτέρου δὲ, οὗ ἡ ἀρειμάνιος θρασύτης· ἀμφότεραι δὲ γνώμης ἀγαθῆς ἀμέτοχοι. Παγκάλως δὲ εἴρηται, τὸ μηδένα διαπεφωνηκέναι πρὸς ὁλοκλήρου καὶ παντελοῦς μετουσίαν ἀνδρείας, καθάπερ λύρα καὶ πᾶν μουσικῆς ὄργανον ἐκμελὲς, καὶ ἂν εἷς αὐτῷ μόνον ἀπῳδὸς ᾖ φθόγγος· ἡρμοσμένον δὲ, ὅταν μιᾷ πλήξει συνηχῶσι, τὴν αὐτὴν συμφωνίαν ἀποτελοῦντες. Τὸν αὐτὸν τρόπον καὶ τὸ ψυχῆς ὄργανον ἀσύμφωνον μὲν, ὅταν ἢ θράσει σφόδρα ἐπιτεινόμενον πρὸς τὸ ὀξύτατον βιάζηται, ἢ δειλίᾳ πλέον τοῦ μετρίου ἀνιέμενον, πρὸς τὸ βαρύτατον χαλᾶται· σύμφωνον δὲ, ὅταν οἱ τῆς ἀνδρείας καὶ πάσης ἀρετῆς τόνοι πάντες ἀνακραθέντες, ἓν εὐάρμοστον ἀπογεννήσωσι μέλος. Τῆς δὲ συμφωνίας καὶ εὐαρμοστίας μέγα τεκμήριον, τὸ προςαγηοχέναι τὸ δῶρον τῷ θεῷ. Τοῦτο δέ ἐστι τιμῆσαι πρεπόντως τὸ ὂν, διὰ τοῦ σαφέστατα ὡμολογηκέναι, ὅτι δῶρόν ἐστιν αὐτοῦ τόδε τὸ πᾶν. Λέγει γὰρ φυσικώτατα,* 258
"*Ἀνὴρ ὃ εὗρε, τοῦτο προςήνεγκε δῶρον* **)." *Ἕκα-* P.
στος δὲ ἡμῶν γενόμενος εὐθὺς εὑρίσκει τὸ μέγα δῶρον θεοῦ τὸν παντελῆ κόσμον, αὐτὸν ἑαυτῷ καὶ τοῖς ἀρίστοις μέλεσιν ὅρεσιν ἐχαρίσατο.

§. 31. *Εἰσὶ δὲ καὶ ἐν μέρει δωρεαὶ, ἃς θεῷ τι*
376 *δοῦναι καὶ λαβεῖν ἀνθρώποις ἐμπρεπές. Αὗται*
M. *δὲ ἂν εἶεν ἀρεταὶ καὶ αἱ κατ' αὐτὰς ἐνέργειαι, ὧν τὴν εὕρεσιν σχεδὸν ἄχρονον οὖσαν, διὰ τὸ ὑπερβάλλον τοῦ χαριζομένου τάχος, ἐν οἷς εἴωθε δωρεῖ-*

---

*) Num. 31, 49 sq. **) Ibid. 31, 50.

σθαι, πᾶς καταπέπληκται, καὶ ὅτῳ μηδὲν μέγα τῶν ἄλλων ὑπείληπται. Διὸ καὶ πυνθάνεται, "Τί τοῦτο ὃ ταχὺ εὗρες, ὦ τέκνον *);" τεθαυμακὼς τῆς σπουδαίας διαθέσεως τὴν ὀξύτητα. Ὁ δὲ εὖ παθὼν εὐθυβόλως ἀποκρίνεται, "Ἃ παρέδωκε κύριος ὁ θεός." Παραδόσεις γὰρ καὶ ὑφηγήσεις βραδεῖαι μὲν αἱ δι' ἀνθρώπων, ὀξύνονται δὲ αἱ διὰ θεοῦ, φθάνουσαι καὶ τὴν ὀξυτάτου χρόνου κίνησιν. Οἱ μὲν οὖν κατ' ἰσχὺν καὶ δύναμιν ἔξαρχοι καὶ ἡγεμόνες τοῦ τὸν ἐπινίκιον καὶ εὐχαριστικὸν ὕμνον ᾄδοντος χοροῦ, οἱ λεχθέντες εἰσίν· οἱ δὲ κατὰ τροπὴν καὶ ἀσθένειαν, τοῦ τὸν ἐφ' ἥτταις θρῆνον σφαδάζοντες, ἑταῖροι, οὓς οὐ κακίζειν μᾶλλον ἢ οἰκτίζεσθαι χρή, καθάπερ τοὺς τὰ σώματα ἐκ φύσεως ἐπικήρως ἔχοντας, οἷς καὶ ἡ τυχοῦσα νόσου πρόφασις μέγα ἐμπόδιον πρὸς τὸ σώζεσθαι. Ἔνιοι δὲ οὐ τῷ μαλθακωτέροις τοῖς ψυχῆς κεχρῆσθαι τόνοις, ἀνέπεσον ἄκοντες, ὑπ' ἐῤῥωμενεστέρας τῶν ἀντιπάλων ἰσχύος πιεσθέντες· ἀλλὰ μιμούμενοι τοὺς ἐθελοδούλους, ἑκόντες ἑαυτοὺς πικροῖς δεσπόταις ὑπέῤῥιψαν, γένος ὄντες ἐλεύθεροι. Διὸ μὴ δυνάμενοι πεπρᾶσθαι, τὸ παραλογώτατον αὐτοὶ δεσπότας ὠνούμενοι προσεκτῶντο, τὸ αὐτὸ δρῶντες τοῖς ἐμφορουμένοις ἀπλήστως πρὸς μέθην οἴνου. Καὶ γὰρ ἐκεῖνοι γνώμῃ τὸν ἄκρατον οὐ βιασθέντες προσφέρονται, ὥστε καὶ γνώμῃ τὸ μὲν νηφάλιον ἐκτέμνουσι τῆς ψυχῆς, τὸ δὲ παράληρον αἱροῦνται. "Φωνὴν γάρ," φησίν, "ἐξαρχόντων ὑπ' οἴνου ἐγὼ ἀκούω **)," τουτέστιν, οὐκ ἀκουσίαν ἐνδεδεγμένων μανίαν, ἀλλ' ἑκουσίῳ φρενοβλαβείᾳ βεβλαμμένων.

§. 32. Πᾶς δὲ ὁ συνεγγίζων τῇ παρεμβολῇ "τὸν μόσχον ὁρᾷ καὶ τοὺς χορούς," ἢ καὶ αὐτὸς διασυνίστησι. Τύφῳ γὰρ καὶ τοῖς τύφου χορευταῖς ἐντυγχάνομεν, ὅσοι πλησίον ἵστασθαι τοῦ σωματι-

*) Gen. 27, 20. **) Exod. 32, 17. 18.

νόμιμα διὰ πόθον κοινωνίας, φυλάττων δὲ καὶ τοὺς
τοῦ ἀγεννήτου θεσμοὺς δι' εὐσεβείας ἔρωτα καὶ ζῆ-
λον; Τοιγάρτοι καὶ θεοπρόπος Μωϋσῆς διὰ τῆς τῶν
κατὰ τὸν νεὼν δημιουργίας ἱερῶν τὴν ἐν ἀμφοτέ- 252
ροις τελειότητα διαδείξει. Οὐ γὰρ ἀπερισκέπτως P.
ἡμῖν τὴν κιβωτὸν ἔνδοθέν τε καὶ ἔξωθεν χρυσῷ πε-
ριαμπίσχει, οὐδὲ στολὰς τῷ ἀρχιερεῖ διττὰς ἀναδί-
δωσιν, οὐδὲ βωμοὺς δύο, τὸν μὲν ἔξω πρὸς τὰ ἱε-
ρεῖα, τὸν δὲ πρὸς τὸ ἐπιθυμιᾶν ἔνδον δημιουργεῖ·
ἀλλὰ βουλόμενος διὰ συμβόλων τούτων τὰς καθ'
ἑκάτερον εἶδος ἀρετὰς παραστῆσαι. Τὸν γὰρ σοφὸν
καὶ ἐν τοῖς κατὰ ψυχὴν ἔνδον ἀοράτοις, καὶ ἐν τοῖς
ἔξω περιφαινομένοις δεῖ τῇ παντὸς τιμιωτέρᾳ χρυσοῦ
φρονήσει κεκοσμῆσθαι. Καὶ ὁπότε μὲν τῶν ἀνθρω-
πείων σπουδασμάτων ὑποκεχώρηκε, τὸ ὂν θεραπεύων
μόνον, τὴν ἀποίκιλον ἀληθείας ἐνδύεσθαι στολήν,
370 ἧς οὐδὲν ἐφάψεται θνητόν. Καὶ γάρ ἐστι λινῆς
M. ὕλης ἐξ οὐδενὸς τῶν πεφυκότων ἀποθνήσκειν γεννω-
μένης. Ὁπότε δὲ μέτεισι πρὸς πολιτείαν, τὴν μὲν
ἔνδον ἀποτίθεσθαι, ποικιλωτάτην δὲ καὶ ὀφθῆναι
θαυμασιωτάτην ἑτέραν ἀναλαμβάνειν. Πολύτροπος
γὰρ ὢν ὁ βίος ποικιλωτάτης δεῖται τῆς σοφίας τοῦ
πηδάλιον σχήσοντος κυβερνήτου. Οὗτος κατὰ μὲν
τὸν περιφανῆ βωμὸν ἢ βίον, καὶ δορᾶς καὶ σαρκῶν
καὶ αἵματος καὶ πάντων ὅσα περὶ σῶμα δόξει πολ-
λὴν ποιεῖσθαι πρόνοιαν, ὡς μὴ μυρίοις ἀπέχθοιτο
κρίνουσιν τἀγαθὰ, μετὰ τὰ ψυχῆς, δευτερείοις τετι-
μημένα τὰ περὶ σῶμα· κατὰ δὲ τὸν ἔνδον, πᾶσιν
ἀναίμοις, ἀσάρκοις, ἀσωμάτοις, τοῖς ἐκ λογισμοῦ
μόνοις χρήσεται, ἃ λιβανωτῷ καὶ τοῖς ἐπιθυμιωμέ-
νοις ἀπεικάζεται. Ὡς γὰρ ταῦτα ῥῖνας, ἐκεῖνα τὸν
ψυχῆς ἅπαντα χῶρον εὐωδίας ἀναπίμπλησι.

§. 22. Χρὴ μέντοι μηδὲ τοῦτ' ἀγνοεῖν, ὅτι ἡ
σοφία τέχνη τεχνῶν οὖσα δοκεῖ μὲν ταῖς διαφόροις
ὕλαις ἐναλλάττεσθαι, τὸ δὲ αὐτῆς ἀληθὲς εἶδος
ἄτρεπτον ἐμφαίνει τοῖς ὀξυδορκοῦσι, καὶ μὴ τῷ πε-

ῥικεχυμένῳ τῆς οὐσίας ὄγκῳ μεθελκομένοις, ἀλλὰ
τὸν ἐνεσφραγισμένον ὑπὸ τῆς τέχνης αὐτῆς χαρακτῆρα
διορῶσι. Τὸν ἀνδριαντοποιὸν Φειδίαν ἐκεῖνον καὶ
χαλκὸν λαβόντα φασὶ καὶ ἐλέφαντα καὶ χρυσὸν καὶ
ἄλλας διαφόρους ὕλας ἀνδριάντας ἀπεργάσασθαι,
καὶ ἐν ἅπασι τούτοις μίαν καὶ τὴν αὐτὴν ἐνσημή-
νασθαι τέχνην· ὡς μὴ μόνον ἐπιστήμονας, ἀλλὰ καὶ
λίαν ἰδιώτας τὸν δημιουργὸν ἀπὸ τῶν δημιουργη-
θέντων γνωρίσαι. Καθάπερ γὰρ ἐπὶ τῶν διδύμων
ἡ φύσις χρησαμένη τῷ αὐτῷ πολλάκις χαρακτῆρι,
παρὰ μικρὸν ἀπαραλλάκτους ὁμοιότητας ἐτύπωσε·
τὸν αὐτὸν τρόπον καὶ ἡ τελεία τέχνη, μίμημα καὶ
ἀπεικόνισμα φύσεως οὖσα, ὅταν διαφόρους ὕλας πα-
ραλάβῃ, σχηματίζει καὶ ἐνσφραγίζεται τὴν αὐτὴν
ἁπάσαις ἰδέαν, ὡς ταύτῃ μάλιστα συγγενῆ καὶ ἀδελ-
φὰ, καὶ δίδυμα τὰ δημιουργηθέντα γενέσθαι. Τὸ
αὐτὸν οὖν καὶ ἡ ἐν τῷ σοφῷ δύναμις ἐπιδείξεται.
Πραγματευομένη γὰρ τὰ περὶ τοῦ ὄντος, εὐσέβεια 253
καὶ ὁσιότης ὀνομάζεται. Τὰ δὲ περὶ οὐρανοῦ καὶ P.
τῶν κατ᾽ αὐτὸν, φυσιολογία. Μετεωρολογικὴ δὲ,
τὰ περὶ τὸν ἀέρα καὶ ὅσα κατὰ τὰς τροπὰς αὐτοῦ
καὶ μεταβολὰς, ἔν τε ταῖς ὁλοσχερέσιν ἐτησίοις
ὥραις, καὶ ταῖς ἐν μέρει κατά τε μηνῶν καὶ ἡμε-
ρῶν περιόδους, πέφυκε συνίστασθαι. Ἠθικὴ δὲ,
τὰ πρὸς ἀνθρωπίνων ἐπανόρθωσιν ἠθῶν, ἧς ἰδέαι,
πολιτική τε ἡ πρὸς πόλιν, καὶ ἡ πρὸς οἰκίαν ἐπι-
71 μέλεια, οἰκονομικὴ, συμποτική τε ἡ περὶ τὰ
1. συμπόσια καὶ τὰς εὐωχίας. Ἔτι δ᾽ αὖ ἡ μὲν περὶ
ἀνθρώπων ἐπιστασίαν βασιλικὴ, ἡ δὲ περὶ προστά-
ξεις καὶ ἀπαγορεύσεις, νομοθετική. Πάντα γὰρ
ταῦτα ὁ πολύφημος ὡς ἀληθῶς καὶ πολυώνυμος
σοφὸς κεχώρηκεν, εὐσέβειαν, ὁσιότητα, φυσιολο-
γίαν, μετεωρολογίαν, ἠθοποιΐαν, πολιτείαν, οἰκο-
νομίαν, βασιλικὴν, νομοθετικὴν, ἄλλας μυρίας δυ-
νάμεις, καὶ ἐν ἁπάσαις ἓν εἶδος καὶ τὸ αὐτὸν ἔχων
ὀφθήσεται.

§. 23. *Διειλεγμένοι δὲ περὶ τῶν ἐν τοῖς ἐκγόνοις τεττάρων τάξεων, οὐκ ἂν οὐδὲ ἐκεῖνο παρίδοιμεν, ὃ γένοιτ᾽ ἂν τῆς διαιρέσεως καὶ τομῆς τῶν κεφαλαίων ἐναργεστάτη πίστις. Τοῦ γὰρ μετεωρισθέντος καὶ φυσηθέντος ὑπ᾽ ἀνοίας παιδος, οἱ γονεῖς τὸν τρόπον τοῦτον κατηγόρησαν εἰπόντες, "ὁ υἱὸς ἡμῶν οὗτος*)," δεικνύντες τὸν ἀπειθῆ καὶ ἀπαυχενίζοντα. Διὰ γὰρ τῆς δείξεως τῆς "οὗτος" ἐμφαίνουσιν ὅτι καὶ ἑτέρους ἐγέννησαν, τοὺς μὲν τῷ ἑτέρῳ, τοὺς δ᾽ ἀμφοτέροις καταπειθεῖς, λογισμοὺς εὐφυεῖς, ὧν παράδειγμα Ῥουβίμ· φιληκόους καὶ φιλομαθεῖς ἑτέρους, ὧν ἐστι Συμεών, ἀκοὴ γὰρ οὗτος ἑρμηνεύεται· πρόςφυγας καὶ ἱκέτας θεοῦ, Λευϊτῶν ὁ θίασος οὗτος· τὸν εὐχαριστικὸν ὕμνον ᾄδοντας οὐ γεγωνῷ φωνῇ μᾶλλον ἢ διανοίᾳ, ὧν ἔξαρχος Ἰούδας· διὰ τὴν μετὰ πόνων ἀρετῆς κτῆσιν ἑκούσιον μισθῶν καὶ δωρεῶν ἂν ἀξιωθέντας, ὥςπερ Ἰσσάχαρ· μεταναστὰς ἀπὸ τῆς Χαλδαϊκῆς μετεωρολογικῆς θεωρίας γεγονότας εἰς τὴν περὶ τοῦ ἀγεννήτου σκέψιν, ὡς Ἀβραάμ· αὐτήκοον καὶ αὐτομαθῆ κτησαμένους ἀρετήν, ὥςπερ Ἰσαάκ· λήμματος καὶ ἰσχύος πλήρεις καὶ φίλους τῷ θεῷ, καθάπερ Μωϋσῆν τὸν τελειότατον.*

§. 24. *Εἰκότως οὖν τὸν ἀπειθῆ καὶ ἐρεθιστὴν καὶ συμβολὰς εἰςφέροντα, τουτέστι συμβάλλοντα καὶ συνάπτοντα ἁμαρτήματα ἁμαρτήμασι, μεγάλα μικροῖς, νέα παλαιοῖς, ἑκούσια ἀκουσίοις, καὶ ὥςπερ ὑπ᾽ οἴνου φλεγόμενον, ἄληκτον καὶ ἀνεπίσχετον μέθην τοῦ βίου παντὸς καταμεθύοντα καὶ παροινοῦντα, διὰ τὸ τοῦ τῆς ἀφροσύνης πόματος ἀκράτου καὶ πολλοῦ σπάσαι, καταλεύειν ὁ ἱερὸς λόγος δικαιοῖ· ὅτι καὶ τὰς ὀρθοῦ λόγου προςτάξεις τοῦ πατρὸς, καὶ τὰς παιδείας τῆς μητρὸς νομίμους* 254
ὑφηγήσεις ἀνεῖλε· καὶ παράδειγμα ἔχων τὸ καλοκά- P.

*) Deut. 21, 19 sqq.

γαθίας, τοὺς τοῖς γονεῦσιν εὐδοκίμους ἀδελφούς, τὴν τούτων ἀρετὴν οὐκ ἐμιμήσατο, τὸ ἐναντίον δὲ καὶ προςεπιβαίνειν ἠξίωσεν, ὡς θεοπλαστεῖν μὲν τὸ σῶμα, θεοπλαστεῖν δὲ τὸν παρὰ Αἰγυπτίοις μάλιστα
372 τιμώμενον Τῦφον, οὗ σύμβολον ἡ τοῦ χρυσοῦ
M. ταύρου κατασκευή· περὶ ὃν χοροὺς ἱστάντες οἱ φρενοβλαβεῖς ᾄδουσι καὶ ἐξάρχουσιν, οὐ παροίνιον καὶ κωμαστικὸν, οἷα ἐν ἑορταῖς καὶ θαλείαις ἥδιστον μέλος, ἀλλὰ τὸν ὡς ἐπὶ τεθνεῶσιν ἀληθῆ θρῆνον αὑτῶν, ὥςπερ ἔξοινοι καὶ τῆς ψυχῆς τὸν τόνον ὑπεκλύσαντές τε καὶ φθείραντες. Λέγεται γὰρ ὅτι ἀκούσας Ἰησοῦς τοῦ λαοῦ κεκραγότων, εἶπε πρὸς Μωϋσῆν, "Φωνὴ πολέμου ἐν τῇ παρεμβολῇ· καὶ λέγει, οὐκ ἔστι φωνὴ ἐξαρχόντων κατ' ἰσχὺν, οὐδὲ φωνὴ ἐξαρχόντων τροπῆς, ἀλλὰ φωνὴν ἐξαρχόντων οἴνου ἐγὼ ἀκούω· καὶ ἡνίκα ἤγγιζε τῇ παρεμβολῇ, ὁρᾷ τὸν μόσχον καὶ τοὺς χορούς *)." Ἃ δὲ διὰ τούτων αἰνίττεται, παραστήσομεν ὡς ἂν οἷοί τε ὦμεν.

§. 25. Τὰ περὶ ἡμᾶς τοτὲ μὲν ἠρεμεῖ, τοτὲ δὲ ὁρμαῖς καὶ ἐκβοήσεσιν ἀκαίροις ὡςανεὶ χρῆται. Καί ἐστι μὲν ἡσυχία τούτων εἰρήνη βαθεῖα, τὰ δὲ ἐναντία πόλεμος ἄσπονδος. Μάρτυς δὲ ὁ πεπονθὼς ἀψευδέστατος. Ἀκούσας γὰρ τῆς φωνῆς τοῦ λαοῦ κεκραγότων, λέγει πρὸς τὸν σκεπτικὸν καὶ ἐπίσκοπον τῶν πραγμάτων, "φωνὴ πολέμου ἐν τῇ παρεμβολῇ." Ἕως μὲν γὰρ οὐκ ἐκινοῦντο καὶ ἐκεκράγεσαν ἐν ἡμῖν αἱ ἄλογοι ὁρμαὶ, σταθερώτερον ὁ νοῦς ἵδρυτο· ἐπειδὰν δὲ ἤρξαντο πολύφωνον καὶ πολύηχον ἀπεργάζεσθαι τὸ ψυχῆς χωρίον, τὰ πάθη συγκαλοῦσαι καὶ ἀνεγείρουσαι, στάσιν ἐμφύλιον ἐγέννησαν. Ἐν δὲ τῷ στρατοπέδῳ ὁ πόλεμος φυσικώτατα. Ποῦ γὰρ ἀλλαχόθι ἔριδες, μάχαι, φιλονεικίαι, πάνθ' ὅσα ἔργα ἀκαθαιρέτου πολέμου, πλὴν

---

*) Exod. 32, 17 sq.

ἐν τῷ μετὰ σώματος βίῳ, ὃν ἀλληγορῶν καλεῖ στρατόπεδον;. Τοῦτον εἴωθεν ἀπολιπεῖν ὁ νοῦς, ὅταν θεοφορηθεὶς πρὸς αὐτῷ τῷ ὄντι γένηται, καταθεώμενος τὰς ἀσωμάτους ἰδέας. "Λαβὼν γὰρ Μωϋσῆς," φησὶ*), "τὴν ἑαυτοῦ σκηνὴν, ἔπηξεν ἔξω τῆς παρεμβολῆς," καὶ οὐ πλησίον, ἀλλὰ "πορρωτάτω" καὶ μακρὰν ἀπὸ τῆς παρεμβολῆς. Αἰνίττεται δὲ διὰ τούτων, ὅτι σοφὸς μέτοικος καὶ μετανάστης ἐστὶν ἀπὸ πολέμου πρὸς εἰρήνην, καὶ ἀπὸ τοῦ θνητοῦ καὶ πεφυρμένου στρατοπέδου πρὸς τὸν ἀπόλεμον καὶ εἰρηναῖον λογικῶν καὶ εὐδαιμόνων ψυχῶν βίον θεῖον.

§. 26. Λέγει δὲ καὶ ἑτέρωθι ὅτι "Ἐπειδὰν ἐξέλ-
θω τὴν πόλιν, ἐκπετάσω τὰς χεῖρας πρὸς τὸν 253
κύριον, καὶ αἱ φωναὶ παύσονται**)." Μὴ νομίσῃς P.
δὲ τὸν διαλεγόμενον ἄνθρωπον εἶναι, τὸ ψυχῆς καὶ σώματος ὕφασμα, ἢ πλέγμα, ἢ κρᾶμα, ἢ ὅ τί ποτε χρὴ καλεῖν τουτὶ τὸ σύνθετον ζῶον, ἀλλὰ νοῦν εἰλικρινέστατον καὶ καθαρώτατον, ὃς ἐν μὲν τῇ πόλει τοῦ σώματος καὶ θνητοῦ βίου περιεχόμενος ἔσταλται καὶ συνείληπται, καὶ ὥςπερ ἐν δεσμωτηρίῳ καθειργμένος μηδὲ ἐλευθέρου δύνασθαι σπᾶν ἀέρος ἄντικρυς ὁμολογεῖ. Ἐπειδὰν δὲ ἐξέλθῃ τὴν πόλιν
ταύτην, καθάπερ πόδας καὶ χεῖρας οἱ δεσμῶται τὰς
373 ἐννοίας αὐτὸς καὶ διανοήσεις λυθεὶς, ἀφέτοις καὶ
M. ἀπελευθεριαζούσαις χρήσεται ταῖς ἐνεργείαις, ὡς τὰς
ἐπικελεύσεις τῶν παθῶν εὐθὺς ἐπισχεθῆναι. Ἢ οὐχ ἡδονῆς μὲν ἀνατεταμέναι αἱ ἐκβοήσεις, δι᾽ ὧν τὰ ἑαυτῇ φίλα εἴωθε προστάττειν; Ἐπιθυμίας δὲ ἄῤῥηκτος ἡ φωνὴ χαλεπὰς ἀπειλὰς κατὰ τῶν μὴ ὑπηρετούντων ἀπειλούσης; Καὶ τῶν ἄλλων ἑκάστου πολύηχός καὶ μεγαλόφωνός τις ἡ γῆρυς. Ἀλλὰ γὰρ οὐδ᾽, εἰ μυρίοις στόμασι καὶ γλώτταις ἕκαστον τῶν παθῶν τῷ κατὰ τοὺς ποιητὰς λεγομένῳ χρήσαιτο

*) Exod. 33, 7. **) Ibid. 9, 29.

ὁμάδῳ, τὰς τοῦ τελείου δύναιτ᾽ ἂν ἀκοὰς συγχέαι, μετεληλυθότος ἤδη, καὶ τὴν αὐτὴν ἐκείνοις πόλιν μηκέτ᾽ οἰκεῖν ἐγνωκότος.

§. 27. Φαμένου δὴ τοῦ πεπονθότος, ὅτι ἐν τῷ σωματικῷ στρατοπέδῳ τὰς τοῦ πολέμου φωνὰς εἶναι πάσας συμβέβηκε, τῆς εἰρήνῃ φίλης ἡσυχίας μακρὰν ἀπεληλαμένης, ὁ ἱερὸς συναινεῖ λόγος. Οὐ γὰρ λέγει μὴ εἶναι πολέμου φωνὴν, ἀλλὰ μὴ τοιαύτην, ὁποίαν ἔνιοι νομίζουσιν ἢ νενικηκότων ἢ κεκρατημένων, ἀλλ᾽ ἥ τις ἂν γένοιτο βεβαρημένων καὶ πεπιεσμένων οἴνῳ. Τὸ γὰρ "Οὐκ ἔστι φωνὴ ἐξαρχόντων κατ᾽ ἰσχὺν" ἴσον ἐστὶ τῷ περιγεγενημένων τῷ πολέμῳ· ἰσχὺς γὰρ τοῦ κρατεῖν αἴτιον. Οὕτως τὸν σοφὸν Ἀβραὰμ μετὰ τὴν τῶν ἐννέα καθαίρεσιν βασιλέων, παθῶν μὲν τεττάρων, πέντε δὲ αἰσθητικῶν δυνάμεων, αἳ παρὰ φύσιν ἐκινοῦντο, εἰςάγει τὸν εὐχαριστικὸν ὕμνον ἐξάρχοντα καὶ φάσκοντα ταυτὶ, "Ἐκτενῶ τὴν χεῖρά μου πρὸς τὸν θεὸν τὸν ὕψιστον, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν, εἰ ἀπὸ σπαρτίου ἕως σφαιρωτῆρος ὑποδήματος λήψομαι ἀπὸ πάντων τῶν σῶν*)." Δείκνυσι δὲ, ὥς γ᾽ ἐμοὶ δοκεῖ, τὸ γεγονὸς πᾶν, οὐρανὸν, γῆν, ὕδωρ, πνεῦμα, ζῶα ὁμοῦ καὶ φυτά. Ἑκάστῳ γὰρ αὐτῶν, ὁ τὰς τῆς ψυχῆς ἐνεργείας πρὸς θεὸν τείνας, καὶ παρ᾽ αὐτοῦ μόνου τὰς ὠφελείας ἐπελπίζων, δεόντως ἂν εἴποι, οὐδενὸς λήψομαι τῶν σῶν· οὐ παρ᾽ ἡλίου τὸ μεθημερινὸν, οὐ παρὰ σελήνης καὶ τῶν ἄλλων ἀστέρων τὸ νυκτὶ φέγγος, οὐ παρ᾽ ἀέρος καὶ νεφε-
λῶν ὑετοὺς, οὐ παρὰ ὕδατος καὶ γῆς ποτὰ καὶ 256
σιτία, οὐ παρὰ ὀφθαλμῶν τὸ ὁρᾶν, οὐ τὸ ἀκούειν P.
παρὰ ὤτων, οὐ παρὰ μυκτήρων ὀσμὰς, οὐ παρ᾽ ἐνστομίου χυλοῦ τὸ γεύεσθαι, οὐ παρὰ γλώττης τὸ λέγειν, οὐ παρὰ χειρῶν τὸ διδόναι καὶ λαμβάνειν, οὐ τὸ προςέρχεσθαι καὶ ἐξαναχωρεῖν παρὰ ποδῶν,

*) Gen. 14, 22.

οὐκ ἀναπνοὴν παρὰ πνεύμονος, οὐ πέψιν παρ᾽ ἥπατος, οὐ παρὰ τῶν ἄλλων σπλάγχνων τὰς καθ᾽ ἕκαστον οἰκείους ἐνεργείας, οὐ παρὰ δένδρων καὶ σπαρτῶν τοὺς ἐτησίους καρποὺς, ἀλλὰ πάντα παρὰ τοῦ μόνου σοφοῦ, τὰς αὑτοῦ χαριστηρίους δυνάμεις πάντη τείναντος, καὶ διὰ τούτων ὠφελοῦντος.

374 §. 28. Ὁ μὲν οὖν τοῦ ὄντος ὁρατικὸς τὸν αἴ-
M.τιον ἐπιστάμενος, τὰ ὧν ἐστιν αἴτιος δεύτερα μετ᾽ ἐκεῖνον τετίμηκεν, ὁμολογῶν ἀκολακεύτως τὰ. προςόντα αὐτοῖς. Ἡ δὲ ὁμολογία δικαιοτάτη· παρ᾽ ὑμῶν μὲν οὐδὲν, παρὰ δὲ τοῦ θεοῦ λήψομαι, οὐ τὰ πάντα κτήματα, δι᾽ ὑμῶν δὲ ἴσως. Ὄργανα γὰρ ὑπηρετήσοντα ταῖς ἀθανάτοις αὐτοῦ χάρισι γεγένησθε· ὁ δὲ ἀπερίσκεπτος διάνοιαν τυφλωθεὶς, ἣ τὸ ὂν μόνη καταληπτόν ἐστιν, αὐτῇ μὲν οὐδαμῇ οὐδαμῶς οἶδε, τὰ δὲ ἐν κόσμῳ σώματα αἰσθήσεσι ταῖς ἑαυτοῦ, ἃ δὴ πάντων ἐνόμισε γινομένων αἴτια. Παρ᾽ ὃ καὶ θεοπλαστεῖν ἀρξάμενος, ἀγαλμάτων καὶ ξοάνων καὶ ἄλλων μυρίων ἀφιδρυμάτων ὕλαις διαφόροις τετεχνιτευμένων κατέπλησε τὴν οἰκουμένην, γραφεῦσι καὶ πλάσταις, οὓς ὑπερορίους ὁ νομοθέτης τῆς κατ᾽ αὐτὸν πολιτείας ἤλασεν, ἆθλά τε μεγάλα καὶ τιμὰς ὑπερβαλλούσας ἰδίᾳ τε καὶ κοινῇ ψηφισάμενος, κατειργάσατο τὸ ἐναντίον οὗ προςεδόκησεν, ἀντὶ ὁσιότητος ἀσέβειαν. Τὸ γὰρ πολύθεον ἐν ταῖς τῶν ἀφρόνων ψυχαῖς, ἀθεότης, καὶ θεοῦ τιμῆς ἀλογοῦσιν οἱ τὰ θνητὰ θειώσαντες· οἷς οὐκ ἐξήρκεσεν ἡλίου καὶ σελήνης, εἰ δὲ ἠβούλοντο, καὶ γῆς ἁπάσης καὶ παντὸς ὕδατος εἰκόνας διαπλάσασθαι, ἀλλ᾽ ἤδη καὶ ἀλόγοις ζώοις καὶ φυτοῖς τῆς τῶν ἀφθάρτων τιμῆς μετέδοσαν. Ὁ δὲ τούτοις ἐπιτιμῶν τὸν ἐπινίκιον ὕμνον ἐξάρχων ἐδείχθη.

§. 29. Καὶ Μωϋσῆς μέντοι κατὰ ταῦτα, ἐπειδὰν ἴδῃ τὸν "βασιλέα τῆς Αἰγύπτου *)," τὸν ὑπέρ-

*) Exod. 14, 7.

αὐχον νοῦν "σὺν τοῖς ἑξακοσίοις ἅρμασι," ταῖς
τοῦ ὀργανικοῦ σώματος ἓξ κινήσεσιν ἡρμοσμέναις,
"τοῖς ἐπιβεβηκόσι τριστάταις," οἳ, μηδενὸς τῶν
κατὰ γένεσιν πεφυκότος ἑστάναι, τὴν περὶ πάντων
οἴονται δεῖν ὡς ἂν παγίως ἱδρυμένων καὶ μηδεμίαν
δεχομένων μεταβολὴν, ἀποφαίνεσθαι, δίκην ἀξίαν
τῆς ἀσεβείας ὑποσχόντα, καὶ τὸν ἀσκητικὸν ἔμπαλιν
τὰς ἐπιδρομὰς τῶν πολεμίων ἐκφυγόντα, καὶ ἀνὰ
κράτος ἀπροσδοκήτως διασωθέντα, τὸν δίκαιον καὶ
ἀληθῆ βραβευτὴν ὑμνεῖ θεὸν, τὰ πρεπωδέστατα καὶ
οἰκειότατα ταῖς συντυχίαις ἐξάρχων ᾄσματα, διότι 257
"ἵππον καὶ ἀναβάτην ῥίψας εἰς θάλασσαν *)," P.
τὸν ἐποχούμενον νοῦν ταῖς τοῦ τετράποδος καὶ ἀφη-
νιαστοῦ πάθους ἀλόγοις ὁρμαῖς ἀφανίσας, βοηθὸς
καὶ ὑπερασπιστὴς ἐγένετο τῆς ὁρατικῆς ψυχῆς, ὡς
χαρίσασθαι παντελῆ σωτηρίαν αὐτῇ. Ὁ δὲ αὐτὸς
καὶ ἐπὶ τοῦ φρέατος ἐξάρχει, οὐκ ἔτι μόνον ἐπὶ
καθαιρέσει τῶν παθῶν, ἀλλὰ καὶ ἐπὶ τῷ τὸ κάλλι-
στον κτημάτων, σοφίαν ἀνανταγώνιστον ἰσχῦσαι λα-
βεῖν, ἣν ἀπεικάζει φρέατι. Βαθεῖα γὰρ καὶ οὐκ
ἐπιπόλαιος, γλυκὺ ἀναδιδοῦσα νᾶμα, καλοκἀγαθίας
375 διψώσαις ψυχαῖς, ἀναγκαιότατον ὁμοῦ καὶ ἥδι-
M. στον ποτόν. Ἰδιώτῃ δὲ οὐδενὶ παιδείας ἐφεῖται τοῦτο
τὸ φρέαρ ὀρύττειν, μόνοις δὲ βασιλεῦσιν, ἥ φησιν,
"Ἐλατόμησαν αὐτὸ βασιλεῖς **)." Μεγάλων γὰρ
ἡγεμόνων ἀναζητῆσαι καὶ κατεργάσασθαι σοφίαν,
οὐχὶ τῶν ὅπλοις γῆν καὶ θάλατταν ὑπηγμένων, ἀλλὰ
τῶν ψυχῆς δυνάμεσι τὸν πολύτροπον αὐτῆς καὶ
μιγάδα καὶ πεφορημένον ὄχλον κατηγωνισμένων.

§. 30. Τούτων φοιτητὰς καὶ γνωρίμους εἶναι συμβέβηκε τοὺς λέγοντας, "Οἱ παῖδές σου εἰλήφασι τὸ κεφάλαιον τῶν ἀνδρῶν τῶν πολεμιστῶν τῶν μεθ' ἡμῶν· οὐ διαπεφώνηκεν ἀπ' αὐτῶν οὐδὲ εἷς, προς-

*) Exod. 15, 4. **) Num. 21, 16—18.

αγήοχε τὸ δῶρον κυρίῳ ἀνὴρ, ὃ εὗρεν *)." Ἐοίκασι γὰρ καὶ οὗτοι πάλιν ἐπινίκιον ᾆσμα ἐξάρχειν, τελείων καὶ ἡγεμονικῶν δυνάμεων ἐφιέμενοι. Τὸν γὰρ συντιθέντα τὸ κεφάλαιον καὶ πλεῖστον ἀριθμὸν τῶν κατ᾽ ἀνδρείαν λόγων, φασὶ λαβεῖν, οὓς ἐκ φύσεως εἶναι πολεμικοὺς συμβέβηκε, δυσὶν ἀντιτεταγμένους τέλεσιν, ἑνὶ μὲν, οὗ ἡ δυςθήρατος ἀφηγεῖται δειλία, ἑτέρου δὲ, οὗ ἡ ἀρειμάνιος θρασύτης· ἀμφότεραι δὲ γνώμης ἀγαθῆς ἀμέτοχοι. Παγκάλως δὲ εἴρηται, τὸ μηδένα διαπεφωνηκέναι πρὸς ὁλοκλήρου καὶ παντελοῦς μετουσίαν ἀνδρείας, καθάπερ λύρα καὶ πᾶν μουσικῆς ὄργανον ἐκμελὲς, καὶ ἂν εἷς αὐτῷ μόνον ἀπῳδὸς ᾖ φθόγγος· ἡρμοσμένον δὲ, ὅταν μιᾷ πλήξει συνηχῶσι, τὴν αὐτὴν συμφωνίαν ἀποτελοῦντες. Τὸν αὐτὸν τρόπον καὶ τὸ ψυχῆς ὄργανον ἀσύμφωνον μὲν, ὅταν ἢ θράσει σφόδρα ἐπιτεινόμενον πρὸς τὸ ὀξύτατον βιάζηται, ἢ δειλίᾳ πλέον τοῦ μετρίου ἀνιέμενον, πρὸς τὸ βαρύτατον χαλᾶται· σύμφωνον δὲ, ὅταν οἱ τῆς ἀνδρείας καὶ πάσης ἀρετῆς τόνοι πάντες ἀνακραθέντες, ἓν εὐάρμοστον ἀπογεννήσωσι μέλος. Τῆς δὲ συμφωνίας καὶ εὐαρμοστίας μέγα τεκμήριον, τὸ προςαγηοχέναι τὸ δῶρον τῷ θεῷ. Τοῦτο δέ ἐστι τιμῆσαι πρεπόντως τὸ ὂν, διὰ τοῦ σαφέστατα ὡμολογηκέναι, ὅτι δῶρόν ἐστιν αὐτοῦ τόδε τὸ πᾶν. Λέγει γὰρ φυσικώτατα, 258
"Ἀνὴρ ὃ εὗρε, τοῦτο προςήνεγκε δῶρον **)." Ἕκα- P.
στος δὲ ἡμῶν γενόμενος εὐθὺς εὑρίσκει τὸ μέγα δῶρον θεοῦ τὸν παντελῆ κόσμον, αὐτὸν ἑαυτῷ καὶ τοῖς ἀρίστοις μέλεσιν ὄρεσιν ἐχαρίσατο.

§. 31. Εἰσὶ δὲ καὶ ἐν μέρει δωρεαὶ, ἃς θεῷ τε
376 δοῦναι καὶ λαβεῖν ἀνθρώποις ἐμπρεπές. Αὗται
M. δὲ ἂν εἶεν ἀρεταὶ καὶ αἱ κατ᾽ αὐτὰς ἐνέργειαι, ὧν τὴν εὕρεσιν σχεδὸν ἄχρονον οὖσαν, διὰ τὸ ὑπερβάλλον τοῦ χαριζομένου τάχος, ἐν οἷς εἴωθε δωρεῖ-

*) Num. 31, 49 sq. **) Ibid. 31, 50.

σθαι, πᾶς καταπέπληκται, καὶ ὅτῳ μηδὲν μέγα τῶν ἄλλων ὑπείληπται. Διὸ καὶ πυνθάνεται, "Τί τοῦτο ὃ ταχὺ εὗρες, ὦ τέκνον *);" τεθαυμακὼς τῆς σπουδαίας διαθέσεως τὴν ὀξύτητα. Ὁ δὲ εὖ παθὼν εὐθυβόλως ἀποκρίνεται, "Ἃ παρέδωκε κύριος ὁ θεός." Παραδόσεις γὰρ καὶ ὑφηγήσεις βραδεῖαι μὲν αἱ δι' ἀνθρώπων, ὀξύταται δὲ αἱ διὰ θεοῦ, φθάνουσαι καὶ τὴν ὀξυτάτου χρόνου κίνησιν. Οἱ μὲν οὖν κατ' ἰσχὺν καὶ δύναμιν ἔξαρχοι καὶ ἡγεμόνες τοῦ τὸν ἐπινίκιον καὶ εὐχαριστικὸν ὕμνον ᾄδοντος χοροῦ, οἱ λεχθέντες εἰσίν· οἱ δὲ κατὰ τροπὴν καὶ ἀσθένειαν, τοῦ τὸν ἐφ' ἥτταις θρῆνον σφαδάζοντες, ἑταῖροι, οὓς οὐ κακίζειν μᾶλλον ἢ οἰκτίζεσθαι χρὴ, καθάπερ τοὺς τὰ σώματα ἐκ φύσεως ἐπικήρως ἔχοντας, οἷς καὶ ἡ τυχοῦσα νόσου πρόφασις μέγα ἐμπόδιον πρὸς τὸ σώζεσθαι. Ἔνιοι δὲ οὐ τῷ μαλθακωτέροις τοῖς ψυχῆς κεχρῆσθαι τόνοις, ἀνέπεσον ἄκοντες, ὑπ' ἐῤῥωμενεστέρας τῶν ἀντιπάλων ἰσχύος πιεσθέντες· ἀλλὰ μιμούμενοι τοὺς ἐθελοδούλους, ἑκόντες ἑαυτοὺς πικροῖς δεσπόταις ὑπέῤῥιψαν, γένος ὄντες ἐλεύθεροι. Διὸ μὴ δυνάμενοι πεπρᾶσθαι, τὸ παραλογώτατον αὐτοὶ δεσπότας ὠνούμενοι προσεκτῶντο, τὸ αὐτὸ δρῶντες τοῖς ἐμφορουμένοις ἀπλήστως πρὸς μέθην οἴνου. Καὶ γὰρ ἐκεῖνοι γνώμῃ τὸν ἄκρατον οὐ βιασθέντες προσφέρονται, ὥστε καὶ γνώμῃ τὸ μὲν νηφάλιον ἐκτέμνουσι τῆς ψυχῆς, τὸ δὲ παράληρον αἱροῦνται. "Φωνὴν γὰρ," φησὶν, "ἐξαρχόντων ὑπ' οἴνου ἐγὼ ἀκούω **)," τουτέστιν, οὐκ ἀκούσιον ἐνδεδεγμένων μανίαν, ἀλλ' ἑκουσίῳ φρενοβλαβείᾳ βεβλαμμένων.

§. 32. Πᾶς δὲ ὁ συνεγγίζων τῇ παρεμβολῇ "τὸν μόσχον ὁρᾷ καὶ τοὺς χορούς," ἢ καὶ αὐτὸς διασυνίστησι. Τύφῳ γὰρ καὶ τοῖς τύφου χορευταῖς ἐντυγχάνομεν, ὅσοι πλησίον ἵστασθαι τοῦ σωματι-

*) Gen. 27, 20. **) Exod. 32, 17. 18.

κοῦ στρατοπέδου διανοούμεθα γνώμῃ· ἐπεὶ τοῖς φι-
λοθεάμοσι καὶ τὰ ἀσώματα ὁρᾶν γλιχομένοις, ἅτε
ἀτυφίας οὖσιν ἀσκηταῖς, ποῤῥωτάτω τοῦ σώμα-
τος ἔθος διοικίζεσθαι. Εὔχου δὴ τῷ θεῷ μηδέ-
ποτε ἔξαρχος οἴνου γενέσθαι, τουτέστι μηδέποτε
ἑκὼν ἀφηγήσασθαι τῆς εἰς ἀπαιδευσίαν καὶ ἀφρο- 259
σύνην ἀγούσης ὁδοῦ. Τὰ γὰρ ἀκούσια κακῶν ἡμί- P.
σει κουφότερα, καθαρῷ τῷ τοῦ συνειδότος ἐλέγχῳ
μὴ βαρυνόμενα. Τελεςφορηθεισῶν δέ σοι τῶν εὐ-
χῶν, ἰδιώτης μὲν ἔτι μένειν οὐκ ἂν δύναιο; τὴν δὲ
μεγίστην ἡγεμονιῶν ἀρχὴν, ἱερωσύνην, κτήσῃ. Σχε-
δὸν γὰρ ἱερέων καὶ θεραπευτῶν θεοῦ μόνον τὸ
377 ἔργον νηφάλια θύειν, οἴνου καὶ παντὸς τοῦ λη-
M. ρεῖν αἰτίου βεβαιότητι διανοίας κατεξανισταμένων.

„Ἐλάλησε γὰρ," φησὶ, „κύριος τῷ Ἀαρὼν λέγων, οἶνον καὶ σίκερα οὐ πίεσθε, σὺ καὶ οἱ υἱοί σου μετὰ σὲ, ἡνίκα ἂν εἰςπορεύησθε εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, ἢ προςπορεύησθε τῷ θυσιαστηρίῳ, καὶ οὐ μὴ ἀποθάνητε· νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν διαστεῖλαι ἀνὰ μέσον ἁγίων καὶ βεβήλων, καὶ ἀνὰ μέσον καθαρῶν καὶ ἀκαθάρτων *)." Ἀαρὼν δέ ἐστιν ὁ ἱερεὺς, καὶ τὸ ὄνομα ὀρεινὸς ἑρμηνεύεται, μετέωρα καὶ ὑψηλὰ φρονῶν λογισμὸς, οὐ διὰ μεγαλαυχίας κενοῦ φυσήματος ὑπόπλεων ὄγκον, ἀλλὰ διὰ μέγεθος ἀρετῆς, ἢ τὸ φρόνημα ἐξαίρουσα πέραν οὐρανοῦ ταπεινὸν οὐδὲν ἐᾷ λογίζεσθαι. Διακείμενος δὲ οὕτως ἄκρατον καὶ πᾶν ἀφροσύνης φάρμακον ἑκὼν οὔποτε προςοίσεται. Ἀνάγκη γάρ ἐστι ἢ ἀῤῥηφοροῦντα αὐτοῖς εἰς τὴν σκηνὴν εἰςιέναι τὰς ἀοράτους ἐπιτελέσοντα τελετὰς, ἢ τῷ βωμῷ προςιόντα, θυσίας ὑπέρ τε τῶν ἰδίων καὶ κοινῶν χαριστηρίους ἀναγαγεῖν. Νήψεως δὲ καὶ περιττῆς ἀγχινοίας ταῦτα δεῖται.

§. 33. Θαυμάσαι μὲν οὖν εἰκότως ἄν τις καὶ τὸ ῥητὸν τῆς προςτάξεως. Πῶς γὰρ οὐ σεμνὸν,

---

*) Lev. 10, 8 sqq.

νήφοντας καὶ ἐν ἑαυτοῖς ὄντας πρὸς εὐχὰς καὶ ἱερουργίας χωρεῖν, ὡς ἔμπαλιν ἀμφότερα σῶμα καὶ ψυχὴν παρειμένους ὑπὸ οἴνου καταγέλαστον; Εἰ μὴ δεσπόταις μὲν καὶ γονεῦσι καὶ ἄρχουσιν οἰκέται καὶ υἱοὶ καὶ ὑπήκοοι μέλλοντος προςέρχεσθαι, πρόνοιαν ἕξουσι τοῦ νήφειν, ὡς μήτε ἐν τοῖς λεγομένοις καὶ πραττομένοις διαμάρτοιεν, μήθ᾽ ὡς καταπεφρονηκότες τῆς ἐκείνων ἀξιώσεως κολασθεῖεν, ἢ τὸ γοῦν ἐπιεικέστατον χλεύην ὄφλοιεν. Τὸν δὲ τοῦ παντὸς ἡγεμόνα καὶ πατέρα τις θεραπεύειν δικαιῶν, οὐ καὶ σιτίων καὶ ποτῶν καὶ ὕπνου καὶ πάντων ὅσα ἀναγκαῖα τῇ φύσει περιέσται, ἀλλὰ πρὸς τὸ ἁβροδίαιτον ἀποκλίνας τὸν τῶν ἀσώτων ζηλώσει βίον, καὶ βεβαρημένος τοὺς ὀφθαλμοὺς ἀπ᾽ οἴνου, καὶ τὴν κεφαλὴν παραβάλλων, καὶ τὸν αὐχένα ἐγκάρσιον πλησιάζων, καὶ ὑπ᾽ ἀμετρίας ἐρευγόμενος, καὶ ὅλῳ διαῤῥέων τῷ σώματι, χέρνιβος ἢ βωμῶν ἢ θυσιῶν προςάψεται; Ἀλλ᾽ οὐδὲ τὴν ἱερὰν ἐξ ἀπόπτου
φλόγα θεάσασθαι τῷ τοιούτῳ θέμις. Εἰ μέντοι 260
μήτε σκηνὴν μήτε θυσιαστήριον ὑπολάβοι τις λέ- P.
γεσθαι τὰ ὁρώμενα ἐκ τῆς ἀψύχου καὶ φθαρτῆς
δημιουργηθέντα ὕλης, ἀλλὰ τὰ ἀόρατα καὶ τὰ νοη-
378 τὰ θεωρήματα, ὧν αἰσθηταὶ ταῦτα εἰκόνες, κα-
M. ταπλαγήσεται μᾶλλον τὴν ὑφήγησιν. Ἐπειδὴ γὰρ
παντὸς τὸ μὲν παράδειγμα τὸ δὲ μίμημα ὁ ποιῶν ἐποίει, καὶ ἀρετῆς τὴν μὲν ἀρχέτυπον σφραγῖδα εἰργάζετο, τὸν δὲ ἀπὸ ταύτης ἐνεσημαίνετο ἐμφερέστατον χαρακτῆρα. Ἡ μὲν οὖν ἀρχέτυπος σφραγὶς ἀσώματός ἐστιν ἰδέα· ἡ δὲ χαραχθεῖσα εἰκὼν σῶμα ἤδη, φύσει μὲν αἰσθητὸν, οὐ μὴν εἰς αἴσθησιν ἐρχόμενον· καθάπερ καὶ τὸ ἐν τῷ βαθυτάτῳ τοῦ Ἀτλαντικοῦ πελάγους ξύλον εἴποι τις ἂν πεφυκέναι μὲν πρὸς τὸ καίεσθαι, μηδέποτε δὲ ὑπὸ πυρὸς ἀναλωθήσεσθαι, διὰ τὴν τῆς θαλάττης ἀνάχυσιν.

§. 34. Τὴν οὖν σκηνὴν καὶ τὸν βωμὸν ἐννοήσωμεν ἰδέας, τὴν μὲν ἀρετῆς ἀσωμάτου, τὸν δὲ

αἰσθητῆς εἰκόνος εἶναι σύμβολον. Τὸν μέν γε βωμὸν καὶ τὰ ἐπ' αὐτοῦ, ῥᾴδιον ἰδεῖν· ἔξω τε γὰρ ἔχει τὴν κατασκευὴν, καὶ ἀσβέστῳ πυρὶ ἀναλίσκεται, ὡς μὴ μεθ' ἡμέραν μόνον, ἀλλὰ καὶ νύκτωρ περιλάμπεσθαι. Ἡ δὲ σκηνὴ καὶ τὰ ἐν αὐτῇ πάντα ἀθέατα, οὐχὶ τῷ μόνον ἐσωτάτω καὶ ἐν ἀδύτοις ἱδρύσθαι, ἀλλὰ καὶ τῷ προςαψάμενον, ἢ διὰ περιεργίαν ὀφθαλμῶν ἰδόντα, ἀπαραιτήτῳ δίκῃ θανάτου κατὰ πρόςταξιν νόμου κολάζεσθαι· πλὴν εἰ μή τις ὁλόκληρος καὶ παντελὴς εἴη, περὶ μηδὲν μὴ μέγα, μὴ μικρὸν ἁπλῶς κηραίνων πάθος, ἀλλ' ἀρτίῳ καὶ πλήρει καὶ πάντα τελειοτάτῃ κεχρημένος τῇ φύσει. Τούτῳ γὰρ ἐπιτέτραπται δι' ἔτους ἅπαξ εἰςιόντι ἐπισκοπεῖν τὰ ἀθέατα ἄλλοις, ἐπειδὴ καὶ ἐξ ἁπάντων μόνῳ ὁ τῶν ἀσωμάτων καὶ ἀφθάρτων ἀγαθῶν πτηνὸς καὶ οὐράνιος ἔρως ἐνδιαιτᾶται. Ὅταν οὖν ὑπὸ τῆς ἰδέας πληχθεὶς ἕπηται τῇ τὰς κατὰ μέρος ἀρετὰς τυπούσῃ σφραγῖδι, κατανοῶν καὶ καταπληττόμενος αὐτῆς τὸ θεοειδέστατον κάλλος, ᾗ τινι προςέρχεται δεξαμένῃ τὸν ἐκείνης χαρακτῆρα, λήθη μὲν ἀμαθίας καὶ ἀπαιδευσίας, μνήμη δὲ παιδείας καὶ ἐπιστήμης εὐθὺς ἐγγίνεται. Διὸ λέγει, "Οἶνον καὶ σίκερα οὐ πίεσθε, σὺ καὶ οἱ υἱοί σου μετὰ σὲ," ἡνίκα ἂν εἰςπορεύησθε εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, ἢ προςπορεύησθε τῷ θυσιαστηρίῳ. Ταῦτα δ' οὐκ ἀπαγορεύων μᾶλλον ἢ γνώμην ἀποφαινόμενος διεξέρχεται. Τῷ μέντοι ἀπαγορεύοντι οἰκεῖον ἦν εἰπεῖν, οἶνον ὅταν ἱερουργῆτε μὴ πίνετε, τῷ δὲ γνώμην ἀποφαινομένῳ τὸ οὐ πίεσθε. Καὶ γάρ ἐστιν ἀμήχανον τὸ μέθης καὶ παροινίας ψυχῆς αἴτιον, ἀπαιδευσίαν προςίεσθαι, τὸν ταῖς γενικαῖς καὶ κατ' εἶδος ἀρεταῖς ἐμμελετῶντα καὶ ἐγχορεύ- 261
οντα. Τὴν δὲ "σκηνὴν μαρτυρίου *)" καλεῖ πολ- P.
λάκις· ἤτοι παρ' ὅσον ὁ ἀψευδὴς θεὸς ἀρετῆς ἐστι

*) Exod. 33, 7.

μάρτυς, ᾧ καλὸν καὶ σύμφορον προςέχειν, ἢ παρ' ὅσον ἡ ἀρετὴ βεβαιότητα ταῖς ψυχαῖς ἐντίθησι, τοὺς ἐνδοιάζοντας καὶ ἐπαμφοτερίζοντας λογισμοὺς ἀνὰ κράτος ἐκτέμνουσα, καὶ ὥςπερ ἐν δικαστηρίῳ
379 τῷ βίῳ τὸ ἀληθὲς ἀνακαλύπτουσα.

M. §. 35. *Λέγει δὲ ὅτι "οὐδ' ἀποθανεῖται ὁ νηφάλια θύων," ὡς ἀπαιδευσίας μὲν θάνατον ἐπιφερούσης, παιδείας δὲ ἀφθαρσίαν. Καθάπερ γὰρ ἐν τοῖς σώμασιν ἡμῶν νόσος μὲν διαλύσεως, ὑγεία δὲ σωτηρίας αἰτία, τὸν αὐτὸν τρόπον καὶ ἐν ταῖς ψυχαῖς, τὸ μὲν σῶζόν ἐστι φρόνησις — ὑγεία γάρ τις αὕτη διανοίας —, τὸ δὲ φθεῖρον ἀφροσύνη, νόσον ἀνίατον κατασκήπτουσα. Τοῦτο δὲ "νόμιμον αἰώνιον εἶναι*)", φησιν, ἄντικρυς ἀποφαινόμενος· ὑπολαμβάνει γὰρ νόμον ἀθάνατον ἐν τῇ τοῦ παντος ἐστηλιτεῦσθαι φύσει ταυτὶ περιέχοντα, ὅτι ὑγιεινὸν μὲν καὶ σωτήριον χρῆμα παιδεία, νόσου δὲ καὶ φθορᾶς αἴτιον ἀπαιδευσία. Παρεμφαίνει δέ τι καὶ τοιοῦτον, τὸ πρὸς ἀλήθειαν νόμιμον εὐθύς ἐστιν αἰώνιον, ἐπεὶ καὶ ὁ ὀρθὸς λόγος, ὃς δὴ νόμος ἐστὶν, οὐ φθαρτός. Καὶ γὰρ αὖ τὸ ἐναντίον παράνομον, ἐφήμερόν τε καὶ εὐδιάλυτον ἐξ ἑαυτοῦ, παρὰ τοῖς εὖ φρονοῦσιν ἀνωμολόγηται. Νόμου δὲ καὶ παιδείας ἴδιον, βέβηλα ἁγίων καὶ ἀκάθαρτα καθαρῶν διαστέλλειν, ὡς ἔμπαλιν ἀνομίας καὶ ἀπαιδευσίας εἰς τὸ αὐτὸν ἄγειν τὰ μαχόμενα βιάζεσθαι, φυρούσας τὰ πάντα καὶ συγχεούσας.*

§. 36. *Διὰ τοῦτο ὁ καὶ βασιλέων καὶ προφητῶν μέγιστος Σαμουὴλ "οἶνον καὶ μέθυσμα," ὡς ὁ ἱερὸς λόγος φησὶν, "ἄχρι τελευτῆς οὐ πίεται**)." Τέτακται γὰρ ἐν τῇ τοῦ θείου στρατοπέδου τάξει, ἣν οὐδέποτε λείψει προμηθεία τοῦ σοφοῦ ταξιάρχου. Σαμουὴλ δὲ γέγονε μὲν ἴσως ἄνθρωπος, παρείληπται δὲ οὐχ ὡς σύνθετον ζῶον, ἀλλ' ὡς νοῦς, λατρείᾳ*

---

*) Lev. 10, 9. **) 1 Sam. (1 Reg.) 1, 15.

ἐν τῷ μετὰ σώματος βίῳ, ὃν ἀλληγορῶν καλεῖ στρατόπεδον; Τοῦτον εἴωθεν ἀπολιπεῖν ὁ νοῦς, ὅταν θεοφορηθεὶς πρὸς αὐτῷ τῷ ὄντι γένηται, καταθεώμενος τὰς ἀσωμάτους ἰδέας. „Λαβὼν γὰρ Μωϋσῆς," φησὶ*), „τὴν ἑαυτοῦ σκηνὴν, ἔπηξεν ἔξω τῆς παρεμβολῆς," καὶ οὐ πλησίον, ἀλλὰ „πόῤῥωτάτω" καὶ μακρὰν ἀπὸ τῆς παρεμβολῆς. Αἰνίττεται δὲ διὰ τούτων, ὅτι σοφὸς μέτοικος καὶ μετανάστης ἐστὶν ἀπὸ πολέμου πρὸς εἰρήνην, καὶ ἀπὸ τοῦ θνητοῦ καὶ πεφυρμένου στρατοπέδου πρὸς τὸν ἀπόλεμον καὶ εἰρηναῖον λογικῶν καὶ εὐδαιμόνων ψυχῶν βίον θεῖον.

§. 26. Λέγει δὲ καὶ ἑτέρωθι ὅτι „Ἐπειδὰν ἐξέλ-
θω τὴν πόλιν, ἐκπετάσω τὰς χεῖρας πρὸς τὸν 253
κύριον, καὶ αἱ φωναὶ παύσονται**)." Μὴ νομίσῃς P.
δὲ τὸν διαλεγόμενον ἄνθρωπον εἶναι, τὸ ψυχῆς καὶ
σώματος ὕφασμα, ἢ πλέγμα, ἢ κρᾶμα, ἢ ὅ τί ποτε
χρὴ καλεῖν τουτὶ τὸ σύνθετον ζῶον, ἀλλὰ νοῦν εἰ-
λικρινέστατον καὶ καθαρώτατον, ὃς ἐν μὲν τῇ πόλει
τοῦ σώματος καὶ θνητοῦ βίου περιεχόμενος ἔσταλ-
ται καὶ συνείληπται, καὶ ὥςπερ ἐν δεσμωτηρίῳ κα-
θειργμένος μηδὲ ἐλευθέρου δύνασθαι σπᾶν ἀέρος
ἄντικρυς ὁμολογεῖ. Ἐπειδὰν δὲ ἐξέλθῃ τὴν πόλιν
ταύτην, καθάπερ πόδας καὶ χεῖρας οἱ δεσμῶται τὰς
373 ἐννοίας αὐτὸς καὶ διανοήσεις λυθεὶς, ἀφέτοις καὶ
M. ἀπελευθεριαζούσαις χρήσεται ταῖς ἐνεργείαις, ὡς τὰς
ἐπικελεύσεις τῶν παθῶν εὐθὺς ἐπισχεθῆναι. Ἢ
οὐχ ἡδονῆς μὲν ἀνατετάμεναι αἱ ἐκβοήσεις, δι' ὧν
τὰ ἑαυτῇ φίλα εἴωθε προςτάττειν; Ἐπιθυμίας δὲ
ἄῤῥηκτος ἡ φωνὴ χαλεπὰς ἀπειλὰς κατὰ τῶν μὴ
ὑπηρετούντων ἀπειλούσης; Καὶ τῶν ἄλλων ἑκάστου
πολυηχὲς καὶ μεγαλόφωνός τις ἡ γῆρυς. Ἀλλὰ γὰρ
οὐδ', εἰ μυρίοις στόμασι καὶ γλώτταις ἕκαστον τῶν
παθῶν τῷ κατὰ τοὺς ποιητὰς λεγομένῳ χρήσαιτο

*) Exod. 33, 7. **) Ibid. 9, 29.

ὁμάδῳ, τὰς τοῦ τελείου δύναιτ᾽ ἂν ἀκοὰς συγχέαι, μετεληλυθότος ἤδη, καὶ τὴν αὐτὴν ἐκείνοις πόλιν μηκέτ᾽ οἰκεῖν ἐγνωκότος.

§. 27. Φαμένου δὴ τοῦ πεπονθότος, ὅτι ἐν τῷ σωματικῷ στρατοπέδῳ τὰς τοῦ πολέμου φωνὰς εἶναι πάσας συμβέβηκε, τῆς εἰρήνῃ φίλης ἡσυχίας μακρὰν ἀπεληλαμένης, ὁ ἱερὸς συναινεῖ λόγος. Οὐ γὰρ λέγει μὴ εἶναι πολέμου φωνὴν, ἀλλὰ μὴ τοιαύτην, ὁποίαν ἔνιοι νομίζουσιν ἢ νενικηκότων ἢ κεκρατημένων, ἀλλ᾽ ἥ τις ἂν γένοιτο βεβαρημένων καὶ πεπιεσμένων οἴνῳ. Τὸ γὰρ "Οὐκ ἔστι φωνὴ ἐξαρχόντων κατ᾽ ἰσχὺν" ἴσον ἐστὶ τῷ περιγεγενημένων τῷ πολέμῳ· ἰσχὺς γὰρ τοῦ κρατεῖν αἴτιον. Οὕτως τὸν σοφὸν Ἀβραὰμ μετὰ τὴν τῶν ἐννέα καθαίρεσιν βασιλέων, παθῶν μὲν τεττάρων, πέντε δὲ αἰσθητικῶν δυνάμεων, αἳ παρὰ φύσιν ἐκινοῦντο, εἰςάγει τὸν εὐχαριστικὸν ὕμνον ἐξάρχοντα καὶ φάσκοντα ταυτὶ, "Ἐκτενῶ τὴν χεῖρά μου πρὸς τὸν θεὸν τὸν ὕψιστον, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν, εἰ ἀπὸ σπαρτίου ἕως σφαιρωτῆρος ὑποδήματος λήψομαι ἀπὸ πάντων τῶν σῶν *)." Δείκνυσι δὲ, ὥς γ᾽ ἐμοὶ δοκεῖ, τὸ γεγονὸς πᾶν, οὐρανὸν, γῆν, ὕδωρ, πνεῦμα, ζῶα ὁμοῦ καὶ φυτά. Ἑκάστῳ γὰρ αὐτῶν, ὁ τὰς τῆς ψυχῆς ἐνεργείας πρὸς θεὸν τείνας, καὶ παρ᾽ αὐτοῦ μόνου τὰς ὠφελείας ἐπελπίζων, δεόντως ἂν εἴποι, οὐδενὸς λήψομαι τῶν σῶν· οὐ παρ᾽ ἡλίου τὸ μεθημερινὸν, οὐ παρὰ σελήνης καὶ τῶν ἄλλων ἀστέρων τὸ νυκτὶ φέγγος, οὐ παρ᾽ ἀέρος καὶ νεφελῶν ὑετοὺς, οὐ παρὰ ὕδατος καὶ γῆς ποτὰ καὶ 256
σιτία, οὐ παρὰ ὀφθαλμῶν τὸ ὁρᾶν, οὐ τὸ ἀκούειν P.
παρὰ ὤτων, οὐ παρὰ μυκτήρων ὀσμὰς, οὐ παρ᾽ ἐνστομίου χυλοῦ τὸ γεύεσθαι, οὐ παρὰ γλώττης τὸ λέγειν, οὐ παρὰ χειρῶν τὸ διδόναι καὶ λαμβάνειν, οὐ τὸ προςέρχεσθαι καὶ ἐξαναχωρεῖν παρὰ ποδῶν,

*) Gen. 14, 22.

οὐκ ἀναπνοὴν παρὰ πνεύμονος, οὐ πέψιν παρ' ἥπατος, οὐ παρὰ τῶν ἄλλων σπλάγχνων τὰς καθ' ἕκαστον οἰκείους ἐνεργείας, οὐ παρὰ δένδρων καὶ σπαρτῶν τοὺς ἐτησίους καρποὺς, ἀλλὰ πάντα παρὰ τοῦ μόνου σοφοῦ, τὰς αὑτοῦ χαριστηρίους δυνάμεις πάντῃ τείναντος, καὶ διὰ τούτων ὠφελοῦντος.

374 §. 28. Ὁ μὲν οὖν τοῦ ὄντος ὁρατικὸς τὸν αἴ-
M. τιον ἐπιστάμενος, τὰ ὧν ἐστιν αἴτιος δεύτερα μετ' ἐκεῖνον τετίμηκεν, ὁμολογῶν ἀκολακεύτως τὰ προσόντα αὐτοῖς. Ἡ δὲ ὁμολογία δικαιοτάτη· παρ' ὑμῶν μὲν οὐδὲν, παρὰ δὲ τοῦ θεοῦ λήψομαι, οὗ τὰ πάντα κτήματα, δι' ὑμῶν δὲ ἴσως. Ὄργανα γὰρ ὑπηρετήσοντα ταῖς ἀθανάτοις αὐτοῦ χάρισι γεγένησθε· ὁ δὲ ἀπερίσκεπτος διάνοιαν τυφλωθεὶς, ᾗ τὸ ὂν μόνῃ καταληπτόν ἐστιν, αὐτῇ μὲν οὐδαμῇ οὐδαμῶς οἶδε, τὰ δὲ ἐν κόσμῳ σώματα αἰσθήσεσι ταῖς ἑαυτοῦ, ἃ δὴ πάντων ἐνόμισε γινομένων αἴτια. Παρ' ὃ καὶ θεοπλαστεῖν ἀρξάμενος, ἀγαλμάτων καὶ ξοάνων καὶ ἄλλων μυρίων ἀφιδρυμάτων ὕλαις διαφόροις τετεχνιτευμένων κατέπλησε τὴν οἰκουμένην, γραφεῦσι καὶ πλάσταις, οὓς ὑπερορίους ὁ νομοθέτης τῆς κατ' αὐτὸν πολιτείας ἤλασεν, ἆθλά τε μεγάλα καὶ τιμὰς ὑπερβαλλούσας ἰδίᾳ τε καὶ κοινῇ ψηφισάμενος, κατειργάσατο τὸ ἐναντίον οὗ προσεδόκησεν, ἀντὶ ὁσιότητος ἀσέβειαν. Τὸ γὰρ πολύθεον ἐν ταῖς τῶν ἀφρόνων ψυχαῖς, ἀθεότης, καὶ θεοῦ τιμῆς ἀλογοῦσιν οἱ τὰ θνητὰ θειώσαντες· οἷς οὐκ ἐξήρκεσεν ἡλίου καὶ σελήνης, εἰ δὲ ἠβούλοντο, καὶ γῆς ἁπάσης καὶ παντὸς ὕδατος εἰκόνας διαπλάσασθαι, ἀλλ' ἤδη καὶ ἀλόγοις ζώοις καὶ φυτοῖς τῆς τῶν ἀφθάρτων τιμῆς μετέδοσαν. Ὁ δὲ τούτοις ἐπιτιμῶν τὸν ἐπινίκιον ὕμνον ἐξάρχων ἐδείχθη.

§. 29. Καὶ Μωϋσῆς μέντοι κατὰ ταῦτα, ἐπειδὰν ἴδῃ τὸν „βασιλέα τῆς Αἰγύπτου *)," τὸν ὑπέρ-

*) Exod. 14, 7.

ἄνοχον νοῦν "σὺν τοῖς ἑξακοσίοις ἅρμασι," ταῖς
τοῦ ὀργανικοῦ σώματος ἓξ κινήσεσιν ἡρμοσμέναις,
"τοῖς ἐπιβεβηκόσι τριστάταις," οἵ, μηδενὸς τῶν
κατὰ γένεσιν πεφυκότος ἑστάναι, τὴν περὶ πάντων
οἴονται δεῖν ὡς ἂν παγίως ἱδρυμένων καὶ μηδεμίαν
δεχομένων μεταβολὴν, ἀποφαίνεσθαι, δίκην ἀξίαν
τῆς ἀσεβείας ὑποσχόντα, καὶ τὸν ἀσκητικὸν ἔμπαλιν
τὰς ἐπιδρομὰς τῶν πολεμίων ἐκφυγόντα, καὶ ἀνὰ
κράτος ἀπροσδοκήτως διασωθέντα, τὸν δίκαιον καὶ
ἀληθῆ βραβευτὴν ὑμνεῖ θεὸν, τὰ πρεπωδέστατα καὶ
οἰκειότατα ταῖς συντυχίαις ἐξάρχων ᾄσματα, διότι 257
"ἵππον καὶ ἀναβάτην ῥίψας εἰς θάλασσαν *)," P.
τὸν ἐποχούμενον νοῦν ταῖς τοῦ τετράποδος καὶ ἀφη-
νιαστοῦ πάθους ἀλόγοις ὁρμαῖς ἀφανίσας, βοηθὸς
καὶ ὑπερασπιστὴς ἐγένετο τῆς ὁρατικῆς ψυχῆς, ὥς
χαρίσασθαι παντελῆ σωτηρίαν αὐτῇ. Ὁ δὲ αὐτὸς
καὶ ἐπὶ τοῦ φρέατος ἐξάρχει, οὐκ ἔτι μόνον ἐπὶ
καθαιρέσει τῶν παθῶν, ἀλλὰ καὶ ἐπὶ τῷ τὸ κάλλι-
στον κτημάτων, σοφίαν ἀνανταγώνιστον ἰσχῦσαι λα-
βεῖν, ἣν ἀπεικάζει φρέατι. Βαθεῖα γὰρ καὶ οὐκ
ἐπιπόλαιος, γλυκὺ ἀναδιδοῦσα νᾶμα, καλοκἀγαθίας
375 διψώσαις ψυχαῖς, ἀναγκαιότατον ὁμοῦ καὶ ἥδι-
M. στον ποτόν. Ἰδιώτῃ δὲ οὐδενὶ παιδείας ἐφεῖται τοῦτο
τὸ φρέαρ ὀρύττειν, μόνοις δὲ βασιλεῦσιν, ᾗ φησιν,
"Ἐλατόμησαν αὐτὸ βασιλεῖς **)." Μεγάλων γὰρ
ἡγεμόνων ἀναζητῆσαι καὶ κατεργάσασθαι σοφίαν,
οὐχὶ τῶν ὅπλοις γῆν καὶ θάλατταν ὑπηγμένων, ἀλλὰ
τῶν ψυχῆς δυνάμεσι τὸν πολύτροπον αὐτῆς καὶ
μιγάδα καὶ πεφορημένον ὄχλον κατηγωνισμένων.

§. 30. Τούτων φοιτητὰς καὶ γνωρίμους εἶναι
συμβέβηκε τοὺς λέγοντας, "Οἱ παῖδές σου εἰλήφασι
τὸ κεφάλαιον τῶν ἀνδρῶν τῶν πολεμιστῶν τῶν μεθ'
ἡμῶν· οὐ διαπεφώνηκεν ἀπ' αὐτῶν οὐδὲ εἷς, προς-

*) Exod. 15, 4. **) Num. 21, 16—18.

αγήοχε τὸ δῶρον κυρίῳ ἀνὴρ, ὃ εὗρεν *)." Ἐοίκασι γὰρ καὶ οὗτοι πάλιν ἐπινίκιον ᾆσμα ἐξάρχειν, τελείων καὶ ἡγεμονικῶν δυνάμεων ἐφιέμενοι. Τὸν γὰρ συντιθέντα τὸ κεφάλαιον καὶ πλεῖστον ἀριθμὸν τῶν κατ᾽ ἀνδρείαν λόγων, φασὶ λαβεῖν, οὓς ἐκ φύσεως εἶναι πολεμικοὺς συμβέβηκε, δυσὶν ἀντιτεταγμένους τέλεσιν, ἑνὶ μὲν, οὗ ἡ δυςθήρατος ἀφηγεῖται δειλία, ἑτέρου δὲ, οὗ ἡ ἀρειμάνιος θρασύτης· ἀμφότεραι δὲ γνώμης ἀγαθῆς ἀμέτοχοι. Παγκάλως δὲ εἴρηται, τὸ μηδένα διαπεφωνηκέναι πρὸς ὁλοκλήρου καὶ παντελοῦς μετουσίαν ἀνδρείας, καθάπερ λύρα καὶ πᾶν μουσικῆς ὄργανον ἐκμελὲς, καὶ ἂν εἷς αὐτῷ μόνον ἀπῳδὸς ᾖ φθόγγος· ἡρμοσμένον δὲ, ὅταν μιᾷ πλήξει συνηχῶσι, τὴν αὐτὴν συμφωνίαν ἀποτελοῦντες. Τὸν αὐτὸν τρόπον καὶ τὸ ψυχῆς ὄργανον ἀσύμφωνον μὲν, ὅταν ἢ θράσει σφόδρα ἐπιτεινόμενον πρὸς τὸ ὀξύτατον βιάζηται, ἢ δειλίᾳ πλέον τοῦ μετρίου ἀνιέμενον, πρὸς τὸ βαρύτατον χαλᾶται· σύμφωνον δὲ, ὅταν οἱ τῆς ἀνδρείας καὶ πάσης ἀρετῆς τόνοι πάντες ἀνακραθέντες, ἓν εὐάρμοστον ἀπογεννήσωσι μέλος. Τῆς δὲ συμφωνίας καὶ εὐαρμοστίας μέγα τεκμήριον, τὸ προςαγηοχέναι τὸ δῶρον τῷ θεῷ. Τοῦτο δέ ἐστι τιμῆσαι πρεπόντως τὸ ὂν, διὰ τοῦ σαφέστατα ὡμολογηκέναι, ὅτι δῶρόν ἐστιν αὐτοῦ τόδε τὸ πᾶν. Λέγει γὰρ φυσικώτατα, 258
"Ἀνὴρ ὃ εὗρε, τοῦτο προςήνεγκε δῶρον **)." Ἕκα- P.
στος δὲ ἡμῶν γενόμενος εὐθὺς εὑρίσκει τὸ μέγα δῶρον θεοῦ τὸν παντελῆ κόσμον, αὐτὸν ἑαυτῷ καὶ τοῖς ἀρίστοις μέλεσιν ὅρεσιν ἐχαρίσατο.

§. 31. Εἰσὶ δὲ καὶ ἐν μέρει δωρεαὶ, ἃς θεῷ τε
876 δοῦναι καὶ λαβεῖν ἀνθρώποις ἐμπρεπές. Αὗται
M. δὲ ἂν εἶεν ἀρεταὶ καὶ αἱ κατ᾽ αὐτὰς ἐνέργειαι, ὧν τὴν εὕρεσιν σχεδὸν ἄχρονον οὖσαν, διὰ τὸ ὑπερβάλλον τοῦ χαριζομένου τάχος, ἐν οἷς εἴωθε δωρεῖ-

*) Num. 31, 49 sq. **) Ibid. 31, 50.

σθαι, πᾶς καταπέπληκται, καὶ ὅτῳ μηδὲν μέγα τῶν ἄλλων ὑπείληπται. Διὸ καὶ πυνθάνεται, "Τί τοῦτο ὃ ταχὺ εὗρες, ὦ τέκνον *);" τεθαυμακὼς τῆς σπουδαίας διαθέσεως τὴν ὀξύτητα. Ὁ δὲ εὖ παθὼν εὐθυβόλως ἀποκρίνεται, "Ἃ παρέδωκε κύριος ὁ θεός." Παραδόσεις γὰρ καὶ ὑφηγήσεις βραδεῖαι μὲν αἱ δι' ἀνθρώπων, ὀξύνεται δὲ αἱ διὰ θεοῦ, φθάνουσαι καὶ τὴν ὀξυτάτου χρόνου κίνησιν. Οἱ μὲν οὖν κατ' ἰσχὺν καὶ δύναμιν ἔξαρχοι καὶ ἡγεμόνες τοῦ τὸν ἐπινίκιον καὶ εὐχαριστικὸν ὕμνον ᾄδοντος χοροῦ, οἱ λεχθέντες εἰσίν· οἱ δὲ κατὰ τροπὴν καὶ ἀσθένειαν, τοῦ τὸν ἐφ' ἥτταις θρῆνον σφαδάζοντες, ἑταῖροι, οὓς οὐ κακίζειν μᾶλλον ἢ οἰκτίζεσθαι χρή, καθάπερ τοὺς τὰ σώματα ἐκ φύσεως ἐπικήρως ἔχοντας, οἷς καὶ ἡ τυχοῦσα νόσου πρόφασις μέγα ἐμπόδιον πρὸς τὸ σώζεσθαι. Ἔνιοι δὲ οὐ τῷ μαλθακωτέροις τοῖς ψυχῆς κεχρῆσθαι τόνοις, ἀνέπεσον ἄκοντες, ὑπ' ἐῤῥωμενεστέρας τῶν ἀντιπάλων ἰσχύος πιεσθέντες· ἀλλὰ μιμούμενοι τοὺς ἐθελοδούλους, ἑκόντες ἑαυτοὺς πικροῖς δεσπόταις ὑπέῤῥιψαν, γένος ὄντες ἐλεύθεροι. Διὸ μὴ δυνάμενοι πεπρᾶσθαι, τὸ παραλογώτατον αὐτοὶ δεσπότας ὠνούμενοι προςεκτῶντο, τὸ αὐτὸ δρῶντες τοῖς ἐμφορουμένοις ἀπλήστως πρὸς μέθην οἴνου. Καὶ γὰρ ἐκεῖνοι γνώμῃ τὸν ἄκρατον οὐ βιασθέντες προςφέρονται, ὥςτε καὶ γνώμῃ τὸ μὲν νηφάλιον ἐκτέμνουσι τῆς ψυχῆς, τὸ δὲ παράληρον αἱροῦνται. "Φωνὴν γὰρ," φησίν, "ἐξαρχόντων ὑπ' οἴνου ἐγὼ ἀκούω **)," τουτέστιν, οὐκ ἀκούσιον ἐνδεδειγμένων μανίαν, ἀλλ' ἑκουσίῳ φρενοβλαβείᾳ βεβλαμμένων.

§. 32. Πᾶς δὲ ὁ συνεγγίζων τῇ παρεμβολῇ "τὸν μόσχον ὁρᾷ καὶ τοὺς χορούς," ἢ καὶ αὐτὸς διασυνίστησι. Τύφῳ γὰρ καὶ τοῖς τύφου χορευταῖς ἐντυγχάνομεν, ὅσοι πλησίον ἵστασθαι τοῦ σωματι-

*) Gen. 27, 20. **) Exod. 32, 17. 18.

κοῦ στρατοπέδου διανοούμεθα γνώμῃ· ἐπεὶ τοῖς φι-
λοθεάμοσι καὶ τὰ ἀσώματα ὁρᾷν γλιχομένοις, ἅτε
ἀτυφίας οὖσιν ἀσκηταῖς, πορρωτάτω τοῦ σώμα-
τος ἔθος διοικίζεσθαι. Εὔχου δὴ τῷ θεῷ μηδέ-
ποτε ἔξαρχος οἴνου γενέσθαι, τουτέστι μηδέποτε
ἑκὼν ἀφηγήσασθαι τῆς εἰς ἀπαιδευσίαν καὶ ἀφρο- 259
σύνην ἀγούσης ὁδοῦ. Τὰ γὰρ ἀκούσια κακῶν ἡμί- P.
σει κουφότερα, καθαρῷ τῷ τοῦ συνειδότος ἐλέγχῳ
μὴ βαρυνόμενα. Τελεσφορηθεισῶν δέ σοι τῶν εὐ-
χῶν, ἰδιώτης μὲν ἔτι μένειν οὐκ ἂν δύναιο· τὴν δὲ
μεγίστην ἡγεμονιῶν ἀρχὴν, ἱερωσύνην, κτήσῃ. Σχε-
δὸν γὰρ ἱερέων καὶ θεραπευτῶν θεοῦ μόνον τὸ
377 ἔργον νηφάλια θύειν, οἴνου καὶ παντὸς τοῦ λη-
M. ρεῖν αἰτίου βεβαιότητι διανοίας κατεξανισταμένων.

"Ἐλάλησε γὰρ," φησὶ, "κύριος τῷ Ἀαρὼν λέγων, οἶνον καὶ σίκερα οὐ πίεσθε, σὺ καὶ οἱ υἱοί σου μετὰ σὲ, ἡνίκα ἂν εἰςπορεύησθε εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, ἢ προςπορεύησθε τῷ θυσιαστηρίῳ, καὶ οὐ μὴ ἀποθάνητε· νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν διαστεῖλαι ἀνὰ μέσον ἁγίων καὶ βεβήλων, καὶ ἀνὰ μέσον καθαρῶν καὶ ἀκαθάρτων *)." Ἀαρὼν δέ ἐστιν ὁ ἱερεὺς, καὶ τὸ ὄνομα ὀρεινὸς ἑρμηνεύεται, μετέωρα καὶ ὑψηλὰ φρονῶν λογισμὸς, οὐ διὰ μεγαλαυχίας κενοῦ φυσήματος ὑπόπλεων ὄγκον, ἀλλὰ διὰ μέγεθος ἀρετῆς, ἣ τὸ φρόνημα ἐξαίρουσα πέραν οὐρανοῦ ταπεινὸν οὐδὲν ἐᾷ λογίζεσθαι. Διακείμενος δὲ οὕτως ἄκρατον καὶ πᾶν ἀφροσύνης φάρμακον ἑκὼν οὔποτε προςοίσεται. Ἀνάγκη γάρ ἐστι ἢ ἀῤῥηφοροῦντα αὐτοῖς εἰς τὴν σκηνὴν εἰσιέναι τὰς ἀοράτους ἐπιτελέσοντα τελετὰς, ἢ τῷ βωμῷ προσιόντα, θυσίας ὑπέρ τε τῶν ἰδίων καὶ κοινῶν χαριστηρίους ἀναγαγεῖν. Νήψεως δὲ καὶ περιττῆς ἀγχινοίας ταῦτα δεῖται.

§. 33. Θαυμάσαι μὲν οὖν εἰκότως ἄν τις καὶ τὸ ῥητὸν τῆς προστάξεως. Πῶς γὰρ οὐ σεμνὸν,

---

*) Lev. 10, 8 sq.

νήφοντας καὶ ἐν ἑαυτοῖς ὄντας πρὸς εὐχὰς καὶ ἱερουργίας χωρεῖν, ὡς ἔμπαλιν ἀμφότερα σῶμα καὶ ψυχὴν παρειμένους ὑπὸ οἴνου καταγέλαστον; Εἰ μὴ δεσπόταις μὲν καὶ γονεῦσι καὶ ἄρχουσιν οἰκέται καὶ υἱοὶ καὶ ὑπήκοοι μέλλοντος προσέρχεσθαι, πρόνοιαν ἕξουσι τοῦ νήφειν, ὡς μήτε ἐν τοῖς λεγομένοις καὶ πραττομένοις διαμάρτοιεν, μήθ᾽ ὡς καταπεφρονηκότες τῆς ἐκείνων ἀξιώσεως κολασθεῖεν, ἢ τὸ γοῦν ἐπιεικέστατον χλεύην ὄφλοιεν. Τὸν δὲ τοῦ παντὸς ἡγεμόνα καὶ πατέρα τις θεραπεύειν δικαιῶν, οὐ καὶ σιτίων καὶ ποτῶν καὶ ὕπνου καὶ πάντων ὅσα ἀναγκαῖα τῇ φύσει περιέσται, ἀλλὰ πρὸς τὸ ἀβροδίαιτον ἀποκλίνας τὸν τῶν ἀσώτων ζηλώσει βίον, καὶ βεβαρημένος τοὺς ὀφθαλμοὺς ἀπ᾽ οἴνου, καὶ τὴν κεφαλὴν παραβάλλων, καὶ τὸν αὐχένα ἐγκάρσιον πλησιάζων, καὶ ὑπ᾽ ἀμετρίας ἐρευγόμενος, καὶ ὅλῳ διαῤῥέων τῷ σώματι, χέρνιβος ἢ βωμῶν ἢ θυσιῶν προσάψεται; Ἀλλ᾽ οὐδὲ τὴν ἱερὰν ἐξ ἀπόπτου
φλόγα θεάσασθαι τῷ τοιούτῳ θέμις. Εἰ μέντοι 260
μήτε σκηνὴν μήτε θυσιαστήριον ὑπολάβοι τις λέ- P.
γεσθαι τὰ ὁρώμενα ἐκ τῆς ἀψύχου καὶ φθαρτῆς
δημιουργηθέντα ὕλης, ἀλλὰ τὰ ἀόρατα καὶ τὰ νοη-
378 τὰ θεωρήματα, ὧν αἰσθηταὶ ταῦτα εἰκόνες, κα-
M. ταπλαγήσεται μᾶλλον τὴν ὑφήγησιν. Ἐπειδὴ γὰρ
παντὸς τὸ μὲν παράδειγμα τὸ δὲ μίμημα ὁ ποιῶν ἐποίει, καὶ ἀρετῆς τὴν μὲν ἀρχέτυπον σφραγῖδα εἰργάζετο, τὸν δὲ ἀπὸ ταύτης ἐνεσημαίνετο ἐμφερέστατον χαρακτῆρα. Ἡ μὲν οὖν ἀρχέτυπος σφραγὶς ἀσώματός ἐστιν ἰδέα· ἡ δὲ χαραχθεῖσα εἰκὼν σῶμα ἤδη, φύσει μὲν αἰσθητὸν, οὐ μὴν εἰς αἴσθησιν ἐρχόμενον· καθάπερ καὶ τὸ ἐν τῷ βαθυτάτῳ τοῦ Ἀτλαντικοῦ πελάγους ξύλον εἴποι τις ἂν πεφυκέναι μὲν πρὸς τὸ καίεσθαι, μηδέποτε δὲ ὑπὸ πυρὸς ἀναλωθήσεσθαι, διὰ τὴν τῆς θαλάττης ἀνάχυσιν.

§. 34. Τὴν οὖν σκηνὴν καὶ τὸν βωμὸν ἐννοήσωμεν ἰδέας, τὴν μὲν ἀρετῆς ἀσωμάτου, τὸν δὲ

αἰσθητῆς εἰκόνος εἶναι σύμβολον. Τὸν μέν γε βωμὸν καὶ τὰ ἐπ' αὐτοῦ, ῥᾴδιον ἰδεῖν· ἔξω τε γὰρ ἔχει τὴν κατασκευὴν, καὶ ἀσβέστῳ πυρὶ ἀναλίσκεται, ὡς μὴ μεθ' ἡμέραν μόνον, ἀλλὰ καὶ νύκτωρ περιλάμπεσθαι. Ἡ δὲ σκηνὴ καὶ τὰ ἐν αὐτῇ πάντα ἀθέατα, οὐχὶ τῷ μόνον ἐσωτάτῳ καὶ ἐν ἀδύτοις ἱδρύσθαι, ἀλλὰ καὶ τῷ προςαψάμενον, ἢ διὰ περιεργίαν ὀφθαλμῶν ἰδόντα, ἀπαραιτήτῳ δίκῃ θανάτου κατὰ πρόςταξιν νόμου κολάζεσθαι· πλὴν εἰ μή τις ὁλόκληρος καὶ παντελὴς εἴη, περὶ μηδὲν μὴ μέγα, μὴ μικρὸν ἁπλῶς κηραίνων πάθος, ἀλλ' ἀρτίῳ καὶ πλήρει καὶ πάντα τελειοτάτῃ κεχρημένος τῇ φύσει. Τούτῳ γὰρ ἐπιτέτραπται δι' ἔτους ἅπαξ εἰςιόντι ἐπισκοπεῖν τὰ ἀθέατα ἄλλοις, ἐπειδὴ καὶ ἐξ ἁπάντων μόνῳ ὁ τῶν ἀσωμάτων καὶ ἀφθάρτων ἀγαθῶν πτηνὸς καὶ οὐράνιος ἔρως ἐνδιαιτᾶται. Ὅταν οὖν ὑπὸ τῆς ἰδέας πληχθεὶς ἕπηται τῇ τὰς κατὰ μέρος ἀρετὰς τυπούσῃ σφραγῖδι, κατανοῶν καὶ καταπληττόμενος αὐτῆς τὸ θεοειδέστατον κάλλος, ᾗ τινι προςέρχεται δεξαμένῃ τὸν ἐκείνης χαρακτῆρα, λήθη μὲν ἀμαθίας καὶ ἀπαιδευσίας, μνήμη δὲ παιδείας καὶ ἐπιστήμης εὐθὺς ἐγγίνεται. Διὸ λέγει, "Οἶνον καὶ σίκερα οὐ πίεσθε, σὺ καὶ οἱ υἱοί σου μετὰ σὲ," ἡνίκα ἂν εἰςπορεύησθε εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, ἢ προςπορεύησθε τῷ θυσιαστηρίῳ. Ταῦτα δ' οὐκ ἀπαγορεύων μᾶλλον ἢ γνώμην ἀποφαινόμενος διεξέρχεται. Τῷ μέντοι ἀπαγορεύοντι οἰκεῖον ἦν εἰπεῖν, οἶνον ὅταν ἱερουργῆτε μὴ πίνετε, τῷ δὲ γνώμην ἀποφαινομένῳ τὸ οὐ πίεσθε. Καὶ γάρ ἐστιν ἀμήχανον τὸ μέθης καὶ παροινίας ψυχῆς αἴτιον, ἀπαιδευσίαν προςίεσθαι, τὸν ταῖς γενικαῖς
καὶ κατ' εἶδος ἀρεταῖς ἐμμελετῶντα καὶ ἐγχορεύ- 261
οντα. Τὴν δὲ "σκηνὴν μαρτυρίου *)" καλεῖ πολ- P.
λάκις· ἤτοι παρ' ὅσον ὁ ἀψευδὴς θεὸς ἀρετῆς ἐστι

*) Exod. 33, 7.

μάρτυς, ᾧ καλὸν καὶ σύμφορον προςέχειν, ἢ παρ' ὅσον ἡ ἀρετὴ βεβαιότητα ταῖς ψυχαῖς ἐντίθησι, τοὺς ἐνδοιάζοντας καὶ ἐπαμφοτερίζοντας λογισμοὺς ἀνὰ κράτος ἐκτέμνουσα, καὶ ὥςπερ ἐν δικαστηρίῳ
379 τῷ βίῳ τὸ ἀληθὲς ἀνακαλύπτουσα.
M. §. 35. Λέγει δὲ ὅτι "οὐδ' ἀποθανεῖται ὁ νηφάλια θύων," ὡς ἀπαιδευσίας μὲν θάνατον ἐπιφερούσης, παιδείας δὲ ἀφθαρσίαν. Καθάπερ γὰρ ἐν τοῖς σώμασιν ἡμῶν νόσος μὲν διαλύσεως, ὑγεία δὲ σωτηρίας αἰτία, τὸν αὐτὸν τρόπον καὶ ἐν ταῖς ψυχαῖς, τὸ μὲν σῶζόν ἐστι-φρόνησις — ὑγεία γάρ τις αὕτη διανοίας —, τὸ δὲ φθεῖρον ἀφροσύνη, νόσον ἀνίατον κατασκήπτουσα. Τοῦτο δὲ "νόμιμον αἰώνιον εἶναι*)", φησιν, ἄντικρυς ἀποφαινόμενος· ὑπολαμβάνει γὰρ νόμον ἀθάνατον ἐν τῇ τοῦ παντος ἐστηλιτεῦσθαι φύσει ταυτὶ περιέχοντα, ὅτι ὑγιεινὸν μὲν καὶ σωτήριον χρῆμα παιδεία, νόσου δὲ καὶ φθορᾶς αἴτιον ἀπαιδευσία. Παρεμφαίνει δέ τι καὶ τοιοῦτον, τὸ πρὸς ἀλήθειαν νόμιμον εὐθύς ἐστιν αἰώνιον, ἐπεὶ καὶ ὁ ὀρθὸς λόγος, ὅς δὴ νόμος ἐστὶν, οὐ φθαρτός. Καὶ γὰρ αὖ τὸ ἐναντίον παράνομον, ἐφήμερόν τε καὶ εὐδιάλυτον ἐξ ἑαυτοῦ, παρὰ τοῖς εὖ φρονοῦσιν ἀνωμολόγηται. Νόμου δὲ καὶ παιδείας ἴδιον, βέβηλα ἁγίων καὶ ἀκάθαρτα καθαρῶν διαστέλλειν, ὡς ἔμπαλιν ἀνομίας καὶ ἀπαιδευσίας εἰς τὸ αὐτὸν ἄγειν τὰ μαχόμενα βιάζεσθαι, φυρούσας τὰ πάντα καὶ συγχεούσας.

§. 36. Διὰ τοῦτο ὁ καὶ βασιλέων καὶ προφητῶν μέγιστος Σαμουὴλ "οἶνον καὶ μέθυσμα," ὡς ὁ ἱερὸς λόγος φησὶν, "ἄχρι τελευτῆς οὐ πίεται**)." Τέτακται γὰρ ἐν τῇ τοῦ θείου στρατοπέδου τάξει, ἣν οὐδέποτε λείψει προμηθεία τοῦ σοφοῦ ταξιάρχου· Σαμουὴλ δὲ γέγονε μὲν ἴσως ἄνθρωπος, παρείληπται δὲ οὐχ ὡς σύνθετον ζῶον, ἀλλ' ὡς νοῦς, λατρείᾳ

---

*) Lev. 10, 9. **) 1 Sam. (1 Reg.) 1, 15.

καὶ θεραπεία θεοῦ μόνῃ χαίρων. Ἑρμηνεύεται γὰρ
τεταγμένος θεῷ, διὰ τὸ τὰς πράξεις ὅσαι κατὰ κε-
νὰς δόξας συνίστανται, χαλεπὴν ἀταξίαν εἶναι νο-
μίζειν. Οὗτος μητρὸς γέγονεν ἀνθρωπίνης, ἧς τὸ
ὄνομα μεταληφθέν ἐστι χάρις. Ἄνευ γὰρ θείας
χάριτος ἀμήχανον ἢ λειποτακτῆσαι τὰ θνητὰ, ἢ
τοῖς ἀφθάρτοις ἀεὶ παραμεῖναι. Χάριτος δὲ ἥ τις
ἂν πληρωθῇ ψυχὴ, γέγηθεν εὐθὺς καὶ μειδιᾷ καὶ
ἀνορχεῖται. Βεβάκχευται γὰρ, ὡς πολλοῖς τῶν ἀν-
οργιάστων μεθύειν καὶ παρακινεῖν καὶ ἐξεστάναι ἂν
δόξαι. Διὸ καὶ λέγεται πρὸς αὐτὴν ὑπὸ παιδαρίου
τινὸς, οὐχ ἑνὸς, ἀλλ' ὑπὸ παντὸς τοῦ νεωτερίζειν
καὶ τὰ καλὰ χλευάζειν ἀκμὴν ἔχοντος, "Ἕως πότε
380 μεθυσθήσῃ; Περιελοῦ τὸν οἶνόν σου*)." Φιλεῖ
M. γὰρ τοῖς θεοφορήτοις οὐχ ἡ ψυχὴ μόνον ἐγείρεσθαι
καὶ ὥςπερ ἐξοιστρεῖν, ἀλλὰ καὶ τὸ σῶμα ἐνερευ- 262
θὲς εἶναι καὶ πεπυρωμένον, τῆς ἔνδον ἀναχεούσης P.
καὶ χλιαινούσης χαρᾶς τὸ πάθος εἰς τὰ ἔξω διαδι-
δούσης ὑφ' οὗ πολλοὶ τῶν ἀφρόνων ἀπατηθέντες,
τοὺς νήφοντας μεθύειν ὑπετόπασαν. Καί τοί γε ἐκεῖ-
νοι μὲν τρόπον τινὰ μεθύουσιν οἱ νήφοντες, τὰ
ἀγαθὰ ἀθρόα ἠκρατισμένοι, καὶ τὰς προπόσεις παρὰ
τελείας ἀρετῆς δεξάμενοι. Οἱ δὲ τὴν ἀπὸ οἴνου με-
θύοντες μέθην, ἄγευστοι φρονήσεως διετέλεσαν, νη-
στείαν συνεχῆ καὶ λιμὸν αὐτῆς ἄγοντες. Εἰκότως
οὖν ἀποκρίνεται πρὸς τὸν νεωτεροποιὸν καὶ γέλωτα
τίθεσθαι οἰόμενον τὸν σεμνὸν καὶ αὐστηρὸν αὐτῆς
βίον, ὦ θαυμάσιε, "Γυνὴ ἡ σκληρὰ ἡμέρα ἐγώ
εἰμι, καὶ οἶνον καὶ μέθυσμα οὐ πέπωκα, καὶ ἐκχεῶ
τὴν ψυχήν μου ἐνώπιον κυρίου." Παμπόλλη γε
παῤῥησία τῆς ψυχῆς, ἣ τῶν χαρίτων τοῦ θεοῦ πε-
πλήρωται. Πρῶτον μὲν γε "σκληρὰν ἡμέραν" εἶπεν
ἑαυτὴν, πρὸς τὸ χλευάζον ἀπιδοῦσα παιδάριον.
Τούτῳ γὰρ καὶ παντὶ ἄφρονι τραχεῖα καὶ δύςβατος

*) 1 Sam. (1 Reg.) 1, 14.

καὶ ἀργαλεωτάτη νενόμισται ἡ ἐπ' ἀρετὴν ἄγουσα ὁδός. Καθὰ καὶ τῶν παλαιῶν τις ἐμαρτύρησεν εἰπὼν,

Τὴν μέντοι κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι.
Τῆς δ' ἀρετῆς ἱδρῶτα θεὸς προπάροιθεν ἔθηκεν
Ἀθάνατος, μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ' αὐτὴν,
Καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηαι,
Ῥηϊδίη δὴ ἔπειτα πέλει, χαλεπή περ ἐοῦσα.

§. 37. Εἶτα "οἶνον καὶ μέθυσμα οὔ φησι προςενέγκασθαι," τῷ συνεχῶς καὶ παρὰ πάντα τὸν βίον νήφειν ἐπαυχοῦσα. Καὶ γὰρ ὄντως ἀφέτῳ καὶ ἐλευθεριάζοντι, καὶ καθαρῷ χρῆσθαι λογισμῷ πρὸς μηδενὸς πάθους παροινουμένῳ, μέγα καὶ θαυμαστὸν ἦν ἔργον. Ἐκ τούτου δὲ συμβαίνει, νήψεως ἀκράτου τὸν νοῦν ἐμφορηθέντα σπονδὴν ὅλον δι' ὅλων γίνεσθαί τε καὶ σπένδεσθαι θεῷ. Τί γὰρ ἦν τὸ, "Ἐκχεῶ τὴν ψυχήν μου ἐναντίον κυρίου," ἢ σύμπασαν αὐτὴν ἀνιερώσω; Δεσμὰ μὲν οἷς πρότερον ἐσφίγγετο, ἃ περιῆψαν αἱ τοῦ θνητοῦ βίου κεναὶ σπουδαὶ, πάντα λύσας, προαγαγὼν δὲ ἔξω καὶ τείνας καὶ ἀναχέας τοσοῦτον, ὡς καὶ τῶν τοῦ παντὸς ἅψασθαι περάτων, καὶ πρὸς τὴν τοῦ ἀγεννήτου παγκάλην καὶ ἀοίδιμον θέαν ἐπειχθῆναι. Νη-
381 φόντων μὲν οὖν ὁ χορὸς οὗτος, παιδείαν προ-
M. στησαμένων ἡγεμονίδα· μεθυόντων δὲ ὁ πρότερος, οὗπερ ἦν ἔξαρχος ἀπαιδευσία.

§. 38. Ἐπεὶ δὲ τὸ μεθύειν οὐ μόνον ἐδήλου τὸ ληρεῖν, ὃ δημιουργὸν ἀπαιδευσίας εἶχεν, ἀλλὰ καὶ τὸ παντελῶς ἀναισθητεῖν, ἀναισθησίας δὲ τῆς μὲν κατὰ τὸ σῶμα δημιουργὸς ὁ οἶνος, τῆς δὲ κατὰ ψυχὴν ἄγνοια τούτων, ὧν εἰκὸς ἦν ἐπιστήμην ἀνειληφέναι· λεκτέον καὶ περὶ ἀγνοίας βραχέα, αὐτὰ 263
τὰ καίρια ὑπομιμνήσκοντας. Τίνι οὖν ἀπεικάσομεν P.
τῶν ἐν τῷ σώματι τὸ ἐν ψυχῇ πάθος ὃ κέκληται ἄγνοια; Ἢ τῇ τῶν αἰσθητηρίων πηρώσει; Οὐκοῦν

ὅσοι ὀφθαλμοὺς καὶ ὦτα ἐβλάβησαν, οὐδὲν ἔτι ἰδεῖν οὔτ' ἀκοῦσαι δύνανται, ἡμέραν μὲν καὶ φῶς, ὧν ἕνεκα μόνων, εἰ χρὴ τὸ ἀληθὲς εἰπεῖν, τὸ ζῆν αἱρετὸν, οὐκ εἰδότες, μακρῷ δὲ σκότῳ καὶ νυκτὶ αἰωνίῳ συνοικοῦντες, πρὸς πάντα καὶ μικρὰ καὶ μείζω κεκωφωμένοι· οὓς εἰκότως ὁ βίος ἀδυνάτους εἴωθε καλεῖν. Καὶ ἂν γὰρ αἱ τοῦ ἄλλου σώματος ἅπασαι δυνάμεις ἐπ' αὐτὸ δὴ τὸ πέρας ἰσχύος ἔλθωσι καὶ ῥώμης, ὑποσκελισθεῖσαι πρὸς ὀφθαλμῶν καὶ ὤτων πηρώσεως, μέγα πτῶμα πίπτουσιν, ὡς μηκέτι ἀναστῆναι δύνασθαι. Τὰ γὰρ ὑπερείδοντα καὶ στηρίζοντα ἄνθρωπον, λόγῳ μὲν αἱ βάσεις εἰσὶν, ἔργῳ δὲ ἀκοαί τε καὶ ὄψεις, ἃς ἔχων μέν τις ὁλοκλήρους ἐγήγερται καὶ ἀνωρθίασται, στερόμενος δὲ αὐτῶν, κλίνεται καὶ εἰςάπαν καθαιρεῖται. Τὸ παραπλήσιον οὖν ἐν ψυχῇ πάντως ἄγνοια ἐργάζεται, τὰ βλέποντα καὶ ἀκούοντα αὐτῆς λυμαινομένη, καὶ μήτε φῶς μήτε λόγον παρειςελθεῖν ἐῶσα, τὸν μὲν, ἵνα μὴ διδάξῃ, τὸ δὲ, ἵνα μὴ δείξῃ τὰ ὄντα· βαθὺ δὲ σκότος καὶ πολλὴν ἀλογίαν καταχέασα, κωφὸν λίθον τὸ περικαλλέστατον εἶδος ψυχῆς εἰργάσατο.

§. 39. Καὶ γὰρ τῇ ἀγνοίᾳ τὸ ἐναντίον ἡ ἐπιστήμη, τρόπον τινὰ ψυχῆς καὶ ὀφθαλμοὶ καὶ ὦτά ἐστι. Καὶ γὰρ τοῖς λεγομένοις προςέχει τὸν νοῦν καὶ καταθεᾶται τὰ ὄντα, καὶ οὐδὲν οὔτε παρορᾶν οὔτε παρακούειν ὑπομένει. Πάντα δὲ ὅσα ἀκοῆς καὶ θέας ἄξια περισκοπεῖ καὶ περιβλέπεται, καὶ ἂν εἰ πεζεύειν καὶ πλεῖν δέῃ γῆς καὶ θαλάττης ἄχρι τῶν περάτων ἀφικνεῖται, ἵνα ἴδῃ τι πλεῖον ἢ ἀκούσῃ καινότερον. Ἀοκνότατος γὰρ ὁ ἐπιστήμης ἔρως, ἐχθρὸς μὲν ὕπνου, φίλος δὲ ἐγρηγόρσεως. Διανιστὰς οὖν καὶ ἀνεγείρων καὶ παραθήγων ἀεὶ διάνοιαν, πανταχόσε περιφοιτᾶν ἀναγκάζει, λίχνον ἀκοῆς ἐργαζόμενος, καὶ μαθήσεως δίψαν ἄληκτον ἐντήκων. Οὐκοῦν ἐπιστήμη μὲν τὸ βλέπειν καὶ ἀκούειν περιποιεῖ, δι' ὧν αἱ κατορθώσεις. Ὁ γὰρ ἰδὼν καὶ

382 ἀκούσας, γνοὺς τὸ συμφέρον, τὸ μὲν ἑλόμενος, τὸ
M. δὲ ἐναντίον ἀποστραφεὶς, ὠφέληται. Ἄγνοια δὲ
χαλεπωτέραν τῆς ἐν τῷ σώματι πήρωσιν ἐπιφέρουσα
τῇ ψυχῇ, πάντων ἁμαρτημάτων αἰτία γίνεται· μηδὲν
μήτ᾽ ἐκ τοῦ προϊδέσθαι, μήτ᾽ ἐκ τοῦ προακοῦσαι
δυναμένη λαβεῖν ἔξωθεν βοήθημα. Διὰ γοῦν τὴν
πολλὴν ἐρημίαν ἑαυτῆς ἀφρούρητος καὶ ἀφύλακτος
ἐαθεῖσα, καὶ πρὸς τῶν ἐπιτυχόντων ἀνθρώπων 264
τε ὁμοῦ καὶ πραγμάτων ἐπιβουλεύεται. Μηδέ ποτ᾽ P.
οὖν μήτ᾽ ἄκρατον προσενεγκώμεθα τοσοῦτον, ὡς
ἀπραξίαν ἐμποιῆσαι ταῖς αἰσθήσεσι, μήτε τοσοῦτον
ἐπιστήμης ἀλλοτριωθῶμεν, ὡς ἄγνοιαν, τὸ μέγα
καὶ βαθὺ σκότος, τῆς ἑαυτῶν ψυχῆς κατασκεδάσαι.

§. 40. Διττὸν δὲ τὸ ἀγνοίας γένος, τὸ μὲν ἁπλοῦν, ἡ παντελὴς ἀναισθησία· τὸ δὲ διπλοῦν, ὅταν μὴ μόνον ἀνεπιστημοσύνῃ τις συνέχηται, ἀλλὰ καὶ οἴηται εἰδέναι ἃ μηδαμῶς οἶδε, δόξῃ ψευδεῖ σοφίας ἐπαιρόμενος. Τὸ μὲν οὖν πρότερον κακὸν ἔλαττον, κουφοτέρων γὰρ ἁμαρτημάτων καὶ τάχα ἀκουσίων αἴτιον· τὸ δὲ δεύτερον μεῖζον, μεγάλα γὰρ ἀποτίκτει, καὶ οὐκ ἀκούσια μόνον, ἀλλ᾽ ἤδη καὶ ἐκ προνοίας ἀδικήματα. Περὶ ταῦτά μοι δοκεῖ Λὼτ ὁ θυγατροποιὸς μάλιστα κηραίνειν, ἄῤῥεν καὶ τέλειον ἐν ψυχῇ φυτὸν ἀναθρέψαι μὴ δυνάμενος. Δύο γὰρ θυγατέρας ἐκ τῆς λιθουμένης γυναικὸς ἔσχηκεν, ἣν εὐθυβόλῳ χρησάμενος ὀνόματι, καλέσειεν ἄν τις συνήθειαν ἐχθρὰν φύσιν ἀληθείας, καὶ ὁπότε ἄγοι τις αὐτὴν, ὑστερίζουσαν καὶ περιβλεπομένην τὰ ἀρχαῖα καὶ σύντροφα, καὶ ἀψύχου τρόπον στήλης ἐν μέσοις αὐτοῖς καταμένουσαν. Τῶν δὲ θυγατέρων, ἡ μὲν πρεσβυτέρα κεκλήσεται βουλὴ, συναίνεσις δὲ ἡ νεωτέρα. Τῷ μὲν γὰρ βουλεύσασθαι τὸ συναινεῖν ἕπεται, συναινέσας δὲ οὐδὲ εἷς ἔτι βουλεύεται. Καθίσας οὖν ὁ νοῦς ἐν τῷ αὐτοῦ συνεδρίῳ, διακινεῖν ἄρχεται τὰς θυγατέρας. Καὶ μετὰ μὲν τῆς πρεσβυτέρας, βουλῆς, σκοπεῖσθαί τε καὶ

διερευνᾶν ἕκαστα, μετὰ δὲ τῆς νεωτέρας, συναινέσεως, ἐπινεύειν ῥᾳδίως τοῖς ἐπιτυχοῦσι, καὶ ὡς φίλα τὰ ἐχθρὰ ἀσπάζεσθαι, δέλεαρ εἴ τι μικρὸν ἡδονῆς αὐτὸ μόνον ἀφ᾽ ἑαυτῶν ἐνδιδῴη. Ταῦτα δὲ νήφων μὲν λογισμὸς οὐκ ἀνέχεται, μέθῃ δὲ κατεσχημένος καὶ ὥςπερ ἔξοινος ὤν.

§. 41. Διὸ λέγεται, „Ἐπότισαν τὸν πατέρα οἶνον*)," ἀναισθησίαν παντελῆ, ἱκανὸν δοκεῖν βουλεύεσθαι τὸν νοῦν ἀφ᾽ ἑαυτοῦ τὰ συμφέροντα, ἢ τοῖς ὁπωςοῦν φανεῖσιν, ὡς τὸ ἀληθὲς πάγιον ἐν ἑαυτοῖς ἔχουσι, συναινέσαι· τῆς ἀνθρωπίνης φύσεως μηδαμῇ μηδαμῶς ἱκανῆς οὔσης, ἢ ἐκ περισκέψεως τὸ σαφὲς εὑρεῖν, ἢ ὡς ἀληθῆ καὶ συμφέροντα ἑλέ-
383 σθαι, ἢ ὡς ψευδῆ καὶ βλάβης αἴτια ἀποστραφῆ-
M. ναι. Πολὺ γὰρ σκότος τῶν ὄντων καὶ σωμάτων καὶ πραγμάτων κατακεχυμένον οὐκ ἐᾷ τὴν ἑκάστου φύσιν ἰδεῖν· ἀλλὰ καὶ ἂν βιασάμενός τις ὑπὸ περιεργίας ἢ τοῦ φιλομαθοῦς ἐθελήσῃ διανακῦψαι, καθάπερ οἱ πεπηρωμένοι, προςπταίων τοῖς ἐν ποσὶ, πρὶν τι λαβεῖν, ἀναπεσὼν ὑστερίζει· ἢ ταῖς χερσὶν ἐφαπτόμενος τὰ ἄδηλα εἰκάζει, στοχασμὸν πρὸ
ἀληθείας κτώμενος. Οὐδὲ γὰρ εἰ δᾳδουχοῦσα 265
παιδεία παραπέμπει τὸν νοῦν, φῶς ἁψαμένη τὸ P.
οἰκεῖον, ἐπὶ τὴν τῶν ὄντων θέαν ὀνῆσαι δύναιτ᾽ ἂν μᾶλλον ἢ βλάψαι. Τὸ γὰρ βραχὺ φέγγος ὑπὸ πολλοῦ σκότους σβέννυσθαι πέφυκε· σβεσθέντος δὲ ἀνωφελὴς πᾶσα ὄψις. Τὸν μέντοι σεμνυνόμενον ἢ ἐπὶ τῷ βουλεύεσθαι, ἢ ἐπὶ τῷ τὰ μὲν αἱρεῖσθαι, τὰ δὲ φεύγειν ἱκανῶς δύνασθαι, διὰ τούτων ὑπομνηστέον, εἰ μὲν ἀπὸ τῶν αὐτῶν τὰς αὐτὰς ἀεὶ συνέβαινε προςπίπτειν ἀπαραλλάκτους φαντασίας, ἦν ἴσως ἀναγκαῖον, τά τε ἐν ἡμῖν αὐτοῖς φύσει κατασκευασθέντα διττὰ κριτήρια, αἴσθησίν τε καὶ νοῦν, ὡς ἀψευδῆ καὶ ἀδέκαστα θαυμάζειν, καὶ περὶ μηδε-

*) Gen. 19, 33.

νὸς ἐνδοιάζοντας ἐπέχειν, ἀλλὰ τοῖς ἅπαξ φανεῖσι πιστεύοντας, τὰ μὲν αἱρεῖσθαι, τὰ δὲ ἔμπαλιν ἀποστρέφεσθαι. Ἐπειδὰν δὲ διαφόρως ἀπ' αὐτῶν εὑρισκόμεθα κεκινημένοι, βέβαιον περὶ οὐδενὸς οὐδὲν ἂν ἔχοιμεν εἰπεῖν, ἅτε μὴ ἑστῶτος τοῦ φανέντος, ἀλλὰ πολυτρόποις καὶ πολυμόρφοις χρωμένου ταῖς μεταβολαῖς.

§. 42. Ἀνάγκη γὰρ ἀνιδρύτου τῆς φαντασίας οὔσης, ἀνίδρυτον εἶναι καὶ τὴν ἐπ' αὐτῇ κρίσιν· αἴτια δὲ τούτου πολλά. Πρῶτον μὲν αἱ ἐν τοῖς ζώοις οὐ καθ' ἑνὸς μέρους, ἀλλὰ σχεδὸν περὶ πάντα ἀμύθητοι διαφοραὶ αἱ περὶ τὴν γένεσιν καὶ τὴν κατασκευὴν αὐτῶν, αἱ περὶ τὰς τροφὰς καὶ διαίτας, αἱ περὶ τὰς αἱρέσεις καὶ φυγὰς, αἱ περὶ τὰς αἰσθητικὰς ἐνεργείας τε καὶ κινήσεις, αἱ περὶ τὰς τῶν κατὰ σῶμα καὶ ψυχὴν ἀμυθήτων παθῶν ἰδιότητας. Χωρὶς γὰρ τῶν κρινόντων ἴδε καὶ τῶν κρινομένων ἔνια, οἷα τὸν χαμαιλέοντα, τὸν πολύποδα. Τὸν μέν γε φασὶ τὴν χρόαν ἀλλάττοντα τοῖς ἐδάφεσιν ὁμοιοῦσθαι καθ' ὧν εἴωθεν ἕρπειν, τὸν δὲ ταῖς κατὰ θαλάττης πέτραις, ὧν ἂν περιδράξηται, τάχα που τῆς σωτηρίου φύσεως ἀλεξίκακον συλλήψεως δωρησαμένης, τὴν εἰς τὸ πολυχρώματον αὐτοῖς τροπὴν φάρμακον. Τὸν δὲ αὐχένα τῆς περιστερᾶς ἐν ἡλιακαῖς αὐγαῖς οὐ κατενόησας μυρίας χρωμάτων ἀλλάττοντα ἰδέας; Ἢ οὐχὶ φοινικοῦν καὶ κυανοῦν, πυρωπόν τε αὖ καὶ ἀνθρακωειδὲς, ἔτι δὲ ὠχρὸν καὶ ἐρυθρὸν καὶ ἄλλα παντοδαπὰ ἴσχει χρώματα, ὧν οὐδὲ τὰς κλήσεις ῥᾴδιον ἀπομνημονεῦσαι; Φασὶ
384 μέντοι καὶ ἐν Σκύθαις, τοῖς καλουμένοις Γελω-
M. νοῖς, θαυμασιώτατόν τι γίνεσθαι σπανίως μὲν, γίνεσθαι δὲ ὅμως, θηρίον, ὃ καλεῖται τάρανδος, μέγεθος μὲν βοὸς οὐκ ἀποδέον, ἐλάφῳ δὲ τὸν τοῦ προσώπου τύπον ἐμφερέστατον. Λόγος ἔχει τοῦτο μεταβάλλειν ἀεὶ τὰς τρίχας πρός τε τὰ χωρία καὶ τὰ δένδρα, καὶ πάνθ' ἁπλῶς οἷς ἂν ἐγγὺς ἱστῆται,

ὡς διὰ τὴν τῆς χρόας ὁμοιότητα λανθάνειν τοὺς ἐντυγχάνοντας, καὶ ταύτῃ μᾶλλον ἢ τῇ περὶ σῶμα ἀλκῇ δυςθήρατον εἶναι. Ταῦτα δὴ καὶ τὰ τού- 266
τοις ὅμοια πίστεις ἐναργεῖς ἀκαταληψίας ἐστίν. P.

§. 43. Ἔπειτα δὲ αἱ μηκέτι τῶν ζώων ἁπάντων, ἀλλὰ καὶ ἀνθρώπων ἰδίᾳ πρὸς ἀλλήλους περὶ πάντων ποικιλίαι. Οὐ γὰρ μόνον ἄλλοτε ἄλλως τὰ αὐτὰ κρίνουσιν, ἀλλὰ καὶ ἑτέρως ἕτεροι, ἡδονάς τε καὶ ἀηδίας ἔμπαλιν τῶν αὐτῶν λαμβάνοντες. Οἷς γὰρ δυςηρέστησαν ἐνίοτε ἔνιοι, ἐτέρφθησαν ἄλλοι, καὶ κατὰ τὸ ἐναντίον, ἅπερ ὡς φίλα καὶ οἰκεῖα ἐπισπασάμενοί τινες ἐδεξιώσαντο, ταῦθ᾽ ἕτεροι ὡς ἀλλότρια καὶ δυςμενῆ μακρὰν ἀφ᾽ ἑαυτῶν ἐσκοράκισαν. Ἤδη γοῦν ἐν θεάτρῳ πολλάκις παρατυχὼν εἶδον, ὑφ᾽ ἑνὸς μέλους τῶν ἀγωνιζομένων ἐπὶ τῆς σκηνῆς τραγῳδῶν ἢ κιθαρῳδῶν, τοὺς μὲν οὕτως ἀχθέντας, ὡς ἀνεγειρομένους καὶ συνηχοῦντας, ἄκοντας τὰ πρὸς ἔπαινον ἐκφωνεῖν· τοὺς δὲ οὕτως ἀτρώτως ἔχοντας, ὡς μηδὲ τῶν ἀψύχων βάθρων ἐφ᾽ οἷς καθέζονται, ταύτῃ γοῦν διαφέρειν γραμμάτων ἂν νομισθῆναι· ἐνίους δὲ οὕτως ἀλλοτριωθέντας, ὡς καὶ τὴν θέαν οἴχεσθαι καταλιπόντας, ἔτι καὶ προςαποσειομένους ἑκατέρᾳ τῶν χειρῶν τὰ ὦτα, μὴ ἄρα τι ἔναυλον ἀπολειφθὲν ἀηδίαν ὑπηχοῦν δυςκόλοις καὶ δυςαρέστοις ψυχαῖς ἐργάσηται. Καί τοι τί ταῦτά φαμεν; Αὐτός τις εἷς ὢν ἕκαστος ἐφ᾽ ἑαυτοῦ, τὸ παραδοξότατον, μυρίας μεταβολὰς καὶ τροπὰς δεχόμενος, κατά τε σῶμα καὶ ψυχήν, τοτὲ μὲν αἱρεῖται, τοτὲ δὲ ἀποστρέφεται, οὐδαμῶς μεταβάλλοντα, μένειν δ᾽ ἐπὶ τῆς αὐτῆς πεφυκότα κατασκευῆς. Οὐ γὰρ τὰ αὐτὰ ὑγιαίνουσι καὶ νοσοῦσι προςπίπτειν φιλεῖ, οὐδὲ ἐγρηγορόσι καὶ κοιμωμένοις, οὐδὲ ἡβῶσι καὶ γεγηρακόσι. Καὶ ἑστὼς μέντοι καὶ κινούμενός τις ἑτέρας ἔλαβε φαντασίας, καὶ θαῤῥῶν καὶ δεδιὼς ἔμπαλιν, ἔτι μέντοι λυπούμενός τε καὶ χαίρων, καὶ φιλῶν καὶ τὸ ἐναντίον

μισῶν. Καὶ τί δεῖ μακρηγοροῦντα περὶ τούτων ἐνοχλεῖν; Συνελόντι γὰρ φράσαι, πᾶσα ἡ σώματος
385 καὶ ψυχῆς κατὰ φύσιν τε αὐτὴ καὶ παρὰ φύσιν
M. κίνησις αἰτία τῆς περὶ τὰ φαινόμενα ἀστάτου φορᾶς
γίνεται, μαχόμενα καὶ ἀσύμφωνα προςβαλλούσης ὀνείρατα.

§. 44. Γίνεται δὲ οὐχ ἥκιστα τὸ περὶ τὰς φαντασίας ἄστατον, καὶ περὶ τὰς θέσεις καὶ περὶ τὰ διαστήματα καὶ περὶ τοὺς τόπους, οἷς ἕκαστα ἐμπεριέχεται. Ἢ τοὺς κατὰ θαλάττης ἰχθῦς οὐχ ὁρῶμεν, ὁπότε τὰς πτέρυγας διατείνοντες ἐννήχοιντο, μείζους ἀεὶ τῆς φύσεως προφαινομένους; Καὶ τὰς εἰρεσίας μέντοι, καὶ ἂν σφόδρα ὦσιν εὐθυτενεῖς, κεκλασμένας ὁρᾶσθαι συμβαίνει καθ' ὕδατος. Τὰ δέ γε μὴν ποῤῥωτάτω ψευδεῖς προςβάλλοντα φαντασίας τὸν νοῦν εἴωθεν ἀπατᾶν. Ἄψυχα γάρ ἐστιν ὅτε ὄντα ὑπετοπήθη ζῶα εἶναι, καὶ τὸ ἐναντίον τὰ ἔμψυχα ἄψυχα· ἔτι δὲ τὰ ἑστῶτα κινεῖσθαι, καὶ τὰ
κινούμενα ἑστάναι· καὶ τὰ μὲν προσιόντα ἐξανα- 267
χωρεῖν, τὰ δὲ ἀπιόντα πάλιν προςέρχεσθαι· καὶ P.
βραχύτατα μὲν τὰ περιμηκέστατα, περιφερῆ δ' αὖ τὰ πολυγώνια. Καὶ μυρία ἄλλα ὑπὸ τῆς φανερᾶς ὄψεως ψευδογραφεῖται, οἷς οὐκ ἄν τις εὖ φρονῶν ὡς βεβαίοις συνεπιγράψαιτο.

§. 45. Τί δὲ αἱ ἐν τοῖς σκευαζομένοις ποσότητες; Παρὰ γὰρ τὸ πλέον ἢ ἔλαττον αἵ τε βλάβαι καὶ ὠφέλειαι συνίστανται, καθάπερ ἐπὶ μυρίων ἄλλων καὶ μάλιστα τῶν κατὰ τὴν ἰατρικὴν ἐπιστήμην ἔχει φαρμάκων. Ἡ γὰρ ἐν ταῖς συνθέσεσι ποσότης ὅροις καὶ κανόσι μεμέτρηται, ὧν οὔτε ἐντὸς κάμψαι, οὔτε περαιτέρω προελθεῖν ἀσφαλές. Τὸ μὲν γὰρ ἔλαττον χαλᾷ, τὸ δὲ πλεῖον ἐπιτείνει τὰς δυνάμεις. Βλαβερὸν δὲ ἑκάτερον, τὸ μὲν ἀδυνατοῦν ἐνεργῆσαι δι' ἀσθένειαν, τὸ δὲ βλάψαι βιαζόμενον διὰ καρτερωτάτην ἰσχύν. Λειότησί γε αὖ καὶ τραχύτησι, πυκνώσεσί τε αὖ καὶ πιλήσεσι, καὶ τὸ ἐναντίον μανό-

τησι καὶ ἐξαπλώσεσι, τὸν εἰς βοήθειαν καὶ βλάβην
ἔλεγχον ἐναργῶς διασυνίστησιν. Ἀλλὰ μὴν οὐδ'
ἐκεῖνό τις ἀγνοεῖ, ὅτι τῶν ὄντων σχεδὸν ἐξ αὑτοῦ
καὶ καθ' αὑτὸ νενόηται τὸ παράπαν οὐδὲν, τῇ δὲ
πρὸς τὸ ἐναντίον παραθέσει δοκιμάζεται· οἷον τὸ
μικρὸν παρὰ τὸ μέγα, τὸ ξηρὸν παρὰ τὸ ὑγρὸν,
παρὰ τὸ ψυχρὸν τὸ θερμὸν, παρὰ τὸ βαρὺ τὸ κοῦ-
φον, τὸ μέλαν παρὰ τὸ λευκὸν, τὸ ἀσθενὲς παρὰ
τὸ ἰσχυρὸν, τὰ ὀλίγα παρὰ τὰ πολλά. Κατὰ τὸ
παραπλήσιον μέντοι καὶ ὅσα ἐπ' ἀρετὴν ἢ καὶ κα-
κίαν ἀναφέρεται, τὰ ὠφέλιμα διὰ τῶν βλαβερῶν
γνωρίζεται, τὰ καλὰ τῇ τῶν αἰσχρῶν ἀντιθέσει, τὰ
δίκαια καὶ κοινῶς ἀγαθὰ τῇ τῶν ἀδίκων καὶ κακῶν
παραθέσει. Καὶ πάντα μέντοι τὰ καλὰ ὅσα ἐν
κόσμῳ σκοπῶν ἄν τις εὕροι κατὰ τὸν αὐτὸν τύπον
λαμβάνοντα τὴν ἐπίκρισιν. Ἐξ ἑαυτοῦ μὲν γὰρ
ἕκαστον ἀκατάληπτον, ἐκ δὲ τῆς πρὸς ἕτερον συγ-
κρίσεως, γνωρίζεσθαι δοκεῖ. Τὸ δὲ μὴ ἑαυτῷ
386 μαρτυρεῖν ἱκανὸν, τῆς δ' ἀφ' ἑτέρου χρῇζον συν-
M. ηγορίας, ἀβέβαιον εἰς πίστιν· ὥστε καὶ ταύτῃ τοὺς
εὐχερῶς ὁμολογοῦντας, ἢ ἀρνουμένους περὶ παντὸς
οὗτινος, ἐλέγχεσθαι. Καὶ τί θαυμαστόν; Προσ-
ωτέρω γάρ τις χωρήσας τῶν πραγμάτων, καὶ εἰλι-
κρινέστερον αὐτὰ αὐγασάμενος, εἴσεται τοῦτο, ὅτι
ἓν οὐδὲν καθ' ἁπλῆν ἡμῖν τὴν ἑαυτοῦ προσπίπτει
φύσιν, ἀλλὰ πάντα μίξεις πολυπλοκωτάτας ἔχοντα
καὶ κράσεις.

§. 46. Αὐτίκα τῶν χρωμάτων ἀντιλαμβανόμε-
θα. Πῶς; Ἆρ' οὐ σὺν ἀέρι καὶ φωτὶ τοῖς ἐκτὸς,
καὶ τῷ κατ' αὐτὴν τὴν ὄψιν ὑγρῷ; Γλυκὺ δὲ καὶ
πικρὸν τίνα τρόπον δοκιμάζεται; Μὴ δίχα τῶν
καθ' ἡμᾶς αὐτοὺς ἐνστομίων; Χυλῶν δὲ ὅσοι 268
κατὰ φύσιν ἢ παρὰ φύσιν, οὐ δήπου; Τί δὲ αἱ P.
ἀπὸ τῶν ἐπιθυμιωμένων ὀσμαὶ, μὴ τὰς ἁπλᾶς εἰ-
λικρινεῖς τῶν σωμάτων φύσεις παριστῶσιν; Ἢ τὰς
κεκραμένας ἔκ τε αὐτῶν καὶ ἀέρος; Ἔστι δὲ ὅτε

καὶ τοῦ τήκοντος τὰ σώματα πυρὸς, καὶ τῆς κατὰ τοὺς μυκτῆρας δυνάμεως. Ἐκ δὴ τούτων συνάγεται, ὅτι οὔτε χρωμάτων ἀντιλαμβανόμεθα, ἀλλὰ τοῦ συνισταμένου κράματος ἔκ τε τῶν ὑποκειμένων καὶ φωτός· οὔτε ὀσμῶν, ἀλλὰ μίγματος, ὅπερ συνέστη διά τε τοῦ ῥυέντος ἀπὸ τῶν σωμάτων καὶ τοῦ πανδεχοῦς ἀέρος· οὔτε χυλῶν, ἀλλὰ τοῦ γενομένου διά τε τοῦ προσιόντος γευστοῦ, καὶ τῆς κατὰ τὸ στόμα ὑγρᾶς οὐσίας.

§. 47. Τούτων ἤδη τοῦτον ἐχόντων τὸν τρόπον, εὐήθειαν ἢ προπέτειαν ἢ ἀλαζονείαν ἄξιον καταγινώσκειν, τῶν ἢ ὁμολογεῖν ἢ ἀρνεῖσθαι περὶ παντὸς οὑτινοσοῦν ῥᾳδίως ὑπομενόντων. Εἰ μὲν γὰρ αἱ ἁπλαῖ δυνάμεις ἐκποδὼν, αἱ δὲ μικταὶ καὶ ἐκ πλειόνων συνηρανισμέναι πρόοπτοι, ἀμήχανον δὲ καὶ τὰς ἀοράτους ἰδεῖν, καὶ διὰ τῶν κεκραμένων τὸν ἑκάστης τῶν συνερανισθεισῶν τύπον ἰδίᾳ κατανοῆσαι, τί ἂν εἴη λοιπὸν, ἢ τὸ ἐπέχειν ἀναγκαῖον; Ἐκεῖ δὲ ἡμᾶς οὐ παρακαλεῖ μὴ λίαν τοῖς ἀφανέσι προπιστεύειν, ἃ σχεδὸν ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἀνακέχυται, κοινὸν Ἕλλησιν ὁμοῦ καὶ Βαρβάροις ἐπαγαγόντα τὸν ἐκ τοῦ κρίνειν ὄλισθον; Τίνα οὖν ταῦτ' ἐστίν; Ἀγωγαὶ δήπουθεν αἱ ἐκ παίδων, καὶ ἔθη πάτρια, καὶ παλαιοὶ νόμοι, ὧν ἓν οὐδὲν ὁμολογεῖται ταὐτὸν εἶναι πᾶσιν, ἀλλὰ κατὰ χώρας καὶ ἔθνη, καὶ πόλεις, μᾶλλον δὲ καὶ κατὰ κώμην καὶ οἰκίαν ἑκάστην, ἄνδρα μὲν οὖν καὶ γυναῖκα καὶ νήπιον παῖδα, τοῖς ὅλοις διακέκριται. Τὰ γοῦν αἰσχρὰ παρ' ἡμῖν, ἑτέροις καλὰ, καὶ τὰ πρέποντα ἀπρεπῆ, καὶ τὰ δίκαια ἄδικα, καὶ ἀνόσια μὲν τὰ ὅσια, νόμιμα δ' αὖ τὰ παράνομα· ἔτι δὲ ψεκτὰ τὰ ἐπαινετὰ, καὶ ὑπόδικα τὰ τιμῆς ἄξια, καὶ ὅσα ἄλλα ἐναντία ταὐτὰ νομίζουσι. Καὶ τί δεῖ μακρηγορεῖν,
387 τὸν ὑπὸ ἑτέρων ἀναγκαιοτέρων μεθελκόμενον; Εἰ
M. μέντοι βουληθείη τις ὑπὸ μηδεμιᾶς ἄλλης καινοτέρας θέας ἀγόμενος, ἐνευκαιρήσας τῷ προτεθέντι

κεφαλαίῳ, τὰς ἑκάστων ἀγωγὰς καὶ ἔθη καὶ νόμους ἐπιέναι, χωρῶν, ἐθνῶν, τόπων, πόλεων, ὑπηκόων, ἡγεμόνων, ἐνδόξων, ἀδόξων, ἐλευθέρων, οἰκετῶν, ἰδιωτῶν, ἐπιστημόνων· οὐχ ἡμέραν μίαν οὐδὲ δύο, ἀλλ' οὐδὲ μῆνα ἢ ἐνιαυτὸν, τὸν δὲ ἅπαντα ἑαυτοῦ κατατρίψει βίον, καὶ ἂν αἰῶνι χρήσηται μακρῷ, καὶ οὐδὲν ἧττον πολλὰ ἀδιερεύνητα καὶ ἀπερίσκεπτα καὶ ἄφωνα λήσει καταλιπών. Οὐκοῦν ἄλλων παρ' ἄλλοις οὐ βραχεῖ μόνον διεστηκότων, ἀλλὰ καὶ τοῖς ὅλοις ἀπᾳδόντων, ὡς ἀντιστατεῖν καὶ διαμάχεσθαι, ἀνάγκη καὶ τὰς προςπιπτούσας διαφέρειν φαντασίας, καὶ 269
τὰς κρίσεις ἀλλήλαις πεπολεμῶσθαι. P.

§. 48. Ὧν ὑπαρχόντων, τίς οὕτως ἔκφρων ἐστὶ καὶ παράληρος, ὡς φάναι παγίως, ὅτι τὸ τοιόνδε ἐστὶ δίκαιον ἢ φρόνιμον ἢ καλὸν ἢ συμφέρον; Ὃ γὰρ ἂν οὗτος ὁρίσῃ, τὰ ἐναντία μεμελετηκὼς ἐκ παίδων ἕτερος ἀκυρώσει. Ἐγὼ δὲ οὐ τεθαύμακα, εἰ συμπεφορημένος καὶ μιγὰς ὄχλος, ἐθῶν καὶ νόμων τῶν ὁπωςοῦν εἰςηγμένων ἀκλεὴς δοῦλος, ἀπ' αὐτῶν ἔτι σπαργάνων ὑπακούειν ὡς ἂν δεσποτῶν ἢ τυράννων ἐκμαθὼν, κατακεκονδυλισμένος τὴν ψυχὴν, καὶ μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν μὴ δυνάμενος, πιστεύει τοῖς ἅπαξ παραδοθεῖσι, καὶ τὸν νοῦν ἐάσας ἀγύμναστον, ἀδιερευνήτοις καὶ ἀνεξετάστοις συναινέσεσί τε καὶ ἀρνήσεσι χρῆται. Ἀλλ' εἰ καὶ τῶν λεγομένων φιλοσόφων ἡ πληθὺς τὸ ἐν τοῖς οὖσι σαφὲς καὶ ἀψευδὲς ἐπιμορφάζουσα θηρᾶν, κατὰ στίφη καὶ λόχους διακέκριται, καὶ δόγματα ἀσύμφωνα, πολλάκις δὲ καὶ ἐναντία οὐ περὶ ἑνὸς τίθενται τοῦ τυχόντος, ἀλλὰ σχεδὸν περὶ πάντων μικρῶν τε καὶ μεγάλων, ἐν οἷς αἱ ζητήσεις συνίστανται. Οἱ γὰρ ἄπειρον τὸ πᾶν εἰςηγούμενοι, τοῖς πεπερασμένον εἶναι λέγουσιν, ἢ οἱ τὸν κόσμον ἀγένητον τοῖς γεννητὸν ἀποφαινομένοις, ἢ οἱ χωρὶς ἐπιστάτου καὶ ἡγεμόνος, ἀλόγου καὶ ἀπαυτοματιζούσης ἐξάψαντες φορᾶς, τοῖς ὑπολαμβάνουσι πρό-

νοιαν καὶ ἐπιμέλειαν ὅλου καὶ τῶν μερῶν θαυμα-
στήν τινα εἶναι, ἡνιοχοῦντος καὶ κυβερνῶντος ἀπταί-
στως καὶ σωτηρίως θεοῦ, πῶς ἂν δύναιντο τὰς
αὐτὰς καταλήψεις τῶν ὑποκειμένων ποιεῖσθαι πρα-
γμάτων; Αἱ δὲ περὶ τὴν τοῦ ἀγαθοῦ σκέψιν φαν-
τασίαι, ἆρ' οὐκ ἐπέχειν μᾶλλον ἢ ὁμολογεῖν βιάζον-
ται; Τῶν μὲν ἀγαθὸν εἶναι νομιζόντων μόνον τὸ
καλὸν, καὶ θησαυριζομένων αὐτὸ ἐν ψυχῇ· τῶν δὲ
πρὸς πλείω κατακερματιζόντων, καὶ ἄχρι σώματος
καὶ τῶν ἐκτὸς ἀποτεινόντων. Οὗτοι λέγουσι τὰς μὲν
τυχηρὰς εὐπραγίας δορυφόρους εἶναι σώματος, ὑγείαν
388 τε καὶ ἰσχὺν, καὶ τὸ ὁλόκληρον καὶ τὴν ἀκρί-
M. βειαν αἰσθητηρίων, καὶ ὅσα ὁμοιότροπα, τῆς βασι-
λίδος ψυχῆς. Τρισὶ γὰρ τῆς ἀγαθοῦ φύσεως κε-
χρημένης τάξεσι, τὴν μὲν τρίτην καὶ ἐξωτάτην τῆς
δευτέρας καὶ ὑπεικούσης πρόμαχον εἶναι, τὴν δὲ δευ-
τέραν τῆς πρώτης μέγα πρόβλημα καὶ φυλακτήριον
γεγενῆσθαι. Καὶ περὶ αὐτῶν τούτων μέντοι καὶ
βίων διαφορᾶς, καὶ τελῶν πρὸς ἃ χρὴ τὰς πράξεις
ἁπάσας ἀναφέρεσθαι, καὶ μυρίων ἄλλων ὅσα τε ἡ
λογικὴ καὶ ἠθικὴ καὶ φυσικὴ πραγματεία περιέχει,
γεγόνασι σκέψεις ἀμύθητοι, ὧν ἄχρι τοῦ παρόν-
τος οὐδεμία παρὰ πᾶσι τοῖς σκεπτικοῖς συμπε- 270
φώνηται. P.

§. 49. Οὐκ εἰκότως οὖν τῶν δύο θυγατέρων
βουλῆς τε καὶ συναινέσεως ἁρμοσθεισῶν καὶ συνευ-
νασθεισῶν, ὁ νοῦς ἀγνοίᾳ ἐπιστήμης χρώμενος εἰς-
άγεται; Λέγεται γὰρ ὅτι „Οὐκ ᾔδει ἐν τῷ κοιμη-
θῆναι αὐτὰς καὶ ἀναστῆναι*)." Οὔτε γὰρ ὕπνον,
οὔτε ἐγρήγορσιν, οὔτε σχέσιν, οὔτε κίνησιν ἔοικε
σαφῶς καὶ παγίως καταλαμβάνειν· ἀλλὰ καὶ ὁπότε
ἄριστα βεβουλεῦσθαι δοκεῖ, τότε μάλιστα ἀβουλό-
τατος ὢν εὑρίσκεται, τῶν πραγμάτων μὴ ὅμοιον
τοῖς προςδοκηθεῖσι λαβόντων τὸ τέλος· καὶ ὁπότε

*) Gen. 19, 35.

συνεπιγράφεσθαί τισιν ὡς ἀληθέσιν ἔδοξε, τὴν ἐπ' εὐχερείᾳ καρποῦται κατάγνωσιν, ἀπίστων καὶ ἀβεβαίων, οἷς πρότερον ὡς βεβαιοτάτοις ἐπίστευε, φαινομένων. Ὥςτε εἰς τὰ ἐναντία, ὧν ὑπετόπησέ τις, εἰωθότων περιΐστασθαι τῶν πραγμάτων, ἀσφαλέστατον τὸ ἐπέχειν εἶναι.

§. 50. Διειλεγμένοι δὴ περὶ τούτων ἱκανῶς, ἐπὶ τὰ ἀκόλουθα τῷ λόγῳ τρεψώμεθα. Ἔφαμεν τοίνυν ἐκ τοῦ μεθύειν καὶ τὴν πολλοὺς πολλάκις μεγάλα βλάπτουσαν γαστριμαργίαν δηλοῦσθαι, ᾗ τοὺς χρωμένους ἔστιν ἰδεῖν, καὶ ἂν τὰς τοῦ σώματος δεξαμενὰς ἀποπληρωθῶσι πάσας, ἔτι κενοὺς τὰς ἐπιθυμίας ὄντας. Οὗτοι καὶ ἂν ὑπὸ πλήθους ὧν ἐνεφορήσαντο διακορεῖς γενόμενοι, πρὸς ὀλίγον χρόνον, καθάπερ οἱ πεπονηκότες ἀθληταί, τὰ σώματα διαπνεύσωσι, πάλιν ἐπαποδύονται τοῖς αὐτοῖς ἀγωνίσμασιν. Ὁ γοῦν βασιλεὺς τῆς Αἰγυπτίας χώρας, τοῦ σώματος, τῷ μέθης ὑπηρέτῃ δόξας οἰνοχόῳ δυςχερᾶναι, πάλιν οὐκ εἰς μακρὰν καταλλαττόμενος ἐν ταῖς ἱεραῖς βίβλοις εἰςάγεται, τοῦ τὰς ἐπιθυμίας ἀναῤῥηγνύντος πάθους ὑπομνησθεὶς ἐν ἡμέρᾳ γενέσεως φθαρτῆς, οὐκ ἐν ἀφθάρτῳ τοῦ ἀγεννήτου φωτός. Λέγεται γὰρ ὅτι "ἡμέρα γενέσεως ἦν Φαραὼ*)," ἡνίκα ἐκ τοῦ δεσμωτηρίου τὸν ἀρχιοινοχόον ἐπὶ σπονδαῖς μετεπέμψατο. Τοῦ γὰρ φιλοπα-
389 θοῦς ἴδιον, λαμπρὰ τὰ γεννητὰ καὶ φθαρτὰ
M. ἡγεῖσθαι, διὰ τὸ νυκτὶ καὶ σκότῳ κεχρῆσθαι βαθεῖ πρὸς τὴν τῶν ἀφθάρτων ἐπιστήμην. Οὗ χάριν εὐθὺς τὴν ἐξ ἀρχόντων ἡδονὴν μέθην, καὶ τὸν ὑπηρέτην αὐτῆς δεξιοῦται.

§. 51. Τρεῖς δὲ εἰσὶν οἱ τῆς ἀκολάστου καὶ ἀκράτορος ψυχῆς ἑστιοῦχοί τε καὶ θεραπευταί, ἀρχισιτοποιός, ἀρχιμάγειρος, ἀρχιοινοχόος, ὧν ὁ θαυμάσιος μέμνηται Μωϋσῆς διὰ τούτων. "Καὶ ὠργίσθη Φαραὼ ἐπὶ τοῖς

*) Gen. 40, 20.

δυσὶν εὐνούχοις, ἐπὶ τῷ ἀρχιοινοχόῳ, καὶ ἐπὶ τῷ ἀρχισιτοποιῷ, καὶ ἔθετο αὐτοὺς ἐν φυλακῇ παρὰ τῷ ἀρχιμαγείρῳ*)." Ἔστι δὲ καὶ ὁ ἀρχιμάγειρος εὐνοῦχος. Λέγει γὰρ ἑτέρωθι, "Κατήχθη δὲ Ἰωσὴφ εἰς Αἴγυπτον, καὶ ἐκτήσατο αὐτὸν εὐνοῦχος Φαραω ἀρχιμάγειρος**)." Καὶ πάλιν, "Ἀπέδοντο τὸν Ἰω- 271
σὴφ τῷ σπάδοντι Φαραὼ, ἀρχιμαγείρῳ***)." Τί- P.
νος δὲ χάριν, οὔτ' ἀνὴρ οὔτε γυνὴ τῶν λεχθέντων οὐδὲν ἁπλῶς ἐπιτέτραπται; Ἢ ὅτι σπείρειν μὲν ἄνδρες, γονὰς ὑποδέχεσθαι γυναῖκες ἐκ φύσεως πεπαίδευνται, ὧν τὴν εἰς ταὐτὸ σύνοδον αἰτίαν γενέσεως, καὶ τῆς τοῦ παντὸς διαμονῆς εἶναι συμβέβηκεν; Ἀγόνου δὲ καὶ ἐστειρωμένης, μᾶλλον δὲ ἐξευνουχισμένης ψυχῆς, σιτίοις πολυτελέσι καὶ ποτοῖς καὶ ὄψων περιέργοις παραρτύσεσι χαίρειν, μήτε τὰ ἀρετῆς ἄῤῥενα ὡς ἀληθῶς σπέρματα καταβάλλεσθαι δυναμένης, μήτε τὰ καταβληθέντα παραδέξασθαι καὶ ἀναθρέψασθαι· ἀλλ' οἷα λυπρὰν ἄρουραν καὶ λιθώδη, πρὸς διαφθορὰν μόνον πεφυκέναι τῶν ἀεὶ ζῆν ὀφειλόντων. Δόγμα δὴ τίθεται κοινωφελέστατον, ὅτι πᾶς δημιουργὸς ἡδονῆς σοφίας ἐστὶν ἄγονος, οὔτε ἄῤῥην ὢν οὔτε θήλεια, διὰ τὸ μήτε διδόναι μήτε λαμβάνειν τὰ πρὸς ἀφθαρσίαν ἱκανὸς εἶναι σπέρματα, μελετᾶν δὲ αἰσχίστην κατὰ τοῦ βίου μελέτην, φθείρειν τὰ ἄφθαρτα, καὶ σβεννύναι τὰ μένοντα τῆς φύσεως λαμπάδια ἄσβεστα. Τῶν τοιούτων οὐδενὶ ἐπιτρέπει Μωϋσῆς εἰς ἐκκλησίαν ἀφικνεῖσθαι θεοῦ. Λέγει γὰρ ὅτι "Θλαδίας καὶ ἀποκεκομμένος οὐκ εἰςελεύσεται εἰς ἐκκλησίαν κυρίου†)."

§. 52. Τί γὰρ τῷ σοφίας ἀγόνῳ λόγων ἀκροάσεως ἱερῶν ὄφελος, ἐκτετμημένῳ πίστιν, καὶ παρακαταθήκην βιωφελεστάτων δογμάτων φυλάξαι μὴ

*) Gen. 40, 2. **) Ibid. 39, 1. ***) Ibid. 37, 36. †) Deut. 23, 1.

δυναμένῳ; Τρεῖς δ' ἄρ' εἰσὶν ἀνθρώπων γένους ἑστιάτορες, ἀρχισιτοποιὸς, οἰνοχόος, ὀψαρτυτὴς, εἰκότως· ἐπειδὴ τριῶν χρήσεώς τε καὶ ἀπολαύσεως ἐφιέμεθα, σιτίων, ὄψου, ποτῶν· ἀλλ' οἱ μὲν μόνων τῶν ἀναγκαίων, οἷς πρός τε τὸ ὑγιεινῶς, καὶ μὴ ἀνελευθέρως ζῆν ἐξ ἀνάγκης χρώμεθα· οἱ δὲ ἀμέτρων καὶ σφόδρα περιττῶν· ἃ τὰς ὀρέξεις ἀναῤῥηγνύντα, καὶ τὰς τοῦ σώματος δεξαμενὰς πλήθει
390 βαρύνοντα καὶ πιέζοντα, μεγάλα καὶ παντοδαπὰ
M. τίκτειν νοσήματα φιλεῖ. Οἱ μὲν οὖν ἡδονῆς καὶ ἐπιθυμιῶν καὶ παθῶν ἰδιῶται, καθάπερ οἱ ἐν ταῖς πόλεσι δημοτικοὶ, ἀμισῆ καὶ ἀνεπαχθῆ βίον ζῶντες, ἅτε ὀλιγοδεεῖς ὄντες, οὐ ποικίλων καὶ περιέργων τὴν τέχνην δέονται ὑπηρετῶν, ἀλλὰ ποικίλῳ χρωμένων ὑπηρεσίᾳ, μαγείρων, οἰνοχόων, σιτοποιῶν. Οἱ δὲ ἡγεμονίαν καὶ βασιλείαν εἶναι νομίζοντες τὸ ἡδέως ζῆν, καὶ πάντα καὶ μικρὰ καὶ μείζω πρὸς τοῦτ' ἀναφέροντες, ἀρχιμαγείροις καὶ ἀρχιοινοχόοις καὶ ἀρχισιτοποιοῖς ὑπηρέταις ἀξιοῦσι χρῆσθαι, τουτέστιν ἄκρως ἐκπεπονηκόσιν ἕκαστον ὧν ἐπετήδευσαν. Τὰ
μὲν γὰρ ἀμήτων καὶ μελιπήκτων καὶ ἄλλων ἀμυ- 272
θήτων πεμμάτων ποικιλώτατα γένη οὐ μόνον ταῖς P.
τῆς ὕλης διαφοραῖς, ἀλλὰ καὶ τῷ τρόπῳ τῆς κατασκευῆς καὶ τοῖς σχήμασι πρὸς οὐ μόνον τὴν γεύσεως, ἀλλὰ καὶ τὴν ὄψεως ἀπάτην περιειργασμένα οἱ περὶ σιτοποιΐαν ἄκροι μελετῶσι. Τὰ δὲ περὶ ἐξέτασιν οἴνου θᾶττον ἀναδιδομένου καὶ μὴ κεφαλαλγοῦς, καὶ τὰ ἐναντίον ἀναίμου καὶ εὐωδεστάτου, πολλὴν ἢ ὀλίγην ἀναδεχομένου τὴν μεθ' ὕδατος κρᾶσιν εἰς σφοδρὸν καὶ σύντονον ἢ πρᾶον καὶ ἀνειμένον ἐπιτηδείου ποτὸν, καὶ ὅσα τοιουτότροπα ἀρχιοινοχόων ἐπιτηδεύματα, ἐπ' αὐτὸ δὴ τῆς τέχνης ἀφιγμένων τὸ τέλος. Ἰχθύας δὲ καὶ ὄρνις καὶ τὰ παραπλήσια ποικίλως ἀρτῦσαι καὶ κατασκευάσαι, καὶ ὅσα ἄλλα ὄψα ἡδῦναι, περιττοὶ τὴν ἐπιστήμην εἰσὶν εὐπρεπεῖς ὀψαρτυταί· μυρία χωρὶς ὧν ἤκουσαν

ἢ εἶδον ἀλλ' ἐκ τῆς συνεχοῦς μελέτης καὶ τριβῆς τῆς εἰς ἁβροδίαιτον καὶ τεθρυμμένον τὸν ἀβίωτον βίον, ἐπινοῆσαι δεινοί.

§. 53. Ἀλλὰ γὰρ οὗτοι πάντες ἐδείχθησαν εὐνοῦχοι, σοφίας ἄγονοι· πρὸς ὃν δὲ συμβατηρίους τίθεται σπονδὰς, ὁ γαστρὸς βασιλεὺς, νοῦς, οἰνοχόος ἦν. Φίλοινον γὰρ ὑπερφυῶς τὸ ἀνθρώπων γένος, καὶ πρὸς μόνον τοῦτο διαφερόντως ἀκόρεστον, εἴ γε ὕπνου μὲν καὶ ἐδωδῆς καὶ συνουσίας καὶ τῶν ὁμοίων ἀπλήρωτος οὐδεὶς, ἀκράτου δὲ σχεδὸν ἅπαντες, καὶ μάλισθ' οἷς τὸ πρᾶγμα ἀσκεῖται. Πιόντες γὰρ ἔτι διψῶσι, καὶ ἄρχονται μὲν ἀπὸ τῶν βραχυτέρων κυάθων· προϊόντες δὲ ταῖς μείζοσιν οἰνοχοαῖς ἐγχεῖν παραγγέλλουσιν· ἐπειδὰν ἀκροθώρακες γενόμενοι χλιανθῶσιν, οὐκέτι κρατεῖν ἑαυτῶν δυνάμενοι, τὰς οἰνηρύσεις καὶ τὰς ἀμύστεις καὶ τοὺς κρατῆρας ὅλους προσενεγκάμενοι, ἀκράτους πίνουσιν
391 ἀθρόως, μέχρις ἂν ἢ βαθεῖ ὕπνῳ δαμασθῶσιν,
M. οὐκέτι κρατεῖν ἑαυτῶν δυνάμενοι, ἢ τῶν ὄγκων ἀποπληρωθέντων ὑπερβλύσῃ τὸ ἐπεισχεόμενον. Ἀλλὰ καὶ τότε ὅμως ἡ ἄπληστος ἐν αὐτοῖς ὄρεξις, ὥσπερ ἔτι λιμώττουσα, μαρμάζει. "Ἐκ γὰρ τῆς ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν," ἧ φησι Μωϋσῆς, "καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόῤῥας· ἡ σταφυλὴ αὐτῶν, σταφυλὴ χολῆς· ὁ βότρυς πικρίας αὐτοῖς. Θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς ἀσπίδων ἀνίατος *)." Σόδομα μέντοι στείρωσις καὶ τύφλωσις ἑρμηνεύεται. Ἀμπέλῳ δὲ καὶ τοῖς ἐξ αὐτῆς γινομένοις ἀπεικάζει τοὺς οἰνοφλυγίας καὶ λαιμαργίας, καὶ τῶν αἰσχίστων ἡδονῶν ἥττους. Ἃ δὲ αἰνίττεται, τοιαῦτ' ἐστίν. Εὐφροσύνης μὲν ἀληθοῦς οὐδὲν ἐμπέφυκε τῇ τοῦ φαύλου ψυχῇ φυτὸν, ἅτε οὐχ ὑγιαινούσαις κεχρημένῃ ῥίζαις, ἀλλὰ ἐμπεπρησμέναις
καὶ τεφρωθείσαις, ὁπότε ἀνθ' ὕδατος τὰς κεραυ- 273
P.

*) Deut. 32, 32.

νίους φλόγας, θεοῦ τὴν κατὰ ἀσεβῶν καλῶς δικάσαντος δίκην, ὃ οὐρανὸς ἀσβέστους ἔνιφεν· ἀκρότητος δὲ ἐπιθυμίας τῆς ἐστειρωμένης τὰ καλὰ, καὶ πεπηρωμένης πρὸς πάντα τὰ θέας ἄξια, ἣν ἀμπέλῳ παραβέβληκεν· οὐχὶ τῇ καρπῶν ἡμέρων μητρὶ, ἀλλ' ἥτις πικρίας καὶ πονηρίας καὶ πανουργίας, ὀργῆς τε καὶ θυμοῦ καὶ ἀκροχολωτάτων ἠθῶν οἰστικὴ γέγονε· δάκνουσα τὴν ψυχὴν ἐχέων καὶ ἀσπίδων τρόπον ἰοβόλων, καὶ παντελῶς ἀνίατα. Ὧν ἀποτροπὴν εὐχόμεθα γενέσθαι, τὸν πάντα ἵλεων ποτνιώμενοι θεὸν, ἵνα καὶ τὴν ἀγρίαν ταύτην ἄμπελον διολέσῃ, καὶ τοῖς εὐνούχοις καὶ πᾶσιν ἀγόνοις ἀρετῆς ἀΐδιον ψηφίσηται φυγὴν, ἀντὶ δὲ τούτων ἥμερα μὲν ταῖς ψυχαῖς ἡμῶν δένδρα τὰ παιδείας ὀρθῆς ἐμφυτεύσῃ, γενναίους δὲ καὶ ἄῤῥενας ὡς ἀληθῶς καρποὺς καὶ λόγους χαρίσηται, δυναμένους μὲν σπείρειν καλὰς πράξεις, δυναμένους δὲ συναύξειν ἀρετὰς, ἱκανοὺς δὲ τὴν εὐδαιμονίας ἅπασαν συνέχειν καὶ διαφυλάττειν εἰς ἀεὶ συγγένειαν.

ΠΕΡΙ ΤΟΥ

ΕΞΕΝΗΨΕ ΝΩΕ.

DE HIS VERBIS:

RESIPUIT NOE,

SEU DE

SOBRIETATE.

Quantorum malorum auctor est ebrietas, tantorum e diverso bonorum sobrietas, et quidem corporibus aeque atque animabus (1.). Ebrios licet dicere sophistas, (Ismael,) homines fallaciarum et rerum novarum amatores, quos Moyses propterea etiam pueros dicit, quippe qui sobria sapientia destituti sint (2.); qua contra qui imbuti sunt, senes recte dicuntur (3 — 6.). Quod Noë male dicit nepoti, non filio, quamvis hic male egit, ita est intelligendum (7.): In quovis homine vel virtutes vel vitia latent, a quibus nascuntur vel bene vel prave facta (8. 8.). Haec vero quum punienda sint, recte Noë, etiamsi non actu, potentia tamen, male dicit nepoti, propterea quod filius male egit. Pravi enim affectus, si quieti manent, non sunt obnoxii crimini, sed motus eorum merito damnantur (10.). Verbis „bene dictus Deus Sem" innuitur, hominem bona, quae accepit a deo, nulla re, nisi sermonibus, canticis, hymnisque piis posse rependere (11.); benedictionique Japheti vis ac potestas inest, felicitatem humanam augeri, si honestati etiam bona externa accedunt, prospera valetudo et divitiae (12.). „Habitet in domibus Sem" indicat, deo domum praeter ceteras dignam esse animam sinceram atque eius amantem; quemque igitur probum decet precibus piis a deo petere, ut animae suae inhabitare dignetur (13.).

392 §. 1. Τὰ περὶ μέθης καὶ τῆς ἑπομένης αὐτῇ
M. γυμνότητος εἰρημένα τῷ νομοθέτῃ διεξεληλυθότες
πρότερον, ἀρξόμεθα τοῖς λεχθεῖσι τὸν ἑξῆς προσαρμόττειν λόγον. Περιέσται τοίνυν ἐν τοῖς χρησμοῖς ἀκόλουθα τάδε. "Ἐξένηψε δὲ Νῶε ἀπὸ τοῦ οἴνου, καὶ ἔγνω ὅσα ἐποίησεν αὐτῷ ὁ υἱὸς ὁ νεώτερος" *). Τὸ νήφειν οὐ μόνον ψυχαῖς, ἀλλὰ καὶ σώμασιν ὠφελιμώτατον ἀνωμολόγηται. Τάς τε γὰρ ἐξ ἀμέτρου πλησμονῆς γινομένας νόσους ἀπωθεῖται, καὶ τὰς αἰσθήσεις πρὸς ἄκρας ὀξύτητας ἀκονᾷ, καὶ ὅλα μέντοι τὰ σώματα οὐκ ἐᾷ βαρυνόμενα πίπτειν, ἀλλ' ἐξαίρει καὶ ἐπικουφίζει, καὶ πρὸς τὰς οἰκείας ἐνεργείας ἀνακαλεῖ, πᾶσι τοῖς μέρεσιν ἑτοιμότητα ἐντίκτον. Καὶ συνόλως, ὅσων δημιουργὸς κακῶν ἡ
μέθη, τοσούτων ἔμπαλιν ἀγαθῶν τὸ νηφάλιον. 274
Ὁπότ' οὖν καὶ σώμασιν οἷς ἡ οἴνου πόσις οἰκεῖον, P.
λυσιτελέστατον τὸ νήφειν, οὐ πολὺ μᾶλλον ψυχαῖς, ὧν φθαρτὴ τροφὴ πᾶσα ἀλλότριον; Νηφούσης γὰρ διανοίας τί τῶν παρὰ ἀνθρώποις μεγαλειότερον; Τίς δόξα; Τίς πλοῦτος; Τίς δυναστεία; Τίς ἰσχύς; Τί τῶν πάντων ὅσα θαυμάζεται; Φέρε μόνον τὸ τῆς ψυχῆς ὄμμα, ὅλον ἰσχῦσαι δι' ὅλων διοιχθῆναι καὶ μηδὲν οἷα ὑπὸ ῥεύματος συγχυθῆναι μέρος, ἢ καταμύσαι. Τότε γὰρ μάλιστα ὀξυωπῆσαν σύνεσιν, καὶ φρόνησιν αὐτὴν ἐμβλέπον, τοῖς νοητοῖς ἀγάλ-
393 μασιν ἐντεύξεται, ὧν ἡ θέα ψυχαγωγοῦσα πρὸς
M. οὐδὲν ἔτι τῶν αἰσθητῶν ἀπονεύειν ἐάσει. Καὶ τί θαυμάζομεν, εἰ τῷ νηφαλίῳ τῆς ψυχῆς καὶ βλέποντι ὀξυωπέστατα τῶν γένεσιν λαχόντων μηδέν ἐστιν ἰσότιμον; Καὶ γὰρ οἱ τοῦ σώματος ὀφθαλμοί, καὶ τὸ αἰσθητὸν φῶς περιττῶς πρὸς ἡμῶν πάντων τετίμηται. Πολλοὶ γοῦν τῶν τὰς ὄψεις ἀποβαλόντων, καὶ τὸ ζῆν ἑκουσίως προσαπέβαλον, κουφότεραν κα-

*) Gen. 9, 24.

κὸν πηρώσεως θάνατον εἶναι δικάσαντες ἑαυτοῖς. Ὅσῳ τοίνυν ψυχὴ σώματος κρείττων, τοσούτῳ καὶ νοῦς ὀφθαλμῶν ἀμείνων. Ὃς εἴπερ ἀπήμων εἴη καὶ ἀζήμιος, πρὸς μηδενὸς τῶν μέθῃ παραφόρῳ ἐργαζομένων ἀδικημάτων ἢ παθῶν πιεσθεὶς, ὕπνῳ μὲν ἀποτάξεται, λήθην καὶ ὄκνον ἐμποιοῦντι τῶν πρακτέων· ἐγρήγορσιν δὲ ἀσπασάμενος πρὸς τὰ θέας ἄξια πάντα ὀξυδερκήσει, μνήμαις μὲν ὑποβαλλούσαις ἐγειρόμενος, πράξεσι δὲ τοῖς γνωσθεῖσιν ἑπομέναις χρώμενος.

§. 2. Τοῦ μὲν δὴ νήφοντος κατάστασίς ἐστι τοιαύτη. "Νεώτερον" δὲ ὅταν φῇ "υἱὸν," οὐχ ἡλικίας ὄνομα ἀναγράφει, νεωτεροποιΐαν δὲ ἀγαπῶντος ἐμφαίνει τρόπου διάθεσιν. Ἐπεὶ πῶς ἂν ἢ τὰ ἀθέατα κατιδεῖν παρὰ νόμον καὶ δίκην ἐβιάσατο, ἢ ἐκλαλῆσαι τὰ ὀφειλόμενα ἡσυχάζεσθαι, ἢ εἰς τὸ ἐμφανὲς προενεγκεῖν τὰ δυνάμενα οἴκοι συσκιάζεσθαι, καὶ τοὺς ψυχῆς ὅρους μὴ ὑπερβαίνειν, εἰ μὴ νεωτέρων πραγμάτων ἥπτετο, γελῶν τὰ ἑτέροις συμπίπτοντα, δέον ἐπιστένειν, καὶ μὴ χλευάζειν ἐφ᾽ οἷς εἰκὸς ἦν καὶ εὐλαβούμενον τὸ μέλλον, σκυθρωπάζειν; Πολλαχοῦ μέντοι τῆς νομοθεσίας καὶ τοὺς ἡλικίᾳ προήκοντας νέους, καὶ τοὺς μηδέπω γεγηρακότας ἔμπαλιν ὀνομάζει πρεσβυτέρους· οὐκ εἰς πολυετίαν ἀφορῶν, ἢ βραχὺν καὶ μήκιστον χρόνον, ἀλλ᾽ εἰς ψυχῆς δυνάμεις κινουμένης εὖ τε καὶ χεῖρον. Τὸν γοῦν Ἰσμαὴλ εἰκοσαετίαν ἤδη που βεβιωκότα σχεδὸν, κατὰ τὴν πρὸς τὴν ἐν ἀρεταῖς τέλειον Ἰσαὰκ σύγκρισιν, ὀνομάζει παιδίον. "Ἔλαβε γὰρ," φησὶν, "ἄρτους, καὶ ἀσκὸν ὕδατος, καὶ ἔδωκεν Ἄγαρ, καὶ ἐπέθηκεν ἐπὶ τὸν ὦμον καὶ τὸ παιδίον· ἡνίκα αὐτοὺς οἴκοθεν Ἀβραὰμ ἐξέπεμψε." 275 Καὶ πάλιν, "Ἔῤῥιψε τὸ παιδίον ὑποκάτω μιᾶς ἐλάτης." Καὶ, "Οὐ μὴ ἴδω τὸν θάνατον τοῦ παιδίου" *). Καί τοι πρὸ μὲν τῆς γενέσεως Ἰσαὰκ P.

*) Gen. 21, 14. 15

τρισκαίδεκα γεγονὼς ἐτῶν Ἰσμαὴλ περιτέτμηται. Περὶ δὲ τὴν ἑπταέτιν ἡλικίαν παυσαμένῳ τῆς ἐν γάλακτι τροφῆς ἐκείνῳ, τῷ τὴν ἐν παιδιαῖς ἰσότητα φέρεσθαι
394 νόθος γνησίῳ, φυγαδεύεται σὺν τῇ τεκούσῃ. Ἀλλ'
M. ὅμως παιδίον νεανίας ὢν ἤδη καλεῖται, ὁ σοφιστὴς ἀντεξεταζόμενος σοφῷ. Σοφίαν μὲν γὰρ Ἰσαὰκ, σοφιστείαν δὲ Ἰσμαὴλ κεκλήρωται, ὡς, ἐπειδὰν ἑκάτερον χαρακτηρίζωμεν, ἔν τισι διαλόγοις ἐπιδείκνυμεν. Ὃν γὰρ ἔχει λόγον κομιδῇ νήπιον παιδίον πρὸς ἄνδρα τέλειον, τοῦτον καὶ σοφιστὴς πρὸς σοφὸν, καὶ τὰ ἐγκύκλια τῶν μαθημάτων πρὸς τὰς ἐν ἀρεταῖς ἐπιστήμας.

§. 3. Καὶ ἐν ᾠδῇ μέντοι μείζονι τὸν λεὼν ἅπαντα, ὁπότε νεωτερίζοι, τὸ τῆς ἄφρονος καὶ νηπίας ὄνομα ἡλικίας "τέκνα" καλεῖ. "Δίκαιος γὰρ", φησὶ, "καὶ ὅσιος ὁ κύριος, ἥμαρτον οὐκ αὐτῷ, τέκνα μωμητά. Γενεὰ σκολιὰ καὶ διεστραμμένη, ταῦτα κυρίῳ ἀνταποδίδοτε; Οὕτως λαὸς μωρὸς καὶ οὐχὶ σοφός" *); Οὐκοῦν ἐναργῶς ὠνόμακε τοὺς μώμους ἔχοντας ἄνδρας ἐν ψυχῇ, καὶ μωρίᾳ καὶ ἀνοίᾳ τὰ πολλὰ σφαλλομένους ἐν ταῖς κατὰ τὸν ὀρθὸν βίον πράξεσιν· οὐκ εἰς τὰς ἐν πᾶσι σώματος ἡλικίας ἀπιδὼν, ἀλλ' εἰς τὸ τῆς διανοίας ἀλόγιστον καὶ πρὸς ἀλήθειαν βρεφῶδες. Οὕτω μέντοι καὶ Ῥαχὴλ, ἡ σώματος εὐμορφία, νεωτέρα Λείας, κατὰ ψυχὴν κάλλους, ἀναγράφεται. Ἡ μὲν γὰρ θνητὴ, τὸ δ' ἔστιν ἀθάνατον· καὶ ὅσα μέντοι τίμια πρὸς αἴσθησιν, ἑνὸς μόνου τοῦ κατὰ ψυχὴν καλοῦ ἀτελέστερα. Οἷς ἀκολουθεῖ καὶ τὸν Ἰωσὴφ νέον τε καὶ "νεώτατον" **) ἀεὶ λέγεσθαι. Καὶ γὰρ, ὅταν ἐπιστατῇ τῆς ποίμνης "μετὰ τῶν νόθων ἀδελφῶν" ***), νέος προσαγορεύεται. Καὶ ὅταν εὔχηται ὁ πατὴρ αὐτῷ, φησὶν, "Υἱὸς ηὐξημένος νεώτατος πρός με ἀνάστρεψον." Οὗτος δέ ἐστιν ὁ τῆς περὶ τὸ σῶμα

*) Deut. 32, 5. **) Gen. 49, 22. ***) Gen. 39, 1.

ἁπάσης ὑπέρμαχος δυνάμεως, καὶ ὁ τῆς τῶν ἐκτὸς ἀφθο-
νίας ἀκολάκευτος ἑταῖρος, ὁ τῆς πρεσβυτέρας ψυχῆς
πρεσβύτερον καὶ τιμιώτερον ἀγαθὸν μήπω τέλειον εὑρη-
μένος. Εἰ γὰρ εὕρητο, καὶ ὅλην Αἴγυπτον ἀμεταστρεπτὶ
φεύγων ᾤχετο. Νυνὶ δὲ ἐπὶ τῷ τρέφειν αὐτὴν καὶ
τιθηνοκομεῖν μάλιστα σεμνύνεται, ἧς τὸ μάχιμον καὶ
ἡγημονεῦον ὅταν ἴδῃ ὁ ὁρῶν καταπεποντωμένον καὶ
διεφθαρμένον ὕμνον εἰς τὸν θεὸν ᾄδει. Νέος μὲν
οὖν τρόπος, ὁ μήπω δυνάμενος μετὰ τοῦ γνησίων
ἀρετῶν ποιμαίνειν, τὸ δ᾿ ἔστι, τῆς κατὰ ψυχὴν ἀλό-
γου φύσεως ἄρχειν τε καὶ ἐπιτροπεύειν· ἀλλ᾿ ἔτι
μετὰ τῶν νόθων τὰ δοκήσει πρὸ τῶν γνησίων καὶ 276
τῷ εἶναι παραριθμουμένων τετίμηται. Νεώτατος δὲ, P.
καὶ ἂν ἐπίδοσιν καὶ αὔξησιν πρὸς τὸ ἄμεινον λάβῃ,
παρὰ τῷ τελείῳ νενόμισται, μόνον ἀγαθὸν ἡγουμένῳ
τὸ καλόν. Οὗ χάριν προτρέπων φησὶ, "Πρός με
ἀνάστρεψον," ἴσον τῷ, πρεσβυτέρας γνώμης ὀρέχθητι,
μὴ πάντα νεωτέριζε, ἤδη ποτὲ τὴν ἀρετὴν δι᾿ αὐ-
395 τὴν μόνην στέρξον· μὴ καθάπερ παῖς ἄφρων, τῇ
M. τῶν τυχηρῶν λαμπρότητι περιαυγαζόμενος, ἀπάτης
καὶ ψευδοῦς δόξης ἀναπίμπλασο.

§. 4. Ὡς μὲν τοίνυν πολλαχοῦ νέον, οὐκ εἰς τὴν
σώματος ἀκμὴν ἀλλ᾿ εἰς τὴν τῆς ψυχῆς νεωτεροποιΐαν
ἀφορῶν, εἴωθε καλεῖν, ἐπιδέδεικται. Ὡς δὲ καὶ
πρεσβύτερον οὐ τὸν γήρᾳ κατεσχημένον, ἀλλὰ τὸν
γέρως καὶ τιμῆς ἄξιον ὀνομάζει, δηλώσομεν. Τίς
οὖν ἀγνοεῖ τῶν ἐντετευχηκότων ταῖς ἱερωτάταις βί-
βλοις, ὅτι σχεδὸν τῶν προγόνων ἑαυτοῦ πάντων ὁ
σοφώτατος Ἀβραὰμ ὀλιγοχρονιώτατος εἰςάγεται; Καὶ
ἐκείνων μὲν, οἶμαι, οἱ μακροβιώτατοι γεγόνασιν οὐδὲ
εἷς, οὑτοσὶ δὲ ἀναγέγραπται πρεσβύτερος. Φασὶν
οὖν οἱ χρησμοὶ, ὅτι "Ἀβραὰμ ἦν πρεσβύτερος προβε-
βηκὼς", καὶ, "Κύριος εὐλόγησε τὸν Ἀβραὰμ κατὰ
πάντα *)." Τοῦτό μοι δοκεῖ τῶν προκειμένων αἰτίας

---

*) Gen. 24, 1.

ἀπόδοσις εἶναι, δι' ἣν πρεσβύτερος ἐλέχθη ὁ σοφός. Ἐπιφροσύνῃ γὰρ θεοῦ τὸ λογικὸν τῆς ψυχῆς μέρος ὅταν εὖ διατεθῇ, καὶ μὴ καθ' ἓν εἶδος, ἀλλὰ κατὰ πάσας τὰς ἐπιβολὰς εὐλογισθῇ, πρεσβυτέρᾳ γνώμῃ χρώμενον, καὶ αὐτὸ δήμου πρεσβύτερόν ἐστιν. Οὕτω καὶ τοὺς συνέδρους τοῦ θεοφιλοῦς λαοῦ ἕνδεκα ἑβδομάδων ἀριθμὸν εἰληφότας πρεσβυτέρους ὀνομάζειν ἔθος. Λέγεται γάρ, "Συνάγαγέ μοι ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν πρεσβυτέρων Ἰσραήλ, οὓς αὐτὸς σὺ οἶδας, ὅτι οὗτοί εἰσι πρεσβύτεροι" *). Οὐκοῦν οὐ τοὺς ὑπὸ τῶν τυχόντων γέροντας νομιζομένους ὡς ἱεροφάντας, ἀλλ' οὓς ὁ σοφὸς οἶδε μόνος, τῆς τῶν πρεσβυτέρων ἠξίωσε προσρήσεως. Οὓς μὲν γὰρ ἂν ουτος ἀποδοκιμάσῃ, καθάπερ ἀργυραμοιβὸς ἀγαθός, ἐκ τοῦ τῆς ἀρετῆς νομίσματος, κεκιβδηλευμένοι, νεωτεροποιοὶ τὰς ψυχὰς ἅπαντες· οὓς δ' ἂν γνωρίμους ἐθελήσῃ ποιήσασθαι, δόκιμοί τε καὶ τὸ φρόνημα πρεσβύτεροι κατὰ τὸ ἀναγκαῖόν εἰσιν.

§. 5. Ἑνὶ μέντοι νόμου διατάγματι τοῖς ἀκούειν ἐπισταμένοις, ἑκάτερον ὧν ἂν εἶπον ἐναργέστερον φανεῖται δεδηλωκώς. "Ἐὰν γὰρ γένωνται," φησίν, "ἀνθρώπῳ δύο γυναῖκες, ἠγαπημένη καὶ μισουμένη, καὶ τέκωσιν αὐτῷ ἡ ἠγαπημένη καὶ ἡ μισουμένη, καὶ γένηται υἱὸς πρωτότοκος τῆς μισουμένης, ᾗ ἂν ἡμέρᾳ κληροδοτῇ τοῖς υἱοῖς τὰ ὑπάρχοντα, οὐ δυνήσεται πρωτοτοκεῦσαι τῷ υἱῷ τῆς ἠγαπημένης, ὑπεριδὼν τὸν υἱὸν τῆς μισουμένης τὸν πρωτότοκον· ἀλλὰ τὸν πρωτότοκον υἱὸν τῆς μισουμένης ἐπιγνώσεται, δοῦναι αὐτῷ διπλᾶ ἀπὸ πάντων ὧν ἂν εὑρεθῇ αὐτῷ, ὅτι οὗτός ἐστιν ἀρχὴ τέκνων αὐτοῦ, καὶ τούτῳ καθήκει τὰ πρωτοτόκια" **). Παρα-
396 τετήρηκας ἤδη, ὅτι τὸν μὲν τῆς στεργομένης υἱὸν
M. οὐδέποτε πρωτότοκον ἢ πρεσβύτερον καλεῖ, τὸν δὲ τῆς μισουμένης πολλάκις· καί τοι τοῦ μὲν τὴν γένε-

*) Num. 11, 16. **) Deut. 21, 15 sq.

σιν προτέρου, τοῦ δὲ ἐκ τῆς στυγουμένης ὑστάτου, δεδήλωκεν εὐθὺς ἀρχόμενος ἀπὸ τῆς προςτάξεως. "Ἐὰν γὰρ τέκωσι," φησὶν, "ἡ ἠγαπημένη καὶ ἡ μισουμένη." Ἀλλ' ὅμως τὸ μὲν τῆς προτέρας γέννημα, καὶ ἂν πολυχρονιώτερον ᾖ, νεώτερον παρ' ὀρθῷ λόγῳ δικάζοντι νενόμισται· τὸ δὲ τῆς ὑστέρας, καὶ ἂν ἐν τοῖς κατὰ τὴν γέννησιν χρόνοις ὑστερίζῃ, τῆς μείζονος καὶ πρεσβυτέρας μοίρας ἠξίωται. Διὰ τί; ὅτι τῶν γυναικῶν τὴν μὲν στεργομένην ἡδονῆς, τὴν δὲ στυγουμένην φρονήσεως εἶναί φαμεν σύμβολον. Τῆς μὲν γὰρ ὁ πολὺς ὅμιλος ἀνθρώπων τὴν συνουσίαν ὑπερφυῶς ἀγαπᾷ, δελέατα καὶ φίλτρα ἐξ ἑαυτῆς ἐπαγωγότατα ἐνδιδούσης, ἀπὸ γενέσεως ἀρχῆς ἄχρι παννστάτου γήρως. Τῆς δὲ ἐκτόπως τὸ αὐστηρὸν καὶ περίσεμνον διαμεμίσηκε, καθάπερ οἱ ἄφρονες παῖδες τὰς τῶν γονέων καὶ τρεφόντων ὠφελιμωτάτας μὲν, ἀτερπεστάτας δὲ ὑφηγήσεις. Τίκτουσι δὲ ἀμφότεραι, ἡ μὲν τὸν φιλήδονον, ἡ δ' αὖ τὸν φιλάρετον ἐν ψυχῇ τρόπον. Ἀλλ' ὁ μὲν φιλήδονος ἀτελὴς καὶ ὄντως ἀεὶ παῖς ἐστι, καὶ ἂν εἰς πολυετίας αἰῶνα μήκιστον ἀφίκοιτο. Ὁ δ' αὖ φιλάρετος ἐν γερουσίᾳ τῆς φρονήσεως ἐξ ἔτι σπαργάνων, τὸ τοῦ λόγου δὴ τοῦτο, ἀγήρως ὢν τάττεται. Παρ' ὃ καὶ λίαν ἐμφαντικῶς εἴρηκεν ἐπὶ τοῦ τῆς μισουμένης ὑπὸ τῶν πολλῶν ἀρετῆς γεγονότος, ὅτι "οὗτός ἐστιν ἀρχὴ τέκνων," καὶ τάξει καὶ ἡγεμονίᾳ δήπου πρῶτος ὤν. Καὶ τούτῳ καθήκει "τὰ πρωτοτόκια," νόμῳ φύσεως, οὐκ ἀνομίᾳ τῇ παρ' ἀνθρώποις.

§. 6. Ἑπόμενος οὖν αὐτῷ καὶ ὥςπερ ἐπὶ προτεθέντα σκοπὸν ἀφιεὶς εὐστόχως τὰ βέλη, κατὰ ἀκολουθίαν εἰςάγει τὸν Ἰακὼβ γενέσει μὲν τοῦ Ἡσαῦ νεώτερον — ὅτι ἀφροσύνη μὲν ἐκ πρώτης ἡλικίας ἡμῖν ἐστι σύντροφος, ὀψίγονος δὲ ὁ τοῦ καλοῦ ζῆλος —, δυνάμει δὲ πρεσβύτερον. Παρ' ὃ καὶ τῶν πρωτοτοκίων ὁ μὲν Ἡσαῦ ἐξίσταται, μεταποιεῖται δὲ οὗ-

τος εἰκότως *). Τούτοις συνᾴδει καὶ τὰ ἐπὶ τῶν
υἱῶν Ἰωσὴφ, ἐκ πολλῆς περισκέψεως ἀνεζητημένα,
ἡνίκα ἐνθουσιῶν ὁ σοφὸς ἄντικρυς παρεστηκόσιν,
οὐκ ἐπιτίθησι ταῖς κεφαλαῖς ἐξ ἐναντίας καὶ κατευθὺ
τὰς χεῖρας ἐπενεγκὼν, ἀλλ' ἐναλλάξας, ὅπως τῇ μὲν
εὐωνύμῳ τοῦ πρεσβυτέρου δοκοῦντος εἶναι, τοῦ 278
δὲ νεωτέρου τῇ δεξιᾷ ψαύσῃ. Καλεῖται δὲ ὁ μὲν P.
ἐν γενέσει πρεσβύτερος Μανασσῆς, ὁ νεώτερος δὲ
Ἐφραῒμ **). Ταῦτα δὲ, εἰ μεταληφθείη τὰ ὀνόματα
εἰς ἑλλάδα γλῶτταν, μνήμης καὶ ἀναμνήσεως εὑρε-
897 θήσεται σύμβολα. Ἑρμηνεύεται γὰρ Μανασσῆς
M. μὲν "ἐκ λήθης," τὸ δ' ἔστιν ὄνομα τῷ ἑτέρῳ καλού-
μενον ἀνάμνησις. Ὁ γὰρ ὧν ἐπελάθετο εἰς ἀνάμνη-
σιν ἐρχόμενος ἔξω πρόεισι τῆς λήθης. Ἐφραῒμ δὲ
καρποφορία, μνήμης πρόσρησις οἰκειοτάτη· διότι
καρπὸς ὠφελιμώτατος καὶ τῷ ὄντι ἐδώδιμος ψυχαῖς,
τὸ ἄληστον ἐν τοῖς ἀδιαστάτοις. Μνῆμαι μὲν οὖν
ἠνδρωμένοις ἤδη καὶ παγίοις συντυγχάνουσι, παρ' ὃ
καὶ νεώτεραι ἐνομίσθησαν, ὀψὲ φυόμεναι. Λήθη
δὲ καὶ ἀνάμνησις ἐπαλλήλως σχεδὸν ἐκ πρώτης ἡλι-
κίας ἑκάστῳ σύνεισιν, οὗ ἕνεκα τὰ χρόνῳ πρεσβεῖα
εὕρηνται, καὶ ἐπ' εὐωνύμοις παρὰ σοφῷ ταξιαρχοῦν-
τι τάττονται. Τῶν δὲ ἀρετῆς αἱ μνῆμαι κοινωνή-
σουσι πρεσβείων, ἃς ὁ θεοφιλὴς δεξιωσάμενος τῆς
ἀμείνονος παρ' ἑαυτῷ μοίρας ἀξιώσει. Νήψας οὖν
ὁ δίκαιος καὶ γνοὺς ὅσα "ἐποίησεν ὁ νεώτερος αὐτῷ
υἱὸς" ***), ἀρὰς χαλεπωτάτας τίθεται. Τῷ γὰρ ὄντι
ὅταν ὁ νοῦς νήψῃ, κατὰ τὸ ἀκόλουθον εὐθὺς αἰσθά-
νεται ὅσα ἡ νεωτεροποιὸς αὐτῷ κακία πρότερον εἰρ-
γάζετο, ἃ μεθύων ἀδυνάτως καταλαβεῖν εἶχε.

§. 7. Τίνι μέντοι καταρᾶται, σκεπτέον. Ἓν
γάρ τι καὶ τοῦτο τῶν ἐρεύνης ἀξίων ἐστίν. Ἐπει-
δήπερ οὐ τῷ δοκοῦντι ἡμαρτηκέναι παιδὶ, ἀλλὰ τῷ
ἐκείνου μὲν υἱῷ, ἑαυτοῦ δὲ υἱωνῷ, οὐ φανερὸν οὐδὲ

*) Gen. 25, 33. **) Gen. 48, 13. ***) Gen. 9, 24.

εἴς τε τὸ παρὸν ἀδίκημα, οὐ μικρὸν, οὐ μέγα δεδήλωκεν. Ὁ μὲν γὰρ ἐκ περιεργίας ἰδεῖν τὸν πατέρα γυμνὸν ἐθελήσας, καὶ γελάσας ἃ εἶδε, καὶ ἐκλαλήσας τὰ δεόντως ἡσυχασθέντα, ὁ υἱὸς ἦν τοῦ Νῶε Χάμ. Ὁ δὲ, ἐφ' οἷς ἕτερος ἠδίκησε τὰς αἰτίας ἔχων, καὶ τὰς ἀρὰς καρπούμενος, Χαναάν ἐστι. Λέγεται γὰρ, "Ἐπικατάρατος Χαναὰν παῖς οἰκέτης, δοῦλος δούλων ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ" *). Τί γὰρ ἡμάρτησεν, ὡς ἔφην, οὗτος; Ἀλλ' ἐσκέψαντο μὲν ἐφ' ἑαυτῶν ἴσως οἷς ἔθος ἀκριβοῦν τὰς ῥητὰς καὶ προχείρους ἐν τοῖς νόμοις ἀποδόσεις. Ἡμεῖς δὲ πειθόμενοι τῷ ὑποβάλλοντι ὀρθῷ λόγῳ τὴν ἐγκειμένην ἀπόδοσιν διερμηνεύσομεν, ἐκεῖνα ἀναγκαίως προειπόντες.

§. 8. Σχέσις καὶ κίνησις διαφέρουσιν ἀλλήλων. Ἡ μὲν γάρ ἐστιν ἠρεμία, φορὰ δὲ ἡ κίνησις· ἧς εἴδη δύο, τὸ μὲν μεταβατικὸν, τὸ δὲ περὶ τὸν αὐ-
398 τὸν τόπον εἱλούμενον. Σχέσει μὲν οὖν ἀδελφὸν
1. ἕξις, κινήσει δ' ἐνέργεια· τὸ δὲ λεγόμενον παραδείγματι οἰκείῳ γνωριμώτερον γένοιτ' ἄν. Τέκτονα καὶ ζωγράφον καὶ γεωργὸν καὶ μουσικὸν καὶ τοὺς ἄλ-
λους τεχνίτας, καὶ ἂν ἡσυχίαν ἄγωσι, μηδὲν τῶν κατὰ 279
τὰς τέχνας ἐνεργοῦντες, οὐδὲν ἧττον τοῖς εἰρημένοις P.
ἔθος καλεῖν ὀνόμασιν, ἐπεὶ τὴν ἐν ἑκάστοις ἐμπειρίαν καὶ ἐπιστήμην ἀνειληφότες ἔχουσιν. Ἐπειδὰν δὲ ὁ τεκτονικὸς ξύλων ὕλην ἐργάζηται λαβὼν, ὁ δὲ ζωγράφος τὰ οἰκεῖα κερασάμενος χρώματα ἐπὶ τοῦ πίνακος, διαγράφῃ τοὺς τύπους ὧν ἂν διανοῆται· ὁ δ' αὖ γεωργὸς ἀνατέμνων γῆς αὔλακας καταβάλλῃ τὰ σπέρματα, κληματίδας δὲ καὶ μοσχεύματα δένδρων ἐμφυτεύῃ, ἅμα δὲ τροφὴν ἀναγκαιοτάτην ἄρδῃ καὶ ἐποχετεύῃ τοῖς φυτευθεῖσι, καὶ τοῖς ἄλλοις ὅσα γεωργικὰ πᾶσιν ἐγχειρῇ· ὁ δ' αὖ μουσικὸς αὐλοῖς καὶ κιθάραις καὶ τοῖς ἄλλοις ὀργάνοις μέτρα καὶ ῥυ-

---

*) Gen. 9, 25.

νίους φλόγας, θεοῦ τὴν κατὰ ἀσεβῶν καλῶς δικάσαντος δίκην, ὁ οὐρανὸς ἀσβέστους ἔνιφεν· ἀκρότητος δὲ ἐπιθυμίας τῆς ἐστειρωμένης τὰ καλὰ, καὶ πεπηρωμένης πρὸς πάντα τὰ θέας ἄξια, ἣν ἀμπέλῳ παραβέβληκεν· οὐχὶ τῇ καρπῶν ἡμέρων μητρὶ, ἀλλ' ἥτις πικρίας καὶ πονηρίας καὶ πανουργίας, ὀργῆς τε καὶ θυμοῦ καὶ ἀκροχολωτάτων ἠθῶν οἰστικὴ γέγονε· δάκνουσα τὴν ψυχὴν ἐχίων καὶ ἀσπίδων τρόπον ἰοβόλων, καὶ παντελῶς ἀνίατα. Ὧν ἀποτροπὴν εὐχόμεθα γενέσθαι, τὸν πάντα ἵλεων ποτνιώμενοι θεὸν, ἵνα καὶ τὴν ἀγρίαν ταύτην ἄμπελον διολέσῃ, καὶ τοῖς εὐνούχοις καὶ πᾶσιν ἀγόνοις ἀρετῆς ἀΐδιον ψηφίσηται φυγὴν, ἀντὶ δὲ τούτων ἥμερα μὲν ταῖς ψυχαῖς ἡμῶν δένδρα τὰ παιδείας ὀρθῆς ἐμφυτεύσῃ, γενναίους δὲ καὶ ἄῤῥενας ὡς ἀληθῶς καρποὺς καὶ λόγους χαρίσηται, δυναμένους μὲν σπείρειν καλὰς πράξεις, δυναμένους δὲ συναύξειν ἀρετὰς, ἱκανοὺς δὲ τὴν εὐδαιμονίας ἅπασαν συνέχειν καὶ διαφυλάττειν εἰς ἀεὶ συγγένειαν.

ΠΕΡΙ ΤΟΥ

ΕΞΕΝΗΨΕ ΝΩΕ.

DE HIS VERBIS:

RESIPUIT NOE,

SEU DE

SOBRIETATE.

Quantorum malorum auctor est ebrietas, tantorum e diverso bonorum sobrietas, et quidem corporibus aeque atque animabus (1.). Ebrios licet dicere sophistas, (Ismael,) homines fallaciarum et rerum novarum amatores, quos Moyses propterea etiam pueros dicit, quippe qui sobria sapientia destituti sint (2.); qua contra qui imbuti sunt, senes recte dicuntur (3 — 6.). Quod Noë male dicit nepoti, non filio, quamvis hic male egit, ita est intelligendum (7.): In quovis homine vel virtutes vel vitia latent, a quibus nascuntur vel bene vel prave facta (8. 8.). Haec vero quum punienda sint, recte Noë, etiamsi non actu, potentia tamen, male dicit nepoti, propterea quod filius male egit. Pravi enim affectus, si quieti manent, non sunt obnoxii crimini, sed motus eorum merito damnantur (10.). Verbis „bene dictus Deus Sem" innuitur, hominem bona, quae accepit a deo, nulla re, nisi sermonibus, canticis, hymnisque piis posse rependere (11.); benedictionique Japheti vis ac potestas inest, felicitatem humanam augeri, si honestati etiam bona externa accedunt, prospera valetudo et divitiae (12.). „Habitet in domibus Sem" indicat, deo domum praeter ceteras dignam esse animam sinceram atque eius amantem; quemque igitur probum decet precibus piis a deo petere, ut animae suae inhabitare dignetur (13.).

392 §. 1. Τὰ περὶ μέθης καὶ τῆς ἑπομένης αὐτῇ
M. γυμνότητος εἰρημένα τῷ νομοθέτῃ διεξεληλυθότες
πρότερον, ἀρξόμεθα τοῖς λεχθεῖσι τὸν ἑξῆς προς-
αρμόττειν λόγον. Περιέσται τοίνυν ἐν τοῖς χρησμοῖς
ἀκόλουθα τάδε. „Ἐξένηψε δὲ Νῶε ἀπὸ τοῦ οἴνου,
καὶ ἔγνω ὅσα ἐποίησεν αὐτῷ ὁ υἱὸς ὁ νεώτερος" *).
Τὸ νήφειν οὐ μόνον ψυχαῖς, ἀλλὰ καὶ σώμασιν
ὠφελιμώτατον ἀνωμολόγηται. Τάς τε γὰρ ἐξ ἀμέ-
τρου πλησμονῆς γινομένας νόσους ἀπωθεῖται, καὶ
τὰς αἰσθήσεις πρὸς ἄκρας ὀξύτητας ἀκονᾷ, καὶ ὅλα
μέντοι τὰ σώματα οὐκ ἐᾷ βαρυνόμενα πίπτειν, ἀλλ'
ἐξαίρει καὶ ἐπικουφίζει, καὶ πρὸς τὰς οἰκείας ἐνερ-
γείας ἀνακαλεῖ, πᾶσι τοῖς μέρεσιν ἑτοιμότητα ἐν-
τίκτον. Καὶ συνόλως, ὅσων δημιουργὸς κακῶν ἡ
μέθη, τοσούτων ἔμπαλιν ἀγαθῶν τὸ νηφάλιον. 274
Ὁπότ' οὖν καὶ σώμασιν οἷς ἡ οἴνου πόσις οἰκεῖον, P.
λυσιτελέστατον τὸ νήφειν, οὐ πολὺ μᾶλλον ψυχαῖς,
ὧν φθαρτὴ τροφὴ πᾶσα ἀλλότριον; Νηφούσης γὰρ
διανοίας τί τῶν παρὰ ἀνθρώποις μεγαλειότερον; Τίς
δόξα; Τίς πλοῦτος; Τίς δυναστεία; Τίς ἰσχύς;
Τί τῶν πάντων ὅσα θαυμάζεται; Φέρε μόνον τὸ
τῆς ψυχῆς ὄμμα, ὅλον ἰσχῦσαι δι' ὅλων διοιχθῆναι
καὶ μηδὲν οἷα ὑπὸ ῥεύματος συγχυθῆναι μέρος, ἢ
καταμύσαι. Τότε γὰρ μάλιστα ὀξυωπῆσαν σύνεσιν,
καὶ φρόνησιν αὐτὴν ἐμβλέπον, τοῖς νοητοῖς ἀγάλ-
393 μασιν ἐντεύξεται, ὧν ἡ θέα ψυχαγωγοῦσα πρὸς
M. οὐδὲν ἔτι τῶν αἰσθητῶν ἀπονεύειν ἐάσει. Καὶ τί
θαυμάζομεν, εἰ τῷ νηφαλίῳ τῆς ψυχῆς καὶ βλέποντι
ὀξυωπέστατα τῶν γένεσιν λαχόντων μηδέν ἐστιν
ἰσότιμον; Καὶ γὰρ οἱ τοῦ σώματος ὀφθαλμοὶ, καὶ
τὸ αἰσθητὸν φῶς περιττῶς πρὸς ἡμῶν πάντων τε-
τίμηται. Πολλοὶ γοῦν τῶν τὰς ὄψεις ἀποβαλόντων,
καὶ τὸ ζῆν ἑκουσίως προςαπέβαλον, κουφότερον κα-

*) Gen. 9, 24.

κὸν πηρώσεως θάνατον εἶναι δικάσαντες ἑαυτοῖς. Ὅσῳ τοίνυν ψυχὴ σώματος κρείττων, τοσούτῳ καὶ νοῦς ὀφθαλμῶν ἀμείνων. Ὃς εἴπερ ἀπήμων εἴη καὶ ἀζήμιος, πρὸς μηδενὸς τῶν μέθῃ παραφόρῳ ἐργαζομένων ἀδικημάτων ἢ παθῶν πιεσθεὶς, ὕπνῳ μὲν ἀποτάξεται, λήθην καὶ ὄκνον ἐμποιοῦντι τῶν πρακτέων· ἐγρήγορσιν δὲ ἀσπασάμενος πρὸς τὰ θέας ἄξια πάντα ὀξυδερκήσει, μνήμαις μὲν ὑποβαλλούσαις ἐγειρόμενος, πράξεσι δὲ τοῖς γνωσθεῖσιν ἑπομέναις χρώμενος.

§. 2. Τοῦ μὲν δὴ νήφοντος κατάστασίς ἐστι τοιαύτη. "Νεώτερον" δὲ ὅταν φῇ "υἱὸν," οὐχ ἡλικίας ὄνομα ἀναγράφει, νεωτεροποιΐαν δὲ ἀγαπῶντος ἐμφαίνει τρόπου διάθεσιν. Ἐπεὶ πῶς ἂν ἢ τὰ ἀθέατα κατιδεῖν παρὰ νόμον καὶ δίκην ἐβιάσατο, ἢ ἐκλαλῆσαι τὰ ὀφειλόμενα ἡσυχάζεσθαι, ἢ εἰς τὸ ἐμφανὲς προενεγκεῖν τὰ δυνάμενα οἴκοι συσκιάζεσθαι, καὶ τοὺς ψυχῆς ὅρους μὴ ὑπερβαίνειν, εἰ μὴ νεωτέρων πραγμάτων ἥπτετο, γελῶν τὰ ἑτέροις συμπίπτοντα, δέον ἐπιστένειν, καὶ μὴ χλευάζειν ἐφ' οἷς εἰκὸς ἦν καὶ εὐλαβούμενον τὸ μέλλον, σκυθρωπάζειν; Πολλαχοῦ μέντοι τῆς νομοθεσίας καὶ τοὺς ἡλικίᾳ προήκοντας νέους, καὶ τοὺς μηδέπω γεγηρακότας ἔμπαλιν ὀνομάζει πρεσβυτέρους· οὐκ εἰς πολυετίαν ἀφορῶν, ἢ βραχὺν καὶ μήκιστον χρόνον, ἀλλ' εἰς ψυχῆς δυνάμεις κινουμένης εὖ τε καὶ χεῖρον. Τὸν γοῦν Ἰσμαὴλ εἰκοσαετίαν ἤδη που βεβιωκότα σχεδὸν, κατὰ τὴν πρὸς τὴν ἐν ἀρεταῖς τέλειον Ἰσαὰκ σύγκρισιν, ὀνομάζει παιδίον. "Ἔλαβε γὰρ," φησὶν, "ἄρτους, καὶ ἀσκὸν ὕδατος, καὶ ἔδωκεν Ἄγαρ, καὶ ἐπέθηκεν ἐπὶ τὸν ὦμον καὶ τὸ
παιδίον· ἡνίκα αὐτοὺς οἴκοθεν Ἀβραὰμ ἐξέπεμψε." 275
Καὶ πάλιν, "Ἔρριψε τὸ παιδίον ὑποκάτω μιᾶς ἐλά- P.
της." Καὶ, "Οὐ μὴ ἴδω τὸν θάνατον τοῦ παιδίου" *). Καί τοι πρὸ μὲν τῆς γενέσεως Ἰσαὰκ

*) Gen. 21, 14. 15

τρισκαίδεκα γεγονὼς ἐτῶν Ἰσμαὴλ περιτέτμηται. Περὶ
δὲ τὴν ἑπταέτιν ἡλικίαν παυσαμένῳ τῆς ἐν γάλακτι
τροφῆς ἐκείνῳ, τῷ τὴν ἐν παιδιαῖς ἰσότητα φέρεσθαι
394 νόθος γνησίῳ, φυγαδεύεται σὺν τῇ τεκούσῃ. Ἀλλ'
M. ὅμως παιδίον νεανίας ὢν ἤδη καλεῖται, ὁ σοφιστὴς
ἀντεξεταζόμενος σοφῷ. Σοφίαν μὲν γὰρ Ἰσαὰκ, σοφιστείαν δὲ Ἰσμαὴλ κεκλήρωται, ὡς, ἐπειδὰν ἑκάτερον χαρακτηρίζωμεν, ἔν τισι διαλόγοις ἐπιδείκνυμεν. Ὃν γὰρ ἔχει λόγον κομιδῇ νήπιον παιδίον πρὸς ἄνδρα τέλειον, τοῦτον καὶ σοφιστὴς πρὸς σοφὸν, καὶ τὰ ἐγκύκλια τῶν μαθημάτων πρὸς τὰς ἐν ἀρεταῖς ἐπιστήμας.

§. 3. Καὶ ἐν ᾠδῇ μέντοι μείζονι τὸν λεὼν ἅπαντα, ὁπότε νεωτερίζοι, τὸ τῆς ἄφρονος καὶ νηπίας ὄνομα ἡλικίας "τέκνα" καλεῖ. "Δίκαιος γὰρ", φησὶ, "καὶ ὅσιος ὁ κύριος, ἥμαρτον οὐκ αὐτῷ, τέκνα μωμητά. Γενεὰ σκολιὰ καὶ διεστραμμένη, ταῦτα κυρίῳ ἀνταποδίδοτε; Οὕτως λαὸς μωρὸς καὶ οὐχὶ σοφός" *); Οὐκοῦν ἐναργῶς ὠνόμακε τοὺς μώμους ἔχοντας ἄνδρας ἐν ψυχῇ, καὶ μωρίᾳ καὶ ἀνοίᾳ τὰ πολλὰ σφαλλομένους ἐν ταῖς κατὰ τὸν ὀρθὸν βίον πράξεσιν· οὐκ εἰς τὰς ἐν παισὶ σώματος ἡλικίας ἀπιδὼν, ἀλλ' εἰς τὸ τῆς διανοίας ἀλόγιστον καὶ πρὸς ἀλήθειαν βρεφῶδες. Οὕτω μέντοι καὶ Ῥαχὴλ, ἡ σώματος εὐμορφία, νεωτέρα Λείας, κατὰ ψυχὴν κάλλους, ἀναγράφεται. Ἡ μὲν γὰρ θνητὴ, τὸ δ' ἔστιν ἀθάνατον· καὶ ὅσα μέντοι τίμια πρὸς αἴσθησιν, ἑνὸς μόνου τοῦ κατὰ ψυχὴν καλοῦ ἀτελέστερα. Οἷς ἀκολουθεῖ καὶ τὸν Ἰωσὴφ νέον τε καὶ "νεώτατον" **) ἀεὶ λέγεσθαι. Καὶ γὰρ, ὅταν ἐπιστατῇ τῆς ποίμνης "μετὰ τῶν νόθων ἀδελφῶν" ***), νέος προσαγορεύεται. Καὶ ὅταν εὔχηται ὁ πατὴρ αὐτῷ, φησὶν, "Υἱὸς ηὐξημένος νεώτατος πρός με ἀνάστρεψον." Οὗτος δέ ἐστιν ὁ τῆς περὶ τὸ σῶμα

---

*) Deut. 32, 5. **) Gen. 49, 22. ***) Gen. 39, 1.

ἁπάσης ὑπέρμαχος δυνάμεως, καὶ ὁ τῆς τῶν ἐκτὸς ἀφθονίας ἀκολάκευτος ἑταῖρος, ὁ τῆς πρεσβυτέρας ψυχῆς πρεσβύτερον καὶ τιμιώτερον ἀγαθὸν μήπω τέλειον εὑρημένος. Εἰ γὰρ εὕρητο, καὶ ὅλην Αἴγυπτον ἀμεταστρεπτὶ φεύγων ᾤχετο. Νυνὶ δὲ ἐπὶ τῷ τρέφειν αὐτὴν καὶ τιθηνοκομεῖν μάλιστα σεμνύνεται, ἧς τὸ μάχιμον καὶ ἡγημονεῦον· ὅταν ἴδῃ ὁ ὁρῶν καταπεποντωμένον καὶ διεφθαρμένον ὕμνον εἰς τὸν θεὸν ᾄδει. Νέος μὲν οὖν τρόπος, ὁ μήπω δυνάμενος μετὰ τοῦ γνησίων ἀρετῶν ποιμαίνειν, τὸ δ' ἔστι, τῆς κατὰ ψυχὴν ἀλόγου φύσεως ἄρχειν τε καὶ ἐπιτροπεύειν· ἀλλ' ἔτι
μετὰ τῶν νόθων τὰ δοκήσει πρὸ τῶν γνησίων καὶ 276
τῷ εἶναι παραριθμουμένων τετίμηται. Νεώτατος δέ, P.
καὶ ἂν ἐπίδοσιν καὶ αὔξησιν πρὸς τὸ ἄμεινον λάβῃ, παρὰ τῷ τελείῳ νενόμισται, μόνον ἀγαθὸν ἡγουμένῳ τὸ καλόν. Οὗ χάριν προτρέπων φησί, "Πρός με ἀνάστρεψον," ἴσον τῷ, πρεσβυτέρας γνώμης ὀρέχθητι, μὴ πάντα νεωτέριζε, ἤδη ποτὲ τὴν ἀρετὴν δι' αὑ-
395 τὴν μόνην στέρξον· μὴ καθάπερ παῖς ἄφρων, τῇ
M. τῶν τυχηρῶν λαμπρότητι περιαυγαζόμενος, ἀπάτης
καὶ ψευδοῦς δόξης ἀναπίμπλασο.

§. 4. Ὡς μὲν τοίνυν πολλαχοῦ νέον, οὐκ εἰς τὴν σώματος ἀκμὴν ἀλλ' εἰς τὴν τῆς ψυχῆς νεωτεροποιΐαν ἀφορῶν, εἴωθε καλεῖν, ἐπιδέδεικται. Ὡς δὲ καὶ πρεσβύτερον οὐ τὸν γήρᾳ κατεσχημένον, ἀλλὰ τὸν γέρως καὶ τιμῆς ἄξιον ὀνομάζει, δηλώσομεν. Τίς οὖν ἀγνοεῖ τῶν ἐντετευχηκότων ταῖς ἱερωτάταις βίβλοις, ὅτι σχεδὸν τῶν προγόνων ἑαυτοῦ πάντων ὁ σοφώτατος Ἀβραὰμ ὀλιγοχρονιώτατος εἰςάγεται; Καὶ ἐκείνων μέν, οἶμαι, οἱ μακροβιώτατοι γεγόνασιν οὐδὲ εἷς, οὑτοσὶ δὲ ἀναγέγραπται πρεσβύτερος. Φασὶν οὖν οἱ χρησμοί, ὅτι "Ἀβραὰμ ἦν πρεσβύτερος προβεβηκώς", καί, "Κύριος εὐλόγησε τὸν Ἀβραὰμ κατὰ πάντα *)." Τοῦτό μοι δοκεῖ τῶν προκειμένων αἰτίας

*) Gen. 24, 1.

ἀπόδοσις εἶναι, δι' ἣν πρεσβύτερος ἐλέχθη ὁ σοφός. Ἐπιφροσύνῃ γὰρ θεοῦ τὸ λογικὸν τῆς ψυχῆς μέρος ὅταν εὖ διατεθῇ, καὶ μὴ καθ' ἓν εἶδος, ἀλλὰ κατὰ πάσας τὰς ἐπιβολὰς εὐλογισθῇ, πρεσβυτέρᾳ γνώμῃ χρώμενον, καὶ αὐτὸ δήμου πρεσβύτερόν ἐστιν. Οὕτω καὶ τοὺς συνέδρους τοῦ θεοφιλοῦς λαοῦ ἕνδεκα ἑβδομάδων ἀριθμὸν εἰληφότας πρεσβυτέρους ὀνομάζειν ἔθος. Λέγεται γάρ, "Συνάγαγέ μοι ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν πρεσβυτέρων Ἰσραήλ, οὓς αὐτὸς σὺ οἶδας, ὅτι οὗτοί εἰσι πρεσβύτεροι" *). Οὐκοῦν οὐ τοὺς ὑπὸ τῶν τυχόντων γέροντας νομιζομένους ὡς ἱεροφάντας, ἀλλ' οὓς ὁ σοφὸς οἶδε μόνος, τῆς τῶν πρεσβυτέρων ἠξίωσε προσρήσεως. Οὓς μὲν γὰρ ἂν οὗτος ἀποδοκιμάσῃ, καθάπερ ἀργυραμοιβὸς ἀγαθός, ἐκ τοῦ τῆς ἀρετῆς νομίσματος, κεκιβδηλευμένοι, νεωτεροποιοὶ τὰς ψυχὰς ἅπαντες· οὓς δ' ἂν γνωρίμους ἐθελήσῃ ποιήσασθαι, δόκιμοί τε καὶ τὸ φρόνημα πρεσβύτεροι κατὰ τὸ ἀναγκαῖόν εἰσιν.

§. 5. Ἑνὶ μέντοι νόμου διατάγματι τοῖς ἀκούειν ἐπισταμένοις, ἑκάτερον ὧν ἂν εἶπον ἐναργέστερον φανεῖται δεδηλωκώς. "Ἐὰν γὰρ γένωνται," φησίν, "ἀνθρώπῳ δύο γυναῖκες, ἠγαπημένη καὶ μισουμένη, καὶ τέκωσιν αὐτῷ ἡ ἠγαπημένη καὶ ἡ μισουμένη, καὶ γένηται υἱὸς πρωτότοκος τῆς μισουμένης, ᾗ ἂν ἡμέρᾳ κληροδοτῇ τοῖς υἱοῖς τὰ ὑπάρχοντα, οὐ δυνήσεται πρωτοτοκεῦσαι τῷ υἱῷ τῆς ἠγαπημένης, ὑπεριδὼν τὸν υἱὸν τῆς μισουμένης τὸν πρωτότοκον· ἀλλὰ τὸν πρωτότοκον υἱὸν τῆς μισουμένης ἐπιγνώσεται, δοῦναι αὐτῷ διπλᾶ ἀπὸ πάντων ὧν ἂν εὑρεθῇ αὐτῷ, ὅτι οὗτός ἐστιν ἀρχὴ τέκνων αὐτοῦ, καὶ τούτῳ καθήκει τὰ πρωτοτόκια" **). Παρα-
396 τετήρηκας ἤδη, ὅτι τὸν μὲν τῆς στεργομένης υἱὸν
M. οὐδέποτε πρωτότοκον ἢ πρεσβύτερον καλεῖ, τὸν δὲ
τῆς μισουμένης πολλάκις· καί τοι τοῦ μὲν τὴν γένε-

*) Num. 11, 16. **) Deut. 21, 15 sq.

σιν προτέρου, τοῦ δὲ ἐκ τῆς στυγουμένης ὑστάτου, δεδήλωκεν εὐθὺς ἀρχόμενος ἀπὸ τῆς προςτάξεως. "Ἐὰν γὰρ τέκωσι," φησὶν, "ἡ ἠγαπημένη καὶ ἡ μισουμένη." Ἀλλ' ὅμως τὸ μὲν τῆς προτέρας γέννημα, καὶ ἂν πολυχρονιώτερον ᾖ, νεώτερον παρ' ὀρθῷ λόγῳ δικάζοντι νενόμισται· τὸ δὲ τῆς ὑστέρας, καὶ ἂν ἐν τοῖς κατὰ τὴν γέννησιν χρόνοις ὑστερίζῃ, τῆς μείζονος καὶ πρεσβυτέρας μοίρας ἠξίωται. Διὰ τί; ὅτι τῶν γυναικῶν τὴν μὲν στεργομένην ἡδονῆς, τὴν δὲ στυγουμένην φρονήσεως εἶναί φαμεν σύμβολον. Τῆς μὲν γὰρ ὁ πολὺς ὅμιλος ἀνθρώπων τὴν συνουσίαν ὑπερφυῶς ἀγαπᾷ, δελέατα καὶ φίλτρα ἐξ ἑαυτῆς ἐπαγωγότατα ἐνδιδούσης, ἀπὸ γενέσεως ἀρχῆς ἄχρι πανυστάτου γήρως. Τῆς δὲ ἐκτόπως τὸ αὐστηρὸν καὶ περίσεμνον διαμεμίσηκε, καθάπερ οἱ ἄφρονες παῖδες τὰς τῶν γονέων καὶ τρεφόντων ὠφελιμωτάτας μὲν, ἀτερπεστάτας δὲ ὑφηγήσεις. Τίκτουσι δὲ ἀμφότεραι, ἡ μὲν τὸν φιλήδονον, ἡ δ' αὖ τὸν φιλάρετον ἐν ψυχῇ τρόπον. Ἀλλ' ὁ μὲν φιλήδονος ἀτελὴς καὶ ὄντως ἀεὶ παῖς ἐστι, καὶ ἂν εἰς πολυετίας αἰῶνα μήκιστον ἀφίκοιτο. Ὁ δ' αὖ φιλάρετος ἐν γερουσίᾳ τῆς φρονήσεως ἐξ ἔτι σπαργάνων, τὸ τοῦ λόγου δὴ τοῦτο, ἀγήρως ὢν τάττεται. Παρ' ὃ καὶ λίαν ἐμφαντικῶς εἴρηκεν ἐπὶ τοῦ τῆς μισουμένης ὑπὸ τῶν πολλῶν ἀρετῆς γεγονότος, ὅτι "οὗτός ἐστιν ἀρχὴ τέκνων," καὶ τάξει καὶ ἡγεμονίᾳ δήπου πρῶτος ὤν. Καὶ τούτῳ καθήκει "τὰ πρωτοτόκια," νόμῳ φύσεως, οὐκ ἀνομίᾳ τῇ παρ' ἀνθρώποις.

§. 6. Ἑπόμενος οὖν αὐτῷ καὶ ὥςπερ ἐπὶ προτεθέντα σκοπὸν ἀφιεὶς εὐστόχως τὰ βέλη, κατὰ ἀκολουθίαν εἰςάγει τὸν Ἰακὼβ γενέσει μὲν τοῦ Ἡσαῦ νεώτερον — ὅτι ἀφροσύνη μὲν ἐκ πρώτης ἡλικίας ἡμῖν ἐστι σύντροφος, ὀψίγονος δὲ ὁ τοῦ καλοῦ ζῆλος —, δυνάμει δὲ πρεσβύτερον. Παρ' ὃ καὶ τῶν πρωτοτοκίων ὁ μὲν Ἡσαῦ ἐξίσταται, μεταποιεῖται δὲ οὗ-

τος εἰκότως *). Τούτοις συνᾴδει καὶ τὰ ἐπὶ τῶν
υἱῶν Ἰωσὴφ, ἐκ πολλῆς περισκέψεως ἀνεζητημένα,
ἡνίκα ἐνθουσιῶν ὁ σοφὸς ἄντικρυς παρεστηκότων,
οὐκ ἐπιτίθησι ταῖς κεφαλαῖς ἐξ ἐναντίας καὶ κατευθὺ
τὰς χεῖρας ἐπενεγκὼν, ἀλλ' ἐναλλάξας, ὅπως τῇ μὲν
εὐωνύμῳ τοῦ πρεσβυτέρου δοκοῦντος εἶναι, τοῦ 278
δὲ νεωτέρου τῇ δεξιᾷ ψαύσῃ. Καλεῖται δὲ ὁ μὲν P.
ἐν γενέσει πρεσβύτερος Μανασσῆς, ὁ νεώτερος δὲ
Ἐφραῒμ **). Ταῦτα δὲ, εἰ μεταληφθείη τὰ ὀνόματα
εἰς ἑλλάδα γλῶτταν, μνήμης καὶ ἀναμνήσεως εὑρε-
397 θήσεται σύμβολα. Ἑρμηνεύεται γὰρ Μανασσῆς
M. μὲν „ἐκ λήθης," τὸ δ' ἔστιν ὄνομα τῷ ἑτέρῳ καλού-
μενον ἀνάμνησις. Ὁ γὰρ ὧν ἐπελάθετο εἰς ἀνάμνη-
σιν ἐρχόμενος ἔξω πρόεισι τῆς λήθης. Ἐφραῒμ δὲ
καρποφορία, μνήμης πρόσρησις οἰκειοτάτη· διότι
καρπὸς ὠφελιμώτατος καὶ τῷ ὄντι ἐδώδιμος ψυχαῖς,
τὸ ἄληστον ἐν τοῖς ἀδιαστάτοις. Μνῆμαι μὲν οὖν
ἠνδρωμένοις ἤδη καὶ παγίοις συντυγχάνουσι, παρ' ὃ
καὶ νεώτεραι ἐνομίσθησαν, ὀψὲ φυόμεναι. Λήθη
δὲ καὶ ἀνάμνησις ἐπαλλήλως σχεδὸν ἐκ πρώτης ἡλι-
κίας ἑκάστῳ σύνεισιν, οὗ ἕνεκα τὰ χρόνῳ πρεσβεῖα
εὕρηνται, καὶ ἐπ' εὐωνύμοις παρὰ σοφῷ ταξιαρχοῦν-
τι τάττονται. Τῶν δὲ ἀρετῆς αἱ μνῆμαι κοινωνή-
σουσι πρεσβείων, ἃς ὁ θεοφιλὴς δεξιωσάμενος τῆς
ἀμείνονος παρ' ἑαυτῷ μοίρας ἀξιώσει. Νήψας οὖν
ὁ δίκαιος καὶ γνοὺς ὅσα „ἐποίησεν ὁ νεώτερος αὐτῷ
υἱὸς" ***), ἀρὰς χαλεπωτάτας τίθεται. Τῷ γὰρ ὄντι
ὅταν ὁ νοῦς νήψῃ, κατὰ τὸ ἀκόλουθον εὐθὺς αἰσθά-
νεται ὅσα ἡ νεωτεροποιὸς αὐτῷ κακία πρότερον εἰρ-
γάζετο, ἃ μεθύων ἀδυνάτως καταλαβεῖν εἶχε.

§. 7. Τίνι μέντοι καταρᾶται, σκεπτέον. Ἓν γάρ τι καὶ τοῦτο τῶν ἐρεύνης ἀξίων ἐστίν. Ἐπειδήπερ οὐ τῷ δοκοῦντι ἡμαρτηκέναι παιδὶ, ἀλλὰ τῷ ἐκείνου μὲν υἱῷ, ἑαυτοῦ δὲ υἱωνῷ, οὐ φανερὸν οὐδὲν

*) Gen. 25, 33. **) Gen. 48, 13. ***) Gen. 9, 24.

εἴς τε τὸ παρὸν ἀδίκημα, οὐ μικρὸν, οὐ μέγα δεδήλωκεν. Ὁ μὲν γὰρ ἐκ περιεργίας ἰδεῖν τὸν πατέρα γυμνὸν ἐθελήσας, καὶ γελάσας ἃ εἶδε, καὶ ἐκλαλήσας τὰ δεόντως ἡσυχασθέντα, ὁ υἱὸς ἦν τοῦ Νῶε Χάμ. Ὁ δὲ, ἐφ᾽ οἷς ἕτερος ἠδίκησε τὰς αἰτίας ἔχων, καὶ τὰς ἀρὰς καρπούμενος, Χαναάν ἐστι. Λέγεται γὰρ, "Ἐπικατάρατος Χαναὰν παῖς οἰκέτης, δοῦλος δούλων ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ" *). Τί γὰρ ἡμάρτησεν, ὡς ἔφην, οὗτος; Ἀλλ᾽ ἐσκέψαντο μὲν ἐφ᾽ ἑαυτῶν ἴσως οἷς ἔθος ἀκριβοῦν τὰς ῥητὰς καὶ προχείρους ἐν τοῖς νόμοις ἀποδόσεις. Ἡμεῖς δὲ πειθόμενοι τῷ ὑποβάλλοντι ὀρθῷ λόγῳ τὴν ἐγκειμένην ἀπόδοσιν διερμηνεύσομεν, ἐκεῖνα ἀναγκαίως προειπόντες.

§. 8. Σχέσις καὶ κίνησις διαφέρουσιν ἀλλήλων. Ἡ μὲν γάρ ἐστιν ἠρεμία, φορὰ δὲ ἡ κίνησις· ἧς εἴδη δύο, τὸ μὲν μεταβατικὸν, τὸ δὲ περὶ τὸν αὐ-
398 τὸν τόπον εἰλούμενον. Σχέσει μὲν οὖν ἀδελφὸν
1. ἕξις, κινήσει δ᾽ ἐνέργεια· τὸ δὲ λεγόμενον παραδείγματι οἰκείῳ γνωριμώτερον γένοιτ᾽ ἄν. Τέκτονα καὶ ζωγράφον καὶ γεωργὸν καὶ μουσικὸν καὶ τοὺς ἄλλους τεχνίτας, καὶ ἂν ἡσυχίαν ἄγωσι, μηδὲν τῶν κατὰ 279
τὰς τέχνας ἐνεργοῦντες, οὐδὲν ἧττον τοῖς εἰρημένοις P.
ἔθος καλεῖν ὀνόμασιν, ἐπεὶ τὴν ἐν ἑκάστοις ἐμπειρίαν καὶ ἐπιστήμην ἀνειληφότες ἔχουσιν. Ἐπειδὰν δὲ ὁ τεκτονικὸς ξύλων ὕλην ἐργάζηται λαβὼν, ὁ δὲ ζωγράφος τὰ οἰκεῖα κερασάμενος χρώματα ἐπὶ τοῦ πίνακος, διαγράφῃ τοὺς τύπους ὧν ἂν διανοῆται· ὁ δ᾽ αὖ γεωργὸς ἀνατέμνων γῆς αὔλακας καταβάλλῃ τὰ σπέρματα, κληματίδας δὲ καὶ μοσχεύματα δένδρων ἐμφυτεύῃ, ἅμα δὲ τροφὴν ἀναγκαιοτάτην ἄρδῃ καὶ ἐποχετεύῃ τοῖς φυτευθεῖσι, καὶ τοῖς ἄλλοις ὅσα γεωργικὰ πᾶσιν ἐγχειρῇ· ὁ δ᾽ αὖ μουσικὸς αὐλοῖς καὶ κιθάραις καὶ τοῖς ἄλλοις ὀργάνοις μέτρα καὶ ῥυ-

---

*) Gen. 9, 25.

θμοὺς καὶ πάσας μέλους ἰδέας ἁρμόττῃ, δύνηται δὲ καὶ δίχα τῶν χειροτμήτων τῷ τῆς φύσεως ὀργάνῳ χρῆσθαι διὰ φωνῆς ἡρμοσμένης πᾶσι τοῖς φθόγγοις· καὶ τῶν ἄλλων ἕκαστος τεχνιτῶν, εἴπερ ἐγχωρεῖ· — τοῖς κατὰ τὰς ἐπιστήμας ἕτερα ἐξ ἀνάγκης οἰκεῖα τοῖς προτέροις ὀνόματα προςγίνεται· τῷ μὲν τέκτονι τὸ τεκτονεῖν, τῷ δὲ ζωγράφῳ τὸ ζωγραφεῖν ἤδη, καὶ τὸ γεωργεῖν μέντοι τῷ γεωργῷ, καὶ τὸ αὐλεῖν ἢ κιθαρίζειν ἢ ᾄδειν, ἤ τι τῶν παραπλησίων ποιεῖν τῷ μουσικῷ. Τίσιν οὖν οἱ ψόγοι καὶ οἱ ἔπαινοι παρακολουθοῦσιν; Ἆρ᾽ οὐχὶ τοῖς ἐνεργοῦσι, καὶ δρῶσι; Κατορθοῦντες μὲν γὰρ ἔπαινον, ψόγον δ᾽ ἔμπαλιν καρποῦνται διαμαρτάνοντες. Οἱ δ᾽ ἄνευ τῶν τι ποιεῖν ἐπιστήμονες, αὐτὸ μόνον ἀκίνδυνον γέρας εἰληφότες ἡσυχίαν, ἠρεμοῦσιν.

§. 9. Ὁ αὐτὸς τοίνυν λόγος ἐφαρμόττει καὶ τοῖς κατ᾽ ἀφροσύνην, καὶ συνόλως τοῖς κατ᾽ ἀρετήν τε καὶ κακίαν. Οἱ φρόνιμοί τε καὶ σώφρονες καὶ ἀνδρεῖοι καὶ δίκαιοι τὰς ψυχὰς μυρίοι γεγόνασι, φύσεως μὲν εὐμοιρίᾳ, νομίμοις δ᾽ ὑφηγήσεσι, πόνοις δ᾽ ἀηττήτοις καὶ ἀοκνοτάτοις χρησάμενοι. Τὸ δὲ κάλλος τῶν ἐν ταῖς διανοίαις ἀγαλμάτων οὐκ ἴσχυσαν ἐπιδείξασθαι διὰ πενίαν ἢ ἀδοξίαν, ἢ νόσον σώματος, ἢ τὰς ἄλλας κῆρας, ὅσαι τὸν ἀνθρώπινον περιπολοῦσι βίον. Οὐκοῦν οὗτοι μὲν ὥςπερ δεδεμένα καὶ καθειργμένα ἐκτήσαντο ἀγαθά. Ἕτεροι δ᾽ εἰσὶν οἱ λελυμένοις καὶ ἀφέτοις καὶ ἐλευθέροις ἐχρήσαντο πᾶσι, τὰς εἰς ἐπίδειξιν ὕλας ἀφθονωτάτας προςλαβόντες· ὁ μὲν φρόνιμος ἰδίων τε καὶ κοινῶν περιουσίαν πραγμάτων, οἷς σύνεσιν καὶ εὐβουλίαν ἐνεπιδείξεται· ὁ δὲ σώφρων, τὸν εἰς ἀσωτίαν δεινὸν ἐπᾶραι καὶ παρακαλέσαι τυφλὸν πλοῦτον, ἵνα βλέποντα ἀποδείξῃ· ὁ δὲ δίκαιος ἀρχὴν, δι᾽ ἧς τὸ κατ᾽ ἀξίαν ἀπονέμειν ἑκάστῳ τῶν ὄντων ἀκωλύτως δυνατὸς ἔσται· ὁ δ᾽ ἀσκητὴς, εὐσέβειαν, ἱερωσύνην,

99 καὶ χωρίων ἱερῶν καὶ τῆς ἐν τούτοις ἁγιστείας 280
I. ἐπιμέλειαν. Ἄνευ δὲ τούτων ἀρεταὶ μέν εἰσιν, ἀκί- P.
νητοι δὲ ἀρεταὶ καὶ ἡσυχίαν ἄγουσαι, καθάπερ ὁ τεθησαυρισμένος ἐν ἀφανέσι γῆς μυχοῖς ἄργυρός τε καὶ χρυσὸς οὐδὲν χρήσιμος. Πάλιν τοίνυν κατὰ τὰ ἐναντία μυρίους ἔστιν ἰδεῖν ἀνάνδρους, ἀκολάστους, ἄφρονας, ἀδίκους, ἀσεβεῖς ἐν ταῖς διανοίαις ὑπάρχοντας, τὸ δὲ κακίας ἑκάστης αἶσχος ἀδυνατοῦντας ἐπιδείκνυσθαι δι' ἀκαιρίαν τῶν εἰς τὸ ἁμαρτάνειν καιρῶν. Ἐπειδὰν δὲ τοῦ δύνασθαι πολλὴ καὶ μεγάλη κατασκήψῃ φορὰ, γῆν καὶ θάλατταν μέχρι τερμάτων ἀμυθήτων ἀναπιμπλάντας κακῶν, καὶ μηδὲν, μὴ μικρὸν, μὴ μέγα, ἀζήμιον ἐῶντας, ἀλλὰ ῥύμῃ μιᾷ ἀνατρέποντάς τε καὶ φθείροντας. Ὥςπερ γὰρ τοῦ πυρὸς ἡ δύναμις ἀπουσίᾳ μὲν ὕλης ἡσυχάζει, παρουσίᾳ δὲ ἀνακαίεται, οὕτω καὶ ὅσαι πρὸς ἀρετὴν ἢ κακίαν ψυχῆς δυνάμεις ἀφορῶσι, σβέννυνται μὲν ἀκαιρίαις, καθάπερ ἔφην, καιρῶν, τυχηραῖς δὲ εὐπορίαις ἀναφλέγονται.

§. 10. Τίνος δὴ ταῦθ' εἵνεκα εἶπον, ἢ τοῦ διδάξαι χάριν, ὅτι ὁ μὲν υἱὸς τοῦ Νῶε Χὰμ ἠρεμούσης κακίας ἐστὶν ὄνομα, ὁ δὲ υἱωνὸς, ἤδη καὶ κινουμένης; Ἑρμηνεύεται γὰρ θέρμη μὲν Χὰμ, σάλος δὲ Χαναάν. Θέρμη δὲ ἐν μὲν σώματι πυρετὸν ἐμφαίνει, κακίαν δὲ ἐν ψυχαῖς. Ὡς γὰρ, οἶμαι, καταβολὴ πυρετοῦ νόσος ἐστὶν, οὐ μέρους ἀλλ' ὅλου σώματος· οὕτως ὕλης τῆς ψυχῆς ἀῤῥώστημα ἔσται κακία. Ἀλλ' ὁτὲ μὲν ἠρεμεῖ, ὁτὲ δὲ κινεῖται. Τὴν δὲ κίνησιν αὐτῆς ὀνομάζει σάλον, ὃς Ἑβραίων γλώττῃ Χαναὰν καλεῖται. Νομοθετῶν δὲ οὐδεὶς ἐπιτίμιον ὁρίζει κατὰ ἀδίκων ἠρεμούντων, ἀλλὰ δὴ κινουμένων καὶ τοῖς κατὰ ἀδικίαν ἔργοις χρωμένων· καθάπερ οὐδὲ τῶν δακετῶν οὐδὲν ἀνὴρ μέτριος κτείνειν ἂν ἐθελήσαι, μὴ μέλλον δάκνειν. Λέγω γὰρ ὑπεξαιρετέον ψυχῆς ὠμότητα φύσει καὶ κατὰ πάντων φονῶσαν. Εἰκότως οὖν ὁ δίκαιος τὰς ἀρὰς τῷ υἱωνῷ

Χαναὰν δόξει τίθεσθαι· δόξει δὲ εἰπὸν, ὅτι δυνάμει τῷ υἱῷ Χὰμ δι᾽ ἐκείνου καταρᾶται. Κινηθεὶς γὰρ πρὸς τὸ ἁμαρτάνειν Χὰμ, αὐτὸς γίνεται Χαναάν. Ἓν γὰρ τὸ ὑποκείμενον κακία, ἧς τὸ μὲν ἐν σχέσει, τὸ δὲ ἐν κινήσει θεωρεῖται. Πρεσβύτερον δὲ κινήσεως σχέσις, ὡς ἐγγόνου λόγον ἔχειν τὸ κινούμενον πρὸς τὸ ἰσχόμενον. Παρ᾽ ὃ καὶ τοῦ Χὰμ υἱὸς ὁ Χαναὰν φυσικῶς ἀναγράφεται, σάλος ἠρεμίας, ἵνα
400 καὶ τὸ ἑτέρωθι λεχθὲν ἐπαληθεύῃ, τὸ, "Ἀποδι-
M. δοὺς ἀνομίας πατρῶν ἐπὶ υἱοὺς, ἐπὶ τρίτους καὶ τετάρτους" *). Ἐπὶ γὰρ τὰ ἀποτελέσματα καὶ ὡς ἂν ἔγγονα τῶν λογισμῶν στείχουσιν αἱ τιμωρίαι κατ᾽ αὐτοὺς, ἐκείνων, εἰ μηδεμία προςγένοιτο πρᾶξις ἐπίληπτος, ἀποδιδρασκόντων τὰ ἐγκλήματα. Διὰ 281
τοῦτο μέντοι καὶ ἐν τῷ νόμῳ τῆς λέπρας ὁ μέγας P.
πάντα Μωϋσῆς τὴν μὲν κίνησιν καὶ ἐπὶ πλέον αὐτῆς φορὰν καὶ χύσιν ἀκάθαρτον, τὴν δ᾽ ἠρεμίαν καθαρὰν ἀναγράφει. Λέγει γὰρ ὅτι "Ἐὰν διαχέηται ἐν τῷ δέρματι, μιανεῖ ὁ ἱερεύς. Ἐὰν δὲ κατὰ χώραν μείνῃ τὸ τηλαύγημα, καὶ μὴ διαχέηται, καθαριεῖ" **). Ὥςτε τὴν μὲν ἡσυχίαν ἐκτὸς εἶναι μόνην κακῶν καὶ παθῶν τῶν κατὰ ψυχήν — τοῦτο γὰρ αἰνίττεται διὰ τῆς λέπρας — οὐχ ὑπαίτιον εἶναι· τὴν δὲ κίνησιν καὶ φορὰν ὑποσχεῖν δεόντως. Τὸ παραπλήσιον καὶ ἐν τοῖς περὶ τῆς τοῦ παντὸς γενέσεως χρησθεῖσι λογίοις περιέχεται σημειωδέστερον. Λέγεται γὰρ πρὸς τὸν φαῦλον, "Ὦ οὗτος, ἥμαρτες, ἡσύχασον," τοῦ μὲν ἁμαρτάνειν ἐν τῷ κινεῖσθαι καὶ ἐνεργεῖν κατὰ κακίαν ὄντος ἐνόχου, τοῦ δὲ ἡσυχάζειν ἐν τῷ ἴσχεσθαι καὶ ἠρεμεῖν ἀνυπαιτίου καὶ σωτηρίου.

§. 11. Ταῦτα μὲν οὖν ἱκανῶς γε, οἶμαι, προείρηται. Τὰ δὲ ἀρὰς ἔχοντα, ὃν ἔχουσι λόγον, ἴδωμεν. "Ἐπικατάρατος," φησί, "Χαναὰν παῖς, οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ, καὶ εὐλογητὸς κύριος ὁ θεὸς

---

*) Exod. 20, 5. **) Lev. 13, 12. ***) Gen. 4, 7.

Σὴμ, καὶ ἔσται Χαναὰν δοῦλος αὐτοῖς" *). Ἔφαμεν πάλαι, ὅτι Σὴμ ἐπώνυμός ἐστιν ἀγαθοῦ, καλούμενος οὐκ ὀνόματος εἴδει, ἀλλ' ὅλον τὸ γένος αὐτῷ ὄνομα· παρ' ὅσον καὶ τὸ ἀγαθὸν ὀνομαστὸν μόνον, καὶ εὐφημίας καὶ εὐκλείας ἄξιον, ὡς ἔμπαλιν ἀνώνυμον καὶ δυςώνυμον τὸ κακόν. Τίνος οὖν τὸν τῆς φύσεως τοῦ ἀγαθοῦ μεμοιραμένον εὐχῆς ἀξιοῖ; Τίνος καινοτάτης καὶ παρηλλαγμένης, ἣ θνητὸς οὐδεὶς ὑπηρετῆσαι δυνατὸς, ἀφ' ἧς σχεδὸν ὥςπερ ἀπ' ὠκεανοῦ, ῥέουσιν αἱ ἄφθοναι καὶ ἀέναοι πλημμυροῦσαι καὶ ἀναχεόμεναι τῶν καλῶν πηγαί; Τὸν γὰρ κύριον καὶ θεὸν τοῦ τε κόσμου καὶ τῶν ἐν αὐτῷ πάντων, ἰδίᾳ θεὸν, κατ' ἐξαίρετον χάριν, τοῦ Σὴμ ἀνακαλεῖ. Καὶ ὅρα τίνας ὑπερβολὰς τοῦτο οὐχ ὑπερβάλλει· σχεδὸν γὰρ ἰσότιμος ὁ τοῦτο λαχὼν γίνεται κόσμῳ. Ὅταν γὰρ τὸ ἐπιστατοῦν καὶ κηδόμενον ἀμφοῖν ταὐτὸν, καὶ τὰ ἐπιτροπευόμενα κατ' ἀναγκαῖον εὐθύς ἐστιν ἰσότιμα. Μήποτε δὲ καὶ ἐπιδαψιλεύεται τὰ τῶν δωρεῶν; Τοῦ μὲν γὰρ
401 αἰσθητοῦ κόσμου δεσπότης καὶ εὐεργέτης ἀνείρη-
M. ται διὰ τοῦ κύριος καὶ θεὸς, τοῦ δὲ νοητοῦ ἀγαθοῦ σωτὴρ καὶ εὐεργέτης αὐτὸ μόνον, οὐχὶ δεσπότης ἢ κύριος. Φίλον γὰρ τὸ σοφὸν θεῷ μᾶλλον ἢ δοῦλον. Παρ' ὃ καὶ σαφῶς ἐπὶ Ἀβραὰμ, φάσκει, "Μὴ ἐπικαλύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ φίλου μου" **); Ὁ δὲ ἔχων τὸν κλῆρον τοῦτον, πέραν ὅρων ἀνθρωπίνης εὐδαιμονίας προελήλυθε. Μόνος γὰρ εὐγε- 228
νὴς, ἅτε θεὸν ἐπιγεγραμμένος πατέρα, καὶ γεγο- P.
νὼς εἰςποιητὸς αὐτῷ μόνος υἱὸς, οὐ πλούσιος, ἀλλὰ πάμπλουτος, ἐν ἀφθόνοις καὶ γνησίοις, οὐ χρόνῳ παλαιουμένοις, καινουμένοις δὲ καὶ ἡβῶσιν ἀεὶ τρυφῶν ἀγαθοῖς μόνοις· οὐκ ἔνδοξος, ἀλλ' εὐκλεὴς, τὸν μὴ κολακείᾳ νοθευόμενον, ἀλλὰ βεβαιούμενον ἀληθείᾳ καρπούμενος ἔπαινον. Μόνος βασιλεὺς, παρὰ

*) Gen. 9, 25 sq. **) Gen. 18, 17.

τοῦ πανηγεμόνος λαβὼν τῆς ἐφ' ἅπασιν ἀρχῆς τὸ κράτος ἀνανταγώνιστον· μόνος ἐλεύθερος, ἀφιέμενος ἀργαλεωτάτης δεσποίνης, κενῆς δόξης, ἣν ὑπέραυχον οὖσαν ἀπὸ τῆς ἀκροπόλεως ἄνωθεν ὁ ἐλευθεροποιὸς καθεῖλε θεός. Τούτῳ δὴ τῶν τοσούτων καὶ οὕτως ὑπερβαλλόντων καὶ ἀθρόων ἀξιωθέντι ἀγαθῶν, τί προςήκει ποιεῖν, ἢ λόγοις καὶ ᾠδαῖς καὶ ὕμνοις τὸν εὐεργέτην ἀμείβεσθαι; Τοῦτ' ἔσθ', ὡς ἔοικεν, ὃ αἰνίττεται αὐτῷ, "Εὐλογημένος κύριος ὁ θεὸς Σήμ" *). Ἐπειδὴ τῷ τὸν θεὸν ἔχοντι κλῆρον εὐλογεῖν καὶ ἐπαινεῖν αὐτὸν ἁρμόττει μόνον τοῦτ' ἀντιπαρασχεῖν δυναμένῳ, τὰ δ' ἄλλα ἀνὰ κράτος πάνθ' ἁπλῶς ἀδυνατοῦντι.

§. 12. Τῷ μὲν δὴ Σὴμ εὔχεται ταῦτα· τῷ δὲ Ἰάφεθ ὁποῖα θεασώμεθα. "Πλατύναι," φησὶν, "ὁ θεὸς τῷ Ἰάφεθ, καὶ κατοικησάτω ἐν τοῖς οἴκοις τοῦ Σὴμ, καὶ γενέσθω Χαναὰν δοῦλος αὐτοῖς" **). Τοῦ ἀγαθὸν ἡγουμένου τὸ καλὸν μόνον, ἔσταλται καὶ συνῆκται τὸ τέλος· ἑνὶ γὰρ, μυρίων ὄντων τῶν περὶ ἡμᾶς, τῷ ἡγεμόνι νῷ συνέζευκται· τοῦ δὲ τρισὶν ἐφαρμόζοντος αὐτὸ γένεσι, τῷ περὶ ψυχὴν, τῷ περὶ σῶμα, τῷ περὶ τὰ ἐκτὸς, ἅτ' εἰς πολλὰ καὶ ἀνόμοια κατακερματιζόμενον, εὐρύνεται. Διόπερ οἰκείως εὔχεται τούτῳ προςγενέσθαι πλάτος, ὅπως καὶ ταῖς περὶ ψυχὴν ἀρεταῖς, φρονήσει καὶ σωφροσύνῃ καὶ ἑκάστῃ τῶν ἄλλων χρῆσθαι δύναιτο, καὶ ταῖς σώματος ὑγείαις καὶ εὐαισθησίᾳ, δυνάμει τε καὶ ῥώμῃ, καὶ ταῖς τούτων συγγενέσιν· ἔτι μέντοι καὶ τοῖς ἐκτὸς πλεονεκτήμασιν, ὅσα εἰς πλοῦτον καὶ δόξαν, ἀπόλαυσίν τε καὶ χρῆσιν τῶν ἀναγκαίων ἡδονῶν ἄγεται.

402 §. 13. Περὶ μὲν τοῦ πλάτους ταῦτα. Τίνα
M. δὲ ἐν τοῖς οἴκοις εὔχεται τοῦ Σὴμ κατοικῆσαι, σκεπτέον· σαφῶς γὰρ οὐ μεμήνυκεν. Ἔνεστι μὲν δὴ

*) Gen. 9, 26. **) Gen. 9, 27.

φάναι, ὅτι τὸν ἡγεμόνα τοῦ παντός. Τίς γὰρ οἶκος παρὰ γενέσει δύναιτ' ἂν ἀξιοπρεπέστερος εὑρεθῆναι Θεῷ, πλὴν ψυχῆς τελείως κεκαθαρμένης, καὶ μόνον τὸ καλὸν ἡγουμένης ἀγαθὸν, τὰ δὲ ἄλλα ὅσα νενόμισται, δορυφόρων καὶ ὑπηκόων λόγῳ ταττούσης; Κατοικεῖν δὲ λέγεται ἐν οἴκῳ ὁ Θεὸς, οὐχ ὡς ἐν τόπῳ — περιέχει γὰρ τὰ πάντα, πρὸς μηδενὸς περιεχόμενος —, ἀλλ' ὡς πρόνοιαν καὶ ἐπιμέλειαν ἐκείνου τοῦ χωρίου διαφερόντως ποιούμενος. Παντὶ γὰρ τῷ δεσπόζοντι οἰκίας, ἡ ταύτης κατὰ τὸ ἀναγκαῖον ἀνῆπται φροντίς. Εὐχέσθω δὲ πᾶς Θεῷ, ὅτῳ τὸ θεοφιλὲς ὤμβρησεν ἀγαθὸν, οἰκήτορος λαχεῖν τοῦ πανηγεμόνος, ὃς τὸ βραχὺ τοῦτο οἰκοδόμημα, τὸν νοῦν, ἐξαίρων εἰς ὕψος ἀπὸ γῆς, τοῖς οὐρανοῦ συνάψει πέρασι. Καὶ τὸ ῥητὸν μέντοι συνᾴδειν ἔοικεν. Ὁ γὰρ Σὴμ ὡςανεὶ ῥίζα καλοκἀγαθίας ὑποβέβληται. Δένδρον δὲ ἡμεροτοκοῦν ἐκ ταύτης ὁ σοφὸς Ἀβραὰμ ἀνέδραμεν, οὗ τὸ αὐτήκοον καὶ αὐτομαθὲς γένος, Ἰσαὰκ, ὁ καρπὸς ἦν, ἀφ' οὗ πάλιν αἱ διὰ πόνων ἀρεταὶ κατασπείρονται, ὧν ἀθλητής ἐστιν ὁ τὴν πρὸς πάθη πάλην γεγυμνασμένος Ἰακὼβ, ἀγγέλοις ἀλείπταις λόγοις χρώμενος. Οὗτος τῶν δώδεκα κατάρχει φυλῶν, ἅς οἱ χρησμοὶ "βασίλειον καὶ ἱεράτευμα Θεοῦ" *) φασιν εἶναι, κατὰ τὴν πρὸς τὸν πρῶτον Σὴμ ἀκολουθίαν, οὗ ἐν τοῖς οἴκοις ἦν εὐχὴ τὸν Θεὸν οἰκῆσαι. Βασίλειον γὰρ ὁ βασιλέως δήπουθεν οἶκος, ἱερὸς ὄντως καὶ μόνος ἄσυλος. Ἴσως μέντοι τὰ τῆς εὐχῆς καὶ ἐπὶ τὸν Ἰάφεθ ἀναφέρεται, ὅπως ἐν τοῖς οἴκοις τοῦ Σὴμ ποιῆται τὰς διατριβάς. Τῷ γὰρ καὶ τὰ σώματος καὶ τὰ ἐκτὸς πλεονεκτήματα ἀγαθὰ ἡγουμένῳ, καλὸν εὔξασθαι πρὸς μόνον τὸ ψυχῆς ἀναδραμεῖν, καὶ μὴ μέχρι τοῦ παντὸς αἰῶνος ἀληθοῦς δόξης διαμαρτεῖν, ἃ κοινὰ καὶ τῶν ἐπαρατοτάτων καὶ κακίστων ἐστὶν, ὑγείαν ἢ

283 P.

*) Exod. 19, 6.

πολυχρηματίαν, ἢ ὅσα ὁμοιότροπα νομίσαντα εἶναι
ἀγαθὰ, τῆς ἀψευδοῦς τῶν ἀγαθῶν μερίδος οὐδενὶ
φαύλῳ συνταττομένης. Ἀκοινώνητον γὰρ φύσει κα-
κῶν τὸ ἀγαθόν. Διὰ τοῦτ' ἐν ψυχῇ μόνῃ τεθησαύ-
ρισται, ἧς τοῦ κάλλους οὐδενὶ μέτεστι τῶν ἀφρόνων.
Τοῦτον ὅ γε πρόλογος τῶν σπουδαίων ἔγραψε μὲν
εὔχεσθαί τινι τῶν ἑαυτοῦ γνωρίμων, λέγοντα, "Πρός
με ἀνάστρεψον" *), ἵνα ἐπὶ τὴν αὐτοῦ γνώμην
403 ἐπανελθὼν, τὸ καλὸν ὡς ἀγαθὸν μόνον δεξιωσάμε-
M. νος, τὰς τῶν ἑτεροδόξων παραδράμῃ περὶ τοῦ ἀγα-
θοῦ φήμας. Ἐν οὖν τοῖς οἴκοις τῆς ψυχῆς τοῦ λέ-
γοντος μόνον εἶναι τὸ καλὸν ἀγαθὸν, κατοικησάτω,
παροικήσας ἐν τοῖς τῶν ἑτέρων, οἷς καὶ τὰ σωμα-
τικὰ καὶ τὰ ἐκτὸς τετίμηται. Εἰκότως μέντοι καὶ
δοῦλον τὸν ἄφρονα τῶν τῆς ἀρετῆς μεταποιουμένων
ἀνέγραψεν, ἵν' ἢ κρείττονος ἐπιστασίας ἀξιωθεὶς,
ἀμείνονι βίῳ χρήσηται, ἢ ἐπιμένων τῷ ἀδικεῖν, μετ'
εὐμαρείας αὐτοκράτορι ἡγεμόνων ἀρχῇ τῶν δεσπο-
τῶν κολάζηται.

---

*) Gen. 49, 22.

ΠΕΡΙ *ΣΥΓΧΥΣΕΩΣ ΔΙΑΛΕΚΤΩΝ.*

ARGUMENTUM LIBRI DE CONFUSIONE LINGUARUM.

(Cf. Gen. 11, 1—9.)

Turris, quam Babylone Moyses exstructam fuisse memorat, neque fabulose, neque historice, sed mystice intelligenda est (1 — 5.). Significat enim hominum pravorum aequam sentiendi rationem, et operatores in exstruenda illa turri sunt ea, quae illis adminiculo sunt, divitiae, gloria etc. quorum idem esse solet effectus (4—6.). Simili sensu vox et labrum saepius adhibentur (7—10.). At vere solummodo consentiunt virtutis amantes, non vero mali (11. 12.). Quapropter hi ab oriente, i. e. vitiorum sede, profecti esse dicuntur in campum Sennaar, i. e. concussionis; concutitur enim et turbatur semper malorum vita (13 — 15.); ac non quidem uti inquilini, ad exemplum omnium sapientum in hac terra viventium, sed velut in patriam (16.). Tales faciunt lateres, i. e. naturam unam et indivisam secant in species, sensus, affectus, atque his ad quaelibet mala proripi se patiuntur (17. 18.); deum vero colentes illa terrena non curant, sed Moyse praeeunte ad coelestia meditando ascendunt (19. 20.). Illi coquunt quoque lateres, i. e. affectus cupiditatesque fervido studio indurant, ne a virtute deleri possint (21.); exstruuntque civitates, quod fit, cum singulas animi pravas affectiones ita in unum co-

gunt, ut altera alterius vim et efficaciam augeat (22.); famamque sui late divulgantes efficere student, ut pravae ipsorum qualitates diutius maneant (23 — 25.). Verbis vero „descendit deus, ut viseret," monentur, ne putent se deum latere posse (26.). Istorum exemplum non sequuntur ii, qui deum cognoscentes et pie colentes dei filii dicuntur. Quodsi quis talis dici se indignum sentiat, is tamen ornari det operam virtutibus λόγου divini, qui et angelorum antiquissimus, principium (ἀρχή), imago dei, homo dei etc. dicitur (27.). Pravi isti tam feroces sunt, ut vel coelestia turbare conentur, at frustra (28. 29.); nam puniuntur a deo ob solum conamen, quod aeque ac factum ipsum est damnandum (30. 31.). [Quoties Moyses deum plurali numero dicentem facit, non de pluribus diis, sed de uno deo angelos ministros alloquente cogitandum est (32 — 34.), quod fit, quando poenas pravis infligi iubet, quas exsequi deo est indignum (35.)]. Eiusmodi hominum linguam confundit deus, i. e. efficit, ut singula eorum vitia non certo ordine prorepant et crescant, sed brevi profligata et dispersa pereant (36. 37.).

---

404 §. 1. *Περὶ μὲν δὴ τούτων ἀρκέσει εἰρημένα.* 319
M. *Σκεπτέον δὲ ἑξῆς οὐ παρέργως, ἃ περὶ τῆς τῶν δια-* P.
λέκτων συγχύσεως φιλοσοφεῖ. Λέγει γὰρ ὧδε, "Καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν, καὶ φωνὴ μία πᾶσι. Καὶ ἐγένετο ἐν τῷ κινῆσαι αὐτοὺς ἀπὸ ἀνατολῶν, εὗρον πεδίον ἐν τῇ γῇ Σενναὰρ, καὶ κατῴκησαν ἐκεῖ. Καὶ εἶπεν ἄνθρωπος τῷ πλησίον, δεῦτε πλινθεύσωμεν πλίνθους καὶ ὀπτήσωμεν αὐτὰς πυρί. Καὶ ἐγένετο αὐτοῖς ἡ πλίνθος εἰς λίθον, καὶ ἄσφαλτος ἦν αὐτοῖς ὁ πηλός. Καὶ εἶπον, δεῦτε οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν καὶ πύργον, οὗ ἡ κεφαλὴ ἔσται ἕως τοῦ οὐρανοῦ, καὶ ποιήσωμεν ἑαυτοῖς ὄνομα, πρὸ τοῦ διασπαρῆναι ἐπὶ πρόσωπον πάσης τῆς γῆς. Καὶ κατέβη κύριος ἰδεῖν τὴν πόλιν καὶ τὸν πύργον ὃν ᾠκοδό- 320
μησαν οἱ υἱοὶ τῶν ἀνθρώπων. Καὶ εἶπε κύριος, P.
ἰδοὺ γένος ἕν, καὶ χεῖλος ἓν πάντων, καὶ τοῦτο ἤρξαντο ποιῆσαι, καὶ νῦν οὐκ ἐκλείψει ἀπ' αὐτῶν

πάντα ὅσα ἂν ἐπιθῶνται ποιεῖν· δεῦτε καὶ κατα-
βάντες συγχέωμεν ἐκεῖ αὐτῶν τὴν γλῶσσαν, ἵνα μὴ
ἀκούσωσιν ἕκαστος τὴν φωνὴν τοῦ πλησίον. Καὶ
διέσπειρεν αὐτοὺς κύριος ἐκεῖθεν ἐπὶ πρόςωπον πά-
405 σης τῆς γῆς, καὶ ἐπαύσαντο οἰκοδομοῦντες τὴν
M. πόλιν καὶ τὸν πύργον. Διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα
αὐτῆς σύγχυσις, ὅτι ἐκεῖ συνέχεε κύριος τὰ χείλη
πάσης τῆς γῆς, καὶ ἐκεῖθεν διέσπειρεν αὐτοὺς κύριος
ἐπὶ πρόςωπον πάσης τῆς γῆς" *).

§. 2. Οἱ μὲν δυςχεραίνοντες τῇ πατρίῳ πολιτείᾳ, ψόγον καὶ κατηγορίαν ἀεὶ τῶν νόμων μελετῶντες, τούτοις καὶ τοῖς παραπλησίοις, ὡς ἂν ἐπιβάθραις τῆς ἀθεότητος αὐτῶν, οἱ δυςσεβεῖς, χρῶνται, φάσκοντες· ἔτι νῦν σεμνηγορεῖτε περὶ τῶν διατεταγμένων, ὡς τοὺς ἀληθείας κανόνας αὐτῆς περιεχόντων; Ἰδοὺ γὰρ αἱ ἱεραὶ λεγόμεναι βίβλοι παρ' ὑμῖν καὶ μύθους περιέχουσιν, ἐφ' οἷς εἰώθατε γελᾶν, ὅταν ἄλλων διεξιόντων ἀκούητε. Καί τοι τί δεῖ τοὺς πολλαχόθι τῆς νομοθεσίας ἐσπαρμένους ἀναλέγεσθαι, ὥςπερ σχολὴν ἄγοντας καὶ ἐνευκαιροῦντας διαβολαῖς, ἀλλ' οὐ μόνον τῶν ἐν χερσὶ καὶ παρὰ πόδας ὑπομιμνήσκειν; Εἷς μὲν οὖν ἐστιν ὁ ἐοικὼς τῷ συντεθέντι ἐπὶ τῶν Ἀλωαδῶν, οὓς ὁ μέγιστος καὶ δοκιμώτατος τῶν ποιητῶν Ὅμηρος διανοηθῆναί φησι τρία τὰ περιμήκιστα τῶν ὀρῶν ἐπιφορῆσαι καὶ ἐπιχῶσαι, ἐλπίσαντας τὴν εἰς οὐρανὸν ὁδὸν τοῖς ἀνέρχεσθαι βουλομένοις, εὐμαρῆ διὰ τούτων ἔσεσθαι πρὸς αἰθέριον ὕψος ἀρθέντων. Ἔστι δὲ τὰ περὶ τούτων ἔπη τοιαῦτα·

Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν, αὐτὰρ ἐπ' Ὄσσῃ
Πήλιον εἰνοσίφυλλον, ἵν' οὐρανὸς ἀμβατὸς εἴη.

Ὄλυμπος δὲ καὶ Ὄσσα καὶ Πήλιον ὀρῶν ὀνόματα. Πύργον δὲ ὁ νομοθέτης ἀντὶ τούτων εἰςάγει πρὸς

*) Gen. 11, 1 sq.

τῶν τότε ἀνθρώπων κατασκευαζόμενον, θελησάντων ὑπ' ἀνοίας ἅμα καὶ μεγαλουργίας οὐρανοῦ ψαῦσαι. Πᾶσα γὰρ οὖν φρενοβλάβεια δεινή· καὶ γὰρ εἰ τὰ τῆς συμπάσης μέρη γῆς ἐποικοδομηθείη προκαταβληθέντι βραχεῖ θεμελίῳ, καὶ ἀνεγερθείη τρόπον κίονος ἑνὸς, μυρίοις τῆς αἰθερίου σφαίρας ἀπολειφθήσεται διαστήμασι, καὶ μάλιστα κατὰ τοὺς ζητητικοὺς τῶν φιλοσόφων, οἳ τοῦ παντὸς κέντρον εἶναι τὴν γῆν ἀνωμολόγησαν.

§. 3. Ἕτερον δέ τι συγγενὲς τούτῳ περὶ τῆς τῶν ζώων ὁμοφωνίας πρὸς μυθοπλαστῶν ἀναγράφεται. Λέγεται γὰρ, ὡς ἄρα πάνθ' ὅσα ζῶα χερσαῖα καὶ ἔνυδρα καὶ πτηνὰ τὸ παλαιὸν ὁμόφωνα ἦν· καὶ 321
ὅνπερ τρόπον ἀνθρώπων Ἕλληνες μὲν Ἕλλησι, Βαρ- P.
βάροις δὲ νῦν Βάρβαροι ὁμάγλωττοι, διαλέγονται· τοῦτον τὸν τρόπον καὶ πάντα πᾶσι, περὶ ὧν ἢ δρᾶν ἢ πάσχειν τι συνέβαινεν, ὡμίλει, ὡς καὶ ἐπὶ ταῖς κακοπραγίαις συνάχθεσθαι, καὶ ἄν εἴ πού τι λυσιτελὲς ἁπάντων συνευφραίνεσθαι. Τάς τε γὰρ ἡδονὰς καὶ ἀηδίας ἀλλήλοις ἀναφέροντα διὰ τοῦ ὁμοφώνου
406 συνήδετο καὶ συνηδίζετο, καὶ τούτων τὸ ὁμοιό-
M. τροπον καὶ ὁμοιοπαθὲς εὑρίσκετο, μέχρι περ κορεσθέντα τῆς τῶν παρόντων ἀγαθῶν ἀφθονίας, ὃ πολλάκις γίνεσθαι φιλεῖ, πρὸς τὸν τῶν ἀνεφίκτων ἔρωτα ἐξώκειλε, καὶ περὶ ἀθανασίας ἐπρεσβεύετο, γήρως ἔκλυσιν καὶ τὴν εἰς ἀεὶ νεότητος ἀκμὴν αἰτούμενα· φάσκοντα καὶ τῶν παρ' αὐτοῖς ἓν ἤδη ζώων τὸ ἑρπετὸν, ὄφιν, τετυχηκέναι ταύτης τῆς δωρεᾶς. Ἀποδυόμενον γὰρ τὸ γῆρας, πάλιν ἐξ ὑπαρχῆς ἀνηβᾶν· ἄτοπον δὲ εἶναι ἢ τὰ κρείττω τοῦ χείρονος, ἢ ἑνὸς τὰ πάντα λειφθῆναι. Δίκην μέντοι τοῦ τολμήματος ἔδωκε τὴν προσήκουσαν· ἑτερόγλωττα γὰρ εὐθὺς ἐγίνετο, ὡς ἐξ ἐκείνου, μηκέτ' ἀλλήλων ἐπακοῦσαι δυνηθῆναι, χάριν τῆς ἐν ταῖς διαλέκτοις, εἰς ἃς ἡ μία καὶ κοινὴ πάντων ἐτμήθη, διαφορᾶς.

§. 4. Ὁ δὲ ἐγγυτέρω τοῦ ἀληθοῦς προςάγων τὸν λόγον, τὰ ἄλογα τῶν λογικῶν διέζευξεν, ὡς ἀνθρώποις μόνοις μαρτυρῆσαι τὸ ὁμόφωνον. Ἔστι δὲ, ὥς φασι, καὶ τοῦτο μυθῶδες. Καὶ μὴν τῆς γε φωνῆς εἰς μυρίας διαλέκτων ἰδέας τομὴν, ἣν καλεῖ γλώττης σύγχυσιν, ἐπὶ θεραπείᾳ λέγουσιν ἁμαρτημάτων συμβῆναι, ὡς μηκέτ᾽ ἀλλήλων ἀκροώμενοι κοινῇ συναδικῶσιν. Ἀλλὰ τρόπον τινὰ ἄλλοι ἀλλήλοις κεκωφωμένοι, κατὰ συμπράξεις ἐγχειρῶσι τοῖς αὐτοῖς. Τὸ δὲ οὐκ ἐπ᾽ ὠφελείᾳ φαίνεται συμβῆναι· καὶ γὰρ αὖθις οὐδὲν ἧττον κατὰ ἔθνη διῳκισμένων, καὶ μὴ μιᾷ διαλέκτῳ χρωμένων, γῆ καὶ θάλαττα πολλάκις ἀμυθήτων κακῶν ἐπληρώθη. Οὐ γὰρ αἱ φωναὶ, ἀλλὰ αἱ ὁμότροποι τῆς ψυχῆς πρὸς τὸ ἁμαρτάνειν ζηλώσεις, τοῦ συναδικεῖν αἴτιαι. Καὶ γὰρ ἐκτετμημένοι γλῶτταν νεύμασι καὶ βλέμμασι καὶ ταῖς ἄλλαις τοῦ σώματος σχέσεσι καὶ κινήσεσιν, οὐχ ἧττον τῆς διὰ λόγων προφορᾶς, ἃ ἂν θέλωσιν ὑποσημαίνουσι. Χωρὶς τοῦ καὶ ἔθνος ἓν πολλάκις οὐχ ὁμόφωνον μόνον, ἀλλὰ καὶ ὁμόνομον καὶ ὁμοδίαιτον, τοσοῦτον ἐπιβῆναι κακίας, ὥςτε τοῖς ἀνθρώπων ἁπάντων ἁμαρτήμασιν ἰσοστάσια δύνασθαι πλημμελεῖν· 322
ἀπειρίᾳ τε διαλέκτων μυρίοι πρὸς τῶν ἐπιτιθεμένων, P.
οὐ προειδόμενοι τὸ μέλλον, προκατελήφθησαν, ὡς ἔμπαλιν ἐπιστήμῃ τοὺς ἐπικρεμασθέντας ἴσχυσαν φόβους τε καὶ κινδύνους ἀπώσασθαι. Ὥςτε λυσιτελὲς μᾶλλον, ἢ βλαβερὸν εἶναι τὴν ἐν ταῖς διαλέκτοις κοινωνίαν· ἐπεὶ καὶ μέχρι νῦν οἱ καθ᾽ ἑκάστην χώραν, καὶ μάλιστα τῶν αὐτοχθόνων, δι᾽ οὐδὲν οὕτως ὡς διὰ τὸ ὁμόγλωσσον ἀπαθεῖς κακῶν διατελοῦσι. Καὶ ἂν εἰ μέντοι τις ἀνὴρ πλείους ἀναμάθοι διαλέκτους, εὐδόκιμος εὐθὺς παρὰ τοῖς ἐπισταμένοις ἐστὶν, ὡς ἤδη φίλιος ὢν, οὐ βραχὺ γνώρισμα κοι-
07 νωνίας ἐπιφερόμενος τὴν ἐν τοῖς ὀνόμασι συνήθειαν,
I. ἀφ᾽ ἧς τὸ ἀδεὲς εἰς τὸ μηδὲν ἀνήκεστον παθεῖν ἔοικε πεπορίσθαι. Τί οὖν ὡς κακῶν αἴτιον τὸ ὁμόγλωτ-

τον ἐξ ἀνθρώπων ἠφάνιζε, δέον ὡς ὠφελιμώτατον ἱδρύσθαι;

§. 5. Τοὺς δὴ ταῦτα συντιθέντας καὶ κακοτεχνοῦντας ἰδίᾳ μὲν διελέγξουσιν οἱ τὰς προχείρους ἀποδόσεις τῶν ἀεὶ ζητουμένων ἐκ τῆς φανερᾶς τῶν νόμων γραφῆς, ἀφιλονείκως οὐκ ἀντισοφιζόμενοί ποθεν, ἀλλ᾽ ἑπόμενοι τῷ τῆς ἀκολουθίας εἱρμῷ προςπταίειν οὐκ ἐῶντι, ἀλλὰ καὶ ἄν εἴ τινα ἐμποδὼν εἴη, ῥᾳδίως ἀναστέλλοντι, ὅπως αἱ τῶν λόγων διέξοδοι γίνωνται ἄπταιστοι. Φαμὲν τοίνυν ἐκ τοῦ "τὴν γῆν εἶναι πᾶσαν χεῖλος ἓν καὶ φωνὴν μίαν" κακῶν ἀμυθήτων καὶ μεγάλων συμφωνίαν δηλοῦσθαι, ὅσα τε πόλεις πόλεσι, καὶ ἔθνεσιν ἔθνη, καὶ χώραις χῶραι ἀντεπιφέρουσι, καὶ ὅσα μὴ μόνον εἰς ἑαυτοὺς, ἀλλὰ καὶ εἰς τὸ θεῖον ἀσεβοῦσιν ἄνθρωποι. Καί τοι ταῦτα πληθῶν ἐστιν ἀδικήματα. Σκεπτώμεθα δὲ ἡμεῖς καὶ ἐφ᾽ ἑνὸς ἀνδρὸς τὸ ἀδιεξήγητον τῶν κακῶν πλῆθος, καὶ μάλισθ᾽ ὅταν τὴν ἀνάρμοστον καὶ ἐκμελῆ καὶ ἄμουσον σχοίη συμφωνίαν.

§. 6. Τὰ μὲν δὴ τυχηρὰ τίς οὐκ οἶδεν, ὅταν πενίᾳ καὶ ἀδοξίᾳ, σώματος νόσοις ἢ πηρώσεσι συνενεχθῶσι; Καὶ πάλιν ταῦτα ψυχῆς ἀῤῥωστήμασιν, ἔκφρονος ὑπὸ μελαγχολίας, ἢ μακροῦ γήρως, ἤ τινος ἄλλης βαρείας κακοδαιμονίας γεγενημένης, ἀνακραθῶσι. Καὶ γὰρ ἓν μόνον τῶν εἰρημένων βιαίως ἀντιστατῆσαν ἱκανὸν ἀνατρέψαι καὶ καταβαλεῖν καὶ τὸν λίαν ὑπέρογκόν ἐστιν. Ὅταν δὲ ἀθρόα ὥςπερ προστάξει μιᾷ κατὰ τὸν αὐτὸν χρόνον ἐνῇ πάντα σωρηδὸν ἐπιθεῖναι τὰ σώματος, τὰ ψυχῆς, τὰ ἐκτὸς, τίνα οὐχ ὑπερβάλλει σχετλιότητα; Πεσόντων γὰρ δορυφόρων, ἀνάγκη καὶ τὸ δορυφορούμενον πίπτειν. Δορυφόροι μὲν οὖν σώματος, πλοῦτος, εὐδοξίαι, τιμαὶ, ὀρθοῦντες αὐτὸ καὶ εἰς ὕψος αἴροντες καὶ γαῦρον ἀποδεικνύντες, ὡς τὰ ἐναντία, ἀτιμία, 32
ἀδοξία, πενία, πολεμίων τρόπον καταρράττουσι. Πάλιν τε δορυφόροι ψυχῆς, ἀκοαὶ, καὶ ὄψεις, ὀσφρήσεις P

τε καὶ γεῦσις, καὶ ξύμπαν τὸ αἰσθήσεως στῖφος, ἔτι
μέντοι ὑγίεια καὶ ἰσχὺς δύναμίς τε καὶ ῥώμη. Τού-
τοις γὰρ, ὥςπερ ἑστῶσι καὶ κραταιῶς ἐρηρεισμένοις
εὐερκέσιν ὅροις, ὁ νοῦς ἐμπεριπατῶν καὶ διαιτώμενος
ἀγάλλεται, πρὸς μηδενὸς ταῖς ἰδίαις ὁρμαῖς χρῆσθαι
κωλυόμενος, ἀλλ' εὐμαρεῖς καὶ λεωφόρους ἀναπεπτα-
408 μένας ἔχων τὰς διὰ πάντων ὁδούς. Τὰ δὲ τοῖς
M. δορυφόροις τούτοις ἐχθρὰ ἀντικάθηται πήρωσις αἰ-
σθητηρίων καὶ νόσος, ὡς ἔφην, οἷς ἡ διάνοια συγ-
κατακρημνισθῆναι πολλάκις ἐμέλλησε. Καὶ τὰ μὲν
τυχηρὰ ταῦτα, ἀργαλέα σφόδρα, καὶ σχέτλια ἐξ
ἑαυτῶν, πρὸς δὲ τὴν τῶν ἐκ προνοίας σύγκρισιν
κουφότερα πολλῷ.

§. 7. Τίς οὖν ἡ τῶν ἑκουσίων κακῶν συμφωνία, πάλιν ἐν μέρει σκοπῶμεν. Τριμεροῦς ἡμῶν τῆς ψυχῆς ὑπαρχούσης, τὸ μὲν νοῦς καὶ λόγος, τὸ δὲ θυμὸς, τὸ δὲ ἐπιθυμία κεκληρῶσθαι λέγεται. Κηραίνει δὲ καθ' αὐτὸ ἕκαστον ἰδίᾳ, καὶ πρὸς ἄλληλα πάντα κοινῇ· ἐπειδὰν ὁ μὲν νοῦς ὅσα ἀφροσύναι καὶ δειλίαι, ἀκολασίαι τε καὶ ἀδικίαι σπείρουσι, θερίσῃ· ὁ δὲ θυμὸς τὰς ἐκμανεῖς καὶ παραφόρους λύττας καὶ ὅσα ἄλλα ὠδίνει κακὰ, τέκῃ· ἡ δὲ ἐπιθυμία τοὺς ὑπὸ νεότητος ἀεὶ κούφους ἔρωτας καὶ τοῖς ἐπιτυχοῦσι σώμασί τε καὶ πράγμασι προςιπταμένους ἐπιπέμψῃ πανταχόσε. Τότε γὰρ ὥςπερ ἐν σκάφει ναυτῶν, ἐπιβατῶν, κυβερνητῶν, κατά τινα φρενοβλάβειαν ἐπ' ἀπωλείᾳ τούτου συμφωνησάντων, καὶ οἱ ἐπιβουλεύσαντες αὐτῇ οὐχ ἥκιστα συναπώλοντο. Βαρύτατον γὰρ κακῶν καὶ σχεδὸν ἀνίατον μόνον, ἡ πάντων τῶν ψυχῆς μερῶν πρὸς τὸ ἁμαρτάνειν συνέργεια, μηδενὸς οἷα ἐν πανδήμῳ συμφορᾷ δυνηθέντος ὑγιαίνειν, ἵνα τοὺς πάσχοντας ἰᾶται· ἀλλὰ καὶ τῶν ἰατρῶν ἅμα τοῖς ἰδιώταις καμνόντων, οὓς ἡ λοιμώδης νόσος ἐφ' ὁμολογουμένῃ συμφορᾷ πιέσασα κατέχει. Τοῦ παθήματος τούτου ὁ μέγας ἀναγραφεὶς παρὰ τῷ νομοθέτῃ κατακλυσμός ἐστι. Τῶν τε

ἀπ' οὐρανοῦ καταῤῥακτῶν τοὺς κακίας αὐτῆς λάβρῳ
φορᾷ χειμάῤῥους ἐπομβρούντων, καὶ τῶν ἀπὸ γῆς,
λέγω δὲ τοῦ σώματος, πηγῶν ἀναχεουσῶν τὰ πά-
θους ἑκάστου ῥεύματα, πολλὰ ὄντα καὶ μεγάλα,
ἅπερ εἰς ταὐτὸν τοῖς προτέροις συνιόντα καὶ ἀνα-
μιγνύμενα, κυκᾶταί τε καὶ τὸ δεδεγμένον ἅπαν τῆς
ψυχῆς στροβεῖ χωρίον δίναις ἐπαλλήλοις. "Ἰδὼν
γάρ," φησί, "κύριος ὁ θεὸς, ὅτι ἐπληθύνθησαν αἱ
κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, καὶ πᾶς τις δια-
νοεῖται ἐν τῇ καρδίᾳ ἐπιμελῶς τὰ πονηρὰ πάσας τὰς
ἡμέρας, ἔγνω τὸν ἄνθρωπον," λέγω δὲ τὸν νοῦν με-
τὰ τῶν περὶ αὐτὸν ἑρπετῶν τε καὶ πτηνῶν καὶ τῆς
ἄλλης ἀλόγου τῶν ἀτιθάσσων θηρίων πληθύος, 324
ἐφ' οἷς ἀνίατα ἠδικήκει, "τίσασθαι" *). Ἡ δὲ τι- P.
μωρία, κατακλυσμός. Ἦν γὰρ ἔφεσις ἁμαρτημά-
των, καὶ πολλὴ τοῦ ἀδικεῖν, μηδενὸς κωλύοντος,
φορὰ, ἀλλὰ προσαναῤῥηγνυμένων ἀδεῶς ἁπάντων
εἰς χορηγίας ἀφθόνους τοῖς πρὸς τὰς ἀπολαύσεις
ἑτοιμοτάτοις. Καὶ μήποτ' εἰκότως. Οὐ γὰρ ἕν τι
μέρος διέφθαρτο τῆς ψυχῆς, ἵνα τοῖς ἄλλοις ὑγιαί-
νουσι σώζεσθαι δύναιτο, ἀλλ' οὐδὲν ἄνοσον οὐδὲ
409 ἀδιάφθαρτον αὐτῆς κατελείπετο. Ἰδὼν γὰρ ὅτι
M. πᾶς τις, φησὶ, διανοεῖται λογισμὸς, οὐχὶ μόνος εἷς,
τὴν ἁρμόττουσαν ὁ ἀδέκαστος δικαστὴς ἐπήγαγε τι-
μωρίαν.

§. 8. Οὗτοί εἰσιν οἱ ἐπὶ τῆς "ἁλμυρᾶς φά-
ραγγος ὁμαιχμίαν πρὸς ἀλλήλους θέμενοι." Κοῖλον
γὰρ καὶ τραχὺ καὶ φαραγγῶδες τὸ κακιῶν παθῶν
χωρίον, ἁλμυρὸν τῷ ὄντι καὶ πικρὰς φέρον
ὠδῖνας, ὧν ὁ σοφὸς Ἀβραὰμ τὸ ἐνώμοτον καὶ
ἔνσπονδον, οὔθ' ὅρκων οὔτε σπονδῶν ἐπάξιον
εἰδὼς, καθαιρεῖ. Λέγεται γὰρ ὅτι "Πάντες οὗτοι
συνεφώνησαν ἐπὶ τὴν φάραγγα τὴν ἁλυκήν· αὕτη ἡ
θάλασσα τῶν ἁλῶν" **). Ἢ οὐχ ὁρᾷς τοὺς ἐστει-

---

*) Gen. 6, 5. **) Gen. 14, 3.

ρωμένους σοφίαν καὶ τυφλοὺς διάνοιαν, ἣν ὀξυδερκεῖν εἰκὸς ἦν, Σοδομίτας κατὰ γλῶτταν, "ἀπὸ νεανίσκου ἕως πρεσβυτέρου, πάνθ' ὁμοῦ τὸν λεὼν ἐν κύκλῳ τὴν οἰκίαν," τῆς ψυχῆς, "περιθέοντας," ἵνα τοὺς ξενωθέντας ἱεροὺς καὶ ὁσίους λόγους, αὐτῆς φρουροὺς καὶ φύλακας ὄντας, αἰσχύνωσι καὶ διαφθείρωσι, μηδενὸς τὸ παράπαν, μήτε τοῖς ἀδικοῦσιν ἐναντιοῦσθαι, μήτε τοῦ τι ποιεῖν ἄδικον ἀποδιδράσκειν ἐγνωκότος; Οὐ γὰρ οἱ μὲν, οἱ δὲ οὔ, "πᾶς δὲ," ὥς φησιν, "ὁ λαὸς περιεκύκλωσαν ἅμα τὴν οἰκίαν, νέοι τε καὶ πρεσβῦται" *), κατὰ τῶν θείων ἔργων καὶ λόγων συνομοσάμενοι, οὓς καλεῖν ἔθος ἀγγέλους.

§. 9. Ἀλλ' ὅ γε θεοπρόπος Μωϋσῆς θράσει πολλῷ ῥέοντας αὐτοὺς ὑπαντιάσας ἐφέξει, καὶ ἂν τὸν θρασύτατον καὶ δεινότατον εἰπεῖν ἐν ἑαυτοῖς βασιλέα λόγον προστησάμενοι, μιᾷ ῥύμῃ κατατρέχωσι, συναύξοντες τὰ οἰκεῖα, καὶ ποταμοῦ τρόπον πλημμύροντες. "Ἰδοὺ γὰρ," φησὶν, "ὁ τῆς Αἰγύπτου βασιλεὺς ἐπὶ τὸ ὕδωρ ἀφικνεῖται. Σὺ δὲ στήσῃ συναντῶν αὐτῷ ἐπὶ τὸ χεῖλος τοῦ ποταμοῦ" **). Οὐκοῦν ὁ μὲν φαῦλος ἔξεισιν ἐπὶ τὴν τῶν ἀδικημάτων καὶ παθῶν καὶ ἀθρόων φορὰν, ἅπερ ὕδατι ἀπεικάζεται· ὁ δὲ σοφὸς πρῶτον μὲν κτᾶται γέρας παρὰ τοῦ ἑστῶτος ἀεὶ θεοῦ συγγενὲς αὐτοῦ τῇ ἀκλινεῖ καὶ ἀῤῥεπεῖ πρὸς πάντα δυνάμει λαβών. Εἴρηται γὰρ, "Σὺ δὲ αὐτοῦ στῆθι μετ' ἐμοῦ ***), ἵνα ἐνδοιασμὸν καὶ ἐπαμφοτερισμὸν, ἀβεβαίου ψυχῆς διαθέσεις, ἀποδυσάμενος, τὴν ὀχυρωτάτην καὶ βεβαιοτάτην διάθεσιν, πίστιν, ἐνδύσηται. Ἔπειτα δὲ ἑστὼς, τὸ παραδοξότατον, ὑπαντᾷ. Στήσῃ γὰρ ὑπαντιάζων· καὶ τὸ μὲν ὑπαντᾶν ἐν κινήσει, κατὰ 325. δὲ ἠρεμίαν τὸ ἵστασθαι θεωρεῖται. Λέγει δὲ οὐ τὰ P. μαχόμενα, τὰ δὲ τῇ φύσει μάλιστα ἀκολουθοῦντα·

*) Gen. 19, 4. **) Exod. 7, 15. ***) Deut. 5, 31.

ὅτῳ γὰρ ἠρεμεῖν πέφυκεν ἡ γνώμη καὶ ἀῤῥεπῶς ἱδρύσθαι, συμβαίνει πᾶσιν ἀνθίστασθαι τοῖς σάλῳ καὶ κλύδωνι χαίρουσι, καὶ τὸν γαληνιάσαι δυνάμενον χειροποιήτῳ χειμῶνι κυμαίνουσιν.

410 §. 10. Εὖ μέντοι γε ἔχει παρὰ "τὸ χεῖλος τοῦ
M. ποταμοῦ" τὴν ἐναντίωσιν συνίστασθαι· χείλη δὲ στόματος μέν ἐστι πέρατα, φραγμὸς δέ τις γλώττης, δι' ὧν φέρεται τὸ τοῦ λόγου ῥεῦμα, ὅταν ἄρξηται κατέρχεσθαι. Λόγῳ δὲ καὶ οἱ μισάρετοι καὶ φιλομαθεῖς συμμάχῳ χρῶνται πρὸς τὴν τῶν ἀδοκίμων δογμάτων εἰςήγησιν· καὶ πάλιν οἱ σπουδαῖοι πρός τε τὴν τούτων ἀναίρεσιν, καὶ πρὸς τὸ τῶν ἀμεινόνων καὶ ἀψευδῶν ἀγαθῶν κράτος ἀνανταγώνιστον. Ὅταν μέντοι πάντα κάλων ἀνασείσαντες ἐριστικῶν δογμάτων, ὑπ' ἐναντίας ῥύμης λόγων ἀνατραπέντες ἀπόλωνται, τὸ ἐπινίκιον δικαίως καὶ προςηκόντως ὁ σοφὸς ᾆσμα, χορὸν ἱερώτατον στησάμενος, εὐμελῶς ᾄσεται. "Εἶδε γὰρ," φησὶν, "Ἰσραὴλ τοὺς Αἰγυπτίους," οὐχ ἑτέρωθι τεθνεῶτας, ἀλλὰ παρὰ "τὸ χεῖλος τοῦ ποταμοῦ" *), θάνατον λέγων οὐ τὴν ἀπὸ σώματος ψυχῆς διάκρισιν, ἀλλὰ τὴν ἀνοσίων δογμάτων καὶ λόγων φορὰν, οἷς ἐχρῶντο διὰ στόματος καὶ γλώττης, καὶ τῶν ἄλλων φωνητηρίων ὀργάνων. Λόγου δὲ θάνατός ἐστιν ἡσυχία, οὐχ ἣν οἱ ἐπιεικέστεροι, ποιούμενοι σύμβολον αἰδοῦς μετέρχονται· δύναμις γὰρ καὶ ἥδε ἐστὶν ἀδελφὴ τῆς ἐν τῷ λέγειν, ταμιευομένη μέχρι καιροῦ τὰ λεκτέα· ἀλλ' ἣν οἱ ἐξησθενηκότες καὶ ἀπειρηκότες διὰ τὴν τῶν ἐναντίων ἰσχὺν ὑπομένουσιν ἄκοντες, λαβὴν οὐδεμίαν ἔθ' εὑρίσκοντες. Ὧν τε γὰρ ἂν ἐφάψωνται, διαῤῥεῖ, καὶ οἷς ἂν ἐπιβῶσιν, οὐχ ὑπομένει, ὡς πρὶν ἢ στῆναι πίπτειν ἀναγκάζεσθαι, ὥςπερ ἡ ἕλιξ τὸ ὑδρηλὸν ὄργανον ἔχει. Κατὰ γὰρ μέσον αὐτῆς γεγόνασι βαθμοί τινες, ὧν ὁ γεωπόνος, ὅταν ἐθελήσῃ ποτί-

*) Exod. 14, 30.

σαι τὰς ἀρούρας, ἐπιβαίνει μὲν, περιολισθαίνει δὲ ἀναγκαίως· ὑπὲρ δὲ τοῦ μὴ πίπτειν, συνεχῶς πλησίον ἐχυροῦ τινος ταῖς χερσὶ περιδράττεται, οὐ ἐνειλημμένος τὸ ὅλον σῶμα ἀπῃώρηκεν αὐτοῦ. Ἀντὶ μὲν γὰρ ποδῶν χερσὶν, ἀντὶ δὲ χειρῶν ποσὶ χρῆται. Ἵσταται μὲν γὰρ ἐπὶ χειρῶν, δι' ὧν εἰσιν αἱ πράξεις· πράττει δὲ ἐν ποσὶν, ἐφ' ὧν εἰκὸς ἵστασθαι.

§. 11. Πολλοὶ δὲ οὐ δυνάμενοι τὰς πιθανὰς τῶν σοφιστῶν εὑρέσεις ἀνὰ κράτος ἑλεῖν, τῷ μὴ σφόδρα περὶ λόγους διὰ τὴν ἐν τοῖς ἔργοις συνεχῆ μελέτην γεγυμνάσθαι, κατέφυγον ἐπὶ τὴν τοῦ μόνου σοφοῦ συμμαχίαν, καὶ βοηθὸν αὐτὸν ἱκέτευσαν γε- 326
νέσθαι. Καθὰ καὶ τῶν Μωϋσέως γνωρίμων τις ἐν P.
ὕμνοις εὐχόμενος εἶπεν, "Ἄλαλα γενέσθω τὰ χείλη τὰ δόλια" *). Πῶς δὲ ἂν ἡσυχάσαι, εἰ μὴ πρὸς μόνου τοῦ καὶ τὸν λόγον αὐτὸν ἔχοντος ὑπήκοον, ἐπιστομισθείη; Τὰς μὲν οὖν εἰς τὸ ἁμαρτάνειν συνόδους ἀμεταστρεπτὶ φευκτέον· τὸ δὲ ἔνσπονδον
411 πρὸς τοὺς φρονήσεως καὶ ἐπιστήμης ἑταίρους, βε-
M. βαιωτέον. Παρ' ὃ καὶ τοὺς λέγοντας "Πάντες ἐσμὲν υἱοὶ ἑνὸς ἀνθρώπου, εἰρηνικοί ἐσμεν" **) τεθαύμακα τῆς εὐαρμόστου συμφωνίας. Ἐπεὶ καὶ πῶς οὐκ ἐμέλλετε, φήσαιμ' ἂν, ὦ γενναῖοι, πολέμῳ μὲν δυσχεραίνειν, εἰρήνην δὲ ἀγαπᾶν, ἕνα καὶ τὸν αὐτὸν ἐπιγεγραμμένοι πατέρα, οὐ θνητὸν ἀλλ' ἀθάνατον, ἄνθρωπον θεοῦ, ὃς τοῦ ἀϊδίου λόγος ὢν, ἐξ ἀνάγκης καὶ αὐτός ἐστιν ἄφθαρτος; Οἱ μὲν γὰρ πολλὰς ἀρχὰς τοῦ κατὰ ψυχὴν γένους συνιστάμενοι, τῷ πολυθέῳ λεγομένῳ κακῷ προςνείμαντες ἑαυτοὺς, ἄλλοι πρὸς ἄλλων τιμὰς τραπόμενοι, ταραχὰς καὶ στάσεις ἐμφυλίους τε καὶ ξενικὰς ἐδημιουργήσαντο, ἀπ' ἀρχῆς γενέσεως ἄχρι τελευτῆς, βίον πολέμων ἀκηρύκτων καταπλήσαντες. Οἱ δὲ ἑνὶ γένει χαίροντες, καὶ ἕνα πατέρα τὸν ὀρθὸν τιμῶντες λόγον, τὴν

*) Psalm. 30 (31), 19. **) Gen.. 42, 11.

εὐάρμοστον καὶ πάμμουσον συμφωνίαν ἀρετῶν τεθαυμακότες, εὔδιον καὶ γαληνὸν βίον ζῶσιν· οὐ μὴν ἀργὸν καὶ ἀγεννῆ τινα, ὡς ἔνιοι νομίζουσιν, ἀλλὰ σφόδρα ἀνδρεῖον, καὶ λίαν ἠκονημένον κατὰ τῶν σπονδὰς λύειν ἐπιχειρούντων, καὶ σύγχυσιν ὁρκίων ἀεὶ μελετώντων. Τοὺς γὰρ εἰρηναίους φύσει πολεμικοὺς εἶναι συμβέβηκεν, ἀντικαθημένους καὶ ἀνθεστῶτας τοῖς τὸ εὐσταθὲς τῆς ψυχῆς ἀνατρέπουσι.

§. 12. Μαρτυρεῖ δέ μου τῷ λόγῳ πρῶτον μὲν ἡ ἑκάστου τῶν φιλαρέτων διάνοια διακειμένη τὸν τρόπον τοῦτον, ἔπειτα δὲ καὶ τοῦ προφητικοῦ θιασώτης χοροῦ ὃς καταπνευσθεὶς ἐνθουσιῶν ἀνεφθέγξατο, „Ὦ μῆτερ, ἡλίκον με ἔτεκες ἄνθρωπον μάχης, καὶ ἄνθρωπον ἀηδίας πάσης τῆς γῆς; Οὐκ ὠφέλησα, οὐδὲ ὠφέλησάν με· οὐδὲ ἡ ἰσχύς μου ἐξέλιπεν ἀπὸ καταρῶν αὐτῶν" *). Ἀλλ' οὐ πᾶς σοφὸς πᾶσι φαύλοις ἐχθρός ἐστιν ἄσπονδος, οὐ τριηρῶν ἢ μηχανημάτων ἢ ὅπλων ἢ στρατιωτῶν παρασκευῇ πρὸς ἄμυναν χρώμενος, ἀλλὰ λογισμοῖς; Ὅταν γὰρ τὸν ἐν τῇ ἀπολέμῳ εἰρήνῃ συνεχῆ καὶ ἐπάλληλον ἀνθρώπων ἁπάντων ἴδιον καὶ κοινὸν, μὴ κατὰ ἔθνη καὶ χώρας ἢ πόλεις καὶ κώμας αὐτὸ μόνον, ἀλλὰ καὶ κατ' οἰκίαν καὶ ἕνα ἕκαστον τῶν ἐν μέρει, συγκροτούμενον πόλεμον θεάσηται, τίς ἐστιν ὃ γε μὴ παροῦσι κακίζων, νουθετῶν, σωφρονίζων, οὐ μεθ' ἡμέραν μόνον, ἀλλὰ καὶ νύκτωρ, τῆς ψυχῆς αὐτῷ ἠρεμεῖν μὴ δυναμένης διὰ τὸ μισοπόνηρον φύσει; Πάντα γὰρ, ὅσα ἐν πολέμῳ, δρᾶται κατ' εἰρήνην· 327 συλῶσιν, ἁρπάζουσιν, ἀνδραποδίζονται, λεηλα- P.
412 τοῦσι, πορθοῦσιν, ὑβρίζουσιν, αἰκίζονται, φθεί-
M. ρουσιν, αἰσχύνουσι, δολοφονοῦσιν, ἄντικρυς, ἢν ὦσι δυνατώτεροι, κτείνουσι. Πλοῦτον γὰρ ἢ δόξαν ἕκαστος αὐτῶν σκοπὸν προτιθέμενος, ἐπὶ τοῦτον ὥσπερ βέλη τὰς τοῦ βίου πράξεις ἁπάσας ἀφιεὶς, ἰσότητος

*) Jer. 15, 10.

ἀλογεῖ, τὸ ἄνισον διώκει, κοινωνίαν ἀποστρέφεται, μόνος ἔχειν τὰ πάντων ἀθρόα ἐσπούδακε, μισάνθρωπος καὶ μισάλληλός ἐστιν, ὑποκρινόμενος εὔνοιαν, κολακείας νόθης ἑταῖρος ὤν, φιλίας γνησίου πολέμιος, ἀληθείας ἐχθρός, ὑπέρμαχος ψεύδους, βραδὺς ὠφελῆσαι, ταχὺς βλάψαι, διαβαλεῖν προχειρότατος, ὑπερασπίσαι μελλητής, δεινὸς φενακίσαι, ψευδορκότατος, ἀπιστότατος, δοῦλος ὀργῆς, εἴκων ἡδονῇ, φύλαξ κακῶν, φθορεὺς ἀγαθῶν.

§. 13. Ταῦτα καὶ τὰ τοιαῦτα τῆς ᾀδομένης καὶ θαυμαζομένης εἰρήνης περιμάχητα κειμήλια, ἅπερ ἡ ἑκάστου τῶν ἀφρόνων ἀγαλματοφοροῦσα διάνοια τέθηπε καὶ προσκυνεῖ. Ἐφ' οἷς εἰκότως καὶ πᾶς σοφὸς ἄχθεται, καὶ πρός γε τὴν μητέρα καὶ τιθήνην ἑαυτοῦ, σοφίαν εἴωθε λέγειν, "ὦ μῆτερ, ἡλίκον με ἔτεκες"! οὐ δυνάμει σώματος, ἀλλὰ τῇ πρὸς μισοπόνηρον ἀλκῇ, ἄνθρωπον ἀηδίας καὶ μάχης, φύσει μὲν εἰρηνικὸν, διὰ δὲ τοῦτο καὶ πολεμικὸν κατὰ τῶν αἰσχυνόντων τὸ περιμάχητον κάλλος εἰρήνης. "Οὐκ ὠφέλησα, οὐδὲ ὠφέλησάν με;" οὔτε αὐτοὶ τοῖς ἐμοῖς ἀγαθοῖς ποτε ἐχρήσαντο, οὔτε ἐγὼ τοῖς ἐκείνων κακοῖς· ἀλλὰ κατὰ τὸ Μωϋσέως γράμμα, "Ἐπιθύμημα οὐδενὸς αὐτῶν ἔλαβον" *), σύμπαν τὸ τῆς ἐπιθυμίας αὐτῶν γένος θησαυρισαμένων παρ' ἑαυτοῖς ὡς μέγιστον ὄφελος ὑπερβάλλον βλάβος. "Οὐδὲ ἡ ἰσχύς μου ἐξέλιπεν ἀπὸ τῶν ἀρῶν ἃς ἐτίθεντό μοι" **), δυνάμει δὲ κραταιοτάτῃ τῶν θείων ἐνειλημμένος δογμάτων, οὔτε ἐκκακούμενος ἐκνάμφθην, ἀλλὰ ἐῤῥωμένως ὠνείδισα τοῖς ἐξ αὐτῶν μοι καταρωμένοις. "Ἔθετο γὰρ ἡμᾶς ὁ θεὸς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν," ὡς καὶ ἐν ὕμνοις που λέλεκται, πάντας τοὺς ὀρθῆς γνώμης ἐφιεμένους. Ἀλλ' οὐκ ἀντιλογικοὶ φύσει γεγόνασιν, ὅσοι τὸν ἐπιστήμης καὶ ἀρετῆς ζῆλον ἔσχον, ἀεὶ τοῖς γείτοσι ψυχῆς ἀντι-

*) Num. 16, 15. **) Psalm. 79, 7.

φιλονεικοῦντες, ἐλέγχοντες μὲν τὰς συνοίκους ἡδονὰς, ἐλέγχοντες δὲ τὰς ὁμοδιαίτους ἐπιθυμίας, δειλίας τε καὶ φόβους, τὸ παθῶν καὶ κακιῶν στῖφος, δυςωποῦντες. Ἐλέγχοντες μέντοι καὶ πᾶσαν αἴσθησιν, περὶ μὲν ὧν εἶδον, ὀφθαλμοὺς, περὶ ὧν δὲ ἤκουσαν, ἀκοὰς, ὀσμάς τε περὶ ἀτμῶν, καὶ γεύσεις περὶ χυμῶν, ἔτι δὲ ἁφὰς περὶ τῶν κατὰ τὰς προςπιπτούσας τῶν ἐν τοῖς σώμασι δυνάμεων ἰδιότητας· καὶ 328
413 μὲν δὴ τὸν προφορικὸν λόγον, περὶ ὧν διεξελθεῖν P.
M. ἔδοξε. Τίνα γὰρ, ἢ πῶς, ἢ διὰ τί ἡ αἴσθησις ᾔσθετο, ἢ ὁ λόγος διηρμήνευσεν, ἢ τὸ πάθος διέθηκεν, ἄξιον ἐρευνᾶν μὴ παρέργως, καὶ τῶν σφαλμάτων διελέγχειν ἕκαστον. Ὁ δὲ μηδενὶ τούτων ἀντιλέγων, ἅπασι δὲ ἑξῆς συνεπινεύων, ἑαυτὸν λέληθεν ἀπατῶν, καὶ ἐπιτειχίζων ψυχῇ βαρεῖς γείτονας, οἷς ἄμεινον ὑπηκόοις ἢ ἄρχουσι χρῆσθαι. Ἡγεμονεύοντες γὰρ πολλὰ πημανοῦσι καὶ μεγάλα, βασιλευούσης παρ᾽ αὐτοῖς ἀνοίας· ὑπακούοντες δὲ τὰ δέονθ᾽ ὑπηρετοῦσι πειθηνίως, οὐκέθ᾽ ὁμοίως ἀπαυχενίζοντες. Οὕτω μέντοι τῶν μὲν ὑπακούειν μαθόντων, τῶν δ᾽ οὐκ ἐπιστήμῃ μόνον ἀλλὰ καὶ δυνάμει τὴν ἀρχὴν λαβόντων, πάντες οἱ δορυφόροι καὶ ὑπέρμαχοι ψυχῆς συμφρονήσουσι λογισμοί· καὶ τῷ πρεσβυτάτῳ τῶν ἐν αὐτοῖς προςελθόντες, ἐροῦσιν, „Οἱ παῖδές σου εἰλήφασι τὸ κεφάλαιον τῶν ἀνδρῶν τῶν πολεμιστῶν τῶν μεθ᾽ ὑμῶν, οὐ διαπεφώνηκεν αὐτῶν οὐδὲ εἷς" *). Ἀλλ᾽ ὥςπερ τὰ μουσικῆς ὄργανα ἄκρως ἡρμοσμένα πᾶσι τοῖς φθόγγοις, οὕτως ἡμεῖς πάσαις ταῖς ὑφηγήσεσι συνηχήσαμεν, ἐκμελὲς ἢ ἀπῳδὸν οὐδὲ ῥῆμα εἰπόντες, οὐδ᾽ ἔργον διαπραξάμενοι, ὡς τὸν ἕτερον τῶν ἀμούσων χορὸν πάντῃ ἄφωνον καὶ νεκρὸν ἀποδεῖξαι, γελασθέντα, τὴν τῶν σωματικῶν τροφὴν Μαδιὰμ, καὶ τὸν ἔγγονον αὐτῆς „δερμάτινον ὄγκον" Βεελφαγὼρ ὄνομα,

---

*) Num. 31, 49.

ὑπνοῦντα. "Γένος γάρ ἐσμεν τῶν ἐπιλέκτων τοῦ τὸν
θεὸν ὁρῶντος Ἰσραὴλ, ὧν διεφώνησεν οὐδὲ εἷς" *),
ἵνα τὸ τοῦ παντὸς ὄργανον, ὁ κόσμος πᾶς, ταῖς
ἁρμονίαις μουσικῶς μελῳδῆται. Διὰ τοῦτο καὶ
Μωϋσῆς τῷ πολεμικωτάτῳ λόγῳ, ὃς καλεῖται Φι-
νεὲς, "γέρας εἰρήνης" φησὶ **) διδόσθαι· ὅτι ζῆλον
τὸν ἀρετῆς λαβὼν, καὶ πόλεμον πρὸς κακίαν ἀράμ-
μενος, ὅλην ἀνέτεμε γένεσιν· ἑξῆς τοῖς βουλομένοις,
διακύψασι καὶ διερευνησαμένοις ἀκριβῶς, ὄψει πρὸ
ἀκοῆς σαφεστέρῳ χρησαμένοις μάρτυρι, πιστεῦσαι,
ὅτι γέμει τὸ θνητὸν ἀπιστίας, ἐκ μόνου τοῦ δοκεῖν
ἠρτημένον. Θαυμάσιος μὲν οὖν ἡ λεχθεῖσα συμφω-
νία, θαυμασιωτάτη δὲ καὶ πάσας τὰς ἁρμονίας
ὑπερβάλλουσα ἡ κοινὴ πάντων, καθ' ἣν ὁ λαὸς ἅπας
ὁμοθυμαδὸν εἰσάγεται λέγων, "Πάντα ὅσα εἶπεν ὁ
θεὸς, ποιήσομεν καὶ ἀκουσόμεθα" ***). Οὗτοι γὰρ
οὐκέτι ἐξάρχοντι πείθονται λόγῳ, ἀλλὰ τῷ τοῦ παν-
τὸς ἡγεμόνι θεῷ, δι' ὧν πρὸς τὰ ἔργα φθάνουσι
4 μᾶλλον ἢ τοὺς λόγους ἀπαντῶντες. Τῶν γὰρ ἄλ-
λων ἐπειδὰν ἀκούσωσι πραττόντων, οὗτοι, τὸ παρα-
δοξότατον, ὑπὸ κατακωχῆς ἐκ θέου πράξειν φασὶ
πρότερον, εἶτα ἀκούσεσθαι· ἵνα μὴ διδασκαλίᾳ καὶ
ὑφηγήσει δοκῶσιν, ἀλλὰ ἐθελουργῷ καὶ αὐτοκελεύ- 329
στῳ διανοίᾳ πρὸς τὰ καλὰ τῶν ἔργων ὑπαντᾶν. P.
Ἐργασάμενοι δὲ ἀκούσεσθαί φασιν, ὅπως ἐπικρίνωσι
τὰ πραχθέντα, εἰ λόγοις θείοις καὶ ἱεραῖς παραινέ-
σεσι συνᾴδει.

§. 14. Τοὺς δὲ συνομοσαμένους ἐπ' ἀδικήμασιν
"ἀπὸ ἀνατολῶν φησὶ κινήσαντας εὑρεῖν πεδίον ἐν
τῇ γῇ Σεναὰρ, καὶ ἐκεῖ κατοικῆσαι" †) φυσικώτατα.
Διττὸν γὰρ εἶδος τῆς κατὰ τὴν ψυχὴν ἀνατολῆς, τὸ
μὲν ἄμεινον, τὸ δὲ χεῖρον· ἄμεινον μὲν, ὅταν ἡλια-
κῶν ἀκτίνων τρόπον ἀνάσχῃ τὸ ἀρετῶν φέγγος, χεῖ-

*) Exod. 24, 11. **) Num. 25, 12. ***) Deut. 5, 27.
†) Gen. 11, 2.

τον ἐξ ἀνθρώπων ἠφάνιζε, δέον ὡς ὠφελιμώτατον ἱδρύσθαι;

§. 5. Τοὺς δὴ ταῦτα συντιθέντας καὶ κακοτεχνοῦντας ἰδίᾳ μὲν διελέγξουσιν οἱ τὰς προχείρους ἀποδόσεις τῶν ἀεὶ ζητουμένων ἐκ τῆς φανερᾶς τῶν νόμων γραφῆς, ἀφιλονείκως οὐκ ἀντισοφιζόμενοί ποθεν, ἀλλ' ἑπόμενοι τῷ τῆς ἀκολουθίας εἱρμῷ προςπταίειν οὐκ ἐῶντι, ἀλλὰ καὶ ἄν εἴ τινα ἐμποδὼν εἴη, ῥᾳδίως ἀναστέλλοντι, ὅπως αἱ τῶν λόγων διέξοδοι γίνωνται ἄπταιστοι. Φαμὲν τοίνυν ἐκ τοῦ "τὴν γῆν εἶναι πᾶσαν χεῖλος ἓν καὶ φωνὴν μίαν" κακῶν ἀμυθήτων καὶ μεγάλων συμφωνίαν δηλοῦσθαι, ὅσα τε πόλεις πόλεσι, καὶ ἔθνεσιν ἔθνη, καὶ χώραις χῶραι ἀντεπιφέρουσι, καὶ ὅσα μὴ μόνον εἰς ἑαυτοὺς, ἀλλὰ καὶ εἰς τὸ θεῖον ἀσεβοῦσιν ἄνθρωποι. Καί τοι ταῦτα πληθῶν ἐστιν ἀδικήματα. Σκεπτώμεθα δὲ ἡμεῖς καὶ ἐφ' ἑνὸς ἀνδρὸς τὸ ἀδιεξήγητον τῶν κακῶν πλῆθος, καὶ μάλισθ' ὅταν τὴν ἀνάρμοστον καὶ ἐκμελῆ καὶ ἄμουσον σχοίῃ συμφωνίαν.

§. 6. Τὰ μὲν δὴ τυχηρὰ τίς οὐκ οἶδεν, ὅταν πενίᾳ καὶ ἀδοξίᾳ, σώματος νόσοις ἢ πηρώσεσι συνενεχθῶσι; Καὶ πάλιν ταῦτα ψυχῆς ἀῤῥωστήμασιν, ἔκφρονος ὑπὸ μελαγχολίας, ἢ μακροῦ γήρως, ἤ τινος ἄλλης βαρείας κακοδαιμονίας γεγενημένης, ἀνακραθῶσι. Καὶ γὰρ ἓν μόνον τῶν εἰρημένων βιαίως ἀντιστατῆσαν ἱκανὸν ἀνατρέψαι καὶ καταβαλεῖν καὶ τὸν λίαν ὑπέρογκόν ἐστιν. Ὅταν δὲ ἀθρόα ὥςπερ προστάξει μιᾷ κατὰ τὸν αὐτὸν χρόνον ἐνῇ πάντα σωρηδὸν ἐπιθεῖναι τὰ σώματος, τὰ ψυχῆς, τὰ ἐκτὸς, τίνα οὐχ ὑπερβάλλει σχετλιότητα; Πεσόντων γὰρ δορυφόρων, ἀνάγκη καὶ τὸ δορυφορούμενον πίπτειν. Δορυφόροι μὲν οὖν σώματός, πλοῦτος, εὐδοξίαι, τιμαὶ, ὀρθοῦντες αὐτὸ καὶ εἰς ὕψος αἴροντες καὶ γαῦρον ἀποδεικνύντες, ὡς τὰ ἐναντία, ἀτιμία, 32
ἀδοξία, πενία, πολεμίων τρόπον καταράττουσι. Πά- P.
λιν τε δορυφόροι ψυχῆς, ἀκοαὶ, καὶ ὄψεις, ὀσφρήσεις

τε καὶ γεῦσις, καὶ ξύμπαν τὸ αἰσθήσεως στῖφος, ἔτι μέντοι ὑγίεια καὶ ἰσχὺς δύναμίς τε καὶ ῥώμη. Τούτοις γὰρ, ὥςπερ ἑστῶσι καὶ κραταιῶς ἐρηρεισμένοις εὐερκέσιν ὅροις, ὁ νοῦς ἐμπερικατῶν καὶ διαιτώμενος ἀγάλλεται, πρὸς μηδενὸς ταῖς ἰδίαις ὁρμαῖς χρῆσθαι κωλυόμενος, ἀλλ' εὐμαρεῖς καὶ λεωφόρους ἀναπεπτα-
408 μένας ἔχων τὰς διὰ πάντων ὁδούς. Τὰ δὲ τοῖς
M. δορυφόροις τούτοις ἐχθρὰ ἀντικάθηται πήρωσις αἰσθητηρίων καὶ νόσος, ὡς ἔφην, οἷς ἡ διάνοια συγκατακρημνισθῆναι πολλάκις ἐμέλλησε. Καὶ τὰ μὲν τυχηρὰ ταῦτα, ἀργαλέα σφόδρα, καὶ σχέτλια ἐξ ἑαυτῶν, πρὸς δὲ τὴν τῶν ἐκ προνοίας σύγκρισιν κουφότερα πολλῷ.

§. 7. Τίς οὖν ἡ τῶν ἑκουσίων κακῶν συμφωνία, πάλιν ἐν μέρει σκοπῶμεν. Τριμεροῦς ἡμῶν τῆς ψυχῆς ὑπαρχούσης, τὸ μὲν νοῦς καὶ λόγος, τὸ δὲ θυμὸς, τὸ δὲ ἐπιθυμία κεκληρῶσθαι λέγεται. Κηραίνει δὲ καθ' αὑτὸ ἕκαστον ἰδίᾳ, καὶ πρὸς ἄλληλα πάντα κοινῇ· ἐπειδὰν ὁ μὲν νοῦς ὅσα ἀφροσύναι καὶ δειλίαι, ἀκολασίαι τε καὶ ἀδικίαι σπείρουσι, θερίσῃ· ὁ δὲ θυμὸς τὰς ἐκμανεῖς καὶ παραφόρους λύττας καὶ ὅσα ἄλλα ὠδίνει κακὰ, τέκῃ· ἡ δὲ ἐπιθυμία τοὺς ὑπὸ νεότητος ἀεὶ κούφους ἔρωτας καὶ τοῖς ἐπιτυχοῦσι σώμασί τε καὶ πράγμασι προςιπταμένους ἐπιπέμψῃ πανταχόσε. Τότε γὰρ ὥςπερ ἐν σκάφει ναυτῶν, ἐπιβατῶν, κυβερνητῶν, κατά τινα φρενοβλάβειαν ἐπ' ἀπωλείᾳ τούτου συμφωνησάντων, καὶ οἱ ἐπιβουλεύσαντες αὐτῇ οὐχ ἥκιστα συναπώλοντο. Βαρύτατον γὰρ κακῶν καὶ σχεδὸν ἀνίατον μόνον, ἡ πάντων τῶν ψυχῆς μερῶν πρὸς τὸ ἁμαρτάνειν συνέργεια, μηδενὸς οἷα ἐν πανδήμῳ συμφορᾷ δυνηθέντος ὑγιαίνειν, ἵνα τοὺς πάσχοντας ἰᾶται· ἀλλὰ καὶ τῶν ἰατρῶν ἅμα τοῖς ἰδιώταις καμνόντων, οὓς ἡ λοιμώδης νόσος ἐφ' ὁμολογουμένῃ συμφορᾷ πιέσασα κατέχει. Τοῦ παθήματος τούτου ὁ μέγας ἀναγραφεὶς παρὰ τῷ νομοθέτῃ κατακλυσμός ἐστι. Τῶν τε

ἀπ᾽ οὐρανοῦ καταῤῥακτῶν τοὺς κακίας αὐτῆς λάβρῳ φορᾷ χειμάῤῥους ἐπομβρούντων, καὶ τῶν ἀπὸ γῆς, λέγω δὲ τοῦ σώματος, πηγῶν ἀναχεουσῶν τὰ πάθους ἑκάστου ῥεύματα, πολλὰ ὄντα καὶ μεγάλα, ἅπερ εἰς ταὐτὸν τοῖς προτέροις συνιόντα καὶ ἀναμιγνύμενα, κυκᾶταί τε καὶ τὸ δεδεγμένον ἅπαν τῆς ψυχῆς στροβεῖ χωρίον δίναις ἐπαλλήλοις. "Ἰδὼν γάρ," φησὶ, "κύριος ὁ θεὸς, ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, καὶ πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ ἐπιμελῶς τὰ πονηρὰ πάσας τὰς ἡμέρας, ἔγνω τὸν ἄνθρωπον," λέγω δὲ τὸν νοῦν μετὰ τῶν περὶ αὐτὸν ἑρπετῶν τε καὶ πτηνῶν καὶ τῆς
ἄλλης ἀλόγου τῶν ἀτιθάσσων θηρίων πληθύος, 324
ἐφ᾽ οἷς ἀνίατα ἠδικήκει, "τίσασθαι" *). Ἡ δὲ τι- P.
μωρία, κατακλυσμός. Ἦν γὰρ ἔφεσις ἁμαρτημάτων, καὶ πολλὴ τοῦ ἀδικεῖν, μηδενὸς κωλύοντος, φορὰ, ἀλλὰ προσαναῤῥηγνυμένων ἀδεῶς ἁπάντων εἰς χορηγίας ἀφθόνους τοῖς πρὸς τὰς ἀπολαύσεις ἑτοιμοτάτοις. Καὶ μήποτ᾽ εἰκότως. Οὐ γὰρ ἕν τι μέρος διέφθαρτο τῆς ψυχῆς, ἵνα τοῖς ἄλλοις ὑγιαίνουσι σώζεσθαι δύναιτο, ἀλλ᾽ οὐδὲν ἄνοσον οὐδὲ
409 ἀδιάφθαρτον αὐτῆς κατελείπετο. Ἰδὼν γὰρ ὅτι
M. πᾶς τις, φησὶ, διανοεῖται λογισμὸς, οὐχὶ μόνος εἷς, τὴν ἁρμόττουσαν ὁ ἀδέκαστος δικαστὴς ἐπήγαγε τιμωρίαν.

§. 8. Οὗτοί εἰσιν οἱ ἐπὶ τῆς "ἁλμυρᾶς φάραγγος ὁμαιχμίαν πρὸς ἀλλήλους θέμενοι." Κοῖλον γὰρ καὶ τραχὺ καὶ φαραγγῶδες τὸ κακιῶν παθῶν χωρίον, ἁλμυρὸν τῷ ὄντι καὶ πικρὰς φέρον ὠδῖνας, ὧν ὁ σοφὸς Ἀβραὰμ τὸ ἐνώμοτον καὶ ἔνσπονδον, οὔθ᾽ ὅρκων οὔτε σπονδῶν ἐπάξιον εἰδὼς, καθαιρεῖ. Λέγεται γὰρ ὅτι "Πάντες οὗτοι συνεφώνησαν ἐπὶ τὴν φάραγγα τὴν ἁλυκήν· αὕτη ἡ θάλασσα τῶν ἁλῶν" **). Ἦ οὐχ ὁρᾷς τοὺς ἐστει-

*) Gen. 6, 5. **) Gen. 14, 3.

ρωμένους σοφίαν καὶ τυφλοὺς διάνοιαν, ἣν ὀξυδερκεῖν εἰκὸς ἦν, Σοδομίτας κατὰ γλῶτταν, "ἀπὸ νεανίσκου ἕως πρεσβυτέρου, πάνθ᾽ ὁμοῦ τὸν λεὼν ἐν κύκλῳ τὴν οἰκίαν," τῆς ψυχῆς, "περιθέοντας," ἵνα τοὺς ξενωθέντας ἱεροὺς καὶ ὁσίους λόγους, αὐτῆς φρουροὺς καὶ φύλακας ὄντας, αἰσχύνωσι καὶ διαφθείρωσι, μηδενὸς τὸ παράπαν, μήτε τοῖς ἀδικοῦσιν ἐναντιοῦσθαι, μήτε τοῦ τι ποιεῖν ἄδικον ἀποδιδράσκειν ἐγνωκότος;" Οὐ γὰρ οἱ μὲν, οἱ δὲ οὔ, "πᾶς δὲ," ὥς φησιν, "ὁ λαὸς περιεκύκλωσαν ἅμα τὴν οἰκίαν, νέοι τε καὶ πρεσβῦται" *), κατὰ τῶν θείων ἔργων καὶ λόγων συνομοσάμενοι, οὓς καλεῖν ἔθος ἀγγέλους.

§. 9. Ἀλλ᾽ ὅ γε θεοπρόπος Μωϋσῆς θράσει πολλῷ ῥέοντας αὐτοὺς ὑπαντιάσας ἐφέξει, καὶ ἂν τὸν θρασύτατον καὶ δεινότατον εἰπεῖν ἐν ἑαυτοῖς βασιλέα λόγον προστησάμενοι, μιᾷ ῥύμῃ κατατρέχωσι, συναύξοντες τὰ οἰκεῖα, καὶ ποταμοῦ τρόπον πλημμύροντες. "Ἰδοὺ γὰρ," φησὶν, "ὁ τῆς Αἰγύπτου βασιλεὺς ἐπὶ τὸ ὕδωρ ἀφικνεῖται. Σὺ δὲ στήσῃ συναντῶν αὐτῷ ἐπὶ τὸ χεῖλος τοῦ ποταμοῦ" **). Οὐκοῦν ὁ μὲν φαῦλος ἔξεισιν ἐπὶ τὴν τῶν ἀδικημάτων καὶ παθῶν καὶ ἀθρόων φορὰν, ἅπερ ὕδατι ἀπεικάζεται· ὁ δὲ σοφὸς πρῶτον μὲν κτᾶται γέρας παρὰ τοῦ ἑστῶτος ἀεὶ θεοῦ συγγενὲς αὐτοῦ τῇ ἀκλινεῖ καὶ ἀῤῥεπεῖ πρὸς πάντα δυνάμει λαβών. Εἴρηται γὰρ, "Σὺ δὲ αὐτοῦ στῆθι μετ᾽ ἐμοῦ ***), ἵνα ἐνδοιασμὸν καὶ ἐπαμφοτερισμὸν, ἀβεβαίου ψυχῆς διαθέσεις, ἀποδυσάμενος, τὴν ὀχυρωτάτην καὶ βεβαιοτάτην διάθεσιν, πίστιν, ἐνδύσηται. Ἔπειτα δὲ ἑστὼς, τὸ παραδοξότατον, ὑπαντᾷ. Στήσῃ γὰρ
ὑπαντιάζων· καὶ τὸ μὲν ὑπαντᾶν ἐν κινήσει, κατὰ 325
δὲ ἠρεμίαν τὸ ἵστασθαι θεωρεῖται. Λέγει δὲ οὐ τὰ P.
μαχόμενα, τὰ δὲ τῇ φύσει μάλιστα ἀκολουθοῦντα·

*) Gen. 19, 4. **) Exod. 7, 15. ***) Deut. 5, 31.

ὅτῳ γὰρ ἠρεμεῖν πέφυκεν ἡ γνώμη καὶ ἀῤῥεπῶς ἱδρύσθαι, συμβαίνει πᾶσιν ἀνθίστασθαι τοῖς σάλῳ καὶ κλύδωνι χαίρουσι, καὶ τὸν γαληνιάσαι δυνάμενον χειροποιήτῳ χειμῶνι κυμαίνουσιν.

410 §. 10. Εὖ μέντοι γε ἔχει παρὰ "τὸ χεῖλος τοῦ
M. ποταμοῦ" τὴν ἐναντίωσιν συνίστασθαι· χείλη δὲ στόματος μέν ἐστι πέρατα, φραγμὸς δέ τις γλώττης, δι' ὧν φέρεται τὸ τοῦ λόγου ῥεῦμα, ὅταν ἄρξηται κατέρχεσθαι. Λόγῳ δὲ καὶ οἱ μισάρετοι καὶ φιλομαθεῖς συμμάχῳ χρῶνται πρὸς τὴν τῶν ἀδοκίμων δογμάτων εἰςήγησιν· καὶ πάλιν οἱ σπουδαῖοι πρός τε τὴν τούτων ἀναίρεσιν, καὶ πρὸς τὸ τῶν ἀμεινόνων καὶ ἀψευδῶν ἀγαθῶν κράτος ἀνανταγώνιστον. Ὅταν μέντοι πάντα κάλων ἀνασείσαντες ἐριστικῶν δογμάτων, ὑπ' ἐναντίας ῥύμης λόγων ἀνατραπέντες ἀπόλωνται, τὸ ἐπινίκιον δικαίως καὶ προςηκόντως ὁ σοφὸς ᾆσμα, χορὸν ἱερώτατον στησάμενος, εὐμελῶς ᾄσεται. "Εἶδε γάρ," φησίν, "Ἰσραὴλ τοὺς Αἰγυπτίους," οὐχ ἑτέρωθι τεθνεῶτας, ἀλλὰ παρὰ "τὸ χεῖλος τοῦ ποταμοῦ" *), θάνατον λέγων οὐ τὴν ἀπὸ σώματος ψυχῆς διάκρισιν, ἀλλὰ τὴν ἀνοσίων δογμάτων καὶ λόγων φοράν, οἷς ἐχρῶντο διὰ στόματος καὶ γλώττης, καὶ τῶν ἄλλων φωνητηρίων ὀργάνων. Λόγου δὲ θάνατός ἐστιν ἡσυχία, οὐχ ἣν οἱ ἐπιεικέστεροι, ποιούμενοι σύμβολον αἰδοῦς μετέρχονται· δύναμις γὰρ καὶ ἥδε ἐστὶν ἀδελφὴ τῆς ἐν τῷ λέγειν, ταμιευομένη μέχρι καιροῦ τὰ λεκτέα· ἀλλ' ἣν οἱ ἐξησθενηκότες καὶ ἀπειρηκότες διὰ τὴν τῶν ἐναντίων ἰσχὺν ὑπομένουσιν ἄκοντες, λαβὴν οὐδεμίαν ἔθ' εὑρίσκοντες. Ὧν τε γὰρ ἂν ἐφάψωνται, διαῤῥεῖ, καὶ οἷς ἂν ἐπιβῶσιν, οὐχ ὑπομένει, ὡς πρὶν ἢ στῆναι πίπτειν ἀναγκάζεσθαι, ὥςπερ ἡ ἕλιξ τὸ ὑδρηλὸν ὄργανον ἔχει. Κατὰ γὰρ μέσον αὐτῆς γεγόνασι βαθμοί τινες, ὧν ὁ γεωπόνος, ὅταν ἐθελήσῃ ποτί-

*) Exod. 14, 30.

σαι τὰς ἀρούρας, ἐπιβαίνει μὲν, περιολισθαίνει δὲ
ἀναγκαίως· ὑπὲρ δὲ τοῦ μὴ πίπτειν, συνεχῶς πλη-
σίον ἐχυροῦ τινος ταῖς χερσὶ περιδράττεται, οὗ ἐνει-
λημμένος τὸ ὅλον σῶμα ἀπῃώρηκεν αὐτοῦ. Ἀντὶ
μὲν γὰρ ποδῶν χερσὶν, ἀντὶ δὲ χειρῶν ποσὶ χρῆται.
Ἵσταται μὲν γὰρ ἐπὶ χειρῶν, δι' ὧν εἰσιν αἱ πρά-
ξεις· πράττει δὲ ἐν ποσὶν, ἐφ' ὧν εἰκὸς ἵστασθαι.

§. 11. Πολλοὶ δὲ οὐ δυνάμενοι τὰς πιθανὰς
τῶν σοφιστῶν εὑρέσεις ἀνὰ κράτος ἑλεῖν, τῷ μὴ
σφόδρα περὶ λόγους διὰ τὴν ἐν τοῖς ἔργοις συνεχῆ
μελέτην γεγυμνάσθαι, κατέφυγον ἐπὶ τὴν τοῦ μόνου
σοφοῦ συμμαχίαν, καὶ βοηθὸν αὐτὸν ἱκέτευσαν γε- 326
νέσθαι. Καθὰ καὶ τῶν Μωϋσέως γνωρίμων τις ἐν P.
ὕμνοις εὐχόμενος εἶπεν, "Ἄλαλα γενέσθω τὰ χείλη
τὰ δόλια" *). Πῶς δὲ ἂν ἡσυχάσαι, εἰ μὴ πρὸς
μόνου τοῦ καὶ τὸν λόγον αὐτὸν ἔχοντος ὑπήκοον,
ἐπιστομισθείη; Τὰς μὲν οὖν εἰς τὸ ἁμαρτάνειν
συνόδους ἀμεταστρεπτὶ φευκτέον· τὸ δὲ ἔνσπονδον
411 πρὸς τοὺς φρονήσεως καὶ ἐπιστήμης ἑταίρους, βε-
M. βαιωτέον. Παρ' ὃ καὶ τοὺς λέγοντας "Πάντες ἐσμὲν
υἱοὶ ἑνὸς ἀνθρώπου, εἰρηνικοί ἐσμεν" **) τεθαύ-
μακα τῆς εὐαρμόστου συμφωνίας. Ἐπεὶ καὶ πῶς
οὐκ ἐμέλλετε, φήσαιμ' ἂν, ὦ γενναῖοι, πολέμῳ μὲν
δυσχεραίνειν, εἰρήνην δὲ ἀγαπᾶν, ἕνα καὶ τὸν αὐτὸν
ἐπιγεγραμμένοι πατέρα, οὐ θνητὸν ἀλλ' ἀθάνατον,
ἄνθρωπον θεοῦ, ὃς τοῦ ἀϊδίου λόγος ὢν, ἐξ ἀνάγ-
κης καὶ αὐτός ἐστιν ἄφθαρτος; Οἱ μὲν γὰρ πολ-
λὰς ἀρχὰς τοῦ κατὰ ψυχὴν γένους συνιστάμενοι, τῷ
πολυθέῳ λεγομένῳ κακῷ προσνείμαντες ἑαυτοὺς, ἄλ-
λοι πρὸς ἄλλων τιμὰς τραπόμενοι, ταραχὰς καὶ στά-
σεις ἐμφυλίους τε καὶ ξενικὰς ἐδημιουργήσαντο, ἀπ'
ἀρχῆς γενέσεως ἄχρι τελευτῆς, βίον πολέμων ἀκη-
ρύκτων καταπλήσαντες. Οἱ δὲ ἑνὶ γένει χαίροντες,
καὶ ἕνα πατέρα τὸν ὀρθὸν τιμῶντες λόγον, τὴν

*) Psalm. 30 (31), 19. **) Gen. 42, 11.

εὐάρμοστον καὶ πάμμουσον συμφωνίαν ἀρετῶν τεθαυμακότες, εὔδιον καὶ γαληνὸν βίον ζῶσιν· οὐ μὴν ἀργὸν καὶ ἀγεννῆ τινα, ὡς ἔνιοι νομίζουσιν, ἀλλὰ σφόδρα ἀνδρεῖον, καὶ λίαν ἠκονημένον κατὰ τῶν σπονδὰς λύειν ἐπιχειρούντων, καὶ σύγχυσιν ὁρκίων ἀεὶ μελετώντων. Τοὺς γὰρ εἰρηναίους φύσει πολεμικοὺς εἶναι συμβέβηκεν, ἀντικαθημένους καὶ ἀνθεστῶτας τοῖς τὸ εὐσταθὲς τῆς ψυχῆς ἀνατρέπουσι.

§. 12. Μαρτυρεῖ δέ μου τῷ λόγῳ πρῶτον μὲν ἡ ἑκάστου τῶν φιλαρέτων διάνοια διακειμένη τὸν τρόπον τοῦτον, ἔπειτα δὲ καὶ τοῦ προφητικοῦ θιασώτης χοροῦ ὃς καταπνευσθεὶς ἐνθουσιῶν ἀνεφθέγξατο, „Ὦ μῆτερ, ἡλίκον με ἔτεκες ἄνθρωπον μάχης, καὶ ἄνθρωπον ἀηδίας πάσης τῆς γῆς; Οὐκ ὠφέλησα, οὐδὲ ὠφέλησάν με· οὐδὲ ἡ ἰσχύς μου ἐξέλιπεν ἀπὸ καταρῶν αὐτῶν" *). Ἀλλ' οὐ πᾶς σοφὸς πᾶσι φαύλοις ἐχθρός ἐστιν ἄσπονδος, οὐ τριηρῶν ἢ μηχανημάτων ἢ ὅπλων ἢ στρατιωτῶν παρασκευῇ πρὸς ἄμυναν χρώμενος, ἀλλὰ λογισμοῖς; Ὅταν γὰρ τὸν ἐν τῇ ἀπολέμῳ εἰρήνῃ συνεχῆ καὶ ἐπάλληλον ἀνθρώπων ἁπάντων ἴδιον καὶ κοινὸν, μὴ κατὰ ἔθνη καὶ χώρας ἢ πόλεις καὶ κώμας αὐτὸ μόνον, ἀλλὰ καὶ κατ' οἰκίαν καὶ ἕνα ἕκαστον τῶν ἐν μέρει, συγκροτούμενον πόλεμον θεάσηται, τίς ἐστιν ὅ γε μὴ παροῦσι κακίζων, νουθετῶν, σωφρονίζων, οὐ μεθ' ἡμέραν μόνον, ἀλλὰ καὶ νύκτωρ, τῆς ψυχῆς αὐτῷ ἠρεμεῖν μὴ δυναμένης διὰ τὸ μισοπόνηρον φύσει;
Πάντα γὰρ, ὅσα ἐν πολέμῳ, δρᾶται κατ' εἰρήνην· 327
συλῶσιν, ἁρπάζουσιν, ἀνδραποδίζονται, λεηλα- P.
412 τοῦσι, πορθοῦσιν, ὑβρίζουσιν, αἰκίζονται, φθεί-
M. ρουσιν, αἰσχύνουσι, δολοφονοῦσιν, ἄντικρυς, ἢν ὦσι
δυνατώτεροι, κτείνουσι. Πλοῦτον γὰρ ἢ δόξαν ἕκαστος αὐτῶν σκοπὸν προτιθειμένος, ἐπὶ τοῦτον ὥσπερ βέλη τὰς τοῦ βίου πράξεις ἁπάσας ἀφιεὶς, ἰσότητος

*) Jer. 15, 10.

ἀλογεῖ, τὸ ἄνισον διώκει, κοινωνίαν ἀποστρέφεται, μόνος ἔχειν τὰ πάντων ἀθρόα ἐσπούδακε, μισάνθρωπος καὶ μισάλληλός ἐστιν, ὑποκρινόμενος εὔνοιαν, κολακείας νόθης ἑταῖρος ὤν, φιλίας γνησίου πολέμιος, ἀληθείας ἐχθρὸς, ὑπέρμαχος ψεύδους, βραδὺς ὠφελῆσαι, ταχὺς βλάψαι, διαβαλεῖν προχειρότατος, ὑπερασπίσαι μελλητὴς, δεινὸς φενακίσαι, ψευδορκότατος, ἀπιστότατος, δοῦλος ὀργῆς, εἴκων ἡδονῇ, φύλαξ κακῶν, φθορεὺς ἀγαθῶν.

§. 13. Ταῦτα καὶ τὰ τοιαῦτα τῆς ᾀδομένης καὶ θαυμαζομένης εἰρήνης περιμάχητα κειμήλια, ἅπερ ἡ ἑκάστου τῶν ἀφρόνων ἀγαλματοφοροῦσα διάνοια τέθηπε καὶ προςκυνεῖ. Ἐφ' οἷς εἰκότως καὶ πᾶς σοφὸς ἄχθεται, καὶ πρός γε τὴν μητέρα καὶ τιθήνην ἑαυτοῦ, σοφίαν εἴωθε λέγειν, "ὦ μῆτερ, ἡλίκον με ἔτεκες"! οὐ δυνάμει σώματος, ἀλλὰ τῇ πρὸς μισοπόνηρον ἀλκῇ, ἄνθρωπον ἀηδίας καὶ μάχης, φύσει μὲν εἰρηνικὸν, διὰ δὲ τοῦτο καὶ πολεμικὸν κατὰ τῶν αἰσχυνόντων τὸ περιμάχητον κάλλος εἰρήνης. "Οὐκ ὠφέλησα, οὐδὲ ὠφέλησάν με;" οὔτε αὐτοὶ τοῖς ἐμοῖς ἀγαθοῖς ποτε ἐχρήσαντο, οὔτε ἐγὼ τοῖς ἐκείνων κακοῖς· ἀλλὰ κατὰ τὸ Μωϋσέως γράμμα, "Ἐπιθύμημα οὐδενὸς αὐτῶν ἔλαβον" *), σύμπαν τὸ τῆς ἐπιθυμίας αὐτῶν γένος θησαυρισαμένων παρ' ἑαυτοῖς ὡς μέγιστον ὄφελος ὑπερβάλλον βλάβος. "Οὐδὲ ἡ ἰσχύς μου ἐξέλιπεν ἀπὸ τῶν ἀρῶν ἃς ἐτίθεντό μοι" **), δυνάμει δὲ κραταιοτάτῃ τῶν θείων ἐνειλημμένος δογμάτων, οὔτε ἐκκακούμενος ἐκνάμφθην, ἀλλὰ ἐῤῥωμένως ὠνείδισα τοῖς ἐξ αὐτῶν μοι καταρωμένοις. "Ἔθετο γὰρ ἡμᾶς ὁ θεὸς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν," ὡς καὶ ἐν ὕμνοις που λέλεκται, πάντας τοὺς ὀρθῆς γνώμης ἐφιεμένους. Ἀλλ' οὐκ ἀντιλογικοὶ φύσει γεγόνασιν, ὅσοι τὸν ἐπιστήμης καὶ ἀρετῆς ζῆλον ἔσχον, ἀεὶ τοῖς γείτοσι ψυχῆς ἀντι-

*) Num. 16, 15. **) Psalm. 79, 7.

φιλονεικοῦντες, ἐλέγχοντες μὲν τὰς συνοίκους ἡδονὰς,
ἐλέγχοντες δὲ τὰς ὁμοδιαίτους ἐπιθυμίας, δειλίας τε
καὶ φόβους, τὸ παθῶν καὶ κακιῶν στῖφος, δυςω-
ποῦντες. Ἐλέγχοντες μέντοι καὶ πᾶσαν αἴσθησιν,
περὶ μὲν ὧν εἶδον, ὀφθαλμοὺς, περὶ ὧν δὲ ἤκου-
σαν, ἀκοὰς, ὀσμάς τε περὶ ἀτμῶν, καὶ γεύσεις περὶ
χυμῶν, ἔτι δὲ ἁφὰς περὶ τῶν κατὰ τὰς προςπιπτού-
σας τῶν ἐν τοῖς σώμασι δυνάμεων ἰδιότητας· καὶ 328
413 μὲν δὴ τὸν προφορικὸν λόγον, περὶ ὧν διεξελθεῖν P.
M. ἔδοξε. Τίνα γὰρ; ἢ πῶς; ἢ διὰ τί ἡ αἴσθησις
ᾔσθετο, ἢ ὁ λόγος διηρμήνευσεν, ἢ τὸ πάθος διέ-
θηκεν, ἄξιον ἐρευνᾶν μὴ παρέργως, καὶ τῶν σφαλ-
μάτων διελέγχειν ἕκαστον. Ὁ δὲ μηδενὶ τούτων ἀν-
τιλέγων, ἅπασι δὲ ἑξῆς συνεπινεύων, ἑαυτὸν λέλη-
θεν ἀπατῶν, καὶ ἐπιτειχίζων ψυχῇ βαρεῖς γείτονας,
οἷς ἄμεινον ὑπηκόοις ἢ ἄρχουσι χρῆσθαι. Ἡγεμο-
νεύοντες γὰρ πολλὰ πημανοῦσι καὶ μεγάλα, βασι-
λευούσης παρ᾽ αὐτοῖς ἀνοίας· ὑπακούοντες δὲ
τὰ δέονθ᾽ ὑπηρετοῦσι πειθηνίως, οὐκέθ᾽ ὁμοίως
ἀπαυχενίζοντες. Οὕτω μέντοι τῶν μὲν ὑπακούειν
μαθόντων, τῶν δ᾽ οὐκ ἐπιστήμῃ μόνον ἀλλὰ καὶ
δυνάμει τὴν ἀρχὴν λαβόντων, πάντες οἱ δορυφόροι
καὶ ὑπέρμαχοι ψυχῆς συμφρονήσουσι λογισμοί· καὶ
τῷ πρεσβυτάτῳ τῶν ἐν αὐτοῖς προςελθόντες, ἐροῦ-
σιν, "Οἱ παῖδές σου εἰλήφασι τὸ κεφάλαιον τῶν ἀν-
δρῶν τῶν πολεμιστῶν τῶν μεθ᾽ ὑμῶν, οὐ διαπε-
φώνηκεν αὐτῶν οὐδὲ εἷς" *). Ἀλλ᾽ ὥςπερ τὰ μου-
σικῆς ὄργανα ἄκρως ἡρμοσμένα πᾶσι τοῖς φθόγγοις,
οὕτως ἡμεῖς πάσαις ταῖς ὑφηγήσεσι συνηχήσαμεν,
ἐκμελὲς ἢ ἀπῳδὸν οὐδὲ ῥῆμα εἰπόντες, οὐδ᾽ ἔργον
διαπραξάμενοι, ὡς τὸν ἕτερον τῶν ἀμούσων χορὸν
πάντη ἄφωνον καὶ νεκρὸν ἀποδεῖξαι, γελασθέντα,
τὴν τῶν σωματικῶν τροφὴν Μαδιὰμ, καὶ τὸν ἔγγο-
νον αὐτῆς "δερμάτινον ὄγκον" Βεελφαγὼρ ὄνομα,

*) Num. 31, 49.

ὑπνοῦντα. "Γένος γάρ ἐσμεν τῶν ἐπιλέκτων τοῦ τὸν
θεὸν ὁρῶντος Ἰσραὴλ, ὧν διεφώνησεν οὐδὲ εἷς" *),
ἵνα τὸ τοῦ παντὸς ὄργανον, ὁ κόσμος πᾶς, ταῖς
ἁρμονίαις μουσικῶς μελῳδῆται. Διὰ τοῦτο καὶ
Μωϋσῆς τῷ πολεμικωτάτῳ λόγῳ, ὃς καλεῖται Φι-
νεὲς, "γέρας εἰρήνης" φησὶ **) διδόσθαι· ὅτι ζῆλον
τὸν ἀρετῆς λαβὼν, καὶ πόλεμον πρὸς κακίαν ἀρά-
μενος, ὅλην ἀνέτεμε γένεσιν· ἑξῆς τοῖς βουλομένοις,
διακύψασι καὶ διερευνησαμένοις ἀκριβῶς, ὄψει πρὸ
ἀκοῆς σαφεστέρῳ χρησαμένοις μάρτυρι, πιστεῦσαι,
ὅτι γέμει τὸ θνητὸν ἀπιστίας, ἐκ μόνου τοῦ δοκεῖν
ἠρτημένον. Θαυμάσιος μὲν οὖν ἡ λεχθεῖσα συμφω-
νία, θαυμασιωτάτη δὲ καὶ πάσας τὰς ἁρμονίας
ὑπερβάλλουσα ἡ κοινὴ πάντων, καθ' ἣν ὁ λαὸς ἅπας
ὁμοθυμαδὸν εἰσάγεται λέγων, "Πάντα ὅσα εἶπεν ὁ
θεὸς, ποιήσομεν καὶ ἀκουσόμεθα" ***). Οὗτοι γὰρ
οὐκέτι ἐξάρχοντι πείθονται λόγῳ, ἀλλὰ τῷ τοῦ παν-
τὸς ἡγεμόνι θεῷ, δι' ὧν πρὸς τὰ ἔργα φθάνουσι
14 μᾶλλον ἢ τοὺς λόγους ἀπαντῶντες. Τῶν γὰρ ἄλ-
I. λων ἐπειδὰν ἀκούσωσι πραττόντων, οὗτοι, τὸ παρα-
δοξότατον, ὑπὸ κατακωχῆς ἐκ θέου πράξειν φασὶ
πρότερον, εἶτα ἀκούσεσθαι· ἵνα μὴ διδασκαλίᾳ καὶ
ὑφηγήσει δοκῶσιν, ἀλλὰ ἐθελουργῷ καὶ αὐτοκελεύ- 329
στῳ διανοίᾳ πρὸς τὰ καλὰ τῶν ἔργων ὑπαντᾶν. P.
Ἐργασάμενοι δὲ ἀκούσεσθαί φασιν, ὅπως ἐπικρίνωσι
τὰ πραχθέντα, εἰ λόγοις θείοις καὶ ἱεραῖς παραινέ-
σεσι συνᾴδει.

§. 14. Τοὺς δὲ συνομοσαμένους ἐπ' ἀδικήμασιν
"ἀπὸ ἀνατολῶν φησὶ κινήσαντας εὑρεῖν πεδίον ἐν
τῇ γῇ Σεναὰρ, καὶ ἐκεῖ κατοικῆσαι" †)· φυσικώτατα.
Διττὸν γὰρ εἶδος τῆς κατὰ τὴν ψυχὴν ἀνατολῆς, τὸ
μὲν ἄμεινον, τὸ δὲ χεῖρον· ἄμεινον μὲν, ὅταν ἡλια-
κῶν ἀκτίνων τρόπον ἀνάσχῃ τὸ ἀρετῶν φέγγος, χεῖ-

*) Exod. 24, 11. **) Num. 25, 12. ***) Deut. 5, 27.
†) Gen. 11, 2.

ρον δὲ, ὅταν αἱ μὲν ἐπισκιασθῶσι, κακίαι δὲ ἀνάσχῶσι. Παράδειγμα τοῦ μὲν προτέρου τόδε, "Καὶ ἐφύτευσεν ὁ θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολὰς" *), οὐ χερσαίων φυτῶν, ἀλλ' οὐρανίων ἀρετῶν, ἃς ἐξ ἀσωμάτου τοῦ παρ' ἑαυτῷ φωτὸς, ἀσβέστους εἰςαεὶ γενησομένας ὁ φυτουργὸς ἀνέτειλεν. Ἤκουσα μέντοι καὶ τῶν Μωϋσέως ἑταίρων τινὸς ἀποφθεγξαμένου τοιόνδε λόγον, "Ἰδοὺ ἄνθρωπος ᾧ ὄνομα ἀνατολή" **). Καινοτάτη γε πρόςρησις, ἐὰν μέν γε τὸν ἐκ σώματος καὶ ψυχῆς συνεστῶτα λέγεσθαι νομίσῃς· ἐὰν δὲ τὸν ἀσώματον ἐκεῖνον, θείας ἀδιαφοροῦντα εἰκόνος, ὁμολογήσεις ὅτι εὐθυβολώτατον ὄνομα ἐπεφημίσθη τὸ ἀνατολῆς αὐτῷ. Τοῦτον μὲν γὰρ πρεσβύτατον υἱὸν ὁ τῶν ὄντων ἀνέτειλε πατὴρ, ὃν ἑτέρωθι πρωτόγονον ὠνόμασε, καὶ ὁ γεννηθεὶς μέντοι μιμούμενος τὰς τοῦ πατρὸς ὁδοὺς, πρὸς παραδείγματα ἀρχέτυπα ἐκείνου βλέπων, ἐμόρφου εἴδη.

§. 15. Τοῦ δὲ χείρονος ἀνατολῆς εἴδους ὑπό-
δειγμα, τὸ λεχθὲν ὑπὸ τοῦ βουλομένου "ἐπαινούμε-
νον ὑπὸ τοῦ θεοῦ καταράσασθαι" ***)· πρὸς γὰρ
ἀνατολαῖς εἰςάγεται καὶ ἐκεῖνος οἰκῶν. Αἵτινες ὁμω-
νυμοῦσαι ταῖς προτέραις, ἐναντιότητα καὶ μάχην
πρὸς αὐτὰς ἔχουσιν: "Ἐκ Μεσοποταμίας γὰρ,"
φησὶ, "μετεπέμψατό με Βαλὰκ, ἐξ ὀρέων ἀπὸ ἀνα-
τολῶν, λέγων· δεῦρο ἄρασαί μοι ὃν μὴ ἀρᾶται ὁ
θεός." Ἑρμηνεύεται δὲ Βαλὰκ ἄνους· εὐθυβολώ-
415 τατα. Πῶς γὰρ οὐ δεινὸν ἦν τὸ ὂν ἐλπίσαι ἀπα-
M. τᾶσθαι, καὶ γνώμην αὐτοῦ τὴν βεβαιοτάτην ἀνθρώ-
πων σοφίσμασι παρατρέπεσθαι; Διὰ τοῦτο καὶ Με-
σοποταμίαν οἰκεῖ· καταποντωμένης ὥςπερ ἐν με-
σαιτάτῳ ποταμοῦ βυθῷ τῆς διανοίας αὐτοῦ, καὶ μὴ
δυναμένης ἀνανήξασθαι καὶ ἀνακῦψαι. Τοῦτο δὲ τὸ
πάθος ἀνατολὴ μὲν ἀφροσύνης, κατάδυσις δὲ εὐλο-

*) Gen. 2, 8. **) Zach. 6, 12. ***) Num. 23, 7.

νιστίας ἐστίν. Οἱ τὴν ἀσύμφωνον οὖν ἁρμοζόμενοι
συμφωνίαν, ἀπὸ ἀνατολῶν κινεῖσθαι λέγονται. Πό-
τερον ἄρα γε τῶν κατὰ κακίαν; Ἀλλ' ἡ μὲν τῶν κατ'
ἀρετὴν παντελὴς ὑπογράφεται διάζευξις, ἡ δὲ τῶν
κατὰ κακίαν ἡνωμένη τις κίνησις· καθάπερ ἐπὶ χει-
ρῶν ἔχει, οὐκ ἰδίᾳ κατὰ ἀπάρτησιν, ἀλλ' ἐν ἁρ- 330
μονίᾳ τινὶ τῷ ὅλῳ σώματι συγκινουμένων. Ἀρχὴ P.
γὰρ ἡ ἀφροσύνη φαύλῳ πρὸς τὰς παρὰ φύσιν ἐνερ-
γείας, τὸ κακίας χωρίον· ὅσοι δὲ μετανάσται μὲν
ἀρετῆς ἐγένοντο, ταῖς δ' ἀφροσύνης ἐχρήσαντο ἀφορ-
μαῖς, οἰκειότατον εὑρόντες οἰκοῦσι τόπον, ὃς Ἑβραίων
μὲν γλώττῃ Σενναὰρ, Ἑλλήνων δὲ ἐκτιναγμὸς κα-
λεῖται. Σπαράττεται γὰρ καὶ κλονεῖται καὶ τινάττε-
ται πᾶς ὁ τῶν φαύλων βίος, κυκώμενος ἀεὶ καὶ τα-
ραττόμενος, καὶ μηδὲν ἴχνος ἀγαθοῦ γνησίου θη-
σαυριζόμενος ἐν ἑαυτῷ. Καθάπερ γὰρ ἐκ τῶν ἀπο-
τιναττομένων, ὅσα μὴ ἑνώσει διακρατεῖται, πάντα
ἐκπίπτει, τοῦτόν μοι δοκεῖ καὶ ἡ τοῦ συμπεπνευκό-
τος ἐπὶ τῷ ἀδικεῖν ἐκτετινάχθαι τὸν τρόπον ψυχή.
Πᾶσαν γὰρ ἰδέαν ἀρετῆς ἀποῤῥίπτει, ὡς μήτε σκιὰν,
μήτε εἴδωλον αὐτῇ ἐμφαίνεσθαι τὸ παράπαν.

§. 16. Τὸ γοῦν φιλοσώματον γένος τῶν Αἰγυπτίων οὐκ ἀπὸ τοῦ ὕδατος, ἀλλ' "ὑπὸ τὸ ὕδωρ" φεῦγον, τουτέστιν ὑπὸ τὴν τῶν παθῶν φορὰν εἰσάγεται· καὶ ἐπειδὰν ὑποδράμῃ τὰ πάθη, τινάττεται καὶ κυκᾶται, τὸ μὲν εὐσταθὲς καὶ εἰρηναῖον ἀποβάλλον ἀρετῆς, τὸ δὲ ταραχῶδες ἐπαναιρούμενον κακίας. Λέγεται γὰρ ὅτι "Ἐξετίναξε τοὺς Αἰγυπτίους κατὰ μέσον τῆς θαλάσσης φεύγοντας ὑπὸ τὸ ὕδωρ" *). Οὗτοί εἰσιν οἱ "μηδὲ τὸν Ἰωσὴφ εἰδότες," τὸν ποικίλον τοῦ βίου τῦφον, ἀλλ' ἀποκεκαλυμμένοις χρώμενοι τοῖς ἁμαρτήμασιν, οὐδὲ ἴχνος ἢ σκιὰν καὶ εἴδωλον καλοκαγαθίας ταμιευσάμενοι. "Ἀνέστη γὰρ," φησὶ, "βασιλεὺς ἕτερος ἐπ' Αἴγυπτον," ὃς οὐδὲ τὸ

*) Exod. 14, 27.

πανύστατον καὶ νεώτατον αἰσθητὸν ἀγαθὸν "ἤδει τὸν Ἰωσήφ," ὅστις οὐ μόνον τελειότητας, ἀλλὰ καὶ προκοπάς, οὐδὲ ἐνέργειαν τὴν οἵαν δι' ὁράσεως, ἀλλὰ καὶ διδασκαλίαν τὴν δι' ἀκοῆς ἐγγινομένην ἀνῄρει λέγων, "Δεῦρο ἄρασαί μοι τὸν Ἰακώβ, καὶ δεῦρο ἐπικατάρασαί μοι τὸν Ἰσραήλ" *), ἴσον τῷ, ἐλθέ, ἀμφότερα κατάλυσον, ὅρασίν τε καὶ ἀκοὴν ψυχῆς, ἵνα μηδὲν ἀληθὲς καὶ γνήσιον καλὸν μήτε ἴδῃ μήτε ἀκούσῃ. Ὁράσεως μὲν γὰρ Ἰσραήλ, Ἰακὼβ δὲ ἀκοῆς σύμβολον. Ὁ μὲν δὴ τῶν τοιούτων νοῦς ἀποῤῥίπτει
416 πᾶσαν τὴν ἀγαθοῦ φύσιν, τρόπον τινὰ τιναττό-
M. μενος· ἔμπαλιν δὲ ὁ τῶν ἀστείων, ἀμιγοῦς καὶ ἀκράτου μεταποιούμενος τῆς τῶν ἀγαθῶν ἰδέας, ἀποτινάττει καὶ ἀποβάλλει τὰ φύλλα. Θέασαι οὖν τὸν ἀσκητὴν οἷά φησιν, "Ἄρατε τοὺς θεοὺς τοὺς ἀλλοτρίους τοὺς μεθ' ὑμῶν ἐκ μέσου ὑμῶν, καὶ καθαρίσασθε καὶ ἀλλάξατε τὰς στολὰς ὑμῶν, καὶ ἀναστάντες ἀναβῶμεν εἰς Βαιθήλ" **), ἵνα καὶ ἂν Λάβαν ἐρευνᾶν αἰτῆται, ἐν ὅλῳ τῷ οἴκῳ μὴ εὑρεθῇ τὰ εἴδωλα, πράγματα ὑφεστηκότα καὶ ὄντως ὑπαρκτά, ἐστηλιτευμένα ἐν τῇ τοῦ σοφοῦ διανοίᾳ, ὧν 331
καὶ τὸ αὐτομαθὲς γένος Ἰσαὰκ κληρονομεῖ. Τὰ P.
γὰρ "ὑπαρκτὰ μόνος οὗτος παρὰ τοῦ πατρὸς λαμβάνει" ***).

§. 17. Παρατήρει δέ, ὅτι οὐ φησιν ἐλθεῖν αὐτοὺς εἰς τὸ πεδίον ἐν ᾧ κατέμειναν, ἀλλὰ "εὑρεῖν" ἀναζητήσαντας πάντως καὶ σκεψαμένους τὸ ἐπιτηδειότατον ἀφροσύνης χωρίον. Τῷ γὰρ ὄντι πᾶς ἄφρων οὐ παρ' ἑτέρου λαμβάνει ἑαυτῷ, τὰ δὲ κακὰ ζητῶν ἀνευρίσκει, μὴ μόνον ἀρκούμενος τούτοις ἐφ' ἅπερ ἡ μοχθηρὰ φύσις δι' ἑαυτῆς βαδίζει, ἀλλὰ καὶ προστιθεὶς τὰ ἐκ τοῦ κακοτεχνεῖν τέλεια γυμνάσματα. Καὶ εἴθε μέντοι πρὸς ὀλίγον ἐνδιατρίψας αὐτοῖς χρόνον μετανίστατο, νυνὶ δὲ καὶ καταμένειν ἀξιοῖ·

---

*) Num. 22, 6. **) Gen. 35, 2 sq. ***) Gen. 25, 5.

λέγεται γὰρ ὅτι "εὑρόντες τὸ πεδίον κατῴκησαν" *) ὡς ἐν πατρίδι, οὐχ ὡς ἐπὶ ξένης παρῴκησαν. Ἧττον γὰρ ἦν δεινὸν συντυχόντας ἁμαρτήμασιν ὀθνεῖα αὐτὰ καὶ ὥςπερ ἀλλοδαπὰ νομίσαι, ἀλλὰ μὴ οἰκεῖα καὶ συγγενῆ ὑπολαβεῖν εἶναι. Παρεπιδημήσαντες γὰρ καὶ ἂν ἀπέστησαν αὖθις, κατοικήσαντες δὲ βεβαίως καταμένειν εἰςάπαν ἔμελλον. Διὰ τοῦτο οἱ κατὰ Μωϋσῆν σοφοὶ πάντες εἰςάγονται παροικοῦντες· αἱ γὰρ τούτων ψυχαὶ στέλλονται μὲν ἀποικίαν δή ποτε τὴν ἐξ οὐρανοῦ. Εἰώθασι δὲ ἕνεκα τοῦ φιλοθεάμονος καὶ φιλομαθοῦς εἰς τὴν περίγειον φύσιν ἀποδημεῖν. Ἐπειδὰν οὖν ἐνδιατρίψασαι σώμασι τὰ αἰσθητὰ καὶ θνητὰ δι᾽ αὐτῶν πάντα κατίδωσιν, ἐπανέρχονται ἐκεῖσε πάλιν, ὅθεν ὡρμήθησαν τὸ πρῶτον, πατρίδα μὲν τὸν οὐράνιον χῶρον ἐν ᾧ πολιτεύονται, ξένον δὲ τὸν περίγειον ἐν ᾧ παρῴκησαν νομίζουσαι. Τοῖς μὲν γὰρ ἀποικίαν στειλαμένοις ἀντὶ τῆς μητροπόλεως ἡ ὑποδεξαμένη δή που πατρίς, ἡ δ᾽ ἐκπέμψασα μένει τοῖς ἀποδεδημηκόσιν, εἰς ἣν καὶ πο-
117 θοῦσιν ἐπανέρχεσθαι. Τοιγαροῦν εἰκότως Ἀβραὰμ
M. ἐρεῖ τοῖς νεκροφύλαξι καὶ ταμίαις τῶν θνητῶν, ἀναστὰς ἀπὸ τοῦ νεκροῦ βίου καὶ τάφου, "Πάροικος καὶ παρεπίδημός εἰμι ἐγὼ μεθ᾽ ὑμῶν" **), αὐτόχθονες δὲ ὑμεῖς, κόνιν καὶ χοῦν ψυχῆς προτιμήσαντες, προεδρίας ἀξιώσαντες ὄνομα Ἐφρὼν, ὃς ἑρμηνεύεται χοῦς. Εἰκότως δὲ καὶ ὁ ἀσκητὴς Ἰακὼβ τὴν ἐν σώματι παροικίαν ὀλοφύρεται λέγων, "Αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου ἃς παροικῶ, μικραὶ καὶ πονηραὶ γεγόνασιν· οὐκ ἐξίκοντο εἰς ἡμέρας τῶν πατέρων μου ἃς παρῴκησαν" ***). Τῷ δὲ αὐτοδιδάκτῳ καὶ λόγιον ἐχρήσθη τοιόνδε, "Μὴ καταβῇς εἰς" τὸ πάθος "Αἴγυπτον, κατοίκησον δὲ ἐν τῇ γῇ ἣν ἄν σοι εἴπω" †), τῇ ἀδείκτῳ καὶ ἀσωμάτῳ

*) Gen. 11, 2. **) Gen. 23, 4. ***) Gen. 47, 9.
†) Gen. 26, 9.

φρονήσει, καὶ παροικεῖ ἐν τῇ γῇ ταύτῃ, τῇ δεικνυμένῃ καὶ αἰσθητῇ οὐσίᾳ· πρὸς τὸ δεῖξαι ὅτι παροικεῖ μὲν ὁ σοφὸς ὡς ἐν ξένῃ σώματι αἰσθητῷ, 33. κατοικεῖ δὲ ὡς ἐν πατρίδι νοηταῖς ἀρεταῖς, ἃς λαλεῖ P. ὁ θεὸς ἀδιαφορούσας λόγων θείων. Μωϋσῆς δὲ "Γειώρας," φησὶν, "εἰμὶ ἐν γῇ ἀλλοτρίᾳ" *), διαφερόντως, οὐ μόνον ξένην τὴν ἐν σώματι μονὴν, ὡς οἱ μέτοικοι, νομίζων, ἀλλὰ καὶ ἀλλοτριώσεως ἀξίαν οὐκ ἔμπαλιν οἰκειώσεως ὑπολαμβάνων.

§. 18. Τὸ δὲ ὁμόφωνον καὶ ὁμόγλωττον οὐκ ἐν τοῖς ὀνόμασι καὶ ῥήμασι μᾶλλον, ἢ ἐν τῇ τῶν ἀδίκων πράξεων κοινωνίᾳ βουλόμενος ὁ φαῦλος ἐπιδείξασθαι, πόλιν ἄρχεται καὶ πύργον ὡς ἀκρόπολιν τυράννῳ κακίᾳ κατασκευάζειν, καὶ τοὺς θιασώτας πάντας παρακαλεῖ τοῦ ἔργου μετασχεῖν, τὴν ἁρμόττουσαν προευτρεπισαμένους ὕλην· "Ἴτε γὰρ," φησὶ, "πλινθεύσωμεν πλίνθους, καὶ ὀπτήσωμεν αὐτὰς πυρί". ἴσον τῷ, νῦν ἐστιν ἡμῖν συμπεφορημένα καὶ συγκεχυμένα τὰ πάντα τῆς ψυχῆς, ὡς ἐναργῆ τύπον μηδένα μηδενὸς εἴδους προφαίνεσθαι. Ἁρμόττει δὲ ὥςπερ ἀνείδεόν τινα καὶ ἄποιον οὐσίαν, τό τε πάθος καὶ τὴν κακίαν παραλαβόντας, εἰς τὰς ἁρμοττούσας ποιότητας καὶ τὰ προςεχέστατα μέχρι τῶν ἐσχάτων ἀεὶ τεμεῖν εἴδη, πρός τε ἐναργεστέραν κατάληψιν αὐτῶν, καὶ τὴν σὺν ἐμπειρίᾳ χρῆσίν τε καὶ ἀπόλαυσιν, ἣ πλείους ἡδονὰς καὶ τέρψεις ἔοικεν ἐντίκτειν. Πάριτε οὖν οἱ λογισμοὶ πάντες βουλευτῶν τινα τρόπον εἰς τὸ ψυχῆς συνέδριον, ὅσοι τὸν δικαιοσύνης καὶ πάσης ἀρετῆς συγκατατάττεσθε ὄλεθρον, καὶ πεφροντισμένως διασκεψώμεθα, ὡς ἐπιθέμενοι κατορθώσομεν. Τῆς μέντοι κατορθώσεως ἔσονται μὲν θεμέλιοι κραταιότατοι οἵδε, ἄμορφα μορφῶσαι τύποις καὶ σχήμασι, καὶ περιγραφαῖς ἕκαστον ἰδίᾳ διακρῖναι, μὴ κραδαίνοντα καὶ χωλαί-

---

*) Exod. 2, 22. **) Gen. 11, 3.

418 νοντα, ἀλλὰ πεπηγότα βεβαίως, τῇ τοῦ τετρα-
M. γώνου σχήματος οἰκειούμενα φύσει, — ἀκράδαντον γὰρ τοῦτό γε, — ἵνα πλίνθου τινὰ τρόπον ἀκλινῶς ἐρηρεισμένα βεβαίως καὶ τὰ ἐποικοδομούμενα δέχηται.

§. 19. Τούτων πᾶς ὁ ἀντίθεος νοῦς, ὅν φαμεν Αἰγύπτου — τοῦ σώματος — εἶναι βασιλέα, δημιουργὸς ἀνευρίσκεται. Καὶ γὰρ τοῦτον εἰςάγει Μωϋσῆς τοῖς ἐκ πλίνθου κατεσκευασμένοις χαίροντα οἰκοδομήμασιν. Ἐπειδὰν γάρ τις τὴν ὕδατος καὶ γῆς, τὴν μὲν ὑγρὰν, τὴν δὲ αὖ στερεὰν οὐσίαν, διαλυομένας καὶ φθειρομένας, ἀνακερασάμενος τρίτον μεθόριον ἀμφοῖν ἀπεργάσηται, ὃ καλεῖται πηλὸς, τέμνων κατὰ μοίρας τοῦτον οὐ παύεται, σχήματα περιτιθεὶς ἑκάστῳ τῶν τμημάτων τὰ οἰκεῖα, ὅπως εὐπαγέστατά τε καὶ εὐφορώτατα γένηται· ῥᾳδίως γὰρ οὕτως ἔμελλε τὰ κατασκευαζόμενα τελειοῦσθαι. Τοῦτ᾽ ἀπομιμούμενοι τὸ ἔργον οἱ μοχθηροὶ τὰς φύσεις, ὅταν τὰς ἀλόγους καὶ πλεοναζούσας τῶν 333
παθῶν ὁρμὰς ταῖς ἀργαλεωτάταις κακίαις ἀνακεράσωνται, τέμνουσι τὸ κραθὲν εἰς εἴδη, καὶ διαπλάττουσι καὶ σχηματίζουσιν οἱ βαρυδαίμονες, δι᾽ ὧν ὁ τῆς ψυχῆς ἐπιτειχισμὸς μετέωρος ἀρθήσεται, τὴν αἴσθησιν εἰς ὅρασιν καὶ ἀκοὴν, ἔτι δὲ γεῦσιν, ὄσφρησίν τε καὶ ἁφήν· τὸ δὲ πάθος εἰς ἡδονὴν καὶ ἐπιθυμίαν, φόβον τε καὶ λύπην· τό τε κακιῶν γένος εἰς ἀφροσύνην, ἀκολασίαν, δειλίαν, ἀδικίαν, καὶ ὅσα ἄλλα ἀδελφὰ, καὶ συγγενῆ τούτοις.

§. 20. Ἤδη δὲ καὶ προςυπερβάλλοντές τινες οὐ μόνον τὰς αὐτῶν ψυχὰς ἐπὶ ταῦτα ἤλειψαν, ἀλλὰ καὶ τοὺς ἀμείνους καὶ γένους ὄντας ὁρατικοῦ βιασάμενοι "κατηνάγκασαν πλινθουργεῖν, καὶ πόλεις οἰκοδομεῖν ὀχυρὰς" *), τῷ βασιλεύειν δοκοῦντι νῷ· βουλόμενοι τοῦτο ἐνδείξασθαι, ὅτι δοῦλον μὲν τὸ

*) Exod. 1, 11.

ἀγαθὸν κακοῦ, πάθος τε εὐπαθείας δυνατώτερον,
φρόνησις δὲ καὶ πᾶσα ἀρετὴ ἀφροσύνης καὶ κακίας
ἁπάσης ὑπήκοον, ὡς ὑπηρετεῖν ἐξ ἀνάγκης ἅττ' ἂν
προςτάττῃ τὸ δεσπόζον. „Ἰδοὺ“ γὰρ, φησὶ, καὶ ὁ
ψυχῆς ὀφθαλμὸς ὁ διαυγέστατος καὶ καθαρώτατος
καὶ πάντων ὀξυωπέστατος, ᾧ μόνῳ τὸν θεὸν ἔξεστι
καθορᾶν, ὄνομα „Ἰσραὴλ,“ ἐνδεθεὶς ποτε τοῖς σω-
ματικοῖς Αἰγύπτου δικτύοις, ἐπιταγμάτων βαρυτά-
των ἀνέχεται, ὡς πλίνθον καὶ πᾶν τὸ γεῶδες ἐργά-
ζεσθαι μετὰ ἀργαλεωτάτων καὶ ἀτρυτωτάτων πόνων·
ἐφ' οἷς εἰκότως ὀδυνᾶται καὶ στένει, τοῦτο μόνον
ὡς ἐν κακοῖς τεθησαυρισμένος κειμήλιον, ἐκδακρῦσαι
τὰ παρόντα. Λέγεται γὰρ ὑγιῶς ὅτι „Κατεστέναξαν
οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν ἔργων“ *). Τίς δ' οὐκ
ἂν τῶν εὖ φρονούντων τὰ τῶν πολλῶν ἀνθρώπων
ἰδὼν ἔργα καὶ τὰς ὑπερβαλλούσας σπουδὰς, αἷς ἢ
πρὸς ἀργυρισμὸν, ἢ δόξαν, ἢ τὴν ἐν ἡδοναῖς ἀπό-
λαυσιν εἰώθασι χρῆσθαι, μὴ σφόδρα καταφήσῃ, καὶ
πρὸς τὸν μόνον σωτῆρα θεὸν ἐκβοήσῃ, ἵνα τὰ
419 μὲν ἐπικουφίσῃ, λύτρα δὲ καὶ σῶστρα καταθεὶς
M. τῆς ψυχῆς εἰς ἐλευθερίαν αὐτὴν ἐξέληται; Τίς οὖν
ἐλευθερία βεβαιοτάτη; Ἡ τοῦ μόνου θεραπεία σο-
φοῦ, καθάπερ μαρτυροῦσιν οἱ χρησμοὶ, ἐν οἷς εἴ-
ρηται, „Ἐξαπόστειλον τὸν λαὸν, ἵνα με θερα-
πεύῃ“ **). Ἴδιον δὲ τῶν τὸ ὂν θεραπευόντων, οἰ-
νοχόων μὲν ἢ σιτοποιῶν ἢ μαγείρων ἔργα, ἢ ὅσα
ἄλλα γεώδη, μήτε διαπλάττειν μήτε συντιθέναι σώ-
ματα πλίνθου τρόπον· ἀναβαίνειν δὲ τοῖς λογισμοῖς
πρὸς αἰθέριον ὕψος, Μωϋσῆν, τὸ θεοφιλὲς γένος,
προστησαμένους ἡγεμόνα τῆς ὁδοῦ. Τότε γὰρ „τὸν
μὲν τόπον ὃς δῆλός ἐστι“ ***) θεάσονται, ᾧ ὁ
ἀκλινὴς καὶ ἄτρεπτος θεὸς ἐφέστηκε· τὰ δὲ ὑπὸ τοὺς
πόδας αὐτοῦ τὸ ὡσεὶ ἔργον λίθου σαπφείρου καὶ ὡς
ἂν εἶδος στερεώματος τοῦ οὐρανοῦ, τὸν αἰσθητὸν 331
P.

*) Exod. 2, 23. **) Exod. 8, 1. ***) Exod. 24, 10.

κόσμον, ὃν αἰνίττεται διὰ τούτων. Ἐμπρεπὲς γὰρ τοῖς ἑταιρίαν πρὸς ἐπιστήμην θεμένοις, ἐφίεσθαι μὲν τοῦτον ἰδεῖν· εἰ δὲ μὴ δύναιντο, τὴν γοῦν εἰκόνα αὐτοῦ, τὸν ἱερώτατον λόγον, μεθ' ὃν καὶ τὸ ἐν αἰσθητοῖς τελειότατον ἔργον, τόνδε τὸν κόσμον. Τὸ γὰρ φιλοσοφεῖν οὐδὲν ἦν ἄλλο, ἢ ταῦτα σπουδάζειν ἀκριβῶς ἰδεῖν.

§. 21. Τὸν δὲ αἰσθητὸν κόσμον ὡς ἂν ὑποπόδιον θεοῦ φησιν εἶναι διὰ τάδε· πρῶτον μὲν, ἵν' ἐπιδείξῃ, ὅτι οὐκ ἐν τῷ γεγονότι τὸ πεποιηκὸς αἴτιον· ἔπειτα δὲ, ὑπὲρ τοῦ παραστῆσαι, ὅτι οὐδ' ὁ κόσμος ἅπας ἀφέτῳ καὶ ἀπελευθεριαζούσῃ κινήσει κέχρηται, ἀλλ' ἐπιβέβηκεν ὁ κυβερνήτης θεὸς τῶν ὅλων οἰκονομῶν, καὶ πηδαλιουχῶν σωτηρίως τὰ σύμπαντα, οὔτε ποσὶν, οὔτε χερσὶν, οὔτε ἄλλῳ τῶν ἐν γενέσει κεχρημένος μέρει τὸ παράπαν οὐδενὶ κατὰ τὸν ἀληθῆ λόγον. Οὐ γὰρ ὡς ἄνθρωπος ὁ θεὸς, ἀλλὰ τῶν ἕνεκα αὐτὸ μόνον διδασκαλίας εἰςαγομένων ἡμῶν, τῶν ἑαυτοὺς ἐκβῆναι μὴ δυναμένων, ἀλλ' ἀπὸ τῶν ἡμῖν αὐτοῖς συμβεβηκότων, τὰς περὶ τοῦ ἀγεννήτου καταλήψεις λαμβανόντων. Παγκάλως δὲ ἔχει τὸ ἐν παραβολῆς εἴδει φάναι τὸν κόσμον ὡς εἶδος πλίνθου. Δοκεῖ μὲν γὰρ ἑστάναι καὶ βεβηκέναι ὡς ἐκείνη, κατὰ τὰς αἰσθητῆς ὄψεως προςβολὰς,
420 κέχρηται δὲ ὠκυτάτῃ κινήσει, καὶ τὰς ἐν μέρει
I. πάσας παρευδιεούσῃ. Καὶ γὰρ μεθ' ἡμέραν ἡλίου καὶ νύκτωρ σελήνης φαντασίαν ὡς ἑστώτων οἱ σώματος ὀφθαλμοὶ λαμβάνουσι· καίτοι τις οὐκ οἶδεν, ὅτι τῆς περὶ αὐτοὺς φορᾶς τάχος ἀνανταγώνιστόν ἐστιν, εἴ γε τὸν σύμπαντα οὐρανὸν μιᾷ περιπολοῦσιν ἡμέρᾳ; Οὕτω μέντοι καὶ αὐτὸς ὁ σύμπας οὐρανὸς ἑστάναι δοκῶν περιδινεῖται κύκλῳ, τῆς κινήσεως τῷ ἀειδεῖ καὶ θειοτέρῳ καταλαμβανομένης τῷ κατὰ διάνοιαν ὀφθαλμῷ.

§. 22. Πυροῦντες δὲ τὰς πλίνθους εἰςάγονται, συμβολικῶς τὰ πάθη καὶ τὰς κακίας θερμῷ καὶ κι-

νητικωτάτῳ λόγῳ κραταιούμενοι, ὡς μὴ πρὸς τῶν σοφίας δορυφόρων ποτὲ καθαιρεθεῖεν, οἷς τὰ πρὸς ἀνατροπὴν αὐτῶν αἰεὶ μηχανήματα σύγκροτεῖται. Διὸ καὶ ἐπιλέγεται, „Ἐγένετο αὐτοῖς ἡ πλίνθος εἰς λίθον" *). Τὸ γὰρ μανὸν καὶ κεχυμένον τῆς μὴ σὺν λόγῳ φορᾶς, εἰς ἀντιτύπου καὶ στερεᾶς φύσιν πιληθὲν καὶ πυκνωθὲν, λόγοις δυνατοῖς καὶ ἀποδείξεσιν ἐχυρωτάταις μετέβαλεν· ἀνδρωθείσης τρόπον τινὰ τῆς τῶν θεωρημάτων καταλήψεως, ἥτις ἐν ἡλικίᾳ διαῤῥεῖ παιδικῇ, διὰ τὴν τῆς ψυχῆς ὑγρότητα μήπω δυναμένης τοὺς ἐνσφραγιζομένους πήττειν καὶ διαφυλάττειν χαρακτῆρας. „Καὶ ἡ ἄσφαλτος ἦν αὐτοῖς πηλὸς," οὐκ ἔμπαλιν, ὁ πηλὸς ἄσφαλτος. Δοκοῦσι μὲν γὰρ οἱ φαῦλοι τὰ ἀσθενῆ κραταιοῦσθαι 335
κατὰ τῶν ἀμεινόνων, καὶ τὰ διαλυόμενα καὶ ῥέοντα P.
ἐξ αὐτῶν πήττειν, ἵν' ἐπ' ἐχυροῦ βάλωσι καὶ τοξεύσωσιν ἀρετήν. Ὁ δὲ ἵλεως καὶ πατὴρ τῶν καλῶν οὐκ ἐφήσει τὸ δεδεμένον ἐκείνων εἰς ἀδιάλυτον ἀσφάλειαν, ῥεούσης σπουδῆς μὴ ὑφεστὼς ἔργον, ὡς πλαδῶντα πηλὸν, ἀναδεῖξαι. Εἰ μὲν γὰρ ὁ πηλὸς ἐγένετο ἄσφαλτος, μέχρι παντὸς ἂν ἴσως τὰ ἐν συνεχεῖ ῥύσει γεῶδες αἰσθητὸν εἰς ἀσφαλῆ καὶ ἀμετάβλητον δύναμιν ἐξενίκησεν· ἐπεὶ δὲ τὸ ἐναντίον ἡ ἄσφαλτος εἰς πηλὸν μετέβαλεν, οὐκ ἀθυμητέον· ἐλπὶς γὰρ ἐλπὶς τὰ βέβαια τῆς κακίας ἐρείσματα κράτει θεοῦ διακοπῆναι. Τοιγαροῦν ὁ δίκαιος καὶ ἐν τῷ μεγάλῳ καὶ ἐπαλλήλῳ τοῦ βίου κατακλυσμῷ, μήπω δυνάμενος δίχα αἰσθήσεως ψυχῇ μόνῃ τὰ ὄντα ὄντως ὁρᾷν, „τὴν κιβωτὸν," λέγω δὲ τὸ σῶμα, „ἔνδοθέν τε καὶ ἔξωθεν ἀσφάλτῳ" **) καταχρίσει, βεβαιούμενος τὰς δι' αὐτοῦ φαντασίας καὶ ἐνεργείας· λωφήσαντος δὲ τοῦ κακοῦ, καὶ τῆς φορᾶς ἐπισχούσης, ἐξελεύσεται χρησάμενος ἀσωμάτῳ διανοίᾳ πρὸς τὴν ἀληθείας ἀντίληψιν. Ὁ μὲν γὰρ ἀστεῖος ἀπὸ γενέσεως ἀρχῆς

*) Gen. 11, 3. **) Ibid. 6, 14.

φυτευθεὶς καὶ προςαγορευθεὶς τρόπος, ὄνομα Μωϋ-
σῆς, ὁ τὸν κόσμον ὡς ἄστυ καὶ πατρίδα οἰκήσας, ἅτε
κοσμοπολίτης γενόμενος, ἐνδεθείς ποτε τῷ ἐπαληλιμ-
μένῳ ὡς ἐν "ἀσφάλτῳ πίσσῃ" *) σώματι, καὶ δο-
421 κοῦντι τὰς πάντων ὑποκειμένων ἐν αἰσθήσει φαν-
M. τασίας ἀσφαλῶς ἐνδέχεσθαί τε καὶ κεχωρηκέναι,
"κατακλαίει" **) μὲν τὴν ἔνδεσιν ἀσωμάτου φύσεως
πιεσθεὶς ἔρωτι· "κατακλαίει" δὲ καὶ τὸν πλάνητα καὶ
τετυφωμένον τῶν πολλῶν ἄθλιον νοῦν, ὃς ψευδοῦς
δόξης ἐκκρεμασθεὶς ᾠήθη τι παρ' ἑαυτῷ βέβαιον
καὶ ἀσφαλὲς, ἢ συνόλως παρά τινι τῶν γενομέ-
νων ἄτρεπτον ἱδρύσθαι, τοῦ παγίως καὶ κατὰ τὰ
αὐτὰ ὡσαύτως ἔχοντος ἐστηλιτευμένου παρὰ μόνῳ
τῷ θεῷ.

§. 23. Τὸ δὲ "Δεῦτε καὶ οἰκοδομήσωμεν ἑαυτοῖς
πόλιν καὶ πύργον, οὗ ἡ κεφαλὴ ἔσται ἕως τοῦ οὐ-
ρανοῦ" ***), τοιοῦτον ὑποβάλλει νοῦν. Πόλεις ὁ
νομοθέτης οὐχὶ ταύτας μόνον οἴεται εἶναι, τὰς ἐπὶ
γῆς δημιουργηθείσας, ὧν εἰσιν ὗλαι ξύλα καὶ λίθοι,
ἀλλὰ καὶ ἃς ἄνθρωποι περιφέρουσι ταῖς ψυχαῖς ἑαυ-
τῶν ἐνιδρυμένας. Εἰσὶ δ' αὗται μὲν, ὡς εἰκὸς, ἀρ-
χέτυποι, ἅτε θειοτέρας κατασκευῆς λαχοῦσαι, ἐκεῖναι
δὲ μιμήματα, ὡς ἂν ἐκ φθαρτῆς οὐσίας συνεστῶ-
σαι. Διττὸν δὲ πόλεως εἶδος, τὸ μὲν ἄμεινον, τὸ
δὲ χεῖρον. Ἄμεινον μὲν τὸ δημοκρατίᾳ χρώμενον,
ἰσότητα τιμώσῃ πολιτείᾳ, ἧς ἄρχοντές εἰσι νόμος
καὶ δίκη· θεοῦ δὲ ὕμνος ἡ τοιάδε. Χεῖρον δὲ τὸ
κιβδηλεῦον αὐτὴν, ὡς τὸ παράσημον καὶ παρακε-
κομμένον ἐν νομίσμασιν, ὀχλοκρατία, ᾗ θαυμάζει τὸ
ἄνισον, ἐν ᾗ ἀδικία καὶ ἀνομία καταδυναστεύουσιν.
Ἐγγράφονται δὲ οἱ μὲν ἀστεῖοι τῷ τῆς προτέρας 336
πολιτεύματι, τῶν δὲ φαύλων ἡ πληθὺς τὴν ἑτέραν P.
καὶ χείρω διέζωσται, πρὸ εὐκοσμίας ἀκοσμίαν, καὶ
σύγχυσιν πρὸ εὐσταθοῦς καταστάσεως ἀγαπῶσα.

*) Exod. 2, 3. **) Exod. 2, 6. ***) Gen. 11, 4.

Συνεργοῖς δὲ ὁ ἄφρων ἀξιοῖ πρὸς τὸ ἁμαρτάνειν οὐκ ἀρκούμενος αὐτῷ μόνῳ χρῆσθαι· καὶ προτρέπει μὲν ὅρασιν, προτρέπει δὲ ἀκοὴν, παρακαλεῖ δὲ πᾶσαν αἴσθησιν ἀνυπερθέτως αὐτῷ συντετάχθαι, φερούσης ἑκάστης τὰ πρὸς ὑπηρεσίαν ἐπιτήδεια πάντα. Ἐπαίρει μέντοι καὶ παραθήγει καὶ τὸ ἄλλο ἀτίθασσον ἐκ φύσεως τῶν παθῶν στῖφος, ἵνα ἄσκησιν καὶ μελέτην προςλαβὼν, ἀνύποιστον γένηται. Τούτους οὖν καλέσας τοὺς συμμάχους ὁ νοῦς, φησὶν, "Οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν," ἴσον τῷ, ὀχυρωσώμεθα τὰ οἰκεῖα· καταφραξώμεθα δυνατῶς, ὡς μὴ πρὸς τῶν κατατρεχόντων εὐμαρῶς ἁλισκοίμεθα· διέλωμεν καὶ διανείμωμεν ὥςπερ κατὰ φυλὰς καὶ δήμους ἑκάστας τῶν ἐν ψυχῇ δυνάμεων, προςκληρώσαντες τὰς μὲν λογικῇ, τὰς δὲ ἀλόγῳ μερίδι· ἄρχοντας ἑλώμεθα τοὺς ἱκανοὺς, πλοῦτον, δόξαν, τιμὰς, ἡδονὰς, ἀφ' ὧν ἂν δύνωνται περιποιεῖν ἁπάντων· τὴν πενίας καὶ ἀδοξίας αἰτίαν δικαιοσύνην τιθεμένους ἐκποδὼν γράφωμεν νόμους, οἳ τὸ τοῦ κρείττονος συμφέρον βεβαιώσουσι τοῖς πλέον ἑτέρων ἀεὶ φέρεσθαι δυναμένοις. "Πύργος" δὲ ὡςὰν ἀκρόπολις κατεσκευάσθω,
422 τῇ τυράννῳ κακίᾳ βασίλειον ὀχυρώτατον, ἧς οἱ
M. μὲν πόδες ἐπὶ γῆς βαινέτωσαν, ἡ δὲ κεφαλὴ πρὸς οὐρανὸν φθανέτω τοσοῦτον ὑπὸ μεγαλοψυχίας ὕψος ἐπιβᾶσα. Τῷ γὰρ ὄντι οὐ μόνον ἐπὶ τῶν ἀνθρωπίνων ἀδικημάτων ἵσταται, μετατρέχει δὲ καὶ τὰ ὀλύμπια τοὺς ἀσεβείας καὶ ἀθεότητος λόγους προτείνουσα· ἐπειδὰν ἢ ὡς οὐκ ἔστι τὸ θεῖον διεξίῃ, ἢ ὡς ὂν προνοεῖ, ἢ ὡς ὁ κόσμος οὔ ποτε γενέσεως ἔλαβεν ἀρχὴν, ἢ ὡς γενόμενος ἀστάτοις αἰτίαις ὡς ἂν τύχῃ φέρηται, ποτὲ μὲν πλημμελῶς, ποτὲ δὲ οὐχ ὑπαιτίως, καθάπερ ἐπὶ πλοίων καὶ τεθρίππων εἴωθε γίνεσθαι. Φιλεῖ γὰρ ἔστιν ὅτε χωρὶς ἡνιόχων τε καὶ κυβερνητῶν ὅ τε πλοῦς καὶ ὁ δρόμος εὐθύνεσθαι· προνοίας δὲ οὐ τὸ ὀλιγάκις, ἀλλὰ τῆς μὲν ἀνθρωπίνης πολλάκις, τῆς δὲ θείας ἀδιαστάτως ἀεὶ κατορ-

θοῦν· ἐπεὶ τὸ διαμαρτάνειν ἀλλότριον ἀνωμολόγηται θείας δυνάμεως. Κατασκευάζουσι μέντοι συμβολικῶς ὡςανεὶ πύργον τὸν περὶ κακίας λόγον οἱ φρενοβλαβεῖς, τί βουλόμενοι, ἢ ὄνομα αὐτῶν ὑπολείπεσθαι τὸ δυςώνυμον;

§. 24. Λέγουσι γάρ, "Ποιήσωμεν ἑαυτῶν ὄνομα." Ὢ περιττῆς καὶ κεχυμένης ἀναισχυντίας! Τί φατε; Νυκτὶ καὶ βαθεῖ σκότῳ τὰ ἑαυτῶν ἀδικήματα συγκρύπτειν ὀφείλοντες, καὶ προκάλυμμα αὐ- 337
τῶν, εἰ καὶ μὴ τὴν ἀληθῆ, τὴν γοῦν προςποιητὸν, P.
αἰδῶ πεποιῆσθαι, ἢ χάριτος ἕνεκα τῆς πρὸς τοὺς ἐπιεικεστέρους, ἢ διαδύσεως τῶν ἐφ' ὁμολογουμένοις ἁμαρτήμασι τιμωριῶν· τοσοῦτον τῆς τόλμης ἐπιβαίνετε, ὥςτε μονονοὺ πρὸς φῶς καὶ λαμπρότατον ἥλιον ἐναυγάζεσθαι, μήτε τὰς ἀνθρώπων τῶν ἀμεινόνων ἀπειλὰς, μήτε τὰς ἀπαραιτήτους ἐκ θεοῦ δίκας, τοῖς οὕτως ἀνοσιουργοῖς ἀπαντομένας, καταδείσαντες; Ἀλλὰ καὶ πανταχόσε φήμας ἀγγέλους τῶν οἰκείων ἀδικημάτων περιπέμπειν ἀξιοῦτε, ὡς μηδεὶς ἀμύητος, μηδ' ἀνήκοος γένοιτο τῶν ὑμετέρων, ὦ σχέτλιοι καὶ παμμίαροι, τολμημάτων. Ὀνόματος οὖν ποίου γλίχεσθε; Ἢ τοῦ τοῖς πραττομένοις οἰκειοτάτου; Ἆρ' οὖν ἕν ἐστι μόνον; Γένει μὲν ἴσως ἕν, μυρία δὲ τοῖς εἴδεσιν, ἃ καὶ ἂν ἡσυχάζητε ἑτέρων λεγόντων ἀκούσεσθε. Προπέτεια τοίνυν ἐστὶ μετὰ ἀναισχυντίας, ὕβρις μετὰ βίας, βία μετὰ ἀνδροφονίας, σὺν μοιχείαις φθοραὶ, σὺν ἀμέτροις ἡδοναῖς ἀόριστος ἐπιθυμία, μετὰ θράσους ἀπόνοια, μετὰ πανουργίας ἀδικία, κλοπαὶ μετὰ ἁρπαγῆς, σὺν ψευδολογίαις ψευδορκίαι, μετὰ παρανομιῶν ἀσέβειαι. Ταῦτα καὶ τὰ παραπλήσια τῶν τοιούτων ἐστὶν ὀνόματα. Καλὸν δὲ ἐναυχῆσαι καὶ ἐπισεμνύνεσθαι, δόξαν θηρωμένους τὴν ἀπ' αὐτῶν, ἐφ' οἷς εἰκὸς ἦν ἐγκαλύπτεσθαι. Καὶ μὴν ἔνιοι μέγα φρονοῦσιν ἐπὶ τούτοις, ὡς ἅμα-
423 χόν τινα ἰσχὺν ἐκ τοῦ τοιούτου νομισθῆναι παρὰ
M. πᾶσι καρπωσαμένους, οὓς τοῦ πολλοῦ θράσους ἢ

ὀπαδὸς τοῦ θεοῦ δίκη τίσεται, καί τοι τάχα τὸν οἰκεῖον οὐ μαντευομένους μόνον, ἀλλὰ καὶ προορωμένους ὄλεθρον. Φασὶ γὰρ "πρὶν διασπαρῆναι" *) φροντίσωμεν ὀνόματός τε καὶ δόξης. Οὐκοῦν εἴποιμ' ἂν αὐτοῖς, ὅτι σκεδασθήσεσθε γινώσκετε; Τί οὖν ἁμαρτάνετε; Ἀλλὰ μήποτε τὸν τρόπον τῶν ἀφρόνων διασυνίστησιν, οἵ καί τοι μεγίστων ἐπικρεμαμένων οὐκ ἀδήλως, ἀλλ' ἐκ τοῦ φανεροῦ πολλάκις τιμωριῶν, ἀδικεῖν ὅμως οὐκ ὀκνοῦσι. Γνωριμώταται δέ εἰσιν αἱ τέχναι ἀδηλοῦσθαι νομισθεῖσαι, ἃς ἐκ θεοῦ κατασκήπτειν συμβέβηκε. Πάντες γὰρ οἱ φαυλότατοι λαμβάνουσιν ἐννοίας περὶ τοῦ μὴ λήσειν τὸ θεῖον ἀδικοῦντας, μήτε τὸ δίκην ὑφέξειν εἰςάπαν ἰσχῦσαι διακρούσασθαι. Ἐπεὶ πόθεν ἴσασιν, ὅτι σκεδασθήσονται; Καὶ μὴν λέγουσι, "πρὶν ἡμᾶς διασπαρῆναι". Ἀλλὰ τὸ συνειδὸς ἔνδοθεν ἐλέγχει, καὶ σφόδρα ἐπιτηδεύοντας ἀθεότητα κεντεῖ, ὡς ἄκοντας εἰς συναίνεσιν ἐπισπᾶσθαι, περὶ τοῦ τὰ κατὰ ἀνθρώπους πάντα πρὸς ἀμείνονος φύσεως ἐφορᾶσθαι, καὶ δίκην ἐφεστάναι τιμωρὸν ἀδέκαστον, ἀσεβῶν πράξεις ἐχθαίρουσαν ἀδίκους, καὶ λόγους τοὺς συνη- 338 P.
γόρους αὐταῖς.

§. 25. Ἀλλ' εἰσὶν ἀπόγονοι πάντες οὗτοι τῆς αἰεὶ μὲν ἀποθνησκούσης, μηδέποτε δὲ τεθνηκυίας μοχθηρίας, ἧς Κάϊν ἐστὶν ὄνομα. Ἢ οὐχὶ καὶ ὁ Κάϊν **) υἱὸν γεννήσας, ὃν Ἐνὼχ ἐκάλεσεν, ὁμώνυμον αὐτῷ, καὶ κτίζων εἰςάγεται πόλιν, καὶ τρόπον τινὰ τὰ γεννητὰ καὶ θνητὰ οἰκοδομῶν ἐπὶ τῇ τῶν θειοτέρας κατασκευῆς λαχόντων ἀνατροπῇ; Ὁ γὰρ Ἐνὼχ ἑρμηνεύεται χάρις σου· τῶν δ' ἀνοσίων ἕκαστος διάνοιαν μὲν ἡγεῖται χαρίζεσθαι ἑαυτῷ τάς τε καταλήψεις καὶ διανοήσεις· ὀφθαλμοὺς δὲ τὸ βλέπειν, καὶ ἀκούειν ὦτα, καὶ μυκτῆρας ὀσφραίνεσθαι, καὶ τὰς ἄλλας αἰσθήσεις τὰ οἰκεῖα ἑαυταῖς· ἔτι μὲν

*) Gen. 11, 4. **) Ibid. 4, 17.

τοι καὶ τὰ φωνῆς ὄργανα τὸ λέγειν· θεὸν δὲ ἢ μὴ συνόλως, ἢ μὴ ὡς πρῶτον αἴτιον ὄν. Διὰ τοῦτο καὶ ὧν ἐγεωπόνησε τὰς ἀρχὰς ἑαυτῷ ταμιεύεται· καρποὺς δὲ αὐτῷ μόνον αὖθις προςενεγκεῖν θεῷ λέγεται, καί τοι παραδείγματος ὑγιοῦς ἐγγὺς ἑστῶτος. Ὁ γὰρ ἀδελφὸς αὐτοῦ τὰ πρωτότοκα οὐ τὰ δεύτερα τῆς ποίμνης ἔκγονα ἱερουργεῖ, τὰς τῶν γενομένων πρεσβυτέρας αἰτίας κατὰ τὸ πρεσβύτατον τῶν αἰτίων ὁμολογῶν συνίστασθαι. Τῷ δ' ἀσεβεῖ τὸ ἐναντίον δοκεῖ, αὐτοκράτορα μὲν εἶναι τὸν νοῦν ὧν βούλεται, αὐτοκράτορα δὲ καὶ τὴν αἴσθησιν ὧν αἰσθάνεται· δικάζειν γὰρ ἀνυπαιτίως καὶ ἀψευδῶς, τὴν μὲν τὰ σώματα, τὸν δὲ πάντα. Τούτων δὲ τί
424 ἂν γένοιτο ἐπιληπτότερον, ἢ μᾶλλον ὑπὸ τῆς ἀλη-
M. θείας ἐλεγχόμενον; Ἢ οὐχὶ καὶ ὁ νοῦς πολλάκις ἐπὶ μυρίων ὅσων ἠλέγχθη παρανοιῶν; Καὶ αἱ αἰσθήσεις ἅπασαι ψευδομαρτυριῶν ἑάλωσαν, οὐ παρ' ἀλόγοις δικασταῖς, οὓς εἰκὸς ἀπατᾶσθαι, ἀλλ' ἐν τῷ τῆς φύσεως αὐτῆς δικαστηρίῳ, ἣν οὐ θέμις δεκάσασθαι. Καὶ μὴν σφαλλομένων γε τῶν καθ' ἡμᾶς αὐτοὺς, περί τε νοῦν καὶ αἴσθησιν κριτηρίων, ἀνάγκη τὸ ἀκόλουθον ὁμολογεῖν, ὅτι ὁ θεὸς τῷ μὲν τὰς ἐννοίας, τῇ δὲ τὰς ἀντιλήψεις ἐπομβρεῖ· καί ἐστιν οὐ τῶν καθ' ἡμᾶς μερῶν χάρις τὰ γινόμενα, ἀλλὰ τοῦ δι' ὃν καὶ ἡμεῖς γεγόναμεν, δωρεαὶ πᾶσαι.

§. 26. Τὸν φιλαυτίας κλῆρον παραλαβόντες παῖδες παρὰ πατρὸς συναυξῆσαι γλίχονται μέχρις οὐρανοῦ, ἕως ἂν ἡ φιλάρετός τε καὶ μισοπόνηρος δίκη παρελθοῦσα καθέλῃ τὰς πόλεις ἃς ἐπετείχισαν ψυχῇ τῇ ταλαίνῃ, καὶ τὸν πύργον, οὗ τὸ ὄνομα ἐν τῇ τῶν χριμάτων ἀναγραφομένῃ βίβλῳ δεδήλωται. Ἔστι δὲ ὡς μὲν Ἑβραῖοι λέγουσι „Φανουὴλ," ὡς δὲ ἡμεῖς, ἀποστροφὴ θεοῦ. Τὸ γὰρ κατεσκευασμένον ὀχύρωμα διὰ τῆς τῶν λόγων πιθανότητος οὐδενὸς ἕνεκα ἑτέρου κατεσκευάζετο, ἢ τοῦ μετατραπῆναι καὶ μετακλιθῆναι διάνοιαν ἀπὸ τῆς τοῦ θεοῦ τιμῆς· οὗ τί

ἂν γένοιτο ἀδικώτερον; Ἀλλὰ πρός γε τὴν τοῦ 339
ὀχυρώματος τούτου καθαίρεσιν ὁ πειρατὴς τῆς ἀδι- P.
κίας καὶ φρονῶν αἰεὶ κατ' αὐτῆς εὐτρέπισται, ὃν
Ἑβραῖοι καλοῦσι „Γεδεὼν," ὃς ἑρμηνεύεται πειρατή-
ριον. „Ὤμοσε γάρ," φησὶ, „Γεδεὼν τοῖς ἀνδράσι
Φανουὴλ, λέγων, ἐν τῷ με ἐπιστρέφειν μετ' εἰρήνης
τὸν πύργον τοῦτον κατασκάψω." *) Πάγκαλον καὶ
πρεπωδέστατον αὔχημα μισοπονήρῳ ψυχῇ κατὰ ἀσε-
βῶν ἠκονημένῃ, τὸ βεβαιοῦσθαι καθαιρήσειν πάντα
λόγον ἀποστρέφειν διάνοιαν ὁσιότητος ἀναπείθοντα·
καὶ πέφυκεν οὕτως ἔχειν. Ὅταν γὰρ ὁ νοῦς ἐπι-
στρέψῃ, τὸ ἀποκλῖνον καὶ ἀποστρεφόμενον αὐτοῦ
πάλιν λύεται· τούτου δὲ καιρός ἐστι τῆς καθαιρέ-
σεως, τὸ παραδοξότατον, ἡ φησιν, οὐ πόλεμος, ἀλλ'
εἰρήνη. Διανοίας γὰρ εὐσταθείᾳ καὶ ἠρεμίᾳ, ἣν εὐ-
σέβεια γεννᾶν πέφυκεν ἀνατρέπεται πᾶς λόγος ὃν
ἐδημιούργησεν ἀσέβεια. Πολλοὶ καὶ τὰς αἰσθήσεις
πύργου τινὰ τρόπον ἐπὶ τοσοῦτον ἤγειραν, ὡς ἅψα-
σθαι τῶν οὐρανοῦ περάτων. Οὐρανὸς δὲ συμβολι-
κῶς ὁ νοῦς ἡμῶν ἐστι, καθ' ὃν αἱ ἄρισται καὶ θεῖαι
φύσεις περιπολοῦσιν. Οἱ δὲ ταῦτα τολμῶντες αἴ-
σθησιν μὲν διανοίας προκρίνουσιν, ἀξιοῦσι δὲ καὶ
διὰ τῶν αἰσθητῶν τὰ νοητὰ πάντα ἑλεῖν ἀνὰ κρά-
τος, εἰς μὲν δούλων τάξιν τὰ δεσπόζοντα, εἰς δὲ
ἡγεμόνων τὰ φύσει δοῦλα μεθαρμόσασθαι βιαζόμενοι.
425 §. 27. Τὸ δὲ, „Κατέβη κύριος ἰδεῖν τὴν πόλιν
M. καὶ τὸν πύργον" **) τροπικώτερον πάντως ἀκου-
στέον. Προςεῖναι γὰρ, ἢ ἀπεῖναι, ἢ κατιέναι, ἢ τὸ
ἐναντίον ἔρχεσθαι, ἢ συνόλως τὰς αὐτὰς τοῖς κατὰ
μέρος ζώοις σχέσεις καὶ κινήσεις ἴσχεσθαι καὶ κινεῖ-
σθαι τὸ θεῖον ὑπολαμβάνειν, ὑπερωκεάνιος καὶ με-
τακόσμιος, ὡς ἔπος εἰπεῖν, ἐστὶν ἀσέβεια. Ταῦτα δὲ
ἀνθρωπολογεῖται παρὰ τῷ νομοθέτῃ περὶ τοῦ μὴ
ἀνθρωπομόρφου θεοῦ διὰ τὰς τῶν παιδευομένων

---

*) Iud. 8, 9. **) Gen. 11, 5.

ἡμῶν, ὡς πολλάκις ἐν ἑτέροις εἶπον, ὠφελείας. Ἐπεὶ τίς οὐκ οἶδεν ὅτι τῷ κατιόντι, τὸν μὲν ἀπολείπειν, τὸν δὲ ἐπιλαμβάνειν τόπον ἀναγκαῖον; Ὑπὸ δὲ τοῦ θεοῦ πεπλήρωται τὰ πάντα, περιέχοντος, οὐ περιεχομένου, ᾧ πανταχοῦ τε καὶ οὐδαμοῦ συμβέβηκεν εἶναι μόνῳ. Οὐδαμοῦ μὲν, ὅτι καὶ χώραν καὶ τόπον αὐτὸς τοῖς σώμασι συγγεγέννηκε, τὸ δὲ πεποιηκὸς ἐν οὐδενὶ τῶν γεγονότων θέμις εἰπεῖν περιέχεσθαι. Πανταχοῦ δὲ, ὅτι τὰς δυνάμεις αὐτοῦ διὰ γῆς καὶ ὕδατος ἀέρος τε καὶ οὐρανοῦ τείνας, μέρος οὐδὲν ἔρημον ἀπολέλοιπε τοῦ κόσμου, πάντα δὲ συναγαγὼν διὰ πάντων ἀοράτοις ἔσφιγξε δεσμοῖς, ἵνα μήποτε λυθείη, οὗ χάριν μελίσας ᾄσω. Τὸ μὲν γὰρ ὑπεράνω τῶν δυνάμεων ὂν, ἐπινοεῖται περιττεύειν, οὐ κατὰ τὸ εἶναι μόνον. Τούτου δύναμις δὲ, ἣ ἔθηκε καὶ διετάξατο τὰ πάντα, κέκληται μὲν ἐτύμως θεός, ἐγκεκόλπισται δὲ τὰ ὅλα, καὶ διὰ τῶν τοῦ 340
παντὸς μερῶν διελήλυθε. Τὸ δὲ θεῖον καὶ ἀόρατον M.
καὶ ἀκατάληπτον πανταχοῦ ὂν, ὁρατόν τε καὶ καταληπτὸν οὐδαμοῦ πρὸς ἀλήθειάν ἐστιν. „Ὁ δὲ στὰς ἐγὼ πρὸ τοῦ σὲ" *) δείκνυσθαι καὶ καταλαμβάνεσθαι δοκῶν, πρὸ πάσης δείξεως καὶ φαντασίας ὑπερβαλὼν τὰ γεγονότα. Τῶν οὖν μεταβατικῆς κινήσεως ὀνομάτων οὐδὲν ἐφαρμόττει τῷ κατὰ τὸ εἶναι θεῷ, τὸ ἄνω, τὸ κάτω, τὸ ἐπὶ δεξιὰ, τὸ ἐπ' εὐώνυμα τὸ πρόσω, τὸ κατόπιν· ἐν οὐδενὶ γὰρ τῶν λεχθέντων ἐπινοεῖται, ὃς οὐδ' ἂν μετατρεπόμενος ἐναλλάττοι χωρία. Λέγεται δὲ οὐδὲν ἧττον κατελθὼν ἰδεῖν, ὃ προλήψει πάντα, οὐ γενόμενα μόνον, ἀλλὰ καὶ πρὶν γενέσθαι σαφῶς κατειληφὼς, προτροπῆς ἕνεκα καὶ διδασκαλίας, ἵνα μηδεὶς ἀνθρώπων οἷς οὐ πάρεστιν, ἀβεβαίῳ χρώμενος εἰκασίᾳ, μακρὰν ἀφεστὼς προπιστεύῃ, ἀλλ' ἄχρι τῶν πραγμάτων ἐλθὼν, καὶ διακύψας εἰς ἕκαστα, καὶ ἐπιμελῶς αὐτὰ αὐγασάμε-

*) Exod. 17, 6.

νος. Ὄψιν γὰρ ἀπλανῆ πρὸ ἀκοῆς ἀπατεῶνος ἄξιον μάρτυρα τίθεσθαι. Οὗ χάριν καὶ παρὰ τοῖς ἄριστα
426 πολιτευομένοις ἀναγέγραπται νόμος, ἀκοῇ μὴ μαρ-
M. τυρεῖν, ὅτι φύσει τὸ δικαστήριον αὐτῆς πρὸς τὸ δεκάζεσθαι ταλαντεύει. Καὶ Μωϋσῆς μέντοι φησὶν ἐν τοῖς ἀπαγορευτικοῖς, „Οὐ παραδέξῃ ἀκοὴν ματαίαν" *), οὐχὶ μόνον τοῦτο λέγων, μὴ παραδέχεσθαι ψευδῆ λόγον ἢ εὐήθη δι' ἀκοῆς, ἀλλὰ καὶ ὅτι πρὸς τὴν σαφῆ τῆς ἀληθείας κατάληψιν μακρὸν ὅσον ὄψεως ὑστερίζουσα διελέγχεται, γέμουσα ματαιότητος ἀκοή.

§. 28. Ταύτην φαμὲν αἰτίαν εἶναι τοῦ λέγεσθαι „τὸν θεὸν καταβεβηκέναι" **) τὴν πόλιν καὶ τὸν πύργον θεάσασθαι. Οὐ παρέργως δὲ πρόςκειται, „ὃν ᾠκοδόμησαν οἱ υἱοὶ τῶν ἀνθρώπων." Ἴσως γὰρ ἄν τις εἴποι τῶν οὐκ εὐαγῶν ἐπιχλευάζων ἅμα· καινὸν ἡμᾶς ἀναδιδάσκει μάθημα ὁ νομοθέτης, ὅτι πύργους καὶ πόλεις οὐχ ἕτεροί τινες, ἀλλὰ παῖδες ἀνθρώπων ἀνοικοδομοῦνται. Τίς γὰρ τά γε οὕτως ἐμφανῆ καὶ περίοπτα καὶ τῶν λίαν ἐξεστηκότων ἀγνοεῖ; Ἀλλὰ μὴ τὸ πρόχειρον τοῦτο καὶ κατημαξευμένον ἐν τοῖς ἱερωτάτοις χρησμοῖς ἀναγέγραπται, ἀλλ' ὅπερ ἀποκεκρυμμένον ἰχνηλατεῖται διὰ τῶν ἐμφανῶν ὀνομάτων. Τί οὖν ἐστι τοῦτο; Οἱ πολλοὺς ἐπιγραφόμενοι τῶν ὄντων ὡςανεὶ πατέρας, καὶ τὸ πολύθεον εἰςηγούμενοι στῖφος, ἀπειρίαν ὁμοῦ καὶ πολυμιγίαν τῶν πραγμάτων καταχέαντες, καὶ τὸ τῆς ψυχῆς τέλος ἡδονῇ παραδόντες, δημιουργοὶ τῆς εἰρημένης πόλεως καὶ τῆς κατ' αὐτὴν ἀκροπόλεως, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, γεγόνασι· τὰ ποιητικὰ τοῦ τέλους τρόπον οἰκοδομημάτων συναύξοντες, τῶν ἐκ πόρνης ἀποκυηθέντων οὐδέν, ὥς γ' οἶμαι, διαφέροντες, οὓς ὁ νόμος ἐκκλησίας ἀπελήλακε θείας, εἰ- 341
πών, „Οὐκ εἰςελεύσεται ἐκ πόρνης εἰς ἐκκλησίαν κυ- P.

---

*) Exod. 23, 1. **) Gen. 11, 5.

ρίου" *). Ὅτι καθάπερ περὶ πολλὰ τέλη πλανώμενοι τοξόται, καὶ μηδενὸς εὐστόχως ἐφιέμενοι σκοποῦ, μυρίας ἀρχὰς καὶ αἰτίας τῆς τῶν ὄντων ὑποθέμενοι γενέσεως ψευδωνύμους πάσας, τὸν ἕνα ποιητὴν καὶ πατέρα τῶν ὅλων ἠγνόησαν. Οἱ δὲ ἐπιστήμῃ κεχρημένοι τοῦ ἑνὸς υἱοὶ θεοῦ προσαγορεύονται δεόντως, καθὰ καὶ Μωϋσῆς ὁμολογεῖ φάσκων, "Υἱοί ἐστε κυρίου τοῦ θεοῦ" **), καί, "Θεὸν τὸν γεννήσαντά σε" ***), καί, "Οὐκ αὐτὸς οὗτός σου πατήρ"; Ἕπεται μέντοι τοῖς οὕτω τὴν ψυχὴν διατεθεῖσι μόνον τὸ καλὸν ἀγαθὸν εἶναι νομίζειν, ὅπερ τῷ τέλει τῆς ἡδονῆς πρὸς ἐμπειροπολέμων ἀνδρῶν ἀντιτειχίζεται, καὶ πρὸς ἀνατροπὴν καὶ καθαίρεσιν
427 ἐκείνου. Καὶ ἂν μηδέπω μέντοι τυγχάνῃ τις
M. ἀξιόχρεως ὢν υἱὸς θεοῦ προσαγορεύεσθαι, σπουδαζέτω κοσμεῖσθαι κατὰ τὸν πρωτόγονον αὐτοῦ λόγον, τὸν ἄγγελον πρεσβύτατον, ὡς ἀρχάγγελον πολυώνυμον ὑπάρχοντα· καὶ γὰρ ἀρχή, καὶ ὄνομα θεοῦ, καὶ λόγος, καὶ ὁ κατ' εἰκόνα ἄνθρωπος, καὶ ὁρῶν Ἰσραήλ, προσαγορεύεται. Διὸ προήχθην ὀλίγῳ πρότερον ἐπαινέσαι τὰς ἀρχὰς τῶν φασκόντων ὅτι "Πάντες ἐσμὲν υἱοὶ ἑνὸς ἀνθρώπου" †). Καὶ γὰρ εἰ μήπω ἱκανοὶ θεοῦ παῖδες νομίζεσθαι γεγόναμεν, ἀλλά τοι τῆς ἀϊδίου εἰκόνος αὐτοῦ, λόγου τοῦ ἱερωτάτου· θεοῦ γὰρ εἰκὼν λόγος ὁ πρεσβύτατος. Καὶ πολλαχοῦ μέντοι τῆς νομοθεσίας υἱοὶ πάλιν Ἰσραὴλ καλοῦνται, τοῦ ὁρῶντος οἱ ἀκούοντες, ἐπειδὴ μεθ' ὅρασιν ἀκοὴ δευτερείοις τετίμηται, καὶ τὸ διδασκόμενον τοῦ χωρὶς ὑφηγήσεως ἐναργεῖς τύπους τῶν ὑποκειμένων λαμβάνοντος αἰεὶ δεύτερον. Ἄγαμαι καὶ τῶν ἐν βασιλικαῖς βίβλοις ††) ἱεροφαντηθέντων, καθ' ἃς οἱ πολλαῖς γενεαῖς ὕστερον ἀκμάσαντες καὶ βιώσαντες ὑπαιτίως, υἱοὶ τοῦ τὸν θεὸν

---

*) Deut. 23, 2. **) Ibid. 14, 1. ***) Ibid. 32, 18. †) Gen. 42, 11. ††) Esr. 8, 2.

ὑμνήσαντος Δαβὶδ ἀναγράφονται, οὗ περιόντος οὐδ' οἱ πρόπαπποι τούτων ἦσαν πιστῶς γεγεννημένοι. Ψυχῶν ἀπαθανατιζομένων ἀρεταῖς οὐ φθαρτῶν σωμάτων ἐστὶ γένεσις, ἣν ἐπὶ τοὺς καλοκἀγαθίας ἡγεμόνας ὡςανεὶ γεννητὰς καὶ πατέρας ἀναφέρεσθαι συμβαίνει.

§. 29. Κατὰ δὲ τῶν ἐπ' ἀδικίαις σεμνυνομένων εἶπε κύριος, „Ἰδοὺ γένος ἓν καὶ χεῖλος ἓν πάντων", ἴσον τῷ, ἰδοὺ μία οἰκειότης καὶ συγγένεια, καὶ πάλιν ἁρμονία καὶ συμφωνία ἡ αὐτὴ πάντων ὁμοῦ, μηδενὸς ἠλλοτριωμένου τὴν γνώμην μηδ' ἀπᾴδοντος, καθάπερ ἔχει καὶ ἐπ' ἀνθρώπων ἀμούσων. Τὸ γὰρ φωνητήριον αὐτοῖς ὄργανον πᾶσι τοῖς φθόγγοις ἔστιν ὅτε δὲ ὅλων ἐκμελὲς καὶ ἀπῳδὸν οὐ μετρίως καθέστηκε, πρὸς ἀναρμοστίαν ἄκρως ἡρμοσμένον, καὶ πρὸς τὸ ἀσύμφωνον συμφωνίαν μόνον ἄγον.
Καὶ ἐπὶ τῆς πολίτιδος τὸ κατασκευαστὸν παρα- 342
πλήσιον ἰδεῖν ἔστιν· ἔτι γὰρ ἀμφημεριναὶ καὶ διά- P.
τριτοι καὶ τεταρταΐζουσαι παρὰ παισὶν ἰατρῶν λεγόμεναι περίοδοι, μεθ' ἡμέραν τε καὶ νύκτωρ περὶ τὰς αὐτὰς ὥρας κατεσκευάκασι τὴν εἰς τὰ αὐτὰ τάξιν φυλάττουσαι. Τὸ δὲ, „Καὶ τοῦτο ἤρξαντο
428 ποιῆσαι", μετ' οὐ μετρίου σχετλιασμοῦ λέλεκται·
M. διότι τοῖς ῥᾳδιουργοῖς οὐ τὰ πρὸς τοὺς ὁμοφύλους μόνον συγχεῖν δίκαια ἐξήρκεσεν, ἀλλ' ἤδη καὶ τῶν ὀλυμπίων ἐπιβαίνειν ἐτόλμησαν, ἀδικίαν μὲν σπείραντες, ἀσέβειαν δὲ θερίσαντες. Ὄφελος δὲ τοῖς ἀθλίοις οὐδέν· οὐ γὰρ ὥςπερ ἀδικοῦντες ἀλλήλους πολλὰ ὧν ἂν ἐθελήσωσι ἀνύουσιν, ἔργοις βεβαιούμενοι τὰ βουλαῖς ἀγνώμοσιν ἐπιλογισθέντα, οὕτω καὶ ἀσεβοῦντες· ἀζήμια γὰρ καὶ ἀπήμονα τὰ θεῖα, τοῦ δὲ πλημμελεῖν εἰς αὐτὰ οἱ δυςκάθαρτοι τὰς ἀρχὰς εὑρίσκονται μόνον, πρὸς δὲ τὸ τέλος φθάνουσιν οὐδέποτε. Διὸ καὶ λέγεται τοῦτο, „Ἤρξαντο ποιῆσαι". Κορεσθέντες οἱ τοῦ παρανομεῖν ἄπληστοι τῶν ἐν γῇ καὶ θαλάττῃ καὶ ἀέρι, ἃ φθαρτῆς φύ-

σεως ἔλαχε, κακῶν, ἐπὶ τὰς ἐν οὐρανῷ θείας φύσεις μετατάξασθαι διενοήθησαν· ἃ ἔστι τῶν ὄντων ἔξω τοῦ κατηγορεῖν ἔθος ἐστὶ διαθεῖναι τὸ παράπαν οὐδέν. Καὶ αὐτὸ μέντοι τὸ βλασφημεῖν οὐ τοῖς κατηγορουμένοις ἐπιφέρει τινὰ ζημίαν, ἃ τῆς ἀϊδίου φύσεως οὔ ποτ' ἐξίσταται, ἀλλὰ καὶ τοῖς καταιτιωμένοις συμφορὰς ἀνηκέστους. Οὐκ ἐπειδὴ μέντοι μόνον ἤρξαντο, πρὸς τὸ τέλος ἐλθεῖν ἀδυνατήσαντες ἀσεβείας, διὰ τοῦτ' αὐτοὺς οὐχ ὡς διαπραξαμένους ἕκαστα ὧν διενοήθησαν, αἰτιατέον; Τούτου χάριν καὶ τετελειωκέναι φησὶ τὸν πύργον αὐτοὺς οὐ τελειώσαντας, ἐπειδὰν λέγῃ, "Κύριος κατέβη ἰδεῖν τὴν πόλιν καὶ τὸν πύργον" *), οὐχ ὃν οἰκοδομῆσαι μέλλουσιν, ἀλλ' ὃν ᾠκοδόμησαν ἤδη.

§. 30. Τίς οὖν πίστις τοῦ μὴ τετελεσιουργῆσθαι τὴν κατασκευήν; Ἡ ἐνάργεια πρώτη. Γῆς γὰρ ὁτιοῦν μέρος ἀμήχανον οὐρανοῦ ψαῦσαι, διὰ τὴν ἔμπροσθεν αἰτίαν, ὅτιπερ οὐδὲν κέντρον περιφερείας ἅπτεται· δεύτερον δέ, ὅτι ὁ αἰθὴρ ἱερὸν πῦρ φλόξ ἐστιν ἄσβεστος, ὡς καὶ αὐτὸ δηλοῖ τὸ ὄνομα, παρὰ τὸ αἴθειν, ὃ δὴ καίειν ἐστὶ κατὰ γλῶτταν εἰρημένον. Μάρτυς δὲ μία μοῖρα τῆς οὐρανίου πυρᾶς ἥλιος, ὃς τοσοῦτον γῆς ἀφεστὼς ἄχρι μυχῶν τὰς ἀκτῖνας ἐπιπέμπων, αὐτήν τε καὶ τὸν ἀπ' αὐτῆς ἀνατείνοντα μέχρι τῆς οὐρανίου σφαίρας ἀέρα φύσει ψυχρὸν ὄντα τῇ μὲν ἀλεαίνει τῇ δὲ καταφλέγει. Τὰ μὲν γὰρ ὅσα ἢ μακρὰν ἀφέστηκεν αὐτοῦ τῆς φορᾶς, ἢ ἐγκάρσια παρακέκλιται ἀλεαίνει μόνον, τὰ δ' ἐγγὺς ἢ ἐπ' εὐθείας ὄντα καὶ προσανακαίει βίᾳ. Εἰ
ταῦθ' οὕτως ἔχει, τοὺς ἀναβαίνειν τολμῶντας ἀν- 343
θρώπους οὐκ ἀναγκαῖον ἦν ἐμπεπρῆσθαι κεραυνω- P.
θέντας, ἀτελοῦς αὐτοῖς τῆς μεγαλουργηθείσης ἐπινοίας γενομένης. Τοῦτ' ἔοικεν αἰνίττεσθαι διὰ τῶν αὖθις λεγομένων, "Ἐπαύσαντο γάρ", φησίν, "οἰκο-

*) Gen. 11, 5.

δομοῦντες τὴν πόλιν καὶ τὸν πύργον" *). Οὐ δή-
429 που τελειώσαντες, ἀλλὰ τελεσιουργῆσαι κωλυθέντες
M. διὰ τὴν ἐπιγινομένην σύγχυσιν. Οὐ μὴν ἐκπεφεύ-
γασι τὴν τῶν διαπράξεων αἰτίαν οἱ πρὸς τῷ βου-
λεύσασθαι καὶ ἐγκεχειρηκότες.

§. 31. Τὸν γοῦν οἰωνομάντιν καὶ τερατοσκόπον περὶ τὰς ἀβεβαίους εἰκασίας ματαιάζοντα — καὶ γὰρ μάταιος ἑρμηνεύεται Βαλαὰμ — φησὶν ὁ μόνος "τῷ ὁρῶντι καταράσασθαι" **), καί τοι διὰ τῶν λόγων εὐφήμους ποιησάμενον εὐχάς· σκοπῶν οὐ τὰ λεχθέντα ἃ προμηθείᾳ θεοῦ μετεχαράττετο, οἷα δόκιμον ἀντὶ κιβδήλου νόμισμα, τὴν δὲ διάνοιαν ἐν ᾗ τὰ βλάψαντα πρὸ τῶν ὠφελησάντων ἀνεπολεῖτο. Ἔστι δὲ φύσει πολέμια ταῦτα, στοχασμὸς ἀληθείᾳ, καὶ ματαιότης ἐπιστήμῃ, καὶ ἡ δίχα ἐνθουσιασμοῦ μαντεία νηφούσῃ σοφίᾳ· καὶ ἂν ἐξ ἐνέδρας μέντοι τις ἐπιχειρήσας ἀνελεῖν τινα μὴ δυνηθῇ κτεῖναι, τῇ τῶν ἀνδροφόνων οὐδὲν ἧττον ὕποχος δίκῃ καθέστηκεν, ὡς ὁ γραφεὶς περὶ τούτων δηλοῖ νόμος. "Ἐὰν γάρ", φησί, "τὶς ἐπιθῆται τῷ πλησίον ἀποκτεῖναι αὐτὸν δόλῳ, καὶ καταφύγῃ, ἐπὶ τοῦ θυσιαστηρίου λήψῃ αὐτὸν θανατῶσαι" ***). Καί τοι ἐπιτίθεται μόνον, οὐκ ἀνῄρηκεν, ἀλλ' ἴσον ἡγήσατο ἀδίκημα τῷ κτεῖναι τὸ βουλεῦσαι τὸν φόνον· οὗ χάριν οὐδ' ἱκέτῃ γενομένῳ δέδωκεν ἀμνηστίαν, ἀλλὰ καὶ ἐξ ἱεροῦ ἐκέλευσεν ἀπάγειν τὸν ἀνιέρῳ γνώμῃ χρησάμενον. Ἀνίερος δὲ οὐ ταύτῃ μόνον, ὅτι κατὰ ψυχῆς τῆς αἰεὶ ζῆν δυναμένης ἀρετῶν κτήσει τε καὶ χρήσει τὸν διὰ προςβολῆς κακίας φόνον ἐβούλευσεν, ἀλλὰ καὶ ὅτι θεὸν τῆς ἀνοσιουργοῦ τόλμης αἰτιᾶται. Τὸ γὰρ "καταφύγῃ" τοιοῦτον ὑποβάλλει νοῦν· διότι πολλοὶ τὰ καθ' ἑαυτῶν ἀποδιδράσκειν ἐθέλοντες ἐγκλήματα, καὶ ῥύεσθαι τῶν ἐφ' οἷς ἠδίκησαν ἀξιοῦντες ἑαυτοὺς τιμωριῶν, τὸ οἰκεῖον ἄγος τῷ

*) Gen. 11, 8. **) Deut. 23, 4 sqq. ***) Exod. 21, 14.

κακοῦ μὲν μηδενὸς, ἀγαθῶν δὲ ἁπάντων αἰτίῳ προς-
βάλλουσι, θεῷ. Διὸ καὶ ἀπ' αὐτῶν βωμῶν τοὺς
τοιούτους ἀπάγειν ὅσιον εἶναι ἐνομίσθη. Δίκην δὲ
ὑπερβάλλουσαν κατὰ τῶν ἐπ' ἀθεότητι λόγων οἰκο-
δομουμένων καὶ συγκροτούντων ὁρίζει, ἣν ἴσως τινὲς
τῶν ἀφρόνων οὐ βλάβην, ἀλλ' ὠφέλειαν ὑποτυπή-
σουσιν. "Οὐ γὰρ ἐκλείψει", φησὶν, "ἀπ' αὐτῶν
πάντα ὅσα ἂν ἐπιθῶνται ποιεῖν" *). Ὢ τῆς ἀπε-
ριγράπτου καὶ ἀμέτρου κακοδαιμονίας. Πάνθ' οἷς
ἂν ὁ φρενοβλαβέστατος ἐπιθῇ νοῦς, ὑποχείρια εἶναι
καὶ ὑπήκοα, καὶ μηδὲν μέγα, μὴ μικρὸν ὑστερί- 344
ζειν τὸ παράπαν, ἀλλ' ὡςπερεὶ φθάνοντα προαπαν- P.
430 τᾶν πρὸς τὰς χρείας ἑκάστας.

M. §. 32. Ψυχῆς ταῦτα φρονήσεως χηρευούσης
ἐστὶν ἐπίδειξις, μηδὲν τῶν εἰς τὸ ἁμαρτάνειν ἐχού-
σης ἐμποδών· εὔξαιτο γὰρ ἂν ὁ μὴ σφόδρα ἀνιά-
τως ἔχων, τὰ ἐξ ὑποθέσεως τοῦ νοῦ πάντα ἐπιλι-
πεῖν αὐτῷ, ἵνα μὴ τῷ κλέπτειν ἢ μοιχεύειν ἢ ἀν-
δροφονεῖν ἢ ἱεροσυλεῖν, ἤ τινι τῶν ὁμοιοτρόπων
ἐπιθέμενος, εὐοδῇ, μυρία δὲ εὑρίσκῃ τὰ κωλυσιερ-
γήσοντα. Κώλυσις μὲν γὰρ τὴν μεγίστην νόσον
ἀδικίαν, ἀποβάλλει, σὺν ἀδείᾳ δὲ ἐπεξελθὼν ταύ-
την ἀναδέξεται. Τί οὖν ἔτι τὰς τῶν τυράννων τύ-
χας, ὦ μακάριοι, ζηλοῦτε καὶ θαυμάζετε, δι' ἃς εὐ-
πετῶς ἕκαστα ἐπεξιᾶσιν, ὧν ἂν ὁ ἐκλελυττηκὼς καὶ
ἐκτεθηριωμένος τέκῃ νοῦς; Καὶ ἐν ἑαυτοῖς δέον ἐπι-
στένειν, μέγα ἀπορία καὶ ἡ ἀσθένεια κακοῖς λυσι-
τελὲς, ὡς περιουσία καὶ ἰσχὺς ἀγαθοῖς ὠφελιμώτατον.
Εἷς δέ τις τῶν ἀφρόνων ᾐσθημένος εἰς ὅσην κακο-
δαιμονίας ὑπερβολὴν ἄγει ἡ τοῦ διαμαρτάνειν ἐκε-
χειρία, μετὰ παῤῥησίας εἶπε, "Μείζων ἡ αἰτία μου
τοῦ ἀφεθῆναί με" **). Παγχάλεπον γὰρ ἀχαλίνω-
τον ἐαθῆναι ψυχὴν ἀτίθασσον οὖσαν ἐξ ἑαυτῆς, ἣν
μόλις ἡνίαις μετ' ἐπανατάσεως μαστίγων ἐστὶ κατα-

*) Gen. 11, 6. **) Ibid. 4, 13.

χόντα πραΰναι. Διόπερ λόγιον τοῦ ἵλεω θεοῦ μεστὸν ἡμερότητος ἐλπίδας χρηστὰς ὑπογράφον τοῖς παιδείας ἐρασταῖς ἀνῄρηται τοιόνδε, "Οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλίπω" *). Τῶν γὰρ τῆς ψυχῆς δεσμῶν χαλασθέντων οἷς διεκρατεῖτο, ἡ μεγίστη παρέπεται συμφορὰ καταλειφθῆναι ὑπὸ θεοῦ, ὃς τοῖς ὅλοις δεσμοὺς τὰς ἑαυτοῦ δυνάμεις περιῆψεν ἀῤῥήκτους, αἷς τὰ πάντα σφίγξας ἄλυτα εἶναι βούλεται. Λέγει μέντοι καὶ ἑτέρωθι ὅτι "Πάνθ' ὅσα δεσμῷ καταδέδεται, καθαρά ἐστιν" **), ἐπειδὴ τῆς ἀκαθάρτου φθορᾶς αἴτιον ἡ διάλυσις. Μηδέποτ' οὖν ἰδών τινα οἷς ἂν ἐπιθῆται πᾶσιν εὐμαρῶς ἐπεξιόντα θαυμάσῃς ὡς κατορθοῦντα, ἀλλὰ τὸ ἐναντίον ὡς ἀποτυγχάνοντα οἴκτιζον, ὅτι ἀφορίᾳ μὲν ἀρετῆς, κακίας δὲ εὐφορίᾳ χρώμενος διατελεῖ.

§. 33. Σκέψασθαι δὲ οὐ παρέργως ἄξιον, τίν' ἔχει λόγον τὸ εἰρημένον ἐκ προσώπου τοῦ θεοῦ, "Δεῦτε καὶ καταβάντες συγχέωμεν ἐκεῖ αὐτῶν τὴν γλῶτταν" ***). Φαίνεται γὰρ διαλεγόμενός τισιν ὡςὰν συνεργοῖς αὐτοῦ· τὸ δὲ αὐτὸ καὶ πρότερον ἐπὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς ἀναγέγραπται. "Εἶπε γὰρ", φησί, "κύριος ὁ θεὸς, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν" †), τοῦ ποιήσωμεν πλῆθος ἐμφαίνοντος. Καὶ πάλιν εἶπεν ὁ θεὸς, "Ἰδοὺ, γέγονεν Ἀδὰμ ὡς εἷς ἡμῶν,
431 τοῦ γινώσκειν καλὸν καὶ πονηρόν" ††). Τὸ γὰρ 345
M. ὡς εἷς ἡμῶν, οὐκ ἐφ' ἑνὸς, ἀλλ' ἐπὶ πλειόνων τί- P.
θεται. Λεκτέον οὖν ἐκεῖνο πρῶτον, ὅτι οὐδὲν τῶν ὄντων ἰσότιμον ὑφέστηκε θεῷ, ἀλλ' ἔστιν εἷς ἄρχων καὶ ἡγεμὼν καὶ βασιλεὺς, ᾧ πρυτανεύειν καὶ διοικεῖν μόνῳ θέμις τὰ σύμπαντα. Τὸ γὰρ

Οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω,
Εἷς βασιλεὺς,

---

*) Jos. 1, 5. **) Num. 19, 15. ***) Gen. 11, 7.
†) Ibid. 1, 26. ††) Ibid. 3, 22.

οὐκ ἐπὶ πόλεων καὶ ἀνθρώπων λέγοιτ' ἂν ἐν δίκῃ μᾶλλον, ἢ ἐπὶ κόσμου καὶ θεοῦ. Ἑνὸς γὰρ ἕνα ποιητήν τε καὶ πατέρα πάλιν, καὶ δεσπότην ἀναγκαῖον εἶναι.

§. 34. *Τούτου δὴ προδιομολογηθέντος ἀκόλουθον ἂν εἴη συνυφαίνειν τα ἁρμόζοντα. Τίν' οὖν ἐστι, σκοπῶμεν. Εἷς ὢν ὁ θεὸς ἀμυθήτους περὶ αὑτὸν ἔχει δυνάμεις ἀρωγοὺς καὶ σωτηρίους τοῦ γενομένου πάσας, αἷς ἐμφέρονται καὶ αἱ κολαστήριοι· ἔστι δὲ καὶ κόλασις οὐκ ἐπιζήμιον, ἁμαρτημάτων οὖσα κώλυσις καὶ ἐπανόρθωσις. Δι' αὖ τούτων τῶν δυνάμεων ὁ ἀσώματος καὶ νοητὸς ἐπάγη κόσμος, τὸ τοῦ φαινομένου τοῦδε ἀρχέτυπον, ἰδέαις ἀοράτοις συσταθείς, ὥςπερ οὗτος σώμασιν ὁρατοῖς. Καταπλαγέντες οὖν τινες τὴν ἑκατέρου τῶν κόσμων φύσιν, οὐ μόνον ὅλους ἐξεθείωσαν, ἀλλὰ καὶ τὰ κάλλιστα τῶν ἐν αὐτοῖς μερῶν, ἥλιον καὶ σελήνην καὶ τὸν σύμπαντα οὐρανὸν, ἅπερ οὐδὲν αἰδεσθέντες θεοὺς ἐκάλεσαν. Ὧν τὴν ἐπίνοιαν κατιδὼν Μωϋσῆς φησι "Κύριε, κύριε, βασιλεῦ τῶν θεῶν" *), ἔνδειξιν τῆς παρ' ὑπηκόους ἄρχοντος διαφορᾶς. Ἔστι δὲ καὶ κατὰ τὸν ἀέρα ψυχῶν ἀσωμάτων ἱερώτατος χορὸς ὀπαδὸς τῶν οὐρανίων· ἀγγέλους γὰρ τὰς ψυχὰς ταύτας εἴωθε καλεῖν ὁ θεσπιῳδὸς λόγος. Πάντ' οὖν τὸν στρατὸν ἑκάστων ἐν ταῖς ἁρμοττούσαις διακεκοσμημένον τάξεσιν ὑπηρέτην καὶ θεραπευτὴν εἶναι συμβέβηκε τοῦ διακοσμήσαντος ἡγεμόνος, ᾧ ταξιαρχοῦντι κατὰ δίκην καὶ θέσμον ἕπεται. Λειποτάξιον γὰρ οὐ θέμις ἁλῶναί ποτε τὸ θεῖον στράτευμα. Βασιλεῖ δὲ ταῖς ἑαυτοῦ δυνάμεσιν ἐμπρεπὲς ὁμιλεῖν τε καὶ χρῆσθαι πρὸς τὰς τῶν τοιούτων πραγμάτων ὑπηρεσίας, οἷςπερ ἁρμόττει μὴ ὑπὸ μόνου πήγνυσθαι θεοῦ· χρεῖος μὲν οὐδενός ἐστιν ὁ τοῦ παντὸς πατὴρ, ὡς δεῖσθαι τῆς*

---

*) Deut. 10, 17.

ἀφ' ἑτέρων εἰ ἐθέλοι δημιουργῆσαι. Τὸ δὲ πρέπον ὁρῶν ἑαυτῷ τε καὶ τοῖς γινομένοις, ταῖς ὑπηκόοις δυνάμεσιν ἔστιν ἃ διαπλάττειν ἐφῆκεν, οὐδὲ ταύταις εἰςάπαν αὐτοκράτορα δοὺς τοῦ τελεσιουργεῖν ἐπιστήμην, ἵνα μήτι πλημμεληθείη τῶν ἀφικνουμένων εἰς γένεσιν.

§. 35. Ταῦτα μὲν οὖν ἀναγκαῖον ἦν προτυπῶσαι· ὧν δὲ χάριν, ἤδη λεκτέον. Ἡ μὲν φύσις τῶν ζώων εἴς τε ἄλογον καὶ λογικὴν μοῖραν ἐναντίας
432 ἀλλήλαις ἐτμήθη τὸ πρῶτον· ἡ δὲ αὖ λογικὴ
M. πάλιν εἴς τε τὸ φθαρτὸν καὶ ἀθάνατον εἶδος, φθαρ-
τὸν μὲν τὸ ἀνθρώπων, ἄφθαρτον δὲ τὸ ψυχῶν 346
ἀσωμάτων, αἳ κατά τε ἀέρα καὶ οὐρανὸν περιπο- P.
λοῦσι. Κακίας δὲ ἀμέτοχοι μέν εἰσιν αὗται, τὸν ἀκήρατον καὶ εὐδαίμονα κλῆρον ἐξ ἀρχῆς λαχοῦσαι, καὶ τῷ συμφορῶν ἀνηνύτων οὐκ ἐνδεθεῖσαι χωρίῳ, σώματι· ἀμέτοχοι δὲ καὶ αἱ τῶν ἀλόγων, παρ' ὅσον ἀμοιροῦσαι διανοίας, οὐδὲ τῶν ἐκ λογισμοῦ συμβαινόντων ἑκουσίων ἀδικημάτων ἁλίσκονται. Μόνος δὲ σχεδὸν ἐκ πάντων ὁ ἄνθρωπος ἀγαθῶν καὶ κακῶν ἔχων ἐπιστήμην αἱρεῖται μὲν πολλάκις τὰ φαυλότατα, φεύγει δὲ τὰ σπουδῆς ἄξια, ὡς αὐτὰ μάλιστα ἐπὶ τοῖς ἐκ προνοίας ἁμαρτήμασι καταγινώσκεσθαι. Προςηκόντως οὖν τὴν τούτου κατασκευὴν ὁ θεὸς περιῆψε καὶ τοῖς ὑπάρχοις αὐτοῦ, λέγων, "Ποιήσωμεν ἄνθρωπον" *), ἵνα αἱ μὲν τοῦ νοῦ κατορθώσεις ἐπ' αὐτὸν ἀναφέρωνται μόνον, ἐπ' ἄλλους δὲ αἱ ἁμαρτίαι. Θεῷ γὰρ τῷ πανηγεμόνι ἐμπρεπὲς οὐκ ἔδοξεν εἶναι τὴν ἐπὶ κακίαν ὁδὸν ἐν ψυχῇ λογικῇ δι' ἑαυτοῦ δημιουργῆσαι· οὗ χάριν τοῖς μετ' αὐτὸν ἐπέτρεψε τὴν τούτου τοῦ μέρους κατασκευήν. Ἔδει γὰρ καὶ τὸ ἀντίπαλον τῷ ἀκουσίῳ τὸ ἑκούσιον εἰς τὴν τοῦ παντὸς συμπλήρωσιν κατασκευασθὲν ἀναδειχθῆναι.

*) Gen. 1, 26.

§. 36. Τοῦτο μὲν δὴ ταύτῃ λελέχθω. Προςήκει δὲ καὶ ἐκεῖνο λελογίσθαι, ὅτι μόνων ἀγαθῶν ἐστιν ὁ θεὸς αἴτιος, κακοῦ δὲ οὐδενὸς τὸ παράπαν, ἐπειδὴ καὶ τὸ πρεσβύτατον τῶν ὄντων καὶ τελειότατον ἀγαθὸν αὐτὸς ἦν. Ἐμπρεπέστατα δὲ τὰ οἰκεῖα τῇ ἑαυτοῦ φύσει δημιουργεῖν, ἄριστα τὸν ἄριστον· τὰς μέντοι κατὰ πονηρῶν κολάσεις διὰ τῶν ὑπ᾽ αὐτὸν βεβαιοῦσθαι. Μαρτυρεῖ δέ μου τῷ λόγῳ καὶ τὸ εἰρημένον ὑπὸ τοῦ τελειωθέντος ἐξ ἀσκήσεως τόδε, "Ὁ θεὸς ὁ τρέφων με ἐκ νεότητος, ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν" *). Ὁμολογεῖ γὰρ καὶ οὗτος ἤδη, ὅτι τὰ μὲν γνήσια τῶν ἀγαθῶν ἃ φιλαρέτους τρέφει ψυχὰς ἐπὶ θεὸν ἀναφέρεται μόνως αἴτιον· ἡ δὲ τῶν κακῶν μοῖρα ἀγγέλοις ἐπιτέτραπται πάλιν, οὐδὲ ἐκείνοις ἔχουσι τὴν τοῦ κολάζειν αὐτοκράτορα ἐξουσίαν, ἵνα μηδενὸς τῶν εἰς φθορὰν τεινόντων ἡ σωτήριος αὐτοῦ κατάρχῃ φύσις. Διὸ λέγει, "Δεῦτε καταβάντες συγχέωμεν" **). Οἱ μὲν γὰρ ἀσεβεῖς τοιαύτης ἐπάξιοι δίκης τυγχάνειν ἵλεως καὶ εὐεργέτιδας καὶ φιλοδώρους αὐτοῦ δυνάμεις οἰκειοῦσθαι τιμωρίαις. Εἰδὼς μέντοι τῷ γένει τῶν ἀνθρώπων ὠφελίμους ὑπαρχούσας, δι᾽ ἑτέρων αὐτὰς ὥρισεν. Ἔδει γὰρ τὸ μὲν ἐπανορθώσεως ἀξιωθῆναι, τὰς δὲ πηγὰς τῶν ἀεννάων αὐτοῦ χαρί-
:333 των ἀμιγεῖς κακῶν οὐκ ὄντων μόνον, ἀλλὰ καὶ
I. νομιζομένων, φυλαχθῆναι.

§. 37. Τίς δέ ἐστιν ἡ σύγχυσις ἐρευνητέον. 347
Πῶς οὖν ἐρευνήσομεν; Οὕτως, ὥς γέ μοι φαίνε- P.
ται. Πολλάκις οὓς πρότερον οὐκ ᾔδειμεν ἀπὸ τῶν συγγενῶν καί τινα πρὸς αὐτοὺς ἐχόντων ἐμφέρειαν ἐγνωρίσαμεν· οὐκοῦν καὶ πράγματα τὸν αὐτὸν τρόπον, ἃ μὴ ῥᾴδιον ἐξ ἑαυτῶν καταλαμβάνεσθαι, δῆλα γένοιντ᾽ ἄν, κατὰ τὴν τῶν οἰκείων αὐτοῖς ὁμοιότητα; Τίνα οὖν ἐστι συγχύσει πράγματα ὅμοια;

---

*) Gen. 48, 16. **) Ibid. 11, 7.

Ἡ μίξις, ὥςπερ ὁ παλαιὸς λόγος, καὶ κρᾶσις. Ἀλλ' ἡ μὲν μίξις ἐν ξηραῖς, ἡ δὲ κρᾶσις ἐν ὑγραῖς οὐσίαις δοκιμάζεται. Μίξις μὲν οὖν σωμάτων διαφερόντων ἐστὶν οὐκ ἐν κόσμῳ παράθεσις· ὥςπερ ἂν εἴ τις σωρὸν ποιήσαι κριθὰς καὶ πυροὺς καὶ ὀρόβους, καὶ ἄλλα τὰ εἴδη τῶν σπαρτῶν εἰς τὸ αὐτὸν εἰςενεγκών. Κρᾶσις δὲ οὐ παράθεσις, ἀλλὰ τῶν ἀνομοίων μερῶν εἰς ἄλληλα εἰςδυομένων δι' ὅλων ἀντιπαρέκτασις, ἔτι δυναμένων ἐπιτεχνήσει τινὶ διακρίνεσθαι τῶν ποιοτήτων, ὡς ἐπὶ οἴνου καὶ ὕδατός φασι γίνεσθαι· συνελθούσας μὲν γὰρ τὰς οὐσίας ἀποτελεῖν κρᾶσιν, τὸ δὲ κραθὲν οὐδὲν ἧττον ἀποπληροῦσθαι πάλιν εἰς τὰς ἐξ ὧν ἀπετελέσθη ποιότητας. Σπόγγῳ γὰρ ἐλαιωμένῳ τὸ μὲν ὕδωρ ἀναλαμβάνεσθαι, τὸν δὲ οἶνον ὑπολείπεσθαι· μήποτε ἐπειδήπερ ἐξ ὕδατος ἡ σπογγίας γένεσίς ἐστι, τὸ μὲν οἰκεῖον ὕδωρ πέφυκεν ἀναλαμβάνεσθαι πρὸς αὐτῆς ἐκ τοῦ κράματος, τὸ δ' ἀλλότριον ὑπολείπεσθαι, ὁ οἶνος. Σύγχυσις δέ ἐστι φθορὰ τῶν ἐξ ἀρχῆς ποιοτήτων, πᾶσι τοῖς μέρεσιν ἀντιπαρεκτεινομένων εἰς διαφερούσης μιᾶς γένεσιν· ὡς ἐπὶ τῆς ἐν ἰατρικῇ τετραφαρμάκου συντέτευχε. Κηρὸς γὰρ, καὶ στέαρ, καὶ πίττα, ῥητίνη τε, οἶμαι, συνελθόντα ταύτην ἀποτελεῖ· συνδεθείσης δὲ ἀμήχανον ἐπὶ τὰς ἐξ ὧν συνετέθη διακριθῆναι δυνάμεις, ἀλλ' ἑκάστη μὲν αὐτῶν ἠφάνισται, πασῶν δὲ φθορὰ μίαν ἐξαίρετον ἄλλην ἐγέννησε δύναμιν. Ὅταν δὲ ἀπειλῇ σύγχυσιν τοῖς ἀσεβέσι λογισμοῖς ὁ θεὸς, οὐ μόνον ἑκάστης κακίας τό τε εἶδος καὶ τὴν δύναμιν ἀφανισθῆναι κελεύει, ἀλλὰ καὶ τὸ συνερανισθὲν ἐξ αὐτῶν· ἵνα μήτε τὰ μέρη καθ' ἑαυτὰ, μήθ' ἡ πάντων σύνοδός τε καὶ συμφωνία περιβάλληταί τινα ἰσχὺν ἐπὶ καθαιρέσει τῆς ἀμείνονος μοίρας. Οὗ χάριν φησὶ, "Συγχέωμεν ἐκεῖ αὐτῶν τὴν γλῶτταν, ἵνα μὴ ἀκούσωσιν ἕκαστος τὴν φωνὴν τοῦ πλησίον" *), ὅπερ

*) Gen. 11, 7.

ἴσον ἐστὶ τούτῳ, κωφὸν ἕκαστον ἐργασώμεθα τῶν κακίας μερῶν, ὡς μήτε ἰδίαν ἀφιέναι, μήτε συνηχοῦν ἑτέρῳ βλάβης αἴτιον γίνηται.

§. 37. Ταῦτα μὲν ἡμεῖς· οἱ δὲ τοῖς ἐμφανέσι καὶ προχείροις μόνον ἐπακολουθοῦντες οἴονται γένεσιν
434 διαλέκτων Ἑλλήνων τε καὶ Βαρβάρων ὑπογρά- 348
M. φεσθαι· οὓς οὐκ ἂν αἰτιασάμενος — ἴσως γὰρ ἀλη- P.
θεῖ καὶ αὐτοὶ χρῶνται λόγῳ — παρακελέσαιμ' ἂν, μὴ ἐπὶ τούτων στῆναι, μετελθεῖν δὲ ἐπὶ τὰς τροπικὰς ἀποδόσεις· νομίσαντας τὰ μὲν ῥητὰ τῶν χρησμῶν σκιάς τινας ὡςανεὶ σωμάτων εἶναι, τὰς δ' ἐμφαινομένας δυνάμεις, τὰ ὑφεστῶτα ἀληθείᾳ πράγματα. Δίδωσι μέντοι πρὸς τοῦτ' ἀφορμὰς τὸ εἶδος τοῖς μὴ τυφλοῖς τὴν διάνοιαν ὁ νομοθέτης αὐτὸς, ὥςπερ ἀμέλει καὶ ἐφ' ὧν νῦν ἐστιν ὁ λόγος. Τὸ γὰρ γινόμενον σύγχυσιν προςεῖπεν, καίτοιγε εἰ διαλέκτων γένεσιν αὐτὸ μόνον ἐδήλου, κἂν ὄνομα εὐθυβολώτερον ἐπεφήμισεν ἀντὶ συγχύσεως διάκρισιν. Οὐ γὰρ συγχεῖται τὰ τεμνόμενα, διακρίνεται δὲ ἔμπαλιν, καὶ ἔστιν οὐ μόνον ἐναντίον ὄνομα ὀνόματι, ἀλλ' ἔργον ἔργῳ. Σύγχυσις μὲν γὰρ, ὡς ἔφην, ἐστὶν φθορὰ τῶν ἁπλῶν δυνάμεων εἰς συμπεφορημένης μιᾶς γένεσιν· διάκρισις δὲ ἑνὸς εἰς πλείω τομὴ, καθάπερ ἐπὶ γένους καὶ τῶν καθ' αὐτὸ εἰδῶν ἔχειν συντέτευχεν. Ὥςτε εἰ μίαν οὖσαν φωνὴν ἐκέλευσε τέμνειν ὁ σοφὸς εἰς πλειόνων διαλέκτων τμήματα, προςεχεστέροις ἂν καὶ κυριωτέροις ἐχρήσατο τοῖς ὀνόμασι, τομὴν, ἢ διανέμησιν, ἢ διάκρισιν, ἤ τι ὁμοιότροπον εἰπὼν, οὐ τὸ μαχόμενον αὐτοῖς, σύγχυσιν. Ἀλλ' ἔστιν ἡ σπουδὴ διαλῦσαι τὸ κακίας στῖφος, τὰς ὁμολογίας αὐτῆς ἀκυρῶσαι, τὴν κοινωνίαν ἀνελεῖν, τὰς δυνάμεις ἀφανίσαι καὶ διαφθεῖραι, τὸ τῆς ἀρχῆς κράτος, ὃ δειναῖς ὠχυρώσατο παρανομίαις, καθελεῖν. Οὐχ ὁρᾷς ὅτι καὶ τῶν ψυχῆς ὁ πλάστης μερῶν, οὐδὲν οὐδενὶ εἰς τὴν τοῦ ἑτέρου κοινωνίαν ἤγαγεν; Ἀλλ' ὀφθαλμοὶ μὲν οὐκ ἂν ἀκούσειαν, ὦτα δὲ οὐκ ἂν θεάσαιντο, χεῖλος

δὲ ἐν στόματι οὐκ ἂν ὄσφροιτο, οὐδ᾽ ἂν γεύσαιντο
ῥῖνες, οὔτ᾽ αὖ λόγος οὐδὲν ἂν τῶν κατὰ τὰς αἰσθήσεις
πάθοι, οὐδ᾽ ἔμπαλιν ῥῆξαι φωνὴν δύναιτ᾽ ἂν αἴσθησις.
Ἔγνω γὰρ ὁ τεχνίτης, ὅτι τὸ μὴ ἀκούειν ἕκαστον τού-
των τῆς τοῦ πλησίον φωνῆς, λυσιτελές ἐστιν· ἀλλὰ τὰ
μὲν τῆς ψυχῆς μέρη ταῖς οἰκείαις δυνάμεσιν ἀσυγχύτοις
χρῆσθαι πρὸς τὴν τῶν ζώων ὠφέλειαν, καὶ εἰς τὴν πρὸς
ἄλληλα κοινωνίαν ἀφήρηται· τὰ δὲ τῆς κακίας εἰς σύγ-
χυσιν καὶ φθορὰν ἀχθῆναι παντελῆ, ἵνα μήτε συμφω-
νήσαντα, μήτε καθ᾽ ἑαυτὰ ὄντα ζημία τοῖς ἀμείνοσι
γένηται. Παρ᾽ ὃ καὶ λέγει, "Διέσπειρεν αὐτοὺς κύριος
ἐκεῖθεν" *), ἐν ἴσῳ τῷ, ἐσκέδασεν, ἐφυγάδευσεν, ἀφα-
νεῖς ἐποίησεν. Τὸ γὰρ σπείρειν τὸ μὲν ἐπιδόσεως καὶ
αὐξήσεως καὶ γενέσεως ἑτέρων ἕνεκα συμβαίνει, τὸ δὲ
ἀπωλείας καὶ φθορᾶς. Βούλεται δὲ ὁ φυτουργὸς θεὸς 349
435 σπείρειν μὲν ἐν τῷ παντὶ καλοκἀγαθίαν, διασπεί- P.
M. ρειν δὲ καὶ ἐλαύνειν ἐκ τῆς τοῦ κόσμου πολιτείας τὴν
ἐπάρατον ἀσέβειαν· ἵν᾽ ἤδη ποτὲ παύσωνται τῆς κακίας
πόλιν καὶ τὸν ἀθεότητος πύργον οἰκοδομοῦντες μισά-
ρετοι τρόποι. Τούτων γὰρ σκεδασθέντων οἱ πάλαι
πεφευγότες τὴν τυραννίδα τῆς ἀφροσύνης ἑνὶ κηρύγματι
κάθοδον εὑρήσουσι, γράψαντός τε καὶ βεβαιώσαντος
τὸ κήρυγμα· ὡς δηλοῦσιν οἱ χρησμοί, ἐν οἷς διείρη-
ται ὅτι "Ἐὰν ᾖ ἡ διασπορά σου ἀπ᾽ ἄκρου τοῦ οὐρα-
νοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ, ἐκεῖθεν συνάξει σε" **).
Ὥστε τὴν μὲν ἀρετῶν συμφωνίαν ἐμπρεπὲς ἁρμόζεσθαι
θεῷ, τὴν δὲ κακίαν διαλύειν τε καὶ φθείρειν. Οἰκειό-
τατον δὲ κακίας ὄνομα σύγχυσις· οὗ πίστις ἐναργὴς
πᾶς ἄφρων, λόγοις καὶ βουλαῖς καὶ πράξεσιν ἀδοκί-
μοις καὶ πεφορημέναις χρώμενος.

*) Gen. 11, 8. **) Deut. 30, 4.

ΠΕΡΙ ΑΠΟΙΚΙΑΣ.

ARGUMENTUM LIBRI DE MIGRATIONE ABRAHAMI.

(Cf. Gen. 12, 1—6.)

Abrahamus, iussus a deo de terra, de cognatione, de domo sua egredi, symbolum est animae deo procurante, ad virtutem se convertentis, quod fit, quando a corpore (terra), sensu (cognatione) et oratione prolata (domo patris) secedit (1.). Hoc facit, quisquis super terrena, sensus et verborum fallacias emergere conatur, et inprimis semet ipsum noscere studet (2. 3.). Simile docemur eo, quod ossa Iosephi ex Aegypto (immortale a mortali) transferri iubentur (4. 5.). Quibus illud curae, iis adest deus (6. 7.), ita, ut demum lucem divinam videant, i. e. sapientiam discant (8.). Huius spem tantum quaesituris deus facit, ut ad fidem ipsi exhibendam nos excitet, cuius praemium primum piis summo bono frui conceditur, i. e. videre deum (9.). Secundum vero, incrementum infinitum facultatis percipiendorum eorum, quae sunt aeterna (10—12.); tertium, εὐλογία, quae cernitur in ratione sana et sermone exercitato, ex illa tanquam e fonte profluente (13.), quo ad confutandos sophistarum errores praeter cetera opus est (14. 15.); quartum, magnitudo nominis, seu bona fama (16.), quum non esse tantum, sed et videri sapientibus necessarium, quorum est virtutis amorem in aliis excitare (17. 18.); quintum, benedictione a deo dignum iudicari (19—20.). Ultimum

§. 2. Ὡς μὲν τοίνυν γῆν μὲν τὸ σῶμα καλεῖ, συγγένειαν δὲ τὴν αἴσθησιν, οἶκον δὲ πατρὸς τὸν λόγον, δεδηλώκαμεν. Τὸ δὲ "Ἄπελθε ἐκ τούτων" οὐκ ἔσθ' ὅμοιον τῷ, διαζεύχθητι κατὰ τὴν οὐσίαν, ἐπεὶ θάνατον ἦν διαφορεύοντος ἡ πρόςταξις· ἀλλ' ἴσον τῷ, τὴν γνώμην ἀλλοτριώθητι, πρὸς μηδενὸς περισχεθεὶς αὐτῶν, ὑπεράνω στῆθι πάντων, ὑπήκοοί σου εἰσὶ, μηδέποτε ὡς ἡγεμόσι χρῶ. Βασιλεὺς ὢν ἄρχειν ἀλλὰ μὴ ἄρχεσθαι πεπαίδευσο, πάντα τὸν αἰῶνα γίνωσκε σεαυτὸν, ὡς καὶ Μωΰσῆς πολλαχοῦ διδάσκει, λέγων, "Πρόςεχε σεαυτῷ" *), οὕτως γὰρ ὧν τε ὑπακούειν καὶ ἐπιτάττειν προςῆκεν αἰσθήσῃ. Ἄπελθε οὖν ἐκ τοῦ περὶ σεαυτὸν γεώδους, τὸ παμμίαρον, ὦ οὗτος, ἐκφυγὼν δεσμωτήριον, τὸ σῶμα, καὶ τὰς ὥςπερ εἱρκτοφύλακας ἡδονὰς καὶ ἐπιθυμίας αὐτοῦ, παντὶ σθένει καὶ πάσῃ δυνάμει μηδὲν τῶν εἰς κάκωσιν παρεὶς, ἀλλὰ πάντα ἀθρόα συλλήβδην ἐπανατεινάμενος. Ἄπελθε καὶ ἐκ τῆς συγγενοῦς αἰσθήσεως· νυνὶ μὲν γὰρ κέχρηκας ἑκάστῃ σεαυτὸν, καὶ γέγονας ἀλλότριον τῶν δεδανεισμένων ἀγαθὸν, ἀποβεβληκὼς τὸ ἴδιον. Οἶδας δὲ, καὶ ἐὰν πάντες ἡσυχάζωσιν, ὡς ὀφθαλμοί σε ἄγουσι καὶ ὦτα καὶ ἡ ἄλλη τῆς συγγενείας πληθὺς ἅπασα πρὸς τὰ
438 φίλα ἑαυτοῖς. Ἐὰν δὲ θέλῃς κομίσασθαι τὰ 39
M. σαυτοῦ δάνεια, καὶ τὴν ἰδίαν κτῆσιν περιβαλέσθαι, μηδὲν αὐτῆς διαζεύξας ἢ ἀλλοτριώσας μέρος, εὐδαίμονος μεταποιήσῃ βίου, χρῆσιν καὶ ἀπόλαυσιν οὐκ ὀθνείων, ἀλλ' οἰκείων ἀγαθῶν εἰς ἀεὶ καρπούμενος. Ἀλλὰ μετανάστηθι καὶ ἐκ τοῦ κατὰ προφορὰν λόγου, ὃν πατρὸς οἶκον ἐκάλεσεν, ἵνα μὴ ῥημάτων καὶ ὀνομάτων ἀπατηθεὶς κάλλεσι, τοῦ πρὸς ἀλήθειαν κάλλους, ὅπερ ἐστὶν ἐν τοῖς δηλουμένοις πράγμασι, διαζευχθῇς. Ἄτοπον γὰρ ἢ σκιὰν σωμάτων ἢ μίμημα ἀρχετύπων φέρεσθαι πλέον. σκιᾷ μὲν δὴ καὶ

*) Exod. 34, 12.

μιμήματι ἔοικεν ἑρμηνεία, σώμασι δὲ καὶ ἀρχετύποις αἱ τῶν διερμηνευομένων φύσεις πραγμάτων, ὧν, τὸν ἐφιέμενον τοῦ εἶναι μᾶλλον ἢ τοῦ δοκεῖν, χρὴ περιέχεσθαι, διοικιζόμενον ἀπ' ἐκείνων.

§. 3. Ἐπειδὰν γοῦν ὁ νοῦς ἄρξηται γνωρίζειν ἑαυτὸν καὶ τοῖς νοητοῖς ἐνομιλεῖν θεωρήμασιν, ἅπαν τὸ κλινόμενον τῆς ψυχῆς πρὸς τὸ αἰσθητὸν εἶδος ἀπώσεται, ὃ κέκληται παρ' Ἑβραίοις Λώτ. Οὗ χάριν ὁ σοφὸς εἰςάγεται λέγων ἄντικρυς, "Διαχωρίσθητι ἀπ' ἐμοῦ" *)· συνοικεῖν γὰρ ἀμήχανον τὸν ἀσωμάτων καὶ ἀφθάρτων ἔρωτι κατεσχημένον τῷ πρὸς τὰ αἰσθητὰ καὶ θνητὰ ῥέποντι. Παγκάλως οὖν ὁ ἱεροφάντης μίαν τῆς νομοθεσίας ὅλην ἱερὰν βίβλον "Ἐξαγωγὴν" ἀνέγραψεν, οἰκεῖον ὄνομα εὑράμενος τοῖς περιεχομένοις χρησμοῖς. Ἅτε γὰρ παιδευτικὸς ὢν καὶ πρὸς νουθεσίαν καὶ σωφρονισμὸν ἑτοιμότατος τὸν οἷόν τε νουθετεῖσθαι καὶ σωφρονίζεσθαι πάντα τῆς ψυχῆς λεὼν, ἀπὸ τῆς Αἰγυπτίας χώρας, τοῦ σώματος καὶ τῶν οἰκητόρων αὐτῆς ἐξελεῖν διανοεῖται· χαλεπώτατον καὶ βαρύτατον ἄχθος ἡγούμενος ὁρατικὴν διάνοιαν πρὸς σαρκὸς ἡδονῶν πιεσθῆναι, καὶ ἐπιτάγμασιν ὑπηρετεῖν, ἅττ' ἂν αἱ ἀνηλεεῖς προστάττωσιν ἐπιθυμίαι. Τούτους μὲν οὖν στενάξαντας καὶ πολλὰ δακρύσαντας τὴν σωματικὴν εὐθηνίαν καὶ τὰς τῶν ἐκτὸς ἀφθόνους περιουσίας — λέγεται γὰρ ὅτι "Ἐστέναξαν οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν ἔργων" — ὑφηγησαμένου τοῦ ἵλεω θεοῦ τὰ περὶ τὴν ἔξοδον, ὁ προφήτης αὐτοὺς ῥύεται. Εἰσὶ δὲ οἳ μέχρι τῆς τελευτῆς τὰς πρὸς σῶμα σπονδὰς ἔθεντο, καὶ ὥςπερ λάρνακι ἢ σορῷ ἢ ὅπως ὀνομάζειν ἑτέρως φίλον, τῷ δὲ ἐνετάφησαν. Ὧν τὰ μὲν ὅσα φιλοσώματα καὶ φιλοπαθῆ μέρη λήθῃ παραδοθέντα κατορύττεται· εἰ δέ πού τι φιλάρετον παρα-

*) Gen. 13, 9. **) Exod. 2, 23.

ἀφ᾽ ἑτέρων εἰ ἐθέλοι δημιουργῆσαι. Τὸ δὲ πρέπον ὁρῶν ἑαυτῷ τε καὶ τοῖς γινομένοις, ταῖς ὑπηκόοις δυνάμεσιν ἔστιν ἃ διαπλάττειν ἐφῆκεν, οὐδὲ ταύταις εἰςάπαν αὐτοκράτορα δοὺς τοῦ τελεσιουργεῖν ἐπιστήμην, ἵνα μήτι πλημμεληθείη τῶν ἀφικνουμένων εἰς γένεσιν.

§. 35. Ταῦτα μὲν οὖν ἀναγκαῖον ἦν προτυπῶσαι· ὧν δὲ χάριν, ἤδη λεκτέον. Ἡ μὲν φύσις τῶν ζώων εἴς τε ἄλογον καὶ λογικὴν μοῖραν ἐναντίας
432 ἀλλήλαις ἐτμήθη τὸ πρῶτον· ἡ δὲ αὖ λογικὴ
M. πάλιν εἴς τε τὸ φθαρτὸν καὶ ἀθάνατον εἶδος, φθαρ-
τὸν μὲν τὸ ἀνθρώπων, ἄφθαρτον δὲ τὸ ψυχῶν 346
ἀσωμάτων, αἳ κατά τε ἀέρα καὶ οὐρανὸν περιπο- P.
λοῦσι. Κακίας δὲ ἀμέτοχοι μέν εἰσιν αὗται, τὸν ἀκήρατον καὶ εὐδαίμονα κλῆρον ἐξ ἀρχῆς λαχοῦσαι, καὶ τῷ συμφορῶν ἀνηνύτων οὐκ ἐνδεθεῖσαι χωρίῳ, σώματι· ἀμέτοχοι δὲ καὶ αἱ τῶν ἀλόγων, παρ᾽ ὅσον ἀμοιροῦσαι διανοίας, οὐδὲ τῶν ἐκ λογισμοῦ συμβαινόντων ἑκουσίων ἀδικημάτων ἁλίσκονται. Μόνος δὲ σχεδὸν ἐκ πάντων ὁ ἄνθρωπος ἀγαθῶν καὶ κακῶν ἔχων ἐπιστήμην αἱρεῖται μὲν πολλάκις τὰ φαυλότατα, φεύγει δὲ τὰ σπουδῆς ἄξια, ὡς αὐτὰ μάλιστα ἐπὶ τοῖς ἐκ προνοίας ἁμαρτήμασι καταγινώσκεσθαι. Προςηκόντως οὖν τὴν τούτου κατασκευὴν ὁ θεὸς περιῆψε καὶ τοῖς ὑπάρχοις αὐτοῦ, λέγων, "Ποιήσωμεν ἄνθρωπον" *), ἵνα αἱ μὲν τοῦ νοῦ κατορθώσεις ἐπ᾽ αὐτὸν ἀναφέρωνται μόνον, ἐπ᾽ ἄλλους δὲ αἱ ἁμαρτίαι. Θεῷ γὰρ τῷ πανηγεμόνι ἐμπρεπὲς οὐκ ἔδοξεν εἶναι τὴν ἐπὶ κακίαν ὁδὸν ἐν ψυχῇ λογικῇ δι᾽ ἑαυτοῦ δημιουργῆσαι· οὗ χάριν τοῖς μετ᾽ αὐτὸν ἐπέτρεψε τὴν τούτου τοῦ μέρους κατασκευήν. Ἔδει γὰρ καὶ τὸ ἀντίπαλον τῷ ἀκουσίῳ τὸ ἑκούσιον εἰς τὴν τοῦ παντὸς συμπλήρωσιν κατασκευασθὲν ἀναδειχθῆναι.

---

*) Gen. 1, 26.

§. 36. Τοῦτο μὲν δὴ ταύτῃ λελέχθω. Προςήκει δὲ καὶ ἐκεῖνο λελογίσθαι, ὅτι μόνον ἀγαθῶν ἐστιν ὁ θεὸς αἴτιος, κακοῦ δὲ οὐδενὸς τὸ παράπαν, ἐπειδὴ καὶ τὸ πρεσβύτατον τῶν ὄντων καὶ τελειότατον ἀγαθὸν αὐτὸς ἦν. Ἐμπρεπέστατα δὲ τὰ οἰκεῖα τῇ ἑαυτοῦ φύσει δημιουργεῖν, ἄριστα τὸν ἄριστον· τὰς μέντοι κατὰ πονηρῶν κολάσεις διὰ τῶν ὑπ' αὐτὸν βεβαιοῦσθαι. Μαρτυρεῖ δέ μου τῷ λόγῳ καὶ τὸ εἰρημένον ὑπὸ τοῦ τελειωθέντος ἐξ ἀσκήσεως τόδε, „Ὁ θεὸς ὁ τρέφων με ἐκ νεότητος, ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν" *). Ὁμολογεῖ γὰρ καὶ οὗτος ἤδη, ὅτι τὰ μὲν γνήσια τῶν ἀγαθῶν ἃ φιλαρέτους τρέφει ψυχὰς ἐπὶ θεὸν ἀναφέρεται μόνως αἴτιον· ἡ δὲ τῶν κακῶν μοῖρα ἀγγέλοις ἐπιτέτραπται πάλιν, οὐδὲ ἐκείνοις ἔχουσι τὴν τοῦ κολάζειν αὐτοκράτορα ἐξουσίαν, ἵνα μηδενὸς τῶν εἰς φθορὰν τεινόντων ἡ σωτήριος αὐτοῦ κατάρχῃ φύσις. Διὸ λέγει, „Δεῦτε καταβάντες συγχέωμεν" **). Οἱ μὲν γὰρ ἀσεβεῖς τοιαύτης ἐπάξιοι δίκης τυγχάνειν ἵλεως καὶ εὐεργέτιδας καὶ φιλοδώρους αὐτοῦ δυνάμεις οἰκειοῦσθαι τιμωρίαις. Εἰδὼς μέντοι τῷ γένει τῶν ἀνθρώπων ὠφελίμους ὑπαρχούσας, δι' ἑτέρων αὐτὰς ὥρισεν. Ἔδει γὰρ τὸ μὲν ἐπανορθώσεως ἀξιωθῆναι, τὰς δὲ πηγὰς τῶν ἀεννάων αὐτοῦ χαρί-
433 των ἀμιγεῖς κακῶν οὐκ ὄντων μόνον, ἀλλὰ καὶ
M. νομιζομένων, φυλαχθῆναι.

§. 37. Τίς δέ ἐστιν ἡ σύγχυσις ἐρευνητέον. 347
Πῶς οὖν ἐρευνήσομεν; Οὕτως, ὥς γέ μοι φαίνε- P.
ται. Πολλάκις οὓς πρότερον οὐκ ᾔδειμεν ἀπὸ τῶν συγγενῶν καί τινα πρὸς αὐτοὺς ἐχόντων ἐμφέρειαν ἐγνωρίσαμεν· οὐκοῦν καὶ πράγματα τὸν αὐτὸν τρόπον, ἃ μὴ ῥᾴδιον ἐξ ἑαυτῶν καταλαμβάνεσθαι, δῆλα γένοιντ' ἂν, κατὰ τὴν τῶν οἰκείων αὐτοῖς ὁμοιότητα; Τίνα οὖν ἐστι συγχύσει πράγματα ὅμοια;

---

*) Gen. 48, 16. **) Ibid. 11, 7.

Ἡ μίξις, ὥςπερ ὁ παλαιὸς λόγος, καὶ κρᾶσις. Ἀλλ' ἡ μὲν μίξις ἐν ξηραῖς, ἡ δὲ κρᾶσις ἐν ὑγραῖς οὐσίαις δοκιμάζεται. Μίξις μὲν οὖν σωμάτων διαφερόντων ἐστὶν οὐκ ἐν κόσμῳ παράθεσις· ὥςπερ ἂν εἴ τις σωρὸν ποιήσαι κριθὰς καὶ πυροὺς καὶ ὀρόβους, καὶ ἄλλα τὰ εἴδη τῶν σπαρτῶν εἰς τὸ αὐτὸν εἰςενεγκών. Κρᾶσις δὲ οὐ παράθεσις, ἀλλὰ τῶν ἀνομοίων μερῶν εἰς ἄλληλα εἰςδυομένων δι' ὅλων ἀντιπαρέκτασις, ἔτι δυναμένων ἐπιτεχνήσει τινὶ διακρίνεσθαι τῶν ποιοτήτων, ὡς ἐπὶ οἴνου καὶ ὕδατός φασι γίνεσθαι· συνελθούσας μὲν γὰρ τὰς οὐσίας ἀποτελεῖν κρᾶσιν, τὸ δὲ κραθὲν οὐδὲν ἧττον ἀποπληροῦσθαι πάλιν εἰς τὰς ἐξ ὧν ἀπετελέσθη ποιότητας. Σπόγγῳ γὰρ ἐλαιωμένῳ τὸ μὲν ὕδωρ ἀναλαμβάνεσθαι, τὸν δὲ οἶνον ὑπολείπεσθαι· μήποτε ἐπειδήπερ ἐξ ὕδατος ἡ σπογγίας γένεσίς ἐστι, τὸ μὲν οἰκεῖον ὕδωρ πέφυκεν ἀναλαμβάνεσθαι πρὸς αὐτῆς ἐκ τοῦ κράματος, τὸ δ' ἀλλότριον ὑπολείπεσθαι, ὁ οἶνος. Σύγχυσις δέ ἐστι φθορὰ τῶν ἐξ ἀρχῆς ποιοτήτων, πᾶσι τοῖς μέρεσιν ἀντιπαρεκτεινομένων εἰς διαφερούσης μιᾶς γένεσιν· ὡς ἐπὶ τῆς ἐν ἰατρικῇ τετραφαρμάκου συντέτευχε. Κηρὸς γὰρ, καὶ στέαρ, καὶ πίττα, ῥητίνη τε, οἶμαι, συνελθόντα ταύτην ἀποτελεῖ· συνδεθείσης δὲ ἀμήχανον ἐπὶ τὰς ἐξ ὧν συνετέθη διακριθῆναι δυνάμεις, ἀλλ' ἑκάστη μὲν αὐτῶν ἠφάνισται, πασῶν δὲ φθορὰ μίαν ἐξαίρετον ἄλλην ἐγέννησε δύναμιν. Ὅταν δὲ ἀπειλῇ σύγχυσιν τοῖς ἀσεβέσι λογισμοῖς ὁ θεὸς, οὐ μόνον ἑκάστης κακίας τό τε εἶδος καὶ τὴν δύναμιν ἀφανισθῆναι κελεύει, ἀλλὰ καὶ τὸ συνερανισθὲν ἐξ αὐτῶν· ἵνα μήτε τὰ μέρη καθ' ἑαυτὰ, μήθ' ἡ πάντων σύνοδός τε καὶ συμφωνία περιβάλληταί τινα ἰσχὺν ἐπὶ καθαιρέσει τῆς ἀμείνονος μοίρας. Οὗ χάριν φησὶ, "Συγχέωμεν ἐκεῖ αὐτῶν τὴν γλῶτταν, ἵνα μὴ ἀκούσωσιν ἕκαστος τὴν φωνὴν τοῦ πλησίον" *), ὅπερ

*) Gen. 11, 7.

ἴσον ἐστὶ τούτῳ, κωφὸν ἕκαστον ἐργασώμεθα τῶν κακίας μερῶν, ὡς μήτε ἰδίαν ἀφιέναι, μήτε συνηχοῦν ἑτέρῳ βλάβης αἴτιον γίνηται.

§. 37. Ταῦτα μὲν ἡμεῖς· οἱ δὲ τοῖς ἐμφανέσι καὶ προχείροις μόνον ἐπακολουθοῦντες οἴονται γένεσιν
134 διαλέκτων Ἑλλήνων τε καὶ Βαρβάρων ὑπογρά- 348
M. φεσθαι· οὓς οὐκ ἂν αἰτιασάμενος — ἴσως γὰρ ἀλη- P.
θεῖ καὶ αὐτοὶ χρῶνται λόγῳ — παρακελέσαιμ᾽ ἄν, μὴ ἐπὶ τούτων στῆναι, μετελθεῖν δὲ ἐπὶ τὰς τροπικὰς ἀποδόσεις· νομίσαντας τὰ μὲν ῥητὰ τῶν χρησμῶν σκιάς τινας ὡςανεὶ σωμάτων εἶναι, τὰς δ᾽ ἐμφαινομένας δυνάμεις, τὰ ὑφεστῶτα ἀληθείᾳ πράγματα. Δίδωσι μέντοι πρὸς τοῦτ᾽ ἀφορμὰς τὸ εἶδος τοῖς μὴ τυφλοῖς τὴν διάνοιαν ὁ νομοθέτης αὐτὸς, ὥςπερ ἀμέλει καὶ ἐφ᾽ ὧν νῦν ἐστιν ὁ λόγος. Τὸ γὰρ γινόμενον σύγχυσιν προςεῖπεν, καίτοιγε εἰ διαλέκτων γένεσιν αὐτὸ μόνον ἐδήλου, καὶ ἂν ὄνομα εὐθυβολώτερον ἐπεφήμισεν ἀντὶ συγχύσεως διάκρισιν. Οὐ γὰρ συγχεῖται τὰ τεμνόμενα, διακρίνεται δὲ ἔμπαλιν, καὶ ἔστιν οὐ μόνον ἐναντίον ὄνομα ὀνόματι, ἀλλ᾽ ἔργον ἔργῳ. Σύγχυσις μὲν γάρ, ὡς ἔφην, ἐστὶν φθορὰ τῶν ἁπλῶν δυνάμεων εἰς συμπεφορημένης μιᾶς γένεσιν· διάκρισις δὲ ἑνὸς εἰς πλείω τομή, καθάπερ ἐπὶ γένους καὶ τῶν καθ᾽ αὐτὸ εἰδῶν ἔχειν συντέτευχεν. Ὥςτε εἰ μίαν οὖσαν φωνὴν ἐκέλευσε τέμνειν ὁ σοφὸς εἰς πλειόνων διαλέκτων τμήματα, προςεχεστέροις ἂν καὶ κυριωτέροις ἐχρήσατο τοῖς ὀνόμασι, τομὴν, ἢ διανέμησιν, ἢ διάκρισιν, ἤ τι ὁμοιότροπον εἰπὼν, οὐ τὸ μαχόμενον αὐτοῖς, σύγχυσιν. Ἀλλ᾽ ἔστιν ἡ σπουδὴ διαλῦσαι τὸ κακίας στῖφος, τὰς ὁμολογίας αὐτῆς ἀκυρῶσαι, τὴν κοινωνίαν ἀνελεῖν, τὰς δυνάμεις ἀφανίσαι καὶ διαφθεῖραι, τὸ τῆς ἀρχῆς κράτος, ὃ δειναῖς ὠχυρώσατο παρανομίαις, καθελεῖν. Οὐχ ὁρᾷς ὅτι καὶ τῶν ψυχῆς ὁ πλάστης μερῶν, οὐδὲν οὐδενὶ εἰς τὴν τοῦ ἑτέρου κοινωνίαν ἤγαγεν; Ἀλλ᾽ ὀφθαλμοὶ μὲν οὐκ ἂν ἀκούσειαν, ὦτα δὲ οὐκ ἂν θεάσαιντο, χεῖλος

δὲ ἐν στόματι οὐκ ἂν ὄσφροιτο, οὐδ᾽ ἂν γεύσαιντο ῥῖνες, οὔτ᾽ αὖ λόγος οὐδὲν ἂν τῶν κατὰ τὰς αἰσθήσεις πάθοι, οὐδ᾽ ἔμπαλιν ῥῆξαι φωνὴν δύναιτ᾽ ἂν αἴσθησις. Ἔγνω γὰρ ὁ τεχνίτης, ὅτι τὸ μὴ ἀκούειν ἕκαστον τούτων τῆς τοῦ πλησίον φωνῆς, λυσιτελές ἐστιν· ἀλλὰ τὰ μὲν τῆς ψυχῆς μέρη ταῖς οἰκείαις δυνάμεσιν ἀσυγχύτοις χρῆσθαι πρὸς τὴν τῶν ζώων ὠφέλειαν, καὶ εἰς τὴν πρὸς ἄλληλα κοινωνίαν ἀφήρηται· τὰ δὲ τῆς κακίας εἰς σύγχυσιν καὶ φθορὰν ἀχθῆναι παντελῆ, ἵνα μήτε συμφωνήσαντα, μήτε καθ᾽ ἑαυτὰ ὄντα ζημία τοῖς ἀμείνοσι γένηται. Παρ᾽ ὃ καὶ λέγει, "Διέσπειρεν αὐτοὺς κύριος ἐκεῖθεν" *), ἐν ἴσῳ τῷ, ἐσκέδασεν, ἐφυγάδευσεν, ἀφανεῖς ἐποίησεν. Τὸ γὰρ σπείρειν τὸ μὲν ἐπιδόσεως καὶ αὐξήσεως καὶ γενέσεως ἑτέρων ἕνεκα συμβαίνει, τὸ δὲ
ἀπωλείας καὶ φθορᾶς. Βούλεται δὲ ὁ φυτουργὸς θεὸς 349
435 σπείρειν μὲν ἐν τῷ παντὶ καλοκἀγαθίαν, διασπεί- P.
M. ρειν δὲ καὶ ἐλαύνειν ἐκ τῆς τοῦ κόσμου πολιτείας τὴν ἐπάρατον ἀσέβειαν· ἵν᾽ ἤδη ποτὲ παύσωνται τῆς κακίας πόλιν καὶ τὸν ἀθεότητος πύργον οἰκοδομοῦντες μισάρετοι τρόποι. Τούτων γὰρ σκεδασθέντων οἱ πάλαι πεφευγότες τὴν τυραννίδα τῆς ἀφροσύνης ἑνὶ κηρύγματι κάθοδον εὑρήσουσι, γράψαντός τε καὶ βεβαιώσαντος τὸ κήρυγμα· ὡς δηλοῦσιν οἱ χρησμοί, ἐν οἷς διείρηται ὅτι "Ἐὰν ᾖ ἡ διασπορά σου ἀπ᾽ ἄκρου τοῦ οὐρανοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ, ἐκεῖθεν συνάξει σε" **). Ὥςτε τὴν μὲν ἀρετῶν συμφωνίαν ἐμπρεπὲς ἁρμόζεσθαι θεῷ, τὴν δὲ κακίαν διαλύειν τε καὶ φθείρειν. Οἰκειότατον δὲ κακίας ὄνομα σύγχυσις· οὗ πίστις ἐναργὴς πᾶς ἄφρων, λόγοις καὶ βουλαῖς καὶ πράξεσιν ἀδοκίμοις καὶ πεφορημέναις χρώμενος.

---

*) Gen. 11, 8. **) Deut. 30, 4.

ΠΕΡΙ ΑΠΟΙΚΙΑΣ.

ARGUMENTUM LIBRI DE MIGRATIONE ABRAHAMI.

(Cf. Gen. 12, 1—6.)

Abrahamus, iussus a deo de terra, de cognatione, de domo sua egredi, symbolum est animae deo procurante, ad virtutem se convertentis, quod fit, quando a corpore (terra), sensu (cognatione) et oratione prolata (domo patris) secedit (1.). Hoc facit, quisquis super terrena, sensus et verborum fallacias emergere conatur, et inprimis semet ipsum noscere studet (2. 3.). Simile docemur eo, quod ossa Iosephi ex Aegypto (immortale a mortali) transferri iubentur (4. 5.). Quibus illud curae, iis adest deus (6. 7.), ita, ut demum lucem divinam videant, i. e. sapientiam discant (8.). Huius spem tantum quaesituris deus facit, ut ad fidem ipsi exhibendam nos excitet, cuius praemium primum piis summo bono frui conceditur, i. e. videre deum (9.). Secundum vero, incrementum infinitum facultatis percipiendorum eorum, quae sunt aeterna (10—12.); tertium, εὐλογία, quae cernitur in ratione sana et sermone exercitato, ex illa tanquam e fonte profluente (13.), quo ad confutandos sophistarum errores praeter cetera opus est (14. 15.); quartum, magnitudo nominis, seu bona fama (16.), quum non esse tantum, sed et videri sapientibus necessarium, quorum est virtutis amorem in aliis excitare (17. 18.); quintum, benedictione a deo dignum iudicari (19—20.). Ultimum

§. 2. Ὡς μὲν τοίνυν γῆν μὲν τὸ σῶμα καλεῖ, συγγένειαν δὲ τὴν αἴσθησιν, οἶκον δὲ πατρὸς τὸν λόγον, δεδηλώκαμεν. Τὸ δὲ "Ἄπελθε ἐκ τούτων" οὐκ ἔσθ' ὅμοιον τῷ, διαζεύχθητι κατὰ τὴν οὐσίαν, ἐπεὶ θάνατον ἦν διαφορεύοντος ἡ πρόςταξις· ἀλλ' ἴσον τῷ, τὴν γνώμην ἀλλοτριώθητι, πρὸς μηδενὸς περισχεθεὶς αὐτῶν, ὑπεράνω στῆθι πάντων, ὑπήκοοί σου εἰσὶ, μηδέποτε ὡς ἡγεμόσι χρῶ. Βασιλεὺς ὢν ἄρχειν ἀλλὰ μὴ ἄρχεσθαι πεπαίδευσο, πάντα τὸν αἰῶνα γίνωσκε σεαυτὸν, ὡς καὶ Μωϋσῆς πολλαχοῦ διδάσκει, λέγων, "Πρόςεχε σεαυτῷ" *), οὕτως γὰρ ὧν τε ὑπακούειν καὶ ἐπιτάττειν προςῆκεν αἰσθήσῃ. Ἄπελθε οὖν ἐκ τοῦ περὶ σεαυτὸν γεώδους, τὸ παμμίαρον, ὦ οὗτος, ἐκφυγὼν δεσμωτήριον, τὸ σῶμα, καὶ τὰς ὥςπερ εἱρκτοφύλακας ἡδονὰς καὶ ἐπιθυμίας αὐτοῦ, παντὶ σθένει καὶ πάσῃ δυνάμει μηδὲν τῶν εἰς κάκωσιν παρεὶς, ἀλλὰ πάντα ἀθρόα συλλήβδην ἐπανατεινάμενος. Ἄπελθε καὶ ἐκ τῆς συγγενοῦς αἰσθήσεως· νυνὶ μὲν γὰρ κέχρηκας ἑκάστῃ σεαυτὸν, καὶ γέγονας ἀλλότριον τῶν δεδανεισμένων ἀγαθὸν, ἀποβεβληκὼς τὸ ἴδιον. Οἶδας δὲ, καὶ ἐὰν πάντες ἡσυχάζωσιν, ὡς ὀφθαλμοί σε ἄγουσι καὶ ὦτα καὶ ἡ ἄλλη τῆς συγγενείας πληθὺς ἅπασα πρὸς τὰ
438 φίλα ἑαυτοῖς. Ἐὰν δὲ θέλῃς κομίσασθαι τὰ 39
M. σαυτοῦ δάνεια, καὶ τὴν ἰδίαν κτῆσιν περιβαλέσθαι, P.
μηδὲν αὐτῆς διαζεύξας ἢ ἀλλοτριώσας μέρος, εὐδαίμονος μεταποιήσῃ βίου, χρῆσιν καὶ ἀπόλαυσιν οὐκ ὀθνείων, ἀλλ' οἰκείων ἀγαθῶν εἰς ἀεὶ καρπούμενος. Ἀλλὰ μετανάστηθι καὶ ἐκ τοῦ κατὰ προφορὰν λόγου, ὃν πατρὸς οἶκον ἐκάλεσεν, ἵνα μὴ ῥημάτων καὶ ὀνομάτων ἀπατηθεὶς κάλλεσι, τοῦ πρὸς ἀλήθειαν κάλλους, ὅπερ ἐστὶν ἐν τοῖς δηλουμένοις πράγμασι, διαζευχθῇς. Ἄτοπον γὰρ ἢ σκιὰν σωμάτων ἢ μίμημα ἀρχετύπων φέρεσθαι πλέον· σκιᾷ μὲν δὴ καὶ

*) Exod. 34, 12.

μιμήματι ἔοικεν ἑρμηνεία, σώμασι δὲ καὶ ἀρχετύποις αἱ τῶν διερμηνευομένων φύσεις πραγμάτων, ὧν, τὸν ἐφιέμενον τοῦ εἶναι μᾶλλον ἢ τοῦ δοκεῖν, χρὴ περιέχεσθαι, διοικιζόμενον ἀπ' ἐκείνων.

§. 3. Ἐπειδὰν γοῦν ὁ νοῦς ἄρξηται γνωρίζειν ἑαυτὸν καὶ τοῖς νοητοῖς ἐνομιλεῖν θεωρήμασιν, ἅπαν τὸ κλινόμενον τῆς ψυχῆς πρὸς τὸ αἰσθητὸν εἶδος ἀπώσεται, ὃ κέκληται παρ' Ἑβραίοις Λώτ. Οὗ χάριν ὁ σοφὸς εἰςάγεται λέγων ἄντικρυς, "Διαχωρίσθητι ἀπ' ἐμοῦ" *)· συνοικεῖν γὰρ ἀμήχανον τὸν ἀσωμάτων καὶ ἀφθάρτων ἔρωτι κατεσχημένον τῷ πρὸς τὰ αἰσθητὰ καὶ θνητὰ ῥέποντι. Παγκάλως οὖν ὁ ἱεροφάντης μίαν τῆς νομοθεσίας ὅλην ἱερὰν βίβλον "Ἐξαγωγὴν" ἀνέγραψεν, οἰκεῖον ὄνομα εὑράμενος τοῖς περιεχομένοις χρησμοῖς. Ἅτε γὰρ παιδευτικὸς ὢν καὶ πρὸς νουθεσίαν καὶ σωφρονισμὸν ἑτοιμότατος τὸν οἷόν τε νουθετεῖσθαι καὶ σωφρονίζεσθαι πάντα τῆς ψυχῆς λεὼν, ἀπὸ τῆς Αἰγυπτίας χώρας, τοῦ σώματος καὶ τῶν οἰκητόρων αὐτῆς ἐξελεῖν διανοεῖται· χαλεπώτατον καὶ βαρύτατον ἄχθος ἡγούμενος ὁρατικὴν διάνοιαν πρὸς σαρκὸς ἡδονῶν πιεσθῆναι, καὶ ἐπιτάγμασιν ὑπηρετεῖν, ἅττ' ἂν αἱ ἀνηλεεῖς προστάττωσιν ἐπιθυμίαι. Τούτους μὲν οὖν στενάξαντας καὶ πολλὰ δακρύσαντας τὴν σωματικὴν εὐθηνίαν καὶ τὰς τῶν ἐκτὸς ἀφθόνους περιουσίας — λέγεται γὰρ ὅτι "Ἐστέναξαν οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν ἔργων" — ὑφηγησαμένου τοῦ ἵλεω θεοῦ τὰ περὶ τὴν ἔξοδον, ὁ προφήτης αὐτοὺς ῥύεται. Εἰσὶ δὲ οἱ μέχρι τῆς τελευτῆς τὰς πρὸς σῶμα σπονδὰς ἔθεντο, καὶ ὥςπερ λάρνακι ἢ σορῷ ἢ ὅπως ὀνομάζειν ἑτέρως φίλον, τῷ δὲ ἐνετάφησαν. Ὧν τὰ μὲν ὅσα φιλοσώματα καὶ φιλοπαθῆ μέρη λήθη παραδοθέντα κατορύττεται· εἰ δέ πού τι φιλάρετον παρα-

*) Gen. 13, 9. **) Exod. 2, 23.

νέβλαστε, μνήμαις ἀνασώζεται, δι᾽ ὧν τὰ καλὰ ζωπυρεῖσθαι πέφυκε.

§. 4. Τὰ γοῦν ὀστᾶ Ἰωσὴφ, λέγω δὴ τὰ μόνα ὑπολειφθέντα τῆς τοιαύτης ψυχῆς ἀδιάφθορα καὶ ἀξιομνημόνευτα εἴδη, περιποιεῖται ὁ ἱερὸς λόγος, 391
439 ἄτοπον ἡγούμενος καθαρὰ μὴ καθαροῖς συνε- P.
M. ζεῦχθαι. Τὰ δ᾽ ἀξιομνημόνευτα ταῦτα ἦν, τὸ πιστεῦσαι ὅτι "ἐπισκέψεται ὁ θεὸς τὸ ὁρατικὸν γένος" *), καὶ οὐ παραδώσει μέχρι παντὸς αὐτὸ ἀμαθίᾳ, τυφλῇ δεσποίνῃ· τὸ διακρῖναι τά τε θνητὰ τῆς ψυχῆς καὶ τὰ ἄφθαρτα· καὶ τὰ μὲν ὅσα περὶ τὰς σώματος ἡδονὰς καὶ τὰς ἄλλας παθῶν ἀμετρίας, θνητὰ ὄντα, Αἰγύπτῳ καταλιπεῖν· περὶ δὲ τῶν ἀφθάρτων σπονδὴν ποιήσασθαι, ὅπως μετὰ τῶν ἀναβαινόντων εἰς τὰς ἀρετῆς πόλεις διακομισθῇ, καὶ ὅρκῳ τὴν σπονδὴν ἐμπεδώσασθαι. Τίνα οὖν τὰ ἄφθαρτα; Ἡ πρὸς ἡδονὴν ἀλλοτρίωσις τὴν λέγουσαν "συνευνασθῶμεν" **), καὶ τῶν ἀνθρωπείων ἀπολαύσωμεν ἀγαθῶν· ἡ μετὰ καρτερίας ἀγχίνοια, δι᾽ ἧς τὰ τῶν κενῶν δοξῶν νομιζόμενα ἀγαθὰ, ὡσὰν ἐνύπνια ὄντα, διακρίνει καὶ διαστέλλει· ὁμολογῶν τὰς μὲν "ἀληθεῖς καὶ σαφεῖς τῶν πραγμάτων συγκρίσεις εἶναι κατὰ θεὸν" ***), τὰς δὲ ἀδήλους καὶ ἀσαφεῖς φαντασίας, κατὰ τὸν πλάνητα καὶ τύφου μεστὸν μήπω κεκαθαρμένων ἀνθρώπων βίον, ταῖς διὰ σιτοπόνων καὶ μαγείρων καὶ οἰνοχόων τέρψεσι χαίροντα· τὸ μὴ ὑπήκοον, ἀλλ᾽ ἄρχοντα Αἰγύπτου, πάσης τῆς σωματικῆς χώρας, ἀναγραφῆναι· τὸ "αὐχεῖν ἐπὶ τῷ γένει εἶναι Ἑβραίων" †), οἷς ἔθος ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητὰ μετανίστασθαι, περάτης γὰρ ὁ Ἑβραῖος ἑρμηνεύεται· τὸ σεμνύνεσθαι ὅτι "ὧδε οὐκ ἐποίησεν οὐδέν" ††). Τὸ γὰρ μηδὲν τῶν ἐνταῦθα σπουδαζόντων παρὰ τοῖς φαύλοις, ἐργά-

*) Gen. 50, 24. **) Gen. 39, 7. ***) Gen. 40, 8.
†) Gen. 40, 15. ††) Ibid.

σασθαι, διαμισῆσαι δὲ καὶ ἀποστραφῆναι πάντα, οὐ μετρίως ἐπαινετόν· τὸ ἐρασιάζειν ἐπιθυμιῶν καὶ πάντων παθῶν ἀμετρίαις· τὸ "φοβεῖσθαι τὸν θεὸν" *), εἰ καὶ μηδέπω γέγονεν ἀγαπᾷν ἱκανός· τὸ ζωῆς ἐν Αἰγύπτῳ μεταποιεῖσθαι τῆς ἀληθοῦς.

§. 5. Ὁ δὴ θαυμάσας ὁ ὁρῶν — καὶ γὰρ ἄξιον ἦν καταπλαγῆναι — φησί, "Μέγα μοί ἐστιν, εἰ ἔτι ὁ υἱός μου Ἰωσὴφ ζῇ" **), ἀλλὰ μὴ κεναῖς δόξαις καὶ τῷ νεκροφορουμένῳ σώματι συντέθνηκε· τὸ ὁμολογεῖν ὅτι "τοῦ θεοῦ ἐστι" ***), τῶν δ' εἰς γένεσιν ἐλθόντων οὐδενός· τὸ ἐγνωρισμένον τοῖς ἀδελφοῖς, πάντας τοὺς φιλοσωμάτους κινῆσαι καὶ σαλεῦσαι τρόπους ἑστάναι παγίως ἐπὶ τῶν ἰδίων οἰομένους δογμάτων, καὶ ἀνὰ κράτος ἀπώσασθαι· τὸ φάναι "μὴ πρὸς ἀνθρώπων ἀπεστάλθαι, ὑπὸ δὲ τοῦ θεοῦ κεχειροτονῆσθαι" πρὸς τὴν τοῦ σώματος καὶ τῶν ἐκτὸς ἔννομον ἐπιστασίαν. Πολλὰ δὲ καὶ ἄλλα τούτοις ὁμοιότροπα, τῆς ἀμείνονος καὶ ἱερωτέρας ὄντα τάξεως. Αἴγυπτον τὸν σωματικὸν οἶκον οἰκεῖν οὐκ ἀνέχεται, οὐδ' ἐνθάπτεται σορῷ τὸ παράπαν, ἔξω δὲ παντὸς
440 τοῦ θνητοῦ κεχωρηκότα, παρέπεται θεσμοθέτῃ
M. λόγῳ, Μωϋσῇ ποδηγετοῦντι. Τροφεὺς γὰρ καὶ 392
τιθηνὸς οὗτος ἀστείων ἔργων, λόγων, βουλευμάτων, P.
ἃ καὶ ἂν τοῖς ἐναντίοις ἀνακραθῇ ποτε, διὰ τὴν ὑποσύγχυτον τοῦ θνητοῦ πολυμιγίαν, οὐδὲν ἧττον διακρίνεται παρελθόντα, ἵνα μὴ μέχρι παντὸς τὰ καλοκἀγαθίας σπέρματα καὶ φυτὰ ἀφανισθέντα οἴχηται. Καὶ προτρέπεται μάλα ἐρρωμένως ἀπολιπεῖν τὴν παντὸς ἀτόπου χρηματίζουσαν μητέρα, μὴ μέλλοντας καὶ βραδύνοντας, ἀλλ' ὑπερβάλλοντας τάχει. Φησὶ γὰρ "μετὰ σπουδῆς δεῖν θύειν τὸ Πάσχα" †), τὸ δ' ἔστιν ἑρμηνευθέν, διάβασις, ἵνα ἀνενδοιάστῳ γνώμῃ καὶ προθυμίᾳ συντόνῳ χρώμενος ὁ νοῦς τὴν

---

*) Gen. 42, 18. **) Gen. 45, 28. ***) Gen. 50, 19.
†) Exod. 12, 12.

τε ἀπὸ τῶν παθῶν ἀμεταστρεπτὶ ποιῆται διάβασιν καὶ τὴν πρὸς τὸν σωτῆρα θεὸν εὐχαριστίαν, ὅς εἰς ἐλευθερίαν οὐ προςδοκήσαντα αὐτὸν ἐξείλετο.

§. 6. Καὶ τί θαυμάζομεν, εἰ τὸν ὑπηγμένον κράτει πάθους ἀλόγου προτρέπει μὴ ἐνδιδόναι, μηδὲ τῇ ῥύμῃ τῆς ἐκείνου φορᾶς κατασυρῆναι, βιάσασθαι δὲ ἀντισχόντα, καὶ ἂν εἰ μὴ δύναιτο, ἀποδρᾶναι; Δευτέρα γὰρ ἔφοδος εἰς σωτηρίαν τοῖς ἀμύνεσθαι μὴ δυναμένοις, δρασμός ἐστιν· ὁπότε καὶ τὸν ἀγωνιστὴν φύσει καὶ μηδέποτε παθῶν δοῦλον γεγενημένον, ἀεὶ δὲ ἀθλοῦντα τοὺς πρὸς ἕκαστον αὐτῶν ἄθλους, οὐκ ἐᾷ μέχρι παντὸς τοῖς παλαίσμασι χρήσασθαι, μήποτε τῷ συνεχεῖ τῆς εἰς ταὐτὸ συνόδου, χαλεπὴν ἀπ᾽ ἐκείνων κῆρα ἐναπομάξηται. Πολλοὶ γὰρ ἤδη καὶ ἀντιπάλου κακίας ἐγένοντο μιμηταὶ, ὡς ἀρετῆς ἔμπαλιν ἕτεροι.. Διὸ λόγιον ἐχρήσθη τοιόνδε, "Αποστρέφου εἰς τὴν γῆν τοῦ πατρός σου, καὶ εἰς τὴν γενεάν σου, καὶ ἔσομαι μετὰ σοῦ" *), ἴσον τῷ, γέγονάς μοι ἀθλητὴς τέλειος, καὶ βραβείων καὶ στεφάνων ἠξιώθης, ἀγωνοθετούσης ἀρετῆς, καὶ προτεινούσης ἆθλά σοι τὰ νικητήρια. Κατάλυσον δὲ ἤδη τὸ φιλόνεικον, ἵνα μὴ πάντοτε πονῇς, ἀλλὰ καὶ τῶν πονηθέντων ἀπόνασθαι δυνηθῇς. Τοῦτο δὲ ἐνταυθοῖ καταμένων οὐδέποτε εὑρήσεις τοῖς αἰσθητοῖς ἔτι συνοικῶν καὶ ταῖς σωματικαῖς ἐνδιατρίβων ποιότησιν, ὧν Λάβαν ἐστὶν ἔξαρχος — ὄνομα δὲ ποιότητος τοῦτ᾽ ἐστὶν — ἀλλὰ μετανάστην χρὴ γενέσθαι εἰς τὴν πατρῴαν γῆν, τὴν ἱεροῦ λόγου καὶ τρόπον τινὰ τῶν ἀσκητῶν πατρὸς, ἣ δή ἐστι σοφία, τῶν φιλαρέτων ψυχῶν ἐνδιαίτημα ἄριστον. Ἐν ταύτῃ τῇ χώρᾳ καὶ γένος ἐστί σοι τὸ αὐτομαθὲς, τὸ αὐτοδίδακτον, τὸ νηπίας καὶ γαλακτώδους τροφῆς ἀμέτοχον, τὸ χρησμῷ θείῳ "καταβαίνειν εἰς Αἴγυπτον κεκωλυμένον" **), καὶ τῆς σαρκὸς ἐντυγχά-

*) Gen. 31, 3. **) Gen. 26, 2.

νειν δελεαζούσαις ἡδοναῖς, ἐπίκλησιν Ἰσαάκ. Οὗ τὸν
κλῆρον παραλαβὼν ἐξ ἀνάγκης ἀποθήσῃ τὸν πόνον.
Αἱ γὰρ ἀφθονίαι τῶν ἑτοίμων καὶ κατὰ χεῖρας ἀγα- 393
441 *θῶν ἀπονίας αἴτιαι. Πηγὴ δὲ, ἀφ᾽ ἧς ὀμβρεῖ* P.
M. *τὰ ἀγαθὰ, ἡ τοῦ φιλοδώρου θεοῦ σύνοδός ἐστιν·*
οὗ χάριν ἐπισφραγιζόμενος τὰ τῶν εὐεργεσιῶν φησιν
„Ἔσομαι μετὰ σοῦ" *).

§. 7. *Τί ἂν οὖν ἐπιλείποι καλὸν, τοῦ τελεσφόρου πάντως παρόντος θεοῦ μετὰ χαρίτων τῶν παρθένων αὐτοῦ θυγατέρων, ἃς ἀδιαφθόρους καὶ ἀμιάντους ὁ γεννήσας πατὴρ κουροτροφεῖ; Τότε μελέται μὲν καὶ πόνοι καὶ ἀσκήσεις ἡσυχάζουσιν, ἀναδίδοται δὲ ἄνευ τέχνης, φύσεως προμηθείᾳ, πάντα ἀθρόα πᾶσιν ὠφέλιμα. Καλεῖται δὲ ἡ φορὰ τῶν αὐτοματιζομένων ἀγαθῶν ἄφεσις, ἐπειδήπερ ὁ νοῦς ἀφίεται τῶν κατὰ τὰς ἰδίας ἐπιβολὰς ἐνεργειῶν, καὶ ὥσπερ τῶν ἑκουσίων ἠλευθέρωται, διὰ τὴν πληθὺν τῶν ὑομένων καὶ ἀδιαστάτως ἐπομβρούντων. Ἔστι δὲ ταῦτα θαυμασιώτατα φύσει καὶ περικαλλέστατα. Ὧν μὲν γὰρ ἂν ὠδίνῃ δι᾽ ἑαυτῆς ἡ ψυχὴ, τὰ πολλὰ ἀμβλωθρίδια, ἠλιτόμηνα· ὅσα δ᾽ ἂν ἐπινίφων ὁ θεὸς ἄρδῃ, τέλεια καὶ ὁλόκληρα καὶ πάντων ἄριστα γεννᾶται. Τὸ ἐμαυτοῦ πάθος, ὃ μυριάκις παθὼν οἶδα, διηγούμενος οὐκ αἰσχύνομαι. Βουληθεὶς ἔστιν ὅτε κατὰ τὴν συνήθη τῶν κατὰ φιλοσοφίαν δογμάτων γραφὴν ἐλθεῖν, καὶ ἃ χρὴ συνθεῖναι ἀκριβῶς ἰδὼν, ἄγονον καὶ στεῖραν εὑρὼν τὴν διάνοιαν ἄπρακτος ἀπηλλάγην, τὴν μὲν κακίσας τῆς οἰήσεως, τὸ δὲ τοῦ ὄντος κράτος καταπλαγεὶς, παρ᾽ οὗ τὰς τῆς ψυχῆς ἀνοίγνυσθαί τε καὶ συγκλείεσθαι μήτρας συμβέβηκεν. Ἔστι δὲ ὅτε κενὸς ἐλθὼν πλήρης ἐξαίφνης ἐγενόμην, ἐπινιφομένων καὶ σπειρομένων ἄνωθεν ἀφανῶς τῶν ἐνθυμημάτων, ὡς ὑπὸ κατοχῆς ἐνθέου κορυ-*

*) Gen. 31, 3.

δὲ ἐν στόματι οὐκ ἂν ὄσφροιτο, οὐδ' ἂν γεύσαιντο ῥῖνες, οὔτ' αὖ λόγος οὐδὲν ἂν τῶν κατὰ τὰς αἰσθήσεις πάθοι, οὐδ' ἔμπαλιν ῥῆξαι φωνὴν δύναιτ' ἂν αἴσθησις. Ἔγνω γὰρ ὁ τεχνίτης, ὅτι τὸ μὴ ἀκούειν ἕκαστον τούτων τῆς τοῦ πλησίον φωνῆς, λυσιτελές ἐστιν· ἀλλὰ τὰ μὲν τῆς ψυχῆς μέρη ταῖς οἰκείαις δυνάμεσιν ἀσυγχύτοις χρῆσθαι πρὸς τὴν τῶν ζώων ὠφέλειαν, καὶ εἰς τὴν πρὸς ἄλληλα κοινωνίαν ἀφῄρηται· τὰ δὲ τῆς κακίας εἰς σύγχυσιν καὶ φθορὰν ἀχθῆναι παντελῆ, ἵνα μήτε συμφωνήσαντα, μήτε καθ' ἑαυτὰ ὄντα ζημία τοῖς ἀμείνοσι γένηται. Παρ' ὃ καὶ λέγει, "Διέσπειρεν αὐτοὺς κύριος ἐκεῖθεν" *), ἐν ἴσῳ τῷ, ἐσκέδασεν, ἐφυγάδευσεν, ἀφανεῖς ἐποίησεν. Τὸ γὰρ σπείρειν τὸ μὲν ἐπιδόσεως καὶ αὐξήσεως καὶ γενέσεως ἑτέρων ἕνεκα συμβαίνει, τὸ δὲ
ἀπωλείας καὶ φθορᾶς. Βούλεται δὲ ὁ φυτουργὸς θεὸς 349
435 σπείρειν μὲν ἐν τῷ παντὶ καλοκἀγαθίαν, διασπεί- P.
M. ρειν δὲ καὶ ἐλαύνειν ἐκ τῆς τοῦ κόσμου πολιτείας τὴν
ἐπάρατον ἀσέβειαν· ἵν' ἤδη ποτὲ παύσωνται τῆς κακίας πόλιν καὶ τὸν ἀθεότητος πύργον οἰκοδομοῦντες μισάρετοι τρόποι. Τούτων γὰρ σκεδασθέντων οἱ πάλαι πεφευγότες τὴν τυραννίδα τῆς ἀφροσύνης ἑνὶ κηρύγματι κάθοδον εὑρήσουσι, γράψαντός τε καὶ βεβαιώσαντος τὸ κήρυγμα· ὡς δηλοῦσιν οἱ χρησμοί, ἐν οἷς διείρηται ὅτι "Ἐὰν ᾖ ἡ διασπορά σου ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ, ἐκεῖθεν συνάξει σε" **). Ὥςτε τὴν μὲν ἀρετῶν συμφωνίαν ἐμπρεπὲς ἁρμόζεσθαι θεῷ, τὴν δὲ κακίαν διαλύειν τε καὶ φθείρειν. Οἰκειότατον δὲ κακίας ὄνομα σύγχυσις· οὗ πίστις ἐναργὴς πᾶς ἄφρων, λόγοις καὶ βουλαῖς καὶ πράξεσιν ἀδοκίμοις καὶ πεφορημέναις χρώμενος.

---

*) Gen. 11, 8. **) Deut. 30, 4.

ΠΕΡΙ ΑΠΟΙΚΙΑΣ.

ARGUMENTUM LIBRI DE MIGRATIONE ABRAHAMI.

(Cf. Gen. 12, 1—6.)

Abrahamus, iussus a deo de terra, de cognatione, de domo sua egredi, symbolum est animae deo procurante, ad virtutem se convertentis, quod fit, quando a corpore (terra), sensu (cognatione) et oratione prolata (domo patris) secedit (1.). Hoc facit, quisquis super terrena, sensus et verborum fallacias emergere conatur, et inprimis semet ipsum noscere studet (2. 3.). Simile docemur eo, quod ossa Iosephi ex Aegypto (immortale a mortali) transferri iubentur (4. 5.). Quibus illud curae, iis adest deus (6. 7.), ita, ut demum lucem divinam videant, i. e. sapientiam discant (8.). Huius spem tantum quaesituris deus facit, ut ad fidem ipsi exhibendam nos excitet, cuius praemium primum piis summo bono frui conceditur, i. e. videre deum (9.). Secundum vero, incrementum infinitum facultatis percipiendorum eorum, quae sunt aeterna (10—12.); tertium, εὐλογία, quae cernitur in ratione sana et sermone exercitato, ex illa tanquam e fonte profluente (13.), quo ad confutandos sophistarum errores praeter cetera opus est (14. 15.); quartum, magnitudo nominis, seu bona fama (16.), quum non esse tantum, sed et videri sapientibus necessarium, quorum est virtutis amorem in aliis excitare (17. 18.); quintum, benedictione a deo dignum iudicari (19—20.). Ultimum

§. 2. Ὡς μὲν τοίνυν γῆν μὲν τὸ σῶμα καλεῖ, συγγένειαν δὲ τὴν αἴσθησιν, οἶκον δὲ πατρὸς τὸν λόγον, δεδηλώκαμεν. Τὸ δὲ „Ἄπελθε ἐκ τούτων" οὐκ ἔσθ' ὅμοιον τῷ, διαζεύχθητι κατὰ τὴν οὐσίαν, ἐπεὶ θάνατον ἦν διαφορεύοντος ἡ πρόσταξις· ἀλλ' ἴσον τῷ, τὴν γνώμην ἀλλοτριώθητι, πρὸς μηδενὸς περισχεθεὶς αὐτῶν, ὑπεράνω στῆθι πάντων, ὑπήκοοί σου εἰσὶ, μηδέποτε ὡς ἡγεμόσι χρῶ. Βασιλεὺς ὢν ἄρχειν ἀλλὰ μὴ ἄρχεσθαι πεπαίδευσο, πάντα τὸν αἰῶνα γίνωσκε σεαυτὸν, ὡς καὶ Μωϋσῆς πολλαχοῦ διδάσκει, λέγων, „Πρόσεχε σεαυτῷ" *), οὕτως γὰρ ὧν τε ὑπακούειν καὶ ἐπιτάττειν προσῆκεν αἰσθήσῃ. Ἄπελθε οὖν ἐκ τοῦ περὶ σεαυτὸν γεώδους, τὸ παμμίαρον, ὦ οὗτος, ἐκφυγὼν δεσμωτήριον, τὸ σῶμα, καὶ τὰς ὥσπερ εἱρκτοφύλακας ἡδονὰς καὶ ἐπιθυμίας αὐτοῦ, παντὶ σθένει καὶ πάσῃ δυνάμει μηδὲν τῶν εἰς κάκωσιν παρεὶς, ἀλλὰ πάντα ἀθρόα συλλήβδην ἐπανατεινάμενος. Ἄπελθε καὶ ἐκ τῆς συγγενοῦς αἰσθήσεως· νυνὶ μὲν γὰρ κέχρηκας ἑκάστῃ σεαυτὸν, καὶ γέγονας ἀλλότριον τῶν δεδανεισμένων ἀγαθὸν, ἀποβεβληκὼς τὸ ἴδιον. Οἶδας δὲ, καὶ ἐὰν πάντες ἡσυχάζωσιν, ὡς ὀφθαλμοί σε ἄγουσι καὶ ὦτα καὶ ἡ ἄλλη τῆς συγγενείας πληθὺς ἅπασα πρὸς τὰ
438 φίλα ἑαυτοῖς. Ἐὰν δὲ θέλῃς κομίσασθαι τὰ
M. σαυτοῦ δάνεια, καὶ τὴν ἰδίαν κτῆσιν περιβαλέσθαι,
μηδὲν αὐτῆς διαζεύξας ἢ ἀλλοτριώσας μέρος, εὐδαίμονος μεταποιήσῃ βίου, χρῆσιν καὶ ἀπόλαυσιν οὐκ ὀθνείων, ἀλλ' οἰκείων ἀγαθῶν εἰς ἀεὶ καρπούμενος. Ἀλλὰ μετανάστηθι καὶ ἐκ τοῦ κατὰ προφορὰν λόγου, ὃν πατρὸς οἶκον ἐκάλεσεν, ἵνα μὴ ῥημάτων καὶ ὀνομάτων ἀπατηθεὶς κάλλεσι, τοῦ πρὸς ἀλήθειαν κάλλους, ὅπερ ἐστὶν ἐν τοῖς δηλουμένοις πράγμασι, διαζευχθῇς. Ἄτοπον γὰρ ἢ σκιὰν σωμάτων ἢ μίμημα ἀρχετύπων φέρεσθαι πλέον. Σαφῶς μὲν δὴ καὶ

---

*) Exod. 34, 12.

μιμήματι ἔοικεν ἑρμηνεία, σώμασι δὲ καὶ ἀρχετύποις αἱ τῶν διερμηνευομένων φύσεις πραγμάτων, ὧν, τὸν ἐφιέμενον τοῦ εἶναι μᾶλλον ἢ τοῦ δοκεῖν, χρὴ περιέχεσθαι, διοικιζόμενον ἀπ' ἐκείνων.

§. 3. Ἐπειδὰν γοῦν ὁ νοῦς ἄρξηται γνωρίζειν ἑαυτὸν καὶ τοῖς νοητοῖς ἐνομιλεῖν θεωρήμασιν, ἅπαν τὸ κλινόμενον τῆς ψυχῆς πρὸς τὸ αἰσθητὸν εἶδος ἀπώσεται, ὃ κέκληται παρ' Ἑβραίοις Λώτ. Οὗ χάριν ὁ σοφὸς εἰσάγεται λέγων ἄντικρυς, "Διαχωρίσθητι ἀπ' ἐμοῦ" *)· συνοικεῖν γὰρ ἀμήχανον τὸν ἀσωμάτων καὶ ἀφθάρτων ἔρωτι κατεσχημένον τῷ πρὸς τὰ αἰσθητὰ καὶ θνητὰ ῥέποντι. Παγκάλως οὖν ὁ ἱεροφάντης μίαν τῆς νομοθεσίας ὅλην ἱερὰν βίβλον "Ἐξαγωγὴν" ἀνέγραψεν, οἰκεῖον ὄνομα εὑράμενος τοῖς περιεχομένοις χρησμοῖς. Ἅτε γὰρ παιδευτικὸς ὢν καὶ πρὸς νουθεσίαν καὶ σωφρονισμὸν ἑτοιμότατος τὸν οἷόν τε νουθετεῖσθαι καὶ σωφρονίζεσθαι πάντα τῆς ψυχῆς λεὼν, ἀπὸ τῆς Αἰγυπτίας χώρας, τοῦ σώματος καὶ τῶν οἰκητόρων αὐτῆς ἐξελεῖν διανοεῖται· χαλεπώτατον καὶ βαρύτατον ἄχθος ἡγούμενος ὁρατικὴν διάνοιαν πρὸς σαρκὸς ἡδονῶν πιεσθῆναι, καὶ ἐπιτάγμασιν ὑπηρετεῖν, ἅττ' ἂν αἱ ἀνηλεεῖς προστάττωσιν ἐπιθυμίαι. Τούτους μὲν οὖν στενάξαντας καὶ πολλὰ δακρύσαντας τὴν σωματικὴν εὐθηνίαν καὶ τὰς τῶν ἐκτὸς ἀφθόνους περιουσίας — λέγεται γὰρ ὅτι "Ἐστέναξαν οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν ἔργων" **) — ὑφηγησαμένου τοῦ ἵλεω θεοῦ τὰ περὶ τὴν ἔξοδον, ὁ προφήτης αὐτοὺς ῥύεται. Εἰσὶ δὲ οἳ μέχρι τῆς τελευτῆς τὰς πρὸς σῶμα σπονδὰς ἔθεντο, καὶ ὥςπερ λάρνακι ἢ σορῷ ἢ ὅπως ὀνομάζειν ἑτέρως φίλον, τῷ δὲ ἐνετάφησαν. Ὧν τὰ μὲν ὅσα φιλοσώματα καὶ φιλοπαθῆ μέρη λήθῃ παραδοθέντα κατορύττεται· εἰ δέ πού τι φιλάρετον παρα-

*) Gen. 13, 9. **) Exod. 2, 23.

νέβλαστε, μνήμαις ἀνασώζεται, δι᾽ ὧν τὰ καλὰ ζωπυρεῖσθαι πέφυκε.

§. 4. Τὰ γοῦν ὀστᾶ Ἰωσὴφ, λέγω δὴ τὰ μόνα ὑπολειφθέντα τῆς τοιαύτης ψυχῆς ἀδιάφθορα καὶ ἀξιομνημόνευτα εἴδη, περιποιεῖται ὁ ἱερὸς λόγος, 391
439 ἄτοπον ἡγούμενος καθαρὰ μὴ καθαροῖς συνε- P.
M. ζεῦχθαι. Τὰ δ᾽ ἀξιομνημόνευτα ταῦτα ἦν, τὸ πιστεῦσαι ὅτι "ἐπισκέψεται ὁ θεὸς τὸ ὁρατικὸν γένος" *), καὶ οὐ παραδώσει μέχρι παντὸς αὐτὸ ἀμαθίᾳ, τυφλῇ δεσποίνῃ· τὸ διακρῖναι τά τε θνητὰ τῆς ψυχῆς καὶ τὰ ἄφθαρτα· καὶ τὰ μὲν ὅσα περὶ τὰς σώματος ἡδονὰς καὶ τὰς ἄλλας παθῶν ἀμετρίας, θνητὰ ὄντα, Αἰγύπτῳ καταλιπεῖν· περὶ δὲ τῶν ἀφθάρτων σπουδὴν ποιήσασθαι, ὅπως μετὰ τῶν ἀναβαινόντων εἰς τὰς ἀρετῆς πόλεις διακομισθῇ, καὶ ὅρκῳ τὴν σπουδὴν ἐμπεδώσασθαι. Τίνα οὖν τὰ ἄφθαρτα; Ἡ πρὸς ἡδονὴν ἀλλοτρίωσις τὴν λέγουσαν "συνευνασθῶμεν" **), καὶ τῶν ἀνθρωπείων ἀπολαύσωμεν ἀγαθῶν· ἡ μετὰ καρτερίας ἀγχίνοια, δι᾽ ἧς τὰ τῶν κενῶν δοξῶν νομιζόμενα ἀγαθὰ, ὡςὰν ἐνύπνια ὄντα, διακρίνει καὶ διαστέλλει· ὁμολογῶν τὰς μὲν "ἀληθεῖς καὶ σαφεῖς τῶν πραγμάτων συγκρίσεις εἶναι κατὰ θεὸν" ***), τὰς δὲ ἀδήλους καὶ ἀσαφεῖς φαντασίας, κατὰ τὸν πλάνητα καὶ τύφου μεστὸν μήπω κεκαθαρμένων ἀνθρώπων βίον, ταῖς διὰ σιτοπόνων καὶ μαγείρων καὶ οἰνοχόων τέρψεσι χαίροντα· τὸ μὴ ὑπήκοον, ἀλλ᾽ ἄρχοντα Αἰγύπτου, πάσης τῆς σωματικῆς χώρας, ἀναγραφῆναι· τὸ "αὐχεῖν ἐπὶ τῷ γένει εἶναι Ἑβραίων" †), οἷς ἔθος ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητὰ μετανίστασθαι, περάτης γὰρ ὁ Ἑβραῖος ἑρμηνεύεται· τὸ σεμνύνεσθαι ὅτι "ὧδε οὐκ ἐποίησεν οὐδέν" ††). Τὸ γὰρ μηδὲν τῶν ἐνταῦθα σπουδαζόντων παρὰ τοῖς φαύλοις, ἐργά-

*) Gen. 50, 24. **) Gen. 39, 7. ***) Gen. 40, 8.
†) Gen. 40, 15. ††) Ibid.

σασθαι, διαμισῆσαι δὲ καὶ ἀποστραφῆναι πάντα, οὐ μετρίως. ἐπαινετὸν τὸ ἐμπαίζειν ἐπιθυμιῶν καὶ πάντων παθῶν ἀμετρίαις· τὸ "φοβεῖσθαι τὸν θεὸν" *), εἰ καὶ μηδέπω γέγονεν ἀγαπᾷν ἱκανός· τὸ ζωῆς ἐν Αἰγύπτῳ μεταποιεῖσθαι τῆς ἀληθοῦς.

§. 5. Ὁ δὴ θαυμάσας ὁ ὁρῶν — καὶ γὰρ ἄξιον ἦν καταπλαγῆναι — φησί, "Μέγα μοί ἐστιν, εἰ ἔτι ὁ υἱός μου Ἰωσὴφ ζῇ" **), ἀλλὰ μὴ κεναῖς δόξαις καὶ τῷ νεκροφορουμένῳ σώματι συντέθνηκε· τὸ ὁμολογεῖν ὅτι "τοῦ θεοῦ ἐστι" ***)· τῶν δ' εἰς γένεσιν ἐλθόντων οὐδενός· τὸ ἐγνωρισμένον τοῖς ἀδελφοῖς, πάντας τοὺς φιλοσωμάτους κινῆσαι καὶ σαλεῦσαι τρόπους ἑστάναι παγίως ἐπὶ τῶν ἰδίων οἰομένους δογμάτων, καὶ ἀνὰ κράτος ἀπώσασθαι· τὸ φάναι "μὴ πρὸς ἀνθρώπων ἀπεστάλθαι, ὑπὸ δὲ τοῦ θεοῦ κεχειροτονῆσθαι" πρὸς τὴν τοῦ σώματος καὶ τῶν ἐκτὸς ἔννομον ἐπιστασίαν. Πολλὰ δὲ καὶ ἄλλα τούτοις ὁμοιότροπα, τῆς ἀμείνονος καὶ ἱερωτέρας ὄντα τάξεως. Αἰγύπτιον τὸν σωματικὸν οἶκον οἰκεῖν οὐκ ἀνέχεται, οὐδ' ἐνθάπτεται σορῷ τὸ παράπαν, ἔξω δὲ παντὸς
440 τοῦ θνητοῦ κεχωρηκότα, παρέπεται θεσμοθέτῃ
M. λόγῳ, Μωϋσῇ ποδηγετοῦντι. Τροφεὺς γὰρ καὶ 392
τιθηνὸς οὗτος ἀστείων ἔργων, λόγων, βουλευμάτων, P.
ἃ καὶ ἂν τοῖς ἐναντίοις ἀνακραθῇ ποτε, διὰ τὴν ὑποσύγχυτον τοῦ θνητοῦ πολυμιγίαν, οὐδὲν ἧττον διακρίνεται παρελθόντα, ἵνα μὴ μέχρι παντὸς τὰ καλοκἀγαθίας σπέρματα καὶ φυτὰ ἀφανισθέντα οἴχηται. Καὶ προτρέπεται μάλα ἐῤῥωμένως ἀπολιπεῖν τὴν παντὸς ἀτόπου χρηματίζουσαν μητέρα, μὴ μέλλοντας καὶ βραδύνοντας, ἀλλ' ὑπερβάλλοντας τάχει. Φησὶ γὰρ "μετὰ σπουδῆς δεῖν θύειν τὸ Πάσχα" †), τὸ δ' ἐστὶν ἑρμηνευθὲν, διάβασις, ἵνα ἀνενδοιάστῳ γνώμῃ καὶ προθυμίᾳ συντόνῳ χρώμενος ὁ νοῦς τὴν

*) Gen. 42, 18. **) Gen. 45, 28. ***) Gen. 50, 19.
†) Exod. 12, 12.

τε ἀπὸ τῶν παθῶν ἀμεταστρεπτὶ ποιῆται διάβασιν καὶ τὴν πρὸς τὸν σωτῆρα θεὸν εὐχαριστίαν, ὃς εἰς ἐλευθερίαν οὐ προςδοκήσαντα αὐτὸν ἐξείλετο.

§. 6. Καὶ τί θαυμάζομεν, εἰ τὸν ὑπηγμένον κράτει πάθους ἀλόγου προτρέπει μὴ ἐνδιδόναι, μηδὲ τῇ ῥύμῃ τῆς ἐκείνου φορᾶς κατασυρῆναι, βιάσασθαι δὲ ἀντισχόντα, καὶ ἂν εἰ μὴ δύναιτο, ἀποδρᾶναι; Δευτέρα γὰρ ἔφοδος εἰς σωτηρίαν τοῖς ἀμύνεσθαι μὴ δυναμένοις, δρασμός ἐστιν· ὁπότε καὶ τὸν ἀγωνιστὴν φύσει καὶ μηδέποτε παθῶν δοῦλον γεγενημένον, ἀεὶ δὲ ἀθλοῦντα τοὺς πρὸς ἕκαστον αὐτῶν ἄθλους, οὐκ ἐᾷ μέχρι παντὸς τοῖς παλαίσμασι χρήσασθαι, μήποτε τῷ συνεχεῖ τῆς εἰς ταὐτὸ συνόδου, χαλεπὴν ἀπ᾽ ἐκείνων κῆρα ἐναπομάξηται. Πολλοὶ γὰρ ἤδη καὶ ἀντιπάλου κακίας ἐγένοντο μιμηταὶ, ὡς ἀρετῆς ἔμπαλιν ἕτεροι. Διὸ λόγιον ἐχρήσθη τοιόνδε, "Ἀποστρέφου εἰς τὴν γῆν τοῦ πατρός σου, καὶ εἰς τὴν γενεάν σου, καὶ ἔσομαι μετὰ σοῦ" *), ἴσον τῷ, γέγονάς μοι ἀθλητὴς τέλειος, καὶ βραβείων καὶ στεφάνων ἠξιώθης, ἀγωνοθετούσης ἀρετῆς, καὶ προτεινούσης ἆθλά σοι τὰ νικητήρια. Κατάλυσον δὲ ἤδη τὸ φιλόνεικον, ἵνα μὴ πάντοτε πονῇς, ἀλλὰ καὶ τῶν πονηθέντων ἀπόνασθαι δυνηθῇς. Τοῦτο δὲ ἐνταυθοῖ καταμένων οὐδέποτε εὑρήσεις τοῖς αἰσθητοῖς ἔτι συνοικῶν καὶ ταῖς σωματικαῖς ἐνδιατρίβων ποιότησιν, ὧν Λάβαν ἐστὶν ἔξαρχος — ὄνομα δὲ ποιότητος τοῦτ᾽ ἐστὶν — ἀλλὰ μετανάστην χρὴ γενέσθαι εἰς τὴν πατρῴαν γῆν, τὴν ἱεροῦ λόγου καὶ τρόπον τινὰ τῶν ἀσκητῶν πατρὸς, ἣ δ᾽ ἔστι σοφία, τῶν φιλαρέτων ψυχῶν ἐνδιαίτημα ἄριστον. Ἐν ταύτῃ τῇ χώρᾳ καὶ γένος ἐστί σοι τὸ αὐτομαθὲς, τὸ αὐτοδίδακτον, τὸ νηπίας καὶ γαλακτώδους τροφῆς ἀμέτοχον, τὸ χρησμῷ θείῳ "καταβαίνειν εἰς Αἴγυπτον κεκωλυμένον" **), καὶ τῆς σαρκὸς ἐντυγχά-

*) Gen. 31, 3. **) Gen. 26, 2.

νειν δελεαζούσαις ἡδοναῖς, ἐπίκλησιν Ἰσαάκ. Οὗ τὸν κλῆρον παραλαβὼν ἐξ ἀνάγκης ἀποθήσῃ τὸν πόνον.
Αἱ γὰρ ἀφθονίαι τῶν ἑτοίμων καὶ κατὰ χεῖρας ἀγα- 393
441 θῶν ἀπονίας αἴτιαι. Πηγὴ δὲ, ἀφ' ἧς ὀμβρεῖ P.
M. τὰ ἀγαθὰ, ἡ τοῦ φιλοδώρου θεοῦ σύνοδός ἐστιν· οὗ χάριν ἐπισφραγιζόμενος τὰ τῶν εὐεργεσιῶν φησιν "Ἔσομαι μετὰ σοῦ" *).

§. 7. Τί ἂν οὖν ἐπιλείποι καλὸν, τοῦ τελεσφόρου πάντως παρόντος θεοῦ μετὰ χαρίτων τῶν παρθένων αὐτοῦ θυγατέρων, ἃς ἀδιαφθόρους καὶ ἀμιάντους ὁ γεννήσας πατὴρ κουροτροφεῖ; Τότε μελέται μὲν καὶ πόνοι καὶ ἀσκήσεις ἡσυχάζουσιν, ἀναδίδοται δὲ ἄνευ τέχνης, φύσεως προμηθείᾳ, πάντα ἀθρόα πᾶσιν ὠφέλιμα. Καλεῖται δὲ ἡ φορὰ τῶν αὐτοματιζομένων ἀγαθῶν ἄφεσις, ἐπειδήπερ ὁ νοῦς ἀφίεται τῶν κατὰ τὰς ἰδίας ἐπιβολὰς ἐνεργειῶν, καὶ ὥςπερ τῶν ἑκουσίων ἠλευθέρωται, διὰ τὴν πληθὺν τῶν ὑομένων καὶ ἀδιαστάτως ἐπομβρούντων. Ἔστι δὲ ταῦτα θαυμασιώτατα φύσει καὶ περικαλλέστατα. Ὧν μὲν γὰρ ἂν ὠδίνῃ δι' ἑαυτῆς ἡ ψυχὴ, τὰ πολλὰ ἀμβλωθρίδια, ἠλιτόμηνα· ὅσα δ' ἂν ἐπινίφων ὁ θεὸς ἄρδῃ, τέλεια καὶ ὁλόκληρα καὶ πάντων ἄριστα γεννᾶται. Τὸ ἐμαυτοῦ πάθος, ὃ μυριάκις παθὼν οἶδα, διηγούμενος οὐκ αἰσχύνομαι. Βουληθεὶς ἔστιν ὅτε κατὰ τὴν συνήθη τῶν κατὰ φιλοσοφίαν δογμάτων γραφὴν ἐλθεῖν, καὶ ἃ χρὴ συνθεῖναι ἀκριβῶς ἰδὼν, ἄγονον καὶ στεῖραν εὑρὼν τὴν διάνοιαν ἄπρακτος ἀπηλλάγην, τὴν μὲν κακίσας τῆς οἰήσεως, τὸ δὲ τοῦ ὄντος κράτος καταπλαγεὶς, παρ' οὗ τὰς τῆς ψυχῆς ἀνοίγνυσθαί τε καὶ συγκλείεσθαι μήτρας συμβέβηκεν. Ἔστι δὲ ὅτε κενὸς ἐλθὼν πλήρης ἐξαίφνης ἐγενόμην, ἐπινιφομένων καὶ σπειρομένων ἄνωθεν ἀφανῶς τῶν ἐνθυμημάτων, ὡς ὑπὸ κατοχῆς ἐνθέου κορυ-

*) Gen. 31, 3.

βαντιᾶν καὶ πάντως ἀγνοεῖν τὸν τόπον, τοὺς παρόν-
τας, ἐμαυτὸν, τὰ λεγόμενα, τὰ γραφόμενα. Σχεδὸν
γὰρ ἑρμηνεύει εὕρεσιν, φωτὸς ἀπόλαυσιν, ὀξυδερκε-
στάτην ὄψιν, ἐνέργειαν τῶν πραγμάτων ἀριδηλοτά-
την, οἵα γένοιτ' ἂν δι' ὀφθαλμῶν ἐκ σαφεστάτης
δείξεως.

§. 8. Τὸ μὲν οὖν δεικνύμενον, τὸ ἀξιόρατον,
καὶ ἀξιοθέατον, καὶ ἀξιέραστόν ἐστι, τὸ τέλειον ἀ-
γαθὸν, ὃ καὶ τὰς τῆς ψυχῆς πικρίας πέφυκε μετα-
βάλλον γλυκαίνειν, ἡδυσμάτων συμπάντων παράρτυ-
μα κάλλιστον, δι' οὗ καὶ τὰ μὴ τρέφοντα τροφὴ
γίνεται σωτήριος. Λέγεται γὰρ ὅτι "Ἔδειξεν αὐτῷ
κύριος ξύλον, καὶ ἐνέβαλεν αὐτὸ εἰς τὸ ὕδωρ *),"
τὸν κεχυμένον καὶ πλαδῶντα καὶ πικρίας γέμοντα
νοῦν, ἵνα γλυκανθεὶς ἡμερωθῇ. Τὸ δὲ ξύλον τοῦτο
οὐ μόνον τροφὴν, ἀλλὰ καὶ ἀθανασίαν ἐπαγγέλλε-
ται· τὸ γὰρ ξύλον τῆς ζωῆς ἐν μέσῳ τῷ παραδείσῳ
φησὶ πεφυτεῦσθαι, τὴν ἀγαθότητα δορυφορουμένην
ὑπὸ τῶν κατὰ μέρος ἀγαθῶν καὶ τῶν κατ' αὐτὰς
442 πράξεων. Αὕτη γὰρ τὸν μεσαίτατον καὶ ἄριστον ἐν
M. ψυχῇ κεκλήρωται τόπον. Ὁ δὲ ὁρῶν ἐστιν ὁ σο- 394
φός· τυφλοὶ γὰρ ἢ ἀμυδροὶ τὰς ὄψεις οἵ γε ἄφρο- P.
νες. Διὰ τοῦτο καὶ τοὺς προφήτας ἐκάλουν πρότε-
ρον τοὺς "βλέποντας **)·" καὶ ὁ ἀσκητὴς ἐσπού-
δασεν ὦτα ὀφθαλμῶν ἀντιδοὺς ἰδεῖν ἃ πρότερον ἤ-
κουσε, καὶ τυγχάνει τοῦ καθ' ὅρασιν κλήρου, τὸν ἐξ
ἀκοῆς ὑπερβάς. Εἰς γὰρ τὸν ὁρῶντα Ἰσραὴλ μετα-
χαράττεται τὸ μαθήσεως καὶ διδασκαλίας νόμισμα,
οὗπερ ἐπώνυμος ἦν Ἰακὼβ, δι' οὗ καὶ τὸ ὁρᾶν γί-
νεται φῶς τὸ θεῖον, ἀδιαφοροῦν ἐπιστήμης, ἣ τὸ
τῆς ψυχῆς διοίγνυσιν ὄμμα, καὶ πρὸς τὰς ὤτων τη-
λαυγεστάτας καὶ ἀριδηλοτάτας ἄγει καταλήψεις. Ὥς-
περ γὰρ διὰ μουσικῆς τὰ κατὰ μουσικὴν καὶ διὰ
πάσης τέχνης τὰ ἐν ἑκάστῃ καταλαμβάνεται, οὕτω

*) Exod. 15, 25. **) 1 Sam. 9, 9.

καὶ διὰ σοφίας τὸ σοφὸν θεωρεῖται. Σοφία δὲ οὐ μόνον φωτὸς τρόπον ὄργανον τοῦ ὁρᾷν ἐστιν, ἀλλὰ καὶ αὑτὴν ὁρᾷ. Αὕτη θεοῦ τὸ ἀρχέτυπον ἡλίου φέγγος, οὗ μίμημα καὶ εἰκὼν ἥλιος· ὁ δὲ δεικνὺς ἕκαστα ὁ μόνος ἐπιστήμων θεός. Ἄνθρωποι μὲν γὰρ, τῷ δοκεῖν ἐπίστασθαι, λέγονται μόνον ἐπιστήμονες· ὁ δὲ θεὸς, τῷ εἶναι, ἧττον ἢ πέφυκε λέγεται. Νικῶνται γὰρ ὑπὸ τῶν τοῦ ὄντος δυνάμεων οἱ περὶ αὐτὸν ἅπαντες ἅπαξ λόγοι. Τὴν δὲ σοφίαν αὐτοῦ διασυνίστησιν οὐ μόνον ἐκ τοῦ τὸν κόσμον δεδημιουργηκέναι, ἀλλὰ καὶ ἐκ τοῦ τὴν ἐπιστήμην τῶν γεγονότων ἱδρυκέναι βεβαιότατα παρ᾽ ἑαυτοῦ. Λέγεται γὰρ ὅτι "Εἶδεν ὁ θεὸς τὰ πάντα ὅσα ἐποίησεν *)," οὐκ ἴσον τῷ, ὄψιν ἑκάστοις προσέβαλεν· ἀλλ᾽ εἴδησιν καὶ γνῶσιν καὶ κατάληψιν ὧν ἐποίησεν. Εἶχε τοίνυν εὐπρεπὲς ὑφηγεῖσθαι καὶ διδάσκειν καὶ δεικνύναι τὰ καθ᾽ ἕκαστα τοῖς ἀγνοοῦσιν, ὅτι μὴ τῷ ἐπιστήμονι, ὅςτις οὐχ ὡς ἄνθρωπος ὑπὸ τέχνης ὠφέληται, ἀλλ᾽ αὐτὸς ἀρχὴ καὶ πηγὴ τεχνῶν καὶ ἐπιστημῶν ἀνωμολόγηται.

§. 9. Παρατετηρημένως δὲ οὐ τὸν ἐνεστῶτα, ἀλλὰ τὸν μέλλοντα τῇ ὑποσχέσει χρόνον προδιώρισται, εἰπὼν, οὐχ ἣν δείκνυμι, ἀλλ᾽ "ἣν σοι δείξω **)," εἰς μαρτυρίαν πίστεως ἣν ἐπίστευσεν ἡ ψυχὴ θεῷ, οὐκ ἐκ τῶν ἀποτελεσμάτων ἐπιδεικνυμένη τὸ εὐχάριστον, ἀλλ᾽ ἐκ προςδοκίας τῶν μελλόντων. Ἀρτηθεῖσα γὰρ καὶ ἐκκρεμασθεῖσα ἐλπίδος χρηστῆς, καὶ ἀνενδοίαστα νομίσασα ἤδη παρεῖναι τὰ μὴ παρόντα, διὰ τὴν τοῦ ὑποσχομένου βεβαιοτάτην πίστιν, ἀγα-
443 θὸν τέλειον, ἆθλον εὕρηται. Καὶ γὰρ αὖθις λέ-
M. γεται, ὅτι ἐπίστευσεν Ἀβραὰμ τῷ θεῷ· καὶ Μωϋσεῖ δὲ ὁμοίως πᾶσαν ἐπιδειξάμενος τὴν γῆν, φησὶν ὅτι "Ἔδειξα ταῖς ὀφθαλμοῖς σου, καὶ ἐκεῖ οὐκ εἰςελεύσῃ †)." Μὴ
μέντοι νομίσῃς ἐπὶ καθαιρέσει τοῦ πανσόφου, ὡς 395
P.

---

*) Gen. 1, 81. **) Gen. 15, 5. †) Deut. 84, 4.

ὑπολαμβάνουσιν ἔνιοι τῶν ἀπερισκέπτων, τοῦτο εἰρῆσθαι· καὶ γὰρ εὔηθες τοὺς δούλους οἰηθῆναι πρὸ τῶν φίλων τοῦ θεοῦ τὴν ἀρετῆς χώραν διανέμεσθαι. Ἀλλὰ πρῶτον ἐκεῖνό σοι βούλεται παραστῆσαι, ὅτι ἕτερος νηπίων καὶ ἕτερος τελείων χῶρός ἐστιν, ὁ μὲν ὀνομαζόμενος ἄσκησις, ὁ δὲ καλούμενος σοφία· ἔπειτα ὅτι τὰ κάλλιστα τῶν ἐν τῇ φύσει ὁρατὰ μᾶλλόν ἐστιν, ἢ κτητά. Κτήσασθαι μὲν γὰρ τῆς θειοτέρας μοίρας λαχόντα πῶς ἔνεστιν; Ἰδεῖν δὲ οὐκ ἀδύνατον, ἀλλ' οὐχ ἅπασιν· εἴη δ' ἂν μόνῳ τῷ καθαρωτάτῳ καὶ ὀξυωπεστάτῳ γένει, ᾧ τὰ ἴδια ἐπιδεικνύμενος ὁ τῶν ὅλων πατὴρ ἔργα, μεγίστην πασῶν χαρίζεται δωρεάν. Θεωρητικοῦ γὰρ τίς ἀμείνων βίος, ἢ μᾶλλον οἰκειούμενος λογικῷ; Διὰ τοῦτο καὶ τῆς τῶν θνητῶν ζώων φωνῆς κριτήριον ἐχούσης ἀκοὴν, τοὺς τοῦ θεοῦ λόγους οἱ χρησμοὶ φωτὸς τρόπον ὁρωμένους μηνύουσι. Λέγεται γὰρ ὅτι "Πᾶς ὁ λαὸς ἑώρα τὴν φωνὴν *)," οὐκ ἤκουεν, ἐπειδήπερ οὐκ ἀέρος πλῆξις ἦν διὰ τῶν στόματος καὶ γλώττης ὀργάνων τὸ γινόμενον, ἀλλὰ φέγγος ἀρετῆς τὸ περιαυγέστατον, λογικῆς ἀδιαφοροῦν πηγῆς, ὃ καὶ ἑτέρωθι μηνύεται τὸν τρόπον τοῦτον, "Ὑμεῖς ἑωράκατε, ὅτι ἐκ τοῦ οὐρανοῦ λελάληκα πρὸς ὑμᾶς **)", οὐχὶ ἠκούσατε, διὰ τὴν αὐτὴν αἰτίαν. Ἔστι δὲ ὅπου τὰ ἀκουστὰ τῶν ὁρατῶν καὶ ἀκοὴν ὁράσεως διακρίνει λέγων, "Φωνὴν ῥημάτων ὑμεῖς ἠκούσατε, καὶ ὁμοίωμα οὐκ εἴδετε, ἀλλ' ἢ φωνὴν ***)," ἄγαν περιττῶς. Τὴν μὲν γὰρ εἰς ὄνομα καὶ ῥῆμα καὶ συνόλως τὰ τοῦ λόγου μέρη τεμνομένην, ἀκουστὴν εἰκότως εἶπεν· ὑπὸ γὰρ ἀκοῆς δοκιμάζεται. Τὴν δὲ μὴ ῥημάτων, μηδ' ὀνομάτων, ἀλλὰ θεοῦ φωνὴν, ὁρωμένην τῷ τῆς ψυχῆς ὄμματι, ὁρατὴν δεόντως εἰσάγει. Προειπὼν δὲ τὸ "ὁμοίωμα οὐκ εἴδετε" ἐπιφέρει, ἀλλ' ἢ "φω-

*) Exod. 20, 18. **) Exod. 20, 22. ***) Deut. 4, 12.

νὴν, ἣν πάντες εἴδετε." Τὸ γὰρ προςυπακουόμενον
τοῦτ᾽ ἂν εἴη· ὥστε οἱ μὲν τοῦ θεοῦ λόγοι ὅρασιν
ἔχουσι τὴν ἐν ψυχῇ κριτήριον, ἀκοὴν δὲ οἱ εἰς ὀνο-
μάτων καὶ ῥημάτων ἰδέας μεριζόμενοι. Καινὸς δὲ
ὢν ἐν ἅπασι τὴν ἐπιστήμην, καὶ τοῦτ᾽ ἰδίως καὶ ξέ-
νως κεκαινούργηκεν, εἰπὼν ὁρατὴν εἶναι τὴν φωνήν,
τὴν μόνην σχεδὸν τῶν ἐν ἡμῖν οὐχ ὁρατήν, ὑπεξῃ-
444 ρημένης διανοίας. Τὰ μὲν γὰρ κατὰ τὰς ἄλλας
M. αἰσθήσεις, πάνθ᾽ ὁρατά· τὰ χρώματα, οἱ χυλοί,
οἱ ἀτμοί, τὰ θερμά, τὰ ψυχρά, τὰ λεῖα, τὰ τρα-
χέα, τὰ μαλακὰ καὶ σκληρά, ᾗ σώματα. Τί δέ ἐστι
τοῦτο, σαφέστερον ἐρῶ. Ὁ χυλὸς ὁρατός ἐστιν, οὐχ
ᾗ χυλός, ἀλλ᾽ ᾗ μόνον σῶμα, τὸ γὰρ ᾗ χυλός, εἴσε-
ται ἡ γεῦσις· καὶ ὁ ἀτμός, ᾗ μὲν ἀτμός, ὑπὸ ῥινῶν 396
ἐξετασθήσεται, ᾗ δὲ σῶμα, καὶ πρὸς ὀφθαλμῶν P.
καὶ τὰ ἄλλα ταύτῃ δοκιμασθήσεται. Φωνὴ δὲ οὔθ᾽
ὡς ἀκουστόν, οὔθ᾽ ὡς σῶμα, εἰ δὴ καὶ σῶμά ἐστιν,
ὁρατὸν εἶναι πέφυκεν, ἀλλὰ δύο ταῦτα τῶν ἐν ἡμῖν
ἀόρατα, νοῦς καὶ λόγος. Ἀλλὰ γὰρ οὐχ ὡμοίωται
τὸ ἡμέτερον ἤχημα τῷ θείῳ φωνῆς ὀργάνῳ· τὸ μὲν
γὰρ ἡμέτερον ἀέρι κίρναται, καὶ πρὸς τὸν συγγενῆ
τόπον καταφεύγει, τὰ ὦτα· τὸ δὲ θεῖον ἀκρατοῦς
καὶ ἀμιγοῦς ἐστι λόγου, φθάνοντος μὲν ἀκοὴν διὰ
λεπτότητα, ὁρωμένου δὲ ὑπὸ ψυχῆς ἀκραιφνοῦς, διὰ
τὴν ἐν τῷ βλέπειν ὀξύτητα.

§. 10. Οὐκοῦν μετὰ τὴν ἀπόλειψιν τῶν θνητῶν, πρώτην ὁ θεὸς χαρίζεται τῇ ψυχῇ δωρεάν, ὡς ἔφην, ἐπίδειξιν καὶ θεωρίαν τῶν ἀθανάτων· δευτέραν τὴν εἰς τὸ πλῆθος ὁμοῦ καὶ μέγεθος τῶν ἀρετῆς δογμάτων ἐπίδοσιν. Λέγει γάρ, "Καὶ ποιήσω σε εἰς ἔθνος μέγα", διὰ μὲν τοῦ ἔθνους τὸ πλῆθος, διὰ δὲ τοῦ μεγάλου τὴν πρὸς τὸ ἄμεινον αὔξησιν παραλαμβάνων. Τὴν δὲ τοῦ ποσοῦ καθ᾽ ἑκάτερον εἶδος, τό τε ἐν μεγέθει καὶ τὸ ἐν πλήθει, παραύξησιν διασυνίστησι καὶ ὁ τῆς Αἰγύπτου βασιλεύς. "Ἰδοὺ γάρ",

φησὶ, "τὸ γένος τῶν υἱῶν Ἰσραὴλ μέγα πλῆθος*)."
Ἐπειδή γε ἀμφότερα τῷ ὁρατικῷ τοῦ ὄντος γένει
προςμαρτυρεῖ, ὡς πληθύν τε καὶ μέγεθος κτησαμέ-
νῳ, τὰ περὶ τὸν βίον καὶ λόγον κατορθώματα. Οὐ
γὰρ, ὅπερ ἄν τις τὸν ἐν τοῖς ὀνόμασιν εἱρμὸν δια-
φυλάττων, πολὺ πλῆθος, ἀλλὰ μέγα εἶπεν, εἰδὼς
τὸ πολὺ καθ' αὑτὸ ἀτελὲς μέγεθος, εἰ μὴ προςλάβοι
δύναμιν νοήσεως καὶ ἐπιστήμης. Τί γὰρ ὄφελος
πολλὰ μὲν θεωρήματα προςλαμβάνειν, ἕκαστον δὲ
αὐτῶν εἰς τὸ ἁρμόττον μέγεθος μὴ συναυξῆσαι; Οὐ-
δὲ γὰρ ἀγρὸς τέλειος, ᾧ μυρία μὲν ὅσα ἐνυπάρχει
φυτὰ χαμαίζηλα, τέλειον δὲ μηδὲν ἔρνος γεωργικῇ
τέχνῃ συνανεβλάστησεν, ἤδη καρποτοκεῖν δυνάμενον.
Τοῦ δὲ μεγέθους καὶ πλήθους τῶν καλῶν ἀρχὴ καὶ
τέλος ἡ ἀδιάστατος περὶ θεοῦ μνήμη καὶ ἡ κατά-
κλησις τῆς ἀπ' αὐτοῦ συμμαχίας πρὸς τὸν ἐμφύ-
λιον καὶ συγκεχυμένον καὶ συνεχῆ τοῦ βίου πόλεμον.
Λέγει γὰρ "Ἰδοὺ λαὸς σοφὸς καὶ ἐπιστήμων, τὸ
ἔθνος τὸ μέγα τοῦτο· ὅτι ποῖον ἔθνος μέγα, ᾧ ἐστι
θεὸς ἐγγίζων, ὡς κύριος ὁ θεὸς ἡμῶν ἐν πᾶσιν οἷς
ἂν αὐτὸν ἐπικαλεσώμεθα"**); Οὐκοῦν ὅτι καὶ πρὸς
445 βοήθειαν δύναμις ἀρωγὸς εὐτρεπὴς ἐφεδρεύει παρὰ
M. θεῷ, καὶ αὐτὸς ὁ ἡγεμὼν ἐγγυτέρω πρόσεισιν ἐπ'
ὠφελείᾳ τῶν ἀξίων ὠφελεῖσθαι, δεδήλωται.

§. 11. Τίνες δὲ οἱ τούτων ἐπάξιοι τυγχάνειν εἰ-
σίν; Ἢ δῆλον ὅτι οἱ σοφίας καὶ ἐπιστήμης ἐρασταὶ
πάντες. Οὗτοι γάρ εἰσιν ὁ σοφὸς καὶ ἐπιστήμων, ὃν 397
εἶπε, λεώς, ὧν ἕκαστος μέγας εἰκότως ἐστὶν, ἐπειδὴ P.
μεγάλων ὀρέγεται, ἑνὸς δὲ καὶ λίαν ὑπερβαλλόντως,
τοῦ μὴ διαζευχθῆναι θεοῦ τοῦ μεγίστου, ἀλλὰ τὴν
πρόσοδον αὐτοῦ συνεγγίζοντος σταθερῶς ἄνευ κα-
ταπλήξεως ὑπομεῖναι. Οὗτος ὁ ὅρος ἐστὶ τοῦ με-
γάλου, τὸ τῷ θεῷ συνεγγίζειν, ἢ ᾧ θεὸς συνεγγίζει.
Ὁ μὲν δὴ κόσμος καὶ ὁ κοσμοπολίτης σοφὸς πολ-

*) Exod. 1, 9. **) Deut. 4, 6.

λῶν καὶ μεγάλων ἀγαθῶν ἀναπέπλησται, ὁ δὲ ἄλλος ἀνθρώπων ὅμιλος πλείοσι μὲν κέχρηται κακοῖς, ἀγαθοῖς δὲ ἐλάττοσι· σπάνιον γὰρ ἐν πεφορημένῳ καὶ συγκεχυμένῳ βίῳ τὸ καλόν. Διόπερ ἐν χρησμοῖς ᾄδεται, "Οὐχ ὅτι πολυπληθεῖτε παρὰ πάντα τὰ ἔθνη, προείλατο ὁ κύριος ὑμᾶς καὶ ἐξελέξατο, ὑμεῖς γάρ ἐστε ὀλιγοστοὶ παρὰ πάντα τὰ ἔθνη, ἀλλὰ παρὰ τὸ ἀγαπᾶν κύριον ὑμᾶς*)." Εἰ γάρ τις βουληθείη τὸν ὄχλον μιᾶς ψυχῆς, ὥσπερ κατὰ ἔθνη, διανεῖμαι, πολλὰς μὲν ἂν εὕροι τάξεις ἀκοσμούσας, ὧν ἡδοναὶ ἢ ἐπιθυμίαι ἢ λῦπαι ἢ φόβοι, ἢ πάλιν ἀφροσύναι καὶ ἀδικίαι, καὶ αἱ τούτων συγγενεῖς καὶ ἀδελφαὶ ταξιαρχοῦσι· μίαν δὲ αὐτὸ μόνον εὖ διακεκοσμημένην, ἧς ὁ ὀρθὸς λόγος ἀφηγεῖται. Παρὰ μὲν οὖν ἀνθρώποις τὸ ἄδικον πλῆθος πρὸ ἑνὸς τοῦ δικαίου προτετίμηται, παρὰ δὲ τῷ θεῷ τὸ σπάνιον ἀγαθὸν πρὸ μυρίων ἀδίκων. Ὧι καὶ παραγγέλλει μηδέποτε τοιούτῳ συναινέσαι πλήθει· "οὐκ ἔσῃ γάρ", φησίν, "μετὰ πολλῶν ἐπὶ κακίᾳ **)." Ἆρ' οὖν μετ' ὀλίγων χρή; Μετ' οὐδενὸς μὲν οὖν φαύλου· εἷς δ' ὢν ὁ φαῦλος, πολύς ἐστι κακίαις, ᾧ συντάσσεσθαι μεγίστη ζημία. Τὸ ἐναντίον γὰρ ἀνθίστασθαι καὶ πολεμεῖν ἀκαταπλήκτῳ χρωμένους δυνάμει προσήκει. "Ἐὰν γάρ", φησίν, "ἐξέλθῃς εἰς πόλεμον ἐπὶ τοὺς ἐχθρούς σου, καὶ ἴδῃς ἵππον", τὸ ὑπέραυχον καὶ σκιρτητικὸν πάθος ἀφηνιάζον, "καὶ ἀναβάτην", τὸν ἐποχούμενον αὐτῷ φιλοπαθῆ νοῦν, "καὶ λαὸν πλείονά σου", τοὺς ζηλωτὰς τῶν εἰρημένων φαλαγγηδὸν ἐπιόντας, "οὐ φοβηθήσῃ ἀπ' αὐτῶν"· εἷς γὰρ ὢν ἑνὶ τῷ πάντων ἡγεμόνι χρήσῃ συμμάχῳ, "ὅτι κύριος ὁ θεός σου μετὰ σοῦ ***)." Τούτου γὰρ ἡ σύνοδος καθαιρεῖ πολέμους, εἰρήνην ἀνοικοδομεῖ, τὰ πολλὰ καὶ συνήθη κακὰ ἀνατρέπει, τὸ σπάνιον καὶ θεοφιλὲς γένος ἀνασώζει, ᾧ πᾶς ὁ γενόμενος ὑπή-

*) Deut. 7, 7 sq. **) Exod. 23, 2. ***) Deut. 20, 1.

κοος μισεῖ καὶ βδελύττεται τὰ τῶν γεωδεστέρων στίφη.

§. 12. "Ἃ γὰρ", φησὶ, "πολυπληθεῖ ποσὶν ἐπὶ πᾶσι τοῖς ἑρπετοῖς τοῖς ἐπὶ τῆς γῆς, οὐ φάγεσθε, ὅτι βδελύ-
446 γματά ἐστιν *)." Ἀλλ' οὐ μίσους ἐστὶν ἐπαξία ψυχὴ,
M. ἡ καθ' ἓν μέρος, ἀλλ' ἡ κατὰ πάντα ἢ τὰ πλεῖστα βαίνουσα ἐπὶ τὴν γῆν, καὶ τὰ τοῦ σώματος περιλιχνεύουσα, καὶ συνόλως εἰς τὰς οὐρανοῦ θείας περιόδους ἀνακῦψαι μὴ δυναμένη. Καὶ μὴν ὥςπερ τὸ πολύπουν, οὕτως καὶ τὸ ἄπουν ἐν ἑρπετοῖς ψεκτὸν, 398
τὸ μὲν διὰ τὴν λεχθεῖσαν αἰτίαν, τὸ δὲ ὅτι ὅλον δι' P.
ὅλων πέπτωκεν ἐπὶ τὴν γῆν, ὑπ' οὐδενὸς ἀλλ' οὐδ' ἐπὶ τὸ βραχύτατον ἐξαιρόμενον. "Πάντα γὰρ τὸν πορευόμενον ἐπὶ κοιλίαν ἀκάθαρτον εἶναί **)" φησι, τὸν τὰς τῆς γαστρὸς ἡδονὰς μεταδιώκοντα αἰνιττόμενος. Ἔνιοι δὲ προςυπερβάλλοντες οὐ μόνον τῷ τῆς ἐπιθυμίας ἐχρήσαντο γένει, ἀλλὰ καὶ τὸ ἀδελφὸν αὐτῇ πάθος τὸν θυμὸν προςεκτήσαντο, βουληθέντες ὅλον τὸ τῆς ψυχῆς ἄλογον ἐκζωπυρῆσαι μέρος, τὸν δὲ νοῦν διαφθεῖραι. Τὸ γὰρ εἰρημένον λόγῳ μὲν ἐπὶ ὄφεως, ἔργῳ δὲ ἐπὶ παντὸς ἀλόγου καὶ φιλόπαθοῦς ἀνθρώπου, χρησμὸς ὡς ἀληθῶς ἐστι θεῖος, "Ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσῃ ***)." Περὶ μὲν γὰρ τὰ στέρνα ὁ θυμὸς, τὸ δὲ ἐπιθυμίας ἕδος ἐν κοιλίᾳ. Πορεύεται δὲ ὁ ἄφρων δι' ἀμφοτέρων, θυμοῦ τε καὶ ἐπιθυμίας ἀεὶ, μηδένα διαλείπων χρόνον, τὸν ἡνίοχον καὶ βραβευτὴν λόγον ἀποβαλών. Ὁ δὲ ἐναντίος τούτῳ θυμὸν μὲν καὶ ἐπιθυμίαν ἐκτέτμηται, κυβερνήτην δὲ ἐπιγέγραπται θεῖον λόγον, καθὰ καὶ Μωϋσῆς ὁ θεοφιλέστατος· ὅς, ὅταν τὰς ὁλοκαύτους τῆς ψυχῆς ἱερουργῇ θυσίας, "τὴν μὲν κοιλίαν ἐκπλυνεῖ †)," τουτέστιν ὅλον τὸ ἐπιθυμίας ἕδος ἐκνίψεται, τὸ δὲ "στηθύνιον ἀπὸ τοῦ κριοῦ

*) Lev. 11, 42. **) Ibid. ***) Gen. 3, 14. †) Exod. 29, 26.

τῆς τελειώσεως ἀφελεῖ *)," σύμπαντα δὴ τὸν πολεμικὸν θυμόν, ἵνα τὸ λοιπὸν μέρος καὶ ἄμεινον τῆς ψυχῆς, τὸ λογικόν, μηδενὸς ἀντισπῶντος ἔτι καὶ μεθέλκοντος ἐλευθέροις καὶ εὐγενέσιν ὁρμαῖς τῷ ὄντι χρήσηται πρὸς τὰ καλὰ πάντα. Οὕτως γὰρ εἴς τε πλῆθος καὶ μέγεθος ἐπιδώσει· λέγεται γάρ, "Ἕως τίνος παροξυνοῦσιν ὁ λαὸς οὗτος; Καὶ ἕως τίνος οὐ πιστεύσουσί μοι ἐν πᾶσι τοῖς σημείοις οἷς ἐποίησα ἐν αὐτοῖς; Πατάξω αὐτοὺς θανάτῳ καὶ ἀπολῶ αὐτούς, καὶ ποιήσω σε καὶ τὸν οἶκον τοῦ πατρός σου εἰς ἔθνος μέγα καὶ πολύ, ἢ τοῦτο **)." Ἐπειδὰν γὰρ ὁ θυμῷ καὶ ἐπιθυμίᾳ χρώμενος πολὺς ὅμιλος καταλυθῇ τῆς ψυχῆς, πάντως εὐθὺς ὁ τῆς λογικῆς φύσεως διεξηρτημένος, ἀνίσχει καὶ ἀνατέλλει. Ὥσπερ δὲ τὸ πολύπουν καὶ ἄπουν, ἐναντία ὄντα ἐν τῷ
447 γένει τῶν ἑρπετῶν, ἀκάθαρτα ἀναγράφεται, οὕτως
M. καὶ ἡ ἄθεος καὶ πολύθεος ἀντίπαλοι ἐν ψυχῇ δόξαι βέβηλοι. Σημεῖον δὲ ἀμφοτέρας ὁ νόμος "ἐκκλησίας ἱερᾶς ἀπελήλακε ***)," τὴν μὲν ἄθεον, τῷ θλαδίαν καὶ ἀποκεκομμένον εἴρξας ἐκκλησιάζειν· τὴν δὲ πολύθεον, τῷ τὸν ἐκ πόρνης ὁμοίως κωλύσας ἀκούειν ἢ λέγειν. Ἄθεος μὲν γὰρ ὁ ἄγονος, πολύθεος δὲ ὁ ἐκ πόρνης, τυφλώττων περὶ τὸν ἀληθῆ πατέρα, καὶ διὰ τοῦτο πολλοὺς ἀνθ' ἑνὸς γονεῖς αἰνιττόμενος.

§. 13. Δύο μὲν αὗται δωρεαὶ προείρηνται, θεω- 399
ρητικοῦ τε ἐλπὶς βίου, καὶ πρὸς πλῆθος καὶ μέγε- P.
θος τῶν καλῶν ἐπίδοσις. Τρίτη δ' ἐστὶν εὐλογία, ἧς ἄνευ βεβαιώσασθαι τὰς πρότερον χάριτας οὐκ ἔστι. Λέγει γάρ, "Καὶ εὐλογήσω σε", τουτέστιν ἐπαινετὸν λόγον δωρήσομαι· τὸ γὰρ εὖ πάντως ἐπ' ἀρετῆς. Λόγος δὲ ὁ μὲν πηγῇ ἔοικεν, ὁ δὲ ἀπορροῇ· πηγῇ μὲν ὁ ἐν διανοίᾳ, προφορὰ δὲ ἡ διὰ στόματος καὶ γλώττης ἀπορροῇ. Ἑκάτερον δὲ εἶδος

*) Lev. 8, 29. **) Num. 14, 11 sq. ***) Deut. 23, 2.

λόγου βελτιωθῆναι, πολὺς πλοῦτος· διάνοιαν μὲν εὐ-
λογιστίᾳ πρὸς πάντα μικρὰ καὶ μείζονα χρωμένην,
προφορὰν δὲ ὑπὸ παιδείας ὀρθῆς ἡνιοχουμένην. Πολ-
λοὶ μὲν γὰρ λογίζονται τὰ βέλτιστα, ὑπὸ δὲ ἑρμη-
νέως καλοῦ προεδόθησαν, λόγου, μουσικὴν τὴν ἐγ-
κύκλιον οὐκ ἐκπονήσαντες· οἱ δὲ ἔμπαλιν ἑρμηνεῦσαι
μὲν ἐγένοντο δυνατώτατοι, βουλεύσασθαι δὲ φαυλό-
τατοι, καθάπερ οἱ λεγόμενοι σοφισταί. Τούτων γὰρ
ἀχόρευτος μὲν καὶ ἄμουσος ἡ διάνοια, πάμμουσοι δὲ
αἱ διὰ τῶν φωνητηρίων ὀργάνων διέξοδοι. Χαρίζε-
ται δὲ ὁ θεὸς τοῖς ὑπηκόοις ἀτελὲς οὐδὲν, πλήρη δὲ
καὶ τέλεια πάντα· διὸ καὶ νῦν τὴν εὐλογίαν, οὐχ
ἑνὶ λόγου τμήματι, τοῖς δὲ μέρεσιν ἀμφοτέροις ἐπι-
πέμπει· δικαιῶν τὸν εὐεργετούμενον καὶ ἐνθυμεῖσθαι
τὰ βέλτιστα, καὶ ἐξαγγέλλειν τὰ νοηθέντα δυνατῶς.
Ἡ γὰρ τελειότης δι' ἀμφοῖν, ὡς ἔοικε, τοῦ γε ὑπο-
βάλλοντος τὰ ἐνθυμήματα καθαρῶς καὶ τοῦ διερ-
μηνεύοντος αὐτὰ ἀπταίστως. Ἢ οὐχ ὁρᾷς τὸν Ἄ-
βελ — ὄνομα δέ ἐστι τοῦ τὰ θνητὰ πενθοῦντος καὶ
τὰ ἀθάνατα εὐδαιμονίζοντος — ὡς ἀνεπιλήπτῳ μὲν κέ-
χρηται διανοίᾳ; Τῷ δὲ μὴ γεγυμνάσθαι περὶ λόγους
ἥττηται πρὸς δεινοῦ παλαῖσαι, Κάϊν τέχνῃ μᾶλλον ἢ
ῥώμῃ περιγενέσθαι δυναμένου. Διὸ καὶ θαυμάζων
αὐτὸν τῆς περὶ τὴν φύσιν εὐμοιρίας τὸν τρόπον αἰ-
τιῶμαι τοῦτον, ὅτι προκληθεὶς εἰς ἅμιλλαν λόγων
ἧκεν ἀγωνιούμενος, δέον ἐπὶ τῆς συνήθους ἠρεμίας
στῆναι, πολλὰ χαίρειν φράσαντα τῷ φιλονείκῳ. Εἰ
δ' ἄρα ἐβούλετο πάντως διαγωνίσασθαι, μὴ πρότε-
448 ρον κονίσασθαι, ἢ τοῖς τεχνικοῖς παλαίσμασιν ἐνα-
θληθῆναι. Τῶν γὰρ ἀγροικοσόφων οἱ τὰ πολιτικὰ
κεκομψευμένοι μάλιστά πως εἰώθασι περιεῖναι.

§. 14. Διὸ καὶ Μωϋσῆς ὁ πάνσοφος παραιτεῖ-
ται μὲν εἰς τὴν τῶν εὐλόγων καὶ πιθανῶν ἐπίσκεψιν
ἐλθεῖν, ἀφ' οὗ τὸ ἀληθείας φέγγος ἤρξατο ὁ θεὸς
ἐναστράπτειν αὐτῷ, διὰ τῶν ἐπιστήμης καὶ σοφίας
αὐτῆς ἀθανάτων λόγων. Ἄγεται δὲ οὐδὲν ἧττον πρὸς

τὴν θέαν αὐτῶν, οὐχ ἕνεκα τοῦ πλειόνων ἔμπειρος
γενέσθαι πραγμάτων — ἀποχρῶσι γὰρ αἱ περὶ θεοῦ
καὶ τῶν ἱερωτάτων αὐτοῦ δυνάμεων ζητήσεις τῷ φι-
λοθεάμονι — ἀλλ' ὑπὲρ τοῦ περιγενέσθαι τῶν ἐν Αἰ- 400
γύπτῳ σοφιστῶν, ὅσαι μυθικαὶ πιθανότητες πρὸ τῆς P.
τῶν ἀληθῶν ἐναργείας τετίμηνται. Ὅταν μὲν οὖν
τοῖς τοῦ πανηγεμόνος ἐμπεριπατῇ πράγμασιν ὁ νοῦς,
οὐδενὸς ἑτέρου προςδεῖται πρὸς τὴν θεωρίαν, ἐπειδὴ
τῶν νοητῶν μόνη διάνοια ὀφθαλμὸς ὀξυωπέστατος·
ὅταν δὲ καὶ τοῖς κατ' αἴσθησιν ἢ πάθος ἢ σῶμα,
ὧν ἐστιν ἡ Αἰγύπτου χώρα σύμβολον, δεήσεται καὶ
τῆς περὶ λόγους τέχνης ὁμοῦ καὶ δυνάμεως. Οὗ χά-
ριν ἐπάγεσθαι τὸν Ἀαρὼν αὐτῷ διείρηται, τὸν προ-
φορικὸν λόγον. "Οὐκ ἰδού," φησίν, "Ἀαρὼν ὁ
ἀδελφός σου" *); — *Μιᾶς γὰρ ἀμφοῖν τῆς λογικῆς
φύσεως μητέρος οὔσης, ἀδελφὰ δήπου τὰ γεννήμα-
τα.* — "Ἐπίσταμαι, ὅτι λαλήσει." Διανοίας μὲν γὰρ
τὸ καταλαμβάνειν, προφορᾶς δὲ τὸ λαλεῖν ἴδιον.
"Λαλήσει," φησίν, "αὐτός σοι·" τὰ γὰρ ἐν αὐτῷ
ταμιευόμενα μὴ δυνάμενος ὁ νοῦς ἀπαγγεῖλαι τῷ
πλησίον ἑρμηνεῖ χρῆται λόγῳ πρὸς τὴν ὧν πέπονθε
δήλωσιν. Εἶτα ἐπιλέγει, "Ἰδοὺ αὐτὸς ἐξελεύσεται
εἰς συνάντησίν σου," ἐπειδὴ τῷ ὄντι ὁ λόγος τοῖς
ἐνθυμήμασιν ὑπαντῶν, ῥήματα καὶ ὀνόματα προς-
τιθείς, χαράττει τὰ ἄσημα, ὡς ἐπίσημα ποιεῖν. Καὶ
"Ἰδών σε," φησί, "χαρήσεται ἐν αὐτῷ·" γηθεῖ γὰρ
ὁ λόγος καὶ εὐφορεῖ, ὅταν μὴ ἀμυδρὸν ᾖ τὸ ἐνθύ-
μημα, διότι τηλαυγοῦς ὄντος ἀπταίστῳ καὶ εὐτρόχῳ
διερμηνεύσει χρῆται, κυρίων καὶ εὐθυβόλων καὶ γε-
μόντων πολλῆς ἐμφάσεως εὐπορῶν ὀνομάτων.

§. 15. Ἐπειδὰν γοῦν ἀδηλότερά πως ᾖ τὰ νοή-
ματα, κατὰ κενοῦ βαίνει, καὶ ὀλισθὼν πολλάκις μέ-
γα πτῶμα ἔπεσεν, ὡς μηκέτι ἀναστῆναι δύνασθαι.
"Καὶ ἐρεῖς πρὸς αὐτὸν καὶ δώσεις τὰ ῥήματά μου

*) Exod. 4, 14 sqq.

εἰς τὸ στόμα αὐτοῦ," ἴσον τῷ, ὑπηχήσεις αὐτῷ τὰ
ἐνθυμήματα, ἃ ῥημάτων καὶ λόγων ἀδιαφορεῖ θείων.
Ἄνευ γὰρ τοῦ ὑποβολέως οὐ φθέγξεται ὁ λόγος· ὑ-
ποβολεὺς δὲ λόγου νοῦς, ὡς νοῦ θεός. "Καὶ αὐτός
σοι προςλαλήσει πρὸς τὸν λαὸν, καὶ αὐτὸς ἔσται σοῦ
στόμα· σὺ δὲ αὐτῷ ἔσῃ τὰ πρὸς τὸν θεόν." Ἐμ-
φαντικώτατα τό τε "προςλαλήσει σοι" φάναι, οἷον
449 διερμηνεύσει τὰ σά· καὶ ὅτι "ἔσται σοῦ στόμα." Διὰ
M. γὰρ γλώττης καὶ στόματος φερόμενον τὸ τοῦ λόγου
νᾶμα συνεκφέρει τὰ νοήματα. Ἀλλ' ὁ μὲν λόγος
ἑρμηνεὺς διανοίας πρὸς ἀνθρώπους, ἡ δὲ διάνοια
γίνεται τῷ λόγῳ τὰ πρὸς τὸν θεόν· ταῦτα δέ ἐστιν
ἐνθυμήματα, ὧν μόνος ὁ θεὸς ἐπίσκοπος. Ἀναγκαῖον
οὖν ἐστι τῷ μέλλοντι πρὸς ἀγῶνα σοφιστικὸν ἀπαν-
τᾶν ἐπιμελεῖσθαι λόγων ἐῤῥωμένως οὕτως, ὡς μὴ
μόνον ἐκφεύγειν τὰ παλαίσματα, ἀλλὰ καὶ ἀντεπι-
τιθέμενον ἀμφοτέροις, τέχνῃ τε καὶ δυνάμει, περιεῖ-
ναι. Ἢ οὐχ ὁρᾷς τοὺς ἐπαοιδοὺς καὶ φαρμακευ- 401
τὰς ἀντισοφιστεύοντας τῷ θείῳ λόγῳ καὶ τοῖς πα- P.
ραπλησίοις τολμῶντας ἐγχειρεῖν, οὐχ οὕτως ἐπὶ τῷ
τὴν ἰδίαν ἐπιστήμην ἀποφῆναι περιβόητον, ὡς ἐπὶ
τῷ διασῦραι καὶ χλευάσαι τὰ γινόμενα *); Καὶ γὰρ
τὰς βακτηρίας εἰς δρακόντων μεταστοιχειοῦσι φύσεις,
καὶ τὸ ὕδωρ εἰς αἵματος χρόαν τρέπουσι, καὶ τῶν
βατράχων τὸ ὑπολειφθὲν ἐπῳδαῖς ἀνέλκουσιν ἐπὶ
γῆν, καὶ πάντα οἱ κακοδαίμονες τὰ πρὸς τὸν οἰκεῖον
ὄλεθρον συναύξοντες, ἀπατᾶν δοκοῦντες ἀπατῶνται.
Πρὸς οὓς πῶς ἐνῆν ἀπαντῆσαι, μὴ τὸν ἑρμηνέα δια-
νοίας λόγον, Ἀαρὼν ἐπίκλησιν, ἑτοιμασάμενος; Ὃς
νῦν μὲν εἴρηται "στόμα", αὖθις δὲ καὶ "προφήτης"
κεκλήσεται, ὅταν καὶ ὁ νοῦς ἐπιθειάσας προςρηθῇ
θεός. "Δίδωμι γάρ σε", φησὶ, "θεὸν Φαραὼ, καὶ
Ἀαρὼν ὁ ἀδελφός σου ἔσται σου προφήτης" **).
Ὢ ἀκολουθίας ἐναρμονίου! Τὸ γὰρ ἑρμηνεῦον τὰ

*) Exod. 7, 12. **) Ibid. v. 1.

*θεοῦ προφητικόν ἐστι γένος, ἐνθέῳ κατακωχῇ τε καὶ μανίᾳ χρώμενον. Τοιγαροῦν "ἡ ῥάβδος Ἀαρὼν κατέπιε τὰς ἐκείνων ῥάβδους" *), ὡς δηλοῖ τὸ λόγιον. Ἐγκαταπίνονται γὰρ καὶ ἀφανίζονται πάντες οἱ σοφιστικοὶ λόγοι τῇ τῆς φύσεως ἐντέχνῳ ποικιλίᾳ· ὡς ὁμολογεῖν ὅτι "δάκτυλος θεοῦ" **) τὰ γινόμενά ἐστιν· ἴσον τῷ, γράμμα θεῖον διαγορεῦον ἀεὶ σοφιστείαν ὑπὸ σοφίας ἡττᾶσθαι. "Δακτύλῳ γὰρ θεοῦ καὶ τὰς πλάκας", ἐν αἷς ἐστηλιτεύθησαν οἱ χρησμοὶ, φησὶν ὁ ἱερὸς λόγος "γραφῆναι" ***). Διόπερ "οὐκέτι δύνανται οἱ φαρμακευταὶ στῆναι ἐναντίον Μωϋσεῖ" †), πίπτουσι δὲ ὡς ἐν ἀγῶνι ῥώμῃ τοῦ ἀντιπάλου νικηθέντες καρτερᾷ.*

§. 16. *Τίς οὖν ἡ τετάρτη δωρεά; Τὸ μεγαλώνυμον. Φησὶ γὰρ, "Μεγαλυνῶ τὸ ὄνομά σου" ††). Τὸ δέ ἐστιν, ὥς γ' ἐμοὶ φαίνεται, τοιόνδε· ὥςπερ τὸ ἀγαθὸν εἶναι καὶ καλὸν, οὕτω καὶ τὸ δοκεῖν εἶναι λυσιτελές. Καὶ ἀμείνων μὲν δόξης ἀλήθεια, εὔδαιμον δὲ τὸ ἐξ ἀμφοῖν. Μυρίοι γὰρ ἀνόθως καὶ ἀκολακεύτως προςελθόντες ἀρετῇ, καὶ τὸ γνήσιον αὐτῆς ἐναγασάμενοι κάλλος, τῆς παρὰ τοῖς πολλοῖς φήμης οὐ φροντίσαντες, ἐπεβουλεύθησαν, κακοὶ νομισθέν-*
450 *τες, οἱ πρὸς ἀλήθειαν ἀγαθοί. Καὶ μὴν οὐδὲ τοῦ*
M. *δοκεῖν ὄφελος, μὴ πολὺ πρότερον τοῦ εἶναι προςόντος, ὥςπερ ἐπὶ σωμάτων πέφυκεν ἔχειν. Εἰ γὰρ πάντες ἄνθρωποι τὸν νοσοῦντα ὑγιαίνειν, ἢ τὸν ὑγιαίνοντα νοσεῖν ὑπολάβοιεν, ἡ δόξα καθ' αὑτὴν οὔτε νόσον, οὔτε ὑγίειαν ἐργάσεται· ᾧ δὲ ἀμφότερα δεδώρηται ὁ θεὸς καὶ τὸ εἶναι καλὸν καὶ ἀγαθὸν καὶ τὸ δοκεῖν εἶναι, οὗτος πρὸς ἀλήθειαν εὐδαίμων, καὶ τῷ ὄντι μεγαλώνυμος. Προνοητέον δὲ ὡς μεγάλου πράγματος καὶ πολλὰ τὸν μετὰ σώματος βίον ὠφελοῦντος, εὐφημίας. Περιγίνεται δὲ* 402 P.

---

*) Exod. 7, 12. **) Exod. 8, 19. ***) Exod. 32, 16. †) Exod. 8, 19. ††) Gen. 12, 2.

αὕτη σχεδὸν ἅπασιν, ὅσοι χαίροντες σὺν ἀσμενισμῷ μηδὲν κινοῦσι τῶν καθεστηκότων νομίμων, ἀλλὰ τὴν πάτριον πολιτείαν οὐκ ἀμελῶς φυλάττουσιν. Εἰσὶ γάρ τινες οἳ τοὺς ῥητοὺς νόμους σύμβολα νοητῶν πραγμάτων ὑπολαμβάνοντες τὰ μὲν ἄγαν ἠκρίβωσαν, τῶν δὲ ῥᾳθύμως ὠλιγώρησαν, οὓς μεμψαίμην ἂν ἔγωγε τῆς εὐχερείας. Ἔδει γὰρ ἀμφοτέρων ἐπιμεληθῆναι, ζητήσεώς τε τῶν ἀφανῶν ἀκριβεστέρας καὶ ταμίας τῶν φανερῶν ἀνεπιλήπτου. Νυνὶ δὲ ὥςπερ ἐν ἐρημίᾳ καθ᾽ ἑαυτοὺς μόνοι ζῶντες, ἢ ἀσώματοι ψυχαὶ γεγονότες, καὶ μήτε πόλιν μήτε κώμην μήτ᾽ οἰκίαν μήτε συνόλως θίασον ἀνθρώπων εἰδότες, τὰ δοκοῦντα τοῖς πολλοῖς ὑπερκύψαντες, τὴν ἀλήθειαν γυμνὴν αὐτὴν ἐφ᾽ ἑαυτῆς ἐρευνῶσιν· οὓς ὁ ἱερὸς λόγος διδάσκει χρηστῆς ὑπολήψεως πεφροντικέναι, καὶ μηδὲν τῶν ἐν τοῖς ἔθεσι λύειν, ἃ θεσπέσιοι καὶ μείζους ἄνδρες ἢ καθ᾽ ἡμᾶς ὥρισαν. Μὴ γὰρ ὅτι ἡ ἑβδόμη δυνάμεως μὲν τῆς περὶ τὸ ἀγέννητον, ἀπραξίας δὲ τῆς περὶ τὸ γεννητὸν δίδαγμά ἐστι, τὰ ἐπ᾽ αὐτῇ νομοθετηθέντα λύωμεν, ὡς πυρεναύζειν, ἢ γεωπονεῖν, ἢ ἀχθοφορεῖν, ἢ ἐγκαλεῖν, ἢ δικάζειν, ἢ παρακαταθήκας ἀπαιτεῖν, ἢ δάνεια ἀναπράττειν, ἢ τὰ ἄλλα ποιεῖν, ὅσα καὶ ἐν τοῖς μὴ ἑορτώδεσι καιροῖς ἐφίεται. Μηδ᾽ ὅτι ἡ ἑορτὴ σύμβολον ψυχικῆς εὐφροσύνης ἐστὶ καὶ τῆς πρὸς θεὸν εὐχαριστίας, ἀποταξώμεθα ταῖς κατὰ τὰς ἐτησίους ὥρας πανηγύρεσι· μηδ᾽ ὅτι τὸ περιτέμνεσθαι ἡδονῶν καὶ παθῶν πάντων ἐκτομὴν καὶ δόξης ἀναίρεσιν ἀσεβοῦς ἐμφαίνει, καθ᾽ ἣν ὑπέλαβεν ὁ νοῦς ἱκανὸς εἶναι γεννᾶν δι᾽ ἑαυτοῦ, ἀνέλωμεν τὸν ἐπὶ τῇ περιτομῇ τιθέντα νόμον. Ἐπεὶ καὶ τῆς περὶ τὸ ἱερὸν ἁγιστείας καὶ μυρίων ἄλλων ἀμελήσομεν, εἰ μόνοις προςέξομεν τοῖς δι᾽ ὑπονοιῶν δηλουμένοις. Ἀλλὰ χρὴ ταῦτα μὲν σώματι ἐοικέναι νομίζειν, ψυχῇ δὲ ἐκεῖνα·
451 ὥςπερ οὖν σώματος, ἐπειδὴ ψυχῆς ἐστιν οἶκος,
M. προνοητέον, οὕτω καὶ τῶν ῥητῶν νόμων ἐπιμελητέον.

Φυλαττομένων γὰρ τούτων ἀριδηλότερον καὶ ἐκεῖνα γνωρισθήσεται ὧν εἰσιν οὗτοι σύμβολα, πρὸς τῷ καὶ τὰς ἀπὸ τῶν πολλῶν μέμψεις καὶ κατηγορίας ἀποδιδράσκειν. Οὐχ ὁρᾷς, ὅτι καὶ ὁ Ἀβραὰμ τῷ σοφῷ καὶ μεγάλα ἀγαθὰ καὶ μικρὰ προςεῖναι φησι, καὶ καλεῖ τὰ μὲν μεγάλα "ὑπάρχοντα" *) καὶ ὑπαρκτά, ἃ τῷ γνησίῳ κληρονομεῖν ἐφεῖται μόνῳ· τὰ δὲ μικρὰ, δόματα, ὧν οἱ νόθοι καὶ ἐκ παλλακῶν ἀξιοῦνται. Ἐκεῖνα μὲν οὖν ἔοικε τοῖς φύσει, ταῦτα δὲ τοῖς θέσει νομίμοις.

§. 17. Ἄγαμαι καὶ τῆς παναρέτου Λείας, ἥτις ἐπὶ τῆς Ἀσὴρ γενέσεως, ὅς ἐστι τοῦ αἰσθητοῦ καὶ
νόθου σύμβολον πλούτου, φησί, "Μακαρία ἐγὼ 403
ὅτι μακαριοῦσί με αἱ γυναῖκες" **). Στοχάζεται P.
γὰρ ὑπολήψεως ἐπιεικοῦς, δικαιοῦσα μὴ μόνον ὑπὸ ἀῤῥένων καὶ ἀνδρείων ὡς ἀληθῶς λόγων ἐπαινεῖσθαι, παῤ οἷς ἡ ἀλώβητος φύσις καὶ τὸ ἀληθὲς ἀδέκαστον τετίμηται· ἀλλὰ καὶ πρὸς τῶν θηλυτέρων, οἳ τῶν φαινομένων πάντα τρόπον ἥττηνται μηδὲν ἔξω τούτων θεωρητὸν νοῆσαι δυνάμενοι. Τελείας δὲ ψυχῆς ἐστι τοῦ εἶναι καὶ τοῦ δοκεῖν εἶναι μεταποιεῖσθαι, καὶ σπουδάζειν μὴ μόνον παρὰ τῇ ἀνδρωνίτιδι εὐδοκιμεῖν, ἀλλὰ καὶ πρὸς τῆς γυναικωνίτιδος ἑστίας ἐπαινεῖσθαι. Διὸ καὶ Μωϋσῆς τὴν τῶν ἱερῶν ἔργων κατασκευὴν οὐ μόνον ἀνδράσιν, ἀλλὰ καὶ γυναιξὶν ἐπέτρεψε ποιεῖσθαι· τά τε γὰρ "νήματα πάντα τῆς ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου καὶ βύσσου καὶ τριχῶν αἰγείων ἐπιτελοῦσι", καὶ τὸν ἑαυτῶν κόσμον ἀόκνως εἰςφέρουσι, "σφραγῖδας, ἐνώτια, δακτυλίους, περιδέξια, ἐμπλόκια" ***), πάνθ᾽ ὅσα χρυσὸν εἶχε τὴν ὕλην, τὸν σώματος κόσμον ἀνταλλαττόμεναι τοῦ τῆς εὐσεβείας. Προςφιλοτιμούμεναι μέντοι καὶ "τὰ κάτοπτρα ἑαυτῶν συγκαθιε-

*) Gen. 25, 5 sq. **) Gen. 30, 13. ***) Exod. 35, 22.

ροῦσιν εἰς τὴν τοῦ λουτῆρος κατασκευὴν" *), ἵν' οἱ μέλλοντες ἱερουργεῖν, ἀπονιπτόμενοι χεῖρας καὶ πόδας, τὰ ἐγχειρήματα οἷς ἐφορμεῖ καὶ ἐνίδρυται ὁ νοῦς, ἐνοπτρίζωνται ἑαυτοὺς κατὰ μνήμην τῶν ἐσόπτρων, ἐξ ὧν ὁ λουτὴρ δεδημιούργηται· οὕτω γὰρ οὐδὲν αἶσχος ἐν τῷ τῆς ψυχῆς εἴδει περιόψονται γινόμενον. Ἤδη δὲ τὸ νηστείας καὶ καρτερίας ἀνάθημα ἀναθήσουσιν ἱεροπρεπέστατον καὶ τελεώτατον ἀναθημάτων. Ἀλλ' αὗται μὲν ἀσταί τε καὶ ἀστεῖαι γυναῖκες, αἰσθήσεις ὡς ἀληθῶς, παρ' αἷς ἡ ἀρετὴ Λεία τετιμῆσθαι βούλεται· αἱ δὲ προσαναφλέγουσαι τὸ πῦρ ἐπὶ τὸν ἄθλιον νοῦν ἀπόλιδες. Λέγεται γὰρ ὅτι καὶ "γυναῖκες ἔτι προσεξέκαυσαν πῦρ
452 ἐπὶ Μωάβ" **). Ἀλλ' οὐχὶ καὶ ἑκάστη τῶν τοῦ
M. ἄφρονος αἰσθήσεων ἐξαπτομένη πρὸς τῶν αἰσθητῶν ἐμπίμπρησι τὸν νοῦν, πολλὴν καὶ ἀπέραντον φλόγα ἐπεισχέουσα μετὰ ῥύμης ἀνηνύτου καὶ φορᾶς; Ἄριστον γοῦν ἐξευμενίζεσθαι τὸ γυναικῶν τάγμα ἐν ψυχῇ, τῶν αἰσθήσεων, καθάπερ καὶ τῶν ἀνδρῶν, τῶν κατὰ μέρος λογισμῶν· οὕτω γὰρ ἀμείνονι βίου διεξόδῳ χρησόμεθα παγκάλως.

§. 18. Διὰ τοῦτο καὶ ὁ αὐτομαθὴς Ἰσαὰκ εὔχεται τῷ σοφίας ἐραστῇ καὶ τὰ νοητὰ καὶ τὰ αἰσθητὰ λαβεῖν ἀγαθά. Φησὶ γάρ, "Δώη σοι ὁ θεὸς ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ, καὶ ἀπὸ τῆς πιότητος τῆς γῆς" ***), ἴσον τῷ, πρῶτον συνεχῆ σοι τὸν νοητὸν καὶ οὐράνιον ὑετὸν ἄρδοι, μὴ λάβρως ὡς ἐπικλύσαι, ἀλλ' ἠρέμα καὶ πράως καθάπερ δρόσον ὡς ὀνῆσαι· δεύτερον δὲ τὸν αἰσθητὸν καὶ γήϊνον πλοῦτον χαρίσαιτο λιπαρὸν καὶ πίονα, τὴν 404
ἐναντίαν πενίαν ψυχῆς τε καὶ τῶν αὐτῆς μερῶν P.
ἀφανάνας. Ἐὰν μέντοι καὶ τὸν ἀρχιερέα λόγον ἐξετάζῃς, εὑρήσεις συνῳδὰ φρονοῦντα καὶ τὴν ἱερὰν ἐσθῆτα αὐτῷ πεποικιλμένην ἔκ τε νοητῶν

*) Exod. 38, 8. **) Num. 21, 30. ***) Gen. 27, 28.

καὶ αἰσθητῶν δυνάμεων· ἧς τὰ μὲν ἄλλα μακροτέρων ἢ κατὰ τὸν παρόντα καιρὸν δεῖται λόγων, καὶ ὑπερθετέον· τὰ δὲ πρὸς τοῖς πέρασιν ἐξετάσωμεν, κεφαλῇ τε καὶ βάσεσιν. Οὐκοῦν ἐπὶ μὲν τῆς κεφαλῆς ἐστι "πέταλον χρυσοῦν" *) καθαρὸν, ἔχον ἐκτύπωμα σφραγῖδος, "ἁγίασμα κυρίῳ". ἐπὶ δὲ τοῖς ποσίν, "ἐπὶ τοῦ τέλους τοῦ ὑποδύτου κώδωνες καὶ ἄνθινα." Ἀλλ' ἐκείνη μὲν ἡ σφραγὶς ἰδέα ἐστὶν ἰδεῶν, καθ' ἣν ὁ θεὸς ἐτύπωσε τὸν κόσμον, ἀσώματος δήπου καὶ νοητή· τὰ δ' ἄνθινα καὶ οἱ κώδωνες αἰσθητῶν ποιοτήτων σύμβολα, ὧν ὅρασις καὶ ἀκοὴ τὰ κριτήρια. Ἄγαν δ' ἐξητασμένως ἐπιφέρει ὅτι "Ἔσται ἀκουστὴ φωνὴ αὐτοῦ εἰςιόντος εἰς τὰ ἅγια" **), ἵνα πρὸς τὰ νοητὰ καὶ θεῖα καὶ ὄντως ἅγια εἰςιούσης τῆς ψυχῆς, καὶ αἱ αἰσθήσεις ὠφελούμεναι κατ' ἀρετὴν συνηχῶσι, καὶ ὅλον τὸ σύστημα ἡμῶν, ὥςπερ ἐμμελὴς καὶ πολυάνθρωπος χορὸς, ἐκ διαφερόντων φθόγγων ἀνακεκραμένων ἓν μέλος ἐναρμόνιον συνᾴδῃ, τὰ μὲν ἐνδόσιμα τῶν νοημάτων ἐμπνεόντων, (ἡγεμόνες γὰρ τοῦ χοροῦ τούτου τὰ νοητά), τὰ δὲ ἑπόμενα τῶν αἰσθητῶν συναναμελπόντων, ἃ τοῖς κατὰ μέρος χορευταῖς ἀπεικάζεται. Συνόλως γὰρ, ἥ φησιν ὁ νόμος, "τὰ δέοντα, καὶ τὸν ἱματισμὸν, καὶ τὴν ὁμιλίαν" ***), τὰ τρία ταῦτα, ἀφαιρεῖσθαι τὴν ψυχὴν οὐκ ἔδει, ἀλλ' ἕκαστον αὐτῶν βεβαίως προςνέμειν. Τὰ μὲν οὖν δέοντα νοητά ἐστιν ἀγαθὰ, ἃ χρὴ καὶ ἃ δεῖ γενέσθαι λόγῳ φύσεως. Ὁ δὲ ἱματισμὸς, τὰ περὶ τὸν φαινόμενον τοῦ βίου κόσμον· ἡ δὲ ὁμιλία, ἡ καθ' ἑκάτερα τῶν εἰρημένων εἰδῶν συνέχεια καὶ μελέτη, ἵν' οἷα τὰ ἀφανῆ νοητὰ τοιαῦτα καὶ τὰ αἰσθητὰ φαίνηται.

153 §. 19. Πέμπτη τοίνυν ἐστὶ δωρεὰ, ἡ κατὰ ψι-
M. λὸν μόνον τὸ εἶναι συνισταμένη· λέλεκται δὲ ἐπὶ ταῖς

*) Exod. 28, 36. **) Exod. 28, 35. ***) Exod. 21, 10.

προτέραις, οὐχ ὡς εὐτελεστέρα ἐκείνων, ἀλλ' ὡς ὑπερκύπτουσα καὶ ὑπερβάλλουσα πάσας. Τί γὰρ ἂν εἴη μεῖζον τοῦ πεφυκέναι καὶ ἀψευδῶς καὶ ἀπλάστως ἀγαθὸν εἶναι καὶ εὐλογίας ἐπάξιον τελεωτέρας; "Ἔσῃ γάρ", φησίν, "εὐλογητός" *), οὐ μόνον εὐλογημένος· τὸ μὲν γὰρ ταῖς τῶν πολλῶν δόξαις τε καὶ φήμαις παραριθμεῖται, τὸ δὲ τῷ πρὸς ἀλήθειαν εὐλογητῷ. Ὥσπερ γὰρ τὸ ἐπαινετὸν εἶναι τοῦ ἐπαινεῖσθαι διαφέρει κατὰ τὸ κρεῖττον, καὶ τὸ ψεκτὸν εἶναι τοῦ ψέγεσθαι κατὰ τὸ χεῖρον, τὸ μὲν γὰρ τῷ πεφυκέναι, τὸ δὲ τῷ νομίζεσθαι λέγεται μόνον, φύσις δὲ ἡ ἀψευδὴς δοκήσεως ὀχυρώτερον, — οὕτως καὶ τὸ εὐλογεῖσθαι πρὸς ἀνθρώπων, ὅπερ ἦν, εἰς εὐλογίαν ἄγεσθαι διδασκόμενον, τῷ πεφυκέναι εὐλογίας
ἄξιον, καὶ ἂν πάντες ἡσυχάζωσι, κρεῖττον, ὅπερ 405
εὐλογητὸν ἐν τοῖς χρησμοῖς ᾄδεται. P.

§. 20. Ταῦτα μὲν τὰ ἐσθλὰ τῷ γενησομένῳ δωρεῖται σοφῷ· ἃ δὲ καὶ τοῖς ἄλλοις ἀπονέμει διὰ τὸν σοφὸν ἑξῆς ἴδωμεν. "Εὐλογήσω", φησί, "τοὺς εὐλογοῦντάς σε, καὶ τοὺς καταρωμένους σε καταράσομαι" **). Τὸ μὲν οὖν ἐπὶ τιμῇ τοῦ σπουδαίου καὶ ταῦτα γίνεσθαι παντί που δῆλον· λέγεται δὲ οὐδ' ἐκεῖνο μόνον, ἀλλὰ καὶ διὰ τὴν ἐν τοῖς πράγμασιν εὐάρμοστον ἀκολουθίαν. Τὸν γὰρ ἀγαθὸν καὶ ὁ ἐπαινῶν ἐγκωμιαστός, καὶ ὁ ψέγων ἔμπαλιν ψεκτός. Ἔπαινον δὲ καὶ ψόγον οὐχ οὕτως ἡ τῶν λεγόντων καὶ γραφόντων πιστοῦται δύναμις, ὡς ἡ τῶν γινομένων ἀλήθεια· ὥστε οὔτε ἐπαινεῖν, οὔτε ψέγειν ἂν δοκοῖεν, ὅσοι τι ψεῦδος ἐν ἑκατέρῳ παραλαμβάνουσιν ἴδιον. Τοὺς κόλακας οὐχ ὁρᾷς, οἳ μεθ' ἡμέραν καὶ νύκτωρ ἀποκναίουσι τῶν κολακευομένων τὰ ὦτα θρύπτοντες, οὐκ ἐπινεύοντες ἐφ' ἑκάστῳ τῶν λεγομένων αὐτὸ μόνον, ἀλλὰ καὶ ῥήσεις μακρὰς συνείροντες, καὶ ῥαψῳδοῦντες, καὶ εὐχόμενοι μὲν τῇ φωνῇ

*) Gen. 12, 2. **) Ibid. 12, 3.

πολλάκις, ἀεὶ δὲ τῇ διανοίᾳ καταρώμενοι; Τί οὖν ἄν τις εὖ φρονῶν εἴποι; Ἆρ' οὐχ ὥσπερ ἐχθροὺς μᾶλλον ἢ φίλους τοὺς λέγοντας ὄντας, καὶ ψέγειν μᾶλλον ἢ ἐπαινεῖν, καὶ ἂν δράματα ὅλα συντιθέντες ἐγκωμίων ἐπᾴδωσι; Τοιγαροῦν ὁ μάταιος Βαλαάμ, ὕμνους μὲν εἰς τὸν θεὸν ὑπερβάλλοντας ᾄδων, ἐν οἷς καὶ τὸ, "Οὐχ ὡς ἄνθρωπος ὁ θεὸς" *), ᾀσμάτων τὸ ἱεροπρεπέστατον, ἐγκώμια δ' εἰς τὸν ὁρῶντα, Ἰσραὴλ, μυρία διεξερχόμενος, ἀσεβὴς μὲν καὶ ἐπάρατος καὶ παρὰ τῷ σοφῷ κέκριται νομοθέτῃ, καταρᾶσθαι δ' οὐκ εὔλογον νενόμισται. Τοῖς γὰρ πολεμίοις φησὶν αὐτὸν ἐπὶ μισθῷ συνταχθέντα μηνυτὴν
454 γενέσθαι κακὸν κακῶν, ἀρὰς μὲν ἐν ψυχῇ θέμενον
M. χαλεπωτάτας γένει τῷ θεοφιλεῖ, εὐχὰς δὲ ἀναγκασθέντα διὰ στόματος καὶ γλώττης ὑπερφυεστάτας προφητεῦσαι. Τὰ μὲν γὰρ λεγόμενα καλὰ ὄντα ὁ φιλάρετος ὑπήχει θεὸς, τὰ δὲ ἐννοούμενα, φαυλότερα γὰρ ἦν, ἔτικτεν ἡ μισάρετος διάνοια. Μαρτυρεῖ δὲ ὁ περὶ τούτων χρησμός. "Οὐ γὰρ ἔδωκε", φησὶν, "ὁ θεὸς τῷ Βαλαὰμ καταράσασθαί σοι, ἀλλ' ἔτρεψε τὰς κατάρας εἰς εὐλογίαν" **), καίτοι πάντων ὅσα εἶπε πολλῆς γεμόντων εὐφημίας. Ἀλλ' ὁ τῶν ἐν ψυχῇ ταμιευομένων ἐπίσκοπος ἰδὼν, ᾧ κατιδεῖν ἔξεστι μόνῳ τὰ ἀθέατα γενέσει, τὴν καταδικάζουσαν ἀπὸ τούτων ψῆφον ἤνεγκε, μάρτυς ἀψευδέστατος ὁμοῦ καὶ κριτὴς ἀδέκαστος αὐτὸς ὤν· ἐπεὶ καὶ τὸ ἐναντίον ἐπαινετὸν βλασφημεῖν καὶ κατηγορεῖν δοκοῦντα τῇ φωνῇ κατὰ διάνοιαν εὐλογεῖν τε καὶ εὐφημεῖν. Σωφρονιστῶν ὡς ἔοικε τοῦτό ἐστι τὸ ἔθος, παιδαγωγῶν, διδασκάλων, γονέων, πρεσβυτέρων, ἀρ- 406
χόντων, νόμων· ὀνειδίζοντες γὰρ ἔστι δὲ ὅπου καὶ P.
κολάζοντες ἕκαστοι τούτων ἀμείνους τὰς ψυχὰς ἀπεργάζονται τῶν παιδευομένων. Καὶ ἐχθρὸς μὲν οὐδεὶς οὐδενὶ, φίλοι δὲ πᾶσι πάντες· φίλων δὲ ἀνόθῳ

*) Num. 23, 19. **) Deut. 23, 5.

καὶ ἀκιβδήλῳ χρωμένων εὐνοίᾳ, τοῦτ' ἔστιν ἔργον ἐλευθεροστομεῖν ἄνευ τοῦ κακονοεῖν. Μηδὲν οὖν μήτε τῶν εἰς εὐλογίας καὶ εὐχὰς, μήτε τῶν εἰς βλασφημίας καὶ κατάρας, ἐπὶ ταῖς ἐν προφορᾷ διεξόδοις ἀναφερέσθω μᾶλλον, ἢ διανοίᾳ ἀφ' ἧς ὥςπερ ἀπὸ πηγῆς ἑκάτερον εἶδος τῶν λεχθέντων δοκιμάζεται.

§. 21. Ταῦτα μὲν δὴ πρῶτον διὰ τὸν ἀστεῖον ἑτέροις συντυγχάνειν φησὶν, ὅταν ἢ ψόγον ἢ ἔπαινον, ἢ εὐχὰς ἢ κατάρας ἐθελήσωσιν αὐτῷ τίθεσθαι. Μέγιστον δὲ ἑξῆς ὅταν ἡσυχάζωσιν ἐκεῖνοι, τὸ μηδὲν μέρος φύσεως λογικῆς ἀμέτοχον εὐεργεσίας ἀπολείπεσθαι. Λέγει γὰρ ὅτι "Ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς." Ἔστι δὲ τοῦτο δογματικώτατον. Ἐὰν γὰρ ὁ νοῦς ἄνοσος καὶ ἀπήμων διατελῇ, ταῖς περὶ αὐτὸν ἁπάσαις φυλαῖς τε καὶ δυνάμεσιν ὑγιαινούσαις χρῆται, ταῖς τε καθ' ὅρασιν καὶ ἀκοὴν, καὶ ὅσα αἰσθητικὰ, καὶ πάλιν ταῖς κατὰ τὰς ἡδονάς τε καὶ ἐπιθυμίας, καὶ ὅσαι ἀντὶ παθῶν εἰς εὐπάθειαν μεταχαράττονται. Ἤδη μέντοι καὶ οἶκος καὶ πόλις, καὶ χώρα καὶ ἔθνη καὶ κλίματα γῆς, ἑνὸς ἀνδρὸς καλοκαγαθίας προμηθουμένου, μεγάλης ἀπέλαυσαν εὐδαιμονίας· καὶ μάλισθ' ὅτῳ μετὰ γνώμης ἀγαθῆς ὁ θεὸς καὶ δύναμιν ἔδωκεν ἀνανταγώνιστον, ὡς μουσικῷ καὶ παντὶ τεχνίτῃ τὰ κατὰ μουσικὴν καὶ πᾶσαν τέχνην ὄργανα, ἢ ξύλων ὕλην πυρί. Τῷ γὰρ ὄντι ἔρεισμα τοῦ γένους τῶν ἀνθρώπων ἐστὶν ὁ δίκαιος, καὶ ὅσα μὲν αὐτὸς ἔχει προφέρων εἰς μέ-
455 σον ἐπ' ὠφελείᾳ τῶν χρησομένων, ἄφθονα δίδω-
M. σιν· ὅσα δ' ἂν μὴ εὑρίσκῃ παρ' ἑαυτῷ, τὸν μόνον
πάμπλουτον αἰτεῖται θεόν. Ὁ δὲ τὸν οὐράνιον ἀνοίξας θησαυρὸν, ὀμβρεῖ καὶ ἐπινίφει τὰ ἀγαθὰ ἀθρόα, ὡς τῶν περιγείων ἁπάντων τὰς δεξαμενὰς πλημμυρούσας ἀναχυθῆναι. Ταῦτα δὲ τὸν ἱκέτην ἑαυτοῦ λόγον οὐκ ἀποστραφεὶς εἴωθε δωρεῖσθαι. Λέγεται γὰρ ἑτέρωθι Μωϋσέως ἱκετεύσαντος, "Ἵλεως

αὐτοῖς εἰμι κατὰ τὸ ῥῆμά σου" *)· τοῦτο δὲ ὡς
ἔοικεν ἰσοδυναμεῖ τῷ, "Ἐνευλογηθήσονται ἐν σοι
πᾶσαι αἱ φυλαὶ τῆς γῆς." Οὗ χάριν καὶ ὁ σοφὸς
Ἀβραὰμ, πεπειραμένος τῆς ἐν ἅπασι τοῦ θεοῦ χρη-
στότητος, πεπίστευκεν ὅτι καὶ ἂν πάντα τὰ ἄλλα
ἀφανισθῇ, μικρὸν δέ τι λείψανον ἀρετῆς ὥςπερ ἐμ-
πύρευμα διασώζηται, διὰ τὸ βραχὺ τοῦτο καὶ ἐκεῖνα
οἰκτείρει, ὡς πεπτωκότα ἐγείρειν, καὶ τεθνηκότα ζω-
πυρεῖν. Σπινθὴρ γὰρ καὶ ὁ βραχύτατος ἐντυφόμε- 407
νος, ὅταν καταπνευσθεὶς ζωπυρηθῇ, μεγάλην ἐξά- P.
πτει πυράν· καὶ τὸ βραχύτατον οὖν ἀρετῆς, ὅταν
ἐλπίσι χρησταῖς ὑποθαλπόμενον ἀναλάμψῃ, καὶ τὰ
τέως μεμυκότα καὶ τυφλὰ ἐξωμμάτωσε, καὶ τὰ
ἀφαυανθέντα ἀναβλαστεῖν ἐποίησε, καὶ ὅσα ὑπὸ
ἀγονίας ἐστείρωτο, εἰς εὐφορίαν εὐτοκίας περιήγαγεν.
Οὕτω τὸ σπάνιον ἀγαθὸν ἐπιφροσύνῃ θεοῦ πολὺ γί-
νεται χεόμενον, ἐξομοιοῦν τὰ ἄλλα ἑαυτῷ.

§. 22. Εὐχώμεθα οὖν τὸν ὡς ἐν οἰκίᾳ στύλον
νοῦν μὲν ἐν ψυχῇ, ἄνθρωπον δὲ ἐν τῷ γένει τῶν
ἀνθρώπων τὸν δίκαιον διαμένειν εἰς τὴν τῶν νόσων
ἄκεσιν. Τούτου γὰρ ὑγιαίνοντος, τὰς εἰς παντελῆ
σωτηρίαν οὐκ ἀπογνωστέον ἐλπίδας, δι' οὗ ἔτι οἶμαι
ὁ σωτὴρ θεὸς, τὸ πανακέστατον φάρμακον τὴν ἵλεω
δύναμιν τῷ ἱκέτῃ καὶ θεραπευτῇ προτείνας ἑαυτοῦ,
χρῆσθαι πρὸς τὴν τῶν καμνόντων σωτηρίαν ἐπιτρέ-
πει, καταπλάττοντι τῶν ψυχῆς τραυμάτων, ἅπερ
ἀφροσύναι καὶ ἀδικίαι, καὶ ὁ ἄλλος τῶν κακιῶν ὅμι-
λος ἀκονηθεὶς διεῖλεν. Ἐναργέστατον δὲ παράδειγμα
Νῶε ὁ δίκαιος, ὃς τῷ μεγάλῳ κατακλυσμῷ τῶν
τοσούτων μερῶν τῆς ψυχῆς ἐγκαταποθέντων, ἐῤῥω-
μένως ἐπικυματίζων καὶ ἐπινηχόμενος, ὑπεράνω μὲν
ἔστη τῶν δεινῶν ἁπάντων· διασωθεὶς δὲ, μεγάλας
καὶ καλὰς ἀφ' αὐτοῦ ῥίζας ἐβάλλετο, ἐξ ὧν οἷα φυ-
τὸν τὸ σοφίας ἀνεβλάστησε γένος· ὅπερ ἡμεροτοκῆ-

*) Num. 14, 20.

σαν τοὺς τοῦ ὁρῶντος, Ἰσραὴλ, τριττοὺς ἤνεγκε
καρποὺς, αἰῶνος μέτρα, τὸν Ἀβραὰμ, τὸν Ἰσαὰκ,
τὸν Ἰακώβ. Καὶ γάρ ἐστι καὶ ἔσται καὶ γέγονεν ἐν
τῷ παντὶ ἀρετὴ, ἣν ἀκαιρίαι μὲν ἴσως ἀνθρώπων
ἐπισκιάζουσιν, ὁ δὲ ὀπαδὸς θεοῦ καιρὸς ἀποκαλύπτει
πάλιν· ἐν ᾧ καὶ ἡ φρόνησις ἀῤῥενογονεῖ Σάῤῥα, οὐ
κατὰ τὰς χρονικὰς τοῦ ἔτους ὥρας, ἀλλὰ κατὰ τὰς
ἀχρόνους ἀκμὰς καὶ εὐκαιρίας ἐπανθοῦσα. Λέγεται
456 γὰρ, „Ἐπαναστρέφων ἥξω πρός σε κατὰ τὸν και-
M. ρὸν τοῦτον εἰς ὥρας, καὶ ἕξει υἱὸν Σάῤῥα ἡ γυνή
σου" *).

§. 23. Περὶ μὲν οὖν τῶν δωρεῶν, ἃς καὶ τοῖς
γενησομένοις τελείοις, καὶ δι᾽ αὐτοὺς ὁ θεὸς ἑτέροις
εἴωθε χαρίζεσθαι, δεδήλωται. Λέγεται δὲ ἑξῆς ὅτι
„Ἐπορεύθη Ἀβραὰμ καθάπερ ἐλάλησεν αὐτῷ κύ-
ριος" **). Τοῦτο δέ ἐστι τὸ παρὰ τοῖς ἄριστα φι-
λοσοφήσασιν ᾀδόμενον τέλος, τὸ ἀκολούθως τῇ φύ-
σει ζῆν. Γίνεται δὲ, ὅταν ὁ νοῦς εἰς τὴν ἀρετῆς
ἀτραπὸν ἐλθὼν κατ᾽ ἴχνος ὀρθοῦ λόγου βαίνῃ, καὶ
ἕπηται θεῷ, τῶν προστάξεων αὐτοῦ διαμεμνημένος,
καὶ πάσας ἀεὶ καὶ πανταχοῦ ἔργοις τε καὶ λόγοις
βεβαιούμενος. „Ἐπορεύθη γὰρ, καθὰ ἐλάλησεν αὐ-
τῷ κύριος"· τοῦτο δέ ἐστι τοιοῦτον, ὡς λαλεῖ 408
ὁ θεὸς, — λαλεῖ δὲ παγκάλως καὶ ἐπαινετῶς, — P.
οὕτως ὁ σπουδαῖος ἕκαστα δρᾷ, τὴν ἀτραπὸν εὐθύ-
νων ἀμέμπτως τοῦ βίου, ὥστε τὰ ἔργα τοῦ σοφοῦ
λόγων ἀδιαφορεῖν θείων. Ἑτέρωθι γοῦν φησιν ὅτι
„Ἐποίησεν Ἀβραὰμ πάντα τὸν νόμον μου" ***).
Νόμος δὲ οὐδὲν ἄρα ἢ λόγος θεῖος, προστάττων ἃ
δεῖ καὶ ἀπαγορεύων ἃ μὴ χρή· ὡς μαρτυρεῖ φά-
σκων ὅτι „Ἐδέξατο ἀπὸ τῶν λόγων αὐτοῦ νόμον" †).
Εἰ τοίνυν λόγος μέν ἐστι θεῖος ὁ νόμος, ποιεῖ δὲ ὁ
ἀστεῖος τὸν νόμον, ποιεῖ πάντως καὶ τὸν λόγον·

---

*) Gen. 18, 10. **) Gen. 12, 4. ***) Gen. 26, 5.
†) Deut. 33, 4.

ὥςϑ', ὅπερ ἔφην, τοὺς τοῦ ϑεοῦ λόγους πράξεις εἶναι τοῦ σοφοῦ. Τέλος οὖν ἐστι κατὰ τὸν ἱερώτατον Μωϋσῆν τὰ ἕπεσϑαι ϑεῷ, ὡς καὶ ἐν ἑτέροις φησὶν, "Ὀπίσω κυρίου τοῦ ϑεοῦ σου πορεύσῃ" *), οὐ κινήσει χρώμενον τῇ διὰ σκελῶν, — ἀνϑρώπου μὲν γὰρ ὄχημα γῆ, ϑεοῦ δὲ εἰ καὶ σύμπας ὁ κόσμος, οὐκ οἶδα, — ἀλλ' ἔοικεν ἀλληγορεῖν, τὴν τῆς ψυχῆς πρὸς τὰ ϑεῖα δόγματα παριστὰς ἀκολουϑίαν, ὧν ἡ ἀναφορὰ πρὸς τὴν τοῦ πάντων αἰτίου γίνεται τιμήν.

§. 24. Ἐπιτείνων δὲ τὸν ἀκάϑεκτον πόϑον τοῦ καλοῦ παραινεῖ καὶ κολλᾶσϑαι αὐτῷ. "Κύριον γὰρ", φησὶ, "τὸν ϑεόν σου φοβηϑήσῃ, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ πρὸς αὐτὸν κολληϑήσῃ" **). Τίς οὖν ἡ κόλλα; Τίς; Εὐσέβεια δήπου καὶ πίστις· ἁρμόζουσι γὰρ καὶ ἑνοῦσιν αἱ ἀρεταὶ ἀφϑάρτῳ φύσει διάνοιαν. Καὶ γὰρ Ἀβραὰμ πιστεύσας "ἐγγίζειν ϑεῷ" ***) λέγεται. Ἐὰν μέντοι πορευόμενος μήτε κάμῃ ὡς ὑπενδοὺς ὀκλάσαι, μήτε ῥαϑυμήσῃ ὡς παρ' ἑκάτερα ἐκτραπόμενος πλανᾶσϑαι τῆς μέσης καὶ εὐϑυτενοῦς διαμαρτὼν ὁδοῦ· μιμησάμενος δὲ τοὺς ἀγαϑοὺς δρομεῖς τὸ στάδιον ἀπταίστως ἀνύσῃ τοῦ βίου, στεφάνων καὶ ἄϑλων ἐπαξίων τεύξεται πρὸς τὸ τέλος ἐλϑών. Ἢ οὐ τοῦτ' εἰσιν οἱ στέφανοι καὶ
457 τὰ ἆϑλα, μὴ ἀτυχῆσαι τέλους τῶν ποϑηϑέντων,
M. ἀλλ' ἐφικέσϑαι τῶν δυςεφίκτων φρονήσεως περάτων; Τί οὖν τοῦ φρονεῖν ὀρϑῶς ἐστι τέλος; Ἀφροσύνην ἑαυτοῦ καὶ παντὸς τοῦ γεννητοῦ καταψηφίσασϑαι. Τὸ γὰρ μηδὲν οἴεσϑαι εἰδέναι πέρας ἐπιστήμης, ἑνὸς ὄντος μόνου σοφοῦ τοῦ καὶ μόνου ϑεοῦ. Διὸ καὶ παγκάλως Μωϋσῆς καὶ πατέρα τῶν ὅλων καὶ ἐπίσκοπον τῶν γενομένων αὐτὸν εἰςήγαγεν, εἰπὼν, "Εἶδεν ὁ ϑεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν" †).

---

*) Deut. 13, 4. **) Deut. 10, 20. ***) Gen. 18, 23.
†) Gen. 1, 31.

Οὐδενὶ γὰρ ἐξῆν τὰ συσταθέντα κατιδεῖν ἄκρως, ὅτι
μὴ τῷ πεποιηκότι. Πάρεστε νῦν, οἱ τύφου καὶ ἀπαι-
δευσίας καὶ πολλῆς ἀλαζονείας γέμοντες, οἱ δοκησί-
σοφοι, καὶ μὴ μόνον ὃ ἔστιν ἕκαστον εἰδέναι σαφῶς
ἔτι φάσκοντες, ἀλλὰ καὶ τὰς αἰτίας προςαποδοῦναι
διὰ θρασύτητα τολμῶντες, ὥςπερ ἢ τῇ τοῦ κόσμου 409
γενέσει παρατυχόντες καὶ ὡς ἕκαστα καὶ ἐξ ὧν ἀπε- P.
τελεῖτο κατιδόντες, ἢ σύμβουλοι περὶ τῶν κατα-
σκευαζομένων τῷ δημιουργῷ γενόμενοι. Εἶτα τῶν
ἄλλων ἁπαξαπάντων μεθέμενοι, γνωρίσατε ἑαυτούς,
καὶ οἵ τινές ἐστε σαφῶς εἴπατε, κατὰ τὸ σῶμα, κατὰ
τὴν ψυχήν, κατὰ τὴν αἴσθησιν, κατὰ τὸν λόγον. Καθ'
ἕν τι, καὶ ἂν τὸ βραχύτατον τῶν εἰδῶν, τί ἐστιν ὅρασις,
ἀποφήνασθε, καὶ πῶς ὁρᾶτε· τί ἀκοή, καὶ πῶς ἀκούετε·
τί γεῦσις, τί ἁφή, τί ὄσφρησις, καὶ πῶς καθ' ἑκά-
στην ἐνεργεῖτε· ἢ τίνες εἰσὶν αἱ τούτων πηγαί, ἀφ'
ὧν καὶ τὸ εἶναι ταῦτα συμβέβηκε. Μὴ γάρ μοι
περὶ σελήνης καὶ ἡλίου καὶ τῶν ἄλλων ὅσα κατ' οὐ-
ρανὸν καὶ κόσμον, οὕτως μακρὰν διῳκισμένων, καὶ
τὰς φύσεις διαφερόντων, ἀερομυθεῖτε, ὦ κενοὶ φρε-
νῶν, πρὶν ἑαυτοὺς ἐρευνῆσαι καὶ γνῶναι. Τηνικαῦτα
γὰρ ἴσως καὶ περὶ ἑτέρων διεξιοῦσι πιστευτέον· πρὶν
δὲ οἵτινές ἐστε αὐτοὶ παραστῆσαι μὴ νομίζετε κρι-
ταὶ τῶν ἄλλων ἢ μάρτυρες ἀψευδέστατοί ποτε γε-
νήσεσθαι.

§. 25. Τούτων δὴ τοῦτον ἐχόντων τὸν τρόπον, τελειωθεὶς ὁ νοῦς ἀποδώσει τὸ τέλος τῷ τελεςφόρῳ θεῷ, κατὰ τὸ ἱερώτατον γράμμα· "νόμος γάρ ἐστι, τὸ τέλος εἶναι κυρίου" *). Πότε οὖν ἀποδίδωσιν; Ὅταν "ἐπὶ τὸν τόπον ὃν εἶπεν αὐτῷ ὁ θεός, τῇ ἡμέρᾳ τῇ τρίτῃ παραγένηται" **), παρελθὼν τὰς πλείους μοίρας τῶν χρονικῶν διαστημάτων, καὶ ἤδη πρὸς τὴν ἄχρονον μεταβαίνων φύσιν. Τότε γὰρ καὶ τὸν ἀγαπητὸν υἱὸν ἱερουργήσει, οὐχὶ ἄνθρωπον, —

---

*) Num. 31, 40 sq. **) Gen. 22, 4.

οὐ γὰρ τεκνοκτόνος ὁ σοφὸς, — ἀλλὰ τὸ τῆς ἀρετώσης ψυχῆς γέννημα ἄῤῥεν, τὸν ἐπανθήσαντα καρπὸν αὐτῇ, ὃν πῶς ἤνεγκεν οὐκ ἔγνω, βλάστημα θεῖον, οὗ φανέντος, δόξασα κυοφορῆσαι, τὴν ἄγνοιαν τοῦ συμβάντος ἀγαθοῦ διηγεῖται· φάσκουσα, "Τίς ἀναγγελεῖ Ἀβραὰμ" *); ὡς ἀπειθοῦντι δήπου περὶ τὴν τοῦ αὐτομαθοῦς γένους ἀνατολὴν, ὅτι "θηλάζει παιδίον Σάῤῥα", οὐχὶ πρὸς Σάῤῥας θηλάζεται. Τὸ
458 γὰρ αὐτοδίδακτον τρέφεται μὲν ὑπ' οὐδενὸς, τροφὴ
M. δέ ἐστιν ἄλλων, ἅτε ἱκανὸν διδάσκειν, καὶ μανθάνειν οὐ δεόμενον. "Ἔτεκον γὰρ υἱὸν", οὐχ ὡς γυναῖκες Αἰγύπτιαι κατὰ τὴν τοῦ σώματος ἀκμὴν, ἀλλ' ὡς αἱ Ἑβραῖαι ψυχαὶ, "ἐν τῷ γήρᾳ μου" **), ὅτε τὰ μὲν ὅσα αἰσθητὰ καὶ θνητὰ μεμάρανται, τὰ δὲ νοητὰ καὶ ἀθάνατα ἀνήβηκεν, ἃ γέρως καὶ τιμῆς ἐστιν ἐπάξια. Καὶ ἔτεκον μαιευτικῆς τέχνης οὐ προςδεηθεῖσα· τίκτομεν γὰρ καὶ πρὶν εἰςελθεῖν τινας ἐπινοίας καὶ ἐπιστήμας ἀνθρώπων πρὸς ἡμᾶς, ἄνευ τῶν ἐξ ἔθους συνεργούντων, σπείροντος καὶ γεννῶντος θεοῦ τὰ ἀστεῖα γεννήματα, ἃ τῷ διδόντι προςηκόντως κατὰ τὸν ἐπ' εὐχαριστίᾳ τιθέντα νόμον ἀποδίδοται. "Τὰ γὰρ δῶρά μου, δόματά μου, καρπώματά μου", φησὶν, "διατηρήσατε προςφέρειν ἐμοί" ***).

§. 26. Τοῦτ' ἐστι τὸ τέλος τῆς ὁδοῦ τῶν ἑπο- 410
μένων λόγοις καὶ προςτάξεσι νομίμοις, καὶ ταύτῃ P.
βαδιζόντων ᾗ ἂν ὁ θεὸς ἀφηγῆται· ὁ δὲ ὑπενδοὺς ὑπὸ τοῦ πεινῶντος ἡδονῆς καὶ λίχνου παθῶν, ὄνομα "Ἀμαλὴκ" †), — ἑρμηνεύεται γὰρ λαὸς ἐκλείχων — ἐκτετμήσεται. Μηνύουσι δὲ οἱ χρησμοὶ ὅτι λοχῶν ὁ τρόπος οὗτος· ἐπειδὰν γὰρ τὸ ἐῤῥωμενέστατον τῆς ψυχικῆς δυνάμεως κατίδῃ περαιωθὲν, "ὑπανιστάμενος τῆς ἐνέδρας, τὸ κεκμηκὸς μέρος ὡς οὐραγίαν κόπτει." Κάματος δὲ ὁ μέν ἐστιν εὐένδοτος ἀσθέ-

*) Gen. 21, 7. **) Exod. 1, 18. ***) Num. 18, 2.
†) Deut. 25, 17 sq.

ροῦσιν εἰς τὴν τοῦ λουτῆρος κατασκευὴν" *), ἵν' οἱ μέλλοντες ἱερουργεῖν, ἀπονιπτόμενοι χεῖρας καὶ πόδας, τὰ ἐγχειρήματα οἷς ἐφορμεῖ καὶ ἐνίδρυται ὁ νοῦς, ἐνοπτρίζωνται ἑαυτοὺς κατὰ μνήμην τῶν ἐσόπτρων, ἐξ ὧν ὁ λουτὴρ δεδημιούργηται· οὕτω γὰρ οὐδὲν αἶσχος ἐν τῷ τῆς ψυχῆς εἴδει περιόψονται γινόμενον. Ἤδη δὲ τὸ νηστείας καὶ καρτερίας ἀνάθημα ἀναθήσουσιν ἱεροπρεπέστατον καὶ τελεώτατον ἀναθημάτων. Ἀλλ' αὗται μὲν ἀσταί τε καὶ ἀστεῖαι γυναῖκες, αἰσθήσεις ὡς ἀληθῶς, παρ' αἷς ἡ ἀρετὴ Λεία τετιμῆσθαι βούλεται· αἱ δὲ προσαναφλέγουσαι τὸ πῦρ ἐπὶ τὸν ἄθλιον νοῦν ἀπόλιδες. Λέγεται γὰρ ὅτι καὶ "γυναῖκες ἔτι προσεξέκαυσαν πῦρ
452 ἐπὶ Μωάβ" **). Ἀλλ' οὐχὶ καὶ ἑκάστη τῶν τοῦ
M. ἄφρονος αἰσθήσεων ἐξαπτομένη πρὸς τῶν αἰσθητῶν ἐμπίμπρησι τὸν νοῦν, πολλὴν καὶ ἀπέραντον φλόγα ἐπισχέουσα μετὰ ῥύμης ἀνηνύτου καὶ φορᾶς; Ἄριστον γοῦν ἐξευμενίζεσθαι τὸ γυναικῶν τάγμα ἐν ψυχῇ, τῶν αἰσθήσεων, καθάπερ καὶ τῶν ἀνδρῶν, τῶν κατὰ μέρος λογισμῶν· οὕτω γὰρ ἀμείνονι βίου διεξόδῳ χρησόμεθα παγκάλως.

§. 18. Διὰ τοῦτο καὶ ὁ αὐτομαθὴς Ἰσαὰκ εὔχεται τῷ σοφίας ἐραστῇ καὶ τὰ νοητὰ καὶ τὰ αἰσθητὰ λαβεῖν ἀγαθά. Φησὶ γάρ, "Δώη σοι ὁ θεὸς ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ, καὶ ἀπὸ τῆς πιότητος τῆς γῆς" ***), ἴσον τῷ, πρῶτον συνεχῆ σοι τὸν νοητὸν καὶ οὐράνιον ὑετὸν ἄρδοι, μὴ λάβρως ὡς ἐπικλύσαι, ἀλλ' ἠρέμα καὶ πράως καθάπερ δρόσον ὡς ὀνῆσαι· δεύτερον δὲ τὸν αἰσθητὸν καὶ γήϊνον πλοῦτον χαρίσαιτο λιπαρὸν καὶ πίονα, τὴν 40
ἐναντίαν πενίαν ψυχῆς τε καὶ τῶν αὐτῆς μερῶν ἀφανάνας. Ἐὰν μέντοι καὶ τὸν ἀρχιερέα λόγον ἐξετάζῃς, εὑρήσεις συνῳδὰ φρονοῦντα καὶ τὴν ἱερὰν ἐσθῆτα αὐτῷ πεποικιλμένην ἔκ τε νοητῶν

*) Exod. 38, 8. **) Num. 21, 30. ***) Gen. 27, 28.

καὶ αἰσθητῶν δυνάμεων· ἧς τὰ μὲν ἄλλα μακροτέρων ἢ κατὰ τὸν παρόντα καιρὸν δεῖται λόγων, καὶ ὑπερθετέον· τὰ δὲ πρὸς τοῖς πέρασιν ἐξετάσωμεν, κεφαλῇ τε καὶ βάσεσιν. Οὐκοῦν ἐπὶ μὲν τῆς κεφαλῆς ἐστι "πέταλον χρυσοῦν" *) καθαρὸν, ἔχον ἐκτύπωμα σφραγῖδος, "ἁγίασμα κυρίῳ"· ἐπὶ δὲ τοῖς ποσὶν, "ἐπὶ τοῦ τέλους τοῦ ὑποδύτου κώδωνες καὶ ἄνθινα." Ἀλλ' ἐκείνη μὲν ἡ σφραγὶς ἰδέα ἐστὶν ἰδεῶν, καθ' ἣν ὁ θεὸς ἐτύπωσε τὸν κόσμον, ἀσώματος δήπου καὶ νοητή· τὰ δ' ἄνθινα καὶ οἱ κώδωνες αἰσθητῶν ποιοτήτων σύμβολα, ὧν ὅρασις καὶ ἀκοὴ τὰ κριτήρια. Ἄγαν δ' ἐξητασμένως ἐπιφέρει ὅτι "Ἔσται ἀκουστὴ φωνὴ αὐτοῦ εἰςιόντος εἰς τὰ ἅγια" **), ἵνα πρὸς τὰ νοητὰ καὶ θεῖα καὶ ὄντως ἅγια εἰςιούσης τῆς ψυχῆς, καὶ αἱ αἰσθήσεις ὠφελούμεναι κατ' ἀρετὴν συνηχῶσι, καὶ ὅλον τὸ σύστημα ἡμῶν, ὥςπερ ἐμμελὴς καὶ πολυάνθρωπος χορὸς, ἐκ διαφερόντων φθόγγων ἀνακεκραμένων ἓν μέλος ἐναρμόνιον συνᾴδῃ, τὰ μὲν ἐνδόσιμα τῶν νοημάτων ἐμπνεόντων, (ἡγεμόνες γὰρ τοῦ χοροῦ τούτου τὰ νοητά), τὰ δὲ ἑπόμενα τῶν αἰσθητῶν συναναμελπόντων, ἃ τοῖς κατὰ μέρος χορευταῖς ἀπεικάζεται. Συνόλως γὰρ, ἥ φησιν ὁ νόμος, "τὰ δέοντα, καὶ τὸν ἱματισμὸν, καὶ τὴν ὁμιλίαν" ***), τὰ τρία ταῦτα, ἀφαιρεῖσθαι τὴν ψυχὴν οὐκ ἔδει, ἀλλ' ἕκαστον αὐτῶν βεβαίως προςνέμειν. Τὰ μὲν οὖν δέοντα νοητά ἐστιν ἀγαθὰ, ἃ χρὴ καὶ ἃ δεῖ γενέσθαι λόγῳ φύσεως. Ὁ δὲ ἱματισμὸς, τὰ περὶ τὸν φαινόμενον τοῦ βίου κόσμον· ἡ δὲ ὁμιλία, ἡ καθ' ἑκάτερα τῶν εἰρημένων εἰδῶν συνέχεια καὶ μελέτη, ἵν' οἷα τὰ ἀφανῆ νοητὰ τοιαῦτα καὶ τὰ αἰσθητὰ φαίνηται.

53 §. 19. Πέμπτη τοίνυν ἐστὶ δωρεὰ, ἡ κατὰ ψι-
I. λὸν μόνον τὸ εἶναι συνισταμένη· λέλεκται δὲ ἐπὶ ταῖς

*) Exod. 28, 36. **) Exod. 28, 35. ***) Exod. 21, 10.

προτέραις, οὐχ ὡς εὐτελεστέρα ἐκείνων, ἀλλ' ὡς ὑπερκύπτουσα καὶ ὑπερβάλλουσα πάσας. Τί γὰρ ἂν εἴη μεῖζον τοῦ πεφυκέναι καὶ ἀψευδῶς καὶ ἀπλάστως ἀγαθὸν εἶναι καὶ εὐλογίας ἐπάξιον τελεωτέρας; "Ἔσῃ γάρ", φησὶν, "εὐλογητὸς" *), οὐ μόνον εὐλογημένος· τὸ μὲν γὰρ ταῖς τῶν πολλῶν δόξαις τε καὶ φήμαις παραριθμεῖται, τὸ δὲ τῷ πρὸς ἀλήθειαν εὐλογητῷ. Ὥςπερ γὰρ τὸ ἐπαινετὸν εἶναι τοῦ ἐπαινεῖσθαι διαφέρει κατὰ τὸ κρεῖττον, καὶ τὸ ψεκτὸν εἶναι τοῦ ψέγεσθαι κατὰ τὸ χεῖρον, τὸ μὲν γὰρ τῷ πεφυκέναι, τὸ δὲ τῷ νομίζεσθαι λέγεται μόνον, φύσις δὲ ἡ ἀψευδὴς δοκήσεως ὀχυρώτερον, — οὕτως καὶ τὸ εὐλογεῖσθαι πρὸς ἀνθρώπων, ὅπερ ἦν, εἰς εὐλογίαν ἄγεσθαι διδασκόμενον, τῷ πεφυκέναι εὐλογίας ἄξιον, καὶ ἂν πάντες ἡσυχάζωσι, κρεῖττον, ὅπερ 405
εὐλογητὸν ἐν τοῖς χρησμοῖς ᾄδεται. P.

§. 20. Ταῦτα μὲν τὰ ἐσθλὰ τῷ γενησομένῳ δωρεῖται σοφῷ· ἃ δὲ καὶ τοῖς ἄλλοις ἀπονέμει διὰ τὸν σοφὸν ἑξῆς ἴδωμεν. "Εὐλογήσω", φησὶ, "τοὺς εὐλογοῦντάς σε, καὶ τοὺς καταρωμένους σε καταράσομαι" **). Τὸ μὲν οὖν ἐπὶ τιμῇ τοῦ σπουδαίου καὶ ταῦτα γίνεσθαι παντί που δῆλον· λέγεται δὲ οὐδ' ἐκεῖνο μόνον, ἀλλὰ καὶ διὰ τὴν ἐν τοῖς πράγμασιν εὐάρμοστον ἀκολουθίαν. Τὸν γὰρ ἀγαθὸν καὶ ὁ ἐπαινῶν ἐγκωμιαστὸς, καὶ ὁ ψέγων ἔμπαλιν ψεκτός. Ἔπαινον δὲ καὶ ψόγον οὐχ οὕτως ἡ τῶν λεγόντων καὶ γραφόντων πιστοῦται δύναμις, ὡς ἡ τῶν γινομένων ἀλήθεια· ὥςτε οὔτε ἐπαινεῖν, οὔτε ψέγειν ἂν δοκοῖεν, ὅσοι τι ψεῦδος ἐν ἑκατέρῳ παραλαμβάνουσιν ἴδιον. Τοὺς κόλακας οὐχ ὁρᾷς, οἳ μεθ' ἡμέραν καὶ νύκτωρ ἀποκναίουσι τῶν κολακευομένων τὰ ὦτα θρύπτοντες, οὐκ ἐπινεύοντες ἐφ' ἑκάστῳ τῶν λεγομένων αὐτὸ μόνον, ἀλλὰ καὶ ῥήσεις μακρὰς συνείροντες, καὶ ῥαψῳδοῦντες, καὶ εὐχόμενοι μὲν τῇ φωνῇ

---

*) Gen. 12, 2. **) Ibid. 12, 3.

πολλάκις, ἀεὶ δὲ τῇ διανοίᾳ καταρώμενοι; Τί οὖν
ἄν τις εὖ φρονῶν εἴποι; Ἆρ' οὐχ ὥςπερ ἐχθροὺς
μᾶλλον ἢ φίλους τοὺς λέγοντας ὄντας, καὶ ψέγειν
μᾶλλον ἢ ἐπαινεῖν, κἂν δράματα ὅλα συντιθέντες
ἐγκωμίων ἐπᾴδωσι; Τοιγαροῦν ὁ μάταιος Βαλαὰμ,
ὕμνους μὲν εἰς τὸν θεὸν ὑπερβάλλοντας ᾄδων, ἐν
οἷς καὶ τὸ, "Οὐχ ὡς ἄνθρωπος ὁ θεὸς" *), ἀσμά-
των τὸ ἱεροπρεπέστατον, ἐγκώμια δ' εἰς τὸν ὁρῶντα,
Ἰσραὴλ, μυρία διεξερχόμενος, ἀσεβὴς μὲν καὶ ἐπά-
ρατος καὶ παρὰ τῷ σοφῷ κέκριται νομοθέτῃ, κατα-
ρᾶσθαι δ' οὐκ εὔλογον νενόμισται. Τοῖς γὰρ πολε-
μίοις φησὶν αὐτὸν ἐπὶ μισθῷ συνταχθέντα μηνυτὴν
454 γενέσθαι κακὸν κακῶν, ἀρὰς μὲν ἐν ψυχῇ θέμενον
M. χαλεπωτάτας γένει τῷ θεοφιλεῖ, εὐχὰς δὲ ἀναγκα-
σθέντα διὰ στόματος καὶ γλώττης ὑπερφυεστάτας
προφητεῦσαι. Τὰ μὲν γὰρ λεγόμενα καλὰ ὄντα ὁ
φιλάρετος ὑπήχει θεὸς, τὰ δὲ ἐννοούμενα, φαυλότερα
γὰρ ἦν, ἔτικτεν ἡ μισάρετος διάνοια. Μαρτυρεῖ δὲ
ὁ περὶ τούτων χρησμός. "Οὐ γὰρ ἔδωκε", φησὶν,
"ὁ θεὸς τῷ Βαλαὰμ καταράσασθαί σοι, ἀλλ' ἔτρεψε
τὰς κατάρας εἰς εὐλογίαν" **), καίτοι πάντων ὅσα
εἶπε πολλῆς γεμόντων εὐφημίας. Ἀλλ' ὁ τῶν ἐν
ψυχῇ ταμιευομένων ἐπίσκοπος ἰδὼν, ᾧ κατιδεῖν ἔξεστι
μόνῳ τὰ ἀθέατα γενέσει, τὴν καταδικάζουσαν ἀπὸ
τούτων ψῆφον ἤνεγκε, μάρτυς ἀψευδέστατος ὁμοῦ
καὶ κριτὴς ἀδέκαστος αὐτὸς ὤν· ἐπεὶ καὶ τὸ ἐναν-
τίον ἐπαινετὸν βλασφημεῖν καὶ κατηγορεῖν δοκοῦντα
τῇ φωνῇ κατὰ διάνοιαν εὐλογεῖν τε καὶ εὐφημεῖν.
Σωφρονιστῶν ὡς ἔοικε τοῦτό ἐστι τὸ ἔθος, παιδα-
γωγῶν, διδασκάλων, γονέων, πρεσβυτέρων, ἀρ- 406
χόντων, νόμων· ὀνειδίζοντες γάρ ἐστι δὲ ὅπου καὶ P.
κολάζοντες ἕκαστοι τούτων ἀμείνους τὰς ψυχὰς
ἀπεργάζονται τῶν παιδευομένων. Καὶ ἐχθρὸς μὲν
οὐδεὶς οὐδενὶ, φίλοι δὲ πᾶσι πάντες· φίλων δὲ ἀνόθῳ

*) Num. 23, 19. **) Deut. 23, 5.

καὶ ἀκιβδήλῳ χρωμένων εὐνοίᾳ, τοῦτ' ἔστιν ἔργον ἐλευθεροστομεῖν ἄνευ τοῦ κακονοεῖν. Μηδὲν οὖν μήτε τῶν εἰς εὐλογίας καὶ εὐχὰς, μήτε τῶν εἰς βλασφημίας καὶ κατάρας, ἐπὶ ταῖς ἐν προφορᾷ διεξόδοις ἀναφερέσθω μᾶλλον, ἢ διανοίᾳ ἀφ' ἧς ὥςπερ ἀπὸ πηγῆς ἑκάτερον εἶδος τῶν λεχθέντων δοκιμάζεται.

§. 21. Ταῦτα μὲν δὴ πρῶτον διὰ τὸν ἀστεῖον ἑτέροις συντυγχάνειν φησὶν, ὅταν ἢ ψόγον ἢ ἔπαινον, ἢ εὐχὰς ἢ κατάρας ἐθελήσωσιν αὐτῷ τίθεσθαι. Μέγιστον δὲ ἑξῆς ὅταν ἡσυχάζωσιν ἐκεῖνοι, τὸ μηδὲν μέρος φύσεως λογικῆς ἀμέτοχον εὐεργεσίας ἀπολείπεσθαι. Λέγει γὰρ ὅτι "Ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς." Ἔστι δὲ τοῦτο δογματικώτατον. Ἐὰν γὰρ ὁ νοῦς ἄνοσος καὶ ἀπήμων διατελῇ, ταῖς περὶ αὐτὸν ἁπάσαις φυλαῖς τε καὶ δυνάμεσιν ὑγιαινούσαις χρῆται, ταῖς τε καθ' ὅρασιν καὶ ἀκοὴν, καὶ ὅσα αἰσθητικὰ, καὶ πάλιν ταῖς κατὰ τὰς ἡδονάς τε καὶ ἐπιθυμίας, καὶ ὅσαι ἀντὶ παθῶν εἰς εὐπάθειαν μεταχαράττονται. Ἤδη μέντοι καὶ οἶκος καὶ πόλις, καὶ χώρα καὶ ἔθνη καὶ κλίματα γῆς, ἑνὸς ἀνδρὸς καλοκαγαθίας προμηθουμένου, μεγάλης ἀπέλαυσαν εὐδαιμονίας· καὶ μάλισθ' ὅτῳ μετὰ γνώμης ἀγαθῆς ὁ θεὸς καὶ δύναμιν ἔδωκεν ἀνανταγώνιστον, ὡς μουσικῷ καὶ παντὶ τεχνίτῃ τὰ κατὰ μουσικὴν καὶ πᾶσαν τέχνην ὄργανα, ἢ ξύλων ὕλην πυρί. Τῷ γὰρ ὄντι ἔρεισμα τοῦ γένους τῶν ἀνθρώπων ἐστὶν ὁ δίκαιος, καὶ ὅσα μὲν αὐτὸς ἔχει προφέρων εἰς μέ-
455 σον ἐπ' ὠφελείᾳ τῶν χρησομένων, ἄφθονα δίδω-
M. σιν· ὅσα δ' ἂν μὴ εὑρίσκῃ παρ' ἑαυτῷ, τὸν μόνον πάμπλουτον αἰτεῖται θεόν. Ὁ δὲ τὸν οὐράνιον ἀνοίξας θησαυρὸν, ὀμβρεῖ καὶ ἐπινίφει τὰ ἀγαθὰ ἀθρόα, ὡς τῶν περιγείων ἁπάντων τὰς δεξαμενὰς πλημμυρούσας ἀναχυθῆναι. Ταῦτα δὲ τὸν ἱκέτην ἑαυτοῦ λόγον οὐκ ἀποστραφεὶς εἴωθε δωρεῖσθαι. Λέγεται γὰρ ἑτέρωθι Μωϋσέως ἱκετεύσαντος, "Ἵλεως

αὐτοῖς εἰμι κατὰ τὸ ῥῆμά σου" *)· τοῦτο δὲ ὡς
ἔοικεν ἰσοδυναμεῖ τῷ, "Ἐνευλογηθήσονται ἐν σοι
πᾶσαι αἱ φυλαὶ τῆς γῆς." Οὗ χάριν καὶ ὁ σοφὸς
Ἀβραὰμ, πεπειραμένος τῆς ἐν ἅπασι τοῦ θεοῦ χρη-
στότητος, πεπίστευκεν ὅτι καὶ ἂν πάντα τὰ ἄλλα
ἀφανισθῇ, μικρὸν δέ τι λείψανον ἀρετῆς ὥςπερ ἐμ-
πύρευμα διασώζηται, διὰ τὸ βραχὺ τοῦτο καὶ ἐκεῖνα
οἰκτείρει, ὡς πεπτωκότα ἐγείρειν, καὶ τεθνηκότα ζω-
πυρεῖν. Σπινθὴρ γὰρ καὶ ὁ βραχύτατος ἐντυφόμε- 407
νος, ὅταν καταπνευσθεὶς ζωπυρηθῇ, μεγάλην ἐξά- P.
πτει πυράν· καὶ τὸ βραχύτατον οὖν ἀρετῆς, ὅταν
ἐλπίσι χρησταῖς ὑποθαλπόμενον ἀναλάμψῃ, καὶ τὰ
τέως μεμυκότα καὶ τυφλὰ ἐξωμμάτωσε, καὶ τὰ
ἀφαυανθέντα ἀναβλαστεῖν ἐποίησε, καὶ ὅσα ὑπὸ
ἀγονίας ἐστείρωτο, εἰς εὐφορίαν εὐτοκίας περιήγαγεν.
Οὕτω τὸ σπάνιον ἀγαθὸν ἐπιφροσύνῃ θεοῦ πολὺ γί-
νεται χεόμενον, ἐξομοιοῦν τὰ ἄλλα ἑαυτῷ.

§. 22. Εὐχώμεθα οὖν τὸν ὡς ἐν οἰκίᾳ στύλον
νοῦν μὲν ἐν ψυχῇ, ἄνθρωπον δὲ ἐν τῷ γένει τῶν
ἀνθρώπων τὸν δίκαιον διαμένειν εἰς τὴν τῶν νόσων
ἄκεσιν. Τούτου γὰρ ὑγιαίνοντος, τὰς εἰς παντελῆ
σωτηρίαν οὐκ ἀπογνωστέον ἐλπίδας, δι' οὗ ἔτι οἶμαι
ὁ σωτὴρ θεὸς, τὸ πανακέστατον φάρμακον τὴν ἵλεω
δύναμιν τῷ ἱκέτῃ καὶ θεραπευτῇ προτείνας ἑαυτοῦ,
χρῆσθαι πρὸς τὴν τῶν καμνόντων σωτηρίαν ἐπιτρέ-
πει, καταπλάττοντι τῶν ψυχῆς τραυμάτων, ἅπερ
ἀφροσύναι καὶ ἀδικίαι, καὶ ὁ ἄλλος τῶν κακιῶν ὅμι-
λος ἀκονηθεὶς διεῖλεν. Ἐναργέστατον δὲ παράδειγμα
Νῶε ὁ δίκαιος, ὃς τῷ μεγάλῳ κατακλυσμῷ τῶν
τοσούτων μερῶν τῆς ψυχῆς ἐγκαταποθέντων, ἐῤῥω-
μένως ἐπικυματίζων καὶ ἐπινηχόμενος, ὑπεράνω μὲν
ἔστη τῶν δεινῶν ἁπάντων· διασωθεὶς δὲ, μεγάλας
καὶ καλὰς ἀφ' αὐτοῦ ῥίζας ἐβάλλετο, ἐξ ὧν οἷα φυ-
τὸν τὸ σοφίας ἀνεβλάστησε γένος· ὅπερ ἡμεροτοκῆ-

*) Num. 14, 20.

σαν τοὺς τοῦ ὁρῶντος, Ἰσραὴλ, τριττοὺς ἤνεγκε
καρποὺς, αἰῶνος μέτρα, τὸν Ἀβραὰμ, τὸν Ἰσαὰκ,
τὸν Ἰακώβ. Καὶ γάρ ἐστι καὶ ἔσται καὶ γέγονεν ἐν
τῷ παντὶ ἀρετὴ, ἣν ἀκαιρίαι μὲν ἴσως ἀνθρώπων
ἐπισκιάζουσιν, ὁ δὲ ὀπαδὸς θεοῦ καιρὸς ἀποκαλύπτει
πάλιν· ἐν ᾧ καὶ ἡ φρόνησις ἀῤῥενογονεῖ Σάῤῥα, οὐ
κατὰ τὰς χρονικὰς τοῦ ἔτους ὥρας, ἀλλὰ κατὰ τὰς
ἀχρόνους ἀκμὰς καὶ εὐκαιρίας ἐπανθοῦσα. Λέγεται
456 γὰρ, "Ἐπαναστρέφων ἥξω πρός σε κατὰ τὸν και-
M. ρὸν τοῦτον εἰς ὥρας, καὶ ἕξει υἱὸν Σάῤῥα ἡ γυνή
σου" *).

§. 23. Περὶ μὲν οὖν τῶν δωρεῶν, ἃς καὶ τοῖς
γενησομένοις τελείοις, καὶ δι' αὐτοὺς ὁ θεὸς ἑτέροις
εἴωθε χαρίζεσθαι, δεδήλωται. Λέγεται δὲ ἑξῆς ὅτι
"Ἐπορεύθη Ἀβραὰμ καθάπερ ἐλάλησεν αὐτῷ κύ-
ριος" **). Τοῦτο δέ ἐστι τὸ παρὰ τοῖς ἄριστα φι-
λοσοφήσασιν ᾀδόμενον τέλος, τὸ ἀκολούθως τῇ φύ-
σει ζῆν. Γίνεται δὲ, ὅταν ὁ νοῦς εἰς τὴν ἀρετῆς
ἀτραπὸν ἐλθὼν κατ' ἴχνος ὀρθοῦ λόγου βαίνῃ, καὶ
ἕπηται θεῷ, τῶν προστάξεων αὐτοῦ διαμεμνημένος,
καὶ πάσας ἀεὶ καὶ πανταχοῦ ἔργοις τε καὶ λόγοις
βεβαιούμενος. "Ἐπορεύθη γὰρ, καθὰ ἐλάλησεν αὐ-
τῷ κύριος"· τοῦτο δέ ἐστι τοιοῦτον, ὡς λαλεῖ 408
ὁ θεὸς, — λαλεῖ δὲ παγκάλως καὶ ἐπαινετῶς, — P.
οὕτως ὁ σπουδαῖος ἕκαστα δρᾷ, τὴν ἀτραπὸν εὐθύ-
νων ἀμέμπτως τοῦ βίου, ὥστε τὰ ἔργα τοῦ σοφοῦ
λόγων ἀδιαφορεῖν θείων. Ἑτέρωθι γοῦν φησιν ὅτι
"Ἐποίησεν Ἀβραὰμ πάντα τὸν νόμον μου" ***).
Νόμος δὲ οὐδὲν ἄρα ἢ λόγος θεῖος, προστάττων ἃ
δεῖ καὶ ἀπαγορεύων ἃ μὴ χρή· ὡς μαρτυρεῖ φά-
σκων ὅτι "Ἐδέξατο ἀπὸ τῶν λόγων αὐτοῦ νόμον" †).
Εἰ τοίνυν λόγος μέν ἐστι θεῖος ὁ νόμος, ποιεῖ δὲ ὁ
ἀστεῖος τὸν νόμον, ποιεῖ πάντως καὶ τὸν λόγον·

---

*) Gen. 18, 10. **) Gen. 12, 4. ***) Gen. 26, 5.
†) Deut. 33, 4.

ὥςϑ᾽, ὅπερ ἔφην, τοὺς τοῦ ϑεοῦ λόγους πράξεις εἶναι τοῦ σοφοῦ. Τέλος οὖν ἐστι κατὰ τὸν ἱερώτατον Μωϋσῆν τὰ ἕπεσϑαι ϑεῷ, ὡς καὶ ἐν ἑτέροις φησὶν, "Ὀπίσω κυρίου τοῦ ϑεοῦ σου πορεύσῃ" *), οὐ κινήσει χρώμενον τῇ διὰ σκελῶν, — ἀνθρώπου μὲν γὰρ ὄχημα γῆ, ϑεοῦ δὲ εἰ καὶ σύμπας ὁ κόσμος, οὐκ οἶδα, — ἀλλ᾽ ἔοικεν ἀλληγορεῖν, τὴν τῆς ψυχῆς πρὸς τὰ ϑεῖα δόγματα παριστὰς ἀκολουϑίαν, ὧν ἡ ἀναφορὰ πρὸς τὴν τοῦ πάντων αἰτίου γίνεται τιμήν.

§. 24. Ἐπιτείνων δὲ τὸν ἀκάϑεκτον πόϑον τοῦ καλοῦ παραινεῖ καὶ κολλᾶσϑαι αὐτῷ. "Κύριον γὰρ", φησὶ, "τὸν ϑεόν σου φοβηϑήσῃ, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ πρὸς αὐτὸν κολληϑήσῃ" **). Τίς οὖν ἡ κόλλα; Τίς; Εὐσέβεια δήπου καὶ πίστις· ἁρμόζουσι γὰρ καὶ ἑνοῦσιν αἱ ἀρεταὶ ἀφϑάρτῳ φύσει διάνοιαν. Καὶ γὰρ Ἀβραὰμ πιστεύσας "ἐγγίζειν ϑεῷ" ***) λέγεται. Ἐὰν μέντοι πορευόμενος μήτε κάμῃ ὡς ὑπενδοὺς ὀκλάσαι, μήτε ῥαϑυμήσῃ ὡς παρ᾽ ἑκάτερα ἐκτραπόμενος πλανᾶσϑαι τῆς μέσης καὶ εὐϑυτενοῦς διαμαρτὼν ὁδοῦ· μιμησάμενος δὲ τοὺς ἀγαϑοὺς δρομεῖς τὸ στάδιον ἀπταίστως ἀνύσῃ τοῦ βίου, στεφάνων καὶ ἄϑλων ἐπαξίων τεύξεται πρὸς τὸ τέλος ἐλϑών. Ἢ οὐ τοῦτ᾽ εἰσιν οἱ στέφανοι καὶ
457 τὰ ἆϑλα, μὴ ἀτυχῆσαι τέλους τῶν πονηϑέντων,
M. ἀλλ᾽ ἐφικέσϑαι τῶν δυςεφίκτων φρονήσεως περάτων; Τί οὖν τοῦ φρονεῖν ὀρϑῶς ἐστι τέλος; Ἀφροσύνην ἑαυτοῦ καὶ παντὸς τοῦ γεννητοῦ καταψηφίσασϑαι. Τὸ γὰρ μηδὲν οἴεσϑαι εἰδέναι πέρας ἐπιστήμης, ἑνὸς ὄντος μόνου σοφοῦ τοῦ καὶ μόνου ϑεοῦ. Διὸ καὶ παγκάλως Μωϋσῆς καὶ πατέρα τῶν ὅλων καὶ ἐπίσκοπον τῶν γενομένων αὐτὸν εἰςήγαγεν, εἰπὼν, "Εἶδεν ὁ ϑεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν" †).

*) Deut. 13, 4. **) Deut. 10, 20. ***) Gen. 18, 23.
†) Gen. 1, 31.

Οὐδενὶ γὰρ ἐξῆν τὰ συσταθέντα κατιδεῖν ἄκρως, ὅτι μὴ τῷ πεποιηκότι. Πάρεστε νῦν, οἱ τύφου καὶ ἀπαιδευσίας καὶ πολλῆς ἀλαζονείας γέμοντες, οἱ δοκησίσοφοι, καὶ μὴ μόνον ὃ ἔστιν ἕκαστον εἰδέναι σαφῶς ἔτι φάσκοντες, ἀλλὰ καὶ τὰς αἰτίας προςαποδοῦναι διὰ θρασύτητα τολμῶντες, ὥςπερ ἢ τῇ τοῦ κόσμου 409 γενέσει παρατυχόντες καὶ ὡς ἕκαστα καὶ ἐξ ὧν ἀπε- P. τελεῖτο κατιδόντες, ἢ σύμβουλοι περὶ τῶν κατασκευαζομένων τῷ δημιουργῷ γενόμενοι. Εἶτα τῶν ἄλλων ἁπαξαπάντων μεθέμενοι, γνωρίσατε ἑαυτοὺς, καὶ οἵ τινές ἐστε σαφῶς εἴπατε, κατὰ τὸ σῶμα, κατὰ τὴν ψυχὴν, κατὰ τὴν αἴσθησιν, κατὰ τὸν λόγον. Καθ' ἕν τι, καὶ ἂν τὸ βραχύτατον τῶν εἰδῶν, τί ἐστιν ὅρασις, ἀποφήνασθε, καὶ πῶς ὁρᾶτε· τί ἀκοὴ, καὶ πῶς ἀκούετε· τί γεῦσις, τί ἁφὴ, τί ὄσφρησις, καὶ πῶς καθ' ἑκάστην ἐνεργεῖτε· ἢ τίνες εἰσὶν αἱ τούτων πηγαὶ, ἀφ' ὧν καὶ τὸ εἶναι ταῦτα συμβέβηκε. Μὴ γάρ μοι περὶ σελήνης καὶ ἡλίου καὶ τῶν ἄλλων ὅσα κατ' οὐρανὸν καὶ κόσμον, οὕτως μακρὰν διῳκισμένων, καὶ τὰς φύσεις διαφερόντων, ἀερομυθεῖτε, ὦ κενοὶ φρενῶν, πρὶν ἑαυτοὺς ἐρευνῆσαι καὶ γνῶναι. Τηνικαῦτα γὰρ ἴσως καὶ περὶ ἑτέρων διεξιοῦσι πιστευτέον· πρὶν δὲ οἵτινές ἐστε αὐτοὶ παραστῆσαι μὴ νομίζετε κριταὶ τῶν ἄλλων ἢ μάρτυρες ἀψευδέστατοί ποτε γενήσεσθαι.

§. 25. Τούτων δὴ τοῦτον ἐχόντων τὸν τρόπον, τελειωθεὶς ὁ νοῦς ἀποδώσει τὸ τέλος τῷ τελεςφόρῳ θεῷ, κατὰ τὸ ἱερώτατον γράμμα· "νόμος γάρ ἐστι, τὸ τέλος εἶναι κυρίου" *). Πότε οὖν ἀποδίδωσιν; Ὅταν "ἐπὶ τὸν τόπον ὃν εἶπεν αὐτῷ ὁ θεὸς, τῇ ἡμέρᾳ τῇ τρίτῃ παραγένηται" **), παρελθὼν τὰς πλείους μοίρας τῶν χρονικῶν διαστημάτων, καὶ ἤδη πρὸς τὴν ἄχρονον μεταβαίνων φύσιν. Τότε γὰρ καὶ τὸν ἀγαπητὸν υἱὸν ἱερουργήσει, οὐχὶ ἄνθρωπον, —

*) Num. 31, 40 sq. **) Gen. 22, 4.

οὐ γὰρ τεκνοκτόνος ὁ σοφὸς, — ἀλλὰ τὸ τῆς ἀρετώσης ψυχῆς γέννημα ἄῤῥεν, τὸν ἐπανθήσαντα καρπὸν αὐτῇ, ὃν πῶς ἤνεγκεν οὐκ ἔγνω, βλάστημα θεῖον, οὗ φανέντος, δόξασα κυοφορῆσαι, τὴν ἄγνοιαν τοῦ συμβάντος ἀγαθοῦ διηγεῖται· φάσκουσα, "Τίς ἀναγγελεῖ Ἀβραὰμ" *); ὡς ἀπειθοῦντι δήπου περὶ τὴν τοῦ αὐτομαθοῦς γένους ἀνατολὴν, ὅτι "θηλάζει παιδίον Σάῤῥα", οὐχὶ πρὸς Σάῤῥας θηλάζεται. Τὸ
458 γὰρ αὐτοδίδακτον τρέφεται μὲν ὑπ᾽ οὐδενὸς, τροφὴ
M. δέ ἐστιν ἄλλων, ἅτε ἱκανὸν διδάσκειν, καὶ μανθάνειν οὐ δεόμενον. "Ἔτεκον γὰρ υἱὸν", οὐχ ὡς γυναῖκες Αἰγύπτιαι κατὰ τὴν τοῦ σώματος ἀκμὴν, ἀλλ᾽ ὡς αἱ Ἑβραῖαι ψυχαὶ, "ἐν τῷ γήρᾳ μου" **), ὅτε τὰ μὲν ὅσα αἰσθητὰ καὶ θνητὰ μεμάρανται, τὰ δὲ νοητὰ καὶ ἀθάνατα ἀνήβηκεν, ἃ γέρως καὶ τιμῆς ἐστιν ἐπάξια. Καὶ ἔτεκον μαιευτικῆς τέχνης οὐ προσδεηθεῖσα· τίκτομεν γὰρ καὶ πρὶν εἰςελθεῖν τινας ἐπινοίας καὶ ἐπιστήμας ἀνθρώπων πρὸς ἡμᾶς, ἄνευ τῶν ἐξ ἔθους συνεργούντων, σπείροντος καὶ γεννῶντος θεοῦ τὰ ἀστεῖα γεννήματα, ἃ τῷ διδόντι προςηκόντως κατὰ τὸν ἐπ᾽ εὐχαριστίᾳ τιθέντα νόμον ἀποδίδοται. "Τὰ γὰρ δῶρά μου, δόματά μου, καρπώματά μου", φησὶν, "διατηρήσατε προςφέρειν ἐμοί" ***).

§. 26. Τοῦτ᾽ ἔστι τὸ τέλος τῆς ὁδοῦ τῶν ἑπο- 410
μένων λόγοις καὶ προστάξεσι νομίμοις, καὶ ταύτῃ P.
βαδιζόντων ᾗ ἂν ὁ θεὸς ἀφηγῆται· ὁ δὲ ὑπενδοὺς ὑπὸ τοῦ πεινῶντος ἡδονῆς καὶ λίχνου παθῶν, ὄνομα "Ἀμαλὴκ" †; — ἑρμηνεύεται γὰρ λαὸς ἐκλείχων — ἐκτετμήσεται. Μηνύουσι δὲ οἱ χρησμοὶ ὅτι λοχῶν ὁ τρόπος οὗτος· ἐπειδὰν γὰρ τὸ ἐῤῥωμενέστατον τῆς ψυχικῆς δυνάμεως κατίδῃ περαιωθὲν, "ὑπανιστάμενος τῆς ἐνέδρας, τὸ κεκμηκὸς μέρος ὡς οὐραγίαν κόπτει." Κάματος δὲ ὁ μὲν ἐστιν εὐένδοτος ἀσθέ-

*) Gen. 21, 7. **) Exod. 1, 18. ***) Num. 18, 2.
†) Deut. 25, 17 sq.

νεια λογισμοῦ μὴ δυναμένου τοὺς ὑπὲρ ἀρετῆς ἀχθο-
φορῆσαι πόνους, ἐν ἐσχατιαῖς οὗτος εὑρισκόμενος
εὐάλωτος· ὁ δέ ἐστιν ὑπομονὴ τῶν καλῶν, τὰ μὲν
καλὰ ἀθρόα ἐῤῥωμένως ἀναδεχομένος, μηδὲν δὲ τῶν
φαύλων, καὶ ἂν εἰ κουφοτάτον εἴη, βαστάσαι δι-
καιῶν, ἀλλ᾽ ὡς βαρύτατον ἄχθος ἀποῤῥίπτων. Διὸ
καὶ την ἀρετὴν ὁ νόμος εὐθυβόλῳ προσεῖπεν ὀνό-
ματι Λεῖαν, ἥτις ἑρμηνευθεῖσα λέγεται κοπιῶσα· τὸν
γὰρ τῶν φαύλων βίον ἐπαχθῆ καὶ βαρὺν ὄντα, φύ-
σει κοπώδη προςηκόντως αὕτη νενόμικε, καὶ οὐδὲ
προςιδεῖν ἀξιοῖ, τὰς ὄψεις πρὸς μόνον τὸ καλὸν ἀπο-
κλίνουσα. Σπουδαζέτω δὲ ὁ νοῦς μὴ μόνον ἀνενδό-
τως καὶ εὐτόνως ἕπεσθαι θεῷ, ἀλλὰ καὶ τὴν εὐθεῖαν
ἀτραπὸν ἰέναι πρὸς μηδέτερα νεύων, μήτε τὰ δε-
ξιὰ, μήτε τὰ εὐώνυμα, οἷς ὁ γήϊνος Ἐδὼμ ἐμπε-
φώλευκε, τότε μὲν ὑπερβολαῖς καὶ περιουσίαις, τότε
δέ ἐλλείψεσι καὶ ἐνδείαις χρώμενος. Ἄμεινον γὰρ
ὁδῷ τῇ μέσῃ βαδίζειν ἐστὶ τῇ πρὸς ἀλήθειαν βασι-
λικῇ, ἣν ὁ μέγας καὶ μόνος βασιλεὺς θεὸς ταῖς φι-
λαρέτοις ψυχαῖς ηὔρυνεν ἐνδιαίτημα κά`λ:στον. Διὸ
καί τινες τῶν τὴν ἥμερον καὶ κοινωνικὴν μετιόντων
φιλοσοφίαν μεσότητας τὰς ἀρετὰς εἶπον εἶναι, ἐν
μεθορίῳ στήσαντες αὐτάς· ἐπειδὰν τό τε ὑπέραυχον
459 ἀλαζονείας γέμον πόλλῆς κακὸν, καὶ τοῦ ταπεινοῦ
M. καὶ ἀφανοῦς μεταποιεῖσθαι σχήματος εὐεπίβατον·
τὸ δὲ μεταξὺ ἀμφοῖν κεκραμένον ἐπιεικῶς ὠφέ-
λιμον.

§. 27. Τὸ δὲ, „Ὤιχετο μετὰ τοῦ Λὼτ“ *),
τίνα ἔχει λόγον σκεπτέον. Ἔστι μὲν οὖν Λὼτ ἑρ-
μηνευθεὶς, ἀπόκλισις. Κλίνεται δὲ ὁ νοῦς τότε μὲν
τὸ ἀγαθὸν, τότε δὲ αὖ τὸ κακὸν ἀποστρεφόμενος·
ἄμφω δὲ ταῦτα πολλάκις περὶ ἕνα καὶ τὸν αὐτὸν
θεωρεῖται. Εἰσὶ γὰρ τινες ἐνδοιασταὶ καὶ ἐπαμφο-
τερισταὶ, πρὸς ἑκάτερον τοῖχον ὥσπερ σκάφος ὑπ᾽

---

*) Gen. 12, 4.

ἐναντίων πνευμάτων διαφερόμενον ἀποκλίνοντες, ἢ καθάπερ ἐπὶ πλάστιγγος ἀντιῤῥέποντες, ἐφ' ἑνὸς στηριχθῆναι βεβαίως ἀδυνατοῦντες, ὧν οὐδὲ τὴν ἐπὶ τὰ ἀμείνω τροπὴν ἐπαινετέον· φορᾷ γὰρ ἀλλ' οὐ γνώμῃ γίνεται. Τούτων καὶ ὁ Λὼτ ἐστι θεα- 411
τής, ὅν φησιν οἴχεσθαι μετὰ τοῦ σοφίας ἐραστοῦ. P.
Καλὸν δὲ ἦν ἀρξάμενον ἐκείνῳ παρακολουθεῖν ἀπομαθεῖν ἀμαθίαν, καὶ μηκέτι παλινδρομῆσαι πρὸς αὐτήν. Ἀλλὰ γὰρ οὐχ ἕνεκα τοῦ μιμησάμενον τὸν ἀμείνω βελτιωθῆναι συνέρχεται, ἀλλ' ὑπὲρ τοῦ καὶ ἐκείνῳ παρασχεῖν ἀντισπάσματα καὶ μεθολκάς, καὶ κατάγειν ἔνθεν ὤλισθος. Τεκμήριον δέ, ὁ μὲν ὑπὸ τὴν ἀρχαίαν ὑποτροπιάσας νόσον οἰχήσεται, ληφθεὶς αἰχμάλωτος ὑπὸ τῶν ἐν ψυχῇ πολεμίων· ὁ δὲ τὰς ἐξ ἐνέδρας ἐπιβουλὰς αὐτοῦ φυλαξάμενος πάσῃ μηχανῇ διοικισθήσεται. Τὸν δὲ διοικισμὸν αὖθις μέν, οὔπω δὲ ποιήσεται. Νῦν μὲν γὰρ τὰ θεωρήματα αὐτῷ, ὡς ἂν ἄρτι ἀρχομένῳ τῆς θείας θεωρίας, πλαδᾷ καὶ σαλεύει· ὅταν δὲ ἤδη παγέντα κραταιότερον ἱδρυθῇ, δυνήσεται τὸ δελεάζον καὶ κολακεῦον ὡς ἐχθρὸν ἀκατάλλακτον καὶ δυςθήρατον φύσει διαζεῦξαι. Τοῦτο γὰρ ἐσθ' ὃ δυςαπότριπτον ὂν παρέπεται ψυχῇ, κωλύον αὐτὴν πρὸς ἀρετὴν ὠκυδρομεῖν. Τοῦθ', ἡνίκα καὶ τὴν Αἴγυπτον ἀπολείπομεν τὴν σωματικὴν χώραν ἅπασαν, ἀπομαθεῖν τὰ πάθη σπουδάσαντες κατὰ τοὺς προφήτου λόγους Μωϋσέως καὶ ὑφηγήσεις, ἠκολούθησεν ἡμῖν, ἐλλαμβανόμενον τῆς περὶ τὴν ἔξοδον σπουδῆς, καὶ τῷ τάχει τῆς ἀπολείψεως ὑπὸ φθόνου βραδυτῆτας ἐμποιοῦν. Λέγεται γὰρ ὅτι "Καὶ ἐπίμικτος πολὺς συνανέβη αὐτοῖς, καὶ πρόβατα καὶ βόες, καὶ κτήνη πολλὰ σφόδρα" *). Ὁ δὲ ἐπίμικτος οὗτος ἦν τὰ κτηνώδη καὶ ἄλογα τῆς ψυχῆς εἰ δεῖ τἀληθὲς εἰπεῖν δόγματα.

*) Exod. 12, 38.

§. 28. Παγκάλως δὲ καὶ εὐθυβόλως τὴν τοῦ
φαύλου ψυχὴν ἐπίμικτον καλεῖ· συνηρημένη γὰρ καὶ
συμπεφορημένη καὶ μιγὰς ὄντως ἐκ πλειόνων καὶ μα-
χομένων δοξῶν, μία μὲν οὖσα ἀριθμῷ, μυριὰς δέ
τῷ πολυτρόπῳ. Διὸ καὶ τῷ ἐπίμικτος πρόςκειται
πολύς· ὁ μὲν γὰρ πρὸς ἓν μόνον ἀφορῶν. ἁπλοῦς
460 καὶ ἀμιγὴς καὶ λεῖος ὄντως· ὁ δὲ πολλὰ τέλη τοῦ
M. βίου προτιθέμενος πολὺς καὶ μιγὰς καὶ δασὺς ἀλη-
θείᾳ. Οὗ χάριν οἱ χρησμοὶ τὸν μὲν ἀσκητὴν τῶν
καλῶν Ἰακὼβ, λεῖον, τὸν δὲ τῶν αἰσχίστων Ἡσαῦ,
δασὺν εἰςάγουσι. Διὰ τὸν ἐπίμικτον καὶ δασὺν τοῦ-
τον ὄχλον ἐκ μιγάδων καὶ συγκλύδων συμπεφυρμέ-
νον δοξῶν, ὠκυδρομῆσαι δυνάμενος ὁ νοῦς ὅτε τὴν
σωματικὴν χώραν ἀπεδίδρασκεν Αἴγυπτον, καὶ τρι-
σὶν ἡμέραις διαδέξασθαι τὸν ἀρετῆς κλῆρον, φωτὶ
τρισσῷ, μνήμῃ τῶν παρεληλυθότων, καὶ ἐνεργείᾳ
τῶν παρόντων, καὶ τῇ τῶν μελλόντων ἐλπίδι, τεσσα-
ράκοντα ἐτῶν ἀριθμὸν, μῆκος τοσούτου χρόνου, 412
τρίβεται, τὴν ἐν κύκλῳ περιάγων καὶ ἀλώμενος ἕνεκα P.
τοῦ πολυτρόπου, τὴν ἐπ' εὐθείας ἀνυσιμωτάτην οὖ-
σαν δέον. Οὗτός ἐστιν ὁ μὴ μόνον ὀλίγοις εἴδεσιν
ἐπιθυμίας χαίρων, ἀλλὰ μηδὲν τὸ παράπαν ἀπολι-
πεῖν δικαιῶν, ἵνα ὅλον δι' ὅλων τὸ γένος, ᾧ πᾶν
εἶδος ἐκφέρεται, μετέρχηται. Λέγεται γὰρ ὅτι "ὁ ἐπί-
μικτος ὁ ἐν αὐτοῖς ἐπεθύμησεν ἐπιθυμίας" *), αὐ-
τοῦ τοῦ γένους, οὐχ ἑνός τινος τῶν εἰδῶν, "καὶ κα-
θίσαντες ἔκλαιον." Συνίησι γὰρ ὀλιγοδρανοῦσα ἡ
διάνοια, καὶ ὁπότε μὴ δύναται τυχεῖν ὧν ὀρέγεται
δακρύει καὶ στενάζει. Καί τοι ὤφειλε χαίρειν πα-
θῶν καὶ νοσημάτων ἀτυχοῦσα, καὶ μεγάλην εὐπρα-
γίαν νομίζειν τὴν ἔνδειαν καὶ ἀπουσίαν αὐτῶν. Ἀλλὰ
γὰρ καὶ τοῖς χορευταῖς ἀρετῆς σφαδάζειν καὶ δα-
κρύειν ἔθος, ἢ τὰς τῶν ἀφρόνων ὀδυρομένοις συμ-
φορὰς, διὰ τὸ φύσει κοινωνικὸν καὶ φιλάνθρωπον,

---

*) Num. 11, 4.

ἢ διὰ περιχάρειαν. Γίνεται δὲ αὕτη, ὅταν ἀθρόα ἀγαθὰ μηδὲ προςδοκηθέντα ποτὲ αἰφνίδιον ὀμβρήσαντα πλημμυρῇ· ἀφ᾽ οὗ καὶ τὸ ποιητικὸν εἰρῆσθαί μοι δοκεῖ·

Δακρυόεν γελάσασα.

Προςπεσοῦσα γὰρ ἐκ τοῦ ἀνελπίστου ἡ εὐπαθειῶν ἀρίστη χαρὰ ψυχῇ, μείζονα αὐτὴν ἢ πρότερον ἦν ἐποίησεν, ὡς διὰ τὸν ὄγκον μηκέτι χωρεῖν τὸ σῶμα· θλιβόμενον δὲ καὶ πιεζόμενον ἀποστάζει λιβάδας, ἃς καλεῖν ἔθος δάκρυα, περὶ ὧν ἐν ὕμνοις εἴρηται, "Ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων" *), καί, "Ἐγένετό μοι τὰ δάκρυά μου ἄρτος ἡμέρας καὶ νυκτός" **). Τροφὴ γάρ ἐστι διανοίας τὰ τοῦ ἐνδιαθέτου καὶ σπουδαίου γέλωτος ἐμφανῆ δάκρυα, ἐπειδὰν ὁ θεῖος ἐντακεὶς ἵμερος τὸν τοῦ γεννητοῦ θρῆνον ᾆσμα εἰς τὸν ἀγέννητον ὕμνον ποιήσειεν.

§. 29. Ἔνιοι μὲν οὖν τὸν μιγάδα καὶ δασὺν τοῦτον ἀποῤῥίπτουσι καὶ διατειχίζουσιν ἀφ᾽ ἑαυτῶν,
461 τῷ θεοφιλεῖ μόνῳ γένει χαίροντες· ἔνιοι δὲ καὶ
M. πρὸς αὐτὸν ἑταιρίαν τίθενται, μεθοδεύειν τὸν ἑαυτῶν βίον ἀξιοῦντες, καὶ μεθόριον ἀνθρωπίνων τε καὶ θείων ἀρετῶν τιθέντες, ἵν᾽ ἑκατέρων ἐφάπτωνται καὶ τῶν ἀληθείᾳ καὶ τῶν δοκήσει. Τούτου τοῦ δόγματος ὁ πολιτευόμενός ἐστι τρόπος, ὃν Ἰωσὴφ ὀνομάζειν ἔθος, ᾧ συναπέρχονται μέλλοντι τὸν πατέρα κηδεύειν, "πάντες οἱ παῖδες Φαραώ, καὶ οἱ πρεσβύτεροι τοῦ οἴκου αὐτοῦ, καὶ πάντες οἱ πρεσβύτεροι τῆς Αἰγύπτου, καὶ πᾶσα ἡ πανοικία αὐτοῦ Ἰωσήφ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ πᾶσα ἡ οἰκία ἡ πατρικὴ αὐτοῦ" ***). Ὁρᾷς ὅτι μέσος τῆς Φαραὼ καὶ τῆς πατρικῆς οἰκίας ὁ πολιτικὸς οὗτος τάττεται, ἵνα καὶ τῶν κατὰ σῶμα, τὴν Αἴγυπτον, καὶ τῶν κατὰ ψυχήν, ἃ πάντα ἐν τῷ πατρικῷ οἴκῳ θησαυ- P.
ροφυλακεῖται, κατ᾽ ἴσον ἐφῆται. Ὅταν μὲν γὰρ 413

*) Psalm. 80, 5. **) Psalm. 42, 3. ***) Gen. 50, 7.

λέγῃ, "τοῦ θεοῦ εἰμι" *), καὶ τὰ ἄλλα ὅσα συγγενῆ τούτῳ, τοῖς πατρῴας οἰκίας ἐμμένει νομίμοις· ὅταν δὲ ἐπὶ "τὸ δευτερεῖον ἅρμα" τοῦ βασιλεύειν νοῦ δοκοῦντος ἀνέρχηται, Φαραώ, τὸν Αἰγυπτιακὸν πάλιν ἱδρύεται τῦφον. Ἀθλιώτερος δὲ ὁ νομιζόμενος ἐνδοξότερος εἶναι βασιλεύς, ὃς τῷ προηγουμένῳ τῶν ἁρμάτων ἐποχεῖται. Τὸ γὰρ μὴ ἐν καλοῖς διαπρέπειν ἐπιφανέστατον αἶσχος, ὡς τὸ φέρεσθαι τὰ ἐν τούτοις δευτερεῖα κουφότερον κακόν. Τὸ μέντοι γε ἐπαμφοτερίζον αὐτοῦ καταμάθοις ἂν καὶ ἐκ τῶν ὅρκων οὓς πεποίηται, τοτὲ μὲν ὀμνὺς "νὴ τὴν ὑγείαν Φαραὼ" **), τοτὲ δὲ ἔμπαλιν οὐ τὴν ὑγείαν Φαραώ. Ἀλλ' ὁ μὲν περιέχων τὴν ἀπόφασιν ὅρκος, τῆς πατρικῆς ἂν εἴη διάταγμα οἰκίας ἀεὶ φονώσης κατὰ τοῦ πάθους, καὶ βουλομένης αὐτὸ τεθνάναι· ὁ δὲ ἕτερος Αἰγύπτου, ᾗ φίλον ἐστὶ τοῦτο σώζεσθαι. Διόπερ καίτοι τοσαύτης πληθύος συνανιούσης ἐπίμικτον ὄχλον οὐκ εἶπεν, ἐπειδὴ τῷ μὲν ἄκρως ὁρατικῷ καὶ φιλαρέτῳ πᾶν ὃ μὴ ἀρετὴ ἢ ἀρετῆς ἔργον ἀναμεμίχθαι καὶ συγκεχύσθαι δοκεῖ· τῷ δ' ἔτι χαμαιζήλῳ, καθ' αὑτὰ τὰ γῆς ἆθλα ἀξιέραστα καὶ ἀξιοτίμητα νενόμισται.

§. 30. Τὸν μὲν οὖν ὡς κηφῆνα τοὺς μὲν αὑτῷ ὠφελίμους πόνους λυμαίνεσθαι διεγνωκότα, καὶ διὰ τοῦτο ἐπακολουθοῦντα διατειχιεῖ, καθάπερ ἔφην, ὁ φρονήσεως ἐραστής· τοὺς δὲ ἕνεκα μιμήσεως παρεπομένους κατὰ τὸν τῶν καλῶν ζῆλον ἀποδέξεται, μοίρας αὐτοῖς ἁρμοττούσας δασάμενος. "Τῶν γάρ", φησί, "συμπορευθέντων ἀνδρῶν μετ' ἐμοῦ Ἐσχώλ, Αὐνάν, Μαμβρῆ, οὗτοι λήψονται μερίδα" ***)· λέγει δὲ τοὺς εὐφυεῖς τρόπους καὶ φιλοθεάμονας. Ὁ μὲν γὰρ Ἐσχὼλ εὐφυΐας σύμβολον πυρὸς ἔχον
462 ὄνομα, ἐπειδὴ καὶ τὸ εὐφυὲς εὔτολμον καὶ ἔνθερμον, καὶ ἐχόμενον ὧν ἂν προσάψηται. Ὁ δὲ Αὐνάν

*) Gen. 50, 19. **) Gen. 42, 16. ***) Gen. 14, 24.

τοῦ φιλοθεάμονος· ὀφθαλμοὶ γὰρ ἑρμηνεύεται, τῷ καὶ τὰ ψυχῆς ὑπ' εὐθυμίας ὄμματα διοίγνυσθαι. Τούτων δ' ἀμφοτέρων ἐστὶν ὁ θεωρητικὸς βίος κλῆρος, προςαγορευόμενος Μαμβρῆ, ὃ μεταληφθὲν ἀπὸ ὁράσεως καλεῖται· τῷ δὲ θεωρητικῷ τὸ ὁρᾶν συνῳδόν τε καὶ οἰκειότατον. Ἐπειδὰν δὲ τούτοις ἀλείπταις χρησάμενος ὁ νοῦς μηδὲν ἐλλείπῃ τῶν πρὸς ἄσκησιν, συνομαρτεῖ καὶ συντρέχει τελείᾳ φρονήσει, μήθ' ὑπερέχων, μήθ' ὑπερεχόμενος, ἀλλὰ ἰσαίτατα καὶ ἰσοστάσια βαίνων. Δηλοῖ δὲ τὸ λόγιον ἐν ᾧ σαφῶς εἴρηται, διότι "πορευθέντες ἀμφότεροι ἀνῆλθον ἐπὶ τὸν τόπον ὃν εἶπεν ὁ θεὸς" *), ὑπερβάλλουσά τε ἰσότης ἀρετῶν, ἁμίλλης ἀμείνων, πόνου μὲν πρὸς εὐεξίαν, τέχνης δὲ πρὸς τὴν αὐτοδίδακτον 414 φύσιν, καὶ δυνηθέντων ἴσα τὰ ἆθλα τῆς ἀρετῆς P. ἐνέγκασθαι. Ὥςπερ ἂν εἰ ζωγραφία καὶ πλαστικὴ μὴ μόνον ὡς νῦν ἀκίνητα καὶ ἄψυχα ἐδημιούργουν, ἴσχυον δὲ κινούμενά τε καὶ ἔμψυχα τὰ γραφόμενα καὶ πλαττόμενα ποιεῖν. Ἐδόκουν γὰρ ἂν φύσεως ἔργων οὖσαι τὸ πάλαι μιμητικαὶ τέχναι φύσεις αὗται γεγενῆσθαι τὰ νῦν.

§. 31. Ὁ δὲ ἐπὶ τοσοῦτον ἄγω μετέωρος ἐξαρθεὶς οὐδὲν ἔτι τῶν τῆς ψυχῆς μερῶν κάτω τοῖς θνητοῖς ἐνδιατρίβειν ἐάσει, πάντα δὲ ὥςπερ ἐκ σειρᾶς ἐκκρεμασθέντα συνεπισπάσεται. Διὸ καὶ λόγιον ἐχρήσθη τῷ σοφῷ τοιόνδε. "Ἀνάβηθι πρὸς κύριόν σου, σὺ καὶ Ἀαρὼν, καὶ Ναδὰβ, καὶ Ἀβιοὺδ, καὶ ἑβδομήκοντα τῆς γερουσίας Ἰσραὴλ" **). Τοῦτο δέ ἐστι τοιοῦτον· ἀνάβηθι, ὦ ψυχὴ, πρὸς τὴν τοῦ ὄντος θέαν, εὐαρμόστως, λογικῶς, ἑκουσίως, ἀφόβως, ἀγαπητικῶς, ἐν ἀριθμοῖς ἁγίοις καὶ τελείοις ἑβδομάδος δεκαπλασιασθείσης. Ἀαρὼν μὲν γὰρ προφήτης λέγεται Μωϋσέως ἐν τοῖς νόμοις, ὁ γεγωνὼς λόγος προφητεύων διανοίᾳ· Ναδὰβ δὲ ἑκούσιος ἑρμη-

---

*) Gen. 22, 3. **) Exod. 24, 1.

νεύεται ὁ μὴ ἀνάγκῃ τιμῶν τὸ θεῖον· καὶ Ἀβιοὺδ
πατήρ μου· οὗτος ὁ μὴ δι' ἀφροσύνην δεσπότου
μᾶλλον ἢ πατρὸς διὰ φρόνησιν, ἄρχοντος θεοῦ
δεόμενος.“ Αἵδ' εἰσὶν αἱ τοῦ βασιλεύειν ἀξίου νοῦ
δορυφόροι δυνάμεις, ἃς συνέρχεσθαι τῷ βασιλεῖ
παραπεμπούσας αὐτὸν θέμις. Ἀλλὰ γὰρ δέος ἐστὶν
ἀναβαίνειν πρὸς τὴν τοῦ ὄντος θέαν ψυχῇ δι' ἑαυ-
τῆς, ἀγνοούσῃ τὴν ὁδὸν, ὑπὸ ἀμαθίας ἅμα καὶ τόλ-
μης ἐπαρθείσῃ· μεγάλα δὲ τὰ ἐξ ἀνεπιστημοσύνης
καὶ πολλοῦ θράσους παραπτώματα. Διόπερ εὔχε-
ται Μωϋσῆς αὐτῷ τῷ θεῷ χρῆσθαι ἡγεμόνι πρὸς
463 τὴν πρὸς αὐτὸν ἄγουσαν ὁδόν. Λέγει γὰρ, “Εἰ
M. μὴ αὐτὸς σὺ συμπορεύσῃ, μή με ἀγάγῃς ἐντεῦθεν” *).
Διότι πᾶσα κίνησις ἡ ἄνευ θείας ἐπιφροσύνης ἐπι-
ζήμιος, καὶ ἄμεινον ἐνταυθοῖ καταμένειν τὸν θνητὸν
βίον ἀλητεύοντας, ὡς τὸ πλεῖστον ἀνθρώπων γένος,
ἢ πρὸς τὸν οὐρανὸν ἐξάραντας ἑαυτοὺς ὑπὸ ἀλαζο-
νείας ἀνατραπῆναι· καθάπερ μυρίοις συνέβη τῶν
σοφιστῶν, οἵ τινες ᾠήθησαν σοφίαν πιθανῶν εἶναι
λόγων εὕρεσιν, ἀλλ' οὐ πραγμάτων ἀληθεστάτην πί-
στιν. Ἴσως δὲ καὶ τοιοῦτό τι δηλοῦται· μή με ἄνω
μετέωρον ἐξάρῃς, πλοῦτον, ἢ δόξαν, ἢ τιμὰς, ἢ
ἀρχὰς, ἢ ὅσα ἄλλα τῶν ἐν τοῖς λεγομένοις ἀγαθοῖς
δωρησάμενος, εἰ μὴ μέλλοις αὐτὸς συνέρχεσθαι.
Ταῦτα γὰρ καὶ ζημίας καὶ ὠφελείας μεγίστης πολ-
λάκις περιποιητικὰ τοῖς ἔχουσιν· ὠφελείας μὲν, ὅταν
ἀφηγῆται τῆς γνώμης ὁ θεός· βλάβης δὲ, ὅταν τὸ 415
ἐναντίον. Μυρίοις γὰρ τὰ λεγόμενα ἀγαθὰ πρὸς P.
ἀλήθειαν οὐκ ὄντα κακῶν ἀνηκέστων γέγονεν αἴτια·
ὁ δὲ ἑπόμενος θεῷ κατὰ ἀναγκαῖον συνοδοιπόροις
χρῆται τοῖς ἀκολούθοις αὐτοῦ λόγοις, οὓς ὀνομάζειν
ἔθος ἀγγέλους. Λέγεται γοῦν ὅτι “Ἀβραὰμ συνε-
πορεύετο συμπροπέμπων αὐτούς” **). Ὦ παγκάλης
ἐπανισώσεως, καθ' ἣν ὁ παραπέμπων παρεπέμπετο,

---

*) Exod. 33, 15. **) Gen. 18, 16.

*διδοὺς ὃ ἐλάμβανεν, οὐκ ἀνθ' ἑτέρου ἕτερον, ἀλλὰ ἓν αὐτὸ μόνον ἐκεῖνο τὸ πρὸς τὰς ἀντιδόσεις ἕτοιμον. Ἕως μὲν γὰρ οὐ τετελείωται, ἡγεμόνι τῆς ὁδοῦ χρῆται λόγῳ θείῳ· χρησμὸς γάρ ἐστιν, "Ἰδοὺ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προςώπου σου, ἵνα φυλάξῃ σε ἐν τῇ ὁδῷ, ὅπως εἰςαγάγῃ σε εἰς τὴν γῆν ἣν ἡτοίμασά σοι. Πρόςεχε αὐτῷ, καὶ εἰςάκουε αὐτοῦ, μὴ ἀπείθει αὐτῷ· οὐ γὰρ μὴ ὑποστείληταί σε· τὸ γὰρ ὄνομά μου ἐστὶν ἐπ' αὐτῷ" *). Ἐπειδὰν δὲ πρὸς ἄκραν ἐπιστήμην ἀφίκηται, συντόνως ἐπιδραμὼν ἰσοταχύσει τῷ πρόσθεν ἡγουμένῳ τῆς ὁδοῦ. Ἀμφότεροι γὰρ οὕτως ὀπαδοὶ γενήσονται τοῦ πανηγεμόνος θεοῦ· μηδενὸς ἔτι τῶν ἑτεροδόξων παρακολουθοῦντος, ἀλλὰ καὶ τοῦ Λὼτ, ὃς ἔκλινε τὴν ψυχὴν ὀρθὴν καὶ ἀκαμπῆ φύεσθαι δυναμένην, διοικισθέντος.*

§. 32. *"Ἀβραὰμ δὲ ἦν," φησὶν, ἐτῶν ἑβδομήκοντα πέντε, ὅτε ἐξῆλθεν ἐκ Χαῤῥάν." Περὶ μὲν οὖν τοῦ τῶν πέντε καὶ ἑβδομήκοντα ἐτῶν ἀριθμοῦ — λόγον γὰρ ἔχει συνῳδὸν τοῖς πρόσθεν εἰρημένοις — αὖθις ἀκριβώσομεν. Τίς δέ ἐστι Χαῤῥὰν, καὶ τίς ἡ ἐκ ταύτης ἀποικία τῆς χώρας, πρότερον ἐρευνήσωμεν. Οὐδένα τοίνυν τῶν ἐντετυχηκότων τοῖς νόμοις ἀγνοεῖν εἰκὸς, ὅτι πρότερον μὲν ἐκ τῆς Χαλδαϊκῆς ἀναστὰς γῆς Ἀβραὰμ ᾤκησεν εἰς Χαῤῥάν·*
164 *τελευτήσαντος δὲ αὐτῷ τοῦ πατρὸς ἐκεῖθε καὶ ἐκ*
M. *ταύτης μετανίσταται, ὡς δυοῖν ἤδη τόπων ἀπόλειψιν πεποιῆσθαι. Τί οὖν λεκτέον; Χαλδαῖοι τῶν ἄλλων ἀνθρώπων ἐκπεπονηκέναι διαφερόντως δοκοῦσιν ἀστρονομίαν καὶ γενεθλιαλογικὴν, τὰ ἐπίγεια τοῖς μετεώροις, καὶ τὰ οὐράνια τοῖς ἐπὶ γῆς ἁρμοζόμενοι, καὶ ὥςπερ διὰ μουσικῆς λόγων τὴν ἐμμελεστάτην συμφωνίαν τοῦ παντὸς ἐπιδεικνύμενοι, τῇ τῶν μερῶν πρὸς ἄλληλα κοινωνίᾳ καὶ συμπαθείᾳ, τόποις*

*) Exod. 23, 20 sq.

Οὐδενὶ γὰρ ἐξῆν τὰ συσταθέντα κατιδεῖν ἄκρως, ὅτι
μὴ τῷ πεποιηκότι. Πάριτε νῦν, οἱ τύφου καὶ ἀπαι-
δευσίας καὶ πολλῆς ἀλαζονείας γέμοντες, οἱ δοκησί-
σοφοι, καὶ μὴ μόνον ὃ ἔστιν ἕκαστον εἰδέναι σαφῶς
ἔτι φάσκοντες, ἀλλὰ καὶ τὰς αἰτίας προςαποδοῦναι
διὰ θρασύτητα τολμῶντες, ὥςπερ ἢ τῇ τοῦ κόσμου 409
γενέσει παρατυχόντες καὶ ὡς ἕκαστα καὶ ἐξ ὧν ἀπε- P.
τελεῖτο κατιδόντες, ἢ σύμβουλοι περὶ τῶν κατα-
σκευαζομένων τῷ δημιουργῷ γενόμενοι. Εἶτα τῶν
ἄλλων ἁπαξαπάντων μεθέμενοι, γνωρίσατε ἑαυτούς,
καὶ οἵ τινές ἐστε σαφῶς εἴπατε, κατὰ τὸ σῶμα, κατὰ
τὴν ψυχήν, κατὰ τὴν αἴσθησιν, κατὰ τὸν λόγον. Καθ'
ἕν τι, καὶ ἂν τὸ βραχύτατον τῶν εἰδῶν, τί ἐστιν ὅρασις,
ἀποφήνασθε, καὶ πῶς ὁρᾶτε· τί ἀκοή, καὶ πῶς ἀκούετε·
τί γεῦσις, τί ἁφή, τί ὄσφρησις, καὶ πῶς καθ' ἑκά-
στην ἐνεργεῖτε· ἢ τίνες εἰσὶν αἱ τούτων πηγαί, ἀφ'
ὧν καὶ τὸ εἶναι ταῦτα συμβέβηκε. Μὴ γάρ μοι
περὶ σελήνης καὶ ἡλίου καὶ τῶν ἄλλων ὅσα κατ' οὐ-
ρανὸν καὶ κόσμον, οὕτως μακρὰν διῳκισμένων, καὶ
τὰς φύσεις διαφερόντων, ἀερομυθεῖτε, ὦ κενοὶ φρε-
νῶν, πρὶν ἑαυτοὺς ἐρευνῆσαι καὶ γνῶναι. Τηνικαῦτα
γὰρ ἴσως καὶ περὶ ἑτέρων διεξιοῦσι πιστευτέον· πρὶν
δὲ οἵτινές ἐστε αὐτοὶ παραστῆσαι μὴ νομίζετε κρι-
ταὶ τῶν ἄλλων ἢ μάρτυρες ἀψευδέστατοί ποτε γε-
νήσεσθαι.

§. 25. Τούτων δὴ τοῦτον ἐχόντων τὸν τρόπον, τελειωθεὶς ὁ νοῦς ἀποδώσει τὸ τέλος τῷ τελεςφόρῳ θεῷ, κατὰ τὸ ἱερώτατον γράμμα· "νόμος γάρ ἐστι, τὸ τέλος εἶναι κυρίου" *). Πότε οὖν ἀποδίδωσιν; Ὅταν "ἐπὶ τὸν τόπον ὃν εἶπεν αὐτῷ ὁ θεός, τῇ ἡμέρᾳ τῇ τρίτῃ παραγένηται" **), παρελθὼν τὰς πλείους μοίρας τῶν χρονικῶν διαστημάτων, καὶ ἤδη πρὸς τὴν ἄχρονον μεταβαίνων φύσιν. Τότε γὰρ καὶ τὸν ἀγαπητὸν υἱὸν ἱερουργήσει, οὐχὶ ἄνθρωπον, —

---

*) Num. 31, 40 sq. **) Gen. 22, 4.

οὐ γὰρ τεκνοκτόνος ὁ σοφὸς, — ἀλλὰ τὸ τῆς ἀρετώ-
σης ψυχῆς γέννημα ἄῤῥεν, τὸν ἐπανθήσαντα καρπὸν
αὐτῇ, ὃν πῶς ἤνεγκεν οὐκ ἔγνω, βλάστημα θεῖον,
οὗ φανέντος, δόξασα κυοφορῆσαι, τὴν ἄγνοιαν τοῦ
συμβάντος ἀγαθοῦ διηγεῖται· φάσκουσα, "Τίς ἀν-
αγγελεῖ Ἀβραὰμ" *); ὡς ἀπειθοῦντι δήπου περὶ τὴν
τοῦ αὐτομαθοῦς γένους ἀνατολὴν, ὅτι "θηλάζει παι-
δίον Σάῤῥα", οὐχὶ πρὸς Σάῤῥας θηλάζεται. Τὸ
458 γὰρ αὐτοδίδακτον τρέφεται μὲν ὑπ' οὐδενὸς, τροφὴ
M. δέ ἐστιν ἄλλων, ἅτε ἱκανὸν διδάσκειν, καὶ μανθάνειν
οὐ δεόμενον. "Ἔτεκον γὰρ υἱὸν", οὐχ ὡς γυναῖκες
Αἰγύπτιαι κατὰ τὴν τοῦ σώματος ἀκμὴν, ἀλλ' ὡς
αἱ Ἑβραῖαι ψυχαὶ, "ἐν τῷ γήρᾳ μου" **), ὅτε τὰ
μὲν ὅσα αἰσθητὰ καὶ θνητὰ μεμάρανται, τὰ δὲ νοη-
τὰ καὶ ἀθάνατα ἀνήβηκεν, ἃ γέρως καὶ τιμῆς ἐστιν
ἐπάξια. Καὶ ἔτεκον μαιευτικῆς τέχνης οὐ προςδεη-
θεῖσα· τίκτομεν γὰρ καὶ πρὶν εἰςελθεῖν τινας ἐπι-
νοίας καὶ ἐπιστήμας ἀνθρώπων πρὸς ἡμᾶς, ἄνευ τῶν
ἐξ ἔθους συνεργούντων, σπείροντος καὶ γεννῶντος θεοῦ
τὰ ἀστεῖα γεννήματα, ἃ τῷ διδόντι προςηκόντως
κατὰ τὸν ἐπ' εὐχαριστίᾳ τιθέντα νόμον ἀποδίδοται.
"Τὰ γὰρ δῶρά μου, δόματά μου, καρπώματά μου",
φησὶν, "διατηρήσατε προςφέρειν ἐμοί" ***).

§. 26. Τοῦτ' ἐστι τὸ τέλος τῆς ὁδοῦ τῶν ἑπο- 410
μένων λόγοις καὶ προστάξεσι νομίμοις, καὶ ταύτῃ P.
βαδιζόντων ᾗ ἂν ὁ θεὸς ἀφηγῆται· ὁ δὲ ὑπενδοὺς
ὑπὸ τοῦ πεινῶντος ἡδονῆς καὶ λίχνου παθῶν, ὄνο-
μα "Ἀμαλὴκ" †), — ἑρμηνεύεται γὰρ λαὸς ἐκλείχων —
ἐκτετμήσεται. Μηνύουσι δὲ οἱ χρησμοὶ ὅτι λοχῶν
ὁ τρόπος οὗτος· ἐπειδὰν γὰρ τὸ ἐῤῥωμενέστατον τῆς
ψυχικῆς δυνάμεως κατίδῃ περαιωθὲν, "ὑπανιστάμε-
νος τῆς ἐνέδρας, τὸ κεκμηκὸς μέρος ὡς οὐραγίαν
κόπτει." Κάματος δὲ ὁ μέν ἐστιν εὐένδοτος ἀσθέ-

*) Gen. 21, 7. **) Exod. 1, 18. ***) Num. 18, 2.
†) Deut. 25, 17 sq.

νεια λογισμοῦ μὴ δυναμένου τοὺς ὑπὲρ ἀρετῆς ἀχθοφορῆσαι πόνους, ἐν ἐσχατιαῖς οὗτος εὑρισκόμενος εὐάλωτος· ὁ δέ ἐστιν ὑπομονὴ τῶν καλῶν, τὰ μὲν καλὰ ἀθρόα ἐῤῥωμένως ἀναδεχόμενος, μηδὲν δὲ τῶν φαύλων, καὶ ἂν εἰ κουφοτάτον εἴη, βαστάσαι δικαιῶν, ἀλλ' ὡς βαρύτατον ἄχθος ἀποῤῥίπτων. Διὸ καὶ την ἀρετὴν ὁ νόμος εὐθυβόλῳ προςεῖπεν ὀνόματι Λεῖαν, ἥτις ἑρμηνευθεῖσα λέγεται κοπιῶσα· τὸν γὰρ τῶν φαύλων βίον ἐπαχθῆ καὶ βαρὺν ὄντα, φύσει κοπώδη προςηκόντως αὕτη νενόμικε, καὶ οὐδὲ προςιδεῖν ἀξιοῖ, τὰς ὄψεις πρὸς μόνον τὸ καλὸν ἀποκλίνουσα. Σπουδαζέτω δὲ ὁ νοῦς μὴ μόνον ἀνενδότως καὶ εὐτόνως ἕπεσθαι θεῷ, ἀλλὰ καὶ τὴν εὐθεῖαν ἀτραπὸν ἰέναι πρὸς μηδέτερα νεύων, μήτε τὰ δεξιὰ, μήτε τὰ εὐώνυμα, οἷς ὁ γήϊνος Ἐδὼμ ἐμπεφώλευκε, τότε μὲν ὑπερβολαῖς καὶ περιουσίαις, τότε δὲ ἐλλείψεσι καὶ ἐνδείαις χρώμενος. Ἄμεινον γὰρ ὁδῷ τῇ μέσῃ βαδίζειν ἐστὶ τῇ πρὸς ἀλήθειαν βασιλικῇ, ἣν ὁ μέγας καὶ μόνος βασιλεὺς θεὸς ταῖς φιλαρέτοις ψυχαῖς ηὔρυνεν ἐνδιαίτημα κάλλιστον. Διὸ καί τινες τῶν τὴν ἥμερον καὶ κοινωνικὴν μετιόντων φιλοσοφίαν μεσότητας τὰς ἀρετὰς εἶπον εἶναι, ἐν μεθορίῳ στήσαντες αὐτάς· ἐπειδὰν τό τε ὑπέραυχον
459 ἀλαζονείας γέμον πολλῆς κακὸν, καὶ τοῦ ταπεινοῦ
M. καὶ ἀφανοῦς μεταποιεῖσθαι σχήματος εὐεπίβατον· τὸ δὲ μεταξὺ ἀμφοῖν κεκραμένον ἐπιεικῶς ὠφέλιμον.

§. 27. Τὸ δὲ, "Ὤιχετο μετὰ τοῦ Λὼτ" *), τίνα ἔχει λόγον σκεπτέον. Ἔστι μὲν οὖν Λὼτ ἑρμηνευθεὶς, ἀπόκλισις. Κλίνεται δὲ ὁ νοῦς τότε μὲν τὸ ἀγαθὸν, τότε δὲ αὖ τὸ κακὸν ἀποστρεφόμενος· ἄμφω δὲ ταῦτα πολλάκις περὶ ἕνα καὶ τὸν αὐτὸν θεωρεῖται. Εἰσὶ γάρ τινες ἐνδοιασταὶ καὶ ἐπαμφοτερισταὶ, πρὸς ἑκάτερον τοῖχον ὥσπερ σκάφος ὑπ'

*) Gen. 12, 4.

ἐναντίων πνευμάτων διαφερόμενον ἀποκλίνοντες, ἢ
καθάπερ ἐπὶ πλάστιγγος ἀντιῤῥέποντες, ἐφ᾽ ἑνὸς
στηριχθῆναι βεβαίως ἀδυνατοῦντες, ὧν οὐδὲ τὴν
ἐπὶ τὰ ἀμείνω τροπὴν ἐπαινετέον· φορᾷ γὰρ ἀλλ᾽
οὐ γνώμῃ γίνεται. Τούτων καὶ ὁ Λὼτ ἐστι θεα- 411
τὴς, ὅν φησιν οἴχεσθαι μετὰ τοῦ σοφίας ἐραστοῦ. P.
Καλὸν δὲ ἦν ἀρξάμενον ἐκείνῳ παρακολουθεῖν ἀπο-
μαθεῖν ἀμαθίαν, καὶ μηκέτι παλινδρομῆσαι πρὸς
αὐτήν. Ἀλλὰ γὰρ οὐχ ἕνεκα τοῦ μιμησάμενον τὸν
ἀμείνω βελτιωθῆναι συνέρχεται, ἀλλ᾽ ὑπὲρ τοῦ καὶ
ἐκείνῳ παρασχεῖν ἀντισπάσματα καὶ μεθολκὰς, καὶ
κατάγειν ἔνθεν ὄλισθος. Τεκμήριον δὲ, ὁ μὲν ὑπὸ
τὴν ἀρχαίαν ὑποτροπιάσας νόσον οἰχήσεται, ληφθεὶς
αἰχμάλωτος ὑπὸ τῶν ἐν ψυχῇ πολεμίων· ὁ δὲ τὰς
ἐξ ἐνέδρας ἐπιβουλὰς αὐτοῦ φυλαξάμενος πάσῃ μη-
χανῇ διοικισθήσεται. Τὸν δὲ διοικισμὸν αὖθις μὲν,
οὔπω δὲ ποιήσεται. Νῦν μὲν γὰρ τὰ θεωρήματα
αὐτῷ, ὡς ἂν ἄρτι ἀρχομένῳ τῆς θείας θεωρίας,
πλαδᾷ καὶ σαλεύει· ὅταν δὲ ἤδη παγέντα κραταιό-
τερον ἱδρυθῇ, δυνήσεται τὸ δελεάζον καὶ κολακεῦον
ὡς ἐχθρὸν ἀκατάλλακτον καὶ δυςθήρατον φύσει δια-
ζεῦξαι. Τοῦτο γὰρ ἐσθ᾽ ὃ δυςαπότριπτον ὂν παρέ-
πεται ψυχῇ, κωλύον αὐτὴν πρὸς ἀρετὴν ὠκυδρο-
μεῖν. Τοῦθ᾽, ἡνίκα καὶ τὴν Αἴγυπτον ἀπολείπομεν
τὴν σωματικὴν χώραν ἅπασαν, ἀπομαθεῖν τὰ πάθη
σπουδάσαντες κατὰ τοὺς προφήτου λόγους Μωϋ-
σέως καὶ ὑφηγήσεις, ἠκολούθησεν ἡμῖν, ἐλλαμβανό-
μενον τῆς περὶ τὴν ἔξοδον σπουδῆς, καὶ τῷ τάχει
τῆς ἀπολείψεως ὑπὸ φθόνου βραδυτῆτας ἐμποιοῦν.
Λέγεται γὰρ ὅτι "Καὶ ἐπίμικτος πολὺς συνανέβη
αὐτοῖς, καὶ πρόβατα καὶ βόες, καὶ κτήνη πολλὰ
σφόδρα" *). Ὁ δὲ ἐπίμικτος οὗτος ἦν τὰ κτηνώ-
δη καὶ ἄλογα τῆς ψυχῆς εἰ δεῖ τἀληθὲς εἰπεῖν
δόγματα.

---

*) Exod. 12, 38.

§. 28. Παγκάλως δὲ καὶ εὐθυβόλως τὴν τοῦ φαύλου ψυχὴν ἐπίμικτον καλεῖ· συνηρημένη γὰρ καὶ συμπεφορημένη καὶ μιγὰς ὄντως ἐκ πλειόνων καὶ μαχομένων δοξῶν, μία μὲν οὖσα ἀριθμῷ, μυριὰς δέ τῷ πολυτρόπῳ. Διὸ καὶ τῷ ἐπίμικτος πρόςκειται πολύς· ὁ μὲν γὰρ πρὸς ἓν μόνον ἀφορῶν ἁπλοῦς
460 καὶ ἀμιγὴς καὶ λεῖος ὄντως· ὁ δὲ πολλὰ τέλη τοῦ
M. βίου προτιθέμενος πολὺς καὶ μιγὰς καὶ δασὺς ἀληθείᾳ.
Οὗ χάριν οἱ χρησμοὶ τὸν μὲν ἀσκητὴν τῶν καλῶν Ἰακὼβ, λεῖον, τὸν δὲ τῶν αἰσχίστων Ἡσαῦ, δασὺν εἰςάγουσι. Διὰ τὸν ἐπίμικτον καὶ δασὺν τοῦτον ὄχλον ἐκ μιγάδων καὶ συγκλύδων συμπεφυρμένον δοξῶν, ὠκυδρομῆσαι δυνάμενος ὁ νοῦς ὅτε τὴν σωματικὴν χώραν ἀπεδίδρασκεν Αἴγυπτον, καὶ τρισὶν ἡμέραις διαδέξασθαι τὸν ἀρετῆς κλῆρον, φωτὶ τρισσῷ, μνήμῃ τῶν παρεληλυθότων, καὶ ἐνεργείᾳ τῶν παρόντων, καὶ τῇ τῶν μελλόντων ἐλπίδι, τεσσαράκοντα ἐτῶν ἀριθμὸν, μῆκος τοσούτου χρόνου, 412
τρίβεται, τὴν ἐν κύκλῳ περιάγων καὶ ἀλώμενος ἕνεκα P.
τοῦ πολυτρόπου, τὴν ἐπ' εὐθείας ἀνυσιμωτάτην οὖσαν δέον. Οὗτός ἐστιν ὁ μὴ μόνον ὀλίγοις εἴδεσιν ἐπιθυμίας χαίρων, ἀλλὰ μηδὲν τὸ παράπαν ἀπολιπεῖν δικαιῶν, ἵνα ὅλον δι' ὅλων τὸ γένος, ᾧ πᾶν εἶδος ἐκφέρεται, μετέρχηται. Λέγεται γὰρ ὅτι "ὁ ἐπίμικτος ὁ ἐν αὐτοῖς ἐπεθύμησεν ἐπιθυμίας" *), αὐτοῦ τοῦ γένους, οὐχ ἑνός τινος τῶν εἰδῶν, "καὶ καθίσαντες ἔκλαιον." Συνίησι γὰρ ὀλιγοδρανοῦσα ἡ διάνοια, καὶ ὁπότε μὴ δύναται τυχεῖν ὧν ὀρέγεται δακρύει καὶ στενάζει. Καὶ τοι ὤφειλε χαίρειν παθῶν καὶ νοσημάτων ἀτυχοῦσα, καὶ μεγάλην εὐπραγίαν νομίζειν τὴν ἔνδειαν καὶ ἀπουσίαν αὐτῶν. Ἀλλὰ γὰρ καὶ τοῖς χορευταῖς ἀρετῆς σφαδάζειν καὶ δακρύειν ἔθος, ἢ τὰς τῶν ἀφρόνων ὀδυρομένοις συμφορὰς, διὰ τὸ φύσει κοινωνικὸν καὶ φιλάνθρωπον,

*) Num. 11, 4.

ἢ διὰ περιχάρειαν. Γίνεται δὲ αὕτη, ὅταν ἀθρόα
ἀγαθὰ μηδὲ προςδοκηθέντα ποτὲ αἰφνίδιον ὀμβρή-
σαντα πλημμυρῇ· ἀφ᾽ οὗ καὶ τὸ ποιητικὸν εἰρῆσθαί
μοι δοκεῖ

Δακρυόεν γελάσασα.

Προςπεσοῦσα γὰρ ἐκ τοῦ ἀνελπίστου ἡ εὐπαθειῶν
ἀρίστη χαρὰ ψυχῇ, μείζονα αὐτὴν ἢ πρότερον ἦν
ἐποίησεν, ὡς διὰ τὸν ὄγκον μηκέτι χωρεῖν τὸ σῶμα·
θλιβόμενον δὲ καὶ πιεζόμενον ἀποστάζει λιβάδας, ἃς
καλεῖν ἔθος δάκρυα, περὶ ὧν ἐν ὕμνοις εἴρηται,
"Ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων" *), καὶ, "Ἐγένετό
μοι τὰ δάκρυά μου ἄρτος ἡμέρας καὶ νυκτός" **).
Τροφὴ γάρ ἐστι διανοίας τὰ τοῦ ἐνδιαθέτου καὶ
σπουδαίου γέλωτος ἐμφανῆ δάκρυα, ἐπειδὰν ὁ θεῖος
ἐντακεὶς ἵμερος τὸν τοῦ γεννητοῦ θρῆνον ᾆσμα εἰς
τὸν ἀγέννητον ὕμνον ποιήσειεν.

§. 29. Ἔνιοι μὲν οὖν τὸν μιγάδα καὶ δασὺν
τοῦτον ἀποῤῥίπτουσι καὶ διατειχίζουσιν ἀφ᾽ ἑαυτῶν,
461 τῷ θεοφιλεῖ μόνῳ γένει χαίροντες· ἔνιοι δὲ καὶ
M. πρὸς αὐτὸν ἑταιρίαν τίθενται, μεθοδεύειν τὸν ἑαυ-
τῶν βίον ἀξιοῦντες, καὶ μεθόριον ἀνθρωπίνων τε
καὶ θείων ἀρετῶν τιθέντες, ἵν᾽ ἑκατέρων ἐφάπτων-
ται καὶ τῶν ἀληθείᾳ καὶ τῶν δοκήσει. Τούτου τοῦ
δόγματος ὁ πολιτευόμενός ἐστι τρόπος, ὃν Ἰωσὴφ
ὀνομάζειν ἔθος, ᾧ συναπέρχονται μέλλοντι τὸν πα-
τέρα κηδεύειν, "πάντες οἱ παῖδες Φαραὼ, καὶ οἱ
πρεσβύτεροι τοῦ οἴκου αὐτοῦ, καὶ πάντες οἱ πρεσβύ-
τεροι τῆς Αἰγύπτου, καὶ πᾶσα ἡ πανοικία αὐτοῦ
Ἰωσὴφ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ πᾶσα ἡ οἰκία ἡ
πατρικὴ αὐτοῦ" ***). Ὁρᾷς ὅτι μέσος τῆς Φαραὼ
καὶ τῆς πατρικῆς οἰκίας ὁ πολιτικὸς οὗτος τάττεται,
ἵνα καὶ τῶν κατὰ σῶμα, τὴν Αἴγυπτον, καὶ τῶν
κατὰ ψυχὴν, ἃ πάντα ἐν τῷ πατρικῷ οἴκῳ θησαυ- P.
ροφυλακεῖται, κατ᾽ ἴσον ἐφῆται. Ὅταν μὲν γὰρ 413

*) Psalm. 80, 5. **) Psalm. 42, 3. ***) Gen. 50, 7.

λέγῃ, "τοῦ θεοῦ εἰμί" *), καὶ τὰ ἄλλα ὅσα συγγενῆ τούτῳ, τοῖς πατρῴας οἰκίας ἐμμένει νομίμοις· ὅταν δὲ ἐπὶ "τὸ δευτερεῖον ἅρμα" τοῦ βασιλεύειν νοῦ δοκοῦντος ἀνέρχηται, Φαραὼ, τὸν Αἰγυπτιακὸν πάλιν ἱδρύεται τῦφον. Ἀθλιώτερος δὲ ὁ νομιζόμενος ἐνδοξότερος εἶναι βασιλεὺς, ὃς τῷ προηγουμένῳ τῶν ἁρμάτων ἐποχεῖται. Τὸ γὰρ μὴ ἐν καλοῖς διαπρέπειν ἐπιφανέστατον αἶσχος, ὡς τὸ φέρεσθαι τὰ ἐν τούτοις δευτερεῖα κουφότερον κακόν. Τὸ μέντοι γε ἐπαμφοτερίζον αὐτοῦ καταμάθοις ἂν καὶ ἐκ τῶν ὅρκων οὓς πεποίηται, τότε μὲν ὀμνὺς "νὴ τὴν ὑγείαν Φαραὼ" **), τότε δὲ ἔμπαλιν οὐ τὴν ὑγείαν Φαραώ. Ἀλλ' ὁ μὲν περιέχων τὴν ἀπόφασιν ὅρκος, τῆς πατρικῆς ἂν εἴη διάταγμα οἰκίας ἀεὶ φονώσης κατὰ τοῦ πάθους, καὶ βουλομένης αὐτὸ τεθνάναι· ὁ δὲ ἕτερος Αἰγύπτου, ᾗ φίλον ἐστὶ τοῦτο σώζεσθαι. Διόπερ καίτοι τοσαύτης πληθύος συνανιούσης ἐπίμικτον ὄχλον οὐκ εἶπεν, ἐπειδὴ τῷ μὲν ἄκρως ὁρατικῷ καὶ φιλαρέτῳ πᾶν ὃ μὴ ἀρετὴ ἢ ἀρετῆς ἔργον ἀναμεμίχθαι καὶ συγκεχύσθαι δοκεῖ· τῷ δ' ἔτι χαμαιζήλῳ, καθ' αὑτὰ τὰ γῆς ἆθλα ἀξιέραστα καὶ ἀξιοτίμητα νενόμισται.

§. 30. Τὸν μὲν οὖν ὡς κηφῆνα τοὺς μὲν αὐτῷ ὠφελίμους πόνους λυμαίνεσθαι διεγνωκότα, καὶ διὰ τοῦτο ἐπακολουθοῦντα διατειχιεῖ, καθάπερ ἔφην, ὁ φρονήσεως ἐραστής· τοὺς δὲ ἕνεκα μιμήσεως παρεπομένους κατὰ τὸν τῶν καλῶν ζῆλον ἀποδέξεται, μοίρας αὐτοῖς ἁρμοττούσας δασάμενος. "Τῶν γὰρ", φησὶ, "συμπορευθέντων ἀνδρῶν μετ' ἐμοῦ Ἔσχωλ, Αὔναν, Μαμβρῆ, οὗτοι λήψονται μερίδα" ***)· λέγει δὲ τοὺς εὐφυεῖς τρόπους καὶ φιλοθεάμονας. Ὁ μὲν γὰρ Ἔσχωλ εὐφυΐας σύμβολον πυρὸς ἔχον
462 ὄνομα, ἐπειδὴ καὶ τὸ εὐφυὲς εὔτολμον καὶ ἔνθερ-
M. μον, καὶ ἐχόμενον ὧν ἂν προσάψηται. Ὁ δὲ Αὔναν

*) Gen. 50, 19. **) Gen. 42, 16. ***) Gen. 14, 24.

τοῦ φιλοθεάμονος· ὀφθαλμοὶ γὰρ ἑρμηνεύεται, τῷ καὶ τὰ ψυχῆς ὑπ' εὐθυμίας ὄμματα διοίγνυσθαι. Τούτων δ' ἀμφοτέρων ἐστὶν ὁ θεωρητικὸς βίος κλῆρος, προςαγορευόμενος Μαμβρῆ, ὃ μεταληφθὲν ἀπὸ ὁράσεως καλεῖται· τῷ δὲ θεωρητικῷ τὸ ὁρᾶν συνῳδόν τε καὶ οἰκειότατον. Ἐπειδὰν δὲ τούτοις ἀλείπταις χρησάμενος ὁ νοῦς μηδὲν ἐλλείπῃ τῶν πρὸς ἄσκησιν, συνομαρτεῖ καὶ συντρέχει τελείᾳ φρονήσει, μήθ' ὑπερέχων, μήθ' ὑπερεχόμενος, ἀλλὰ ἰσαίτατα καὶ ἰσοστάσια βαίνων. Δηλοῖ δὲ τὸ λόγιον ἐν ᾧ σαφῶς εἴρηται, διότι "πορευθέντες ἀμφότεροι ἀνῆλθον ἐπὶ τὸν τόπον ὃν εἶπεν ὁ θεός" *), ὑπερβάλλουσά τε ἰσότης ἀρετῶν, ἁμίλλης ἀμείνων, πόνου μὲν πρὸς εὐεξίαν, τέχνης δὲ πρὸς τὴν αὐτοδίδακτον 414 P.
φύσιν, καὶ δυνηθέντων ἴσα τὰ ἆθλα τῆς ἀρετῆς ἐνέγκασθαι. Ὥςπερ ἂν εἰ ζωγραφία καὶ πλαστικὴ μὴ μόνον ὡς νῦν ἀκίνητα καὶ ἄψυχα ἐδημιούργουν, ἴσχυον δὲ κινούμενά τε καὶ ἔμψυχα τὰ γραφόμενα καὶ πλαττόμενα ποιεῖν. Ἐδόκουν γὰρ ἂν φύσεως ἔργων οὖσαι τὸ πάλαι μιμητικαὶ τέχναι φύσεις αὖται γεγενῆσθαι τὰ νῦν.

§. 31. Ὁ δὲ ἐπὶ τοσοῦτον ἄνω μετέωρος ἐξαρθεὶς οὐδὲν ἔτι τῶν τῆς ψυχῆς μερῶν κάτω τοῖς θνητοῖς ἐνδιατρίβειν ἐάσει, πάντα δὲ ὥςπερ ἐκ σειρᾶς ἐκκρεμασθέντα συνεπισπάσεται. Διὸ καὶ λόγιον ἐχρήσθη τῷ σοφῷ τοιόνδε. "Ἀνάβηθι πρὸς κύριόν σου, σὺ καὶ Ἀαρὼν, καὶ Ναδὰβ, καὶ Ἀβιοὺδ, καὶ ἑβδομήκοντα τῆς γερουσίας Ἰσραήλ" **). Τοῦτο δέ ἐστι τοιοῦτον· ἀνάβηθι, ὦ ψυχὴ, πρὸς τὴν τοῦ ὄντος θέαν, εὐαρμόστως, λογικῶς, ἑκουσίως, ἀφόβως, ἀγαπητικῶς, ἐν ἀριθμοῖς ἁγίοις καὶ τελείοις ἑβδομάδος δεκαπλασιασθείσης. Ἀαρὼν μὲν γὰρ προφήτης λέγεται Μωϋσέως ἐν τοῖς νόμοις, ὁ γεγωνὼς λόγος προφητεύων διανοίᾳ· Ναδὰβ δὲ ἑκούσιος ἑρμη-

*) Gen. 22, 3. **) Exod. 24, 1.

νεύεται ὁ μὴ ἀνάγκῃ τιμῶν τὸ θεῖον· καὶ Ἀβιοὺδ
πατήρ μου· οὗτος ὁ μὴ δι' ἀφροσύνην δεσπότου
μᾶλλον ἢ πατρὸς διὰ φρόνησιν, ἄρχοντος θεοῦ
δεόμενος. Αἵδ' εἰσὶν αἱ τοῦ βασιλεύειν ἀξίου νοῦ
δορυφόροι δυνάμεις, ἃς συνέρχεσθαι τῷ βασιλεῖ
παραπεμπούσας αὐτὸν θέμις. Ἀλλὰ γὰρ δέος ἐστὶν
ἀναβαίνειν πρὸς τὴν τοῦ ὄντος θέαν ψυχῇ δι' ἑαυ-
τῆς, ἀγνοούσῃ τὴν ὁδὸν, ὑπὸ ἀμαθίας ἅμα καὶ τόλ-
μης ἐπαρθείσῃ· μεγάλα δὲ τὰ ἐξ ἀνεπιστημοσύνης
καὶ πολλοῦ θράσους παραπτώματα. Διόπερ εὔχε-
ται Μωϋσῆς αὐτῷ τῷ θεῷ χρῆσθαι ἡγεμόνι πρὸς
463 τὴν πρὸς αὐτὸν ἄγουσαν ὁδόν. Λέγει γὰρ, "Εἰ
M. μὴ αὐτὸς σὺ συμπορεύσῃ, μή με ἀγάγῃς ἐντεῦθεν" *).
Διότι πᾶσα κίνησις ἡ ἄνευ θείας ἐπιφροσύνης ἐπι-
ζήμιος, καὶ ἄμεινον ἐνταυθοῖ καταμένειν τὸν θνητὸν
βίον ἀλητεύοντας, ὡς τὸ πλεῖστον ἀνθρώπων γένος,
ἢ πρὸς τὸν οὐρανὸν ἐξάραντας ἑαυτοὺς ὑπὸ ἀλαζο-
νείας ἀνατραπῆναι· καθάπερ μυρίοις συνέβη τῶν
σοφιστῶν, οἵ τινες ᾠήθησαν σοφίαν πιθανῶν εἶναι
λόγων εὕρεσιν, ἀλλ' οὐ πραγμάτων ἀληθεστάτην πί-
στιν. Ἴσως δὲ καὶ τοιοῦτό τι δηλοῦται· μή με ἄνω
μετέωρον ἐξάρῃς, πλοῦτον, ἢ δόξαν, ἢ τιμὰς, ἢ
ἀρχὰς, ἢ ὅσα ἄλλα τῶν ἐν τοῖς λεγομένοις ἀγαθοῖς
δωρησάμενος, εἰ μὴ μέλλοις αὐτὸς συνέρχεσθαι.
Ταῦτα γὰρ καὶ ζημίας καὶ ὠφελείας μεγίστης πολ-
λάκις περιποιητικὰ τοῖς ἔχουσιν· ὠφελείας μὲν, ὅταν
ἀφηγῆται τῆς γνώμης ὁ θεός· βλάβης δὲ, ὅταν τὸ 415
ἐναντίον. Μυρίοις γὰρ τὰ λεγόμενα ἀγαθὰ πρὸς P.
ἀλήθειαν οὐκ ὄντα κακῶν ἀνηκέστων γέγονεν αἴτια·
ὁ δὲ ἑπόμενος θεῷ κατὰ ἀναγκαῖον συνοδοιπόροις
χρῆται τοῖς ἀκολούθοις αὐτοῦ λόγοις, οὓς ὀνομάζειν
ἔθος ἀγγέλους. Λέγεται γοῦν ὅτι "Ἀβραὰμ συνε-
πορεύετο συμπροπέμπων αὐτούς" **). Ὢ παγκάλης
ἐπανισώσεως, καθ' ἣν ὁ παραπέμπων παρεπέμπετο,

*) Exod. 33, 15. **) Gen. 18, 16.

διδοὺς ὃ ἐλάμβανεν, οὐκ ἀνθ' ἑτέρου ἕτερον, ἀλλὰ
ἓν αὐτὸ μόνον ἐκεῖνο τὸ πρὸς τὰς ἀντιδόσεις ἕτοι-
μον. Ἕως μὲν γὰρ οὐ τετελείωται, ἡγεμόνι τῆς ὁδοῦ
χρῆται λόγῳ θείῳ· χρησμὸς γάρ ἐστιν, "Ἰδοὺ ἀπο-
στέλλω τὸν ἄγγελόν μου πρὸ προςώπου σου, ἵνα φυ-
λάξῃ σε ἐν τῇ ὁδῷ, ὅπως εἰςαγάγῃ σε εἰς τὴν γῆν
ἣν ἡτοίμασά σοι. Πρόςεχε αὐτῷ, καὶ εἰςάκουε αὐ-
τοῦ, μὴ ἀπείθει αὐτῷ· οὐ γὰρ μὴ ὑποστείληταί σε·
τὸ γὰρ ὄνομά μου ἐστὶν ἐπ' αὐτῷ" *). Ἐπειδὰν δὲ
πρὸς ἄκραν ἐπιστήμην ἀφίκηται, συντόνως ἐπιδρα-
μὼν ἰσοταχύσει τῷ πρόσθεν ἡγουμένῳ τῆς ὁδοῦ.
Ἀμφότεροι γὰρ οὕτως ὀπαδοὶ γενήσονται τοῦ πανη-
γεμόνος θεοῦ· μηδενὸς ἔτι τῶν ἑτεροδόξων παρακο-
λουθοῦντος, ἀλλὰ καὶ τοῦ Λὼτ, ὃς ἔκλινε τὴν
ψυχὴν ὀρθὴν καὶ ἀκαμπῆ φύεσθαι δυναμένην, διοι-
κισθέντος.

§. 32. "Ἀβραὰμ δὲ ἦν," φησὶν, ἐτῶν ἑβδομή-
κοντα πέντε, ὅτε ἐξῆλθεν ἐκ Χαῤῥάν." Περὶ μὲν
οὖν τοῦ τῶν πέντε καὶ ἑβδομήκοντα ἐτῶν ἀριθμοῦ
— λόγον γὰρ ἔχει συνῳδὸν τοῖς πρόσθεν εἰρημένοις —
αὖθις ἀκριβώσομεν. Τίς δέ ἐστι Χαῤῥὰν, καὶ τίς
ἡ ἐκ ταύτης ἀποικία τῆς χώρας, πρότερον ἐρευνή-
σωμεν. Οὐδένα τοίνυν τῶν ἐντετυχηκότων τοῖς νό-
μοις ἀγνοεῖν εἰκὸς, ὅτι πρότερον μὲν ἐκ τῆς Χαλ-
δαϊκῆς ἀναστὰς γῆς Ἀβραὰμ ᾤκησεν εἰς Χαῤῥάν·
464 τελευτήσαντος δὲ αὐτῷ τοῦ πατρὸς ἐκεῖθε καὶ ἐκ
M. ταύτης μετανίσταται, ὡς δυοῖν ἤδη τόπων ἀπό-
λειψιν πεποιῆσθαι. Τί οὖν λεκτέον; Χαλδαῖοι τῶν
ἄλλων ἀνθρώπων ἐκπεπονηκέναι διαφερόντως δοκοῦ-
σιν ἀστρονομίαν καὶ γενεθλιαλογικὴν, τὰ ἐπίγεια τοῖς
μετεώροις, καὶ τὰ οὐράνια τοῖς ἐπὶ γῆς ἁρμοζόμε-
νοι, καὶ ὥςπερ διὰ μουσικῆς λόγων τὴν ἐμμελεστά-
την συμφωνίαν τοῦ παντὸς ἐπιδεικνύμενοι, τῇ τῶν
μερῶν πρὸς ἄλληλα κοινωνίᾳ καὶ συμπαθείᾳ, τόποις

*) Exod. 23, 20 sq.

μὲν διεζευγμένων, συγγενείᾳ δὲ οὐ διῳκισμένων. τοι τὸν φαινόμενον τοῦτον κόσμον ἐν τοῖς ὑπετόπησαν εἶναι μόνον, ἢ θεὸν ὄντα αὐτὸν, αὐτῷ θεὸν περιέχοντα τὴν τῶν ὅλων ψυχήν. μαρμένην δὲ καὶ ἀνάγκην θεοπλαστήσαντες ἀσ πολλῆς κατέπλησαν τὸν ἀνθρώπινον βίον, ἀνα ξαντες ὡς δίχα τῶν φαινομένων οὐδενός ἐστι δὲν αἴτιον τὸ παράπαν, ἀλλ' ἡλίου καὶ σελήν καὶ τῶν ἄλλων ἀστέρων αἱ περίοδοι τά τε ἀ καὶ τὰ ἐναντία ἑκάστῳ τῶν ὄντων ἀπονέμουσι. Μ σῆς μέντοι τῇ μὲν ἐν τοῖς μέρεσι κοινωνίᾳ καὶ παθείᾳ τοῦ παντὸς ἔοικε συνεπιγράφεσθαι, ἕνα γεννητὸν ἀποφηνάμενος τὸν κόσμον εἶναι, — γ μένου γὰρ καὶ ἑνὸς ὑπάρχοντος, εὔλογον τὰ στοιχειώδεις οὐσίας ὑποβεβλῆσθαι τοῖς ἀποτελο νοις τὰς αὐτὰς ἅπασι κατὰ μέρη, καθάπερ ἐπὶ μάτων συμβέβηκε τῶν ἡνωμένων ἀλληλουχεῖν, τῇ δὲ περὶ θεοῦ δόξῃ διαφέρεσθαι, μήτε γὰρ κόσμον, μήτε τὴν τοῦ κόσμου ψυχὴν τὸν πρ εἶναι θεὸν, μηδὲ τοὺς ἀστέρας ἢ τὰς χορείας αὐ τὰ πρεσβύτατα τῶν ἐν τῶν ἀνθρώποις συμβαιν των αἴτια· ἀλλὰ συνέχεσθαι μὲν τόδε τὸ πᾶν ἀ τοις δυνάμεσιν, ἃς ἀπὸ γῆς ἐσχάτων ἄχρις οὐρα περάτων ὁ δημιουργὸς ἀπέτεινε, τοῦ ... ἀ... θ τὰ δεθέντα καλῶς προμηθούμενος. Δεσμοὶ γὰρ δυνάμεις τοῦ παντὸς ἄῤῥηκτοι. Διὸ καὶ ἐὰν τῆς νομοθεσίας λέγηται, "Ὁ θεὸς ἐν τῷ οὐρα ἄνω, καὶ ἐπὶ τῆς γῆς κάτω" *), μηδεὶς ὑποτο σάτω αὐτὸν κατὰ τὸ εἶναι λέγεσθαι, — τὸ γὰρ περιέχειν ἀλλ' οὐ περιέχεσθαι θέμις, — δύνα δὲ αὐτοῦ, καθ' ἣν ἔθηκε καὶ διετάξατο καὶ διεκ μησε τὰ ὅλα. Αὕτη δὲ κυρίως ἐστὶν ἀγαθότ φθόνον μὲν τὸν μισάρετον καὶ μισόκαλον ἀπελη κυῖα ἀφ' ἑαυτῆς, χάριτας δὲ γεννῶσα αἷς τὰ

*) Jos. 2, 11.

ρα εἰς γένεσιν, ἄγουσα ἀνέφηνεν. Ἐπεὶ τά γε ἂν
ντασιαζόμενον δόξῃ πανταχοῦ, πρὸς ἀλήθειαν δὲ
δαμοῦ φαίνεται, ὡς ἀψευδέστατον ἐκεῖνον εἶναι τὸν
χρησμὸν, ἐν ᾧ λέγεται, "Ὧδε ἐγὼ," ἄδεικτος ὡς
δεικνύμενος, ἀόρατος ὡς ἂν ὁρατὸς ὢν — "πρὸ
σε" *). Πρὸ γὰρ τοῦ παντὸς γεννητοῦ ἔξω
ένων ἐκείνου, καὶ μηδενὶ τῶν μετ' αὐτὸν ἐμφε-
μενος.

§. 33. Τούτων λεγομένων ἐπὶ τῇ τῆς Χαλδαϊ-
ς δόξης ἀνατροπῇ, τοὺς ἔτι τὴν γνώμην χαλδαΐ-
ντας μετακλίνειν καὶ μετακαλεῖν οἴεται δεῖν ἐπὶ τὴν
ήθειαν τῆς διδασκαλίας, ἀρξάμενος ὧδε. Τί, φη-
ν, ὦ θαυμάσιοι, τοσοῦτον αἰφνίδιον ἀρθέντες ἀπὸ
ῆς εἰς ὕψος ἐπινήχεσθε, καὶ τὸν ἀέρα ὑπερκύψαν-
ς αἰθεροβατεῖτε, ὡς ἡλίου κινήσεις καὶ σελήνης
ριόδους καὶ τῶν λοιπῶν ἀστέρων τὰς ἐμμελεῖς καὶ
οιδίμους ἀκριβοῦν χορείας; Ταῦτα γὰρ μείζονα ἢ
ατὰ τὰς ὑμετέρας ἐστὶν ἐπινοίας, ἅτε εὐδαιμονεστέ-
ας καὶ θειοτέρας μοίρας λαχόντα. Κατάβητε οὖν
π' οὐρανοῦ, καὶ καταβάντες μὴ πάλιν γῆν καὶ θά-
ατταν καὶ ποταμοὺς καὶ φυτῶν καὶ ζώων ἰδέας ἐξε-
άζετε, μόνους δὲ ἑαυτοὺς καὶ τὴν ἑαυτῶν φύσιν
ρευνᾶτε, μὴ ἑτέρωθι μᾶλλον οἰκήσαντες ἢ παρ'
αυτοῖς. Διαθεώμενοι γὰρ τὰ κατὰ τὸν ἴδιον οἶ- 417
..., τὸ δεσπόζον ἐν αὐτῷ, τὸ ὑπήκοον, τὸ ἔμψυ- P.
χον, τὸ ἄψυχον, τὸ λογικὸν, τὸ ἄλογον, τὸ ἀθά-
ατον, τὸ θνητὸν, τὸ ἄμεινον, τὸ χεῖρον, εὐθὺς
πιστήμην θεοῦ καὶ τῶν ἔργων αὐτοῦ σαφῆ λήψε-
σθε. Λογιεῖσθε γὰρ, ὅτι ὡς ἐν ὑμῖν ἐστι νοῦς καὶ
τῷ παντί ἐστι· καὶ ὡς ὁ ὑμέτερος ἀρχὴν καὶ δεσπο-
τείαν τῶν περὶ ὑμᾶς ἀναψάμενος ἕκαστον τῶν με-
ρῶν ὑπήκοον ἀπέφηνεν ἑαυτῷ· οὕτω καὶ ὁ τοῦ
παντὸς τὴν ἡγεμονίαν περιβεβλημένος αὐτοκράτορι
νόμῳ καὶ δίκῃ τὸν κόσμον ἡνιοχεῖ, προμηθούμενος

*) Exod. 17, 6.

[illegible] αὐτὸ μόνον, ἀλλὰ καὶ τῶν [illegible].

§. 34. [illegible] οὖν ἀπὸ τῆς κατ' οὐρα- [illegible] ὥσπερ εἶπον, [illegible], τὴν μὲν Χαλδαίων γῆν, δόξαν, καταλιπόντες, μετοική- [illegible] εἰς Χαῤῥάν, τὸ τῆς αἰσθήσεως χωρίον, [illegible] διανοίας οἶκος. Χαῤῥὰν γὰρ [illegible] τρώγλη, τρώγλαι δὲ σύμβολα αἰσθήσεων [illegible]. Ὥσπερ γὰρ καὶ φωλεοὺς τρόπον τινὰ ὀφθαλμοὺς [illegible], ἀκοῆς δὲ ὦτα, ῥῖνας δὲ [illegible] καὶ γεύσεως φάρυγγα, καὶ πᾶσαν τὴν σώ- [illegible] ἁφῆς εἶναι συμβέβηκε. Τούτοις [illegible] ἐγχειρήματα καὶ σχολάσαντες [illegible] φύσιν ὡς ἔνι μάλιστα ἀκριβώσαντες [illegible] καὶ χώρον καταμαθόντες [illegible]. Ἐπειδὰν μέν- [illegible] ἀκριβῶς πάντα τὸν ἴδιον διασκέψησθε [illegible] αὐτοῦ τῶν μερῶν [illegible] αὐτοὺς τὴν ἐνθένδε μετοί- [illegible], ἀλλ' ἀθανασίαν καταγγέλ- [illegible] καὶ ἐν τοῖς σωματικοῖς καὶ [illegible] φωλεοῖς κατοίκησαι, [illegible] — ἀναχωρήσεις γὰρ [illegible] καὶ τῶν ἄλλων ὅσα [illegible]

καὶ τὰ ὦτα ἐπιφράττουσι, καὶ τὰς τῶν ἄλλων ἐπέχουσιν ὁρμὰς, καὶ ἐν ἐρημίᾳ καὶ σκότῳ διατρίβειν ἀξιοῦσιν, ὡς μὴ πρός τινος αἰσθητοῦ τὸ τῆς 418 P.
ψυχῆς ὄμμα ᾧ νοητὰ βλέπειν ἔδωκεν ὁ θεὸς ἐπισκιασθῇ.

§. 35. Τοῦτον μέντοι τὸν τρόπον μαθόντες ἀπόλειψιν τοῦ θνητοῦ χρηματίζειν, καὶ τὰς περὶ τοῦ ἀγεννήτου παιδευθήσεσθε δόξας· εἰ μὴ νομίζετε, τὸν μὲν ἡμέτερον νοῦν ἀποδυσάμενον σῶμα, αἴσθησιν, λόγον, δίχα τούτων γυμνὸν δύνασθαι τὰ ὄντα ὁρᾶν, τὸν δὲ τῶν ὅλων νοῦν τὸν θεὸν οὐκ ἔξω τῆς ὑλικῆς φύσεως πάσης ἑστάναι, περιέχοντα οὐ περιεχόμενον, καὶ οὐκ ἐπινοίᾳ μόνον ἐπεξεληλυθέναι ὥσπερ ἄνθρωπον, ἀλλὰ καὶ τῷ οὐσιώδει, οἷα ἁρμόττει θεόν. Ὁ μὲν γὰρ ἡμέτερος νοῦς οὐ δεδημιούργηκε τὸ σῶμα, ἀλλ' ἔστιν ἔργον ἑτέρου· διὸ καὶ περιέχεται ὡς ἐν ἀγγείῳ τῷ σώματι. Ὁ δὲ τῶν ὅλων νοῦς τὸ πᾶν γεγέννηκε· τὸ πεποιηκὸς δὲ τοῦ γενομένου κρεῖττον. Ὥστ' οὐκ ἂν ἐμφέροιτο τῷ χείρονι, δίχα τοῦ μηδὲ ἁρμόττειν πατέρα ἐν υἱῷ περιέχεσθαι, υἱὸν δὲ ταῖς τοῦ πατρὸς ἐπιμελείαις συναύξεσθαι. Οὕτω κατὰ βραχὺ μεταβαίνων ὁ νοῦς, ἐπὶ τὸν εὐσεβείας καὶ ὁσιότητος ἀφίξεται πατέρα, γενεθλιαλογικῆς ἀποστὰς τὸ πρῶτον, ἥτις παρέπεισεν αὐτὸν [illegible] τὸν κόσμον θεὸν τὸν πρῶτον εἶναι, [illegible] πρώτου θεοῦ δημιούργημα, καὶ τὰς [illegible] φο[illegible] καὶ κ[illegible] αἰτίας ἀνθρώπος [illegible]

τέρα τῶν ὅλων κατανοῆσαι, μαθὼν ἀκριβῶς ἑαυτὸν, εἴσεται τάχα που καὶ θεόν· οὐκ ἔτι μένων ἐν Χαῤῥὰν, τῆς αἰσθήσεως ὀργάνοις, ἀλλ᾽ εἰς ἑαυτὸν ἐπιστρέφων. Ἀμήχανον γὰρ ἔτι κινούμενον αἰσθητῶς μᾶλλον ἢ νοητῶς πρὸς τὴν τοῦ ὄντος ἐλθεῖν ἐπίσκεψιν.

§. 36. Οὗ χάριν καὶ ὁ ταχθεὶς τὴν ἀρίστην τάξιν παρὰ θεῷ τρόπος, ὄνομα Σαμουὴλ, οὐχ ὑφηγεῖται τὰ τῆς βασιλείας δίκαια τῷ Σαοὺλ, οὐδ᾽ ἔτι διατρίβοντι ἐν τοῖς σκεύεσιν, ἀλλ᾽ ἐπειδὰν ἐκεῖθεν αὐτὸν ἐξελκύσῃ. Πυνθάνεται μὲν γὰρ εἰ ἔτι ἔρχεται ἐνθάδε ὁ ἀνὴρ, ἀποκρίνεται δὲ τὸ λόγιον, "Ἰδοὺ αὐτὸς κέκρυπται ἐν τοῖς σκεύεσι" *). Τί οὖν προσήκει τὸν ἀκούσαντα, φύσει παιδευτικὸν ὄντα, ποιῆσαι, ὅτι μὴ μετὰ σπουδῆς αὐτὸν ἐξελκύσαι; "Ἐπιδραμὼν γὰρ," φησὶ, "λαμβάνει αὐτὸν ἐκεῖθεν," διότι ὁ τοῖς ἀγγείοις τῆς ψυχῆς, σώματι καὶ αἰσθήσει,
διατρίβων, οὐκ ἦν ἀξιόχρεως ἀκοῦσαι τῶν τῆς 419
βασιλείας δογμάτων καὶ νόμων, — βασιλείαν δὲ σο- P.
φίαν εἶναι λέγομεν, ἐπεὶ καὶ τὸν σοφὸν βασιλέα, — μεταναστὰς δὲ, ἡνίκα τῆς ἀχλύος σκεδασθείσης ὀξυδορκήσειν ἔμελλεν. Εἰκότως οὖν καὶ τὴν αἰσθήσεως χώραν, ὄνομα Χαῤῥὰν, ἀπολιπεῖν οἴεται δεῖν ὁ ἐπιστήμης ἑταῖρος· ἀπολείπει δὲ ἐτῶν γεγονὼς πέντε καὶ ἑβδομήκοντα· ὁ δὲ ἀριθμὸς αὗτος, αἰσθητῆς καὶ νοητῆς, πρεσβυτέρας τε καὶ νεωτέρας, ἔτι δὲ φθαρτῆς καὶ ἀφθάρτου μεθόριος φύσεώς ἐστι. Νοητὸς μὲν γὰρ καὶ πρεσβύτερος καὶ ἄφθαρτος λόγος, ὁ τῶν ἑβδομήκοντα, αἰσθητὸς δὲ καὶ νεώτερος ὁ ταῖς πέντε ἰσάριθμος ὢν αἰσθήσεσι. Τούτῳ καὶ ὁ ἐπιγυμναζόμενος ἀσκητὴς ἐξετάζεται, μηδέπω δεδυνημένος ἐνέγκασθαι τὰ τέλεια τὰ νικητήρια. Λέγεται γὰρ ὅτι "Ἦσαν αἱ πᾶσαι ψυχαὶ ἐξ Ἰακὼβ πέντε καὶ ἑβδο-

---

*) 1 Sam. 10, 22.

μήκοντα" *). Τούτου γὰρ ἀθλοῦντος, καὶ τὸν ὑπὲρ κτήσεως ἀρετῆς ἱερὸν ὄντως ἀγῶνα μὴ διαφθείροντος, ψυχαὶ μὲν πρὸς σωμάτων γεννήματα, οὔπω δὲ κεκτημέναι τὸν λόγον ἀλλ' ἔτι τὸν αἰσθήσεως ὄχλον ἐφελκόμεναι. Παλαίοντος γὰρ καὶ κονιομένου καὶ πτερνίζοντος Ἰακὼβ ἐστιν ὄνομα, οὐ νενικηκότος. Ὅταν δὲ τὸν θεὸν ὁρᾷν ἱκανὸς εἶναι δόξας Ἰσραὴλ μετονομασθῇ, μόνῳ χρήσεται τῷ ἑβδομηκοστῷ λόγῳ,
468 τὴν πεντάδα τῶν αἰσθήσεων ἐκτεμών. Λέγεται
M. γὰρ ὅτι "Ἐν ἑβδομήκοντα ψυχαῖς κατέβησαν οἱ πατέρες σου εἰς Αἴγυπτον" **). Οὗτός ἐστιν ὁ ἀριθμὸς Μωϋσέως τοῦ σοφοῦ γνώριμος. Τοὺς γὰρ ἀριστίνδην ἐκ παντὸς τοῦ πλήθους ἐπιλελεγμένους ἑβδομήκοντα εἶναι συμβέβηκε, καὶ πρεσβυτέρους ἅπαντας, οὐχ ἡλικίαις, ἀλλὰ φρονήσει καὶ βουλαῖς, γνώμαις τε καὶ ἀρχαιοτρόποις ζηλώσεσιν. Οὗτος ὁ ἀριθμὸς ἱερουργεῖταί τε καὶ ἀποδίδοται θεῷ, ὅταν οἱ τέλειοι τῆς ψυχῆς συναναχθῶσι καρποί. Τῇ γὰρ τῶν σκηνῶν ἑορτῇ χωρὶς τῶν ἄλλων θυμάτων ἑβδομήκοντα μόσχους ἀνάγειν, θυσίαν ὁλόκαυστον, διείρηται. Κατὰ τὸν ἑβδομηκοστὸν λόγον καὶ αἱ τῶν ἀρχόντων φιάλαι κατασκευάζονται· ἑκάστη γὰρ ἑβδομήκοντα σικλῶν ἐστιν ὁλκῆς· ἐπειδὴ τὰ ἔνσπονδα καὶ συμβατήρια καὶ φίλα τῆς ψυχῆς, ὡς ἀληθῶς ὁλκὸν ἔχει δύναμιν, τὸν ἑβδομηκοστὸν καὶ ἅγιον λόγον, ὃν Αἴγυπτος, ἡ μισάρετος καὶ φιλοπαθὴς φύσις, πενθοῦσα εἰςάγεται, "Ἑβδομήκοντα γὰρ ἡμέρας καταριθμεῖται παρ' αὐτοῖς τὸ πένθος" ***).

§. 37. Οὗτος μὲν οὖν ὁ ἀριθμὸς, ὡς ἔφην, Μωϋσέως γνώριμος· ὁ δὲ τῶν πέντε αἰσθήσεων, τοῦ καὶ τὸ σῶμα καὶ τὰ ἐκτὸς ἀσπαζομένου, ὃν ἔθος καλεῖν Ἰωσήφ. Τοσαύτην γὰρ αὐτῶν ἐπιμέλειαν πεποίηται, ὥςτε τὸν μὲν ὁμογάστριον ἀδελφὸν, τὸν αἰσθήσεως ἔκγονον ὄντα — ἥκιστα γὰρ ὁμοπατρίους

*) Gen. 46, 27. **) Deut. 10, 22. ***) Gen. 50, 3.

οἶδε—"πέντε ἐξάλλοις δωρεῖται στολαῖς" *), δια- 420
πρεπεῖς ἡγούμενος τὰς αἰσθήσεις, καὶ κόσμου καὶ P.
τιμῆς ἀξίας. Ὅλῃ δὲ Αἰγύπτῳ καὶ νόμους ἀναγρά-
φει, ὅπως τιμῶσιν αὐτὰς, καὶ φόρους καὶ δασμοὺς
ὡς βασιλεῦσιν ἀνὰ πᾶν ἔτος κομίζωσι. Τὸν γὰρ σῖ-
τον ἀποπεμπτοῦν κελεύει **)· τόδε ἐστὶν, ὕλας καὶ
τροφὰς ἀφθόνους θησαυροφυλακεῖν ταῖς πέντε αἰ-
σθήσεσιν, ὅπως ἑκάστη τῶν οἰκείων ἀνεπισχέτως ἐμ-
πιπλαμένη τρυφᾷ, καὶ τὸν νοῦν τοῖς ἐπεισφορουμέ-
νοις βαρύνουσα βαπτίζῃ. Ταῖς γὰρ τῶν αἰσθήσεων
εὐωχίαις λιμὸν ἄγει διάνοια, ὡς ἔμπαλιν ταῖς νη-
στείαις εὐφροσύνας. Οὐχ ὁρᾷς ὅτι καὶ πέντε Σαλ-
παὰδ θυγατέρες, ἃς ἀλληγοροῦντες αἰσθήσεις εἶναί
φαμεν, ἐκ τοῦ δήμου Μανασσῆ γεγόνασιν, ὃς Ἰωσὴφ
υἱός ἐστι, χρόνῳ μὲν πρεσβύτερος ὢν, δυνάμει δὲ
νεώτερος; Εἰκότως. Καλεῖται γὰρ ἐκ λήθης, τόδε
ἰσοδυναμοῦν ἐστι πρᾶγμα αἰσθήσει. Ἀνάμνησις δὲ
τὰ δευτερεῖα φέρεται μνήμης, ἧς Ἐφραῒμ ἐπώνυμος
γέγονεν, ὃς καρποφορία μεταληφθεὶς προσαγορεύε-
ται. Καρπὸς δὲ κάλλιστος καὶ τροφιμώτατος ψυχῆς
τὸ ἄληστον ἐν μνήμαις. Λέγουσι γοῦν τὰ ἐναρμό-
νια ἑαυταῖς αἱ παρθένοι, "ὁ πατὴρ ἡμῶν ἀπέθανεν"
ὁ θάνατος ἀναμνήσεως ἐστι λήθη, — "καὶ ἀπέθα-
νεν οὐ δι' ἁμαρτίαν ἑαυτοῦ" ***)· παγκάλως. Οὐ
469 γὰρ ἑκούσιον ἡ λήθη πάθος, ἀλλ' ἕν τι τῶν οὐ
M. παρ' ἡμῖν, ἐπιγινόμενον ἔξωθεν· υἱοὶ δὲ οὐκ ἐγένοντο
αὐτῷ, ἀλλὰ θυγατέρες. Ἐπειδὴ τὸ μὲν μνημονικὸν
ἅτε φύσει διανιστάμενον ἀῤῥενογονεῖ, τὸ δὲ ἐπιλαν-
θανόμενον ὕπνῳ λογισμοῦ χρώμενον θηλυτοκεῖ· ἄλο-
γον γάρ. Ἀλόγου δὲ μέρους ψυχῆς αἰσθήσεις θυ-
γατέρες. Εἰ δέ τις τὸν μὲν τάχει παρέδραμε, Μωϋ-
σεῖ δὲ ἠκολούθησε, μήπω δυνηθεὶς ἰσόδρομος αὐτῷ
γενέσθαι, κεκραμένῳ καὶ μιγάδι ἀριθμῷ χρήσεται,
τῷ πέμπτῳ καὶ ἑβδομηκοστῷ, ὅς ἐστι σύμβολον αἰ-

*) Gen. 45, 22. **) Gen. 47, 24. ***) Num. 27, 3.

σθητικῆς καὶ νοητῆς φύσεως, συναραμένων ἀμφοῖν εἰς εἴδους ἑνὸς ἀνεπιλήπτου γένεσιν.

§. 38. Ἄγαμαι σφόδρα καὶ τὴν ὑπομονὴν Ῥεβέκκαν, ἐπειδὰν τῷ τελείῳ τὴν ψυχὴν, καὶ τὰς τῶν παθῶν καὶ κακιῶν τραχύτητας καθῃρηκότι, παραινῇ τότε εἰς Χαῤῥὰν ἀποδρᾶναι. Λέγει γὰρ, "Νῦν οὖν, τέκνον, ἄκουσον τῆς φωνῆς μου, καὶ ἀποστὰς ἀπόδραθι πρὸς Λάβαν τὸν ἀδελφόν μου εἰς Χαῤῥὰν, καὶ οἴκησον μετ' αὐτοῦ ἡμέρας τινὰς, ἕως τοῦ ἀποστρέψαι τὸν θυμὸν καὶ τὴν ὀργὴν τοῦ ἀδελφοῦ σου ἀπὸ σοῦ, καὶ ἐπιλάθηται ἃ πεποίηκας αὐτῷ" *). Παγκάλως δὲ τὴν ἐπὶ τὰς αἰσθήσεις ὁδὸν δρασμὸν εἴρηκεν· ὄντως γὰρ δραπέτης ὁ νοῦς τότε γίνεται, ὅταν καταλιπὼν τὰ οἰκεῖα ἑαυτῷ νοητὰ τράπηται πρὸς τὸ ἐναντίον τάγμα τῶν αἰσθητῶν. Ἔστι δὲ 421
ὅπου καὶ τὸ δραπετεύειν χρήσιμον, ἐπειδάν τις αὐτὸ P.
ποιῇ μὴ ἕνεκα ἔχθους τοῦ πρὸς τὸν κρείττονα, ἀλλὰ τοῦ μὴ ἐπιβουλευθῆναι χάριν πρὸς τοῦ χείρονος. Τίς οὖν ἡ παραίνεσις τῆς ὑπομονῆς; Θαυμασιωτάτη καὶ περιμάχητος. Ἐὰν ποτε, φησὶν, ὁρᾷς ἀνηρεθισμένον καὶ ἐξηγριωμένον τὸ θυμοῦ καὶ ὀργῆς πάθος ἐν σαυτῷ ἤ τινι ἑτέρῳ, ὃ ἡ ἄλογος καὶ ἀτίθασσος ζωοτροφεῖ φύσις, μὴ μᾶλλον αὐτὸ ἀκονήσας ἐκθηριώσῃς· δήξεται γὰρ ἴσως ἀνίατα. Καταψύχων δὲ τὸ ζέον αὐτοῦ καὶ πεπυρωμένον ἄγαν ἡμέρωσον· τιθασσὸν γὰρ καὶ χειρόηθες εἰ γένοιτο ἥκιστα ἂν βλάψοι. Τίς οὖν ὁ τρόπος τῆς τιθασσείας καὶ ἡμερώσεως αὐτοῦ; Μεθαρμοσάμενος καὶ μετασκευασάμενος, ὅσα τῷ δοκεῖν, ἀκολούθησον τὸ πρῶτον οἷς ἂν ἐθέλῃ, καὶ πρὸς μηδὲν ἐναντιωθεὶς ὁμολόγησον τὰ αὐτὰ φιλεῖν τε καὶ μισεῖν, οὕτω γὰρ ἐξευμενισθήσεται. Πραϋνθέντος δὲ ἀποθήσῃ τὴν ὑπόκρισιν, καὶ μηδὲν ἔτι προσδοκῶν ἐξ ἐκείνου κακὸν πείσεσθαι, μετὰ ῥᾳστώνης ἐπανελεύσῃ πρὸς τὴν τῶν

*) Gen. 27, 43 sqq.

ἰδίαν ἐπιμέλειαν. Εἰςάγεται γὰρ διὰ τοῦτο Χαῤῥὰν θρεμμάτων μὲν ἀνάπλεως, οἰκήτορσι δὲ κεχρημένη κτηνοτρόφοις. Τί γὰρ ἂν εἴη χωρίον ἀλόγῳ φύσει, καὶ τοῖς τὴν ἐπιμέλειαν καὶ προστασίαν αὐτῆς ἀνει-
470 ληφόσιν ἐπιτηδειότερον, τῶν ἐν ἡμῖν αἰσθήσεων;
M. Πυθομένου γοῦν τοῦ ἀσκητοῦ, "πόθεν ἔστε," ἀποκρίνονται τὸ ἀληθὲς οἱ ποιμένες ὅτι "ἐκ Χαῤῥὰν" *)· ἐκ γὰρ αἰσθήσεως αἱ ἄλογοι ὡς ἐκ διανοίας αἱ λογικαὶ δυνάμεις εἰσί. Προςπυθομένου δὲ εἰ γινώσκουσι Λαβὰν, φασὶν εἰκότως εἰδέναι· γνωρίζει γὰρ τὸ χρῶμα καὶ πᾶσαν ποιότητα αἴσθησις, ὡς οἴεται· χρωμάτων δὲ καὶ ποιοτήτων ὁ Λάβαν σύμβολον. Καὶ αὐτὸς δὲ ἐπειδὰν ἤδη τελειωθῇ, τὸν μὲν τῶν αἰσθήσεων οἶκον ἀπολείψει, τὸν δὲ τῆς ψυχῆς ὡς ψυχῆς ἱδρύεται, ὃν ἔτι ὢν ἐν τοῖς πόνοις καὶ ταῖς αἰσθήσεσιν ἀναζωγραφεῖ. Λέγει γὰρ, "Πότε ποιήσω καὶ ἐγὼ ἐμαυτῷ οἶκον; **)" Πότε τῶν αἰσθητῶν καὶ αἰσθήσεων ὑπεριδὼν, νοῦν καὶ διάνοιαν οἰκήσω, λόγῳ θεωρητοῖς πράγμασι συστρεφόμενος καὶ συνδιαιτώμενος, καθάπερ αἱ ζητητικαὶ τῶν ἀφανῶν ψυχαί, μαίας αὐτὰς ἔθος ὀνομάζειν; Καὶ γὰρ αὗται ποιοῦσι σκεπάσματα οἰκεῖα καὶ φυλακτήρια φιλαρέτοις ψυχαῖς· τὸ δὲ εὐερκέστατον οἰκοδόμημα ἦν ὁ θεοῦ φόβος τοῖς φρουρὰν καὶ τεῖχος αὐτὸν ἀκαθαίρετον πεποιημένοις. "Ἐπειδὰν γὰρ," φησιν, "ἐφοβοῦντο αἱ μαῖαι τὸν θεὸν, ἐποίησαν ἑαυταῖς οἰκίας" ***).

§. 39. Ἐξελθὼν οὖν ἐκ τῶν κατὰ τὴν Χαῤῥὰν τόπων ὁ νοῦς, λέγεται "διοδεῦσαι τὴν γῆν ἕως τοῦ τόπου Συχὲμ ἐπὶ τὴν δρῦν τὴν ὑψηλήν" †). Τί 422
δὲ ἐστι τὸ διοδεῦσαι σκεψώμεθα. Τὸ φιλομαθὲς P.
ζητητικὸν καὶ περίεργόν ἐστι φύσει, πανταχῇ βαδίζον ἀόκνως, καὶ πανταχόσε διακύπτον, καὶ μηδὲν

*) Gen. 29, 4. **) Gen. 30, 30. ***) Exod. 1, 21.
†) Gen. 12, 6.

ἀδιερεύνητον τῶν ὄντων μήτε σωμάτων μήτε πρα-
γμάτων ἀπολιπεῖν δικαιοῦν. Λίχνον γὰρ ἐκτόπως
θεαμάτων καὶ ἀκουσμάτων εἶναι πέφυκεν, ὡς μὴ
μόνον τοῖς ἐπιχωρίοις ἀρκεῖσθαι, ἀλλὰ καὶ τῶν ξε-
νικῶν καὶ πορρωτάτω διῳκισμένων ἐφίεσθαι. Λέ-
γουσι γοῦν, ὡς ἐστιν ἄτοπον ἐμπόρους μὲν καὶ κα-
πήλους γλίσχρων ἕνεκα κερδῶν διαβαίνειν τὰ πελάγη,
καὶ τὴν οἰκουμένην ἐν κύκλῳ περιϊέναι ἅπασαν, μὴ
θέρος, μὴ χειμῶνα, μὴ πνεύματα βίαια, μὴ ἐναν-
τία, μὴ γῆρας, μὴ νόσον σώματος, μὴ φίλων συνή-
θειαν, μὴ τὰς ἐπὶ γυναικὶ καὶ τέκνοις καὶ τοῖς ἄλ-
λοις οἰκείοις ἀλέκτους ἡδονὰς, μὴ πατρίδος καὶ πο-
λιτικῶν φιλοτησιῶν ἀπόλαυσιν, μὴ χρημάτων καὶ
τῆς ἄλλης περιουσίας ἀσφαλῆ χρῆσιν, μὴ τῶν ἄλ-
λων ὁτιοῦν συνόλως μέγα ἢ μικρὸν ἐμποδὼν τιθεμέ-
νους· τοῦ δὲ καλλίστου καὶ περιμαχήτου καὶ μόνῳ
τῷ γένει τῶν ἀνθρώπων οἰκειοτάτου χάριν, σοφίας,
μὴ οὐχὶ θάλατταν μὲν ἅπασαν περαιοῦσθαι, πάντα
δὲ γῆς μυχὸν ἐπέρχεσθαι φιλοπευστοῦντας εἴ που
τι καλόν ἐστιν ἰδεῖν ἢ ἀκοῦσαι, καὶ μετὰ σπουδῆς
471 καὶ προθυμίας τῆς πάσης ἰχνηλατεῖν, ἄχρις ἂν ἐγ-
M. γένηται τῶν ζητουμένων καὶ ποθουμένων εἰς ἀπόλαυ-
σιν ἐλθεῖν. Ἀπόδευσον μέντοι, ψυχὴ, καὶ τὸν ἄν-
θρωπον εἰ θέλεις, ἕκαστον τῶν περὶ αὐτὸν ἀγαγοῦσα
εἰς ἐπίκρισιν· οἷον εὐθέως, τί τὸ σῶμα, καὶ τί
ποιοῦν ἢ πάσχον διανοίᾳ συνεργεῖ· τί ἡ αἴσθησις,
καὶ τίνα τρόπον τὸν ἡγεμόνα νοῦν ὠφελεῖ· τί λόγος,
καὶ τίνων γενόμενος ἑρμηνεὺς, πρὸς καλοκαγαθίαν
συμβάλλεται· τί ἡδονὴ καὶ τί ἐπιθυμία, τί λύπη καὶ
φόβος, καὶ τίς ἡ πρὸς ταῦτα ἰατρικὴ, δι' ἧς ἢ
ληφθείς τις εὐμαρῶς διεκδύσεται, ἢ οὐχ ἁλώσεται
πρὸς αὐτῶν τὸ παράπαν· τί τὸ ἀφραίνειν, τί τὸ
ἀκολασταίνειν, τί τὸ ἀδικεῖν, τίς ἡ τῶν ἄλλων πλη-
θὺς νοσημάτων, ὅσα ἡ φθοροποιὸς ἀποτίκτειν πέ-
φυκε κακία, καὶ τίς ἡ τούτων ἀποστροφή. Καὶ κατὰ
τὰ ἐναντία, τί τὸ δίκαιον, ἢ τὸ φρόνιμον, ἢ τὸ σώ-

φρον, τὸ ἀνδρεῖον, τὸ εὔβουλον, ἀρετὴ συνόλως
ἅπασα καὶ εὐπάθεια, καὶ ὃν τρόπον ἕκαστον αὐτῶν
εἴωθε παραγίνεσθαι. Διόδευσον μέντοι καὶ τὸν μέ-
γιστον καὶ τελειώτατον ἄνθρωπον, τόνδε τὸν κόσμον,
καὶ διάσκεψαι τὰ μέρη, ὡς τόποις μὲν διέζευκται,
δυνάμεσι δὲ ἥνωται· καὶ τίς ὁ ἀόρατος οὗτος τῆς
ἁρμονίας καὶ ἑνώσεως πᾶσι δεσμός ἐστιν. Ἐὰν μέν-
τοι σκοπούμενος μὴ ῥᾳδίως καταλαμβάνῃς ἃ ζη- 423
τεῖς, ἐπίμενε μὴ κάμνων· οὐ γὰρ τῇ ἐκεχειρίᾳ ληπτὰ P.
ταῦτ' ἐστιν, ἀλλὰ μόλις πολλοῖς καὶ μεγάλοις πόνοις
ἀνευρισκόμενα. Οὗ χάριν ὁ φιλομαθὴς εἰς τὸ τοῦ
τόπου Συχὲμ ἐνείληπται, μεταληφθὲν δὲ τὸ ὄνομα
Συχὲμ ὠμίασις καλεῖται, πόνου δὲ σύμβολον· ἐπειδὴ
τοῖς μέρεσι τούτοις ἀχθοφορεῖν ἔθος. Ὡς καὶ αὐτὸς
ἑτέρωθι μέμνηται λέγων ἐπί τινος ἀθλητοῦ, τοῦτον
τὸν τρόπον, "Υπέθηκε τὸν ὦμον εἰς τὸ πονεῖν, καὶ
ἐγένετο ἀνὴρ γεωργός" *). Ὥςτε μηδέποτε, ὦ διά-
νοια, μαλακισθεῖσα ὀκλάσῃς, ἀλλὰ καὶ ἐάν τι δοκῇ
δυςθεώρητον εἶναι, τὸ ἐν σαυτῇ βλέπον διανοίξασα
διάκυψον εἴσω, καὶ ἀκριβέστερον τὰ ὄντα ἐναύγασαι,
καὶ μήτε ἑκοῦσα, μήτε ἄκουσά ποτε μύσῃς· τυφλὸν
γὰρ ὕπνος, ὡς ὀξυωπὲς ἐγρήγορσις. Ἀγαπητὸν δὲ
τῷ συνεχεῖ τῆς προβολῆς, εἰλικρινῆ τῶν ζητουμένων
λαβεῖν φαντασίαν. Οὐχ ὁρᾷς ὅτι καὶ δρῦν ὑψηλὴν
ἐν Συχὲμ πεφυτεῦσθαί φησιν; Αἰνιττόμενος τὸν ἀνέν-
δοτον καὶ ἀκαμπῆ, στεῤῥόν τε καὶ ἀῤῥαγέστατον παι-
δείας πόνον· ᾧ τὸν μέλλοντα ἔσεσθαι τέλειον ἀναγ-
καῖον κεχρῆσθαι, ἵνα μὴ τὸ τῆς ψυχῆς δικαστήριον,
ὄνομα Δεῖνα, — κρίσις γὰρ ἑρμηνεύεται, — συλ-
ληφθῇ πρὸς τοῦ τῶν ἐναντίων μοχθοῦντος πόνου,
472 τοῦ φρονήσεως ἐπιβούλου. Ὁ γὰρ ἐπώνυμος τοῦ
M. τόπου τούτου Συχὲμ, Ἐμὼρ υἱὸς ὢν, ἀλόγου φύσεως,
— καλεῖται γὰρ Ἐμὼρ ὄνος, — ἀφροσύνην ἐπιτηδεύων,
καὶ συντραφεὶς ἀναισχυντίᾳ καὶ θράσει, τὰ κριτήρια

*) Gen. 49, 15.

τῆς διανοίας μιαίνειν ὁ παμμίαρος καὶ φθείρειν ἐπεχείρησεν· εἰ μὴ θᾶττον οἱ φρονήσεως ἀκουσταὶ καὶ γνώριμοι, Συμεών τε καὶ Λευὶ, φραξάμενοι τὰ οἰκεῖα ἀσφαλῶς ἐπεξῆλθον, ἔτι ὄντας ἐν τῷ φιληδόνῳ καὶ φιλοπαθεῖ καὶ ἀπεριτμήτῳ πόνῳ καθελόντες. Χρησμοῦ γὰρ ὄντος, ὡς "οὐκ ἂν γένοιτό ποτε πόρνη τῶν τοῦ βλέποντος, Ἰσραὴλ, θυγατέρων" *), οὗτοι τὴν παρθένον ψυχὴν ἐξαρπάσαντες λαθεῖν ἤλπισαν. Οὐ γὰρ, ἐρημία γε τῶν βοηθησόντων τοῖς παρασπονδουμένοις ἐστίν· ἀλλὰ καὶ ἂν οἴωνταί τινες, οἰήσονται μόνον, ἀπελεγχθήσονται δὲ τῷ ἔργῳ ψευδοδοξοῦντες. Ἔστι γάρ ἐστιν ἡ μισοπόνηρος καὶ ἀμείλικτος καὶ ἀδικουμένων ἀρωγὸς ἀπαραίτητος δίκη, σφάλλουσα τὰ τέλη τῶν αἰσχυνόντων ἀρετὴν, ὧν πεσόντων εἰς παρθενείαν πάλιν ἡ δόξασα αἰσχυνθῆναι μεταβάλλει ψυχή· δόξασα δὲ εἶπον ὅτι οὐδέποτε ἐφθείρετο. Τῶν γὰρ ἀκουσίων, οὐδὲ τοῦ πάσχοντος πρὸς ἀλήθειαν πάθος, ὡς οὐδὲ τοῦ μὴ ἀπὸ γνώμης ἀδικοῦντος τὸ πραττόμενον ἔργον.

*) Deut. 23, 17.